τῆς ἀληθείας ἅπαξ μύσαντες φῶς, τῷ τῆς ἑαυτῶν κακίας ἐπορεύθησαν σκότει. Ἀλλ' ἡμεῖς μὲν τὸ παρὰ τῶν ἁγίων Πατέρων παραδοθὲν ἡμῖν ἀναγινώσκοντες Σύμβολον, οὕτω διαρρήδην βοῶμεν· « Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. » Καὶ οὕτω τοῦτο ἀναγινώσκομεν, καὶ οὕτω τοῦτο ἀναγνωσόμεθα μέχρι τελευτίας ἀναπνοῆς, καὶ οὕτω φρονοῦντες τῇ Τριάδι παραστησόμεθα. Ἰταλοὶ δὲ προστιθέντες τῇ ἀναγκάσει τὸ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, οὐχὶ δύο φασὶ τοῦ ἑνὸς Πνεύματος αἴτια, διὰ τὸ κατ' οὐδένα τρόπον τῆς δυαρχίας ἐκ Πατρὸς καὶ Υἱοῦ λέγειν τὸ Πνεῦμα τὸ ἅγιον. Οἱ μὲν γὰρ τῶν ἀρχαίων αἱρετικῶν, τοὺς περὶ Μανιχαῖόν φημι καὶ Μαρκίωνα, δυαρχίαν πρεσβεύσαντες ἀρχὴν ἀγαθοῦ, καὶ ἀρχὴν ἑτέραν κακοῦ ἐδόξασαν· οἱ δὲ περὶ Εὐνόμιον μετ' ἐκείνους ἅπαντες, ὥσπερ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς μόνου, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ ἐδογμάτισαν. Ἡ δὲ τῶν Ῥωμαίων Ἐκκλησία, πάντων τούτων καθάπαξ ὀλιγωρήσασα ὡς γέλωτος καὶ χλεύης ἀξίων, ἐν τοῖς ὅροις τῆς εὐσεβείας ἀσαλεύτως καὶ ἀπεριτρέπτως μεμένηκεν, οὔτε ἀρχὴν ἀγαθοῦ καὶ ἀρχὴν ἑτέραν κακοῦ δογματίσασα πώποτε, οὔτε τοῖς περὶ τὸν Εὐνόμιον προστεθεῖσά ποτε, ὡς εἰπεῖν τολμῆσαι τὸν μὲν Πατέρα ἀρχὴν τοῦ Υἱοῦ μόνου, τὸν δὲ Υἱὸν μόνον ἀρχὴν ἑτέραν τοῦ Πνεύματος, κἀντεῦθεν ἀναφανῆναι δύο δοξάζειν ἀρχάς.

A bitatis tenebras consectantur. Sed nos a sanctis Patribus nobis traditum Symbolum recitantes, sic palam enuntiamus : « Et in Spiritum sanctum, Dominum, vivificantem, qui ex Patre procedit. » Et hoc modo illud legimus, legemusque ad extremum usque spiritum, et ita sentientes Triadi assistemus. Verum Itali lectioni addentes, et ex Filio procedere, non] duas unius Spiritus causas astruunt, quod nullo modo ex duplici principio ex Patre et Filio Spiritum asserunt. Namque antiqui hæretici, Manetem scilicet et Marcionem secuti, duo principia statuentes, principium unum boni, et principium mali alterum tenuerunt : qui vero ab Eunomio steterunt, et post eos omnes, quemadmodum Filium ex Patre solo, ita et Spiritum sanctum ex B solo Filio decreverunt. Verum Romana Ecclesia neglectis hisce omnibus, tanquam risu et ludibrio excipiendis, intra pietatis terminos inconcussa atque immutabilis permansit, neque boni principium, neque alterum mali unquam asseverans, neque Eunomii asseclis sese associans, ut auderet dicere, Patrem quidem solum Filii principium, Filium vero solum principium aliud Spiritus : indeque convinceretur, duo principia asserere.

θ'. Ἀλλὰ τοῖς τῶν μεγάλων Ἁγίων δόγμασιν ἐπερειδομένη, καὶ ταῖς ἐκείνων ἀκολουθοῦσα ἐννοίαις, τὸν μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς μόνου ἀνακηρύττει, τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ εἶναι λέγει. Καὶ μίαν ὅμως ἀρχὴν ἐπὶ τῆς ἁγίας Τριάδος καθαρῶς πρεσβεύει τε καὶ ὁμολογεῖ, διὰ τὸ εἰδέναι ὑπὸ τῆς τῶν Πατέρων διδασκαλίας πάντα τὰ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τὴν πρώτην αἰτίαν ἀνάγεσθαι. Τὸ γὰρ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα, καὶ μὴ δύο αἰτία δοξάζειν τοῦ Πνεύματος, οὐκ ἀλλοθέν ἐστι πάντως ἀλλ' ἢ ἐξ αὐτοῦ τούτου, τοῦ πάντα, ὡς εἴρηται, τὰ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τὴν πρώτην αἰτίαν ἀνάγεσθαι. Εἰ δὲ καὶ μαρτυρίας δεῖ σοί τινος τῶν Θεολόγων ἀνδρῶν, ἵν' ἐντεῦθεν ἔχῃς τὸ τῶν ῥηθέντων λόγων ἐχέγγυον, εἰς τὸ εἰδέναι μὴ δύο αἰτία τοῦ Πνεύματος ἢ εἶναι ἢ λέγεσθαι, τὸν Πατέρα καὶ τὸν Υἱὸν ἐν τῷ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, διὰ τὸ πάντα τὰ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τὴν πρώτην αἰτίαν ἀνάγεσθαι, ὁ μέγας Βασίλειος εἰς μαρτυρίαν ἡμῖν ἀξιόπιστον παραχθήσεται. Οὗτος καὶ γὰρ ὁ τὰ θεῖα πολὺς, οὗ καὶ ὁ λόγος ἀήττητος, καὶ ὁ τρόπος ἀμίμητος, ἐπεὶ τὸν Εὐνόμιον περὶ τῆς αἰτίας τοῦ Πνεύματος δογματίζοντα ἐν τοῖς αὐτοῦ συγγράμμασιν εὗρισκε λέγοντα, ἐκ μόνου τοῦ Υἱοῦ εἶναι αὐτό, ἐν τῷ δευτέρῳ τῶν κατ' αὐτοῦ λόγων πρὸς τῷ τέλει οὕτω φησίν· « Ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλον, ὅτι οὐδεμία ἐνέργεια τοῦ Υἱοῦ ἀποτετμημένη ἐστὶ τοῦ Πατρὸς, οὐδὲ ἔστι τι ἐν τοῖς οὖσι τῷ Υἱῷ ὑπάρχον, ὃ τοῦ Πατρὸς ἠλλοτρίωται; Πάντα γὰρ, φησὶ, τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σα ἐμά. Πῶς οὖν τὴν τοῦ Πνεύματος αἰτίαν τῷ Μονογενεῖ μόνῳ προστίθησι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνει δημιουργίαν; Εἰ μὲν οὖν

9. Sed magnorum Sanctorum decretis innixa, eorumque sententias sectata, Filium ex Patre solo deprædicat, Spiritum sanctum et ex Filio esse dicit, et unum nihilominus principium in sancta C Triade pure aperteque tenet et confitetur : quod sciat Patrum doctrinis instructa, omnia Filii ad Patrem primam causam referri. Namque ex Patre et ex Filio dicere Spiritum, et duas causas Spiritus non fateri, non aliunde prorsus est, quam ex hoc ipso, quod omnia, ut jam dictum est, Filii ad Patrem primam causam referantur. Quod si et theologorum virorum testimonio indiges, ut inde jam dictorum veluti pignus habens, ad agnoscendum, non duas causas Spiritus vel esse, vel dici Patrem et Filium, cum dicitur ex Patre et ex Filio esse Spiritus, quod omnia Filii ad Patrem, primam causam referantur, magnus Basilius testis fide dignus adducatur. Hic enim, qui ad res divi- D nas pertractandas multum valuit, cujus et oratio inexsuperabilis, et mores inimitabiles, cum Eunomium de causa Spiritus decernentem in propriis Commentariis reperiret dicentem, « ex solo Filio illum esse, » secunda adversum eumdem oratione prope finem hæc habet : « Illud vero cui non innotescit, nullam Filii actionem disjunctam esse a Patre, neque esse quidpiam in rebus, quod insit Filio, et alienum sit a Patre? Omnia enim, inquit, mea tua sunt, et tua mea. Quanam itaque ratione Spiritus causam Unigenito soli attribuit, et prædicari de illius natura illius opificium vult? Si itaque duo principia contraria sibi astruens, hæc dicit, cum Manichæo atque Marcione conteretur. Si vero ad unam ea, quæ sunt, reducit, quod a

Digitized by Google Распознавание текста ABK/FR

Filio factum asseritur, ad primam causam refertur. Adeo ut, etsi omnia per Deum Verbum producta esse credimus, verum omnium causam esse Deum omnium a nobis non denegetur. » Præter hunc altiloquum veritatis præconem et testem, adducatur quoque Gregorius, cui e theologicis cognomen est, qui in sua in Pentecosten oratione, cujus est illud principium, « De die festo breviter philosophemur, » hæc ait, « Neque enim addecebat deficere unquam, aut Filium Patri, aut Spiritum Filio : » et paucis interjectis : « Erat enim semper sese communicans, non particeps, invisibilis, sine tempore, omnipotens, et si ad primam causam, quemadmodum Unigeniti omnia, sic et ea, quæ Spiritus sunt remittantur. » Hac ratione itaque sub testibus fide dignis, magnis hisce Patribus, aperte patente, omnia Filii ad Patrem primam causam referri, non absone nos diximus, Italos cum lectioni Symboli addunt, « et ex Filio Spiritum sanctum procedere, » non duas unius Spiritus causas asserere.

10. Et quando hoc adducta testimonia veluti stabile, et prorsus certum statuant, contentiosi animi, et vesanæ pertinaciæ abortus illis relinquamus, quibus contraria erga fidem opinatio sententiæ efficit æquilibritatem. Cum vero una fides ex Patribus ad nos corrivata sit, sors a Deo electa, quam generales et locales synodi confirmarunt, et quam ex eo tempore ad hanc ætatem tempus constabilivit, conservetur a nobis immutabilis, neque res ulla sit nobis impedimento, ne cum fratribus nostris, placide compósita pace, quiescamus, donec eamdem pietatis sententiam innuant dictiones ab illis propositæ. Et consilium fuerit, non ex meo capite, sed magni Athanasii zelo, quem si quis pietatis fundamentum nuncupaverit, a decoro non aberrabit. Cum enim primæ œcumenicæ synodi hic dux ac promotor apparuit, manifestum est illam ipsam, et post illam universas super fundamento ejus sermonum, pietatem exstruxisse. Quid porro est, in quo magnum hoc Ecclesiæ lumen, et ab immortalitate nomen sibi demeritum, æmulari vos fratres moneo? Ille ipse adsit, et sua lingua dictatis vocibus denuntiet; quinimo et theologus Gregorius, Basilius Magnus, et decernendis dogmatibus acutissimus Maximus cum eo conspirent, in quibus quam optime suggerunt, quæ ex vocibus nascuntur differentias negligendas, dummodo secundum sententiam uno consensu fratres concordant. Præeat vero alios in rebus divinis exponendis Athanasius. Hic enim tomo ad Antiochenos, cujus principium est : « Persuasum habemus vos, cum sitis ministri Dei ac boni dispensatores, » ita scribit : « Illis enim, qui nonnullos incusabant, ut trium hypostaseon affirmatores, cum hujusmodi voces in Scripturis non reperirentur, ac proinde suspectæ videri possent, auctores fuimus, ne amplius in Nicænam confessionem inquirerent. Sed tamen de istis ob

A δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις; ταῦτά φησι. μετὰ Μανιχαίου καὶ Μαρκίωνος συντριβήσεται· εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον, πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. Ὥστε κἂν πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ τοῦ Θεοῦ Λόγου πιστεύωμεν, ἀλλὰ τὸ πάντων αἴτιον εἶναι τὸν Θεὸν τῶν ὅλων οὐκ ἀφαιρούμεθα. » Ἐπὶ τῷ ὑψηγόρῳ τούτῳ τῆς ἀληθείας κήρυκί τε καὶ μάρτυρι παρεισαχθήσεται καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, ὃς ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή, « Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν, » οὕτω φησίν· « Οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. » Καὶ μετ' ὀλίγα · « Ἦν μὲν ἐκεῖ μεταληπτὸν, οὐ μεταληπτικὸν, ἀόρατον, ἄχρονον, παντοδύναμον, εἴ καὶ

B πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ τοῦ Μονογενοῦς ἅπαντα, οὕτω δὲ καὶ τὰ τοῦ Πνεύματος ἀναπέμπεται. » Οὕτω γοῦν ὑπὸ μάρτυσιν ἀξιολόγοις τοῖς μεγάλοις τούτοις Πατράσιν ἀναφαινομένου τοῦ πάντα τὰ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τὴν πρώτην αἰτίαν προστιθέντες τῇ ἀναγνώσει τοῦ Συμβόλου τὸ « καὶ

C οὐχὶ δύο τοῦ ἑνός φασι Πνεύματος αἰτία.

ι'. Καὶ ἐπεὶ τοῦτο αἱ ῥηθεῖσαι γραφικαὶ μαρτυρίαι κατὰ τὸ πάντη βέβαιον συνιστῶσι, τὰ μὲν τῆς φιλονείκου γνώμης καὶ πεισμονῆς ἀλόγου ἐκτόκια ἐκείνοις παρῶμεν, οἷς τὸ πρὸς τὴν πίστιν ἀντίδοξον καὶ τὸ πρὸς τὴν γνώμην ποιεῖται ἀντίρροπον· ἡμῖν δ' ἐπεὶ μία πίστις ἡ ἐκ Πατέρων εἰς ἡμᾶς διαβιβασθεῖσα, κλῆρος θεόλεκτος, ἣν οἰκουμενικαί τε καὶ τοπικαὶ σύνοδοι ἐπεκράτυναν, καὶ ἣν ὁ ἐξ ἐκείνου καὶ εἰς τὸν νῦν ἐβεβαίωσε χρόνος, κρατείτω μὲν παρ' ἡμῖν ἀμεταποίητος αὕτη, καὶ ἐμποδὼν δὲ μηδὲν ἡμῖν ἔστω πρὸς τοὺς ἀδελφοὺς ἡμῶν εἰρηνεύειν, ἕως ἂν πρὸς τὴν αὐτὴν τῆς εὐσεβείας φέρωσιν ἔννοιαν, αἱ παρ' ἐκείνων προστιθέμεναι λέξεις. Καὶ ἡ συμβουλὴ οὐ κατὰ γνώμην ἐμὴν, ἀλλὰ κατὰ ζῆλον Ἀθανασίου τοῦ πάνυ, ὃν κρηπῖδα τῆς εὐσεβείας καλέσας, οὐκ

D ἂν ἁμάρτῃ τοῦ ξεόντος. Ἐπεὶ γὰρ τῆς πρώτης οἰκουμενικῆς συνόδου οὗτος ἀρχηγὸς ἀνεφάνη, εὔδηλον ὅτι αὐτὴ ἐκείνη, καὶ αἱ μετ' ἐκείνην ἅπασαι ἐπὶ θεμελίῳ τῶν ἐκείνου λόγων τὴν εὐσέβειαν ᾠκοδόμησαν. Τί δέ ἐστιν, ἐφ' ᾧ τὸν μέγαν τοῦτον τῆς Ἐκκλησίας φωστῆρα, τὸν τῆς ἀθανασίας ἐπώνυμον, παραζηλοῦν ἡμᾶς, ἀδελφοί, συμβουλεύω; Αὐτὸς ἐκεῖνος παρίτω, καὶ ταῖς τῇ αὐτοῦ γλώσσῃ ἐκφωνηθείσαις λέξεσιν ἀπαγγελλέτω ἡμῖν· οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ τῆς θεολογίας ἐπώνυμος; Βασίλειός τε ὁ Μέγας καὶ ὁ δογματικώτατος Μάξιμος συγκροτησάτωσαν τούτῳ, ἐφ' οἷς ἄριστα ὑποτίθεται τὰς ἐν λέξεσι παροράσθαι διαφορὰς, ὁπηνίκα εἴη κατὰ τὴν ἐπὶ τῇ ἐννοίᾳ ὁμοφροσύνην συμβαίνειν τοὺς ἀδελφούς. Προηγείσθω δὲ ἐπὶ τούτοις τῶν ἄλλων αὐτὸς ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος. Οὗτος γὰρ ἐν τῷ πρὸς Ἀντιοχεῖς τόμῳ, οὗ ἡ ἀρχὴ, « Πεπείσμεθα δὲ ὅτι λειτουργοὶ καλοὶ, καὶ οἰκονόμοι Θεοῦ τυγχάνοντες, » οὕτω φησίν· « Οὓς γὰρ ἐμέμφοντό τινες, ὡς τρεῖς λέγοντας ὑποστάσεις διὰ τὸ ἀγράφους καὶ ὑπόπτους ἐντεῦθεν εἶναι τὰς λέξεις, ἠξιοῦμεν μηδὲν πλέον ἐπιζητεῖν τῆς κατὰ Νίκαιαν ὁμολογίας, ἀνακρίνειν

Digitized by Google Распознавание текста ABBYY FR

δὲ ὅμως τούτους διὰ τὴν φιλονεικίαν, μὴ ἄρα ὡς οἱ Ἀρειομανῖται λέγουσιν ἀπηλλοτριωμένας, καὶ ἀπεξενωμένας, ἀλλοτριουσίους τε ἀλλήλων, καὶ ἑκάστην καθ' ἑαυτὴν ὑπόστασιν διῃρημένην, ὡς ἔστι τά τε ἄλλα κτίσματα, καὶ οἱ ἐξ ἀνθρώπων γεννώμενοι, ἢ ὥσπερ διαφόρους οὐσίας, ὥσπερ ἐστὶ χρυσὸς, ἢ ἄργυρος, ἢ χαλκὸς, οὕτω καὶ αὐτοὶ λέγουσιν, ἢ ὡς ἄλλοι αἱρετικοὶ τρεῖς; ἀρχὰς καὶ τρεῖς Θεοὺς λέγουσιν, οὕτω καὶ οὗτοι φρονοῦντες τρεῖς ὑποστάσεις λέγουσιν; Καὶ διεβεβαιώσαντο, μήτε λέγειν, μήτε πεφρονηκέναι ποτὲ οὕτως. Ἐρωτώντων δὲ ἡμῶν αὐτοὺς, Πῶς οὖν ταῦτα λέγετε, ἢ διὰ τί δὲ ὅλως τοιαύταις χρῆσθε λέξεσιν; ἀπεκρίναντο, Διὰ τὸ εἰς ἁγίαν Τριάδα πιστεύειν, οὐκ ὀνόματι μόνον Τριάδα, ἀλλ' ἀληθῶς οὖσαν, καὶ ὑφεστῶσαν, Πατέρα τε ἀληθῶς ὄντα καὶ ὑφεστῶτα, καὶ Υἱὸν ἀληθῶς ἐνούσιον ὄντα καὶ ὑφεστῶτα, καὶ Πνεῦμα ἅγιον ὑφεστηκὸς καὶ ὑπάρχον· μήτε δὲ εἰρηκέναι τρεῖς Θεοὺς, ἢ ἀρχάς· μήτε ὅλως ἀνέχεσθαι τῶν τοῦτο λεγόντων ἢ φρονούντων, ἀλλ' εἰδέναι ἁγίαν μὲν Τριάδα, μίαν δὲ θεότητα, καὶ μίαν ἀρχήν· καὶ Υἱὸν μὲν ὁμοούσιον τῷ Πατρὶ, ὡς εἶπον οἱ Πατέρες· τὸ δὲ ἅγιον Πνεῦμα οὐ κτίσμα, οὐδὲ ξένον, ἀλλ' ἴδιον καὶ ἀδιαίρετον τῆς οὐσίας τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. Ἀποδεξάμενοι δὲ τούτων τὴν ἑρμηνείαν τῶν λέξεων, καὶ τὴν ἀπολογίαν, ἀνεκρίναμεν τοὺς αἰτιαθέντας παρὰ τούτων, ὡς λέγοντας μίαν ὑπόστασιν, μὴ ἄρα ὡς Σαβέλλιος φρονεῖ, οὕτω καὶ οὗτοι λέγουσιν ἐπὶ ἀναιρέσει τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἢ ὡς ἀνουσίου ὄντος τοῦ Υἱοῦ, ἢ ἀνυποστάτου τοῦ ἁγίου Πνεύματος. Οἱ δὲ καὶ αὐτοὶ διεβεβαιώσαντο, μήτε τοῦτο λέγειν, μήτε οὕτω πεφρονηκέναι πώποτε. Ἀλλ' ὑπόστασιν μίαν λέγομεν, ἡγούμενοι ταὐτὸν εἶναι εἰπεῖν ὑπόστασιν καὶ οὐσίαν· μίαν δὲ φρονοῦμεν, διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως. Μίαν γὰρ θεότητα, καὶ μίαν εἶναι τὴν ταύτης φύσιν πιστεύομεν, καὶ οὐκ ἄλλην μὲν τὴν τοῦ Πατρὸς, ξένην δὲ τούτου τὴν τοῦ Υἱοῦ καὶ τὴν τοῦ ἁγίου Πνεύματος. Ἀμέλει κἀκεῖ οἱ αἰτιαθέντες, ὡς εἰρηκότες τρεῖς ὑποστάσεις συνετίθεντο τούτοις. Καὶ αὐτοὶ δὲ οἱ εἰρηκότες μίαν ὑπόστασιν, τὰ ἐκείνων ὥσπερ ἠρμήνευσαν καὶ ὡμολόγουν.» Καὶ προβαίνων μεθ' ἕτερα· «Τούτων τοίνυν οὕτως ὁμολογηθέντων, παρακαλοῦμεν ὑμᾶς, τοὺς μὲν οὕτως ὁμολογοῦντας, καὶ διερμηνεύοντας οὕτω τὰς λέξεις, ἃς λέγουσι, μὴ κατακρίνετε, μηδὲ προπετῶς ἀποβάλλετε, ἀλλὰ μᾶλλον εἰρηνεύοντας καὶ ἀπολογουμένους προσλαμβάνεσθε, τοὺς δὲ μὴ βουλομένους οὕτως ὁμολογεῖν, καὶ διερμηνεύειν τὰς λέξεις, τούτους κωλύετε καὶ ἐντρέπετε, ὡς ὑπόπτους τῷ φρονήματι. Τούτων δὲ μὴ ἀνεχόμενοι, συμβουλεύετε καὶ ἐκείνοις τοῖς ὀρθῶς ἑρμηνεύουσί τε καὶ φρονοῦσι, μηδὲν πλέον ἀλλήλους ἀνακρίνειν, μηδὲ λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον, μήτε ταῖς τοιαύταις λέξεσι διαμάχεσθαι, ἀλλὰ τῷ φρονήματι τῆς εὐσεβείας συμφωνεῖν. Οἱ γὰρ μὴ οὕτως διανοούμενοι, ἀλλὰ μόνον ἐπὶ τοῖς τοιούτοις λεξειδίοις φιλονεικοῦντες, καὶ παρὰ τὰ ἐν Νικαίᾳ γραφέντα ζητοῦντες, οὐδὲν ἕτερον ποιοῦντές εἰσιν, ἢ ποτίζουσιν ἀνατρο-

A pervicaciam rixandi quæstio est habita, interrogatique sunt, num ex Arianorum sententia alienas peregrinasque, ac diversæ a se invicem substantiæ personas esse velint, et unamquamque hypostasim per se ac seorsim divisam esse pro ratione cæterarum creaturarum, eorumque, qui ex hominibus nascuntur, existiment: an hic intelligant diversas res, quale est aurum, argentum, æs; an, ut alii hæretici, sub istis vocibus tria principia et tres deos constituant. Cæterum illi affirmabant se ita nec dixisse, nec sensisse. Percontantibus autem nobis, qua ratione tandem ista dicerent, aut cur omnino istiusmodi vocabulis uterentur, responsum dederunt sese in Trinitatem credere, non quæ nomine tenus Trinitas, sed quæ vere Trinitas esset B et subsisteret: et Patrem, ut qui vere esset et subsisteret: et Filium ut inexsistentem et subsistentem, et Spiritum sanctum ut subsistentem et exsistentem agnoscere: non tamen se dixisse tres deos aut tria principia, imo nec toleraturos quidem, si quis tale quidpiam aut dicat, aut sentiat: sed scire, esse sanctam Trinitatem, ut tamen una sit Deitas et unum principium, et Filium se agnoscere esse coessentialem suo Patri, ut dixerunt Patres: et Spiritum sanctum non creaturam, neque alienum, sed proprium et indisgregatum ab essentia Patris et Filii. Approbata igitur istiusmodi et interpretatione et excusatione, vicissim quoque et eos examinavimus, qui ab istis in culpam devocabantur, quasi qui dicerent, esse unam hypostasim, sciscitantes ab illis, num pro Sabelliano dogmate ea mente loquerentur, ut sublatos vellent ex Trinitate Filium et Spiritum sanctum, quasi Filius essentia careat, aut Spiritus sanctus non subsisteret? Quin et ipsi quoque affirmarunt, neque se ita sensisse unquam, sed hypostasim eos intelligere, idem esse cum essentia: unam autem ideo sese hypostasim intelligere, partim quia Filius ex essentia Patris sit, partim quia in tribus sit identitas naturæ; unam enim sese Deitatem et unam naturam credere, neque aliam Patris, aliam Filii, aut Spiritus sancti esse naturam. Quinimo et illi, qui eo crimine postulati erant, quod tres hypostases inducerent, cum istis in eamdem sententiam convenerunt, vicissimque illi, qui unam hypostasim asseverarant, istorum interpretationi acquieverunt.» Et paulo infra: «Cum igitur istiusmodi illorum fuerit confessio, adhortamur vos, ne eos, qui ita confitentur, talemque interpretationem suæ confessioni accommodant, vos temere condemnare, aut rejicere velitis, sed potius, admissa illorum excusatione, recipiendos putetis: eos contra, qui talem confessionem non edunt, neque tali interpretatione in istis verbis utuntur, arcere vos vellemus et adversari, ut suspectæ mentis homines. Cæterum cum illos tolerandos non censebitis, consuletis illis, qui recte interpretantur, et recte sentiunt, ne ulterior ulla inter vos adhibeatur disquisitio, neque verborum pugnis studeatis ad nullam prorsus uti-

Digitized by Google Распознавание текста ABBYY FR

litatem, sed sensus cogitationesque pietatis exhibere. Nam qui ita affecti non sunt, sed tantummodo super istiusmodi voculis contentiose rixantur, et aliud quidpiam præterquam quod Nicææ scriptum est, requirunt, hi profecto nihil aliud agunt, quam quod proximis suis turbidam subversionem propinant ut inimici, et discordiarum schismatumque æmulatores. » Item: « Impietas quidem modis omnibus abrogatur, licet eam variis verbis, et probabilibus argutiolis circumvestire quis tentet. Pietatem autem colere justum omnes confitentur, etsi peregrinis quibusdam vocibus utantur, dummodo dicens piam sententiam teneat, illisque, quod in animo habet, pie enuntiet. » Rursumque post alia: « Itaque, si verba isti hæc veluti peregrina abjudicant, teneant sententiam, secundum quam scriptione reperiantur, sed, ut antea dictum est, nuntiatæ significant apud eos, qui pietati aures integras conservarunt. »

A πὴν θολερὰν τοῦ πλησίον, ὡς φθονοῦντες τῇ εἰρήνῃ, καὶ ἀγαπῶντες τὰ σχίσματα. » Καὶ ἔτι· « Τὸ μὲν ἀσεβεῖν παντελῶς κεκώλυται. κἂν ποικίλοις ῥήμασι καὶ πιθανοῖς σοφίσμασι περιβάλλειν αὐτό τις ἐπιχειρῇ· τὸ δὲ εὐσεβεῖν ὅσιον παρὰ πᾶσιν ὡμολόγηται, κἂν ξενιζούσαις λέξεσί τισι χρήσεται, ἕως μόνον ὁ λέγων εὐσεβὲς ἔχει τὸ φρόνημα καὶ δι' αὐτῶν, ὃ νενόηκεν, εὐσεβῶς βούλεται σημαίνειν. » Καὶ αὖθις μεθ' ἕτερα· « Οὐκοῦν εἰ τὰ ῥήματα ταῦτα ὡς ξένα προφασίζονται οὗτοι, φρονείτωσαν τὴν διάνοιαν, καθ' ἣν ἡ σύνοδος οὕτως ἔγραψεν· Ὅτι, εἰ καὶ μὴ οὕτως ἐν ταῖς Γραφαῖς εἰσιν αἱ λέξεις, ἀλλὰ, καθάπερ εἴρηται πρότερον, τὴν ἐκ τῶν Γραφῶν διάνοιαν ἔχουσι, καὶ ταύτην ἐκφωνοῦμεναι σημαίνουσι τοῖς ἔχουσιν εἰς εὐσέβειαν τὴν ἀκοὴν ὁλόκληρον. »

synodus ita scripsit, quod licet voces non ita in scriptione sententiam sortiantur, eamque pronuntiatæ significant apud eos, qui pietati aures integras conservarunt. »

Quis igitur hisce fide digniorem aliam, aut clariorem doctrinam quæret, non esse vocibus attendendum, dummodo eamdem sententiam exprimant, licet sermonis articulatione multum varient? Dijudicata amborum professione, perspectoque unanimi consensu, dictiones recepit, nihil hæsitans, neque reformidans, et tamen pronuntiationis sono sibi-adversari videbantur, nisi ipse cate sapienterque examinatas admisisset. Non est, ait, certandum verbis in re non profiqua, neque voculis contendendum, ne quis turbida eversione potare proximum videatur, et paci invidere, et consulto schismata aucupari. Et ad hoc quidem persuadendum laudabiliter non nemini satis superque fuisset viri tanti vel sola reverentia, neque testimonium aliud bene dicenti superadderet. Ego vero tibi et magnum inter theologos Gregorium opus hoc œconomiæ summis laudibus extollentem in medium proferam. Cum enim sibi argumenta laudationis instituisset supra alios, vitæ genus, et in sermonibus hominis vires, hoc inter illius laudes potissimum commemorat; quod, ut illius verbis utar, « ambabus partibus accitis leniter et benigne, verborumque sententia diligenter et accurate perpensa, posteaquam concordes reperit, nec, quantum ad doctrinam, ullo modo inter se dissidentes, ita negotium transegit, ut nominum usum concedens, rebus eos constringeret. Nam cum essentia una, inquit, et tres hypostases a nobis pie docerentur (quod alterum Divinitatis naturam, alterum trium personarum proprietates declaret), atque eodem quidem modo apud Romanos intelligerentur, cæterum ob linguæ illius angustiam, et verborum inopiam hypostasim ab essentia distinguere non possent, eoque factum est, ut pro ea, ne tres substantias admittere viderentur, personarum vocabulum inducerent, quid tandem contigit? Res profecto ridicula, vel potius miserenda. Diversæ fidei speciem præbuit levis illa et jejuna de vocum sono altercatio. Hic deinde et Sabellismus ob tres personas excogitatus est, et Arianismus ob

B Τίς τοίνυν τῶν τοιούτων ἀξιοπιστοτέραν ἄλλην καὶ σαφεστέραν διδαχὴν ἐκζητήσει, ὡς οὐ δεῖ τισι προσέχειν φωναῖς, ἔστ' ἂν εἰς τὸν αὐτὸν συμβαίνωσι νοῦν, εἰ καὶ τῇ τοῦ λόγου διαρθρώσει παραπολὺ διαλλάττοιεν; Ἀνακρίνας ἀμφοτέρων τὴν ὁμολογίαν, καὶ συνιεὶς τὸ ὁμόφρον, κατεδέξατο τὰς λέξεις, μηδὲν ἐνδοιάσας, μηδὲ ὑποστειλάμενος· καίτοι γε ὅσον κατὰ τὸν τῆς προφορᾶς ἦχον καὶ ἐναντίως ἔχειν ἐδόκουν ἀλλήλοις, εἰ μὴ σοφῶς αὐτὸς διεξετάζων προσίετο. Οὐ δεῖ γάρ, φησὶ, λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον, οὐδὲ φιλονεικεῖν τοῖς λεξειδίοις, ἵνα μὴ καὶ θολερὰν δοκῇ τις ἀνατροπὴν ποτίζειν τὸν πλησίον, καὶ διαφθονεῖν τῇ εἰρήνῃ, καὶ ἀνθαιρεῖσθαι τὰ σχίσματα. Ὅτι δὲ καὶ λίαν ἐπαινετῶς ἑτέρῳ μὲν ἂν ἤρκεσεν εἰς πειθὼ τὸ τοῦ ἀνδρὸς καὶ μόνον αἰδέσιμον, καὶ οὐκ ἂν προσῆγε μαρτυρίαν ἑτέραν εὖ λέγοντι. Ἐγὼ δέ σοι καὶ τὸν μέγαν ἐν θεολόγοις Γρηγόριον καὶ μάλα ἐκθειάζοντα τὸ ἔργον τῆς οἰκονομίας παρίστημι. Ἐνστησάμενος γὰρ εἰς ὑπόθεσιν τῶν ἐγκωμίων αὐτῷ τό τε ὑπερκείμενον τοῦ βίου καὶ τὴν ἐν λόγοις τοῦ ἀνδρὸς δύναμιν, τοῦτο δὴ τὸ κράτιστον ποιεῖται τῶν ἐπαίνων αὐτοῦ, ὅτι, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, « Προσκαλεσάμενος ἀμφότερα τὰ μέρη οὕτωσὶ πράως καὶ φιλανθρώπως, καὶ τὸν νοῦν τῶν λεγομένων ἀκριβῶς ἐξετάσας, ἐπειδὴ συμφρονοῦντας εὗρε, καὶ οὐδὲν διεστῶτας κατὰ τὸν λόγον, τὰ ὀνόματα συγχωρήσας, συνδεῖ τοῖς πράγμασι. Τῆς γὰρ μιᾶς, φησὶν, οὐσίας καὶ τῶν τριῶν ὑποστάσεων, λεγομένων μὲν ὑφ' ἡμῶν εὐσεβῶς (τὸ μὲν γὰρ τὴν φύσιν δηλοῖ τῆς Θεότητος, τὸ δὲ τὰς τῶν τριῶν ἰδιότητας), νοουμένων δὲ καὶ παρὰ τοῖς Ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένων διὰ στενότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν διελεῖν ἀπὸ τῆς οὐσίας τὴν ὑπόστασιν, καὶ διὰ τοῦτο ἀντεισαγόντων τὰ πρόσωπα, ἵνα μὴ τρεῖς οὐσίας παραδεχθῶσι, τί γίνεται; Ὡς λίαν γελοῖον, ἢ ἐλεεινόν. Πίστεως ἔδοξε διαφορὰ ἡ περὶ τὸν ἦχον σμικρολογία, εἶτα Σαβελλισμὸς ἐνταῦθα ἐπενοήθη τοῖς τρισὶ προσώποις, καὶ Ἀρειανισμὸς ταῖς τρισὶν ὑποστάσεσι, τὰ τῆς φιλονεικίας ἀναπλάσματα. Εἶτα τί; Προστιθεμένου μικροῦ τινος ἀεὶ τοῦ λυποῦντος, ὃ λυπηρὸν ἡ φιλονεικία

Digitized by Google Распознавание текста ABK/FR

ἐποίει, κινδυνεύει συναποῤῥαγῆναι ταῖς συλλαβαῖς καὶ τὰ πέρατα. Ταῦτα γοῦν ὁρῶν καὶ ἀκούων ὁ μακάριος ἐκεῖνος, καὶ ὡς ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ, καὶ μέγας τῶν ψυχῶν οἰκονόμος, οὐκ ἠθέλησε παριδεῖν τὴν ἄτοπον οὕτω καὶ ἄλογον τοῦ λόγου κατατομήν· τὸ δὲ παρ' ἑαυτοῦ φάρμακον ἐπάγει τῷ ἀῤῥωστήματι. » Ἔνθεν τοι καὶ ταῦτα διαπεράνας ἐπευφημίζει τοῖς ἐγκωμίοις, « Τοῦτο δή, λέγων, τῶν μακρῶν πόνων καὶ λόγων λυσιτελέστερον· τοῦτο τῶν ἀοιδίμων ἐξοριῶν καὶ φυγῶν τοῦ ἀνδρὸς ἐπάξιον· τοῦτο τῶν πολλῶν ἀγρυπνιῶν καὶ χαμευνιῶν προτιμότερον· ὧν μέχρι τῶν κατορθούντων τὸ κέρδος. » Τὸ δὲ ὅτι οὐχ οὕτω μικρὸν, αὐτός γε αὖθις ἀνωτέρω φησί· « Γένοιτο γὰρ ἀντιπαίδευμα καὶ τοῖς νῦν ἡ πρᾶξις, εἴγε καὶ πρὸς ἐκεῖνον βλέποιμεν. »

A tres hypostases, quorum utrumque pertinax contendendi studium effinxerat. Quid postea? Cum exigua res aliqua quotidie accederet, quæ molestiam afferret, moleste autem ut videretur, contentio faciebat, eo tandem res adducta est, ut periculum esset, ne orbis terrarum fines una cum syllabis abrumperentur. Quæ cum beatus ille vir, et vere homo Dei, magnusque animarum dispensator, oculis auribusque usurparet, tam absurdam et a ratione alienam verbi sectionem dissimulandum ac negligendum sibi non putavit: verum medicinam morbo quam primum adhibet. » Quapropter his absolutis encomiorum plaustra congerit: « Hoc, inquiens, diuturnis illis laboribus et sermonibus longe utilius est. Hoc pervulgatis, atque omni fama celebratis ipsius exsiliis et fugis nihilo inferius existimandum est. Hoc multis vigiliis et chamenniis præstantius, quarum utilitas in his, qui hæc præstant defigitur, nec latius manat: » quæ non adeo pusilla est, ut idem paulo ante dixerat, « Nam his quoque, qui nunc vivunt, hæc actio doctrina esse queat, si ipsum nobis imitandum proponemus. »

Ἀλλὰ ταῦτα μὲν ἐφ' οἷς ὁ τῆς θεολογίας ἐπώνυμος τῷ μεγάλῳ Ἀθανασίῳ τὴν ἐκ τῆς ἐννοίας ὁμοφροσύνην τῆς ἐκ τῶν λέξεων διαφορᾶς προτίθεσθαι συμβουλεύοντι συγκροτεῖ. Ἐγὼ δὲ καὶ ἔτι τὸν τῆς θεολογίας ἐπώνυμον τοῦτον ἐν ἑτέροις πολλῷ μείζοσι συγχωροῦντα παραστήσω σοι τὸ τῶν ὀνομάτων διάφορον. Ἐπειδή γάρ τινας ἑώρα ὑπ' ἀμαθίας διευλαβουμένους τὴν Θεὸς φωνὴν ἐπὶ τῷ ζωοποιῷ καὶ ἁγίῳ Πνεύματι, πᾶν δὲ διδόντας ἕτερον ὄνομα, οὐδὲν ἧττον τὴν αὐτὴν διασημαίνον καὶ δυνάμενον ἔννοιαν, « Αἰσχρὸν μὲν, φησὶν, αἰσχρὸν, καὶ ἱκανῶς ἄλογον κατὰ τὴν ψυχὴν ἐῤῥωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρὸν, ὥσπερ ἄλλοις βασκαίνοντας, αἴσχιον δὲ ἡμῖν, ὃ ἐγκαλοῦμεν παθεῖν, καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα. » Τοιγαροῦν, « Ἀλλὰ ταῖς συλλαβαῖς δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ, καὶ λίθος προσκόμματος ἡμῖν τοῦτο γίνεται καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ Χριστός τισιν· ἀνθρώπινον τὸ πάθος. Συμβῶμεν ἀλλήλοις πνευματικῶς. Γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι. Δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ἡμεῖς τῆς φωνῆς τὴν συγχώρησιν. Ὁμολογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς, αἷς αἰδεῖσθαι μᾶλλον, καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν. Ἔστιν ἃ καὶ τῶν πρὸς ἡδονὴν παρακλέψαντες. »

B Et his quidem, cui a theologia cognomen est, magno Athanasio, ex sententia consensum, differentiæ, quæ ex vocibus oritur, anteponendum esse suadenti assensum præbet. Ego vero præterea hunc ce theologum in rebus etiam aliis majoris momenti nominum diversitatem concedentem tibi ob oculos exhibebo. Cum nonnullos intueretur, ob inscitiam *Dei* vocem de vivifico sanctoque Spiritu refugientes, alia vero aliqua tribuentes, non minus eamdem sententiam exprimens, Turpe est, inquit, turpe est, et perabsurdum, dum animo valemus, longos sermones texere circa vocis sonum, et occulere thesaurum, quasi aliis eum invidentes. Turpius autem est eodem vitio teneri, quod vobis objicimus, atque cum anxiam vestram de minutis rebus contentionem damnemus, litterarum tamen minutias anxie urgere. » Quapropter, « At syllabas moleste fertis, atque ad vocem impingitis, lapisque offensionis et petra scandali hoc vobis efficitur. Nec mirum, cum Christus quoque nonnullis scandalo fuerit. Humanus is quidem affectus. Verum spiritualiter inter nos hanc controversiam transigamus: fraternæ potius charitatis studium, quam nostri amorem præ nobis feramus. Vim divinitatis ac potentiam nobis date, et nos vicissim divinitatis vocem vobis concedamus. Naturam aliis vocibus, quibus plus tribuitis confiteamini: ac vos ut infirmos curabimus, nonnulla vobis grata et jucunda suffurantes. »

Τί δέ; Οὐχὶ καὶ τῷ μεγίστῳ Βασιλείῳ διακενῆς ἐπεγκαλοῦσί τισι διαμέμφεται, καὶ προσεπαινεῖ τὸ τῆς οἰκονομίας ἀπορ�ῥητον, καὶ πᾶσαν τοῖς κακοῦργοις περιαιρῶν πρόφασιν, οὐδὲ τοὺς ἀφελεστέρους συγχωρεῖ βλάπτεσθαι, τὴν χεῖρω περὶ αὐτοῦ δόξαν ἔχοντας. « Ἐκεῖνος γὰρ, φησὶν ὁ θεῖος δηλαδὴ καὶ μέγας Βασίλειος, ἕνεκα μὲν τοῦ ὀρθοῦ, καὶ τῆς κατὰ τὴν ἁγίαν Τριάδα συναφείας καὶ συνθείας, ἢ οὐκ οἶδ' ὅ τι κυριώτερον εἰπεῖν χρὴ καὶ σαφέστερον, μὴ ὅτι θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπεπήδησεν, ἀλλὰ καὶ φυγὴν καὶ θάνατον, καὶ τὰς πρὸ τοῦ θανάτου κολάσεις προθύμως ἐδέξατο ἂν ὡς κέρδος,

Quid præterea? Annon et magnum Basilium frustra criminantes incusat, laudibusque extollit dispensationem illius, quæ vix exprimi potest, et omnem maleficis accusandi ansam præripiens, simpliciores, qui de eo non recte sentiebant, lædi haud permittit? « Ille enim, » ait divinus nempe magnusque Basilius, « pro recta doctrina sanctæque Trinitatis conjunctione, et condeitate, aut si quo magis proprio et perspicuo verbo res ea notari potest, non modo de throno, ad quem nec ab initio quidem cupide prosiliit, exturbari ac dejici, sed etiam exsilio et morte, atque ante variis cru-

Digitized by Google Распознавание текста ABK/FR

ciatibus affici, prompto alacrique animo tulisset, ac lucro potius quam periculo deputasset. Hoc vero ita esse, declarant ea quæ et fecit et passus est, ut qui etiam ob veritatis defensionem exsilio multatus, nihil aliud negotii susceperit, quam uni ex asseclis, ut se acceptis pugillaribus sequeretur, imperaret. Cæterum sermones cum judicio disponere de Davidis consilio et sententia necessarium esse judicabat, ac belli tempus, et hæreticorum principatum aliquantisper tolerare, quoad libertatis tempus successisset, linguæque libertatem ac licentiam attulisset. Illi enim nudam et apertam vocem de Spiritu sancto, quod Deus esset, arripere studebant, quod quidem, tametsi verum erat, impium tamen illis, atque impio impietatis antistiti videbatur, ut eum quidem cum theologica lingua civitate pellerent, ipsi autem Ecclesiam occuparent, eamque sceleris sui propugnaculum efficerent, atque hinc deinde, velut ex arce quadam, id omne quod reliquum erat, popularentur. At ille in aliis quidem vocibus e Scriptura petitis, testimoniisque minime dubiis eamdem vim habentibus, necessariisque argumentis, adversarios ita comprimebat, ut nullo modo repugnare ac contra niti possent : sed, quæ maxima sermonis virtus et prudentia est, propriis vocibus constringerentur : quemadmodum is liber, quem hoc argumento edidit, perspicue ostendet, in quo calamum quasi ex Spiritus pyxide movet. Sed tamen propriam vocem interim usurpare differebat, tum ab ipsomet Spiritu, tum a sinceris ipsius propugnatoribus in gratiæ loco hoc petens, ne hoc suo consilio offenderentur, nec committerent, ut dum unam voculam mordicus retinere conarentur, propter inexplebilem cupiditatem omnia perderent, convulsa nimirum turbulento tempore ac destructa pietate. Ipsos enim nihil ex eo incommodi ac detrimenti accepturos, si vocabula paulum immutarentur, modo aliis verbis eadem docerentur : neque enim salutem nostram in verbis potius quam in rebus consistere ; quippe cum nec Judæi quidem rejiciendi sunt, si ad aliquod tempus pro Christo vocem uncti sibi concedi postulantes, in nostrum numerum atque ordinem ascribi velint. At reipublicæ non posse majorem perniciem ac pestem afferri, quam si Ecclesia ab hæreticis occuparetur. »

A οὐ κίνδυνον. Δηλοῖ δὲ οἷς ἤδη πεποίηκε καὶ οἷς πέπονθεν, ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς ἀληθείας κατακριθείς, τοσοῦτον ἐπραγματεύσατο μόνον, ὅσον ἑνὶ τῶν ἀκολούθων εἰπεῖν, ἁραμένῳ τὸ πυκτίον ἀκολουθεῖν. Οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει τῶν δικαίων ἐνόμιζε, τῷ θείῳ Δαβὶδ περὶ τούτου συμβούλῳ χρώμενος, καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρων, καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας καὶ τῆς αἴθρίας ἐπιλάβῃ καιρός, καὶ δῷ τῇ γλώσσῃ τὴν παῤῥησίαν. Οἱ μὲν γὰρ ἐζήτουν λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἴη Θεός· ὅπερ, ὃν ἀληθὲς, εὐσεβὲς ἐκείνοις ὑπελαμβάνετο, καὶ τῷ κακῷ προστάτῃ τῆς εὐσεβείας, ἵνα τὸν μὲν τῆς πόλεως μετὰ τῆς θεολόγου γλώττης ὑπερορίσωσιν, αὐτοὶ δὲ κατασχόντες B τὴν Ἐκκλησίαν, καὶ τῆς ἑαυτῶν κακίας ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τὸ λειπόμενον ἅπαν, ὡς ἔκτινος ἀκροπόλεως καταδράμωσιν. Ὁ δὲ ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταὐτὸν δυναμέναις, καὶ ταῖς τῶν συλλογισμῶν ἀνάγκαις οὕτως ἤγχε τοὺς ἀντιλέγοντας, ὡς μηδ' ἀντιβαίνειν ἔχειν, ἀλλ' οἰκείαις συνδεῖσθαι φωναῖς· ἥπερ δὴ καὶ μεγίστη λόγου δύναμις καὶ σύνεσις. Δηλώσει δὲ καὶ ὁ λόγος, ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα ὡς ἐκ πυξίδος τοῦ Πνεύματος, τὴν δὲ κυρίαν φωνὴν τέως ὑπερετίθετο, παρά τε τοῦ Πνεύματος αὐτοῦ καὶ τῶν γνησίων τούτου συναγωνιστῶν χάριν αἰτῶν τῇ οἰκονομίᾳ μὴ δυσχεραίνειν, μηδεμιᾶς ἀντεχομένους φωνῆς τὸ πᾶν ἀπο- C λέσαι δι' ἀπληστίαν, τῷ καιρῷ παρασυρείσης τῆς εὐσεβείας. Αὐτοῖς μὲν γὰρ οὐδεμίαν εἶναι ζημίαν ὑπαλλαττομένων μικρὸν τῶν λέξεων, καὶ φωναῖς ἄλλαις τὸ ἴσον διδασκομένοις. Οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον ἢ πράγμασι. Μηδὲ γὰρ τὸ Ἰουδαίων ἔθνος ἀποβαλεῖν ἄν, εἰ, τὴν τοῦ Ἠλειμμένου φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι. Τῷ δὲ κοινῷ μεγίστην ἂν βλάβην γενέσθαι τῆς Ἐκκλησίας κατασχεθείσης. »

Hæc de magno Basilio astipulans Gregorius cognomento Theologus, assensum a se magno Athanasio exhibitum confirmat. Maximus autem, vere maximus, ad Pyrrhum presbyterum scribens, inter alia dicit, « Neque enim voces nihil significantes simpliciter afferimus, sed sententias vocibus exprimimus. Quam ob causam voces sæpenumero deiloquos Patres reperi concedentes, sententias nullo modo, quod non in syllabis, sed sententiis et rebus salutis nostræ mysterium exsistit : illud etenim faciebant, pacis curam gerentes, hoc, animos virtute confirmantes. » Sed vide præterea sanctum magnumque Basilium, quanam ille ratione consona symmystis Spiritus presbyteris scribens pacifice suggerit. Hæc sunt : « Magna est inclinatio temporis ad Ecclesiarum eversionem. Atque id jam diu

D Τοιαῦτα τῷ μεγάλῳ Βασιλείῳ προσμαρτυρῶν ὁ τῆς θεολογίας ἐπώνυμος, τὴν παρ' αὐτοῦ γενομένην συγκρότησιν τῷ Πατρὶ ἡμῶν Ἀθανασίῳ συνίστησιν. Ὁ δὲ μέγιστος Μάξιμος πρὸς Πύῤῥον ἐπιστέλλων πρεσβύτερον, ἔστιν οὗ φησι τῆς ἐπιστολῆς, « Οὐχ ἁπλῶς γὰρ φωνὰς ἀσήμους προφέρομεν, ἀλλ' ἐννοίας ταῖς φωναῖς διασημαίνομεν. Δι' ἣν αἰτίαν φωνὰς μὲν πολλάκις παραχωροῦντας εὗρον τοὺς θεηγόρους Πατέρας, ἐννοίας δὲ οὐδαμῶς· ὅτι μὴ ἐν συλλαβαῖς, ἀλλὰ νοήμασί τε καὶ πράγμασι τὸ τῆς σωτηρίας ἡμῶν ὑπάρχει μυστήριον. Τὸ μὲν γὰρ ἐποίουν εἰρήνης φροντίζοντες, τὸ δὲ ψυχὰς τῇ ἀληθείᾳ στηρίζοντες. » Ἀλλὰ γὰρ ὅρα καθεξῆς καὶ πάλιν τὸν ἱερὸν καὶ μέγαν Βασίλειον, ὅπως καὶ ἐν ἄλλοις αὐτὸς σύμφωνα τοῖς αὐτοῖς συμμύσταις τοῦ Πνεύματος πρεσβυτέροις ἐπιστέλλων εἰρηνικῶς

Digitized by Google Распознавание текста ABK/FR

ὑποτίθεται τάδε· ὡς « Ὁ καιρὸς πολλὴν ἔχει ρο- A quidem est cum intelleximus. Ædificatio autem
πὴν πρὸς καταστροφὴν τῶν Ἐκκλησιῶν, καὶ τοῦτο Ecclesiæ, erratorum correctio, erga fratres, si in-
πολὺν ἔχομεν ἤδη χρόνον, ἐξ οὗ καταμανθάνομεν. firmiores sunt, consensus quidam humanitatis
Οἰκοδομὴ δὲ Ἐκκλησίας, καὶ σφαλμάτων διόρθωσις, plenus, si recte valeant, propugnatio ipsorum
καὶ συμπάθεια μὲν πρὸς τοὺς ἀσθενοῦντας, ὑπερ- salutis, plane nulla, ac ne præsidium quidem,
ασπισμὸς δὲ πρὸς τοὺς ὑγιαίνοντας τῶν ἀδελφῶν quod aut præsentem morbum curare queat, aut
οὐδὲ εἷς, ἀλλ' οὔτε βοήθημα, ἢ θεραπευτικὸν τῆς impendentem propulsare. Omninoque similis jam
προκατασχούσης νόσου ἢ προφυλακτικὸν τῆς προσ- est Ecclesiæ status, ut similitudine utar, quamvis
δοκωμένης οὐδέν. Καὶ ὅλως ἔοικε λοιπὸν ἡ τῆς vilior videri possit, evidenti tamen, veteri vesti-
Ἐκκλησίας κατάστασις, ἵνα ἐναργεῖ χρήσωμαι τῷ mento, quod vel levi de causa facile discinditur,
ὑποδείγματι, κἂν εὐτελέστερον εἶναι δοκεῖ, ἱματίῳ pristinam vero soliditatem recuperare nullo pacto
παλαιῷ ὑπὸ τῆς τυχούσης προφάσεως ῥᾳδίως κα- potest. Igitur in tali tempore, magnum studium
τερρηγνυμένῳ, ὃ πρὸς τὴν ἐξ ἀρχῆς ἰσχὺν ἐπανελ- magnaque diligentia opus est in quibusdam Eccle-
θεῖν πάλιν ἀδυνατεῖ. Ὡς οὖν ἐν καιρῷ τοιούτῳ siis juvandis: juvabuntur autem, si quæ nunc
μεγάλης χρεία τῆς σπουδῆς, καὶ πολλῆς τῆς ἐπι- divulsa sunt, conjungantur; conjungentur, si qui-
μελείας εὐεργετηθῆναί τι τῆς Ἐκκλησίας. Εὐεργε- B bus in rebus nullum animabus detrimentum affe-
σία δέ ἐστιν ἑνωθῆναι τὰ τέως διεσπαρμένα. rimus, voluerimus nos infirmioribus accommodare
Ἕνωσις δ' ἂν γένοιτο, εἰ βουληθείημεν, ἐν οἷς μη- et obsequi. Quoniam igitur multorum ora sese
δὲν βλάπτομεν τὰς ψυχὰς συμπεριενεχθῆναι τοῖς adversus Spiritum sanctum aperuerunt, multo-
ἀσθενεστέροις. Ἐπεὶ οὖν πολλὰ στόματα ἤνοικται rumque linguæ ad jaciendum in illum blasphe-
κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ πολλαὶ γλῶσσαι mias se acuerunt, optimum factu esse ducimus, ut
εἰς τὴν κατ' αὐτοῦ βλασφημίαν, ἀξιοῦμεν ἡμᾶς, quantum in vobis est, blasphemorum numerum
ὅσον ἐστὶν ἐφ' ἡμῖν, εἰς ὀλίγον ἀριθμὸν περιστῆναι minuatis, et ad paucos redigatis: atque eos, qui
τοὺς βλασφημοῦντας, καὶ τοὺς μὴ λέγοντας κτίσμα Spiritum sanctum creaturam esse negant, in com-
τὸ Πνεῦμα τὸ ἅγιον δέχεσθαι εἰς κοινωνίαν, ἵνα munionem recipiatis, ut soli relinquantur blas-
μόνοι καταλειφθῶσιν οἱ βλάσφημοι. » Καὶ μετά phemi.» Et post pauca: « Ergo nihil ultra quæra-
τινα· « Μηδὲν τοίνυν πλέον ἐπιζητῶμεν, ἀλλὰ προ- mus, sed fratribus, qui nobiscum coire societatem
τεινώμεθα τοῖς βουλομένοις ἡμῖν συνάπτεσθαι ἀδελ- volunt, fidem, quæ Nicææ sancita est, propona-
φοῖς τὴν ἐν Νικαίᾳ πίστιν· κἂν ἐκεῖνοι σύνθωνται, mus, ac si in ea conveniant, illud quoque exiga-
ἐπερωτῶμεν καὶ τὸ μὴ δεῖν λέγεσθαι κτίσμα τὸ C mus, Spiritum sanctum neque creaturam dici
Πνεῦμα τὸ ἅγιον, μηδὲ κοινωνικοὺς αὐτῶν εἶναι oportere, neque eos, qui dicunt, in communionem
τοὺς λέγοντας. Πέρα δὲ τούτων ἀξιῶ μηδὲν ἐπιζη- ipsis esse recipiendos. Nihil aliud est, quod præter-
τεῖσθαι παρ' ἡμῶν. Πέπεισμαι γὰρ ὅτι τῇ χρονιω- ea nobis inquirendum censeam. Persuasi enim
τέρᾳ συνδιαγωγῇ, καὶ τῇ ἀφιλονείκῳ συγγυμνασίᾳ, mihi, si quid etiam est, quoad ampliorem eviden-
καὶ εἴ τι δέει πλέον προστεθῆναι εἰς τράνωσιν, δώ- tiam addito opus sit, id frequenti collationi, mini-
σει ὁ Κύριος ὁ πάντα συνεργῶν εἰς ἀγαθὸν τοῖς mæque contentiosæ inter nos exercitationi datu-
ἀγαπῶσιν αὐτόν. » Συνῳδὰ τούτῳ καὶ ὁ θεῖος αὖθις rum esse Dominum, qui ipsum diligentibus omnia
γνωματεύει Γρηγόριος, ἔν γε τῷ πρώτῳ τῶν αὐτοῦ cooperatur in bonum. » Huic consona et divinus
Εἰρηνικῶν, ἔνθα ἐξ αὐτῶν προοιμίων οὕτω πως plane Gregorius præscribit prima oratione de pace,
ἄρχεται· « Λύει μοι τὴν γλῶσσαν ἡ προθυμία, καὶ in qua ipso statim procœmio exorditur, « Linguam
περιφρονῶ τὸν ἀνθρώπινον νόμον διὰ τὸν νόμον τοῦ meam solvit alacritas, legemque humanam propter
Πνεύματος· οὔτε νωθέστερον εἶναι λέγων τοῦ με- Spiritus legem contemno, nec segniorem, *inquiens*,
ρίου καλὸν, οὔτε θερμότερον, ὡς ἢ δι' εὐκολίαν quemquam esse debere, quam par sit, nec ferven-
πᾶσι συμφέρεσθαι, ἢ δι' ἀταξίαν πάντων ἀποστατεῖν. tiorem: ita ut vel ob levitatem ad omnes se aggre-
Ὁμοίως γὰρ καὶ τὸ νωθὲς ἄπρακτον, καὶ τὸ εὐκί- D get, vel ob temeritatem et insolentiam ab omnibus
νητον ἀκοινώνητον. Ἀλλ' οὗ μὲν ἂν ᾖ πρόδηλα τὰ se removeat; æque enim, et iners segnities est, et
τῆς εὐσεβείας, καὶ πυρὶ, καὶ σιδήρῳ, καὶ καιροῖς, mobilitas atque inconstantia a societate et commu-
καὶ δυνάσταις, καὶ πᾶσι πρότερον ὁμόσε χωρητέον nione aliena: verum ubi aperte se prodit impietas,
ἢ τῆς ζύμης μεθεκτέον τῆς πονηρᾶς, καὶ συγκατα- tum vero nobis faciendum esse, ut adversus ignem
τετέον τοῖς κακῶς ἔχουσιν· οὗ δὲ τὸ λυποῦν ὑπό- et ferrum, et tempora, et principes, ac denique prius
κωκα καὶ φόβος ἀνεξέταστος, βέλτιον τοῦ τάχους ἡ adversus omnia cominus feramur, quam ut mali
μακροθυμία καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις. fermenti participes afficiamur, ac male affectis as-
Καὶ πολλῷ κρεῖττον καὶ λυσιτελέστερον, ἐν τῷ sentiamur. At cum suspicio sola animum nostrum
κοινῷ σώματι μένοντας, καταρτίζειν ἀλλήλους, ὡς male habet, timorque nullis certis argumentis
ἀλλήλων μέλη καταρτίζεσθαι, ἢ καταγνόντας διὰ innixus, tum vero lenitatem potius quam celeritа-
τῆς ἀποστάσεως, καὶ τὸ ἀξιόπιστον τῷ χωρισμῷ tem, et indulgentem demissionem potius quam
ἰώσαντας, ἔπειτα ἐξ ἐπιτάγματος ὥσπερ τυράννους, arrogantiam et contumaciam adhibere convenit:
ἀλλ' οὐκ ἀδελφοὺς νομοθετεῖν τὴν διόρθωσιν. » Ὁ multoque melius et conducibilius est, ut in com-
αὐτὸς ἐν θεολογίᾳ μέγας Γρηγόριος καὶ ἐν τῷ τρίτῳ munі corpore manentes, mutuo nos ipsos tanquam

Digitized by Google Распознавание текста ABK/FR

alii aliorum membra, corrigamus, atque corrigamur, quam ut præjudicio per secessionem facto, et auctoritate per separationem amissa, ex edicto postea, velut tyranni et non fratres correctionem imperemus. » Idem in theologia magnus Gregorius tertia oratione de Pace, cujus principium, « Pax amica, et non re duntaxat, sed nomine quoque ipso jucunda, » hæc in progressu orationis habet : « Quid hæc committimus, fratres? et quandiu committemus? Quando ab hac crapula emergemus? aut hanc oculorum lemen detrahemus, atque ad veritatis lumen suspiciemus? Quæ hæc caligo est? Quis hic nocturnus conflictus? Quæ hæc tempestas, amicos ab hostibus non intermovens? Cur vicinis nostris opprobrium facti sumus, subsannatio et derisio his, qui in circuitu nostro sunt? Quodnam hoc tam obnixum mali studium? Quid tam immortali labore fatigamur? Quid autem dico fatigamur? imo ex ipso malo, ut furiosi solent, robur comparamus, et cum absumimur, gaudemus, nec usquam est ratio, nec amicus, nec socius, nec medicus, qui morbum vel medicamentis pellat, vel amputet, nec opituletur angelus, nec Deus : verum præter alia, Dei quoque benignitatem nobis præclusimus. « Ut quid, Domine, recessisti longe [a]? Quomodo averteris in finem? Quando nos visitabis? Quonam hæc progredientur, et ubi consistent? Equidem vereor, ne præsens rerum status ignis illius in exspectatione positi fumus quidam sit : ne his Antichristus superveniat, ac nostros lapsus et morbos in principatus sui occasionem arripiat : nec enim, opinor, sanos adorietur, nec charitate septos et munitos. » Et paucis interjectis : « Quænam ne quærenda quidem omnino sunt, quænam mediocriter, quænam contentiosis hominibus concedenda et relinquenda, quoquo modo tandem se habeant, utpote nullum doctrinæ nostræ detrimentum afferentia? Quænam fidei soli donanda? Quænam etiam ratiocinationibus, pro quibus denique acri animo pugnandum sit, rationibus tamen, non ferro atque armis? Nam adversas quoque manus attollere, prorsus a causa nostra alienum est, atque ad eos, qui nobis infensi sunt, abjiciendum. Non unam hanc pietatis regulam nobis propositam esse ducemus, ut Patrem, Filium et Spiritum sanctum, unam in tribus personis Deitatem, et potentiam adoremus, nihil supercolentes, aut subcolentes : libet enim nonnihil eos imitari, qui in rebus sciti ac solertes sunt; alterum enim fieri non potest, alterum nefarium et impium est : nec magnitudinem unam per nominum novitatem discindentes : nec enim quidquam seipso majus aut minus est. Hoc quippe posito et constituto, cæteris etiam in rebus consentiemus, saltem qui eamdem Trinitatem colimus, atque ejusdem pene dogmatis et corporis sumus, ac superfluos et inutiles quæstionum hujusce tempestatis stolones ac deflexus, tanquam communem quemdam morbum exscindemus, et de medio tollemus. » Sed documenta Ecclesiæ luminum, quibus, ut videntur, admonent, vocum differentias negligendas esse, cum sententiæ unus

A Εἰρηνικῷ, οὗ ἡ ἀρχὴ, « Εἰρήνη φίλη τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, » οὕτω φησὶ πρώτων· « Τί ταῦτα, ὦ οὗτοι, καὶ μέχρι τίνος; Πότε δὲ τῆς μέθης ἐκνήψομεν, ἢ τῶν ὀφθαλμῶν τὴν λήμην περιαιρήσομεν, καὶ πρὸς τὸ τῆς ἀληθείας; φῶς ἀναβλέψομεν; Ποῖα σκοτόμαινα ταῦτα, τί; νυκτομαχία, τίς ζάλη φίλων καὶ πολεμίων δψιν οὐ διακρίνουσα; Διατί γεγόναμεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν; Τίς ἡ φιλοτιμία τοῦ κακοῦ; Πόθεν οὕτως ἀθάνατα κάμνομεν; μᾶλλον δὲ οὐδὲ κάμνομεν, ἀλλ' ἐρρώμεθα τῷ κακῷ; Μαινομένων τὸ πάθος, καὶ ἡδόμεθα δαπανώμενοι. Καὶ οὐδαμοῦ λόγος, οὐ φίλος, οὐ σύμμαχος, οὐκ ἰατρὸς, ἢ φαρμακεύων ἢ ἐκτέμνων τὸ πάθος, οὐ παραστάτης ἄγγελος, οὐ Θεός· ἀλλὰ πρὸς B τοῖς ἄλλοις καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἡμῖν αὐτοῖς ἐπεκλείσαμεν. « Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, καὶ πῶς ἀποστρέφῃ εἰς τέλος; » καὶ πότε ἐπισκοπὴν ἡμῶν ποιήσῃ; Καὶ ποῦ προβήσεται ταῦτα, καὶ στήσεται; Δέδοικα μὴ καπνὸς ᾖ τοῦ προσδοκωμένου πυρὸς τὰ παρόντα· μὴ τούτοις ὁ Ἀντίχριστος ἐπιστῇ, καὶ καιρὸν λάβῃ τῆς αὐτοῦ δυναστείας τὰ ἡμέτερα πταίσματά τε καὶ ἀῤῥωστήματα. Οὐ γὰρ ὑγιαίνουσι προσβαλεῖ τυχὸν, οὐδὲ τῇ ἀγάπῃ πεπυκνωμένοις. » Καὶ μετὰ βραχέα· « Οὐ διαῤῥήσομεν ἡμῖν αὐτοῖς τίνα μὲν οὐ ζητητέον παντάπασι, τίνα δὲ ὑπὲρ ὧν μετρίως, τίνα δὲ συγχωρητέον, καὶ παραιτητέον τοῖς φιλέρισιν, ὅπως ἂν ἔχῃ ὡς οὐδὲν τὸν λόγον ἡμῶν παραβλάπτοντα; καὶ τίνα μὲν τῇ πίστει δοτέον μόνῃ, τίνα δὲ καὶ τοῖς λογισμοῖς; C Ὑπὲρ δὲ τίνων καὶ πολεμητέον ἐκθύμως, λογικῶς, ἀλλ' οὐχ ὁπλιτικῶς; Τὸ γὰρ καὶ χεῖρας ἀνταίρειν παντελῶς ἔξω τῆς ἡμετέρας αὐλῆς, καὶ τοῖς μισοῦσιν ἡμᾶς ἀπορῤῥιπτέον. Οὐχ ἵνα μὲν ὅρον εὐσεβείας ἡγησάμεθα προσκυνεῖν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὴν μίαν ἐν τοῖς τρισὶ θεότητά τε καὶ δύναμιν μηδὲν ὑπερσέβοντες, μηδὲ ὑποσέβοντες, ἵνα καὶ αὐτὸς μικρόν τι μιμήσωμαι τοὺς περὶ ταῦτα σοφούς. Τὸ μὲν γὰρ ἀδύνατον, τὸ δὲ ἀσεβὲς, μηδὲ μέγεθος ἐν ὀνομάτων κενότησι διακόπτοντες. Οὐδὲν γὰρ ἑαυτοῦ μεῖζον ἢ ἔλαττον. Τούτου γοῦν ὡρισμένου, καὶ τὰ ἄλλα ὁμονοήσωμεν, ἥγουν τῆς αὐτῆς Τριάδος καὶ τοῦ αὐτοῦ σχεδὸν δόγματός τε καὶ σώματος. Τὰς δὲ περιττὰς καὶ ἀχρήστους παραφυάδας καὶ παρεξόδους τῶν νῦν ζητημάτων, ὥσπερ D τι νόσημα κοινὸν ἐκκόψομέν τε καὶ ἀναιρήσομεν. » Ἀλλ' αἱ μὲν ὑποθῆκαι τῶν τῆς Ἐκκλησίας φωστήρων, καθ' ἃς ὑποτιθέμενοι φαίνονται τὸ τῶν λέξεων διάφορον παρορᾶν, ὁπότε ἡ πρὸς ἔννοιαν ὁμοφροσύνη μέσον τῶν ἀπὸ Χριστοῦ κοινῇ καλουμένων ἐθνῶν καὶ ἀνδρῶν ἀναφαίνοιτο, τόσαι τε καὶ τοιαίδε, ἢ μᾶλλον οὐ τόσαι, ἐπεὶ καὶ ἄλλαι ἄλλων πολλαὶ, ὧν τὴν ἐνταῦθα ἔκθεσιν παρείδομεν διὰ τὸ πολύστιχον.

[a] Psal. x, 1; xii, 1.

Digitized by Google Распознавание текста ABBYY FR

consensus, inter nationes et vires a Christo communi nomine compellatos, intercedit, tot ac talia, imo neque tot, cum et alia aliorum permulta sint, quæ ob prolixitatem nimiam non exscribimus.

ια'. Ἐπεὶ δὲ ἡ τοῦ μεγάλου Ἀθανασίου ὑποθήκη τῶν ἄλλων προτέτακαι, δεῖ σκοπῆσαι ἡμᾶς, ὅσην εἶχε διαφορὰν πρὸς τὴν λέξιν, ἐξ ἧς τὸ μέσον ἡμῶν τε καὶ Ἰταλῶν σκάνδαλον ἀνερράγη, ἡ τῶν λέξεων ἐκείνων δύναμις, ἐφ' αἷς ὁ ἰσάγγελος οὗτος Ἀθανάσιος τὴν καταλλαγὴν τῶν Ἐκκλησιῶν ἐποιήσατο· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐχὶ ἄλλων, ἀλλὰ τούτων αὐτῶν ἐθνῶν τε καὶ ἐκκλησιῶν, περὶ ὧν νῦν ὁ λόγος ἡμῖν. Τὸ γὰρ ἐκείνους μὲν μίαν ὑπόστασιν λέγειν, τοὺς δ' ἡμετέρους τρεῖς ἐπὶ τῆς Τριάδος τὰς ὑποστάσεις κηρύττειν, τὸ διαφορώτατον τῶν δογμάτων ἐδόκει. Σαβελλιανισμὸς γὰρ καὶ Ἀρειανισμὸς ἦν τὸ ὑποπτευόμενον. Ἀλλ' ὁ καλὸς οὗτος τῶν ψυχῶν οἰκονόμος οὐ πρὸς τὰς λέξεις, ἀλλὰ πρὸς τὴν διάνοιαν βάψας τὸν νοῦν, τοσαῦτα καὶ εἶπε, καὶ ἔγραψεν, ὅσα δὴ καὶ προανατέτακται. Ἐνταῦθα δὲ τοῖς ἀφιλονείκως ἐνδιαιτῶσι τῷ πράγματι πολλὴν ἡ λέξις ἔχει πρὸς τὴν καταλλαγὴν τὴν ῥοπήν. Καὶ τοῦτο συνιδεῖν ἔστι τοῖς προσεκτικώτερον διασκοπεῖν βουλομένοις, τί μὲν αἱ λέξεις ἐκεῖναι ἐπὶ τῇ τῆς Τριάδος θεολογίᾳ ἠδύναντο, ὧν τὴν ἐκφώνησιν παριδὼν, τὴν ἔννοιαν εἰς καταλλαγὴν παρέλαβε τῶν ἐκκλησιῶν ὁ τῆς Ἀθανασίας ἐπώνυμος· τί δὲ καὶ αἱ λέξεις αὗται διάφορον ἔχουσιν ἐφ' αἷς νῦν αἱ αὐταὶ Ἐκκλησίαι εἰς ἄσπονδον τὸ κατ' ἀλλήλων μῖσος ἀνήφθησαν. Ἐκεῖ μὲν γὰρ δόγμα ἐδόκει παρασαλεύεσθαι δεδοκιμασμένον ὑπὸ Πατέρων, καὶ εἰς ὁμολογουμένην διαφορὰν τῇ Ἐκκλησίᾳ παραδοθὲν (τίς γὰρ τῶν τότε μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις ἐπὶ τῆς ἁγίας Τριάδος ἀκούων, τὸ τῆς ὑποστάσεως καὶ οὐσίας οὐκ ᾔδει διάφορον;) ἐνταῦθα δὲ οὐδεὶς οὐδέποτε τῶν παρ' ἡμῖν θεολόγων εἶπε, τὸ μὲν *ἐκπορεύεσθαι*, τὸ οὐσιωδῶς ἐκ Θεοῦ ὑπάρχειν τὸ Πνεῦμα δηλοῦν· τὸ δὲ προΐέναι τε, καὶ προέρχεσθαι, προχεῖσθαί τε καὶ ἐκπέμπεσθαι, ἄλλο τι δηλοῦν παρὰ τὸ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ. Ἀλλ' ὅμως οὕτω τῆς διαφορᾶς οὐσίας τε καὶ ὑποστάσεως ἀνομολογουμένης τοῖς τότε ὁ θεοείκελος Ἀθανάσιος τὴν τοιαύτην διαφορὰν παρ' ἐκείνοις εἰς διαφορὰν ἀφῆκε λογίζεσθαι, παρ' οἷς καὶ εἰς διαφορὰν ἅπαξ ἐγνώσθη καὶ ἐλογίσθη διὰ τὸ τῆς γλώσσης πλατύ. Ὧν δὲ τὸ ἑτερόγλωσσον στενόν τε τῆς προφορᾶς παραίτια ἰδικῆς τῶν λέξεων χρήσεως ᾔδει, ἀλλὰ τούτοις ἡμέρως προσφερόμενος καὶ ἀδελφικῶς, τὸν νοῦν τῶν λέξεων ἀνηρεύνα, καὶ τὸν τῆς ἐκφωνήσεως παρορῶν ἦχον, τὸν τῆς διανοίας ἐτρύγα καρπὸν, ἔργον τοῦτο ποιῶν ἀνδρὸς Χριστὸν μιμουμένου, λίθον τὸν ἀκρογωνιαῖον, τὸν τὰ διεστῶτα συνδήσαντα καὶ συνάψαντα. Ἀλλ' ἐκεῖ μὲν ὅ τι ἀνακρινόμενοι παρ' αὐτοῦ Ἰταλοὶ ἀπελογήσαντο; Ὑπόστασιν μὲν λέγομεν ἡγούμενοι ταυτὸν εἶναι εἰπεῖν ὑπόστασιν καὶ οὐσίαν· μίαν δὲ φρονοῦμεν διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως, ἀσπασίως ὁ Ἅγιος τὴν ἀπολογίαν προσήκατο, καὶ τὴν παρ' ἡμῖν δεδογματισμένην τῆς οὐσίας καὶ ὑποστάσεως διαφορὰν παριδὼν, τὴν ἐπὶ τῷ συμφώνῳ τῆς ἑν-

11. Verumtamen cum magni Athanasii monitum reliquis præpositum sit, considerandum est a nobis, quænam esset differentia inter vocem ob quam scandalum nos atque Italos turbans suscitatum est, et earum vocum vim quibus angelis compar profligato dissidio Ecclesias reconciliavit; et, quod non sine admiratione dicitur, non aliarum, sed harum nationum, et Ecclesiarum, de quibus nos sermonem instituimus. Namque eos unam hypostasim, nostros tres in Triade asserere, dogmatum eamque maximam differentiam importare videbatur. Sabellianismus etenim vel Arianismus, quod suspicabatur, erat. Sed prudens hic animarum curator non ad voculas, sed ad sententiam mentem intendens, tot enuntiavit, et scripsit, quot supra designata sunt. Hic vero, qui absque contentione et rixa res peragunt, multum ad conciliandam pacem dictio confert, hocque deprehendere possunt, attentius negotium dijudicare non recusantes, quas voces illæ, dum de Triade ageretur, vires habebant, quorum pronunciationem contemnens, sententiam ad pacandas Ecclesias arripuit, cui ab immortalitate nomen est, et quo discrimine disjunguntur hæ, pro quibus nunc eædem Ecclesiæ, in sui odium fere inexpiabile inflammantur. Namque ibi dogma videbatur comprobatum a Patribus, et indubitatæ certæque notæ in Ecclesia, dimovi. (Quis enim id temporis unam essentiam et tres hypostases in sancta Triade audiens, hypostaseos et essentiæ discrimen non agnoscebat?) at hic nemo unquam ex nostris theologis affirmavit, *Procedere*, quod ex Deo essentialiter spiratum esse innuit, progredi vero, provenire, effundique et emitti aliud quidpiam notare, quam essentialiter esse Spiritum ex Patre. Nihilominus essentiæ atque hypostasis differentia nulli ex iis, qui tum erant, controversa, divinus Athanasius differentiam apprehendi concessit, apud quos differentia semel esse innotuerat, et invalucrat propter linguæ abundantiam, quorum vero linguam propter sui inopiam peculiarem earum vocum usum induxisse cognoverat, cum illis pacate fraterneque se gerens, vocum sententiam investigabat, et prolationis sonum minime curans, intentionis fructum decerpebat, opus plane molitus viri Christum æmulantis, angularem lapidem, qui disjuncta colligavit, copulavitque. Et ibi, quid interrogati ab eodem Itali responderunt? Hypostasim dicimus, idem esse hypostasim et essentiam existimantes, unam vero tenemus, quod ex essentia Patris Filius est, et propter eamdem naturam. Æquo animo sanctus responsionem admisit, et quod apud nos erat decretum, essentiæ et hypostasis discrimen negligens, cum sententiæ concordassent, Ecclesiarum unionem pie perfecit. Hic autem cum nullum a Patribus asseratur discrimen in explicando naturaliter et essentialiter Spiritum esse ex Deo, in

Digitized by Google Распознавание текста ABBYY FR

vocibus hisce *procedere*, *progredi*, *effundi*, (namque una omnes essentialiter esse ex Deo Spiritum notant) juniores theologi, et, ut sibi videntur, Patribus dogmatistæ securiores, ex se ipsis differentias confingunt; et fictis hisce differentiis cum Romana Ecclesia contendente, ex Patre et Filio dici Spiritum, quod opinatur, nullum discrimen esse, sive dicas, ex Patre et Filio Spiritum sanctum progredi, sive ex Patre et Filio effundi, et provenire sive ex Patre et Filio illum procedere, cum voces hæ universæ, essentialiter esse Spiritum ex Deo et Patre significent, reconciliationem respuunt. Et unum hoc potissimam dissidii causam statuentes, duas scilicet causas esse Patrem et Filium, si quis ex Patre et Filio dicat Spiritum sanctum procedere, omnibus reliquis sententiam hanc oppugnantes aures substringunt. Itali si quidem non tantum illius, procedere, et progredi, provenire et effundi indifferens quantum ad sententiam, ad significandum, essentialiter esse Spiritum ex Deo, respondentes proponunt, se nempe non duas Spiritus causas asserere, quod apud nos Græcos in confesso sit, duas esse causas Spiritus, dum asseritur ex Patre et Filio Spiritum progredi et provenire. Quinimo et magni Basilii theologicam illam sententiam, in hujus orationis exordio appositam, omnia insinuantem, quæ Filii sunt, ad primam causam Patrem referri, tanquam validum firmamentum propriæ responsionis collocantes, non duas processionis causas dicere contendunt, quod magno Basilio auctore, quidquid a Filio dicitur esse, in primam causam Patrem reducitur. Latini itaque non absque ratione, ita responsionibus comparatis, ecclesiasticam pacem ambiunt : sed sectatores schismatis, ad nullum ex illis, quæ cum ratione proponuntur, animum advertunt. Et tamen divinissimus Athanasius Romanæ Ecclesiæ filios, unam hypostasim asseverantes Patrem et Filium, quod ex essentia Patris Filius esset, et propter unitatem naturæ, et uti pie sentientes complexus, et uti orthodoxos exosculatus est. Quis Jeremias hoc temporis ploraret, et plangeret, non ut ille super turrium et murorum disjectu antiquæ Jerusalem, sed super vastitate atque direptione filiarum nostræ Jerusalem, Ecclesiarum nempe subversione, quas in perditionem rapinamque Agaris nepos exposuit, nullam aliam ob causam quam solum ob hoc Ecclesiarum dissidium. Sed heus tu, qui zelum Athanasii, quod utinam nunquam tibi arrogasses, superas! Athanasius Romanam Ecclesiam, unam hypostasim dicentem, Patrem et Filium, quod ex essentia Patris Filius est, et propter unam naturam in communionem recipit, et in hanc eamdem Ecclesiam rejicis, ex Patre et Filio asserentem Spiritum procedere, quod teneat nullum discrimen esse, sive dicas ex Patre et Filio cum progredi et provenire sive ex Patre et Filio procedere, propter voces unum idemque significantes, quæ universæ in his communiter innuunt, essentialiter ex Deo

A νοίας καταλλαγὴν τῶν Ἐκκλησιῶν θεοφιλῶς ἀπειργάσατο. Ἐνταῦθα δὲ καὶ μηδεμιᾶς ῥηθείσης διαφορᾶς παρά τινος τῶν Πατέρων εἰς τὴν δήλωσιν τοῦ φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα ἐκ Θεοῦ, ἐπὶ ταῖς λέξεσι ταύταις, ταῖς τοῦ *ἐκπορεύεσθαι* δηλαδὴ, καὶ *προέρχεσθαι*, καὶ *προχεῖσθαι* (κοινῶς γὰρ ἅπασαι) τὸ οὐσιωδῶς ὑπάρχειν δηλοῦσι τὸ Πνεῦμα ἐκ Θεοῦ, οἱ νέοι θεολόγοι, καὶ κατὰ τὸ δοκοῦν αὐτοῖς ἀσφαλέστεροι τῶν Πατέρων δογματισταὶ, διαφορὰς ἀφ' ἑαυτῶν ἀναπλάττουσιν· καὶ

B ταῖς πεπλασμέναις ταύταις διαφοραῖς τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καταλλαγὴν οὐ προσίενται, διισχυριζόμενοι ἐκ Πατρὸς καὶ Υἱοῦ λέγειν τὸ Πνεῦμα, διὰ τὸ ἡγεῖσθαι μηδὲν διαφέρειν εἰπεῖν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα προέρχεσθαι, ἐκ Πατρὸς καὶ Υἱοῦ προχεῖσθαι, καὶ προΐέναι, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι, ἅτε τῶν λέξεων τούτων ἁπασῶν δηλουσῶν τὸ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ. Ἀλλ' ἐν τοῦτο αἰτιώτατον τῆς διαστάσεως προβαλλόμενοι, τὸ δύο τοῦ Πνεύματος αἰτίας ἀναφαίνεσθαι τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἐάν τις ἐκ Πατρὸς καὶ Υἱοῦ λέγῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, πρὸς πᾶν ἄλλο τῇ ἐννοίᾳ ταύτῃ διαμαχόμενοι βούουσι τὰ ὦτα. Ἰταλοὶ γὰρ οὐ μόνον τὸ τοῦ ἐκπορεύεσθαι πρὸς τὸ προχεῖσθαι, προΐέναι τε, καὶ προέρχεσθαι ἀδιάφορον, ὅσον ἐπὶ τῇ σημασίᾳ τοῦ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα

C ἐκ Θεοῦ, εἰς ἀπάντησιν προβάλλονται τοῦ μὴ δύο τὰς αἰτίας δοξάζειν τοῦ Πνεύματος, διὰ τὸ καὶ παρὰ τοῖς Γραικοῖς ὁμολογεῖσθαι ἡμῖν δύο εἶναι τὰς αἰτίας τοῦ Πνεύματος ἐν τῷ ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα προΐέναι τε καὶ προέρχεσθαι· ἀλλὰ καὶ τὴν τοῦ μεγάλου Βασιλείου θεολογικὴν ἐκείνην ἔννοιαν, ἥτις ἐν ἀρχαῖς τοῦ παρόντος λόγου διείληπται, τὴν πάντα δηλοῦσαν τὰ τοῦ Υἱοῦ πρὸς τὴν πρώτην αἰτίαν ἀναφέρεσθαι τὸν Πατέρα, ἐν ἰσχυρῷ τῆς αὐτῶν ἀπολογίας τιθέασιν, μὴ δύο τῆς ἐκπορεύσεως αἴτια λέγειν διενιστάμενοι, διὰ τὸ κατὰ τὸν μέγαν Βασίλειον, πᾶν εἴ τι παρὰ τοῦ Υἱοῦ λέγεται εἶναι, εἰς τὴν πρώτην αἰτίαν ἀναφέρεσθαι τὸν Πατέρα. Λατῖνοι μὲν οὖν εὐλόγως οὕτω τὰς ἑαυτῶν ἀπολογίας τιθέμενοι, τὴν Ἐκκλησιαστικὴν εἰρήνην μεταδιώκουσιν· οἱ δὲ τοῦ σχίσματος σπουδασταὶ πρὸς οὐδὲν τῶν οὕτως εὐλόγως προτεινομένων ἀνέχονται ἐπιστρέφεσθαι. Ὁ δὲ θειότατος

D Ἀθανάσιος οὗτος τῆς Ῥωμαϊκῆς Ἐκκλησίας υἱοὺς μίαν ὑπόστασιν λέγοντας τὸν Πατέρα καὶ τὸν Υἱὸν, διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως, καὶ ὡς εὐσεβεῖς ἠγκαλίσατο, καὶ ὡς ὀρθοδόξους περιεπτύξατο. Ὦ τίς Ἱερεμίας ἔσται καὶ νῦν, καὶ θρηνήσει καὶ κόψεται, οὐχ ὡς ἐκεῖνος ἐπὶ τῇ καταβολῇ τῶν πυργωμάτων, καὶ τῶν βάρεων τῆς παλαιᾶς Ἱερουσαλὴμ, ἀλλ' ἐπὶ προνομῇ τε καὶ ἁρπαγῇ τῶν τῆς καθ' ἡμᾶς Ἱερουσαλὴμ θυγατέρων, τῇ καταστροφῇ, φημὶ, τῶν Ἐκκλησιῶν, ἃς εἰς φθορὰν καὶ διάρπαγμα ὁ ἀσεβὴς τῆς Ἄγαρ ἀπόγονος ἔθετο ἐπ' οὐδενὶ ἄλλῳ αἰτίῳ, ἀλλ' ἢ ἐπὶ μόνῳ τούτῳ τῷ σχίσματι τῶν Ἐκκλησιῶν; Ἀλλ', ὦ σὺ, ὁ τὸν Ἀθανασίου

Digitized by Google Распознавание текста ABK/FR

ζῆλον, ὡς μὴ ὤφελες, ὑπεραναβὰς, Ἀθανάσιος τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν εἰς κοινωνίαν προσίεται, μίαν ὑπόστασιν λέγουσαν τὸν Πατέρα καὶ τὸν Υἱὸν, διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως, καὶ σὺ τὴν τοιαύτην ἀπωθῇ Ἐκκλησίαν, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα λέγουσαν ἐκπορεύεσθαι, διὰ τὸ ἠγεῖσθαι μηδὲν διαφέρειν εἰπεῖν ἐκ Πατρὸς καὶ Υἱοῦ αὐτὸ προϊέναι τε καὶ προέρχεσθαι, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι διὰ τὸ τῶν λέξεων ἰσοδύναμον, ἐφ' οἷς ἅπασαι αὗται δηλοῦσι κοινῶς τὸ οὐσιωδῶς ἐκ Θεοῦ τὸ Πνεῦμα ὑπάρχειν. Ἔτι δὲ διὰ τὸ τῷ μεγάλῳ πείθεσθαι Βασιλείῳ, « πᾶν τὸ παρὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα λέγοντι ἀναφέρεσθαι · » ὅπερ εἰς ἀνατροπὴν μὲν τῆς δυαρχίας, κατασκευὴν δὲ τῆς μοναρχίας ὁ Ἅγιος οὗτος κατὰ τὸ πάντη πρόδηλον εἰρηκεν. Σὺ δ' ἀλλ' εἰ μὴ τὸν μέγαν διαγινώσκεις Βασίλειον, ἐν οἷς λέγει τὸ παρὰ τοῦ Υἱοῦ εἶναι λεγόμενον, πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχειν, κατασκευάζοντα τὴν τῆς δυαρχίας ἀνατροπὴν, καὶ τὴν τῆς μιᾶς ἀρχῆς παρεισάγοντα ἔννοιαν, ἀλλ' ἀκριβῶς ἐπιστήσας οἷς ὁ ἅγιος ἐκεῖ λέγει, εἰς τάχος ἐλεύσῃ πρὸς τὴν τούτων διάγνωσιν. Σκόπει γάρ· ὁ μέγας Βασίλειος, περὶ τοῦ ἁγίου Πνεύματος κατ' Εὐνομίου τοῦ Πνευματομάχου μαχόμενος, οὐκ ἀντιλέγει αὐτῷ, ἐφ' οἷς ἀκούει λέγοντος αὐτοῦ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα. Καίτοι γε εἰ μὴ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα ὁ ἅγιος παρεδέχετο, τάχ' ἂν ἐντεῦθεν μᾶλλον ἀπέφραξε στόμα Εὐνομίου τὸ ἀπύλωτον, εἰπεῖν ἔχων· Πῶς δλως, Εὐνόμιε, τολμᾷς λέγειν ἐκ τοῦ Υἱοῦ εἶναι τὸ ἐκ μόνου τοῦ Πατρὸς ὑπάρχον ἅγιον Πνεῦμα; Ἀλλ' ἀντιλέγει τῷ κακίστῳ καὶ θεομάχῳ, ὅτι ἐκ μόνου τοῦ Υἱοῦ ἐδογμάτιζεν ἐκεῖνος εἶναι τὸ Πνεῦμα. Τοῦτο γὰρ δηλοῖ λέγων· « Πῶς οὖν τὴν τοῦ Πνεύματος αἰτίαν τῷ Μονογενεῖ μόνῳ προστίθησιν; » Ὅτι δὲ δυαρχίας ἔμφασιν εἶχε τὸ παρ' Εὐνομίου λεγόμενον ἐκ τοῦ Πατρὸς, μόνον τὸν Υἱὸν δογματίζοντος εἶναι, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ μόνον, ἐπάγει ὁ ἅγιος παρευθύς· « Εἰ μὲν οὖν δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις, ταῦτά φησιν, » ὁ Εὐνόμιος δηλονότι, « μετὰ Μανιχαίου καὶ Μαρκίωνος συντριβήσεται· εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα, τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. » Τί τούτου ἀριδηλότερον εἰς τὸ μίαν ἀρχὴν καὶ μίαν αἰτίαν νοεῖσθαι, ὅταν καὶ ἐκ τοῦ Υἱοῦ λέγῃ τις εἶναι τὸ Πνεῦμα; Ἐπεὶ ὁ ἅγιος εἰς κατασκευὴν τοῦ μιᾶς ἐξάπτεσθαι τὰ ὄντα αἰτίας, τοῦτο λαμβάνει, τὸ πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχειν, τὸ παρὰ τοῦ Υἱοῦ εἶναι λεγόμενον.

ιβ'. Ἀλλ' ἐπεί τινες κἀνταῦθα, ὡς καὶ ἐν πολλοῖς ἄλλοις, ἀναιδῶς οὐκ ὀκνοῦσι τὰ τοῦ μεγάλου Βασιλείου διαβάλλειν λέγοντες, Περὶ τῶν ποιημάτων ταῦτα ἐῤῥέθη, καὶ οὐ περὶ τοῦ Πνεύματος, διὰ τὴν γεγενῆσθαι λέξιν· τὸ γὰρ παρὰ τοῦ Υἱοῦ γεγενημένον πῶς ἂν εἴη τὸ Πνεῦμα, ἀποίητον ὂν καὶ ἀγένητον; ἀλλ' αἰσχυνέσθωσαν οὗτοι προδήλως οὕτω τὸν τῆς Ἐκκλησίας φωστῆρα καὶ διδάσκαλον διαβάλλοντες. Μὴ γὰρ, ὅτι τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον ὁ ἅγιος εἶπε περὶ ποιημάτων εἶναι, αὐτῷ τὸν λόγον διαβαλλέτωσαν. Ἀλλὰ συνιέτωσαν περὶ τοῦ Πνεύματος εἶναι τὸν λόγον ἐκ τῆς περικοπῆς ἁπάσης περὶ οὐδενὸς ἑτέρου γεγενημένης, ἀλλ' ἢ περὶ αὐτῆς τῆς τοῦ Πνεύματος ὑποστάσεως. Εἰ δὲ τῆς ἐμφαινούσης τὰ ποιήματα λέξεως πανούργως δραττόμενοι πρὸς ἐθελόκακον ἀντιλογίαν χωροῦσιν,

Spiritum esse : præterea quod magno Basilio credunt dicenti : « Quidquid ex Filio dicitur esse, in primam causam Patrem reducitur, » quod ad duo principia evertenda, unumque stabiliendum sanctus iste, ut plane manifestum est, enuntiavit? Tu porro si magnum non dignoscis Basilium in quibus dicit, quod a Filio esse dicitur, ad primam causam relationem habere, astruentem, duorum principiorum amolitionem, et unius considerationem insinuantem, accurate mentem dictis sancti figens, actutum ad eorum dignotionem perveneris. Attento itaque sis animo. Magnus Basilius pro Spiritu sancto adversus Eunomium Spiritus hostem decertans, non illi contradicit asserenti, ex Filio esse Spiritum, et nihilominus si sanctus ex Filio esse Spiritum non admitteret, forte inde magis ac magis os effrene Eunomii obturasset, cum posset dicere, Quanam ratione, Eunomi, audes dicere, ex Filio esse Spiritum sanctum, qui ex solo Patre est? Sed pessimo Deique hosti contradicit, quod ille ex solo Filio Spiritum esse statueret. Hoc enim innuit dicens, « Quomodo itaque causam Spiritus Unigenito soli vindicat? Quod autem duo principia apertissime inferret, quod ab Eunomio dicebatur, ex Patre solum Filium esse decernente, et Spiritum ex Filio solum, statim sanctus subdit : « Si itaque duo principia sibi contraria inducens hæc ait, » Eunomius scilicet, « cum Manichæo atque Marcione conteretur; si vero ab una, quæ sunt, appendet, quod a Filio factum asseritur, ad primam causam relationem habet. » Anne est hoc manifestius, unum principium et causam unam inducens, cum quis ex Filio dicit Spiritum esse? Cum sanctus ad stabiliendum illud, quæ sunt, ex uno dependere principio, illud assumat, ad primam causam relationem habere, quod a Filio esse dicitur.

12. Verumtamen cum nonnulli hic quoque, quemadmodum et in plerisque aliis, impudenter satis præsumunt, magni Basilii verba in crimen adducere, dicentes ea de creaturis et non de Spiritu enuntiata esse, propter Verbum *factum*; quod enim a Filio factum est, quomodo Spiritus fuerit, qui neque factus est, neque productus? Sed dedecore suffundantur hi, qui adeo manifeste lumen Ecclesiæ ac doctorem criminantur. Et quidem, si, quod a Filio factum esse dicitur, sanctus de creaturis enuntiavit, orationem accusent. Sed intelligant de Spiritu sermonem esse cum in textu illo universo nullius alius mentio fiat, nisi de ipsa Spiritus hypostasi. Quod si dictionem, quæ creaturas respicit, malitiose arripientes, ad perditam de industria contradictionem veniunt, intelligant, Eu-

Digitized by Google Распознавание текста АВК/FR

nomii intentioni sanctum respondentem, dictionem illam usurpasse, quasi diceret : Etiam si creatura Filii esset Spiritus, ut tu inquis, Eunomi, non soli Unigenito causa illius appingenda esset, quod nulla operatio Filii est a Patre abscissa, et quod a Filio fieri dicitur, ad primam causam relationem habet. Et hæc quidem, quod amplissima sit Basilii auctoritas, hunc in modum, quæ ad causam Spiritus attinent, explanantis, abunde dicta esse videntur, ad stabiliendum, non intelligi duas causas Patrem et Filium Spiritus, cum quis ex Patre et Filio Spiritum sanctum esse affirmat.

A ἀλλ' ἀκουέτωσαν ὡς πρὸς τὴν Εὐνομίου ἔννοιαν ὁ ἅγιος ἁπάντων, τὴν λέξιν εἶρηκε ταύτην, οἱονεὶ λέγων ὡς, Εἰ καὶ ποίημα ἦν τοῦ Υἱοῦ τὸ Πνεῦμα, Εὐνόμιε, κατὰ σὲ, ἀλλ' οὐχὶ μόνῳ τῷ Μονογενεῖ ἔδει προστιθέναι τὴν αἰτίαν αὐτοῦ, διὰ τὸ μηδεμίαν ἐνέργειαν τοῦ Υἱοῦ ἀποτετμημένην τοῦ Πατρὸς εἶναι καὶ διὰ τὸ πᾶν, τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον, πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχειν. Καὶ ταῦτα μὲν διὰ τὸ τοῦ μεγάλου Βασιλείου ἀξιόπιστον, οὕτω τὰ περὶ τῆς τοῦ Πνεύματος αἰτίας ἐξηγουμένου, ἀρκούντως μὲν δοκεῖ ἔχειν εἰς παράστασιν τοῦ μὴ δύο αἰτίας νοεῖσθαι τοῦ Πνεύματος τὸν Πατέρα καὶ τὸν Υἱὸν, ὅταν τις ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ εἶναι λέγῃ τὸ Πνεῦμα τὸ ἅγιον.

13. Cum vero pro responsione Italorum oratio proponat dictionis *procedere* compares vires cum illis, *provenire* et *progredi*, digerantur hic a me dicta sanctorum, quibus innotescat, non tantum processionis nomen, sed et alias quasdam dictiones apertissime, et sine ullo velamine de ipsa ex Patre essentiali Spiritus exsistentia assumi. Statim enim magnus Basilius in secundo ad Amphilochium capite inter alias multas dictiones, quibus Spiritus cum Patre et Filio communionem exponit, hæc quoque addit: « Neque hinc solum naturalis communionis demonstratio, sed etiam quod ex Deo esse dicitur, non ut omnia ex Deo, sed veluti ex Patre, egressus, non genitus ut Filius, sed ut Spiritus oris ejus. Ilisce familiaritas et connexio aperitur, sed modus exsistentiæ silentio involvitur. » Eritque ne mortalium cuiquam obscurum, in hisce dictionem, « egredi Spiritum ex Deo non genitum ut Filium, sed ut Spiritum oris ejus, » ex Patre essentialem, et naturalem ipsius exsistentiam connotari? Magnus et admirandorum effector Gregorius Neocæsariensis episcopus oratione, cujus principium, « Inimicissimi et alieni ab apostolica confessione sunt, qui Filium ex iis, quæ non exstant, asserunt, *inquit:* Domini Pater principium est, ab æterno eum generans, et Dominus est prototypus Spiritus. » Et post pauca ibidem: « Ingenitus cum sit Pater, genitus vero ex Patre Filius, et Spiritus ex essentia Patris per Filium sempiterne emissus. » Quis in dubium verterit, *emissus* hoc in loco, non tantæ esse virtutis, ad essentialem Spiritus exsistentiam commonstrandam, quantam haberet, si appositum fuisset, *procedens?* Theologus Gregorius nonnullis suarum scriptionum locis, « Audis generationem? modum ne curiosius investigato. Audis Spiritum ex Patre progredi? rationem ne anxie inquirito. Quod si Filii generationem et Spiritus progressum sollicitus exterebras, ego quoque a te pervestigabo animæ et corporis mistionem. » Quis hic audiens, Spiritum *progredi* a Patre, aliud dictionem notare existimabit, quam illud idem, si loco illius substitutum fuisset, *procedere*, ipsam scilicet ex Patre essentialem et naturalem Spiritus exsistentiam? Idem oratione ad Heronem philosophum ait: « Quin pietatis nostræ

ιγ'. Ἐπεὶ δὲ εἰς ἀπολογίαν τῶν Ἰταλῶν ὁ λόγος B προβάλλεται τὸ τῆς *ἐκπορεύεσθαι* λέξεως ἰσοδύναμον πρὸς τὸ *προϊέναι* τε καὶ *προέρχεσθαι*, καταστρωθήτω μοι ὧδε καὶ τὰ τῶν ἁγίων ῥητὰ, ἐξ ὧν μοι διαγινώσκειν ἐγγίνεται ὡς οὐχὶ μόνον τὸ τῆς ἐκπορεύσεως ὄνομα, ἀλλὰ καὶ ἄλλαι τινὲς λέξεις λαμπρῶς καὶ ἀνεπισκιάστως ἐπ' αὐτῆς τῆς ἐκ τοῦ Πατρὸς οὐσιώδους τοῦ Πνεύματος ὑπάρξεως ἐκλαμβάνονται. Αὐτίκα γὰρ ὁ μέγας Βασίλειος ἐν τῷ ἑβδόμῳ τῶν Πρὸς Ἀμφιλόχιον κεφαλαίων, μετὰ τὸ ἐν ἄλλαις πολλαῖς λέξεσι παρατίθησι τὴν τοῦ Πνεύματος κοινωνίαν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ ταῦτά φησιν· « Καὶ οὐκ ἐντεῦθεν μόνον τῆς κατὰ τὴν φύσιν κοινωνίας ἡ ἀπόδειξις, ἀλλ' ὅτι καὶ ἐκ τοῦ Θεοῦ εἶναι λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς ὡς ὁ C Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ· τῆς μὲν οἰκειότητος δηλουμένης ἐνταῦθα, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου. Τίνι τῶν πάντων ἄδηλον ὡς ἐνταῦθα ἡ λέξις ἡ τοῦ « *προελθεῖν τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ,* » αὐτὴν τὴν ἐκ Πατρὸς οὐσιώδη καὶ φυσικὴν δηλοῖ αὐτοῦ ὕπαρξιν; Ὁ μέγας καὶ Θαυματουργὸς Γρηγόριος, Νεοκαισαρείας ἐπίσκοπος, ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, « Ἐχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, » φησὶν ὅτι, « Τοῦ Κυρίου ὁ Πατὴρ ἀρχὴ, ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος. » Καὶ μετά τινα ἐν τῷ αὐτῷ· « Ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννη- D θέντος δὲ τοῦ Υἱοῦ ἐκ Πατρὸς, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος. » Τίς ἀμφιβαλεῖ ὅτι τὸ *ἐκπεμφθέντος* ἐνταῦθα τοσαύτην ἰσχὺν ἔχει εἰς τὴν τῆς οὐσιώδους ὑπάρξεως τοῦ Πνεύματος δήλωσιν, ὅσην ἂν εἶχεν εἰ καὶ τὸ *ἐκπορευθέντος* ἔκειτο; Ὁ Θεολόγος Γρηγόριος ἔν τισι τῶν αὐτοῦ οὕτως ἔφη· « Ἀκούεις γέννησιν; τὸ πῶς μὴ περιεργάζου. Ἀκούεις ὅτι Πνεῦμα προῖὸν ἐκ τοῦ Πατρός; τὸ ὅπως μὴ πολυπραγμόνει. Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν, καὶ Πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. Τί; ἀκούων ἐνταῦθα προῖὸν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἄλλο τι δηλοῦν τὴν λέξιν οἰήσεται, ἢ ἐκεῖνο ὅπερ ἂν εἰ καὶ τὸ ἐκπορευόμενον ἔκειτο, αὐτὴν δηλαδὴ τὴν ἐκ Πατρὸς

Digitized by Google Распознавание текста АВК/FR

οὐσιώδη καὶ φυσικὴν τοῦ Πνεύματος ὕπαρξιν ; » Ὁ αὐτὸς αὖθις ἐν τῷ πρὸς Ἕρωνα τὸν φιλόσοφόν φησιν· « Ὁρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν, διδάσκων ἕνα μὲν εἰδέναι Θεὸν ἀγέννητον τὸν Πατέρα, ἕνα δὲ γεννητὸν τὸν Υἱὸν, ἕνα δὲ Πνεῦμα ἅγιον προελθὸν ἐκ τοῦ Πατρὸς, ἢ καὶ προϊόν. » Τίς ἐνταῦθα τῆς ἀναφαινομένης ἐντεῦθεν διανοίας καταυθεντήσει, ὡς εἰπεῖν ἄλλο τι σημαίνειν *προελθὸν ἢ προϊὸν ἐκ τοῦ Πατρὸς*, εἰ μὴ τοῦτ' ἐκεῖνο, ὃ καὶ σημᾶναι ἔμελλεν, εἰ *τὸ ἐκπορευόμενον* ἔκειτο ; Ὁ αὐτὸς ἐν ἄλλοις φησίν. « Ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἔκπεμψις. » Τί σοι ἄλλο ἐνταῦθα ἡ ἔκπεμψις δηλοῦν βούλεται ἀλλ' ἢ ὅπερ ἡ ἐκπόρευσις.

A doctrinam præscribe, sic nos instituens, ut unum Deum ingenitum agnoscamus Patrem, unum item genitum Filium, unum denique Spiritum sanctum provenientem ex Patre aut prodeuntem. » Quis hic ex his verbis erutam sententiam in alium sensum detorquebit, ut dicat, aliud innuere, « progredi, et prodire ex Patre, » quam illud ipsum, quod appositum *procedere* significaret? Idem in aliis dicit, « Proprium Patris est, non esse genitum, Filii generatio, Spiritus emissio. » Aliudne hic sibi *emissio* notabit, aliud *processio* ?

ιδ'. Ἀλλ' ἐπεὶ τὴν δήλωσιν τῆς ἐκ Πατρὸς τοῦ Πνεύματος οὐσιώδους ὑπάρξεως, μὴ ἐκ μιᾶς μόνης λέξεως, τῆς ἐκπορεύσεως δηλαδὴ, ἀλλὰ καὶ ἐξ ἄλλων τῶν ῥηθεισῶν κατὰ τὸ πάντη βέβαιον παρεστήσαμεν, τοὺς ἐντευξομένους ἡμῖν τῷ παρόντι συγγράμματι ἀξιοῦμεν τὴν τῶν ῥηθεισῶν τούτων γραφικῶν ῥήσεων διάνοιαν πρὸς εὐθύτητα ἐκδέξασθαι ἀπαρέγκλιτον, καὶ μὴ πρὸς ἔριν τινὰ κατὰ πολλοὺς τῶν πρὸ ἡμῶν, οἵπερ, ὡς καλόν τι χρῆμα τὴν τῶν Ἐκκλησιῶν διάστασιν ἐπισπεύδοντες, τὴν ἐκπόρευσιν μόνην τὴν οὐσιώδη τοῦ Πνεύματος δηλοῦν ἔλεγον ὕπαρξιν, τὰς δ' ἄλλας τῶν λέξεων εἰς δήλωσιν τῆς διανομῆς τῶν χαρισμάτων παραλαμβάνεσθαι. Ἐκεῖνοι μὲν γὰρ, ἵνα μὴ ἐν τῷ παρὰ ταῖς γραφαῖς τῶν ἁγίων εὑρίσκεσθαι τὸ Πνεῦμα προϊὸν, καὶ ἐξ Υἱοῦ προερχόμενόν τε καὶ ἐκπεμπόμενον, νοηθείη οὐσιωδῶς ὑπάρχειν αὐτὸ καὶ ἐξ Υἱοῦ, κἀντεῦθεν ὥσπερ τις ἐπιγένηται πάροδος εἰς ἀφορμὰς εἰρήνης τοῖς ἐφιεμένοις τὸ τῆς Ἐκκλησίας συνάψαι διερρωγὸς, διαφορὰς τῶν λέξεων οὐκ ἐν ἀληθέσι καὶ οἷς ἔδει νοήμασιν, ἀλλ' ἐν σεσοφισμένοις καὶ οἷς οὐκ ἔδει ἀνέπλαττον. Ἐφ' οἷς προφανῶς τοῖς θεολογήσασι τὰ νῦν ῥηθέντα Πατράσιν ἀντέλεγον, ζημίαν ὥσπερ ἡγούμενοι ἀδελφοὺς κτήσασθαι, οὓς αἱ τῶν τῆς Ἐκκλησίας διδασκάλων ὑποδοχαὶ πρὸς τὴν ἡμῶν συνάγουσιν ἀδελφότητα, ἐν οἷς ὑποτίθενται τὰς ἐν λέξεσι διαφορὰς παροράσθαι ἡμῖν, ὁπηνίκα εἴη κατὰ τὴν ἐπὶ τῇ ἐννοίᾳ ὁμοφροσύνην συμβαίνειν τοὺς ἀδελφούς. Ὑμεῖς δὲ, οὓς ἀξιῶσαι ὁ λόγος ἡμῶν ἔφθη, τὴν τῶν ῥηθεισῶν γραφικῶν ῥήσεων διάνοιαν πρὸς εὐθύτητα δέξασθαι ἀπαρέγκλιτον, κατανοήσαντες, ὅπως μὲν τὸ *προιέναι*, *προέρχεσθαί* τε, καὶ *ἐκπέμπεσθαι* εἰς τὴν τοῦ *ἐκπορεύεσθαι* λαμβάνονται δύναμιν, λεγόμενα ἐπὶ τοῦ Πνεύματος ἐκ Πατρὸς, ὅπως δὲ αὐτὰ ταῦτα, τὸ *προιέναι* δηλαδὴ, *προέρχεσθαι*, καὶ *ἐκπέμπεσθαι* εὑρίσκονται παρὰ ταῖς Γραφαῖς ἐπὶ τοῦ αὐτοῦ Πνεύματος καὶ ἐξ Υἱοῦ ψηφίσασθε ἀῤῥεπῶς, εἴγε τι τῆς τῶν διδασκάλων ἡμῶν ὑποθήκης ἀνάξιον ἐγεγόνει παρὰ τῶν τὴν εἰρήνην τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀσπασαμένων, ἐκπορεύεσθαι λεγούσης τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ, καὶ ἀπολογουμένης μὴ δύο νοεῖν αἴτια τοῦ Πνεύματος, τὸν Πατέρα καὶ τὸν Υἱὸν, διὰ τὸ τῷ μεγάλῳ πεῖθεσθαι Βασιλείῳ, « Πᾶν τὸ πρὸς τοῦ Υἱοῦ εἶναι λεγόμενον εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα, λέγοντι, ἀναφέρεσθαι. » Εὔδηλον γὰρ ὡς

14. Sed enim cum manifestationem Spiritus ex Patre essentialis exsistentiæ, non una sola voce *processionis*, sed aliis jam adductis significari, veluti certum atque indubitatum probavimus, eos, qui hæc nostra commentaria legent, oramus, allatarum scriptoque traditarum auctoritatum sententiam recta mente sinceraque, et minime contentiosa suscipere, ut plerique nostri progenitores, qui tanquam rem eximiam Ecclesiarum dissensionem procurantes, processionem tantummodo essentialem Spiritus exsistentiam significare tradebant, reliquas alias dictiones ad distributionem donorum denotandam assumptas fuisse. Illi quippe, ne, cum in scriptis sanctorum reperiatur Spiritus proveniens, et ex Filio progrediens, et emissus, intelligeretur, essentialiter ipsum exsistere et ex Filio, indeque via straretur quædam ad pacem ineundam peroptantibus Ecclesiæ abscissa copulare, differentias dictionum non in veris, et decentibus sententiis, sed callidis et captiosis, et indecentibus confingebant. Quibus aperte Patribus, qui res theologice pertractatas, et jam adductas vulgaverant, contradicebant, detrimenti loco habentes, fratres lucrari, quos doctorum Ecclesiæ monita ad nostram societatem accersunt : dum admonent, differentias in vocibus esse a nobis negligendas, cum secundum sententiam in unum fratres conveniunt. Vos porro, quos supra oratio rogavit, ut recta mente sinceraque dictarum auctoritatum, nobisque in scripto traditarum sententiam accipiatis, percepto, « *progredi*, *provenire*, et *emitti* » de Spiritu ex Patre asserta, eamdem vim habere atque *procedere* : et hæc eadem, *progredi* nempe, *provenire* et *emitti* in scriptis reperiri de eodem Spiritu ex Filio, sententiam ferte neutram in partem propensi, an aliquid vestrorum doctorum monitis indignum peractum est ab iis, qui Romanæ Ecclesiæ pacem complexi sunt, procedere asseverantis Spiritum ex Patre et Filio, et respondentis non probare duas Spiritus causas, Patrem et Filium; quod fidem adhibeat magno Basilio tradenti, « Quidquid a Filio esse dicitur, ad primam causam Patrem referri. » Clarum etenim est, si dicens ex Patre et Filio illum procedere, duas Spiritus causas dicit Patrem et Filium, dicentem etiam ex Patre et Filio provenire, progredi, aut emitti illum,

Digitized by Google Распознавание текста ABK/FR

ex duabus causis illum et progredi, et provenire, et emitti dicere. Sed nemo, dummodo pietatem in pectore gerit, ex duabus causis aut provenire, aut progredi, aut emitti dicet. Et quidem a Romanis in fidei Symbolo dictionis additionem, cum jam facta sit, non bene factam esse dixero? bonum haud dicendum est, quidquid fratribus dissidium affert. Mihi quoque tecum hæc dicenti convenit. Verumtamen cum dictionis hujusce additio suo sensu pietatem nobis traditam nullatenus vulneret, (neque enim unum essentiæ, neque trinum hypostaseon lædit), fratribus veniam do, et dictionis additionem præteriens, consentientem sententiam arripio, discipulusque efficior eorum doctorum, qui in dictionibus discordantias negligentes, ob consensionem sententiæ pacem amplectebantur.

A ἐὰν ὁ λέγων ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι δύο τοῦ Πνεύματος αἴτια λέγῃ, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ ὁ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προέρχεσθαι, ἢ προΐεναι, ἢ ἐκπέμπεσθαι λέγων αὐτὸ, ἐκ δύο αἰτίων καὶ προΐεναι, καὶ προέρχεσθαι, καὶ ἐκπέμπεσθαι λέγει αὐτό. Ἀλλὰ μὴν οὐδεὶς, βουλόμενος εὐσεβεῖν ὡς ἐκ δύο αἰτίων ἢ προΐεναι, ἢ προέρχεσθαι τὸ Πνεῦμα ἐρεῖ. Καὶ ὅτι μὲν ἡ παρὰ τῶν Ῥωμαίων γεγονυῖα ἐπὶ τῷ τῆς πίστεως Συμβόλῳ προσθήκη τῆς λέξεως, ὅτι καὶ ὅλως γέγονεν, οὐ καλῶς γέγονεν εἶπω; καλὸν οὐκ ἔστιν εἰπεῖν πᾶν τὸ διάστασιν τοῖς ἀδελφοῖς προξενοῦν· σύμφημί σοι τῷ λέγοντι καὶ αὐτός· ὅτι δὲ ἡ τῆς λέξεως ταύτης προσθήκη οὐδέν τι παρατιτρώσκει πρὸς ἔννοιαν τὴν ἡμῖν παραδοθεῖσαν εὐσέβειαν· οὔτε γὰρ τὸ μοναδικὸν

B τῆς οὐσίας λυμαίνεται οὔτε τὸ τῶν ὑποστάσεων τριαδικόν· συγγινώσκω τοῖς ἀδελφοῖς, καὶ προσθήκην λέξεως παρατρέχων, τὸ σύμφωνον τῆς ἐννοίας ἁρπάζω, καὶ μαθητὴς διδασκάλων ἐκείνων, οἳ τὸ ἐν λέξεσι παρορῶντες ἀσύμφωνον τὴν ἐπὶ τῷ συμφώνῳ ἐννοίας εἰρήνην ἠσπάζοντο.

15. Sat scio te rursum contradictionibus studentem, ingerere, et quomodo proprietatem confusionem non introducet, qui asserit, procedere Spiritum et ex Filio? Ego tibi scripto traditis auctoritatibus, Triadis propriissimas proprietates tria hæc nomina esse, Patrem, Filium, et Spiritum commonstrans, tuam hanc contradictionem convellam. E enim si vera proprietas Spiritus, hoc ipsum est, non esse eum Patrem, neque Filium, sed tantummodo Spiritum, et Spiritum Patris et Filii, poteris hinc accurate dignoscere, ea ratione qua Spiritus Patris, et Spiritus Filii sanctus Spiritus dicitur, et hypostaseon proprietates non confunduntur, eadem cum a nobis ex Patre procedere dicitur, et a Romanis ex Patre et Filio, inconfusum proprietatum conservari. At quænam sunt hujusce proprietatis scripta testimonia? Nyssenus, secunda adversus Eunomium oratione: « Hypostaseon, ait, proprietas apertam et inconfusam efficit personarum distinctionem, Patris, inquam, et Filii, et Spiritus sancti: his enim compellationibus non naturarum discrimen edocemur, sed solas hypostaseon exploratas proprietates. Chrysostomus in uno suorum sermonum hæc inquit: « Proprietatem enim cum dixero, Patrem Patrem intelligito, et Filium Filium, et Spiritum sanctum Spiritum sanctum. Hæ enim proprietates non convertuntur. Nam non potest Pater Filius esse, aut Filius Pater, aut Spiritus sanctus Pater, aut Filius. » Et abbas Theodorus philosophus, « Hæc tria nihilo inter sese discordant, nisi solummodo proprietate, hunc scilicet esse Patrem, hunc Filium, illum Spiritum sanctum. »

ιε'. Οἶδα ὅτι πάλιν βουλόμενος ἀντιλέγειν μοι, καὶ πῶς, φήσεις, οὐ σύγχυσις τῶν ἰδιοτήτων ἔσται τὸ λέγειν ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ; Ἐγὼ δέ σοι διὰ γραφικῶν παραστήσας μαρτυριῶν ὡς αἱ τῆς Τριάδος κυρίως ἰδιότητες τὰ τρία ταῦτα ὀνόματά εἰσι, τὸ Πατὴρ, Υἱός τε, καὶ Πνεῦμα, τὴν σὴν ταύτην ἀντίρρησιν ἀποτρέψομαι· εἰ γὰρ ἡ κυρίως ἰδιότης τοῦ Πνεύματος αὐτὸ τοῦτό ἐστι, τὸ μήτε Πατέρα εἶναι αὐτὸ, μήτε Υἱὸν, ἀλλὰ μόνον Πνεῦμα, καὶ Πνεῦμα Πατρὸς καὶ Υἱοῦ, ἔχεις ἐντεῦθεν ἀκριβῶς διαγνῶναι ὅτι, ὥσπερ Πνεῦμα Πατρὸς,

C καὶ Πνεῦμα Υἱοῦ τὸ ἅγιον λέγεται Πνεῦμα, καὶ αἱ τῶν ὑποστάσεων ἰδιότητες οὐ συγχέχυνται, οὕτω καὶ ὅταν καθ' ἡμᾶς μὲν ἐκ Πατρὸς ἐκπορεύεσθαι λέγηται, κατὰ δὲ τοὺς Ῥωμαίους ἐκ Πατρὸς καὶ Υἱοῦ, τὸ ἀσύγχυτον τῶν ἰδιοτήτων τετήρηται. Τίνες δὲ αἱ γραφικαὶ τῆς τοιαύτης ἰδιότητος μαρτυρίαι; Ὁ Νύσσης ἐν τῷ κατ' Εὐνομίου δευτέρῳ λόγῳ αὐτοῦ, « Ἡ τῶν ὑποστάσεων, » φησὶν, « ἰδιότης τρανὴν καὶ ἀσύγχυτον ποιεῖται τὴν τῶν προσώπων διαστολὴν, Πατρὸς λέγω καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Διὰ γὰρ τῶν κλήσεων τούτων οὐ φύσεων διαφορὰν διδασκόμεθα, ἀλλὰ μόνας τὰς τῶν ὑποστάσεων γνωριστικὰς ἰδιότητας. » Ὁ Χρυσόστομος ἔν τινι τῶν αὐτοῦ λόγων οὕτω φησίν· « Ἰδιότητα γὰρ ὅταν εἴπω,

D τὸν Πατέρα Πατέρα νόησον, τὸν Υἱὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα ἅγιον. Αὗται γὰρ αἱ ἰδιότητες οὐκ ἀντιστρέφονται· οὐ δύναται γὰρ ὁ Πατὴρ Υἱὸς εἶναι, ἢ ὁ Υἱὸς Πατὴρ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι Πατὴρ, ἢ Υἱός. » Καὶ ὁ ἀββᾶς Θεόδωρος ὁ φιλόσοφος, « Ταῦτα, φησὶ, τὰ τρία οὐδὲν ἀλλήλων διαφέρουσιν εἰ μὴ μόνον κατὰ τὰ ἰδιώματα, καὶ τὸ τὸν μὲν εἶναι Πατέρα, τὸν δὲ Υἱὸν, τὸ δὲ Πνεῦμα. »

16. Visne et aliud nunc in examen proponere? Ait, *effundi*, *progredi*, *emanare*, et similia, etsi in nonnullis locis reperiuntur de Spiritu asserta ex Patre, essentialem indicant et naturalem illius ex Patre exsistentiam: non æque vero, cum ea dicuntur ex Filio, inferunt, naturaliter et essentialiter Spiritum esse ex Filio, sed ex eo spiritalium mu-

ις'. Τί βούλει ἀπάρτι καὶ ἕτερον προσθεῖναι εἰς σκέψιν; ὅτι, φησὶ, τὸ *προχεῖσθαι*, *προΐεναι*, καὶ *ἀναβλύζειν*, καὶ τὰ τοιαῦτα, εἰ καὶ ἔστιν οὗ λεγόμενα περὶ τοῦ Πνεύματος ἐκ Πατρὸς, οὐσιωδῶς δηλοῦσι καὶ φυσικῶς, ὑπάρχειν αὐτὸ ἐκ Πατρός· ἀλλ' οὐκ ἐπὰν λέγωνται ταῦτα καὶ ἐκ τοῦ Υἱοῦ, δηλοῦσι τὸ φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα καὶ

Digitized by Google Распознавание текста ABK/FR

ἐκ τοῦ Υἱοῦ, ἀλλὰ τὴν ἐξ αὐτοῦ τῶν πνευματικῶν χαρισμάτων διανομήν. Ἀλλ', ὦ ἀγαπητέ, πρῶτα μὲν τίς τῶν ἁγίων εἴρηκε τοῦτο; Ἐρωτῶντί μοι ἀποκρίθητι. Οὐ γὰρ ἁπλῶς ἐκλαμβάνειν τὰ πρὸς τὸν λόγον τοῦ δόγματος συμβαλλόμενα ἑκάστῳ ἐφεῖται, ἀλλ' ὡς οἱ θεολόγοι τῶν Πατέρων παρέδοσαν· καὶ τοῦτο οὐχ ἁπλῶς ἐστι καὶ ὀλίγην ἔχων διαφοράν, εἴτε τὸ μὲν ἐκ Πατρὸς προχεῖσθαι τὸ Πνεῦμα καὶ προΐέναι καὶ ἀναβλύζειν τὸ ἐξ αὐτοῦ ὑπάρχειν οὐσιωδῶς τὸ Πνεῦμα ἐδήλουν, τὸ δὲ καὶ ἐκ τοῦ Υἱοῦ προχεῖσθαι, καὶ προΐέναι, καὶ ἀναβλύζειν εἰς ἄλλην τινὰ παραλαμβάνονται ἔννοιαν. Εἴπερ γάρ τις ἦν ἐν τούτοις διαφορά, πῶς ἂν καὶ ἀπεσιωπήθη παρὰ τῶν τὴν ἀκρίβειαν ἐπισκεψαμένων, μή τοί γε εἰς αὐτὰ, ἅπερ εἰς αὐτὸ τὸ κεφάλαιον ὁρῶσι τοῦ δόγματος, ἀλλὰ καὶ εἰς ἄλλα πολλῷ τούτων μετριώτερα ἐν τῷ παροράσθαι βλάπτειν δοκοῦντα; Πρῶτα μὲν οὖν ἐρωτῶντί μοι ἀποκρίθητι, εἰ τοιοῦτον ἔχεις εἰπεῖν· ἔπειτα δὲ ὑποτιθεμένῳ πείσθητι ἐν ταῖς δογματικαῖς λέξεσιν, ἐφ' ὧν οἱ Πατέρες διαφορὰν οὐ δεδώκασι, μὴ οὕτως ἀπερισκέπτως ἐξ ἑαυτοῦ διδόναι διαφοράν. Ὅτι δὲ καὶ οὐκ εὔστοχος ἡ τῆς τοιαύτης ἐπίνοια διαφορᾶς, γνωσθήσεταί σοι ἀπροσπαθῶς ἐπιόντι, ἅπερ νῦν γραφικὰ ἐκθήσομαί σοι ῥητὰ, ἃ καὶ ἔχουσιν οὕτως· Ἐν τοῖς πρακτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἐν οἷς εἶπον οἱ Πατέρες πρὸς τὸν Φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου, ὧν ῥητῶν ἡ ἀρχὴ, « Κἀκεῖνο δὲ νοητέον, ὦ φίλε, λοιπὸν τῆς ἀληθείας Φιλόσοφε, εὑρηται. Τὸ Πνεῦμα ἐκπορευόμενον μὲν ἐκ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ καὶ ἐξ αὐτοῦ ἀναβλύζον· » Τί σοι ἐνταῦθα τὸ, « ἐκ τοῦ Υἱοῦ ἀναβλύζειν, » δοκεῖ; οὐσιωδῶς δοκεῖ ἀναβλύζειν, ἢ ἀνουσίως; Οὐκ οἶδά τίς τολμήσει ἀνουσίως ἐρεῖν· εἰ δὲ ἐνουσίως, καὶ ἐνυποστάτως, πάντως. Τὸ δὲ οὐσιωδῶς καὶ ἐνυποστάτως ἀναβλύζειν ἐκ τοῦ Υἱοῦ τί ἂν ἄλλο ἔσται ἢ τὸ οὐσιωδῶς ὑπάρχειν ἐξ αὐτοῦ; Εἰ δὲ καὶ μαρτυρίας δεῖ σοί τινος, ὅπως ἡ τοῦ Πνεύματος ἀνάβλυσις, εἴτουν ὁ πηγασμὸς οὐσιώδης ἐστὶ καὶ ἐνυπόστατος, ἡ τοῦ μεγάλου Βασιλείου ἀναγνωσθήτω σοι ῥῆσις, ἣν ἐν τῷ περὶ Πνεύματος λόγῳ ἡ ἀρχή, « Ἐνθυμηθῶμεν, πᾶσα ψυχὴ ζητοῦσα περὶ τῶν θείων, » φησί. Τὰ γὰρ ἐκεῖ οὕτω δηλοῦσι τὸν τοῦ Πνεύματος πηγασμόν. « Τὸ Πνεῦμα τὸ ἅγιον οὐδὲν ἐν ἑαυτῷ ἐπίκτητον ἔχον ἐστὶν, ἀλλ' ἀϊδίως πάντα ἔχον ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνός, αἴτιον αὐτὸν ἔχον, ὡς πηγὴν ἑαυτοῦ, κἀκεῖθεν πηγάζον, πηγὴ δὲ αὐτὸ τῶν προειρημένων ἀγαθῶν· ἀλλ' αὐτὸ μὲν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι· τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν. » Ὁρᾷς ὅπως ὁ τοῦ Πνεύματος πηγασμὸς ἐνυπόστατος εἴρηται; Καὶ ὅτι μὲν ἐνυπόστατος ὁ τοῦ Πνεύματος πηγασμὸς, εἴτε ἀνάβλυσις (οὐδὲν γὰρ διοίσει πηγασμὸν εἰπεῖν καὶ ἀνάβλυσιν), ἐκ τῆς οὕτως ἀξιολόγου γραφικῆς μαρτυρίας συνίσταται. Ὁ δὲ ἅγιος Κύριλλος ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ, « Τοῦ Σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, Ὁ φιλῶν Πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος, » φησίν· « Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα

[8] Matth. x, 37.

nerum distributionem. Dic sodes, quis ex Patribus id asseruit? Interroganti mihi responde: neque enim simpliciter ea, quæ ad rationem dogmatis conferunt, assumere cuicunque, ut allubescit, conceditur, sed ut theologi Patres tradiderunt. Et hoc neque simpliciter prolatum est neque exiguum continet discrimen, si ex Patre effundi Spiritum, et provenire, et emanare, ex ipso, esse essentialiter Spiritum significant manifesto, ex Filio vero effundi, et provenire, et emanare in aliam quamdam sententiam trahas. Etenim si quæ erat in his differentia, quomodo silentio involuta est ab iis, qui quæm exactissime examinarunt, non tantum ea, quæ summam dogmatis respiciunt, sed et alia multo his minutiora, quæ utcunque neglecta lædere nerotium videbantur? Primum itaque respondeto mihi quærenti, si quid simile tibi suppetit dicendum: postea suadenti monentique credito, in dogmaticis dictionibus, de quibus Patres discrimen nullum tradiderunt, non esse adeo temere et sine examine a temetipso discrimen tradendum. Hujus vero discriminis commentum præter rem esse cognoscetur a te, dummodo allectu vacuus percurreris, quæ in medium afferam dicta, et ita se habent. In actis Nicænæ primæ synodi, quibus Patres philosopho per Leontium episcopum responderunt, dictorum principium est, «Illud etiam, amice philosophe, considerandum est, quod superest, hujus veritatis.» In illis, inquam, reperitur, «Spiritus sanctus procedens quidem ex Patre, proprius vero Filii, et ex ipso exsiliens.» Quid tibi hoc in loco illud, « ex Filio exsilire, » videtur? essentialiterne videtur exsilire, vel sine essentia? Nescio an aliquis tantum ausus fuerit, ut absque essentia dicat. Quod si cum essentia, utique et in hypostasi, cum quod essentialiter, omnino et in hypostasi emanat. Essentialiter vero et in hypostasi exsilire ex Filio, quid aliud fuerit, quam essentialiter esse ex ipso? Quod si testimonio indiges, quomodo Spiritus emanatio, sive effluxus essentialis est, et in hypostasi, percurre magni Basilii dictum, quod ille oratione de Spiritu, cujus principium est, « Recordemur omnis anima de divinis quærens, » digessit. Quæ enim ibi ponuntur, non alia ratione Spiritus effluxum significant. « Spiritus sanctus nihil in se ipso adscititium habet, sed ab æterno omnia possidet, ut Spiritus Dei, et ex ipso apparens, sui causam eum habens, ut sui ipsius fontem, indeque emanans, fons vero ipse prædictorum bonorum. Sed ipse quidem ex Deo effluens in hypostasi, quæ vero ex eo effluunt, operationes ipsius sunt? » Vides quo pacto Spiritus effluxus enhypostatus dictus est? Et Spiritus in hypostasi effluxus, sive emanatio (nihil enim refert, sive effluxum sive emanationem dixeris), hoc adeo æstimabili scripto testimonio constabilitur. Sanctus Cyrillus, oratione ad Nestorium, cujus principium, « Servatore nostro palam edicente, Qui amat patrem et matrem super me, non est me dignus, » inquit[8]: « Licet sit in hypostasi Spiritus

propria, et jam intelligatur secundum se ipsum, qua Spiritus est, et non Filius, verumtamen non est alienus ab eo; Spiritus enim veritatis appellatus est, et est Christus veritas, et effunditur ab ipso eadem, qua et a Patre ratione. » Quid hic ais? Videturne tibi, de essentiali exsistentia Spiritus ex Filio sermonem haberi, cum sanctus dicit, effundi Spiritum a Filio æque atque effunditur ab ipso Patre? an vero de donorum dispensatione? Idem libro secundo Thesaurorum, sermone cujus illa epigraphe est, « Ex essentia Patris et Filii Spiritum sanctum esse, » ait: « Cum itaque Spiritus sanctus ad nos accedens, conformes nos efficit Deo, progreditur vero et ex Patre et Filio, manifestum est illum divinæ essentiæ esse, essentialiter in ipsa et ex ipsa progredientem, quemadmodum nempe ex humano ore flatus excurrens, licet pusillum, nec tantæ dignitatis exemplum sit. Super enim omnia Deus est. » Considera hic quoque quomodo scribat sanctissimus Cyrillus, « Progreditur Spiritus ex Patre et Filio, » et intelligis, essentialiter eum progredi et ex Filio, cum et essentialiter prodeat etiam ex Patre. Et profundi quidem, progredi, et emanare, atque similia essentialem Spiritus ex Patre et Filio exsistentiam denotare, jam dictis, ut puto, testimoniis satis abundeque demonstratum est.

17. Quod vero consideratione dignum duco, id nunc tradam orationi. « Progreditur, dixit sanctus, Spiritus ex Patre et Filio, » et duarum harum hypostaseon Patris et Filii mentionem fecit; tum ne quis per has duas hypostases, duas Spiritus causas inferri suspicaretur, statim subjunxit, « illum divinæ esse essentiæ, essentialiter in ipsa, et ex ipsa provenientem; » in singulari numero efferens, nihil aliud prorsus ostendit, quam, cum ex Patre et Filio diceret Spiritum, non tanquam ex duabus causis eum asserere. Adhuc etiam manifestius rursus demonstravit, non esse duas Spiritus causas, cum ille ex Patre et Filio progeditur, dum subdit, « quemadmodum nempe et ex humano ore flatus excurrens. » Cum enim antea dixisset, « ex Patre et Filio progredi Spiritum, » non adnexuit inductioni, quemadmodum ex humanis oribus, « sed ex humano ore, » numero singulari, et ejusdem unionis speciem exhibens, dum ex Patre et Filio Spiritus progreditur. Hoc idem aliud magni Basilii dictum scriptum tibi confirmabit. Hic namque in uno capite, cujus inscriptio, «Divinam naturam esse Spiritum,» tradit: Spiritus enim cum viventi Verbo in eodum ordine collocatur ad creandum, viva virtus, et natura divina, ineffabilis, ex ineffabili ore exsistens ineffabili modo, et per inflatum in hominem missa, quæ secundum corporeum a Christo typum, ostensum, rursus ab eo per inflatum restituta. Concurrere enim debet cum prima novitate, ea quæ nunc fit innovatio. Et concursum expressit sufflans, idem ille exsistens, qui a principio insufflavit, idemque, per quem Deus

ἰδικῇ, καὶ δὴ νοεῖται καθ' ἑαυτὸ, καθ' ὃ Πνεῦμα καὶ οὐχ Υἱὸς, ἀλλ' οὗν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός. » Τί φῆς ἐνταῦθα περὶ τοῦ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα ἐξ Υἱοῦ; Δοκεῖ σοι ποιεῖσθαι τὸν λόγον ὁ ἅγιος, προχεῖσθαι λέγων τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐξ αὐτοῦ τοῦ Πατρὸς, ἢ περὶ χαρισμάτων διανομῆς; Ὁ αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Θησαυρῶν, ἐν τῷ λόγῳ οὗ ἡ ἐπιγραφὴ, « Ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, » φησὶν· « Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γινόμενον συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν· ὥσπερ οὖν ἀμέλει καὶ τὸ ἐξ ἀνθρωπείου στόματος ἐκτρέχον ἐμφύσημα, εἰ καὶ μικρὸν καὶ οὐκ ἄξιον τοῦ λόγου τὸ ὑπόδειγμα· πάντα γὰρ ὑπερέχει Θεός. » Ὅρα κἀνταῦθα πῶς φησιν ὁ μέγας ἐν ἁγίοις Κύριλλος, « Πρόεισι τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ, » καὶ σύνες οὐσιωδῶς αὐτὸ προϊέναι καὶ ἐκ τοῦ Υἱοῦ, ἐπειδήπερ οὐσιωδῶς πρόεισι καὶ ἐκ Πατρός. Ἀλλ' ὅτι μὲν τὸ *προχεῖσθαι*, καὶ *προϊέναι*, καὶ *ἀναβλύζειν*, καὶ τὰ τοιαῦτα, τὸ οὐσιωδῶς ὑπάρχειν τὸ Πνεῦμα δηλοῦσιν ἐκ Πατρὸς καὶ Υἱοῦ, διὰ τῶν ῥηθεισῶν, ὡς οἶμαι, μαρτυριῶν ἱκανῶς ἀποδέδεικται.

ιζ'. Ὃ δέ μοι ἐνταῦθα ἐπιστασίας ἠξίωται, τοῦτο δώσω τῷ λόγῳ. « Πρόεισιν εἶπεν ὁ ἅγιος τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ, » καὶ δύο τούτων ὑποστάσεων Πατρὸς καὶ Υἱοῦ ἐμνημόνευσεν· εἶτα μή τις διὰ τὸ δυϊκὸν τῶν ὑποστάσεων ὡς ἐκ δύο αἰτίων εἶναι τὸ Πνεῦμα οἰήσαιτο, ἐπήγαγε παρευθὺς ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊὸν, ἐνικῶς τοῦτο εἰπὼν, οὐδὲν ἄλλο πάντως ἐντεῦθεν ἐμφαίνων, ἢ ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ λέγων τὸ Πνεῦμα, οὐχ ὡς ἐκ δύο αἰτίων λέγει αὐτό. Καὶ ἔτι δὲ ἀριδηλότερον πάλιν ἐνέφηνε μὴ δύο εἶναι τὰς αἰτίας τοῦ Πνεύματος, κατὰ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι αὐτὸ, ἐν τῷ ἐπαγαγεῖν, « Ὥσπερ οὖν ἀμέλει καὶ τὸ ἐξ ἀνθρωπείου στόματος ἐκτρέχον ἐμφύσημα. » Εἰπὼν γὰρ πρότερον « ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, » οὐ προσέθηκε τῇ ἐπαγωγῇ, ὥσπερ οὖν καὶ τὸ ἐξ ἀνθρωπείων στομάτων, ἀλλὰ τὸ ἐξ ἀνθρωπείου στόματος » ἑνικῶς. Τὴν τοιαύτην τῆς ἑνότητος ἔμφασιν, ἐν τῷ ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, καὶ ἑτέρα τις γραφικὴ ῥῆσις τοῦ μεγάλου Βασιλείου βεβαιώσει σοι· οὗτος καὶ γὰρ ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, « Ὅτι θεία φύσις τὸ Πνεῦμα, » φησὶ· « Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις, καὶ θεία φύσις, ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος πεφηνυῖα, ἀῤῥήτως, καὶ κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Κυρίου δειχθέντα τύπον, αὖθις ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισταμένη (συντρέχειν γὰρ δεῖ τῇ κατὰ ἀρχὴν καινότητι τὴν νῦν ἀνακαίνισιν) καὶ τὴν συνδρομὴν ἐξετύπωσεν ἐμφυσήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ'

Digitized by Google Распознавание текста ABK/FR

αὐτὸς δι' οὗ Θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ εἰς ψυχήν. » Ἀλλ' ὅπως μὲν ἡ παροῦσα τοῦ μεγάλου Βασιλείου ῥῆσις τὴν ῥηθεῖσαν τῆς ἑνότητος συνίστησιν ἔμφασιν, ἐροῦμεν ἐν τοῖς ἑξῆς. Νῦν δὲ ἔχεις πάντως, ἀγαπητέ, διαγνῶναι ὑπὸ τοῦ ἀρτίως ἐκτεθέντος ῥητοῦ, ὅπερ ὁ πολὺς οὗτος καὶ μέγας Βασίλειος περὶ τῆς ἐμφυσήσεως εἴρηκεν, ὅπως οἱ ἐν τῷ καιρῷ τοῦ σχίσματος ἀντικαθιστάμενοι τοῖς Ῥωμαίοις ἡμέτεροι ἀδελφοὶ ἐριστικῶς τὰ πολλὰ, καὶ οὐ πρὸς ἀλήθειαν τὴν πρὸς αὐτοὺς ἐποιοῦντο ἀντίῤῥησιν· ἤδη γὰρ ὁ μέγας οὗτος, καὶ πολὺς τὴν θεολογίαν Βασίλειος ἐμφυσᾶσθαι λέγει τὸ Πνεῦμα παρὰ τοῦ Σωτῆρος τοῖς μαθηταῖς, οὐχ ὥστε χάρισμά τι διωρισμένον τούτους λαβεῖν, ὥσπερ οἱ ἐν τῷ καιρῷ τοῦ σχίσματος ἅπαντες ἐξηγήσαντο, ἀλλ' ὥστε ὅλον αὐτὸ τὸ Πνεῦμα σχετικῶς αὐτοῖς ἐνοικῆσαι, ὥσπερ ἐσύστερον καὶ παντὶ πιστεύοντι τὴν τοιαύτην σχετικὴν ἐνοίκησιν τοῦ ἁγίου Πνεύματος ἐγγίνεσθαι πιστεύομεν, εἴπερ ἀῤῥήτως καὶ ὑπὲρ λόγον καὶ ὅλην τὴν Τριάδα παντὶ πιστῷ δοξάζομεν ἐνοικεῖν.

A inflatum elargitus est, cum quidem cum anima, nunc vero in animam. » Sed quomodo præsens magni Basilii dictum expositam unionis speciem constabiliat, infra dicemus. Nunc vero prorsus dignoscere poteris, dilectissime, ex jam adductis verbis quæ multus hic magnusque Basilius de inflatu enuntiavit, qui tempore schismatis Romanis adversabantur, fratres nostros contentiose, ut plurimum, nec veritati attendentes, adversus eos contradictionem molitos fuisse. Jam enim magnus hic multusque in rebus theologicis Basilius inflari dicit Spiritum a Servatore discipulis, non ut donum illi aliquod determinatum acciperent, quemadmodum omnes qui tempore schismatis erant, exposuere, sed ut totus ipse Spiritus in illis habitualiter inhabitaret, veluti postmodum omni credenti eadem habitualis sancti Spiritus inhabitatio ingeritur, si ineffabiliter et supra rationem omnem universam Triadem in singulis fidelibus credimus inhabitare.

ιη'. Εἰ δὲ προσίσταται πρὸς τοῦτό τισιν ἡ πρὸς τὸ μέλλον ἐπηγγελμένη τοῖς μαθηταῖς τοῦ Πνεύματος ἐπιφοίτησις, ἀλλὰ διὰ τὴν ἐν σωματικῷ εἴδει τῶν πυρίνων γλωσσῶν τοῦ Πνεύματος ἐπιφοίτησιν, ἡ ἐν Εὐαγγελίοις ἐτελεῖτο παρὰ τοῦ Σωτῆρος ἐπαγγελία. « Ἔδει γὰρ, » φησὶν ὁ τῆς θεολογίας ἐπώνυμος, « καὶ αὐτὸ φανῆναι σωματικῶς. » Καὶ ὅτι μὴ διωρισμένον τι Πνευματικὸν χάρισμα ἡ τοιαύτη ἐμφύσησις ἦν, ἀλλ' ἡ σχετικὴ ἐνοίκησις ὅλου τοῦ Πνεύματος, σκόπει τὸ τοῦ ῥητοῦ χωρίον, καὶ ἐν τῇ ἐκθέσει αὐτοῦ εὑρήσεις ὅτι λέγει ὁ ἅγιος τὴν ἐμφύσησιν ταύτην ἐκείνου τοῦ Πνεύματος εἶναι, ὅπερ ἐστὶ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, οὗ γὰρ δὴ καὶ χάριν πνευματικὴν ἐρεῖ τις συντεταγμένην εἶναι τῷ Λόγῳ εἰς τὸ δημιουργεῖν· ἀλλ' ὁ μὲν περὶ τῆς ἐμφυσήσεως λόγος διὰ μέσου μοι παρεισωδιάσθη εἰς ἀπόδειξιν τῶν ἄλλως μὲν τοὺς περὶ αὐτῆς λόγους παρὰ τῶν θεολόγων Πατέρων ἐξηγηθῆναι, ἄλλως δὲ παρὰ τῶν οὐ καλῶς διατεθέντων ἐσύστερον πρὸς τὴν εἰρήνην τῆς Ῥωμαϊκῆς Ἐκκλησίας.

18. Quod si nonnullorum aures offendit tempore futuro promissus apostolis Spiritus adventus, sciant propter adventum Spiritus in corporea specie ignitarum linguarum, in Evangeliis factam Servatoris promissionem : « Namque oportebat, » inquit cui a theologia cognomen est, « et ipsum corpore apparere. » Et nullum determinatum donum simile inflatum fuisse, sed tantum totius Spiritus habitualem inhabitationem, si attente dictum consideres, etiam ex illius expositione comperies, sanctum dicere, inflatum illum illius Spiritus esse qui est cum viventi Verbo in eodem ordine collocatus ad creandum : namque nemo dicet donum spiritale in eodem cum Verbo ordine collocatum ad creandum. Sed de inflatu oratio hic interea interposita est, ad demonstrandum, aliter a Patribus theologis sententiam illius expositam fuisse, et aliter ab iis qui postmodum non bene affecti fuerunt unioni cum Romana Ecclesia.

ιθ'. Ἦν δὲ ὁ τοῦ λόγου εἱρμὸς ἀποδειχθῆναι νῦν ἀπαιτεῖ ἔμφασιν τῆς ἑνότητος Πατρὸς καὶ Υἱοῦ ἐν τῷ ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, καὶ δή μοι αὐτῆ ῥηθήσεται. Ὁ μέγας Βασίλειος νῦν μὲν τὸ Πνεῦμα τοῦτο θείαν ὀνομάζει φύσιν, ἄῤῥητον, ἐξ ἀῤῥήτου στόματος πεφηνυῖαν, ἓν εἶναι λέγων τὸ στόμα, ἐξ οὗ τὸ Πνεῦμα, καὶ οὐχὶ δύο· νῦν δὲ παρακατιὼν οὐκ ἄλλον εἶναι λέγει τὸν τοῖς μαθηταῖς ἐκφυσήσαντα, ἀλλ' αὐτὸν δι' οὗ Θεὸς καὶ πάλαι τῷ πρωτοπλάστῳ δέδωκε τὴν ἐμφύσησιν. Καὶ ἐν τῷ λέγειν οὐκ ἄλλον εἶναι τὸν τοῖς μαθηταῖς ἐμφυσήσαντα, ἀλλ' αὐτὸν, δι' οὗ τῷ πρωτοπλάστῳ Θεὸς ἐνεφύσησεν, ὁμολογουμένην ποιεῖται τῶν θείων προσώπων τὴν ἔμφασιν, τοῦ τε Θεοῦ καὶ Πατρὸς, ἐξ οὗ ἡ ἐμφύσησις, καὶ τοῦ Θεοῦ καὶ Υἱοῦ, δι' οὗ ἡ ἐμφύσησις· καὶ τὸ ἐντεῦθεν δηλούμενόν ἐστιν ὡς, τὸ εἴ τι περὶ τοῦ Πνεύματος ἐκ Πατρὸς δι' Υἱοῦ λέγεται, οὐχ ὡς ἐκ δύο αἰτίων αὐτὸ λέγεται. Τοῦτο γὰρ

19. Series vero orationis expostulat, ut notitia unionis Patris et Filii, dum ex Patre et Filio Spiritus progreditur, contradatur. Et jamjam ea commemorabitur. Magnus Basilius nunc vocat Spiritum hunc divinam naturam, ineffabilem, ex ineffabili ore comparentem, unum, inquiens, os esse, ex quo Spiritus, et non duo, nunc vero paululum progressus, non alium esse dicit eum qui discipulis inflaverat, sed eum ipsum, per quem Deus antiquitus homini primum creato inflatum contradidit. Et cum dicit, non alium esse, qui inflavit apostolis, sed eum ipsum, per quem primum homini Deus inflavit, divinarum personarum notitiam certam atque indubitatam expressit, et Dei et Patris, ex quo inflatus, et Dei et Filii per quem inflatus ; et quod inde indicatur est, non quidquid ex Patre per Filium dicitur de Spiritu, tanquam ex duobus causis dici. Hoc enim in fine octavi ad

Digitized by Google Распознавание текста ABK/FR

Amphilochium capitis sanctus innuit illis, « Per Filium vox primariæ causæ confessionem continet. » Sed auctoritatem illam iisdem verbis rursus hic recensere non gravabor, ad confirmandum, satis patere unionem Patris et Filii, quod ex Patre datur per Filium, quam magnus Athanasius oratione quarta adversus Arianos, cujus principium, « Ariani statuentes defectores sese prævaricatoresque veritatis exhibere, » expressit in hunc modum : « Elargiente Patre gratiam et pacem, eam et Filius elargitur : una enim eademque gratia est, ex Patre in Filio, uti est unum lumen solis et radii, et illuminatio solis per radium est. Propterea et Paulus ad Thessalonicenses scribens, — Ipse Deus et Pater noster, et Dominus Jesus Christus Dirigat viam nostram ad vos, — unitatem Patris et Filii conservavit : neque enim dixit, Dirigant, quasi a duobus id concederetur, ab hoc et ab hoc, sed Dirigat, ut ostenderet eam a Patre per Filium tradi. Hac ratione itaque dictis horum præcipuorum Patrum, Athanasii et Basilii, unitate palam illucescente Patris et Filii, ut nulli concedatur ex expositione tradita opinari, ex duabus causis esse, quidquid ex Patre per Filium, sive de creatione sermo sit per Filium ex Patre, sive de rerum creatarum providentia per Filium ex Patre, sive de donorum traditione per Filium ex Patre. Quid reponeret quispiam, cum innumeris Scripturarum locis invenit, Spiritum sanctum ex Patre per Filium habere esse, et ex Patre per Filium exsistere, et ex Patre per Filium effundi, et ex Patre per Filium procedere? Et dictas sanctorum auctoritates in voce, *per Filium*, abunde confirmasse unitatem illius cum Patre, cum vox ea primariæ causæ confessionem contineat, nemo, ut opinor, dubitabit, nisi ille talis sit qui prorsus nullo timore percellitur, et pudore deposito inverecunde apertissimis Scripturis adversatur.

σημαίνειν βουλόμενος καὶ ἐν τῷ τέλει τοῦ ὀγδόου πρὸς τὸν Ἀμφιλόχιον κεφαλαίων ὁ ἅγιος ἔφη· « Ἡ δι' Υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει. » Ἀλλ' οὐδὲ τὴν ῥῆσιν ἐκείνην ὀκνήσω αὐτολεξεὶ καὶ πάλιν ἐκθεῖναι εἰς παράστασιν τοῦ δήλωσιν ἑνότητος ἐμφαίνειν τοῦ Πατρὸς καὶ Υἱοῦ, ἣν ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν τετάρτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, « Οἱ Ἀρειομανῖται, ὡς ἔοικε, κρίναντες ἅπαξ ἀποστάται γενέσθαι καὶ παραβάται τῆς ἀληθείας, » εἴρηκεν οὕτως εἰπών· « Διδόντος τοῦ Πατρὸς χάριν καὶ εἰρήνην, αὐτὴν καὶ ὁ Υἱὸς δίδωσι. Μία γὰρ καὶ ἡ αὐτὴ χάρις ἐστὶ παρὰ Πατρὸς ἐν Υἱῷ, ὡς ἔστιν ἓν τὸ φῶς τοῦ ἡλίου καὶ τοῦ ἀπαυγάσματος, καὶ τὸ φωτίζειν τοῦ ἡλίου διὰ τοῦ ἀπαυγάσματος γίνεται. Διὰ τοῦτο καὶ Παῦλος πρὸς Θεσσαλονικεῖς λέγων, — Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν, καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς, — τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐφύλαξεν. Οὐ γὰρ εἶπε, Κατευθύνοιεν ὡς παρὰ δύο διδομένης παρὰ τούτου καὶ τούτου, ἀλλὰ Κατευθύναι, ἵνα δείξῃ ὅτι ὁ Πατὴρ δι' Υἱοῦ δίδωσι ταύτην. Οὕτω γοῦν ἀπὸ τῶν ῥήσεων τῶν ἁγίων τούτων, Ἀθανασίου καὶ Βασιλείου, φημὶ, τῶν μεγάλων, τῆς ἑνότητος ἀναφαινομένης Πατρὸς καὶ Υἱοῦ, ὡς μηδενὶ τῶν ἁπάντων παραχωρεῖσθαι ἀπὸ τῆς ἐξηγήσεως ταύτης οἴεσθαι, ὡς ἐκ δύο εἶναι αἰτίων πᾶν εἴ τι περ ἐκ Πατρὸς δι' Υἱοῦ, εἴτε δημιουργίαν εἴποις δι' Υἱοῦ ἐκ Πατρὸς, εἴτε πρόνοιαν τῶν δημιουργηθέντων δι' Υἱοῦ ἐκ Πατρὸς, εἴτε δόσιν χαρισμάτων πνευματικῶν δι' Υἱοῦ ἐκ Πατρός. Τί ἂν τις εἰπεῖν ἔχῃ, ὅταν μυριαχοῦ τῆς Γραφῆς εὑρίσκῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς δι' Υἱοῦ ἔχον τὸ εἶναι, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ ὑπάρχον, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον οὐσιωδῶς, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον; Ἀλλ' ὅτι μὲν αἱ ῥηθεῖσαι τῶν ἁγίων χρήσεις εἰς τὴν *δι' Υἱοῦ* φωνὴν ἱκανῶς παρέστησαν τὴν πρὸς τὸν Πατέρα ἑνότητα τούτου, ἅτε τῆς λέξεως, ταύτης τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἐχούσης, ὁ ἀμφιβάλλων, οἶμαι, οὐδεὶς, εἰ μή γε τοιοῦτος ἀναφανείη τις, ὃς μηδεμίαν τὸ παράπαν ἡγεῖται δειλίαν καταπροδήλως ἀναισχυντῶν ταῖς Γραφαῖς ἀντιβαίνειν.

20. Verum enim vero et ipsam communem pietatis nostræ notionem hoc idem nobis suggerere, non erit comprehensu difficile. Ubicunque enim *per Filium* accipitur, nisi pro naturali et essentiali cum Patre unione Filii secundum apparentem ex *Per* præpositione confessionem primariæ causæ, intelligere quis velit, erit prorsus necessarium, in usum ministerialis cogitationis assumere. Sed quando communis nostræ pietatis notio in similem sententiam accipi illud *per Filium* ut impium prohibet, ac proscribit, clarum remanet, essentialem unitatem vocem *per Filium* indicare, cum dicimus ex Patre per Filium Spiritum esse, et procedere. Ut ubi in confessis fuerit, indicare nempe vocem *per Filium* essentialem unitatem, facillime postmodum deprehendetur, nullum discrimen esse, ex Filio esse dicere, quod ex Patre per Filium est. Quodsi quibusdam incertum videtur has præpositiones alteram alterius locum occupare, magnus

κ'. Ὅτι δὲ καὶ αὐτὴ ἡ κοινὴ τῆς εὐσεβείας ἡμῶν ἔννοια τοῦτο νοεῖν ἡμᾶς δίδωσιν, οὐδὲ τοῦτο δυσχερὲς εἰς κατάληψιν. Ὅπου γὰρ λαμβάνεται τὸ *δι' Υἱοῦ*, εἰ μὴ διὰ τὴν πρὸς τὴν Πατέρα φυσικὴν καὶ οὐσιώδη ἑνότητα τοῦ Υἱοῦ κατὰ τὴν ἀναφαινομένην ἐκ τῆς διὰ ὁμολογίαν τῆς προκαταρκτικῆς αἰτίας τοῦτο νοεῖν τις ἐθέλει, ἔσται κατὰ πᾶσαν ἀνάγκην εἰς χρῆσιν ὑπηρετικῆς ἐννοίας αὐτὸ λαμβανόμενον. Ἀλλ' ἐπεὶ ἡ κοινὴ τῆς εὐσεβείας ἡμῶν ἔννοια τὸ εἰς τὴν τοιαύτην ἔννοιαν λαμβάνεσθαι τὸ *δι' Υἱοῦ* ἀπαγορεύει ὡς ἀσεβὲς, εὔδηλον ὡς οὐσιώδους ἑνότητος, δήλωσιν ἡ *δι' Υἱοῦ* φωνὴ ἔχει, ἐν τῷ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα εἶναι, καὶ ἐκπορεύεσθαι. Τούτου δὲ ὁμολογηθέντος, τοῦ ἔχειν δηλαδὴ τὴν *δι' Υἱοῦ* φωνὴν δήλωσιν οὐσιώδους ἑνότητος, ῥᾷον ἔσται λοιπὸν συνιδεῖν μηδέν τι διαφέρειν εἶναι καὶ ἐξ Υἱοῦ λέγειν τὸ ἐκ Πατρὸς ὑπάρχον δι' Υἱοῦ. Εἰ δέ τισιν ἄπορον εἶναι δοκεῖ ἀλλήλαις τὰς προθέσεις ταύτας ἀντεπιχωριάζειν, ἀλλ' ὁ μέγας Βασί-

Digitized by Google Распознавание текста ABK/FR

λειος συστήσει καὶ τοῦτο. Οὕτος καὶ γὰρ ἐν τῷ A
οὕτωσί πως ἐπιγραφομένῳ περὶ τοῦ παναγίου Πνεύ-
ματος κεφαλαιώδει πέμπτῳ λόγῳ αὐτοῦ πρὸς τὸν
μακάριον Ἀμφιλόχιον, οὗ ἡ ἀρχή, « Τὰ μὲν δὴ ἐκεί-
νων τοιαῦτα· ἡμεῖς δὲ εἰξόμεν, ὃ προεθέμεθα, » οὕτω
φησίν· « Οὐ μόνον δὲ ἐπὶ τῆς θεολογίας αἱ χρήσεις τῶν
φωνῶν ἐπιλλάττονται, ἀλλ' ἤδη καὶ πρὸς τὰ ὑπ' ἀλ-
λήλων σημαινόμενα πολλάκις ἀντιμεθίστανται, ὅταν
ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ, οἷον
Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, φησὶν ὁ
Ἀδάμ, ἴσον λέγων τῷ, ἐκ τοῦ Θεοῦ· καὶ ἑτέρωθι,
Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ προστάγ-
ματος Κυρίου· » καὶ πάλιν· « Οὐχὶ διὰ τοῦ Θεοῦ
ἡ διασάφησις αὐτῶν ἐστιν; ὁ Ἰωσὴφ τοῖς ἐν δεσμω-
τηρίῳ διαλεγόμενος. Σαφῶς γὰρ καὶ αὐτὸς ἀντὶ τοῦ
ἐκ Θεοῦ εἰπεῖν διὰ τοῦ Θεοῦ εἴρηκεν. Καὶ ἀνάπα- B
λιν τῇ Ἐξ οὗ προθέσει ἀντὶ τῆς Δι' οὗ κέχρηται·
ὡς ὅταν λέγῃ Παῦλος, Γενόμενος ἐκ γυναικός·
Τοῦτο γὰρ ἡμῖν ἑτέρωθι σαφῶς διεστείλατο, τῇ γυ-
ναικὶ μὲν προσήκειν λέγων τὸ ἐκ τοῦ ἀνδρὸς γεγεν-
νῆσθαι, ἀνδρὶ δὲ τὸ διὰ γυναικός, ἐν οἷς φησιν ὅτι,
« Ὥσπερ ἡ γυνὴ ἐξ ἀνδρός, οὕτως ἀνὴρ διὰ γυναι-
κός. » Ἀλλ' ὅμως ἐνταῦθα ὁμοῦ μὲν τὸ διάφορον
τῆς χρήσεως ἐνδεικνύμενος, ὁμοῦ δὲ καὶ τὸ σφάλμα
τινῶν ἐν παραδρομῇ διορθούμενος, τῶν οἰομένων
πνευματικὸν εἶναι τὸ τοῦ Κυρίου σῶμα, ἵνα δείξῃ
ὅτι ἐκ τοῦ ἀνθρωπείου φυράματος ἡ θεοφόρος σὰρξ
συνεπάγη, τὴν ἐμφαντικωτέραν φωνὴν προετίμησεν.
Τὸ μὲν γὰρ Διὰ τῆς γυναικὸς παροδικὴν ἔμελλε τὴν
ἔννοιαν τῆς γεννήσεως ὑπεμφαίνειν· τὸ δὲ Ἐκ τῆς C
γυναικὸς ἱκανῶς παραδηλοῦν τὴν κοινωνίαν τῆς
φύσεως τοῦ τικτομένου πρὸς τὴν γεννήσασαν, οὐχ
ἑαυτῷ που μαχόμενος, ἀλλὰ δεικνὺς ὅτι ῥᾳδίως ἀλ-
λήλαις ἀντεπιχωριάζουσιν αἱ φωναί. » Ὅτι μὲν
οὖν ἐπὶ τῆς θεολογίας αἱ χρήσεις τῶν φωνῶν ἐπιλ-
λάττονται, ἐκ τῶν ἤδη ῥηθέντων ὁ μέγας Βασίλειος
οὕτω συνίστησιν. Εἰ δὲ καὶ δευτέρου ἡμῖν δεήσει
μάρτυρος πρὸς παράστασιν τοῦ ἀντεπιχωριάζειν
τὰς προθέσεις ταύτας ἀλλήλαις, καὶ ὁ ἅγιος Κύριλ-
λος προσεπιμαρτυρήσει ἡμῖν τὰ αὐτά· οὗτος γὰρ ἐν
τοῖς κατὰ πεῦσιν καὶ ἀπόκρισιν πρὸς Παλλά-
διον λόγοις οὕτω φησί· « Τρεπτὸν δὲ οὔ τοί που τὸ
Πνεῦμά ἐστιν· ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐ-
τὴν ὁ μωμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ
ἐστὶ τοῦ Θεοῦ καὶ Πατρός, καὶ μὴν τοῦ Υἱοῦ τὸ D
οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προ-
χεόμενον Πνεῦμα. » Ὅρα καὶ τὸν θαυμαστὸν Κύριλ-
λον ἀξιόπιστον ἐξηγητὴν ὄντα σοι τοῦ μηδὲν διαφέ-
ρειν εἰπεῖν οὐσιωδῶς ἐκ Πατρὸς καὶ Υἱοῦ προχεῖ-
σθαι τὸ Πνεῦμα, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ προχεῖ-
σθαι αὐτό. Εἰπὼν γὰρ οὗτος τὸ « Οὐσιωδῶς ἐξ
ἀμφοῖν, » ἵνα τὸ τῶν προθέσεων ἰσοδύναμον παρα-
στήσῃ, εὐθὺς ἐπήγαγεν, Ἤγουν ἐκ Πατρὸς δι'
Υἱοῦ. Αὗται μὲν αἱ τοῦ ἰσοδυνάμου τῆς ἐκ καὶ διὰ
γραφικαὶ μαρτυρίαι.

κα'. Ὁ δὲ λόγος πρὸς τὸν ἔλεγχον ἐπαναδραμείτω
καὶ πάλιν τῶν οὐ καλῶς τὴν δι' Υἱοῦ ἐκλαμβανόντων
φωνὴν, ἐν τῷ λέγεσθαι τὸ Πνεῦμα ἐκπορευόμενον δι'

[a] I Cor. xi, 8.

Basilius hoc quoque comprobabit. Hic enim in eo quod ita inscribitur de Spiritu sancto capite quarto ad beatum Amphilochium, cujus principium est, « Et ad hunc quidem modum se habent. quæ ab istis adferuntur, » ita scribit : « Neque enim solum cum de Deo sit sermo, harum vocum usus variat, verum etiam ea, quæ ab his significantur, sæpenumero invertuntur, quoties altera alterius recipit significationem, veluti possedi hominem per Deum, inquit Adam ; idem dicens, quasi dixisset, ex Deo. Et alibi, Quæ præcepit Moyses Israeli per mandatum Domini ; et rursum : Nonne per Deum horum manifestatio est ? Ita Joseph, loquens de insomniis apud eos qui erant in carcere, palam est et hunc pro eo quod erat, Ex Deo, dixisse, Per Deum. Et contra, hæc particula, Ex quo, usurpatur pro, Per quem, velut cum ait Paulus, Factus ex muliere, pro eo quod erat, Per mulierem. Nam id nobis alibi perspicue distinxit, cum ait, Feminæ convenire, e viro natam esse, viro autem per feminam, in his quæ sic scribit [a] : « Quemadmodum mulier ex viro, ita vir per mulierem. » Quanquam hic Apostolus simul ostendens diversum harum vocum usum, simul obiter corrigens quorumdam errorem, existimantium Domini corpus esse spirituale, ut ostenderet carnem Dei gestatricem ex humana massa concretam fuisse, maluit uti verbo significantiore. Nam hæ dictiones, Per mulierem, transitorium generationis intellectum erant significaturæ ; at hæ, Ex muliere, sufficienter declarant communionem naturæ genitæ cum ea quæ genuit : non quod secum pugnet Apostolus, sed ostendit has voces facile sibi vicissim cedere. » In theologia itaque usus vocum immutari, ex dictis magni Basilii verbis comprobatur : quod si et secundo teste indigemus, ad confirmandum, has præpositiones alteram in alterius loco apponi, sanctus Cyrillus id præstabit, qui secundum interrogationem et responsionem ad Palladium orationibus, hæc tradit : « Mutabilis vero nullo modo Spiritus est, quod si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, præterea et Filii, essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus. » Vide etiam ex admirando Cyrillo qui tibi fide dignus interpres accedit, nihil differre, sive dicas essentialiter ex Patre et Filio effundi Spiritum, sive ex Patre per Filium eum effundi. Namque eum dixisset, « essentialiter ex ambobus, » ut æquas præpositionum vires ostenderet, continuo annexuit, « ex Patre scilicet per Filium. » Et hæc quidem præpositionum *ex* et *per* æquivalentes vires comprobantia testimonia.

21. Oratio porro ad eos redarguendos interim revertetur, qui vocem *per Filium* non bene interpretantur, cum dicitur Spiritus procedere ex Patre

Digitized by Google Распознавание текста ABBYY FR

per Filium. Namque, dum audiunt nonnulli, Spiritum habere per Filium, quod sit, et per Filium ex Patre procedere : Ecquid novi, inquiunt, est, si per Filium Spiritus dicitur esse, et per Filium ex Patre procedere? neque enim, *per*, hic ministerium denotare, concedemus, neque essentiam, et forte etiam neutrum ex his. Et quid vos adhæc dicitis? Quid dicimus? Erga Filium Patris habitum dictio indicat; veluti enim, cum dicimus Spiritum procedentem ex Patre, non valemus comprehendere dictionem ipsum nomen Patris significantem, absque Filio : namque Patris appellatio relationem ad Filium, prorsus infert, sic cum ex Patre per Filium dicitur Spiritus procedere, id dicitur propter Patris erga Filium relationem, et non quod essentialiter sit medius Filius inter Patrem et Spiritum : namque ut administrum medium esse affirmare, detestamur, et anathemate icimus. Quid porro ad hæc nos? Ut administrum medium esse Filium, in exsistentia Spiritus ex Patre, detestamini, et anathemate icitis, non vestræ id benevolentiæ dedimus, sed debitum prorsus a vobis solvendum reputamus. Verum vos essentialiter Filium esse medium in exsistentia Spiritus ex Patre palam confiteri procrastinare, et habitualis operationis manifestationem esse vocem *per Filium* contendere, neque nobis, neque veritati allubescit. Quo etenim alio nisi essentia medius erit Filius, in Spiritus ex Patre exsistentia? Quare attento animo aures præbete. Ex Patre dicitur Spiritus per Filium, et ex Patris essentia Spiritum, esse a quo vertatur in dubium? Et cum ex Patris essentia sit, et ipsam essentiam esse in hypostasi, quis non palam fatebitur? Spiritu igitur essentialiter et in hypostasi per Filium ex essentia Patris procedente, quis illud per Filium ad manifestandam habitualem intelligentiam, et non ad confirmationem intermedii essentialis decernet esse accipiendum? Quod enim essentialiter ex essentia Patris est, cum immediate non sit ex Patre, essentialiter omnino habet Filium intervenientem, in sua ex Patre exsistentia. Neque enim immediate quisquam reperiet Spiritum exsistere; aut procedere ex Patre, licet admodum defatigetur sacras Scripturas exterebrans. Qui enim immediate dicis ex Patre Spiritum, irritum facis illud per Filium, et qui per Filium dicit ex Patre Spiritum esse, immediate illum ex Patre esse non recipit. Hæc enim simul una esse fieri nequit, immediate, et per Filium. Cui igitur attendendum est, decernenti ex se ipso, immediate, an vero illis, qui per Filium ex Patre cum asseverant? Sanctis utique Patribus, et theologis aperte ex Patre, per Filium Spiritum esse tradentibus, non ex ventre eructanti, effutientique quidquid in buccam venerit. Et voce *per Filium* redargui, non bene opinari eum, qui immediate existimat esse Spiritum ex Patre, manifestum est ex eo, quod simul una esse non possunt, et immediate, et per Filium.

Υἱοῦ ἐκ Πατρὸς, ἀκούοντές τινες τὸ Πνεῦμα δι' Υἱοῦ τὸ εἶναι ἔχον, καὶ δι' Υἱοῦ ἐκπορευόμενον ἐκ Πατρός· Καὶ τί καινὸν, φασὶν, εἰ δι' Υἱοῦ τὸ Πνεῦμα λέγεται εἶναι, καὶ δι' Υἱοῦ ἐκ Πατρὸς ἐκπορεύεσθαι; οὔτε γὰρ ὑπουργικῶς τὴν *διὰ* ἐνταῦθα δώσομεν ἐκλαμβάνεσθαι, οὔτε μὴν οὐσιωδῶς, ἀλλ' ἴσως κατ' οὐδέτερον τούτων. Καὶ τί φατε, ὦ πρὸς ταῦτα ὑμεῖς; Τί φαμεν; Τὴν πρὸς τὸν Υἱὸν τοῦ Πατρὸς σχέσιν ἡ λέξις ἐμφαίνει. Ἐπεὶ γὰρ, ὅταν λέγωμεν τὸ Πνεῦμα ἐκπορευόμενον ἐκ Πατρὸς, οὐ δυνάμεθα νοῆσαι αὐτὴν τὴν δηλοῦσαν τὸ τοῦ Πατρὸς ὄνομα λέξιν ἄνευ καὶ Υἱοῦ· τὸ γὰρ Πατὴρ ὄνομα τὴν πρὸς τὸν Υἱὸν σχέσιν πάντως ἐμφαίνει, ὅταν ἐκ Πατρὸς δι' Υἱοῦ λέγηται τὸ Πνεῦμα ἐκπορεύεσθαι διὰ τὴν τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν σχέσιν εἴρηται τοῦτο, καὶ οὐ διὰ τὸ οὐσιωδῶς μεσιτεύειν τὸν Υἱὸν Πατρί τε καὶ Πνεύματι. Τὸ γὰρ ὑπουργικῶς μεσιτεύειν εἰπεῖν ⟨καταργοῦμεν καὶ ἀναθεματίζομεν. Τί δὲ πρὸς ταῦτα ἡμεῖς; Ὅτι μὲν τὸ ὑπουργικῶς μεσιτεύειν τὸν Υἱὸν τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος καταργεῖτε καὶ ἀναθεματίζετε, οὐ χάριν ὑμετέραν τοῦτο, ἀλλὰ χρέος ἀπαραίτησιν ὑμῶν λογιζόμεθα· ὅτι δὲ τὸ οὐσιωδῶς μεσιτεύειν τὸν Υἱὸν ἐπὶ τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος διαρρήδην ὁμολογεῖν ἀναβάλλεσθε, καὶ σχετικῆς ἐμφάσεως δήλωσιν εἶναι τὴν *δι' Υἱοῦ* φωνὴν διατείνεσθε, οὔτε ἡμῖν οὔτε τῇ ἀληθείᾳ τοῦτο ἀρέσκει. Κατὰ τί γὰρ ἄλλο, ὅτι μὴ κατὰ τὸ οὐσιωδῶς τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος μεσιτεύσει ὁ Υἱός; Καὶ γοῦν προσχόντες, ἀκούσατε. Ἐκ Πατρὸς λέγεται τὸ Πνεῦμα δι' Υἱοῦ· καὶ ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸ Πνεῦμα, τίνι καὶ ἔσται ἀμφιβαλλόμενον; Ὅτι δὲ ἐκ τῆς τοῦ Πατρὸς ὑπάρχον οὐσίας, καὶ αὐτὸ οὐσία ἐστὶν ἐνυπόστατος, τίς οὐχ ὁμολογήσει τρανῶς; Τοῦ οὖν Πνεύματος οὐσιωδῶς καὶ ἐνυποστάτως δι' Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἐκπορευομένου, τίς ἂν ἐνταῦθα τὸ δι' Υἱοῦ εἰς δήλωσιν σχετικῆς ἐννοίας, καὶ οὐκ εἰς παράστασιν μεσιτείας οὐσιώδους δογματίσῃ παραλαμβάνεσθε; Τὸ γὰρ οὐσιωδῶς ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ὑπάρχον, ἐπεὶ μὴ ἀμέσως ἐστὶν ἐκ Πατρὸς, καὶ οὐσιωδῶς πάντως ἔχει τὸν Υἱὸν μεσιτεύοντα κατὰ τὴν ἐκ Πατρὸς αὐτοῦ ὕπαρξιν. Οὐδὲ γὰρ ἀμέσως εὑρήσει τις τὸ Πνεῦμα ὑπάρχον ἢ ἐκπορευόμενον ἐκ Πατρὸς, κἂν μυρία κάμῃ πᾶσαν⟩ θεόπνευστον ἀνιχνεύων Γραφήν. Ὁ γὰρ ἀμέσως ἐκ Πατρὸς λέγων τὸ Πνεῦμα κατήργησε τὸ δι' Υἱοῦ. Καὶ ὁ δι' Υἱοῦ λέγων ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα ἀμέσως εἶναι αὐτὸ ἐκ Πατρὸς οὐ προσίσταται. Ταῦτα γὰρ συνυπάρχειν ἀλλήλοις ἀδύνατον, τό τε ἀμέσως καὶ τὸ δι' Υἱοῦ. Τίνι γοῦν προσθετέον, τῷ ἐξ ἑαυτοῦ δογματίζοντι τὸ, ἀμέσως, ἢ τοῖς διὰ τοῦ Υἱοῦ ἐκ Πατρὸς θεολογοῦσιν αὐτό; Τοῖς ἁγίοις Πατράσι, καὶ θεολόγοις πάντως, τοῖς ἐκ Πατρὸς διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα θεολογήσασι, καὶ οὐχὶ τῷ ἀπὸ κοιλίας ἐρευγομένῳ σύμπαν τὸ παριστάμενον. Καὶ ὅτι μὲν ἐκ τῆς *δι' Υἱοῦ* φωνῆς ἐλέγχεται οὐ καλῶς οἴεσθαι ὁ ἀμέσως οἰόμενος εἶναι τὸ Πνεῦμα ἐκ Πατρὸς, δῆλον ἐκ τοῦ μὴ δύνασθαι συνυπάρχειν ἀλλήλοις τό τε ἀμέσως καὶ τὸ δι' Υἱοῦ.

Digitized by Google Распознавание текста ABK/FR

κβ. Ὅτι δὲ οὐ μόναις ταῖς θεσλογούσαις τὸ Πνεῦμα φωναῖς ἡ δήλωσις ἐνεστι τοῦ ἀμέσως ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα, ἀλλὰ πολλαὶ καὶ ἄλλαι γραφικαὶ χρήσεις τοῖς εἰς βάθος διανοουμένοις τὸ αὐτὸ νόημα παριστῶσιν, δηλώσει τὰ ῥηθησόμενα. Τί γὰρ ἂν ἄλλο διανοήσαιτό τις, τῷ Θαυματουργῷ Γρηγορίῳ λέγοντι ἐντυγχάνων, ὅτι, « Τοῦ Κυρίου ὁ Πατὴρ ἀρχὴ, ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος; » Πῶς νοηθήσεται τὸ Πνεῦμα τοῦ Κυρίου πρωτότυπον, εἰ καὶ τὸ Πνεῦμα ἀμέσως ὡς ὁ Υἱὸς ἐκ Πατρός; Ἢ πῶς νοηθήσεται ὁ μὲν Υἱὸς εἰκὼν τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ; Ἢ πῶς νοηθήσεται ὁ μὲν Πατὴρ προεπινοούμενος τοῦ Υἱοῦ τῷ αἰτίῳ, ὁ δὲ Υἱὸς κατὰ τὸν τῆς αἰτίας λόγον προεπινοούμενος τῆς τοῦ Πνεύματος ὑποστάσεως; Ἢ πῶς νοηθήσεται ὁ μὲν Πατὴρ μείζων τοῦ Υἱοῦ, ὁ δὲ Υἱὸς μείζων τοῦ Πνεύματος; Ἢ πῶς νοηθήσεται τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ συναπτόμενον τῷ Πατρί;

κγ. Ἀλλὰ πάλιν, εἰ καὶ οὐσιωδῶς, φασὶν, ἐκ Πατρὸς δι' Υἱοῦ ὑπάρχει τὸ Πνεῦμα, τίς ὁ λόγος ἐν ταῖς ὑπὲρ πᾶσαν τάξιν θεωρουμέναις ὑποστάσεσι τῆς Τριάδος, τὴν τοῦ Υἱοῦ ὑπόστασιν μέσου Πατρὸς καὶ Πνεύματος λέγειν, ὡς κατηναγκασμένης ἐκεῖσε οὔσης τῆς τάξεως Περὶ τῆς τάξεως ταύτης οὐδὲν ἐγὼ ἐρῶ σοι ἀπ' ἐμαυτοῦ, αὐτοὺς δ' ἐκείνους τοὺς περὶ ταύτης εἰρηκότας. Πατέρας προθήσομαί σοι ἐπὶ τοῦ μέσου, ὡς ἕκαστος ἐπὶ λέξεως εἴρηκεν. Αὐτίκα ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ, οὗ ἡ ἀρχὴ, « Ὑμᾶς μὲν δίκαιον τοὺς ἀκμάζοντας ἐν πάσῃ δυνάμει διαγωνίζεσθαι, » φησί· « Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα. Ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν ἄϊτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου· καὶ τοῦ ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. » Τίς τῶν ἁγίων ἀριδηλότερον παραστήσει τὴν ἐν τῇ Τριάδι τάξιν, καὶ τὴν κατὰ πᾶσαν ἀνάγκην πρὸς τὸν Πατέρα καὶ τὸ Πνεῦμα μεσιτείαν τοῦ Υἱοῦ; Εἰ δὲ εἰς παράστασιν τῆς ἐν τῇ Τριάδι τάξεως ὁ Νύσσης Γρηγόριος οὐκ ἀρκεῖ, συνεπιμαρτυρήσει αὐτῷ τὰ περὶ τῆς τάξεως καὶ ὁ μέγας Βασίλειος. Οὗτος καὶ γὰρ ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν λόγῳ, οὗ ἡ ἀρχὴ, « Εἰ μὲν ἐβούλοντο πάντες, ἐφ' οἷς τὸ ὄνομα τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικέκληται, » φησίν· « Ἀλλὰ τάξις ἡ μὲν φυσική τίς ἐστιν, ἡ δὲ κατ ἐπιτήδευσιν· φυσικὴ μὲν, ὡς ἡ τῶν κτισμάτων κατὰ τοὺς δημιουργικοὺς λόγους ταχθεῖσα, καὶ ἡ τοῦ ἀριθμοῦ θέσις, καὶ ἡ τῶν αἰτίων πρὸς τὰ αἰτιατὰ σχέσις, ἐκείνου προδιωμολογημένου τοῦ καὶ τῆς φύσεως αὐτῆς ποιητὴν εἶναι καὶ δημιουργὸν τὸν Θεόν· ἐπιτετηδευμένη δὲ καὶ

22. Neque solas, quæ de Spiritu pertractaverunt, voces aperte notasse, non esse immediate Spiritum ex Patre, sed multa alia scripto tradita testimonia, illis, qui sententiam eorum accurate percipiunt, confirmasse, infra dicenda ostendent. Quid enim aliud mente apprehendet, qui Thaumaturgum Gregorium scribentem percurrit : « Domini Pater principium, ab æterno ipsum generans, et Dominus prototypus Spiritus? » Et quanam ratione intelligi poterit Domini prototypon erga Spiritum, si et Spiritus immediate uti et Filius ex Patre? Vel quomodo intelligetur Filius imago Patris, et Spiritus imago Filii? Vel quomodo intelligetur Pater ut causa prius, quam Filius; percipietur et Filius ratione causæ ante hypostasim ipsam Spiritus? Vel quomodo intelligetur Pater major Filio, et Filius major Spiritu? Vel quomodo intelligetur Spiritus per Filium Patri adhærescens?

23. Sed rursus, licet essentialiter, inquiunt, ex Patre per Filium Spiritus est, quæ ratio fuerit, in Triadis hypostasibus supra omnem ordinem consideratis Filii hypostasim mediam inter Patrem et Spiritum fateri, quasi necessario ibi ordo introducendus sit? De hoc ordine nihil ipse de meo afferam, sed Patres illos, qui de eo sermonem habuere, in medium producam verbatim, ut illi enuntiarunt. Primus Nyssenus Gregorius oratione ad Ablabium, cujus illud principium est : « Justum est equidem vos, qui viribus polletis in omni robore decertare, » scribit: « Immutabilem et per omnia similem naturam confitentes, discrimen causæ et effectus non inficiamur, in quo solum disjungi alterum ab altero deprehendimus; cum credamus hoc quidem causam esse, illud ex causa : et illius, quod ex causa est, aliud rursus discrimen comprehendimus. Namque hoc quidem est immediate a primo, hoc vero ex contiguo a primo. Adeo ut unigenitum indubitatum maneat in Filio, et ex Patre esse Spiritum, Filii mediatione, sibi ipsi unigenitum conservantis, et Spiritum a naturali ad Patrem habitudine non arcentis. » Quis ex Patribus apertius, qui in Triade est, ordinem explanabit, et prorsus necessariam ad Patrem et Spiritum Filii mediationem? Quod si ad stabiliendum in Triade ordinem Gregorius Nyssenus satis non est, testem se alterum de hoc ordine magnus Basilius adjunget. Ita enim primo adversus Eunomium antirrhetico, cujus principium, « Siquidem omnes vellent, super quos nomen Dei et Servatoris nostri Jesu Christi invocatum est, » tradit; sed ordo alter naturalis est, alter artificiosus. Naturalis, qui creaturarum juxta creandi rationes dispositus est, et positio numeri, et causarum ad effectus relatio, ante omnia cum illud in confessis sit, ipsius naturæ Deum et creatorem et opificem esse. Artificiosus vero et industria hominum excogitatus, qui in structuris, et disciplinis, et dignitatibus, et numero, et similibus. Horum primum occultans

Digitized by Google Распознавание текста АВК/FR

Eunomius, secundæ speciei ordinis mentionem fecit, aitque, non esse opus asserere ordinem in Deo, cum ordo ordinante posterior sit. Illud autem vel non animadvertit, vel volens prudensque occultavit, esse genus aliquod ordinis, non nostra industria constitutum, sed secundum naturæ seriem contingens, veluti ignis ad lumen, quod ex eo est. In his etenim prius causam dicimus, posterius quod ab eo est, non intervallo ea ab invicem dirimentes, sed ante effectum causam intelligentes. Quomodo itaque rationi consentaneum fuerit, ordinem denegare, in quibus est prius et posterius, non nostra industria, sed ex naturali in ipsis exsistente consecutione? Qua ergo de causa ordinem assumere in Deo respuit? Opinatur, si ostenderit nequaquam aliter prius in Deo intelligi, reliquum se habiturum, in ipsa scilicet substantia eminentiam demonstrari. Nos vero secundum causarum ad ea, quæ ex ipsis sunt, relationem, præponi Filio Patrem fatemur, naturæ vero diversitate nullo modo, neque secundum exsuperantiam. Sic enim et Patrem esse Deum rejiceremus, cum essentialis diversitas naturalem conjunctionem respuat. » Idem ad Gregorium fratrem epistola, cujus principium, « Quando plerique commune essentiæ in arcanis dogmatibus non dignoscunt, » scribit: « Qui Spiritum attraxit, per eum et Filium et Patrem simul attraxit, et Filium vere qui apprehenderit, habebit eumdem utrinque, hinc illius Patrem, hinc Spiritum sanctum conductum. Neque enim vel scissura aliqua ullo pacto, vel divisio excogitanda est, ut, aut Filius absque Patre intelligatur, aut Spiritus a Filio separetur. » Hac ratione, et a similibus testibus ordine in Triade comprobato, quomodo absque periculo intelligere deprehendentur, qui dicunt: Quæ ratio est, inter super omnem ordinem consideratas Triadis hypostases, Filii hypostasim mediam inter Patrem et Spiritum affirmare, quasi ibi ordo per vim introduceretur? Sed illud, *per Filium*, non inferre relationem, ut nonnulli existimant, consequitur ex Scripturis redargui; et abunde redargui hac dictione eos, qui immediate opinantur, ex Patre esse Spiritum: nec non ordinem, qui in Triade est, hac voce comprobari, satis ex jam allatis demonstratum est.

24. Porro in quibus *Per* essentialem exsistentiam notat, ita eam accipi, ut *Ex* præpositionis vires exæquet, etiam ex illis, quæ naturaliter fiunt comparentque, cognoscetur. Ex radice siquidem per ramum astruentes fructum, quid aliud agimus, quam eum ex ramo enuntiamus? Et ex oculo per fontem fluvium dicentes, quid aliud quam ex fonte asserimus? Sed sunt præterea alii, qui contendunt, esse Spiritum ex Patre et Filio, non affirmari ex Patribus, quod essentialiter inter Patrem et Spiritum mediet Filius, sed quod sit

A τεχνικὴ, ὡς ἡ ἐν τοῖς κατασκευάσμασι καὶ μαθήμασι, καὶ ἀξιώμασι, καὶ ἀριθμῷ, καὶ τοῖς τοιούτοις. Τούτων τοίνυν τὸ πρότερον ἀποκρυψάμενος Εὐνόμιος, τοῦ δευτέρου εἴδους τῆς τάξεως ἐπεμνήσθη, καί φησι μὴ χρῆναι λέγειν ἐπὶ Θεοῦ τάξιν, ἐπείπερ ἡ τάξις δευτέρα τοῦ τάττοντος. Ἐκεῖνο δὲ ἢ οὐ σύνοιδεν, ἢ ἐκὼν ἀπεκρύψατο, ὅτι ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ· ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν· δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀπ' ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Τίνος; οὖν ἕνεκεν ἀθετεῖ τὴν τάξιν λαμβάνεσθαι ἐπὶ Θεοῦ; Ἡγεῖται, εἰ ἐπιδείξειε μηδαμῶς ἄλλως τὸ πρότερον ἐπὶ Θεοῦ νοεῖσθαι, λειπόμενον ἕξειν κατ' αὐτὴν τὴν οὐσίαν τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν, προτετάχθαι τοῦ Υἱοῦ τὸν Πατέρα φαμὲν, κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν οὐκέτι, οὐδὲ κατὰ τὴν τοῦ χρόνου ὑπεροχήν· ἢ οὕτω γε καὶ αὐτὸ τὸ Πατέρα εἶναι τὸν Θεὸν ἀθετήσομεν, τῆς κατὰ τὴν οὐσίαν ἀλλυτριότητος τὴν φυσικὴν συνάφειαν ἀθετούσης.» Ὁ αὐτὸς ἐν τῇ πρὸς τὸν Γρηγόριον τὸν ἀδελφὸν ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ἐπειδὴ πολλοὶ τὸ κοινὸν τῆς οὐσίας ἐπὶ τῶν μυστικῶν δογμάτων μὴ διακρίνοντες, φησὶν, Ὁ τὸ Πνεῦμα ἑλκύσας δι' αὐτοῦ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα συνεφελκύσατο· καὶ τὸν Υἱὸν ἀληθῶς ὅστις λάβῃ, ἕξει αὐτὸν ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὐ γὰρ ἔστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν, ὡς ἢ Υἱὸν χωρὶς Πατρὸς νοηθῆναι, ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ διαζευχθῆναι.» Οὕτω καὶ παρὰ τοιούτων μαρτύρων τῆς ἐπὶ τῇ Τριάδι τάξεως συνισταμένης, πῶς οὐκ ἐπισφαλῶς νοεῖν ἐλεγχθήσονται οἱ λέγοντες, Τίς ὁ λόγος ἐν τοῖς ὑπὲρ πᾶσαν τάξιν θεωρουμέναις ὑποστάσεσι τῆς Τριάδος, τὴν τοῦ Υἱοῦ ὑπόστασιν μέσον Πατρὸς καὶ Πνεύματος λέγειν, ὡς κατηναγκασμένης ἐκεῖσε οὔσης τῆς τάξεως; Ἀλλ' ὅτι μὲν τὸ *δι' Υἱοῦ* οὐκ ἐπὶ σημασίᾳ σχέσεως, ὥς τινες οἴονται, παραλαμβάνεται ταῖς Γραφαῖς, καὶ ὅτι ἔλεγχον ἱκανὸν ἡ τοιαύτη δύναται λέξις τῶν ἀμέσως οἰομένων ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα, καὶ ὅτι συστατικὴ τίς ἐστι τῆς ἐν τῇ Τριάδι τάξεως ἡ φωνὴ αὕτη, ἀρκούντως ταῖς εἰρημένοις ἤδη ἐναποδέδεικται.

B

C

D

κδ'. Ὅτι δὲ ἐφ' οἷς ἡ *διὰ* δήλωσιν οὐσιώδους ὑπάρξεως ἔχει, εἰς τὸ τῆς ἐκ παραλαμβάνεται ἰσοδύναμον, καὶ ἀπὸ τῶν φυσικῶς γινομένων καὶ φαινομένων γνωσθήσεται. Ἐκ τῆς ῥίζης γὰρ διὰ τοῦ κλάδου λέγοντες τὸν καρπὸν, τί ἄλλο ἢ ὅτι ἐκ τοῦ κλάδου αὐτὸν λέγομεν; Καὶ ἐκ τοῦ ὀφθαλμοῦ διὰ τῆς πηγῆς τὸν ποταμὸν λέγοντες, τί ἄλλο ἢ ὅτι ἐκ τῆς πηγῆς αὐτὸν λέγομεν; Ἀλλ' εἰσί τινες ἕτεροι, οἳ λέγουσι τὸ εἶναι τὸ Πνεῦμα ἐκ Πατρὸς δι' Υἱοῦ μὴ λέγεσθαι παρὰ τῶν ἁγίων διὰ τὸ οὐσιωδῶς μεσιτεύειν Πατρὶ καὶ Πνεύματι τὸν Υἱὸν, ἀλλὰ διὰ τὸ

Digitized by Google Распознавание текста ABK/FR

εἶναι τὸ Πνεῦμα ἅμα Υἱῷ ἐκ Πατρός. Εἰ γὰρ μὴ πρὸς ἔννοιαν τῆς τοῦ ἅμα σημασίας, φασὶν, ἐκληφθήσεται τὸ *δι' Υἱοῦ*, χρόνος ἐν τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος νοηθήσεται. Καὶ ἡ εὐσεβὴς ἐντεῦθεν ἐμποδισθήσεται ἔννοια. Πρόσσχες γοῦν, ἀγαπητὲ, οἷς καὶ πρὸς τοῦτο ἐροῦμεν. Ἅμα μὲν εἶναι Υἱὸν καὶ Πνεῦμα ἐκ τοῦ Πατρὸς τίς ἀντερεῖ, εἰ μὴ κατὰ τῆς εὐσεβείας μέμηνε προφανῶς; οὐ διὰ τοῦτο δὲ τὸ δι' Υἱοῦ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα τοῖς θεολογοῦσι τεθεολόγηται, ἀλλ' ἵνα ἡ οὐσιώδης μεσιτεία Υἱοῦ ἐπὶ τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ὑπάρξει τοῦ Πνεύματος τοῖς εὐσεβέσι πιστεύηται. Οἱ δὲ χρόνου ἔμφασιν ἐν τῇ *δι' Υἱοῦ* φωνῇ δεδιότες, καὶ ἔννοιαν τῆς τοῦ *ἅμα* σημασίας αὐτὴν ἐκλαμβάνοντες, ὡς ἂν μή τις ἐμποδισμὸς ἐντεῦθεν τῇ εὐσεβείᾳ προσγένηται, ἀκουέτωσαν ὡς οὐδὲν ἡ εὐσεβὴς ἐμποδισθήσεται ἔννοια, εἰ ἅμα τῷ Υἱῷ ἐκ Πατρὸς, καὶ εἰ δι' Υἱοῦ ἐκ Πατρὸς τὸ Πνεῦμά ἐστιν. Ἐπεὶ καὶ ὁ Υἱὸς ἅμα μέν ἐστι τῷ Πατρὶ, ἀλλὰ καὶ ἐκ Πατρὸς, καὶ οὔτε τις χρόνου προεπίνοια ἐντεῦθεν ἐμφαίνεται διὰ τὸ τὸν Υἱὸν συνυπάρχοντα τῷ Πατρὶ, καὶ ἅμα Πατρὶ ὄντα εἶναι καὶ ἐκ Πατρὸς, οὔτε τόπου, οὔτε τοῦ τῶν ἄλλων τῶν ὅσα ἐπὶ καθ' ἡμᾶς αἰτίων καὶ αἰτιατῶν ἀναφαίνεται. Ὥσπερ γοῦν συνυπάρχων ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ἅμα τῷ Πατρὶ ὢν, οὐδενὸς χρόνου ἔννοιαν ἔχει προεπινοουμένην ἐν τῷ λέγεσθαι ἐκ Πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα ἅμα Υἱῷ ὑπάρχων ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ λέγεται εἶναι, καὶ πᾶσαν χρονικὴν ἀποτρέπεται ἔμφασιν. Καὶ πάλιν, ὥσπερ ὁ Υἱὸς ἅμα ἐστὶ τῷ Πατρὶ, καὶ ὅμως προεπινοεῖται ὁ Πατὴρ τοῦ Υἱοῦ τῷ *αἰτίῳ*, ὅτι ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, οὕτω καὶ τὸ Πνεῦμα ἅμα ἐστὶ τῷ Υἱῷ ἐκ τοῦ Πατρὸς, καὶ προεπινοεῖται τοῦ Πνεύματος ὁ Υἱὸς κατὰ τὸν τῆς αἰτίας λόγον, ὅτι δι' Υἱοῦ ἐκ Πατρὸς τὸ Πνεῦμά ἐστιν. Οὐδὲν γὰρ καὶ ὑποστελλόμεθα λέγειν τὰ παρὰ τῶν ἁγίων, καὶ ταῦτα τίνων; οὓς εὐσεβείας κήρυκας ἡ Ἐκκλησία παρείληφε, ῥηθέντα τε καὶ δογματισθέντα. Ἔπειτα δὲ καὶ τοῦτο καλῶς τῷ βουλομένῳ διανοηθήσεται, ὡς, εἰ κατευστοχεῖται τοῦτο τοῖς λέγουσι πάντα ὅσα περὶ τῆς ἐν τῇ Τριάδι τάξεως οἱ ἅγιοι εἰρήκασι, μάτην εἰρήκασι καὶ ἐπισφαλῶς. Τίς γὰρ καὶ διανοίας μετέχων, καὶ τῇ ἐκ λόγων συνέσει κοσμούμενος τὸ *ἅμα* σημαίνειν ἐρεῖ τὴν *διὰ* ἐν τῷ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα θεολογεῖσθαι; Εἰ γὰρ καὶ ἐν τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ὑπάρξει τοῦ Πνεύματος τὴν τοῦ *ἅμα* σημασίαν ἐρεῖ τις νοεῖσθαι, ἀλλὰ προδήλως ἐλεγχθήσεται ἀπατώμενος, ὅταν τὴν αὐτὴν εὑρήσῃ *διὰ* καὶ ἐν τῷ διὰ τοῦ Λόγου τὸ Πνεῦμα συνάπτεσθαι τῷ Πατρί. Καὶ τούτου σοι ἀξιοπίστους ἐγὼ παραστήσω τοὺς μάρτυρας. Αὐτίκα ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ἴσως θαυμάσεις πῶς ἐντειλάμενον, » φησὶν· « Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ Λόγῳ ὄν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστιν. » Καὶ μετ' ὀλίγα· « Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ἑβδόμῳ καὶ δεκάτῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων οὕτω φησίν· « Εἰ δὲ τὸ

Spiritus simul cum Filio ex Patre. Namque, aiunt, si illud *per Filium* in illo significatu non accipiatur, tempus in processione Spiritus ex Patre per Filium interponetur, et pius rei intellectus inde amandabitur. Intende itaque animum, dilectissime, ad ea, quæ dicturi sumus. Una esse Filium et Spiritum ex Patre, quis negabit, nisi adversus pietatem palam insaniit? Sed non propterea per Filium ex Patre esse Spiritum, qui res theologicas pertractarunt asseverarunt; sed ut essentialis mediatio Filii in Spiritus ex Patre per Filium exsistentia piis hominibus credenda proponeretur. Qui vero temporis expressionem in voce *per Filium* timent, et in intellectum significationis *simul* eam accipiunt, ne quid inde pietatis impedimentum innascatur, audiant, nullo modo piam cogitationem impediri, si simul cum Filio ex Patre, et si per Filium ex Patre Spiritus sit. Quandoquidem et Filius simul est cum Patre, qui tamen ex Patre est, et nullum tempus inde præintelligitur, quod Filius simul cum Patre exsistit, et simul cum Patre est, et ex Patre, neque locus, neque ullum aliud ex iis, quæ secundum nos de causis et effectibus innotescunt. Uti itaque qui una cum Patre exsistit Filius, et simul cum Patre est, nullam temporis præexsistentiam inducit, cum dicitur ex Patre: sic et Spiritus simul cum Filio exsistens ex Patre, per Filium esse dicitur, et temporis omnem intellectum abhorret. Rursusque, quemadmodum Filius simul est cum Patre, et nihilominus Filio præintelligitur Pater ratione causæ, quod ex Patre Filius, ita et Spiritus simul est cum Filio ex Patre, et nihilominus Filius præintelligitur Spiritu secundum causæ notionem, quod per Filium ex Patre Spiritus est. Nihil enim ex iis quæ a Patribus, et quibus? quos pietatis præcones Ecclesia comprobavit, dicta aut decreta sunt, asserere detrectamus. Postmodum et hoc quoque probe volens intelligat, si id dicentibus bene cesserit, universa per sanctos de ordine, qui in Triade est, tradita, gratis esse dicta, et non absque errore. Quis enim, dummodo cerebrum habeat, prudentiaque quæ ex disciplinis oritur, sapiat, præpositionem *Per*, *simul* notare affirmabit, cum dicimus ex Patre per Filium Spiritum esse? Licet enim in Spiritus ex Patre per Filium exsistentia, *simul* significatum intelligi dicet, sed aperte deprehendetur aberrare, cum eamdem reperiet *Per*, et in illo, per Verbum Spiritum Patri conjungi. Et hujusce rei testes ego tibi fide dignos apponam. Primus magnus Athanasius ad Serapionem epistola, cujus principium: « Fortasse admiraberis quomodo præcipiens, scribit: Neque enim extra Verbum Spiritus est, sed in Verbo exsistens, in Deo per ipsum est. » Et paucis interjectis: « Spiritus vero cum sit in Verbo, manifestum fuerit, in Deo fuisse per Verbum Spiritum. » Et magnus Basilius capite decimo septimo ad Amphilochium hæc habet: « Si vero Spiritus eodem atque Filius ordine collocatur, Filius autem eodem atque Pater, et Spi-

Digitized by Google Распознавание текста ABK/FR

ritus, et Pater duntaxat. » Et iterum in decimo octavo capite ad eumdem : « Unus et sanctus Spiritus, per unum Filium uni Patri conjunctus. » Si ergo testes fide digni sunt per Filium cum Patre conjunctionis Spiritus Athanasius et Basilius magni, planum est, quemadmodum mediationem Filii *Per* præpositio in simili conjunctione denotat, ita et in Spiritus ex Patre per Filium processione, ab eadem *Per* essentialem meditationem significari : et insulse quidem qui *simul* vocem *per Filium* notare affirmant, illud accepisse ex iis, quæ diximus, ut reor, abunde ostensum est.

25. Qui vero contradictiones intempestive ambiunt et jactant, rursus inquiunt : Et quid novi est, si Nyssenus Gregorius in quadam sua oratione dixit : « Præintelligi quidem Filio Patrem ratione causæ, præintelligi vero Filium Spiritu secundum causæ rationem? » Quæ enim in universali audientia synodi a dicente non sunt enuntiata, sed in angulis, et commentariis privatim digestis, nihil novi fuerit, si ea nos neglexerimus. Quid inquitis, fratres? Nihil novi fuerit, scripta Nysseni negligi? Nysseni? illius, cujus ego nullam compellationem parem habeo; quod laudationum extra tempus, tempus nobis non suppetat, neque in id studium incumbere præsens argumentum sinit, ut excellentiam viri, si modo vir ille vocandus est, et non angelus, ostendamus. Sed solum quia ipse dixit, neque rejicienda verba, quod illius sunt. Quid enim a nobis despectui dignum judicatur? Quod unus est, aiunt, et quod non plena synodo illa dictavit. Sedenim, neque tanquam unum ex multis reputandum esse Nyssenum in rebus theologicis pertractandis excellentissimum, vos ipsos dijudicare postulo, et aliorum abnuo calculum. Veruntamen non unum, sed tres a Nysseno dicta tradidisse, illi mihi testimonium præbebunt, qui eamdem eorum virorum ætatem tenent, ipsiusmet Nysseni inquam, maximi Gregorii, et Basilii præclarissimi, et qui eorumdem rebus in omnibus unam mentem et concordes animos non ignorant. Quid ex illis tribus quispiam dixit, quod cum aliis non communicavit? Quod si videtur non nemini, quædam fortasse esse dictata a posteriori, qui in vita remanserat et considerationum defunctum antea participem non fecisse, at cum et adhuc cum viverent, ab eodem Spiritu inflati, de rebus Spiritus decernerent, et fine vitæ posito, eodem colligarentur Spiritu, non jadmisero unquam ego, uni aliquid inspiratum etiam reliquis vita defunctis, quod a mente eorum, qui antea mortem obierant, non fuerit. Si autem quod plena synodo hujusce vel hujusce dicti audientiam non fecit, dicta condemnantur, ego universalem eorum audientiam fuisse contendo. Et quanam ratione despectui habenda sunt, quæ universalibus audientiis digna fuere? ex eo siquidem tempore ad hanc nostram

A Πνεῦμα τῷ Υἱῷ συντέταχται, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι. » Ἐν δὲ τῷ δεκάτῳ ὀγδόῳ πάλιν τῶν αὐτῶν κεφαλαίων· « Ἓν δὲ καὶ τὸ ἅγιον Πνεῦμα, δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον. » Εἰ γοῦν ἀξιόπιστοι μάρτυρές εἰσι τῆς διὰ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συναφείας τοῦ Πνεύματος Ἀθανάσιος, καὶ Βασίλειος οἱ μεγάλοι, εὔδηλον ὅτι ὥσπερ μεσιτείαν τοῦ Υἱοῦ ἡ *διὰ* πρόθεσις ἐν τῇ τοιαύτῃ συναφείᾳ δηλοῖ, οὕτω καὶ ἐν τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος ἡ αὐτὴ *διὰ* οὐσιώδη μεσιτείαν δηλοῖ. Καὶ ὅτι μὲν οἱ τὸ *ἅμα* σημαίνειν τὴν *δι' Υἱοῦ* φωνὴν εἰρηκότες κακῶς αὐτὸ ἐξελάβοντο, ἐκ τῶν εἰρημένων, ὡς οἶμαι, ἱκανῶς ἀποδέδεικται.

B κε'. Οἱ δὲ ταῖς ἀντιλογίαις ἀκαίρως φιλοτιμούμενοι καὶ πάλιν φασί· Καὶ τί καινὸν εἰ ὁ Νύσσης Γρηγόριος ἔν τινι τῶν αὐτοῦ λόγων ἔφη, ἓ Προθεωρεῖσθαι μὲν τοῦ Υἱοῦ τὸν Πατέρα τῷ τῆς αἰτίας λόγῳ, προθεωρεῖσθαι δὲ τοῦ Πνεύματος τὸν Υἱὸν κατὰ τὸν τῆς αἰτίας λόγον; » Ἃ γὰρ οὐκ εἰς κοινὸν ἀκροατήριον συνόδου παρὰ τοῦ εἰπόντος ἐρρέθη, ἀλλ' ἐν γωνίᾳ καὶ συγγράμμασιν ἰδικῶς ἐκτεθεῖσιν, οὐδέν τι καινὸν, εἰ παροπτέα ταῦτα ἡμῖν. Τί φατε, ἀδελφοί; Οὐδέν τι καινὸν τὰ τοῦ Νύσσης παροπτέα γενέσθαι; τοῦ Νύσσης; τοῦ, ὃν πῶς ἂν καλέσω οὐκ ἔχω· ὅτι μηδὲ παροδίων καιρὸς ἡμῖν ἐγκωμίων, οὐδὲ σπουδὴ ἡμῶν τὸ προκείμενον τὸ μεγαλεῖον τοῦ ἀνδρὸς ἀποδεῖξαι, εἴγε ἄνδρα αὐτὸν καλεῖν χρή, καὶ οὐκ ἄγγελον. Ἀλλὰ μόνον ὅτι αὐτὸς ἔφη, C καὶ παροπτέα τὰ ῥήματα, ὅτι αὐτοῦ. Τί γὰρ ἡμῖν καὶ παροράσεως κρίνεται; Ὅτι εἷς, φασὶ, καὶ ὅτι οὐ συνοδικῶς εἰρηκε ταῦτα. Ἀλλ' ὅτι μὲν οὐχ ὡς ἕνα τῶν πολλῶν ἕδει καὶ τὸν θεολογικώτατον Νύσσης ἕνα λέγειν, ὑμᾶς αὐτοὺς διακρῖναι ζητῶ, καὶ τὴν παρ' ἄλλων οὐκ ἐκδέχομαι ψῆφον· ὅτι δὲ οὐχ εἷς ἦν, ἀλλὰ τρεῖς οἱ εἰπόντες, ἅπερ εἶπεν ὁ Νύσσης, ἐκεῖνοί μοι τῷ λόγῳ συμμαρτυρήσουσιν, ὅσοι τὸ σύγχρονον οἶδασι τῶν ἀνδρῶν, αὐτοῦ τε τοῦ Νύσσης, φημὶ, καὶ τοῦ μεγίστου Γρηγορίου, καὶ Βασιλείου τοῦ πάνυ, καὶ ὅσοι οὐκ ἀγνοοῦσι τὸ ἐπὶ πᾶσιν ὁμόπνουν αὐτῶν καὶ ὁμόψυχον. Τί γὰρ ἄν τις καὶ εἴρηκε τῶν τριῶν, ὅπερ μὴ ἐκοινώσατο καὶ τοῖς ἄλλοις; εἰ δέ τινι δοκεῖ εἶναί τινα ἴσως ῥηθέντα παρὰ τοῦ ἐσύστερον τῷ βίῳ ἐναπομείναντος, ἐφ' D οἷς ὁ εἰπὼν σκεμμάτων τῷ προοιχομένῳ οὐκ ἐκοινώνησεν· ἀλλ' ἐπεὶ καὶ ζῶντες τῷ αὐτῷ ἐμπνεόμενοι Πνεύματι τὰ ὑπὲρ τοῦ Πνεύματος ἐδογμάτιζον, καὶ μετὰ τὴν ἐνθένδε λῆξιν τῷ αὐτῷ συνδέδενται Πνεύματι, οὐ δέχομαι ἔγωγε ἐμπνευσθῆναί τι τῷ ἑνὶ καὶ μετὰ θάνατον τῶν λοιπῶν, ὅπερ οὐχὶ καὶ τῆς τῶν προοιχομένων γνώμης ἐξήρτητο. Εἰ δὲ ὅτι μὴ συνοδικὸν ἐκάθισε τοῦδε ἢ τοῦδε τοῦ ῥητοῦ ἀκροατήριον, τὰ ῥητὰ ταῦτα τὸ παρεωρᾶσθαι καταδικάζεται, ἀλλ' ἐγὼ οἰκουμενικὸν φημὶ τὸ τούτων ἀκροατήριον. Καὶ πῶς παροπτέα τὰ οἰκουμενικῶν ἀξιωθέντα ἀκροατηρίων; ἐξ ἐκείνου γὰρ καὶ εἰς δεῦρο ὅσαι διὰ μέσου καὶ οἰκουμενικαὶ καὶ τοπικαὶ γεγόνασι σύνοδοι, τίς ἀμφιβαλεῖ ὡς ἐδέξαντο αὐτὰ, καὶ ἠσπάσαντο, καὶ ὥσπερ τινὰ θησαυρὸν

Digitized by Google Распознавание текста АВК/FR

εὐσεβείας ἐναποκεῖσθαι τῇ Ἐκκλησίᾳ παραδεδώκασιν; Οὐκ ἔχει γοῦν τινὰ χώραν, ὦ ἀδελφοί, ὅσα τις τῶν ἁγίων εἴρηκε τούτων, παροράσεως κρίνεσθαι τοῖς τῆς Ἐκκλησίας τροφίμοις· ὥσπερ οὖν οὐδ' ὅσα ὁ μέγας Ἀθανάσιος εἴρηκεν, οὐδ' ὅσα ὁ τὴν θεολογίαν μέγιστος Κύριλλος. Καὶ γὰρ ἑκάτερος τούτων συνόδου ἦν ἀρχηγὸς, καὶ αὐτῆς οἰκουμενικῆς, ὁ μὲν τῆς ἐν Νικαίᾳ καὶ πρώτης, ὁ δὲ τῆς ἐν Ἐφέσῳ καὶ τρίτης. Καὶ ὅτι μὲν οὐ παροπτέα τὰ τῶν ἁγίων τούτων ῥητὰ, ἐκ τοῦ οἰκουμενικῶν ἀξιωθῆναι ἀκροατηρίων συνίσταται.

A ætatem, quæ intercesserunt, universales ac provinciales synodos, ea et amplexatas et exosculatas fuisse, et veluti pietatis quemdam thesaurum in Ecclesia reponi tradidisse, eritne, qui hæsitaverit? Non debent itaque, fratres, a singulis quibusvis separatim dictata Patribus, tanquam despectu digna condemnari apud Ecclesiæ alumnos : quemadmodum neque quæ magnus Athanasius, neque quæ in rebus theologicis maximus Cyrillus effatus est. Ambo enim hi synodis, illisque œcumenicis, ille Nicænæ primæ, hic Ephesinæ et tertiæ præfuere.

Et sanctorum horum pronuntiata non esse despicienda, quod audientiis universalibus digna judicata sunt, hac ratione plane firmiterque comprobatur.

κς'. Τί δὲ τέως καὶ ἔχειν δοκεῖ τὸ ἀναγεγραμμένον τοῦ Νύσσης ῥητὸν, μὴ τῷ κανόνι διευθυνόμενον τῆς παραδοθείσης εὐσεβείας ἡμῖν; Πᾶν γὰρ εἴ τί γε καὶ εὑρίσκεται κείμενον ὁπουδήποτε τῶν Γραφῶν, ὡς πρὸς κανόνα ἢ γνώμονα τὴν παράδοσιν τῆς ἡμῶν εὐσεβείας ἀπευθυνόμενον, τὴν εὐσέβειαν συγκροτεῖ, καὶ τὴν αὐτῆς ἀλήθειαν οὐ λυμαίνεται. Ἀλλ' ἐνταῦθα, φασὶν, ὁ Πατὴρ οὗτος ὁ Νύσσης ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, περὶ τὸ τέλος διαῤῥήδην οὕτω λέγων· « Τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι· » καὶ πάλιν μετά τινα· « Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω καὶ τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένης τῆς τοῦ Πνεύματος ὑποστάσεως. » Πῶς οὐκ ἔννοιαν ἐμφαίνει τινὰ, δύο εἶναι τὰ τοῦ Πνεύματος αἴτια τὸν Πατέρα καὶ τὸν Υἱόν; Ἀλλ', ὦ φίλοι καὶ ἀδελφοὶ, ἐπεὶ οὐχ ἁπλῶς τὰ τῶν ἁγίων δεῖ παρορᾶσθαι ῥητὰ, συμβιβάζεσθαι δὲ πάντα ἐπάναγκες παρ' ἡμῶν, ὥσπερ πρὸς κανόνα ἢ γνώμονα τὴν παράδοσιν τῆς εὐσεβείας ἡμῶν· εἰ καὶ προθεωρεῖσθαι τοῦ Υἱοῦ τὸν Πατέρα ὁ ἅγιος ἔφη τῷ τῆς αἰτίας λόγῳ· καὶ πάλιν προθεωρεῖσθαι τὸν Μονογενῆ τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον, ἀλλ' οὐ δύο ἀναφαίνεσθαι ἐντεῦθεν τὰ τοῦ Πνεύματος αἴτια· Ἄπαγε! βλάσφημον γὰρ ἐγὼ κρίνω διάνοιάν τε καὶ γλῶσσαν, ἥτις τοῦτο ἢ ἐννοήσει, ἢ λαλήσει ποτέ. Ἀλλὰ προθεωρεῖσθαι μὲν τὸν Πατέρα τοῦ Υἱοῦ τῷ τῆς αἰτίας λόγῳ φημὶ, ὅτι ἐκ τοῦ Πατρὸς ὁ Υἱός· προθεωρεῖσθαι δὲ τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον, ὅτι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Καὶ οὕτω διὰ τῆς ἐξηγήσεως ταύτης τὸν νοῦν τοῦ ῥητοῦ σύμφωνον καθίστημι τῇ ἐννοίᾳ τῶν ἐκ Πατρὸς εἶναι δι' Υἱοῦ θεολογησάντων τὸ Πνεῦμα. Ὡς γὰρ ἐκεῖνοι ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα εἰπόντες, οὐχ ὡς εἰς δύο διαιροῦντες τὴν αἰτίαν τοῦ Πνεύματος, τοῦτο εἰρήκασιν, ἀλλ', ὡς βουλόμενοι παραστῆσαι τὸ Πνεῦμα οὐκ ἀμέσως προῖὸν ἐκ Πατρός. Πῶς γὰρ ἂν καὶ νοηθείη τὸ τῶν τριῶν ὑποστάσεων συνεχὲς, « εἰ μὴ τὸ τρίτον τῇ τάξει ἅγιον Πνεῦμα, » κατὰ τὸν μέγαν εἰπεῖν Βασίλειον, « διὰ τοῦ δευτέρου τῇ τάξει Υἱοῦ τῇ θεογόνῳ συναφθείη ἀρχῇ; » τῷ Πατρὶ δηλαδή· οὕτω καὶ ὁ ἅγιος οὗτος προθεωρεῖσθαι εἰπὼν τὸν Πατέρα τοῦ Υἱοῦ, τῷ τῆς αἰτίας λόγῳ, ὅτι ἐκ τοῦ

B 26. Et quid tandem continet appositum Nysseni dictum, quod a traditæ nobis pietatis regula non dirigatur? Nam quidquid ubicunque scripto mandatum reperitur, et veluti ad canonem et normam pietatis nobis concreditam adæquatur, pietatem constabilit et illius veritatem non lædit. Sed hic Pater, inquiunt, prima adversus Eunomium Antirrhetica apertissime circa finem dicit, « Patrem Filio tantummodo causæ ratione præintelligi. » Rursusque nonnullis interjectis : « Quemadmodum conjungitur Patri Filius, et ex eo, quod sit, habens, posterior non est secundum exsistentiam, itaque et Unigenito adhæret sanctus Spiritus, intellectu solo secundum rationem causæ præintellecta Spiritus exsistentia. » Annon hisce quodammodo suspicionem importat, duas esse Spiritus causas, Patrem et Filium? Sed, o amici fratresque, non sunt simpliciter Patrum verba despicienda, sed necessario omnia conferenda a nobis veluti ad regulam et normam, pietatem, quam sequi debemus docentem. Licet præintelligi, sanctus asseruit, Filio Patrem secundum causæ rationem, et rursus præintelligi Unigenitum exsistentia Spiritus secundum causæ rationem, at non duo inde Spiritus causæ inferuntur. Apage ; blasphemam enim ipse judico et mentem, et linguam, quæ id vel cogitaverit vel elocuta fuerit. Sed præintelligi plane Patrem Filio secundum causæ rationem aio, quod ex Patre Filius sit, et præintelligi Filium Spiritus hypostasi secundum causæ rationem, quod per Filium Spiritus sit ex Patre. Et ita hac expositione dicti notionem concordem cum eorum sententia, qui ex Patre per Filium esse Spiritum tradiderunt, efficio. Ut enim illi ex Patre per Filium Spiritum dicentes, non ut in duo dividentes causam Spiritus, illud affirmarunt, sed tantummodo, ut comprobarent, Spiritum non immediate ex Patre provenire. Quanam etenim ratione trium hypostascon cohærentia intelligeretur, « ei tertius ordine Spiritus sanctus » ut Basilii verbis utar, « per Filium ordine secundum, Deigeno principio conjungeretur? » Patri scilicet, sic et sanctus iste præintelligi dicens Patrem Filio ratione causæ, quod ex Patre Filius sit, rursusque unigenitum præintelligi Spiritus hypostasi secundum causæ rationem, quod per Filium Spiritus, non duas Spiritus causas asseveravit. Et Sanctum

Digitized by Google Распознавание текста ABK/FR

non ad insinuandas duas causas id enuntiasse, ex lis, quæ alibi dixit, comprobabitur, hoc pacto. Namque prima adversus Eunomium Antirrhetica, cujus principium, « Fieri, ut videtur, non potest, ut quis de omnibus bene mereri, » hæc ait : « Ex ingenito sole alium solem Filium intelligimus, qui simul cum primo cogitatione per generationem illuxerit, et in omnibus adæque se habens : et rursus aliud simile lumen ad prædictum modum, nullo temporali intervallo a lumine genito abscissum, sed per ipsum equidem effulgens, principium vero suæ hypostaseos a prototypo lumine accipiens, lumen quidem et ipsum ad similitudinem præcepti luminis lucens et illuminans. » Considera, quisquis es, si libet, in profundo sententiæ theologiam abditam, et quam libentissime sanctum exosculaberis. Quæ enim ibi dictionibus aliis expressit : « Patrem, » astrúens, « Filio præintelligi causa, Filium vero præintelligi Spiritu secundum causæ rationem, » aliis atque aliis hic explanavit : namque cum dixisset, « ex ingenito sole, solem alium Filium intelligimus, rursusque aliud simile lumen, » Spiritus, minime adnexuit, nullo temporis intervallo abscissum ipsum ab ingenito lumine, quod innui contendunt, qui immediatum illum ex Patre fatentur, sed subdidit, « nullo temporis intervallo a genito lumine abscissum; sed per ipsum elucens, et hypostaseos causam accipiens a prototypo lumine. » Dum enim dicit ex ingenito sole solem alium, Filium intelligimus simul cum primi meditatione per generationem una collucescentem, immediatam Patris et Filii naturalem et essentialem repræsentavit unitatem : cum vero dicit Spiritum aliud a genito lumine lumen non abscissum, Spiritus rursus ad Filium naturalem et essentialem unitatem expressit. Postmodum cum hisce dictionibus Spiritum univisset cum Filio, et Filium cum Patre, ne quispiam Spiritus a Patre aliquam secretionem sive diremptum imaginaretur admirando quodam modo, et ex penitissima speculatione petitum statim subjunxit, « sed per ipsum elucens, hypostaseos vero causam referens ex prototypo lumine. » Vides non duas causas astruentem sanctum dixisse, « præintelligi quidem Patrem Filio causa; præintelligi vero Filium Spiritus hypostasi secundum causæ rationem? » Attende et comprehende non aliam ob causam a sancto illa scripta esse, nisi ut oratio illius edoceret, naturalem et essentialem Spiritus unionem, non immediate esse ad Patrem, sed per Filium. Si itaque ex Patre per Filium Spiritum esse in hanc sententiam accipis, quicunque fueris, qui eorum qui res theologicas pertractarunt, verba æquo animo audis, non ultra tibi difficile existimabitur cum Ecclesia Romana uniri. Non enim qui dicunt Romani Spiritum ex Patre et Filio procedere, statim et duas Spiritus causas fatentur. quinimo diris tanquam infensissimi devovent, et anathemate subjiciunt eum, qui simile quidpiam

A Πατρὸς ὁ Υἱὸς, καὶ πάλιν τὸν Μονογενῆ προθεωρεῖσθαι τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον, ὅτι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, οὐχὶ δύο τὰς αἰτίας τοῦ Πνεύματος εἴρηκε. Καὶ ὅτι οὐκ εἰς δύο αἰτίων ἔννοιαν εἴρηκεν ὁ ἅγιος τοῦτο, ἐκ τῶν ἐν ἄλλοις εἰρημένων αὐτῷ συστήσει ὁ λόγος. Οὗτος καὶ γὰρ ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχή· « Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν, » οὕτω φησίν· « Ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν νοοῦμεν, ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα· » καὶ πάλιν· « Ἕτερον τοιοῦτον φῶς τὸ Πνεῦμα κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς B ὑποστάσεως αἰτίαν ἔχων ἐκ τοῦ πρωτοτύπου φωτὸς, φῶς μέντοι καὶ αὐτὸ καθ' ὁμοιότητα τοῦ προεπινοηθέντος· λάμπον καὶ φωτίζον. » Σκόπει ὁ βουλόμενος ἐνταῦθα τὴν τῷ βάθει τοῦ ῥητοῦ ἐγκειμένην θεολογίαν, καὶ σφόδρα τὸν ἅγιον ἀποδέξῃ. Ἃ γὰρ ἐκεῖ ἐν ἄλλαις λέξεσιν εἶπε, « Τὸν μὲν Πατέρα » θεολογῶν « προεπινοεῖσθαι τοῦ Υἱοῦ τῷ αἰτίῳ, τὸν δὲ Υἱὸν προθεωρεῖσθαι τοῦ Πνεύματος κατὰ τὸν τῆς αἰτίας λόγον, » ἐν ἄλλαις ἐνταῦθα ἐνέφηνεν. Εἰπὼν γὰρ « ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν νοοῦμεν, καὶ πάλιν ἕτερον τοιοῦτον φῶς » τὸ Πνεῦμα, οὐκ ἐπήγαγεν, οὐ χρονικῷ τινι διαστήματι ἀποτεμνόμενον αὐτὸ τοῦ ἀγεννήτου φωτὸς, ὅπερ νοεῖν βούλονται οἱ ἀμέσως αὐτὸ λέγοντες ἐκ Πατρὸς, ἀλλ' C εἶπεν, « οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. » Ἐν γοῦν τῷ εἰπεῖν, Ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν νοοῦμεν, ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, τὴν ἄμεσον τοῦ Πατρὸς καὶ Υἱοῦ φυσικὴν καὶ οὐσιώδη παρέστησεν ἕνωσιν· ἐν δὲ τῷ εἰπεῖν τὸ Πνεῦμα ἕτερον φῶς, τοῦ γεννητοῦ φωτὸς, μὴ ἀποτεμνόμενον, τὴν τοῦ Πνεύματος πάλιν πρὸς τὸν Υἱὸν φυσικὴν καὶ οὐσιώδη παρέστησεν ἕνωσιν. Εἶτα ἐπεὶ ταῖς λέξεσι ταύταις τὸ μὲν Πνεῦμα ἥνωσε τῷ Υἱῷ, τὸν δὲ Υἱὸν τῷ Πατρὶ, ἵνα μή τις οἰήσαιτο διάστασίν τινα τοῦ Πνεύματος ἀπὸ τοῦ Πατρὸς, θαυμασίως σφόδρα καὶ θεωρητικώτατα εὐθὺς προσD επήγαγεν, « ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχων ἐκ τοῦ πρωτοτύπου φωτός. » Ὁρᾷς ὅπως οὐκ εἰς δύο αἰτίων ἔννοιαν ὁ ἅγιος εἴρηκε τὸ προθεωρεῖσθαι μὲν τὸν Πατέρα τοῦ Υἱοῦ τῷ αἰτίῳ, προθεωρεῖσθαι δὲ τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον; Ὅρα καὶ σύνες δι' οὐδὲν ἕτερον τῷ ἁγίῳ ταῦτα ῥηθῆναι, ἀλλ' ἵνα δηλώσῃ ὁ λόγος αὐτοῦ τὴν φυσικὴν καὶ οὐσιώδη τοῦ Πνεύματος ἕνωσιν μὴ ἀμέσως εἶναι πρὸς τὸν Πατέρα, ἀλλὰ δι' Υἱοῦ. Εἴπερ οὖν τὸ ἐκ Πατρὸς δι' Υἱοῦ εἶναι τὸ Πνεῦμα εἰς τὴν τοιαύτην ἔννοιαν δέχῃ, ὅστις ἂν καὶ εἴης ὁ τῶν θεολογησάντων τὰ εἰρημένα εὐμενῶς ἀκροώμενος, οὐκέτι ἂν σοι δυσχερὲς οὐδὲν ὅλως φανείη τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης ἑνοῦσθαι. Οὐ γὰρ ὅτι ἐκ τοῦ Πατρὸς καὶ

Digitized by Google Распознавание текста ABK/FR

τοῦ Υἱοῦ ἐκπορεύεσθαι λέγουσιν οἱ Ῥωμαῖοι τὸ Πνεῦμα, ἤδη καὶ δύο ἀρχὰς τοῦ Πνεύματος λέγουσιν· μᾶλλον μὲν οὖν καὶ παλαμναιοτάταις ἀραῖς καὶ φρικώδει καθυποβάλλουσιν ἀναθέματι τὸν τοιοῦτόν τι νοεῖν ἢ λέγειν τολμῶντα· ἀλλ' ὅτι τὸ ἐκπορεύεσθαι δήλωσιν οἴδασιν ἔχειν τοῦ ἐκ τοῦ Πατρὸς φυσικῶς καὶ οὐσιωδῶς τὸ Πνεῦμα ὑπάρχειν· οἴδασι δὲ τοὺς ἐν τοῖς Πατράσιν ἡμῶν θεολόγους, καὶ ἐξ Υἱοῦ τὸ Πνεῦμα οὐσιωδῶς ὑπάρχειν θεολογοῦντας, ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι αὐτὸ λέγουσι, τὸ ἐξ ἀμφοῖν οὐσιωδῶς ὑπάρχειν αὐτὸ ἐντεῦθεν δηλοῦντες, τρανῇ τῇ γλώττῃ ἀνακηρύττοντες, καὶ θεὸν διαμαρτυρόμενοι, ὡς οἱ Πατέρες αὐτῶν τοῖς θεολόγοις Πατράσιν ἡμῶν τῶν Γραικῶν τούτους κατακολουθήσαντες εἰρήκασι τοῦτο. Τίνας λέγοντες τούτους; Τὸν πολὺν καὶ μέγαν Βασίλειον, τὸν ὑψηλὸν Ἀθανάσιον, τὸν θεῖον Χρυσόστομον, τὸν μέγιστον Κύριλλον, καὶ τὸν πολλὰ καὶ κάλλιστα θεολογήσαντα περὶ τοῦ Πνεύματος ἐν τῷ λόγῳ τῷ καλουμένῳ Ἀγκυρωτῷ θεωρητικώτατον Ἐπιφάνιον.

A vel sentire, vel dicere auserit; sed quod procedere ut ipsi cate sciunt, exprimat ex Patre naturaliter et essentialiter Spiritum esse, et quod præterea sciunt Patres nostros, qui inter theologos collocantur, et ex Filio Spiritum esse docent, ex Patre et Filio illum procedere confiteri; et ex ambobus illum essentialiter esse astruentes, sonora claraque voce denuntiant, et Dei fidem implorantes, asserunt parentes suos theologorum Patrum nostrorum Græcorum vestigia secutos id enuntiasse. Quinam vero hi sunt? Præclarissimus magnusque Basilius, excelsus Athanasius, divinus Chrysostomus, maximus Cyrillus, et qui plerasque et pulcherrimas de Spiritu, oratione, Ancyroto dicta, speculationes tradidit, speculationibus aptissimus Epiphanius.

κζ'. Τάχα δὲ οὐκ ἀπᾴδον τῷ τοῦ λόγου σκοπῷ, καὶ ῥήσεις αὐτῶν τὰς ἀριδήλως διατρανούσας ὑπάρχειν τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ ἐγκαταστρῶσαι τῷδε τῷ λόγῳ, ὡς ἐπὶ λέξεων ἔχουσιν, ὃ δή μοι καὶ γίνεται. Αὐτίκα ὁ μέγας Βασίλειος ἐν τῷ τρίτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχή, « Μόλις ποτὲ κορεσθεὶς τῶν εἰς τὸν Μονογενῆ βλασφημιῶν, » φησί· « Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ Πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον, παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων διδιδάγμεθα Γραφῶν, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν συλλογίζεσθαι. Ὡς γὰρ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρός, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξίωματι, ὅτι ἀρχὴ καὶ αἰτία τῷ εἶναι Πατέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα, φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως ἀκολουθεῖν εἴποιμεν. » Ὅρα ἐνταῦθα, ὅπως ὁ ἅγιος πάντη διαῤῥήδην διετράνωσε τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ τὸ εἶναι ἔχον. Ἐνταῦθα δὲ γενομένοις ἡμῖν τοῦ λόγου, οὐκ ἀκαιρον ἐκεῖνα εἰπεῖν, ἃ παραστῆσαι ἔχουσιν ἀκριβῶς ὡς τὸ τῶν Ἐκκλησιῶν σκάνδαλον ἐξ ἀριθείας ἦν τὰ πολλὰ καὶ ἀλογίστου φορᾶς τῶν πολλῶν· εὑρηνται γάρ τινες βίβλοι, ἐξ ὧν διαγέγραπται τὸ « παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως τῆς αἰτίας ἐκείνης ἐξημμένον. » Σὺ γοῦν ἀῤῥεπῶς ἐνταῦθα δικάζων εἰπὲ πρὸς αὐτῆς τῆς Τριάδος, ὁ πρὸς αὐτὰ τὰ τῶν ἁγίων κακουργήσας ῥητὰ καὶ διαγράψας τοῦ γραφικοῦ χωρίου τὴν περικοπήν, ἣν διεγίνωσκεν ὕλην τῇ ἐκκλησιαστικῇ παρεχομένην εἰρήνῃ, πῶς οὐκ ἐξ ἀριθείας οὗτος; καὶ ἀλογίστου γνώμης διαχωσθείη πρὸς τὴν τῆς εἰρήνης ἀποτροπὴν διακείμενος; Ὅμως εἰ καὶ ἡ ῥηθεῖσα περικοπὴ τοῦ γραφικοῦ χωρίου διεγράφη,

B 27. Forte vero non ab orationis scopo aberravero, si eorumdem dicta palam edicentia, esse Spiritum et ex Filio, in hoc Commentario ipsissimis eorum verbis apponam, quod actutum exsequor. Primus sanctus Basilius oratione tertia, adversus Eunomium Antirrhetica, cujus principium, « Vix tandem aliquando exsaturatus in Unigenitum effusis blasphemiis, » dicit: « Quæ enim necessitas est, si dignitate et ordine tertius est Spiritus, tertium quoque esse eumdem natura? Dignitate enim secundum esse a Filio, ab ipso esse possidentem, et ab ipso accipientem, et nobis denuntiantem, et in summa ab ea causa dependentem, tradit pietatis ratio: sed natura tertia uti, neque a sanctis Litteris edocemur, neque ex his, quæ dicta sunt, recta ducta sequela possumus demonstrare. Quemadmodum enim Filius ordine quidem secundus est a Patre, quoniam ex illo, et dignitate, quod principium et causa, Pater illius est, et quod per ipsum accessus et adductio ad Deum et Patrem, natura vero neutiquam secundus, quod Deitas in utroque una, ita videlicet et Spiritus sanctus et si ordine Filio inferior est, et dignitate, nunquam tamen rite dicemus sequi eum alterius esse naturæ. Conspice in his quanam ratione sanctus manifeste admodum declaravit, Spiritum ex Filio habere, quod sit. Verumtamen cum ad hunc locum oratione pervenerim, non intempestivum fuerit exponere, quæ accurate comprobabunt, Ecclesiarum scandalum ut plurimum ex contentione, et irrationali multorum impetu exortum fuisse. Namque reperiuntur nonnulli codices, ex quibus illud abrasum est, « ab ipso esse habentem, et ab ipso accipientem, et nobis annuntiantem, et modis omnibus ab ea causa dependentem. « Tu itaque neutram in partem propensus judicium ferens, dicito per Triadem, qui dicta sanctorum Patrum perdito depravavit et verba illa ex scripto abrasit, quæ agnoscebat materiam pacis ecclesiasticæ exhibere, quomodo contentione, et insulso consilio ad pacem convellendam affectus non cognoscetur? Ni-

Digitized by Google Распознавание текста ABK/FR

hilominus licet allatus textus ex scripto codice erasus est, tu ex illis, quæ reliqua sunt, adnotato, quantis et ipsa polleant ad parandos animos, viribus. Dicit namque hic sanctus in sequentibus : « Quemadmodum enim Filius ordine Patri secundus, quod ab illo, et dignitate, quod principium et causa illius Pater est, natura vero non item secundus, quod Deitas in ambobus una, » pari ratione scilicet et Spiritus sanctus si Filio ordine et dignitate inferior est, nunquam tamen rite dicemus sequi, eum alterius esse naturæ. Quid tibi de his videtur? Prorsus nihil aliud inde colligitur, nisi, uti est Filius ordine et dignitate Patri secundus, ita et Spiritus sanctus ordine et dignitate secundus est Filio. Etenim si res Filii ad Patrem secundas quis asseveraverit ordine et dignitate, Spiritus autem ad Filium nullo modo, simul cum aliis et magnum Athanasium criminabitur, his iisdem verbis dicentem : « Quæcunque Filius erga Patrem, et Spiritus erga Filium. » Si vero Spiritus ad Filium secundæ partes proportione respondent, secundis partibus Filii ad Patrem, ipse quod sequitur, ratiocinationis consequentia, etiam me tacente, deprehendere poteris. Quod si durum tibi videtur rursum, et perceptu difficile, Spiritum esse Filio secundum et ordine et dignitate, secundum proportionem secundarum partium, quas habet Filius ad Patrem ordine et dignitate, si Nysseni verba in memoriam revocaveris, quibus indicabat : « Patrem Filio præintelligi ratione causæ, Filium vero præintelligi Spiritus hypostasi secundum causæ rationem, » omnis tibi asperitas lenietur, et quod in verbis magni Basilii perceptu difficile est, similibus Nysseni verbis facillime percipietur, et Filium quidem continenter ex Patre concipies, Spiritum vero ex eo, qui continenter est cum Patre. Quid enim aliud horum verborum sententia tinnit, quam Patrem præintelligi Filio ratione causæ, quod ex Patre Filius, præintelligi vero et Spiritum Filio secundum rationem causæ, quod ex Filio Spiritus. Tu itaque audiens Spiritum ex Patre per Filium procedere, et ex Patre exsistere, et a Filio, quod sit, habere, et ex Patre essentialiter effundi, et similiter ex Filio essentialiter effundi, si ad sententiam magni Basilii dictiones interpretatus fueris, semperque memoria recolueris dictum illud : « Quidquid dicitur a Filio esse, in Patrem primam causam relationem habet, » cum Romana Ecclesia conciliationem ex corde amplecteris, et ex Filio asserente, Spiritum esse, decernenteque ad Patrem universa Filii referri. Illud porro rursus quomodo aliter percipere poterimus, quod magnus Athanasius dixit, Filium Spiritu majorem apertissime enuntians. Hic enim oratione prima contra Arianos, cujus principium : « Hæreses quæcunque veritatem apprehenderunt, insaniam sibi, » scribit : « Spiritus dator, in Spiritu dicit nunc ejicere dæmonia, hoc vero non aliter dictum est, quam propter carnem. Nam cum na-

A ἀλλὰ σὺ καὶ ἀπὸ τῶν ἐπιλοίπων σημείωσαι ὡς πολλὴν ἔχουαι καὶ ταῦτα πρὸς καταλλαγὴν τὴν ἰσχύν· λέγει γὰρ ὁ ἅγιος οὗτος ἐν τοῖς ἑξῆς· « Ὡς γὰρ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τῷ εἶναι Πατέρα αὐτοῦ, φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· » οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως ἀκολουθεῖν εἴποιμεν. Τί σοι ἐκ τούτων δοκεῖ; Πάντως οὐδὲν ἄλλο ἐστὶν ἐντεῦθεν τὸ συναγόμενον, ἢ ὅτι, ὥσπερ ἐστὶν ὁ Υἱὸς τάξει καὶ ἀξιώματι δεύτερος τοῦ Πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα τάξει καὶ ἀξιώματι δεύτερόν ἐστι τοῦ Υἱοῦ. Εἰ γὰρ τὰ μὲν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δεύτερα εἴποι τις

B τῇ τάξει καὶ τῷ ἀξιώματι, τὰ δὲ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν οὐδαμῶς, μετὰ τῶν ἄλλων καὶ τὸν μέγαν Ἀθανάσιον διαβαλεῖ, αὐταῖς λέξεσι λέγοντα· « Ὅσα ὁ Υἱὸς πρὸς τὸν Πατέρα, καὶ τὸ Πνεῦμα πρὸς τὸν Υἱόν. » Εἰ δὲ τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν δευτερεῖον ἀνάλογόν ἐστι τῷ πρὸς τὸν Πατέρα δευτερείῳ τοῦ Υἱοῦ, αὐτὸς τὸ ἀκόλουθον τῇ τοῦ λόγου ἀνάγκῃ, καὶ ἐμοῦ σιωπῶντος, νοεῖν ἔχεις. Ἀλλ' εἴπερ τραχύ τι καὶ αὖθις δοκεῖ σόι καὶ δυσπαράδεκτον τὸ εἶναι τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ τάξει τε καὶ ἀξιώματι κατὰ τὴν ἀναλογίαν τοῦ πρὸς τὸν Πατέρα δευτερείου τοῦ Υἱοῦ ἐπὶ τῇ τάξει καὶ τῷ ἀξιώματι, ἐὰν τῶν τοῦ Νύσσης ῥημάτων μνησθῇς, ἐν οἷς ἔλεγε τὸν Πατέρα μὲν προεπινοεῖσθαι τοῦ

C Υἱοῦ τῷ τῆς αἰτίας λόγῳ, τὸν δὲ Υἱὸν προθεωρεῖσθαι τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον, » λεανθήσεταί σοι πᾶσα τραχύτης, καὶ τὸ ἐν τοῖς λόγοις τοῦ μεγάλου Βασιλείου δυσπαράδεκτον διὰ τῶν ὁμοίων τοῦ Νύσσης εὐπαράδεκτόν σοι γενήσεται, καὶ τὸν μὲν Υἱὸν προσεχῶς ἐκ τοῦ Πατρὸς νοήσεις, τὸ δὲ Πνεῦμα διὰ τοῦ προσεχῶς ἐκ τοῦ Πατρός. Εἰς τί γὰρ ἄλλο καὶ ἀφορᾷ ἡ τῶν λόγων τούτων διάνοια, ἢ ὅτι προεπινοεῖται μὲν ὁ Πατὴρ τοῦ Υἱοῦ τῷ αἰτίῳ, ὅτι ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, προεπινοεῖται δὲ ὁ Υἱὸς τοῦ Πνεύματος κατὰ τὸν τῆς αἰτίας λόγον, ὅτι διὰ τοῦ Υἱοῦ. Σὺ τοίνυν ἀκούων τὸ Πνεῦμα ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ ἐκ Πατρὸς ὑπάρχον, καὶ παρὰ τοῦ Υἱοῦ τὸ εἶναι ἔχον, καὶ ἐκ Πατρὸς οὐσιωδῶς προχεόμενον, καὶ ἐξ

D Υἱοῦ ὡσαύτως οὐσιωδῶς προχεόμενον, εἰ πρὸς τὴν ῥηθεῖσαν ἔννοιαν τῷ μεγάλῳ Βασιλείῳ διερμηνεύεις τὰς λέξεις, καὶ ἐκείνου δὲ μνημονεύεις ἀεὶ τοῦ ῥητοῦ τοῦ λέγοντος, « Εἴ τι λέγεται παρὰ τοῦ Υἱοῦ εἶναι, εἰς τὸν Πατέρα τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει, » τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καταλλαγὴν ἐνστερνίσῃ ἀπὸ καρδίας, καὶ ἐκ τοῦ Υἱοῦ λεγούσης εἶναι τὸ Πνεῦμα, καὶ πρὸς τὸν Πατέρα πάντα τοῦ Υἱοῦ δογματιζούσης ἀνάγεσθαι. Ἐκεῖνο δὲ πάλιν πῶς ἄλλως νοῆσαι ἔχομεν, ὅπερ ὁ μέγας εἰρηκεν Ἀθανάσιος, τὸν Υἱὸν μείζονα τοῦ Πνεύματος ἀριδήλως εἰπών; Οὗτος γὰρ ἐντῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, « Αἱ μὲν αἱρέσεις ὅσαι τῆς ἀληθείας ἐπινοήσασαι μανίαν ἑαυταῖς φρενηραὶ τυγχάνουσι, » φησίν· « Ὁ τοῦ Πνεύματος δο-

Digitized by Google Распознавание текста ABK/FR

τὴρ ἐν Πνεύματι λέγει νῦν ἐκβάλλειν τὰ δαιμόνια· τοῦτο δὲ οὐκ ἔστιν ἄλλως εἰρημένον ἢ διὰ τὴν σάρκα· ὡς γὰρ τῆς ἀνθρώπων φύσεως οὐκ οὔσης ἱκανῆς ἀφ' ἑαυτῆς ἐκβάλλειν τοὺς δαίμονας, εἰ μὴ δυνάμει τοῦ Πνεύματος, διὰ τοῦτο ὡς ἄνθρωπος ἔλεγεν· « Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. » Τοιαῦτα μὲν οὖν τοῖς Ἰουδαίοις ὡς ἄνθρωπος εἰρηκεν ὁ Κύριος· τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα, καὶ ἔλεγεν, « Ἐγὼ αὐτὸ ἀποστέλλω, κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει, λαλήσει. » Σκόπει τὸ ῥητὸν τοῦτο, καὶ πρὸς τὰ ἀναγεγραμμένα συμβίβαζε, ἵνα τρεῖς οὗτοι ἀπαράγραπτοι λαμβάνοιντο μάρτυρες, συνιστῶντες Ῥωμαίους μὴ δύο λέγειν τὰ τοῦ Πνεύματος αἴτια, εἰ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦτο λέγουσιν· εἰ γὰρ μήτε ὁ μέγας Βασίλειος δύο αἰτίας τοῦ Πνεύματος εἴρηκε, λέγων τὸ, « Πνεῦμα παρὰ τοῦ Υἱοῦ ἔχων τὸ εἶναι, » μήτε ὁ Νύσσης τὸν Υἱὸν δογματίζων προεπινοούμενον τοῦ Πνεύματος κατὰ τὸν τῆς αἰτίας λόγον, » μήτε ὁ μέγας Ἀθανάσιος, λέγων « τὸν Υἱὸν μείζονα τοῦ Πνεύματος, » οὐδὲ οἱ Ῥωμαῖοι δύο αἰτίας τοῦ Πνεύματος λέγουσιν, ἐκ Πατρὸς καὶ Υἱοῦ αὐτὸ λέγοντες ἐκπορεύεσθαι.

tura humana potis non sit, ex se ipsa ejicere dæmones, nisi virtute Spiritus, propterea ut homo dicebat[1]: Si vero ego in Spiritu Dei ejicio dæmonia [5]. Hæc itaque Judæis ut homo Dominus elocutus est: discipulis vero deitatem et magnitudinem suam ostentans, non minorem semetipsum Spiritu, sed majorem et æqualem denotans, elargiebatur Spiritum, aiebatque, Ego illum mittam, et ille me glorificabit, et quæcunque audiet loquetur [6]. » Considera dictum hoc, et cum supra scriptis confer, ut tres isti sine exceptione majores testes assumantur, confirmantes, Romanos non dicere duas causas Spiritus, licet illum ex Patre, et ex Filio asserant. Etenim si neque magnus Basilius duas Spiritus causas constabilit dicens, « Spiritum ex Filio habere esse; « neque Nyssenus, « Filium decernens præintelligi Spiritu secundum rationem causæ; » neque magnus Athanasius scribens: « Filium majorem Spiritu, » neque Romani duas Spiritus causas inferunt, dicentes illum ex Patre et Filio procedere.

κη'. Ἀλλ' ἐπὶ τρισὶ τούτοις μάρτυσι δέχου καὶ τὰς ῥηθησομένας ἄλλας μαρτυρίας εἰς τὴν ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ, ἔνθα τὸ, « ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου » ἐξηγεῖται, φησίν· « Ἡ μὲν γάρ ἐστι Θεὸς, καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱός· γεγέννηται γὰρ ἐκ Θεοῦ καὶ Πατρός· ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἁμέλει ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. » Ὁ αὐτὸς ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχὴ, « Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω, » φησί· « Βαπτίζοντα ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. » Ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου, οὗ ἡ ἀρχὴ, « Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, » φησίν· « Αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν ὡς Θεὸς, καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. » Ὁ Χρυσόστομος ἐν τῷ λόγῳ τῷ εἰς τὴν ἀνθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ, Ἐκάστῳ κλίματι ἐφεστήκεσαν ἄγγελοι, οὗ ἡ ἀρχὴ, « Ὄντως ἐπεφάνη ἡμῖν ἡ τοῦ Θεοῦ χάρις, » φησίν· « Ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς· ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ Πνεῦμα, καὶ ἀνελάβετο τὸ ἡμέτερον σῶμα. » Ὁ αὐτὸς ἐν τῷ λόγῳ, τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος, οὗ ἡ ἀρχὴ, « Πάλιν ἡμῖν ἡ τοῦ μακαρίου Δαυὶδ πνευματικὴ κιθάρα, » φησί· « Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον. » Ὁ αὐτὸς ἐν τῷ περὶ τῶν δύο Διαθηκῶν λόγῳ, οὗ ἡ ἀρχὴ, « Θεὸν δὲ ἕνα καὶ τὸν

28. Sed præ his tribus testibus habeto tibi infra ponenda alia testimonia, quibus demonstratur, Spiritum esse et ex Filio. Sanctus Cyrillus in expositione Joelis prophetæ, eo in loco, in quo illud: « Effundam e Spiritu meo [7], » interpretatur: « Ratione quidem, qua est Deus, et ex Deo secundum naturam Filius: namque ex Deo et Patre generatus est; proprius ipsius, et in ipso, et ex ipso est Spiritus sanctus, quemadmodum scilicet de ipso intelligitur Deo et Patre. » Idem oratione ad imperatorem Theodosium, cujus principium: « Gloria, quæ in hominibus est, supremum, » ait: « Baptizantem dixit Jesum in igne, non alienum iis, qui baptizantur, injicientem Spiritum, servi instar et administri, sed ut Deum cum suprema facultate, qui ex ipso est, et suus proprius. » Sanctus Athanasius oratione de incarnata apparitione Dei Verbi, cujus principium: « Qui malitiose divinas Scripturas volunt intelligere, » tradit: « Ipse enim illum desuper mittebat ut Deus; et ipse illum in imo accipiebat, ut homo. Ex ipso itaque in ipsum descendebat, ex divinitate ipsius in humanitatem ipsius. » Chrysostomus oratione in incarnationem Domini nostri Jesu Christi, et in illud, In quacunque regione assistebant angeli, cujus principium, « Vere apparuit nobis divina gratia, » refert: « Venit Christus ad nos, tradidit nobis, qui ex ipso est, Spiritum, et assumpsit nostrum corpus. » Idem oratione in mysterium baptismatis, cujus principium, « Rursus nobis sancti Davidis spiritalis cithara. Propterea Servator ostendit semetipsum fontem vitæ, et aquam viventem Spiritum sanctum. » Idem oratione de duobus Testamentis, cujus principium, « Deum vero unum

[1] Matth. XII, 28. [5] Joan. XVI, 13, 14 [7] Joel. II, 28.

Digitized by Google Распознавание текста ABBYY FR

cumdemque a principio manifestarunt, lex et prophetæ. Propterea enim quod factum est divinæ virtutis templum corpus Domini deiferum, fis et tu templum secundum illius similitudinem. Accipis enim ab ipso missum Spiritum. Quemadmodum ergo Christum agnoscens Deum agnovisti, ita et Spiritum Christi accipiens, Deum accepisti. » Idem in prima Prophylactica, cujus principium, « Quando ad bonum accedimus, præcavere oportet, qui bono contra operatur, diabolum. Et hac ratione servabit nos Spiritus, qui ex Christo est, in diem futuræ redemptionis. » Sanctus itidem Cyrillus in capite quodam libri secundi Thesaurorum, « Proprius vero omnino est Spiritus essentiæ Filii, neque ex externo aliquo hypostasim habet. » In alio rursus, « Legem ferente itaque Christo, tanquam in ipso et ex ipso Spiritu illius exsistente, legem fert. » Et rursus in alio : « Necesse est itaque ex essentia exsistere confiteri ipsum Filii, et Dei, omnem illius facultatem et operationem habentem. » Item in alio : « Nullam itaque naturæ differentiam novit Paulus Filii, et Spiritus sancti : sed tanquam in ipso et ex ipso naturaliter exsistentem, dominationis nomine nuncupat. » Iterum in alio : « Igitur ex essentia Filii est Spiritus sanctus. » Idem in expositione Evangelii secundum Joannem ait : « Namque Dei et Patris naturalium bonorum essentialiter exsistens particeps, habet et Spiritum, quemadmodum unusquisque nostrum proprium in se ipso Spiritum continet, et ex intimis visceribus ad exteriora ipsum effundit : quapropter et corpore illum discipulis insufflavit. » Idem in uno capite secundi libri Thesaurorum. « Ostenditur palam non esse alienum Filii Spiritum sanctum, sed in ipso et ex ipso, quemadmodum actio quædam naturalis omnia potens, quæcunque vult, replere. » Sanctus Epiphanius Cyprius oratione de Triade et Resurrectione, cujus principium, « Sed de Triade Dei et Patris, et Filii, et Spiritus sancti, nos debiles et rudes, nihil ex nostra scientia proferentes, neque aleæ hominum nosmetipsos addicentes, ex divinis Scripturis præcipue testimonia apposita colligentes, ad consolationem fidelium, et male novaque sentientium refutationem. » Post multa hæc habet : « Pater equidem, ut ita dicam, species, Filius ut in homine anima, Spiritus ut per hominem spirans. Quidam enim fraudes suunt, nec Deitatem tenent. Nos vero non ista didicimus. Sed en Pater in cœlo, en Spiritus sanctus formam columbæ, cum descenderet, sibi assumpsit, licet non corpus columbæ induerit, sed figuram tantum secundum seipsum descendens accepit, non alienam ab essentia Patris et Filii, sed eamdem, hypostasis ex hypostasi Patris, et Filii Spiritus sanctus. » Idem, oratione cui nomen fecit Ancyroto : « Emitte lumen tuum et veritatem tuam, David inquit. Ipse est Dominus, qui dixit : — Postremis diebus effundam ex Spiritu meo in universam carnem, et vaticinabuntur filii eorum et filiæ, et adolescentuli eorum, visiones vide-

A αὐτὸν δεδηλώκασιν ἐξ ἀρχῆς νόμος, καὶ προφῆται, » φησί· « Διὰ τὸ γὰρ γενέσθαι ναὸν τῆς θείας δυνάμεως τὸ σῶμα τοῦ Κυρίου τὸ θεοφόρον, γίνῃ καὶ σὺ ναὸς καθ' ὁμοίωσιν αὐτοῦ· δέχῃ γὰρ ἐκπεμπόμενον παρ' αὐτοῦ τὸ Πνεῦμα. Ὥσπερ οὖν Χριστὸν ἐπιγνοὺς, ἐπέγνως Θεὸν, οὕτω Πνεῦμα Χριστοῦ δεξάμενος, ἐδέξω Θεόν. » Ὁ αὐτὸς ἐν τῷ πρώτῳ Προφυλακτικῷ, οὗ ἡ ἀρχὴ, « Ἐπειδὴ τῷ ἀγαθῷ προσερχόμεθα, φυλάσσεσθαι δεῖ τὸν ἀντιπράσσοντα τῷ ἀγαθῷ διάβολον, » φησί· « Καὶ οὕτως ἡμᾶς φυλάξει τὸ παρὰ Χριστοῦ Πνεῦμα εἰς τὴν ἡμέραν τῆς μελλούσης ἀπολυτρώσεως. » Ὁ ἅγιος πάλιν Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν φησιν· « Ἴδιον δὲ πάντως τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ οὐκ ἔξωθεν ὑποστατόν. » Ἐν ἄλλῳ πάλιν· « Νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ B αὐτοῦ φυσικῶς ὑπάρχον τὸ Πνεῦμα αὐτοῦ, νομοθετεῖ· » Καὶ πάλιν ἐν ἄλλῳ· « Ἀνάγκη λοιπὸν ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν αὐτὸ τῆς τοῦ Υἱοῦ καὶ Θεοῦ, πᾶσαν αὐτοῦ τὴν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον. » Καὶ πάλιν ἐν ἄλλῳ· « Οὐδεμίαν ἄρα φύσεως εἶδεν ὁ Παῦλος διαφορὰν τῆς τοῦ Υἱοῦ καὶ ἁγίου Πνεύματος· ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον τῷ τῆς κυριότητος ὀνόματι καλεῖ. » Καὶ πάλιν ἐν ἄλλῳ· « Οὐκοῦν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα. » Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην φησί· « Τῶν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς ἔχει καὶ τὸ Πνεῦμα, ὥσπερ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ C πνεῦμα συνέχει· διὸ καὶ σωματικῶς αὐτὸ τοῖς μαθηταῖς ἐμπεφύσηκεν. » Ὁ αὐτὸς ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν φησι· « Δείκνυται σαφῶς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ, καὶ ὥσπερ ἐνέργειά τις φυσικὴ, πάντα δυναμένη πληροῦν, ὅσα καὶ βούλεται. » Ὁ ἅγιος Ἐπιφάνιος Κύπρου ἐν τῷ περὶ Τριάδος καὶ Ἀναστάσεως λόγῳ, οὗ ἡ ἀρχὴ, « Ἀλλὰ περὶ Τριάδος Θεοῦ καὶ Πατρὸς καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, οἱ ἀσθενεῖς ἡμεῖς, οἱ ἰδιῶται, μηδὲν σοφιζόμενοι, μηδὲ τῇ τῶν ἀνθρώπων κυβείᾳ ἑαυτοὺς ἀνατιθέντες ἐκ θείων Γραφῶν μάλα τὰς μαρτυρίας συναγαγόντες τὰς παρακειμένας, εἰς εὐφρασίαν πιστῶν καὶ ἀντίῤῥησιν κακοπίστων καὶ κενοδόξων, » οὕτω φησὶ μετὰ πολλά· « Πατὴρ μὲν, ὡς εἰπεῖν, τὸ εἶδος· Υἱὸς δὲ, D ὡς ἐν τῷ ἀνθρώπῳ ἡ ψυχή· Πνεῦμα δὲ, ὡς διὰ τοῦ ἀνθρώπου ἐμπνέον. Τινὲς γὰρ δολιεύονται καὶ οὕτω νομίζουσι τὴν θεότητα. Ἡμεῖς δὲ οὐχ οὕτως ἐμάθομεν. Ἀλλ' ἰδοὺ ὁ Πατὴρ ἐν οὐρανῷ, ἰδοὺ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐσχηματίζετο κατερχόμενον, καίτοι γε οὐ σῶμα περιστερᾶς λαμβάνον τύπῳ ἐσχηματίζετο κατερχόμενον καθ' ἑαυτὸ, οὐκ ἀλλοίας παρὰ τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ, ἀλλὰ τῆς αὐτῆς οὐσίας ὑπόστασις ἐξ ὑποστάσεως τῆς Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα. » Ὁ αὐτὸς ἐν τῷ λόγῳ τῷ καλουμένῳ Ἀγκυρωτῷ φησιν· « Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, ὁ Δαυὶδ φησιν. Αὐτός ἐστιν ὁ Κύριος, ὁ εἰπών· — Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυ-

Digitized by Google Распознавание текста ABK/FR

γατέρες αὐτῶν, καὶ οἱ νεανίσκοι αὐτῶν ὁράσεις ὄψονται· — τρία πρόσωπα ἁγίας λειτουργίας δείκνυσιν ἡμῖν, ὑποστάσεως ἐξ ὑποστάσεως οὔσης τρίτης. » Αὖθις ἐν τῷ αὐτῷ· « Τὸ Πνεῦμα ἀκατάληπτον, οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, οὐδὲ συναλοιφή ἐστι Πατρὸς καὶ Υἱοῦ. » Καὶ μετ' ὀλίγα· « Πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον, ἀλλὰ ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει, — Τὸ Πνεῦμα τοῦ Πατρὸς, καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τοῦ ἐμοῦ λήψεται, — ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς, μηδὲ Υἱοῦ· » καὶ μετ' ὀλίγα· « Ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τρίτον τῇ ὀνομασίᾳ· » καὶ μετὰ πολλὰ πάνυ· « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ καὶ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, — Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Καὶ μετ' ὀλίγα· « Ἀλλ' ἐρεῖ τις· Οὐκοῦν φαμεν δύο εἶναι Υἱούς. Καὶ πῶς Μονογενής; Μενοῦνγε. Σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ; Εἰ γὰρ τὸν μὲν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων, ἃ μόνα πίστει νοοῦμεν ὑπὸ τῶν ἁγίων φωτεινά, φωτοδότα, φωτεινὴν τὴν ἐνέργειαν ἔχει· » καὶ μετ' ὀλίγα· « Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας ἐστὶ φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ. Ὃν γὰρ τρόπον « Οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, » οὕτω τολμῶ λέγειν ὅτι οὐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει, καὶ οὐδὲ τὸν Υἱὸν καὶ τὸν Πατέρα εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. » Καὶ μετά τινα· « Τοίνυν Πατὴρ ἦν ἀεί, καὶ Υἱὸς ἦν ἀεί, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ πνέει. » Ἐπισφράγισμα τούτοις καὶ τὸ τοῦ δογματικωτάτου Νύσσης ῥητὸν, ὅπερ ἐν τῇ ἐξηγήσει τῆς εἰς τὸ, Πάτερ ἡμῶν, ὁμιλίας, ἧς ἡ ἀρχὴ, « Ὅτε προσῆγεν ὁ μέγας Μωϋσῆς ἐν τῇ κατὰ τὸ ὄρος μυσταγωγίᾳ τὸν Ἰσραηλίτην λαὸν, » εὑρηται οὕτως ἐπὶ λέξεων ἔχον· « Τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. Εἴ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησὶν, οὗτος οὐκ ἔστιν αὐτοῦ. Οὐκοῦν τὸ μὲν Πνεῦμα, τὸ ἐκ τοῦ Θεοῦ ὄν, καὶ Χριστοῦ Πνεῦμά ἐστιν· ὁ δὲ Υἱὸς, ἐκ τοῦ Θεοῦ ὢν οὐκέτι καὶ τοῦ Πνεύματος οὔτε ἔστιν οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη.» Τοσοῦτοι μὲν οὖν καὶ τοιοῦτοι οἱ ἐκ τοῦ Υἱοῦ, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὑπάρχειν εἰπόντες, ὧν οἱ μὲν ἐκ τοῦ Υἱοῦ, οἱ δὲ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν εἰρήκασιν, ὡς μηδὲν διαφέρον ἡγούμενοι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα εἰπεῖν, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ· κἂν καί τισι τοῦτο διαφέρον δοκεῖ, περὶ ὧν εἰπεῖν ἡμᾶς βραχέ' ἅττα οὐκ ἄκαιρον.

κθ'. Ἐπεὶ γὰρ μυριαχοῦ τῶν οἰκείων Γραφῶν, αἳ καὶ προανετάχθησαν, ὁ ἅγιος Κύριλλος εὕρηται λέγων τὸ Πνεῦμα ὑπάρχον ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, ἐδόξέ τισιν εἰπεῖν ἄλλο εἶναι τὸ ὑπάρχειν, καὶ

A bunt [a], — tres personas sanctæ Trinitatis ostendit nobis, hypostasi ex hypostasi tertia exsistente. » Item in eadem : « Spiritus comprehendi non potest, non alienus Patris et Filii, neque contractio est Patris et Filii. » Et post pauca : « Spiritus sanctus non frater fratris, non Patris frater, sed ex eadem essentia Patris et Filii. Namque ipse Unigenitus dicit — Spiritum Patris, qui ex Patre procedit, et ex meo accipiet, — ne alienus a Patre et Filio existimaretur. » Et paucis interjectis : « Ex Patre et Filio tertius appellatione. » Et post plurima annexa : « Utraque inhabitant in homine justo Christus et Spiritus ipsius. Si vero Christus ex Patre creditur, Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus insinuat, — Qui ex Patre procedit, B hic de meo accipiet. » Et post pauca : « Sed dicet nescio quis. Igitur dicimus duos esse Filios, et quomodo Unigenitus? Atqui tu quis es, qui cum Deo contendis? Etenim si Filium vocat ex se ipso, Spiritum sanctum ex utrisque, quæ solummodo fide a sanctis percipiuntur, luminis ipsa plena, lumen aliis impertientia, splendidam habent operationem. » Et paucis annexis : « Spiritus sanctus, Spiritus veritatis est lumen tertium a Patre et Filio. Quo enim modo — Nemo novit Patrem nisi Filius, neque Filium nisi Pater, — eodem modo audeo dicere, Neque Spiritum nisi Pater et Filius, ex quo procedit, et ex quo accipit, neque Filium et Patrem nisi Spiritus sanctus, qui vere glorificat, qui omnia C edocet, qui ex Patre et Filio. » Et post pauca: « Igitur Pater erat semper, et Filius erat semper, et Spiritus ex Patre et Filio spirat. » His omnibus in astruendis dogmatibus accuratissimi Nysseni dictum veluti sigillum apponatur, qui in Orationem Dominicam expositione, homilia, cujus principium est, « Cum magnus Moyses adduceret in mystagogiam, quæ in monte absolvenda erat, populum Israelitem, » hæc ad verbum expressit : « Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse omnium astipulatu confirmatur. Si quis enim Spiritum Christi non habet, inquit, hic non est illius. Itaque Spiritus, qui ex Deo est, et Christi Spiritus est, Filius vero ex Deo cum sit, non est neque Spiritus, neque dicitur, et correlativa hæc series non D convertitur. » Tot igitur tantique sunt, qui ex Filio, et ex essentia Filii Spiritum esse docuerunt : quorum alii ex Filio, alii ex essentia Filii Spiritum esse affirmarunt, nullum esse discrimen rati, sive ex Filio Spiritum dicas, sive ex essentia Filii. Licet nonnullis id aliud atque aliud esse videatur, de quibus quædam sed brevissime disserere non intempestivum fuerit.

29. Cum enim innumeris in locis propriarum scriptionum, quas ordine suo supra digessimus, sanctus Cyrillus reperiatur dicens, Spiritum exsistere, ex essentia Filii, visum est aliquibus, asserere,

[a] Joel II, 28. [b] Matth. XI, 27.

Digitized by Google Распознавание текста АВК/FR

aliud esse exsistere, et aliud exsistentiam habere : et esse aliquid quod exsistit ex aliquo, sed non habens exsistentiam ab eo, verum hoc est; nec ipse abnuo, mihique astipulabitur, quod exsistit ex hac urbe, ex ea suam originem agnoscit, et quod ex hoc choro exsistit, cum aliis, ex quibus chorus constat, chorum replet : et, ut verbo expediam, quod externe ab aliquo exsistit, et non essentialiter ab ipso. Verumtamen quod ex essentia alicujus est, quomodo fuerit aliud, quam illud quod exsistentiam ex eo habet, cujus ex essentia est? Etenim quod ex essentia bovis est, est bos, et exsistentiam prorsus possidet ex bove, ex cujus essentia est : et quod ex essentia hominis, homo est, et exsistentiam omnino habet ex homine, ex cujus essentia est. Propterea non arridet mihi eorum sententia, qui tradunt simpliciter atque indistincte, aliud esse exsistere, et aliud exsistentiam habere. Nam quod ex essentia alicujus est, et in essentia et hypostasi ex eo exsistere deprehendetur. Qui vero Romanis contentiose contradicunt, vero intellectu despecto, qui est, dicere Spiritum et ex Filio, et ex essentia Filii, et nihilominus non duas intelligere causas Spiritus, propter dictum magni Basilii asserentis, « quod a Filio dicitur esse, ad primam causam Patrem relationem habet; » neque enim molestum est sæpenumero eadem oratione repetere, atque inculcare, cum eo opportunius dictum aliud non suppetat, in absurda alia atque alia commenta contradictionem per vim adegerunt, discrimina comminiscentes inter, ex essentia Filii, et ex hypostasi illius Spiritum dici.

30. Et ut ex conflicto isto discrimine magis ac magis absurditas pateat, qui dicit, ex essentia Patris Spiritum procedere, interrogetur, an in speciali intelligentia essentiam concipit Patris absque hypostasi, et dum dicit ex essentia Patris illum procedere, quasi alia quædam esset notitia, quam si diceret, ex hypostasi ipsius procedere, an vero cum dicit, ex essentia Patris Spiritum sanctum procedere non sine hypostasi, sed cum hypostasi Patris essentiam intelligit? Nam si ex essentia Patris in hypostasi esse Spiritum indicat, qui ex essentia Patris illum asserit procedere, actum esset de gravi illa ac veneranda sententia affirmantium ex essentia Filii, ut tradunt Scripturæ effundi, et emanare Spiritum, non vero ex hypostasi, indeque per vim concludentium, Spiritum non esse et ex Filio : et tum, qui ex essentia Patris contendit eum procedere, ex essentia in hypostasi et non absque hypostasi dicit : neque enim sine hypostasi est Patris essentia, et apertissimum omnibus remanet, amdem vim orationi inesse, et cum ex essentia Filii effluere Spiritus dicitur et emanare, quod essentia Filii, quemadmodum et Patris in hypostasi est. Quod si in ratione specialis intelligentiæ, qui hæc efferunt, concipere intendunt, ex essentia Patris Spiritum sanctum procedere, quasi diceretur, ex hypostasi illius procedere, et jam peræqua ratione compre-

A ἄλλο τὸ τὴν ὕπαρξιν ἔχειν · καὶ ὅτι μέν ἐστί τι ὑπάρχον ἔκ τινος, μὴ ἔχον δὲ καὶ τὴν ὕπαρξιν ἐξ αὐτοῦ, ἀληθὲς τοῦτο, καὶ δέχομαι καὶ αὐτὸς, καὶ μαρτυρήσει μοι τοῦτο τὸ ὑπάρχον ἐκ τῆσδε τῆς πόλεως, ὡς ἐξ αὐτῆς τυχὸν ὡρμημένον, καὶ τὸ ἐκ τοῦδε τοῦ χοροῦ ὑπάρχον, τὸ σὺν τοῖς ἄλλοις, ἐξ ὧν ὁ χορὸς, συμπληροῦν τὸν χορόν· καὶ ἁπλῶς πᾶν τὸ ἐξωτερικῶς ἔκ τινος ὑπάρχον, καὶ μὴ οὐσιωδῶς ἐξ αὐτοῦ. Τὸ δὲ ἐκ τῆς οὐσίας ὑπάρχον τινὸς, πῶς ἂν εἴη ἄλλο τι, ἢ τὴν ὕπαρξιν ἔχειν ἐξ ἐκείνου, οὗ καὶ ἐκ τῆς οὐσίας ἐστίν ; Τὸ γὰρ ἐκ τῆς οὐσίας τοῦ βοὸς βοῦς ἐστι, καὶ τὴν ὕπαρξιν πάντως ἐκ τοῦ βοὸς ἔχει, οὗ καὶ ἐκ τῆς οὐσίας ἐστί· καὶ τὸ ἐκ τῆς οὐσίας τοῦ ἀνθρώπου ἄνθρωπός ἐστι, καὶ τὴν ὕπαρξιν πάντως ἐκ τοῦ ἀνθρώπου ἔχει, οὗ καὶ ἐκ τῆς B οὐσίας ἐστί. Διὰ γοῦν ταῦτα οὐκ ἀρέσκει μοι τὸ νόημα τῶν λεγόντων ἁπλῶς οὕτω καὶ ἀδιορίστως ἄλλο εἶναι τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ τὴν ὕπαρξιν ἔχειν. Τὸ γὰρ ἐκ τῆς οὐσίας τινὸς ὑπάρχον, καὶ ἐνουσίως καὶ ἐνυποστάτως ὑπάρχον ἐξ αὐτοῦ νοηθήσεται. Οἱ δὲ τοῖς Ῥωμαίοις ἐριστικῶς ἀντιλέγοντες, τὴν ἀληθῆ ἔννοιαν παριδόντες, ἥτις ἦν τὸ λέγεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ ὅμως μὴ δύο νοεῖσθαι τὰ τοῦ Πνεύματος αἴτια, διὰ τὸ κατὰ τὸν μέγαν Βασίλειον « τὸ παρὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα τὴν ἀναφορὰν ἔχειν · » οὐδεὶς γὰρ ὄκνος τὰ αὐτὰ πολλάκις τῷ λόγῳ ἀνακυκλοῦν, ὁπηνίκα οὐδέν ἐστιν εἰπεῖν αὐτοῦ καιριώτερον· εἰς C ἄλλας ἀτόπους ἐννοίας παρεδιάσαντο τὴν ἀντίῤῥησιν, διαφορὰς ἀναπλάττοντες τοῦ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ λέγειν τὸ Πνεῦμα.

λ'. Καὶ ἵνα τὸ ἐκ τῆς πεπλασμένης ταύτης διαφορᾶς ἀναφανείη ἄτοπον, ὁ λέγων ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἐρωτηθήτω, ἐν ἰδικῇ ἐννοίᾳ τὴν οὐσίαν νοεῖ τοῦ Πατρὸς παρὰ τὴν ὑπόστασιν, καὶ οὕτω λέγει τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι ὡς ἄλλης τινὸς ἀναφαινομένης ἐννοίας, ἢ εἴπερ ἔλεγεν ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἐκπορεύεσθαι, ἢ ἐν τῷ λέγειν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, οὐκ ἀνυπόστατον, ἀλλ' ἐνυπόστατον τὴν τοῦ Πατρὸς οὐσίαν νοεῖ ; Εἰ γὰρ ἐκ τῆς ἐνυποστάτου οὐσίας τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα δηλοῖ ὁ ἐκ τῆς οὐσίας τοῦ D Πατρὸς ἐκπορεύεσθαι λέγων αὐτὸ, οἴχεται τὸ σεμνὸν ἐκεῖνο νόημα τῶν λεγόντων ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, ὡς λέγουσιν αἱ Γραφαὶ ἀναπηγάζειν καὶ ἀναβλύζειν τὸ Πνεῦμα, οὔμενουν ἐκ τῆς ὑποστάσεως, κἀντεῦθεν παραβιαζόντων μὴ τὸ Πνεῦμα ὑπάρχειν καὶ ἐκ τοῦ Υἱοῦ· καὶ λοιπὸν, εἴπερ ὁ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς λέγων αὐτὸ ἐκπορεύεσθαι ἐκ τῆς ἐνυποστάτου, λέγει καὶ οὐκ ἀνυποστάτου, οὐ γάρ ἐστιν ἀνυπόστατος ἡ τοῦ Πατρὸς οὐσία· παντί που δῆλον ὡς ὁ αὐτὸς κρατήσει λόγος καὶ ὁπηνίκα ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ἀναπηγάζειν τὸ Πνεῦμα λέγεται καὶ ἀναβλύζειν, ὅτι καὶ ἡ οὐσία τοῦ Υἱοῦ ἐνυπόστατος, ὥσπερ ἡ τοῦ Πατρός. Εἰ δὲ εἰς λόγους ἰδικῆς ἐννοίας θέλουσιν οἱ ταῦτα λέγοντες ἐκλαμβάνειν τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἢ εἴπερ

Digitized by Google Распознавание текста ABK/FR

εἰλέγετο ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἐκπορεύεσθαι, οὐδὲν ἧττον καὶ πάλιν ἁλίσκονται ἐξ ἑαυτῶν δογματίζοντες, ὑπάρχειν τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Ἐκ τῆς τοῦ Πατρὸς γὰρ οὐσίας καὶ τοῦ Υἱοῦ ἀναβλύζει τε καὶ πηγάζει. Καὶ εἴγε κατὰ τοὺς τὰ τοιαῦτα τεχνολογοῦντας, ὁπηνίκα τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς λέγηται, ὁ τῆς ὑποστάσεως οὐ συμπαραλαμβάνεται λόγος, καὶ ἂν ὁπηνίκα τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγηται, ἡ τῆς ὑποστάσεως ἔννοια χώραν οὐκ ἔχει, ἀναμφιβόλως καὶ οὕτω ὑπάρχει τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ. Ἐκ τῆς οὐσίας γὰρ τοῦ Πατρὸς εἰπόντες οἱ ἅγιοι καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ εἶπον, καὶ οὔτε ἐπὶ Πατρὸς, οὔτε ἐπὶ τοῦ Υἱοῦ ὑποστάσεως ἐμνημόνευσαν.

A hendúntur ex semetipsis decernentes, Spiritum esse et ex Filio, ex Patris enim essentia et Filii effluit emanatque. Et, si æque atque illi, qui in similibus argutantur, affirment, cum ex essentia Patris dicitur, nullo modo comprehendi rationem hypostaseos, rursumque cum ex essentia Filii dicitur, hypostaseos intelligentiam locum non habere, absque dubio et hoc pacto Spiritus est ex Patre et ex Filio. Patres etenim qui dicunt ex essentia Patris, iidem et ex essentia Filii dixerunt, et neque in Patre neque in Filio hypostaseos meminere.

λα'. Ἀλλ' ἐνταῦθα τὸ μέγα ἐκεῖνο τῶν πάντα διαπορούντων ἀνακύπτει καὶ πάλιν ἀπόρημα, καί φασιν· Εἴπερ ἄλλο ἐστὶν οὐσία, καὶ ἄλλο ὑπόστασις, πῶς οὐ διαφέρει τὸ πῇ μὲν ἐκ τῆς οὐσίας, πῇ δὲ ἐκ τῆς ὑποστάσεως λέγειν; Ἡμεῖς δὲ τὰ τοιαῦτα παιζόντων μᾶλλον ἢ σπουδαζόντων διαγινώσκομεν. Ἔδει γὰρ τοὺς τοιούτους διανοεῖσθαι ὡς, εἰ καὶ ἄλλο μέν ἐστιν οὐσία, ἄλλο δὲ ὑπόστασις ἐπὶ ὅλης εἰρημένα τῆς θεότητος. Τὸ μὲν γὰρ δηλοῖ τὸ ἐν τῇ Τριάδι μοναδικὸν, ὅπερ ἐστὶν ἡ μία οὐσία τῆς θεότητος, τὸ δὲ τὸ ἐν τῇ μονάδι τριαδικὸν, ὅπερ ἐστὶν ἡ τῆς μιᾶς οὐσίας εἰς τρία πρόσωπα διαίρεσις ἀδιαίρετος, ἀλλ' οὐκ ἔστιν ὅλως εὐσεβοῦς ἐννοίας ἐχόμενον ἢ ἀνυπόστατον νοεῖσθαι τὴν τοῦ Πατρὸς οὐσίαν, ὁπηνίκα ἐκ τῆς οὐσίας τοῦ Πατρὸς θεολογῶν λέγῃ τις, ἢ ἀνούσιον τὴν ὑπόστασιν, ὁπηνίκα ἐκ τῆς ὑποστάσεως φάσκῃ, ἵνα μὴ καὶ διαφόρους γεννήσεις τοῦ ἑνὸς Υἱοῦ ἐκ τοῦ ἑνὸς Πατρὸς δώσει νοεῖσθαι ὁ ταῦτα λέγων, καὶ τὸ πῇ μὲν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς θεολογεῖσθαι γεννώμενον τὸν Υἱὸν, πῇ δὲ ἐκ τοῦ Πατρὸς, ὅπερ τῆς ὑποστάσεώς ἐστιν ἀναντιῤῥήτως δηλωτικὸν, καὶ διαφόρους ἐκπορεύσεις τοῦ Πνεύματος ἐκ τοῦ αὐτοῦ Πατρὸς, διὰ τὸ πῇ μὲν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς θεολογεῖσθαι τὸ Πνεῦμα ἐκπορευόμενον, πῇ δὲ ἐκ τοῦ Πατρός. Ἀλλ' ὅτι μὲν οὐκ ἄλλο ἐστὶ τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ τὴν ὕπαρξιν ἔχειν, δέδεικται, ἔκ τε τοῦ μὴ δύνασθαί τι ἐκ τῆς οὐσίας ὑπάρχειν τινὸς ἀνουσίως καὶ ἀνυποστάτως, καὶ ἐκ τοῦ μὴ δύνασθαι ἢ ἀνυπόστατον τὴν τοῦ Πατρὸς οὐσίαν νοεῖν, ὁπηνίκα τις ἐκ τῆς οὐσίας τοῦ Πατρὸς λέγῃ τὸ Πνεῦμα, ἢ ἀνούσιον τὴν ὑπόστασιν, ὁπηνίκα ἐκ τοῦ Πατρὸς, τουτέστι τῆς πατρικῆς ὑποστάσεως εἶναι λέγῃ αὐτό.

31. Sed hic ingens illa, eorum, qui de omnibus hæsitant, emergit iterum dubitatio, aiuntque: Si quidem aliud est essentia, et aliud hypostasis, qua de causa non differt, aliquando ex essentia, aliquando ex hypostasi dicere? Nos vero similia ludentium magis quam studentium esse contendimus. Namque hisce considerandum esset, si aliud est essentia, aliud hypostasis, de universa Deitate dictata: hoc enim notat unum, quod in Triade est, quæ est una Deitatis essentia, illud trinum in unitate, quæ est unius essentiæ in tres personas divisio indivisa, et a piis cogitationibus alienum est, vel sine hypostasi Patris essentiam intelligi, cum ex essentia Patris de rebus divinis tradens quispiam dicit, vel sine essentia hypostasim, cum ex hypostasi dicit, ne diversas ac varias unius Filii ex uno Patre generationes insinuare videatur, qui similia profert, quod aliquando ex essentia Patris genitum Filium asserat, aliquando ex Patre, quod sine ulla contradictione hypostasim notat, et diversas processiones Spiritus ex ipso Patre, quod aliquando ex essentia Patris Spiritus procedere affirmetur, aliquando ex Patre. Verum non aliud esse, exsistere, et aliud exsistentiam habere, demonstratum est ex eo, quod non possit aliquid ex essentia alicujus esse sine essentia et hypostasi, et quod fieri nequit, ut aut sine hypostasi Patris essentia concipiatur, cum quispiam asserit, ex essentia Patris Spiritum, aut sine essentia hypostasis, cum ex Patre, hypostasi paterna nempe, esse eumdem dicit.

λβ'. Ἐπεὶ δὲ οὐκ ἐπὶ πᾶσι τῶν ἀναγεγραμένων ῥητῶν εὕρηται τὸ Πνεῦμα διὰ μόνης τῆς τοῦ *ὑπάρχειν* λέξεως λεγόμενον ὑπάρχειν ἐκ τοῦ Υἱοῦ φυσικῶς τε καὶ οὐσιωδῶς, ἀλλ' ἔστιν οὗ καὶ διὰ τοῦ *ἀναβλύζειν*, καὶ *ἐκλάμπειν*, καὶ *προέρχεσθαι*, καὶ *προχεῖσθαι*, ἰσχυρὸν πάντως εἰς ἀπόδειξιν ἔσται τοῦ εἶναι καὶ ταῦτα δηλωτικὰ τοῦ φυσικῶς αὐτὸ καὶ οὐσιωδῶς ὑπάρχειν ἐκ τοῦ Υἱοῦ, ἐὰν διά τινων γραφικῶν ῥητῶν φανείη λαμβανόμενα τοῖς θεολόγοις ταῦτα, εἰς δήλωσιν καὶ τῆς ἐκ Πατρὸς φυσικῆς τοῦ Υἱοῦ καὶ οὐσιώδους ὑπάρξεως. Ἐὰν γὰρ τὸ ἐκλάμπειν παρὰ Πατρὸς τὸν Υἱὸν, ἐὰν τὸ προέρχεσθαι παρὰ Πατρὸς τὸν Υἱὸν, καὶ τὰ ἄλλα δηλῶσιν οὐσιω-

32. Cum porro in omnibus supra descriptis testimoniis non reperiatur Spiritus per solam *esse* dictionem dictus esse ex Filio naturaliter et essentialiter, sed in aliquibus quoque per illas, *emanare*, *elucere*, *provenire*, *profundi*, prorsum maximam vim habebit ad demonstrandum, eas identidem significare, naturaliter illum et essentialiter esse ex Filio, si per quædam scripto tradita dicta apparuerit, easdem a theologis assumi, ad notandam ex Patre naturalem Filii et essentialem exsistentiam. Etenim si elucere ex Patre Filium, si provenire ex Patre Filium, et alia indicant, cum essentialiter esse ex Patre, manifestum remanet et Spiritum elucentem, emanantem,

Digitized by Google Распознавание текста ABBYY FR

provenientem ex Filio naturaliter et essentialiter ex eo esse. Neque enim sine hypostasi ex Filio Spiritus effusio, emissio et effulsio intelligetur, quemadmodum neque Filii ex Patre. Et attento animo esto. Sanctus Cyrillus in uno ex capitibus, quæ ille de æternitate Filii concinnavit, et incipit : « Fons sapientiæ et vitæ vocatur Deus, et est, » ait : « Erat igitur Genitori coæternus Filius, veluti a quodam fonte paterna essentia emanans. » Vide hic, veluti a quodam fonte paterna essentia Filium emanantem, et sententiæ animum adverte ; emanare Filium ex paterna essentia, essentialiter et cum hypostasi eum inde esse notat, quod aptissime accommodabitur, cum et Spiritus ex essentia Filii emanare dicetur. Iterum idem magnus Cyrillus in alio capite primi Thesaurorum libri, et rursus in alio, et sæpius in alio scribit : « Quod ex Patris essentia provenit Verbum. » Quid aliud fuerit, quod ex Patris essentia provenit Verbum, quam ex Patris essentia essentialiter Verbum subsistens? Id si ita est, omnino essentialiter concipietur et Spiritus proveniens, aut progrediens ex Filio. Idem in alio eorumdem capitum, item in alio, et sæpenumero in alio : « Pater eluminavit ex se ipso Filium indivise et inseparabiliter. » Propterea que nos Spiritus eluminationem ex Filio essentialem intelligimus et cum hypostasi, quemadmodum est et ex Patre Filii eluminatio, quæ indivisa et inseparabilis et est, et dicitur.

A δῶς ὑπάρχειν αὐτὸν ἐκ Πατρὸς, πρόδηλον ὅτι καὶ τὸ Πνεῦμα ἐκλάμπον, καὶ προχεόμενον, καὶ προερχόμενον ἐκ τοῦ Υἱοῦ, φυσικῶς καὶ οὐσιωδῶς ἐξ αὐτοῦ ἐστιν. Οὐ γὰρ ἀνυπόστατος ἡ ἐξ Υἱοῦ τοῦ Πνεύματος πρόχυσις, καὶ πρόεσις, καὶ ἔκλαμψις νοηθήσεται, ὥσπερ οὐδὲ ἡ ἐκ Πατρὸς τοῦ Υἱοῦ. Σκόπει οὖν· αὐτίκα ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τῶν περὶ τῆς ἀϊδιότητος τοῦ Υἱοῦ, οὗ ἡ ἀρχὴ, « Πηγὴ σοφίας καὶ ζωῆς καλεῖται καὶ ἔστιν ὁ Θεὸς, » φησὶν· « Ἦν ἄρα τῷ γεννήσαντι συναΐδιος ὁ Υἱὸς, ὥσπερ ἀπό τινος πηγῆς τῆς πατρῴας ἀναβλύζων οὐσίας. » Ὅρα ἐνταῦθα ὡς ἀπό τινος πηγῆς τῆς πατρῴας οὐσίας ἀναβλύζοντα τὸν Υἱόν· καὶ ἐφίστα τῷ λόγῳ ὅτι τὸ ἀναβλύζειν τὸν Υἱὸν ἐκ τῆς πατρῴας οὐσίας τὸ οὐσιωδῶς καὶ ἐνυποστάτως αὐτὸν ἐκεῖθεν εἶναι δηλοῖ. ὅπερ ἁρμοδίως νοηθήσεται καὶ ὅταν ἀναβλύζειν τὸ Πνεῦμα ἐκ τῆς οὐσίας λέγηται τοῦ Υἱοῦ. Πάλιν ὁ αὐτὸς μέγας Κύριλλος ἐν ἄλλῳ κεφαλαίῳ τοῦ πρώτου τῶν Θησαυρῶν, καὶ πάλιν ἐν ἄλλῳ, καὶ πολλαχοῦ ἐν ἄλλῳ φησὶν· « Ὁ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν Λόγος. » Τί ἐστιν ἄλλο τὸ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν Λόγος ἢ ὅτι ὁ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας οὐσιωδῶς ὑφεστὼς Λόγος ; Εἰ δὲ τοῦτο, πάντως οὐσιωδῶς νοηθήσεται καὶ τὸ Πνεῦμα προερχόμενον, ἢ καὶ προϊὸν ἐξ Υἱοῦ. Ὁ αὐτὸς ἐν ἄλλῳ τῶν αὐτῶν κεφαλαίων, καὶ πάλιν ἐν ἄλλῳ, καὶ πολλάκις ἐν ἄλλῳ φησὶν· « Ὁ Πατὴρ ἐξέλαμψεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ἀμερίστως καὶ ἀδιαστάτως. » Καὶ διὰ τοῦτο ἡμεῖς τὴν τοῦ Πνεύματος ἔκλαμψιν ἐξ Υἱοῦ οὐσιώδη νοοῦμεν καὶ ἐνυπόστατον, ὥσπερ καὶ ἡ ἐκ Πατρός ἐστιν ἔκλαμψις τοῦ Υἱοῦ, ἀμέριστος καὶ ἀδιάστατος καὶ οὖσα καὶ λεγομένη.

B

33. Præsens etiam speculationis pars ex Patre et Filio in sancto Spiritu absolvatur. Qui administrant omnes spiritus, sunt angeli, archangeli, principatus, et potestates, throni, et dominationes : est vero et ipse Spiritus sanctus, ut theologi Patres nostri decreverunt, ex Patre et Filio ; sed administratorii omnes spiritus sunt ex Patre et ex Filio tanquam factore, et opifice creaturæ et opificia ; Spiritus autem sanctus est ex Patre et Filio, veluti Triadis unus, et Triadis complementum. Quod itaque administratorii spiritus ex Patre sunt et ex Filio veluti creaturæ et opificia, et Spiritus sanctus ex Patre est et ex Filio, veluti unus Triadis, et Triadis complementum, prorsus quærendum erat, accurateque dijudicandum, ab harum rerum exactissimis cognitoribus Patribus, et theologis, quibusnam vocibus similium exsistentiarum diversitas dignosceretur, quibus nulla melior in vocibus omnibus relinqui debuerat, discriminis significantior. Ut igitur mihi, et veritati videtur, nulla alia dictione aptius exprimere potuerunt differentiam ex Patre et Filio exsistentiæ Spiritus, et ex Patre et Filio exsistentiæ administratoriorum spirituum, nisi hac sola, veluti reliquis aliis magis propria, quæ tinniret, ex essentia Patris et Filii esse Spiritum sanctum. Etenim si ex essentia Patris et Filii Spiritum esse Patres non decrevissent, quomodo aptius illius differentiam et administratoriorum

C

λγ'. Καὶ τὸ παρὸν δὲ τῆς θεωρίας τοῦ λόγου μέρος γινέσθω ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐν τῷ ἁγίῳ Πνεύματι. Τὰ λειτουργικὰ πάντα ὑπάρχουσι πνεύματα, ἄγγελοι, ἀρχάγγελοι, ἀρχαί τε καὶ ἐξουσίαι, θρόνοι καὶ κυριότητες· ὑπάρχει δὲ καὶ αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τοὺς οὕτω θεολογήσαντας Πατέρας ἡμῶν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ἀλλὰ τὰ μὲν λειτουργικὰ πάντα πνεύματα ἐκ τοῦ Πατρὸς ὑπάρχει καὶ ἐκ τοῦ Υἱοῦ, ὡς ποιητοῦ καὶ δημιουργοῦ ποιήματα καὶ δημιουργήματα· τὸ δὲ ἅγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς ὑπάρχει καὶ τοῦ Υἱοῦ, ὡς ἓν τῆς Τριάδος καὶ συμπληρωτικὸν τῆς Τριάδος. Ὅτι γοῦν τὰ μὲν λειτουργικὰ πνεύματα ἐκ τοῦ Πατρὸς ὑπάρχει καὶ τοῦ Υἱοῦ ὡς ποιήματα καὶ δημιουργήματα, τὸ δὲ ἅγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς ὑπάρχει καὶ τοῦ Υἱοῦ, ὡς ἓν τῆς Τριάδος, καὶ συμπληρωτικὸν τῆς Τριάδος, οὐκ ἔδει πάντως μὴ ζητῆσαι καὶ ἀκριβώσασθαι τοὺς ἐξεταστικοὺς τῶν Πατέρων καὶ θεολόγων διὰ τοιαύτης λέξεως παραστῆσαι τὸ τῶν τοιούτων ὑπάρξεων διάφορον, ἧς οὐδεμία τις ἑτέρα λέξις ἐν πάσαις λέξεσιν ἀπολειφθῆναι ἔμελλε τῆς διαφορᾶς ἐμφαντικωτέρα. Ὡς γοῦν ἐμοὶ καὶ τῇ ἀληθείᾳ δοκεῖ, ἐν οὐδεμιᾷ τινι ἄλλῃ λέξει διατρανῶσαι καθαρώτερον ἔσχον τὸ διάφορον, τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν τὰ λειτουργικὰ πνεύματα, ἀλλ' ἐν μόνῃ ταύτῃ, ὡς πασῶν τῶν ἄλλων κυριωτέρᾳ, τῇ λεγούσῃ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὑπάρχειν τὸ Πνεῦμα

D

Digitized by Google Распознавание текста

τὸ ἅγιον. Εἰ μὴ γὰρ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν ἐθεολόγησαν οἱ Πατέρες, πῶς ἂν ἄλλως κυριωτέρως παραστῆσαι ἔσχον τὴν αὐτοῦ διαφορὰν πρὸς τὰ λειτουργικὰ πνεύματα, ἅτε καὶ αὐτῶν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὑπαρχόντων ; Οἱ γοῦν λέγοντες τὸ ὑπάρχειν τὸ Πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ μὴ δηλοῦν αὐτὸ τὸ τοῦ Πνεύματος οὐσιῶδες καὶ ἐνυπόστατον, τοσοῦτόν μοι δοκοῦσι τῆς ἀληθείας ἐσφάλθαι, ὡς τῆς θεότητος αὐτῆς τὸ Πνεῦμα τὸ ἅγιον ἀλλοτριοῦν. Κατὰ τί γὰρ ἂν ἄλλο καὶ πιστευθείη θεὸς εἶναι τὸ Πνεῦμα, εἰ μή τις καὶ καρδίᾳ πιστεύσειεν ἀκριβῶς καὶ χείλεσιν ὁμολογήσει καθαρῶς ἐκ τῆς θείας οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ οὐσιωδῶς καὶ ἐνυποστάτως προϊέναι αὐτό; Ὅσοι γὰρ τῶν Πατέρων τὸν κατὰ τῶν Πνευματομάχων ἀγῶνα ἐν ἰδίοις καιροῖς συνεστήσαντο, οὐδεμίαν ἄλλην ἀποδείξεως ἐποιήσαντο ὕλην τοῦ εἶναι τὸ Πνεῦμα Θεὸν ἀλλ' ἢ μόνον αὐτὸ τὸ ἀπὸ θείων ἀποδεδειχέναι Γραφῶν ἐκ τῆς θείας οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Οἱ γοῦν ταῖς ἀμέτροις καὶ παντὸς ὕψους καὶ βάθους ὑπερεκτεινομέναις λεπτότησι τῶν νῦν θεολογιῶν ἐμβαθύνοντες σκοπεῖτωσαν, μήποτε τὸ τῶν λεπτολογιῶν ἄμετρον παρασύρῃ αὐτοὺς τῆς ὁδοῦ τῶν Πατέρων, οἵτινες ἀπεριέργως οὕτω, καὶ ὡς αὐτοῖς δοκεῖ παχυλῶς ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα· καὶ τῶν Ῥωμαίων μὴ κατηγορείτωσαν μάτην, οἳ ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, καὶ εἰς ἐξήγησιν τῆς λέξεως ἐν τῷ ἑαυτῶν ὑπεραπολογεῖσθαι τιθέμενοι, τὸ οὐσιωδῶς καὶ ἐνυποστάτως ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν, ὅλον χορὸν Πατέρων διαλαμψάντων ἐπὶ θεολογίᾳ τῆς ἑαυτῶν ἀπολογίας προϊστῶσιν. Ἀλλ' οἱ μὲν λέγοντες μὴ τὸ οὐσιῶδες καὶ ἐνυπόστατον δηλοῦσθαι τοῦ Πνεύματος, ἐν τῷ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεολογεῖσθαι αὐτὸ προερχόμενον, οὕτω τὸ μέγιστον τῆς εὐσεβείας, ὡς ἔφημεν, κολοβοῦντες λανθάνουσιν, ἅτε τὴν τῆς λέξεως παραλαλεύοντες δύναμιν, ἐξ ἧς οἱ θεολόγοι Πατέρες ἡμῶν Θεὸν εἶναι τὸ Πνεῦμα κατὰ πολλὴν περιουσίαν τῆς ἀληθείας ἀπέδειξαν. Ἃ δὲ τὸν ὑπὲρ ἡμῶν ἀπόλογον συγκροτεῖ, τοιάδε καὶ τόσα, ἱκανῶς μοι ἔχειν δοκοῦντα πρὸς σύστασιν τοῦ καλῶς ἡμᾶς ἐλθεῖν ἐπὶ τὰς τῆς Ῥωμαΐκης Ἐκκλησίας καταλλαγάς. Τὰ γραφικὰ γὰρ πάντα τῶν ἁγίων ἐξηπλώθη ῥητά, ὅπως ἂν πρός τε τοὺς νῦν τῶν ἀνθρώπων πρός τε τοὺς μεθ' ἡμᾶς παραστήσαιμεν, ὡς ἐξ ἐπηρείας σατανικῆς, καὶ ἐξ οὐδενὸς εὐλόγου αἰτίου αἱ Ἐκκλησίαι ἀλλήλαις τοσοῦτον χρόνον ἐκπεπολέμωνται. Καὶ εἰ μὲν οἱ τοῖς παροῦσιν ἐντυγχάνοντες λόγοις εὐστόχως ἡμᾶς ἠγήσαιντο τῆς τῶν καταστρωθέντων ὧδε γραφικῶν ῥητῶν διανοίας καταστοχάσασθαι, τῷ Θεῷ χάρις· εἰ δέ τισιν ἄλλως ἔχειν δοκεῖ τὰ περὶ αὐτῶν, τὸ αὐτεξούσιον τίς τούτων καὶ ἀφαιρήσεται, χρῆμα βασίλειον δοθὲν αὐτοῖς παρὰ τοῦ Θεοῦ ; Ὃ δὲ εἰπεῖν μοι ἔξεστιν ἀδελφικῶς, ὑπερπονοῦντι αὐτῶν, σκοπείτωσαν, μή ποτε αὐτοὶ καθ' ἑαυτῶν μαίνονται, εἴγε ἀρκοῦσαν ἔχει μανίας ἀπόδειξιν, ὅσα ὁ χρόνος κατὰ παρὰ τὴν ἐκκλησιαστικὴν ταύτην μάχην τῷ ἡμετέρῳ γένει ἐνέδειξεν.

A spirituum repræsentassent, cum et ipsi sint ex Patre et ex Filio? Qui itaque dictitant, exsistentiam Spiritus ex essentia Patris et Filii non inferre ipsius Spiritus essentiam et hypostasim, tantumdem mihi videntur a veritate aberrare quantum est a Deitate Spiritum sanctum dejicere. Quo enim alio credetur Deus Spiritus, nisi quis et ex corde accurate crediderit, et labiis pure confessus fuerit, ex divina essentia Patris et Filii essentialiter, et in hypostasi eum provenire? Patres siquidem, qui adversus Spiritus hostes certamen propriis temporibus iniere, nullam aliam suæ demonstrationis materiam assumpserunt, Spiritum esse Deum, nisi illud tantummodo e divinis Litteris demonstrando, ex divina essentia Patris et Filii esse Spiritum B sanctum. In immodicas igitur et super altitudinem omnem et profunditatem extensas subtilitates hujusce temporis theologicarum tractationum, sese immergentes, caveant, ne aliquando innumeris de minimis et frivolis disputationibus a via Patrum abripiantur, qui non admodum curiose, et, ut illis complacitum fuerat, crasse, ex essentia Patris et Filii Spiritum esse asseruerunt; neque temere criminentur Romanos, qui ex Patre et Filio Spiritum dicentes procedere, et dictionis expositionem, dum semetipsos defendunt, apponentes, essentialiter et in hypostasi ex Patre et Filio Spiritum esse, integrum Patrum in rebus theologicis pertractandis præcipuorum chorum suæ responsioni præferunt. Qui vero contendunt, nec essentiam, C nec hypostasim Spiritus notari, cum ex essentia Patris et Filii ille proveniens asseritur, absque dubio potissimam pietatis partem, utcunque detruncant; tanquam qui dictionis notionem distorqueant, cujus vi Patres nostri theologi Deum esse Spiritum cum multo veritatis æmolumento demonstrarunt. Hæc porro nostram causam sustinent ac tuentur, satisque esse mihi videntur ad corroborandum, probe a nobis cum Romana Ecclesia pacem initam fuisse. Namque omnia scripto tradita dicta digesta sunt, ut tum præsentibus, tum futuris hominibus comprobaremus, Satanica improbitate, et nulla rationali de causa Ecclesias inter sese per tantum tempus inimicitias exercuisse. Etsi qui commentarium hoc nostrum percurrerint, D existimabunt, nos ad dictorum hic exscriptorum sententiam exacte collimasse, Deo gratiæ : id si aliter nonnullis circa illa visum fuisse eorum liberum arbitrium quis coget, rem regiam, ipsis a Deo datum? Quod vero subest mihi fraterne pro illis indolenti dicere, considerent, ne ipsi in se ipsos insaniant, si satis copiosam insaniæ demonstrationem habent, quot mala, post hoc ecclesiasticum dissidium exortum, nostram nationem divexarunt.

Digitized by Google Распознавание текста ABK/FR

34. Quando vero in principio hæc nostra oratio, ante dictorum expositionem promisit, auctores etiam schismatis, et illos, qui eos secuti sunt, redarguere, veluti eos qui nihil neque sanum, neque quod proxime ad verum accederet, in commentariis adversus Romanam Ecclesiam posteris consignatis, enuntiarunt, age jam alteram debiti partem exsolvamus. Et licet, ut nonnemo existimabit, adscripta testimonia videantur rationi consentanea, sunt nihilominus in concinnatis adversus Romanos commentariis diversis temporibus partes quædam, quas supra posuimus, veritatis vim occulentes, ipsa eadem scripta, quæ usquedum ad nostras manus pervenere, in medium afferenda sunt, et singulæ partes suo ordine orationi inserendæ, et contra opponendum, quidquid nobis ex Deo suppeditabitur, et ad cujusque sententiæ eversionem conducet.

35. Igitur cum omnium antiquissimum schisma Photius suscitaverit, id temporis patriarchalis Byzantini throni antistes, inventor primus et parens propositionum, quæ adversus Romanam Ecclesiam falso concinnatæ sunt, ab illius expositis ad excitandam conflictus flammam syllogismis orationem nostram exordiamur. Prima illius ratiocinatio reperitur hunc in modum ipsis ejusdem verbis expressa.

λδ'. Ἐπεὶ δ' ἐν ἀρχαῖς ὁ παρὼν οὗτος ἡμέτερος λόγος πρὸς τῇ ἐκθέσει τῶν ῥήσεων ἐπηγγείλατο, καὶ τοὺς τοῦ σχίσματος ἀρχηγοὺς, καὶ ὅσοι τούτοις ἐπηκολούθησαν, ἀπελέγξαι ὡς οὐδὲν ὑγιὲς καὶ τῆς ἀληθείας ἐχόμενον εἶπον, ἐφ' οἷς συγγράμμασι κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας πρὸς τοὺς ὀψιγόνους κατελελοίπασι· φέρε δὴ καὶ τὸ δεύτερον τοῦ χρέους ἀφοσιωτέον. Ἵνα γὰρ μή τις οἰήσαιτο, ὡς, εἰ καὶ τὰ ἀναγεγραμμένα ῥητὰ ἔχει τὸ εὐλογοφανὲς, ἔστιν ὅμως ἐν τοῖς κατὰ διαφόρους καιροὺς ἐκτεθεῖσι κατὰ τῶν Ῥωμαίων συγγράμμασι τινὰς εὑρεθῆναι περικοπὰς τὸ εὐλογοφανὲς τῶν προανατεταμένων τῷ περιόντι τῆς ἀληθείας ὥσπερ ἐπικρυπτούσας, δεῖ καὶ αὐτὰς ταύτας τὰς γραφὰς, ὅσαις τέως ἡμῖν ἐξεγένετο ἐντυχεῖν, ἐπὶ τοῦ μέσου προθεῖναι, καὶ ἑκάστην ἀναλεγομένους περικοπὴν, στιχηδὸν ἐγκατατάξαι τῷ λόγῳ, καὶ ἀντιπροθεῖναι πᾶν, ὅπερ ἡμῖν σὺν Θεῷ δόξειεν εἰς τὴν ἑκάστου νοήματος συντεῖνον ἀνατροπήν.

λε'. Τοίνυν, ἐπεὶ τοῦ σχίσματος ἀρχαιότατον Φώτιος ἦν ὁ τότε τοῦ πατριαρχικοῦ τῆς Κωνσταντινουπόλεως πρόεδρος θρόνου, καὶ αὐτὸς ἦν ὁ πρῶτος εὑρετὴς καὶ γεννήτωρ τῶν κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐφευρημένων προτάσεων, τοὺς παρ' αὐτοῦ ἐκτεθέντας συλλογισμοὺς εἰς ἅναψιν τοῦ τῆς μάχης πυρσοῦ ἀρχὴν ποιητέον τῶν λόγων. Αὐτίκα ὁ πρῶτος τῶν τούτου συλλογισμῶν εὕρηται οὕτως ἐπὶ λέξεων ἔχων.

PHOTIUS.

« Si simplex est Spiritus, procedit vero ex Patre et Filio, modis omnibus hi una persona reputabuntur. Hinc introducetur Sabelliana contractio, seu potius semisabelliana. »

ΦΩΤΙΟΣ.

« Εἰ ἁπλοῦν μὲν τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς δὲ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, πάντως ἓν ἂν οὗτοι νομισθεῖεν πρόσωπον, κἀντεῦθεν εἰσαχθήσεται συναλοιφὴ Σαβέλλειος, ἢ μᾶλλον εἰπεῖν, ἡμισαβέλλειος. »

Et hic est primus Photii syllogismus. Ego vero jam ad illius argumenta refellenda dissolvendaque me accingens, mei ante omnia defensionem præponere judico, ne quis ex illis, qui nostrum hunc commentarium legent, superbiæ jactantiæque nos accuset, quasi certamen hoc contradictionis inierimus ob inanem tumorem, animique elationem, vel ut nonnullis etiam videremur, satis virium habere, eorum, quos commemoramus, sapientiam dicendi copia et eloquentiæ abundantia superare. Absit, ut ita insaniendo deliremus, et similia de nobis imaginemur, et beatitatem rejiciamus, quæ pauperibus spiritu in Evangelio promittitur. Sed contradictionis universum certamen erit nobis veluti Ecclesiarum Deo complacitæ unionis studio inflammatis, ob quod ad hanc contradictionem descendimus veritate, mendacium subigere, non nobis in sapientia supereminentium gloriam apud nonnullos alios, vindicare conantes. Namque antequam quispiam alius aliquid simile de nobis opinetur, jam plane constitemur, omnibus, quibuscum in contradictionem venimus, et sapientia et eloquentia plurimum esse inferiores, et, quod ad sapientiæ vires spectat, nec adversis oculis co-

Καὶ ταῦτα μὲν ὁ τοῦ Φωτίου πρῶτος συλλογισμός. Ἐγὼ δὲ ἤδη πρὸς τοὺς ἐλέγχους τῶν παρ' αὐτοῦ ἐπιχειρημάτων διδοὺς ἑαυτὸν, ἐμαυτοῦ τέως ὑπεραπολογήσασθαι κρίνων, μή πού τις τῶν ἐντευξομένων τῷ παρόντι τούτῳ ἡμετέρῳ συγγράμματι οἰήσεως ἡμᾶς γράψηται, ὡς εἰς τὸν τῆς ἀντιῤῥήσεως ἀποδυσαμένους ἀγῶνα διὰ κενὸν φρονήματος ὄγκον, ὅπως ἂν τισι καὶ δόξαιμεν ἱκανῶς ἔχειν τοὺς πρὸ ἡμῶν ὀνομασθέντας ἐπὶ σοφίᾳ νικᾷν κατὰ τὴν ἐν λόγοις περιουσίαν. Μὴ γὰρ οὕτω μανείημεν, ὡς τοιαῦτα περὶ ἡμῶν φαντάζεσθαι, καὶ τὸν μακαρισμὸν ἀπωθεῖσθαι, τὸν τοῖς πτωχοῖς τῷ πνεύματι ἐν τοῖς Εὐαγγελίοις ἐπηγγελμένον. Ἀλλ' ὁ πᾶς τῆς ἀντιῤῥήσεως ἀγὼν ἡμῖν ἐστιν ὡς ἀναπτομένοις τῷ ζήλῳ τῆς τῶν Ἐκκλησιῶν θεαρέστου ἑνώσεως, δι' ὃν ζῆλον ἑνώσεως καὶ ἐπὶ τὴν ἀντίῤῥησιν ἐρχόμεθα ταύτην, ἀληθείᾳ τὸ ψεῦδος καταγωνίσασθαι θέλοντες, καὶ οὐχὶ δόξαν ἀπενέγκασθαι τῶν ἐπὶ σοφίᾳ πρός τινας ἄλλους πρεσβείων. Φθάνω γὰρ ἐγὼ πρὶν ἄν τινα καὶ οἰηθῆναί τι τοιοῦτον περὶ ἡμῶν ὁμολογῶν πάντων τούτων, ὧν πρὸς τοὺς λόγους ἔρχομαι τὴν ἀντίῤῥησιν ποιησόμενος, ἐπὶ λόγῳ καὶ σοφίᾳ ἥττᾶσθαι καταπολύ· καὶ ὅσον κατὰ τὴν ἐπὶ τῇ σοφίᾳ δύναμιν οὐδ' ἀντιβλέψαι ἂν

Digitized by Google Распознавание текста ABK/FR

τοῖς ἐκείνων, μή τοί γε καὶ, συστάδην ἀνταγωνίσασθαι ὁ ἡμέτερος ἴσχυσε λόγος. Ἐπεὶ δὲ πάσης σοφίας τὸ ἀκρότατον ἡ ἀλήθεια, ὅτι καὶ μόνος σοφὸς ὁ τῆς ἀληθείας Θεός ἐστιν, αὐτῷ δὴ τῷ τῆς ἀληθείας θεῷ τὰς ἐλπίδας ἀνάψαντες, τῆς πρὸς τὸν ἔλεγχον εὐοδώσεως ἐπὶ τὸν κατὰ τῶν μὴ ἀληθευόντων ἀγῶνα χωροῦμεν. Καὶ ἐπεὶ Θεοῦ καὶ ἀληθείας ἐμνήσθημεν εἰς αὐτὴν ταύτην τὴν ἀλήθειαν, καὶ εἰς ἄλλο μηδὲν ὁρκίζομεν τοὺς ἐσομένους διαγνώμονας ἑκατέρων τῶν λόγων ἀπροσπαθῶς ἐπὶ τὴν διάγνωσιν ἔρχεσθαι, τοῦτο ἀκριβῶς εἰδότας, ὡς ὁ πᾶς ἡμῖν πόνος ὑπὲρ ἑνώσεώς ἐστιν Ἐκκλησιῶν, ὧν ἡ διάστασις πολλὴν ζημίαν τῇ εὐσεβείᾳ προεξένησε· καὶ ὁ πρὸς χάριν ἐντεῦθεν διαγνωσόμενος τὸ τοῦ καταβραβεύσαντος ἐπισπάσεται κρίμα οὐκ ἐπί τισι τῶν σωματικὴν ἴσως τὴν ζημίαν ἐχόντων, ἀλλ' ἐπ' αὐτοῖς, οἷς Θεὸς ὡς ἠδικημένος ἀγανακτήσει. Οὕτω τοιγαροῦν τὰ τοῦ λόγου ἐπὶ τῷ δευτέρῳ αὐτοῦ εἴδει προκαταστήσαντες, καὶ δὴ χωροῦμεν ἐπὶ τὸ λέγειν. Ἀλλ' ἐπαναληπτέον καὶ πάλιν τὸν προανατεταγμένον συλλογισμόν.

λς'. « Εἰ ἁπλοῦν μέν, φησὶ, τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς δὲ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, πάντως ἓν ἂν οὗτοι νομισθεῖεν πρόσωπον, κἀντεῦθεν εἰσαχθήσεται συναλοιφὴ Σαβέλλειος, ἢ μᾶλλον εἰπεῖν ἡμισαβέλλειος. »

Οἱ πρὸς τὰς διὰ συλλογισμῶν ἀποδείξεις ἐρχόμενοι διαλεκτικῶς παντὸς ἄλλου τίθενται προὐργιαίτερον τὸν τῆς ἐγκειμένης σημασίας ταῖς λέξεσι προσδιορισμόν, ἵνα μὴ τῷ πολυσήμῳ τῶν λέξεων τὸ τῆς ἀποδείξεως ὑποκλέπτηται ἀληθές. Σὺ γοῦν, σοφώτατε Φώτιε, τοὺς γὰρ πρὸς σὲ λόγους ὡς πρὸς παρόντα ποιήσομαι, τῷ ἐκτεθέντι τῷ πρώτῳ τούτῳ συλλογισμῷ, ὑποθετικῶς πλεκομένῳ, εἰ ἐκ τοῦ Πατρὸς, ἔφης, καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεται, ἐπεὶ τὸ Πνεῦμα ἁπλοῦν ἕπεται ἐξ ἀνάγκης τῇ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος τὸ συναλοίφεσθαι τούτους εἰς πρόσωπον ἕν, ὅπερ καὶ Σαβέλλειον καὶ ἡμισαβέλλειον αἵρεσιν ἀποφαίνῃ. Ἐπεὶ γοῦν τὴν τῶν δύο προσώπων εἰς ἓν συναλοιφὴν ἀκολουθεῖν ἐξ ἀνάγκης ἔφης, ἐάν τις ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι δώσει, διὰ τὸ ἁπλοῦν εἶναι τὸ Πνεῦμα, ζητητέον ἐστὶ τὸ *ἐκπορεύεται* τοῦτο, πῶς ἐκλαμβάνεταί σοι ἐνταῦθα. Πάντως γὰρ τὴν ἐκ Θεοῦ φυσικὴν καὶ οὐσιώδη τοῦ Πνεύματος ὕπαρξιν δηλοῦν ἐρεῖς τὴν ἐκπόρευσιν, καὶ ἄλλο τι παρὰ ταύτην οὐδέν. Ἀλλ' ἡ ὕπαρξις αὕτη οὐκ ἀεὶ ἐν τῇ τοῦ ἐκπορεύεσθαι μόνῃ σημαίνεται λέξει, ἀλλὰ καὶ ἐν ἄλλαις πολλαῖς, ὧν ἐστι καὶ τὸ *προϊέναι*, καὶ τὸ *προχεῖσθαι*, καὶ *προέρχεσθαι αὐτὸ ἐκ Πατρός*. Οἴδαμεν δὲ κατὰ τὴν κοινὴν ὥσπερ ὁμολογεῖσθαι τὴν ἔννοιαν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ ἐκ Πατρὸς καὶ Υἱοῦ ταῦτα πάντα ἐπὶ τοῦ ἁπλοῦ λέγεσθαι Πνεύματος, καὶ τὴν αὐτοῦ τηρεῖσθαι ἁπλότητα, καὶ μηδεμίαν ἐνταῦθα Πατρὸς καὶ Υἱοῦ συναλοιφὴν ἀναφαίνεσθαι. Καὶ σαφὴς τοῦτό ἐστιν ἀπόδειξις, τὸ μὴ τὸ δοκοῦν σοι ἀκολουθεῖν ἄτοπον, ἐὰν ἐκ Πατρὸς καὶ Υἱοῦ οἱ Ῥωμαῖοι

A intueri posse, tantum abest, ut cominus et veluti statarii milites cum illis confligere dicendo audeamus. Cum vero sapientiæ universæ vertex veritas sit, quod et solus sapiens veritatis Deus, in ipso veritatis Deo spe collocata jam ad eos refellendos, qui mendaciis addicti veritatem convellunt, ventis secundis in certamen descendimus. Et quando Dei et veritatis mentio inducta est, per eamdem veritatem, nec alium testem et conscium sacramento astringimus ambarum partium commentariorum cognitores futuros, ut animi affectu deposito, ad rei cognitionem accedant, illius plane gnari, nos omnem hunc laborem pro unione Ecclesiarum, quarum dissidium summopere pietati nocuit, suscepisse; et qui gratia aut amore dijudicaverit, judi-
B cium in se defraudantis præmio attrahet, non in quibus forte detrimentum corpori fit, sed in illis ipsis, pro quibus injuria Deus affectus indignabitur. Hoc itaque pacto pro secunda illius parte oratione antea disposita, rem ipsam aggrediamur. Sed nunc denuo resumendus est syllogismus præpositus.

36. « Si simplex, inquit, Spiritus est, ex Patre vero et Filio procedit, omnino hi una persona reputabuntur, indeque contractio Sabelliana, aut potius semisabelliana, introducetur. »

Qui ad demonstrationes per syllogismos dialecticorum more procedunt, ante omnia tanquam
C utilissimum præponunt sententiæ, quæ in dictionibus est, determinationem, ne dictionum varia significatione, veritas obscuretur. Tu vero, sapientissime Photi, namque ad te veluti præsentem orationem converto, in apposito primo hoc syllogismo, et sub conditione circumplicato, si ex Patre, ais, et Filio Spiritus procedit, cum Spiritus simplex sit, necessario sequitur, ex Patre et Filio Spiritus processione contrahi hosce in unam personam, quod Sabellianam aut Semisabellianam hæresim indigetas. Cum itaque duarum personarum in unam contractionem necessario sequi affirmas, si quis ex Patre et Filio Spiritum procedere concedet, quod Spiritus simplex sit, quærendum
D plane est, hoc *procedere* quonam significatu hic a te assumatur. Namque dices omnino, ex Deo naturalem et essentialem Spiritus exsistentiam, processione, nec aliud quidpiam notari. At exsistentia hæc non semper sola processionis dictione significatur, sed et plerisque aliis, inter quas locum habent, *progredi*, *profundi*, *provenireque ipsum ex Patre*. Scimus præterea communi, ut in confesso est, sententia nostræ Ecclesiæ, ex Patre et Filio hæc omnia de simplici Spiritu dici, et illius simplicitatem conservari, nullamque inde Patris et Filii contractionem insinuari. Apertaque hæc est demonstratio, quod tibi absurdum videtur, non sequi, si ex Patre et Filio Romani procedere tradunt. Nam vel tum etiam, cum progreditur, et effunditur simplex Spiritus ex Patre et Filio, in unam eos

Digitized by Google Распознавание текста ABK/FR

personam contrahi asseres, ni et communibus sententiis impudenter contradicere velis: vel si id non fuerit, neque cum Romani ex Patre et Filio illum dicunt procedere, contractio eorumdem introducetur. Tu vero nihilominus, et alterum syllogismum annectis:

37. « Si ex Patre et Filio procedit Spiritus sanctus, duplex omnino erit, et compositus. »

Quid hic ais, mi homo? Propterea duplex erit, et compositus, quod ex Patre et Filio secundum Italos procedit? Concede prius duplicem illum esse, et compositum, quod ex Patre et Filio exsistit secundum nostras Scripturas sacras: et tum concedetur, duplicem illum esse, et compositum, si ex Patre et Filio procedit. Verumtamen etiam, si ille ex Patre et Filio exsistat naturaliter, et essentialiter, et in hypostasi, propriam tamen simplicitatem non amittit; clarum est, neque duplicem, neque compositum esse, si ex Patre et Filio secundum Romanos procedit. Præterea

38. « Si ad duo principia refertur Spiritus sanctus, ubi erit tantumdem decantatus unius principatus? »

Tolli, ais, unius admodum decantatum principatum, si ad duo principia Spiritus referatur. Et unius principatum admodum decantatum tolli, si ad duo principia Spiritus referatur, nemo contra iverit. Tu vero qua de causa veritatem non es reveritus, tanquam confessum arripiens, quod ab eo, qui una tecum disserit, non conceditur, et concludens, quod inde apparet absurdum? Ubi enim per te Italus deprehenditur, duo asserens in beata Triade principia? Aut ostende eum duo principia asserentem, et tu ostenderis, cate]infereus, tolli unius admodum decantatum principatum, si ad duo principia Spiritus refertur, aut id non ostendens, palam innotescis odio, et non veritate, tua et ratiocinans, et concludens. Dicis præterea:

39. « Si producit Spiritum Pater, producit vero illum et Filius, erit Pater et contiguus productor Spiritus, et longinquus propter illius ex Filio productionem. »

Habeto tibi et circa hæc oppositionem. In productione sola Spiritus contiguum et longinquum intelligis, quod cum a Latino non dicatur, tu tamen quasi ab illo diceretur, obtendis: an in aliis quoque quæ tua Ecclesia palam asseverante confitetur. Nam si contiguas et longinquas productiones confingis, quod Latinus dicat, Spiritum ex Patre et Filio produci, jam tibi commodum fuerit, et contiguas et longinquas profusiones, emissiones et suppeditationes comminisci, quod ista omnia ex Patre et Filio asserantur. Quod si hæc omnia ex Patre et Filio asseruntur, et in illis apud homines pietatis cultores et studiosos longinquum et contiguum locum non habent, considera, quale tibi im-

A λέγωσιν ἐκπορεύεσθαι. Ἦ γὰρ καὶ τότε, ὅτε πρόεισι, καὶ προχεῖται τὸ ἁπλοῦν Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ εἰς ἓν αὐτοὺς εἶποις συναλοίφεσθαι πρόσωπον, ἵνα καὶ ταῖς κοιναῖς ἀντιλέγειν ἀπαιδεύσῃ ἐννοίαις· ἢ εἰ μὴ τοῦτο, οὐδ' ὁπηνίκα Ῥωμαῖοι ἐκ Πατρὸς καὶ Υἱοῦ αὐτὸ λέγουσιν ἐκπορεύεσθαι, συναλοιφὴ αὐτῶν εἰσαχθήσεται. Σὺ δὲ ἀλλὰ καὶ δεύτερον τόνδε προσεπιφέρεις συλλογισμὸν, λέγων·

λζ' « Εἴπερ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, διπλοῦν ἂν εἴη καὶ σύνθετον. »

Τί φῄς, ἄνθρωπε; Διὰ τοῦτο διπλοῦν ἔσται καὶ σύνθετον, ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ κατὰ τοὺς Ἰταλοὺς ἐκπορεύεται; Δὸς πρότερον διπλοῦν αὐτὸ εἶναι καὶ σύνθετον, ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχει κατὰ
B τὰς παρ' ἡμῖν θείας Γραφὰς, καὶ τότε δοθήσεται διπλοῦν αὐτὸ εἶναι καὶ σύνθετον, ἐὰν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύηται. Εἰ δὲ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχον φυσικῶς καὶ οὐσιωδῶς καὶ ἐνυποστάτως, τῆς οἰκείας ἁπλότητος οὐκ ἐξίσταται, εὔδηλον ὡς οὐδὲ διπλοῦν καὶ σύνθετον ἔσται, ἐκ Πατρὸς καὶ Υἱοῦ κατὰ τοὺς Ῥωμαίους ἐκπορευόμενον. Εἶτα,

λη'. « Εἰ πρὸς δύο ἀρχὰς ἀναχθήσεται, φῄς, τὸ Πνεῦμα τὸ ἅγιον, ποῦ τὸ πολυύμνητον ἔσται τῆς μοναρχίας; »

Ἀναιρεῖσθαι τὸ τῆς μοναρχίας φῄς πολυύμνητον, εἰ πρὸς δύο ἀρχὰς τὸ Πνεῦμα ἀνάγεται. Καὶ ὅτι μὲν τὸ τῆς μοναρχίας ἀναιρεθήσεται πολυύμνητον, εἰ πρὸς δύο ἀρχὰς ἀναχθήσεται τὸ Πνεῦμα, ὁ ἀντιλέγων
C οὐδείς. Σὺ δὲ πῶς οὐ τὴν ἀλήθειαν ᾐδέσθης, ὡς ὁμολογούμενον λαμβάνων τὸ μὴ παρὰ τοῦ προσδιαλεγομένου δοθὲν, καὶ συνάγων τὸ ἐντεῦθεν ἀναφαινόμενον ἄτοπον; Ποῦ γὰρ καὶ εὕρηταί σοι λέγων ὁ Ἰταλὸς ἀρχὰς δύο ἐπὶ τῆς μακαρίας Τριάδος; Ἢ δεῖξον αὐτὸν δύο ἀρχὰς λέγοντα, καὶ σὺ δειχθήσῃ καλῶς λέγων ἀναιρεῖσθαι τὸ τῆς μοναρχίας πολυύμνητον, εἰ πρὸς δύο ἀρχὰς τὸ Πνεῦμα ἀνάγεται· ἢ τοῦτο μὴ δείκνυς, σαφῶς ἀποδέδειξαι πρὸς ἔχθραν καὶ οὐ πρὸς ἀλήθειαν καὶ συλλογιζόμενος καὶ συμπεραίνων τὰ σά. Λέγεις πρὸς τούτοις·

λθ'. « Εἰ προβάλλεται μὲν τὸ Πνεῦμα ὁ Πατὴρ, προβάλλεται δὲ τοῦτο καὶ ὁ Υἱὸς, εἴη ἂν ὁ Πατὴρ καὶ προσεχὴς τοῦ Πνεύματος προβολεὺς, καὶ πόρρω
D διὰ τὴν ἐκ τοῦ Υἱοῦ προβολήν. »

Δέχου καὶ τὴν ἐπὶ τούτοις ἀντίρρησιν. Εἰς τὸ προβεβλῆσθαι μόνον τοῦ Πνεύματος τὸ προσεχὲς καὶ πόρρω νοεῖς, ὅπερ μὴ παρὰ τοῦ Λατίνου λεγόμενον, σὺ ὡς παρ' αὐτοῦ προτείνεις λεγόμενον, ἢ καὶ εἰς τὰ ἄλλα, ἃ καὶ παρὰ τῆς σῆς Ἐκκλησίας τρανῶς ὡμολόγηται. Εἰ γὰρ καὶ προσεχεῖς καὶ πόρρω ἀναπλάττεις προβλήσεις διὰ τὸ τὸν Λατῖνον λέγειν τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ προβεβλῆσθαι, ὥρα σοι καὶ προσεχεῖς καὶ πόρρω προχύσεις, καὶ προέσεις, καὶ χορηγίας ἀναπλάττειν, διὰ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ταῦτα πάντα ὁμολογεῖσθαι. Εἰ δὲ ταῦτα μὲν πάντα ἐκ Πατρὸς καὶ Υἱοῦ ὁμολογεῖται, τὸ δὲ προσεχὲς καὶ πόρρω χώραν ἐπὶ τούτοις οὐκ ἔχει τοῖς εὐσεβεῖν αἱρουμένοις, σκόπει οἷόν σοι κρίμα ἐπήρ-

Digitized by Google Распознавание текста ABK/FR

τηται προβλήσεις πόρρω καὶ προσεχεῖς ἀναπλάτοντι. Ἐν ἑτέρῳ πάλιν λέγεις συλλογισμῷ·

μ'. « Εἴπερ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τοῦ ἁγίου Πνεύματος ἐντελής, περιττὴ ἄρα ἡ ἐκ τοῦ Υἱοῦ. »

Ἀλλ' ἡμεῖς ἐκεῖνά σοι πρὸς ταῦτα εἰπεῖν ἔχομεν, ἐξ ὧν δι' ἔριν εἶναι γνωσθήσεται τὴν τῆς Ἐκκλησίας διάστασιν τοῖς νουνεχῶς ἐπιβάλλουσιν. Εἰ γὰρ διὰ τὸ τέλειον τῆς ἐκ τοῦ Πατρὸς ἐκπορεύσεως περιττὴν εἶναι λέγεις τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, τί σὺ ἀπολογήσῃ τοῖς ἐροῦσί σοι, εἴπερ ἡ ἐκ Πατρὸς χορηγία τοῦ ἁγίου Πνεύματος ἐντελής, περιττὴν ἄρα ἡ ἐκ τοῦ Υἱοῦ. Ὅτι γὰρ καὶ τελεία ἡ ἐκ Πατρὸς χορηγία τοῦ ἁγίου Πνεύματος, καὶ ὅμως οὐ περιττὴ καὶ ἡ ἐκ τοῦ Υἱοῦ διὰ τὴν τελειότητα τὴν ἐκ τοῦ Πατρός, ἀναμφίβολον. Σὺ δὲ, εἰ μὲν οὐχ ὁμολογεῖς καὶ ἐκ Πατρὸς τελείαν εἶναι τὴν χορηγίαν τοῦ Πνεύματος, καὶ τοῦ Υἱοῦ δὲ ὁμοίως, καὶ μὴ περιττὴν, οὕτω τὰ περιττὰ τῆς κατὰ σὲ περιττῆς ἐκπορεύσεως λάλει· εἰ δὲ καὶ τὴν ἐκ τοῦ Πατρὸς χορηγίαν τοῦ ἁγίου Πνεύματος τελείαν ὁμολογεῖς, καὶ ἐκ τοῦ Υἱοῦ δὲ τελείαν δέχῃ, καὶ περιττὴν εἶναι οὐ λέγεις, ἵνα μὴ τοὺς Ἐκκλησιαστικοὺς ὑπερβήσῃ ὅρους· περιττά σοι λοιπὸν τὰ τῆς περιττῆς ἐκπορεύσεως. Ἕτερος τῶν σῶν λέγει συλλογισμῶν·

μα'. « Εἰ προβάλλεται μὲν καὶ ὁ Υἱὸς, τὸ Πνεῦμα δὲ τῆς προβολῆς ἀπεστέρηται, καταδεεστέρας ἂν εἴη τοῦτο παρὰ τὸν Υἱὸν δυνάμεως, ὃ τῆς Μακεδονίου παραφροσύνης. »

Ἐκεῖνά σοι πάντως εἰς ἀνατροπὴν καὶ τοῦ παρόντος ἀποχρήσει συλλογισμοῦ, ἅπερ εἰς τὴν τοῦ πρώτου σοι τῶν συλλογισμῶν. Ἐπεὶ γὰρ κἀνταῦθα ἐκεῖνο ἀντικρυς λέγεις, ὡς, εἰ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχει τὸ Πνεῦμα, εἰ μὴ καὶ ἐξ αὐτοῦ ἕτερον πνεῦμα ὑπάρχει, καταδεεστέρας ἂν εἴη τοῦτο παρὰ τὸν Υἱὸν δυνάμεως· ἀκούσεις καὶ πάλιν ὡς οὐ τότε μόνον τὸ ἄτοπον ἀκολουθήσει τοῦτο, ὅτι προβάλλεται μὲν καὶ ὁ Υἱὸς τὸ Πνεῦμα, αὐτὸ δὲ τῆς προβολῆς ἀπεστέρηται, ἀλλὰ καὶ ὅτι μὲν ὁ Υἱὸς ἐκπέμπει, καὶ προχεῖ, καὶ ἐκλάμπει τὸ Πνεῦμα, αὐτὸ δὲ οὔθ' ἑαυτὸ οὔθ' ἕτερον Πνεῦμα ἐκπέμπει, οὔτε προχεῖ, οὔτε ἐκλάμπει. Ταῦτα γὰρ πάντα ἐξ Υἱοῦ ἔχον τὸ Πνεῦμα, ὡς ἐκ Πατρὸς δι' Υἱοῦ ἔχον αὐτὰ, κατὰ κοινὴν τῶν παρ' ἡμῖν γραφῶν ἔννοιαν ὁμολόγηται μηδεμίαν ἔνδειαν τῆς τοῦ Υἱοῦ δυνάμεως πάσχειν· ὅτι μὴ καὶ αὐτὸ ἐξ ἑαυτοῦ, ἢ ἕτερον ἐξ αὐτοῦ ἐστι Πνεῦμα ἐκπεμπόμενον, καὶ ἐκλάμπον, καὶ προχεόμενον. Οὐκ ἄρα οὐδ' ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ προβέβληται, αὐτὸ δὲ τῆς προβολῆς ἀπεστέρηται, καταδεεστέρας παρὰ τὸν Υἱὸν δυνάμεως ἔσται. Προστίθης τοῖς ἄλλοις καὶ τοῦτο·

μβ'. « Εἰ μὲν τὴν αὐτὴν προβολὴν ἔχει τοῦ Πνεύματος ὁ Υἱὸς τῷ Πατρὶ, κοινὴ τούτοις ἡ τῆς προβολῆς ἰδιότης. Καὶ πῶς ἔσται τὸ κοινὸν ἰδιότης; Εἰ δὲ τὴν ἐναντίαν, πῶς οὐ φθείρει ταύτην ἐκείνη; Φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. Εἰ δὲ ἑτεροίαν, μέρος μὲν τοῦ Πνεύματος οὕτω, μέρος δὲ τρόπον ἄλλον

mineat judicium productiones longinquas et continuas comminiscenti. In alio rursus syllogismo infis:

40. « Si ex Patre processio Spiritus sancti perfecta est, supervacanea igitur erit ex Filio. »

Sed nos hisce tuis illa respondere possumus, quibus propter contentionem dissidium Ecclesiæ introductum esse, manifestum erit iis, qui accurate rem perpendent. Namque si propter ex Patre processionis perfectum, supervacaneum esse ducis processionem ex Filio, quid respondebis interrogantibus, si ex Patre Spiritus sancti suppeditatio perfecta est, supervacanea igitur erit ex Filio. Verumtamen et perfectam esse ex Patre Spiritus sancti suppeditationem, et nihilominus non supervacaneam ex Filio, propter perfectionem, quam ex Patre habet, indubitatum est. Tu porro si non fateris et ex Patre perfectam esse suppeditationem Spiritus, et Filii vero similiter et non supervacaneam, tum supervacanea secundum te supervacaneæ processionis effare. Quod si et ex Patre Spiritus sancti suppeditationem perfectam fateris, et ex Filio etiam perfectam recipis, et supervacaneam esse non dicis, ne ecclesiasticos terminos egrediaris, remanent tibi supervacaneæ processionis supervacaneæ argutiolæ. Alius ex tuis syllogismis:

41. « Si producit quidem et Filius, Spiritus vero productione viduatur, tenuioris esset facultatis quam Filius, quod fuit Macedonii deliramentum. »

Illa tibi ad refellendum hunc syllogismum satis superque fuerint, quæ ad primum tuum refellendum adduximus. Cum vero etiam hoc in loco aperte nimis insinuas, si ex Patre et Filio est Spiritus sanctus, si ex eodem etiam alius Spiritus non est, tenuioris illum futurum facultatis, audi quoque iterum. Hoc absurdum non sequitur solum, cum producit Spiritum, Filius, Spiritus vero productione privatur, sed tum etiam, cum Filius mittit, effundit, et eluminat Spiritum: Spiritus vero neque se ipsum neque alium Spiritum emittit, neque effundit, neque eluminat. Hæc enim omnia ex Filio possidens Spiritus, tanquam qui ea ex Filio habet, ut nostrarum Scripturarum auctoritate confirmatur, nulli indigentiæ, quæ facultate Filii inferior sit, subjicitur, quod neque ipse ex se ipso, neque alius ex eo Spiritus est missus, et elucens, et effusus. Non igitur neque cum ex Patre per Filium producitur, ipse vero productione privatur, tenuioris quam Filius facultatis erit. Annectebas et reliquis hæc:

42. « Si eamdem Spiritus productionem habet Filius atque Pater, communis horum fuerit productionis proprietas; et quomodo commune erit proprietas? Si vero oppositam, quomodo hanc illa non destruit? Contraria enim unum aliud corrumpsit. Si partem, pars una Spiritus hac ratione,

Digitized by Google Распознавание текста ABK/FR

pars modo alio procedet, et ex inæqualibus partibus erit compositus. »

Sed qui, mi homo, non vertigine laborabit, dummodo hanc tuorum argumentorum compositionem refutare in animo habeat ? Namque dicis : Si communis est Patris et Filii productionis proprietas, quomodo erit commune proprietas ? et hoc visum est fortasse tibi validum et invictum. Ego porro dico : Et quanam ratione maxime absurdum tibi videtur, esse aliquod commune Patri et Filio, proprie in ipsis solis consideratum quod non sit commune Spiritui ? Est etenim commune Patri et Filio, quod Spiritui commune non est, et quod non unius, sed duarum personarum hoc est, commune dicitur et est : quod vero proprie in illis consideratur, et illius particeps Spiritus non est, dicitur eorum proprietas, nempe, ut eo distinguatur Spiritus ab illis. Commune enim in ipsis consideratur, habere eos Spiritum unum indivisum, quod Spiritus Patris et Filii Spiritus dicitur. Sed quando non est et hujus Spiritus Spiritus, propterea, quod Pater et Filius habent unum Spiritum indivisum, proprietas eorum est, et in hoc communio Patris et Filii ab æterno duabus solis personis insita, solvit dubitationem tuam, Quonam pacto commune erit proprietas? Rursus inest commune Filio et Spiritui, eos non absque ortu esse, et proprium eorum dicitur, ex causa eosdem esse, quod in Patre admittere natura abhorret. Quod si et testem poscis, qui comprobet tibi, quomodo commune Filio et Spiritui dicitur, duabus solis personis non absque ortu esse, et quomodo proprietas harum duarum personarum solummodo dicatur, ex causa easdem esse, ad solvendum dubium, quod in jam dicto tuo syllogismo proposueras, Quomodo erit commune proprietas? Nyssenus iterum aderit, et homilia in Orationem Dominicam manifeste id astruet : « Cum enim Filius ex Patre exivit, ut Scriptura tradit, et Spiritus ex Deo et Patre procedit. Sed quemadmodum sine causa esse, solius Patris cum sit, Filio et Spiritui adaptari nequit; sic contra, ex causa esse, quod est Filii et Spiritus proprium, de Patre considerari alienum est a natura : cum vero commune sit Filio et Spiritui non esse absque ortu, rursus est facile, differentiam, quæ in eorum proprietatibus est, reperire. » Adverte animum ad hoc theologi Patris testimonium, consideraque quomodo proprietatem duarum tantum personarum vocavit, ex causa eas esse : et quomodo repræsentavit, commune esse iisdem duabus personis, absque ortu non esse : quod idem omnino fuerit, ex causa eas esse : discitoque, non recte te tanquam de absurdo hæsitasse, quomodo erit commune proprietas? Quo soluto ad reliqua syllogismi refellenda contradictione opus non est. Quando vero una divisionis pars ita concepta est, si vero contrariam Patris productionem Spiritus habet, scilicet Filius, erunt hæc, et hæc absurda. Cum nemo contrariam hanc productionem asserat, supervacanea fuerint, quæcunque adduxerimus.

A ἐκπορευθήσεται, καὶ ἐξ ἀνίσων μερῶν ἔσται τοῦτο συγκείμενον. »

Ἀλλ', ὦ τίς οὐκ ἰλιγγιάσει ἀνατρέπειν βουλόμενος τοιούτων ἐπιχειρημάτων συνθήκην ; Ἔφης γάρ, Εἰ κοινή ἐστι Πατρὶ καὶ Υἱῷ ἡ τῆς προβολῆς ἰδιότης, πῶς ἔσται τὸ κοινὸν ἰδιότης ; καὶ ἔδοξέ σοι ὡς ἰσχυρόν τι τοῦτο τάχα καὶ ἄμαχον εἶναι. Ἐγὼ δέ σοι λέγω, πῶς τῶν λίαν σοι ἀτόπων δοκεῖ εἶναί τι κοινὸν Πατρὶ καὶ Υἱῷ, ἰδίως αὐτοῖς μόνοις ἐνθεωρούμενον, καὶ μὴ εἶναι αὐτὸ κοινὸν καὶ τῷ Πνεύματι ; Ἔστι γὰρ κοινὸν Πατρὶ καὶ Υἱῷ, ὃ μὴ καὶ τῷ Πνεύματί ἐστι κοινόν· καὶ ὅτι μὲν οὐχὶ ἑνὸς, ἀλλὰ δύο προσώπων τὸ τοιοῦτόν ἐστι, κοινὸν καί ἐστι καὶ λέγεται· ὅτι δὲ ἰδίως αὐτοῖς ἐνθεωρεῖται τοῦτο, μὴ κοινωνοῦντος τούτοις τοῦ Πνεύματος, λέγεται ἰδιότης B αὐτῶν πρὸς τὴν τοῦ Πνεύματος πάντως διαστολήν. Κοινὸν γὰρ ἐνθεωρεῖται αὐτοῖς τὸ ἔχειν αὐτοὺς Πνεῦμα ἓν ἀδιαίρετον, διὰ τὸ Πνεῦμα Πατρὸς καὶ Υἱοῦ λέγεσθαι Πνεῦμα. Ἀλλ' ἐπεὶ οὐκ ἔστι καὶ Πνεύματος Πνεῦμα, διὰ τοῦτο ἔχειν τὸν Πατέρα καὶ τὸν Υἱὸν ἓν Πνεῦμα ἀδιαίρετον ἰδιότης ἐστὶν αὐτῶν, καὶ ἡ ἐν τούτῳ κοινωνία Πατρὸς καὶ Υἱοῦ ἀΐδίως τοῖς δυσὶ μόνοις ἐνθεωρουμένη προσώποις, λύει σοι τὸ ἄπορον λέγοντι, Πῶς ἔσται τὸ κοινὸν ἰδιότης ; Πάλιν πρόσεστι κοινὸν Υἱῷ καὶ Πνεύματι τὸ μὴ ἀγεννήτως εἶναι, καὶ ἴδιον αὐτῶν λέγεται τὸ ἐξ αἰτίας αὐτὰ εἶναι ὅπερ τῷ Πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. Εἰ δὲ καὶ μάρτυρα θέλεις συστήσοντά σοι, πῶς καὶ κοινὸν Υἱῷ καὶ Πνεύματι λέγεται τοῖς δυσὶ μόνοις προσώποις τὸ μὴ ἀγεννήτως εἶναι, C πῶς καὶ ἰδιότης τῶν δύο τούτων μόνον προσώπων λέγεται τὸ ἐξ αἰτίας εἶναι αὐτά, εἰς λύσιν τῆς, ἣν ἐν τῷ ῥηθέντι συλλογισμῷ σὺ προέτεινας, ἀπορίας, λέγων, Πῶς ἔσται τὸ κοινὸν ἰδιότης ; ὁ Νύσσης καὶ πάλιν παρέσται καὶ ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ὁμιλίᾳ αὐτοῦ ἀριδήλως οὕτω φήσειεν ἄν· « Ὅτε γὰρ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐξῆλθε, καθώς φησὶν ἡ Γραφὴ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ καὶ παρὰ Πατρὸς ἐκπορεύεται. Ἀλλ' ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι, μόνου τοῦ Πατρὸς ὄν, τῷ Υἱῷ καὶ τῷ Πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται· οὕτω τὸ ἔμπαλιν τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιόν ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τῷ Πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. Κοινοῦ δὲ ὄντος τῷ Υἱῷ καὶ τῷ Πνεύματι τοῦ μὴ ἀγεννήτως εἶναι, πάλιν ἐστὶν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν D αὐτῶν διαφορὰν ἐξευρεῖν. » Πρόσσχες τῇ τοῦ θεολόγου τούτου Πατρὸς μαρτυρίᾳ, καὶ ἐπίστησον, πῶς τε ἰδιότητα τῶν δύο μόνων προσώπων ἐκάλεσε τὸ ἐξ αἰτίας εἶναι αὐτά, καὶ πῶς παρέστησεν εἶναι κοινὸν τοῖς αὐτοῖς δυσὶ προσώποις τὸ μὴ ἀγεννήτως εἶναι αὐτά· ὅπερ ταυτὸν δύναται πάντως, τὸ ἐξ αἰτίας εἶναι αὐτά. Καὶ γνῶθι ὡς οὐ καλῶς ὥσπερ τι ἄτοπον διηπόρεις λέγων, Πῶς ἔσται τὸ κοινὸν ἰδιότης ; Τούτου δὲ λυθέντος πρὸς τὸ ἐξῆς τοῦ συλλογισμοῦ μέρος οὐδεμιᾶς λοιπὸν ἀντιῤῥήσεως χρεία. Ἐπεὶ γὰρ τὸ ἓν τῆς διαιρέσεως σκέλος οὕτω φαίνεται λέγον, Εἰ δὲ τὴν ἐναντίαν τῷ Πατρὶ προβολὴν, τοῦ Πνεύματος δηλαδὴ, ἔχει ὁ Υἱὸς, ἔσται τάδε καὶ τάδε τὰ ἄτοπα, μηδενὸς ὄντος τοῦ τὴν ἐναντίαν ταύτην

Digitized by Google Распознавание текста ABK/FR

λέγοντος προβολὴν, περιττὸς ἔσται λοιπὸν πᾶς ὁ πρὸς A
τὴν ἀναστροφὴν τῶν ἐντεῦθεν ἀκολουθούντων ἀτόπων
λόγος. Ἔφης ἐπὶ τούτοις καὶ τάδε·

μγ'. « Εἴπερ ἐξ ἑνὸς αἰτίου, δηλαδὴ τοῦ Πατρὸς,
ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα προεληλύθασι, προβάλλεται
δὲ πάλιν ὁ Υἱὸς τὸ Πνεῦμα, προβαλεῖται καὶ τὸ
Πνεῦμα τὸν Υἱόν. Ὁμοτίμως γὰρ ἄμφω προήγαγεν
ὁ Πατήρ καὶ προβολεύς. »

Ἄκουε δὴ καὶ πρὸς ταῦτα. Ἐπεὶ τὸ τὸν Πατέρα
ὁμοτίμως Υἱὸν καὶ Πνεῦμα προαγαγεῖν ὕλην ἀπο-
δείξεως ποιῇ τοῦ προάγεσθαι καὶ ἐκ τοῦ Πνεύματος
τὸν Υἱόν, ἐὰν ὁ Λατῖνος εἴπῃ προάγεσθαι μὲν τὸν
Υἱὸν καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, προάγεσθαι δὲ
πάλιν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, τί ἀπολογήσῃ
αὐτῷ ἀντιπροτείνοντί σοι, εἴπερ ἐξ ἑνὸς αἰτίου, δηλα- B
δὴ τοῦ Πατρὸς, ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα ἐκλάμπου-
σιν, ἐκλάμπει δὲ πάλιν ὁ Υἱὸς τὸ Πνεῦμα, ἐκλάμ-
ψει ἄρα καὶ τὸ Πνεῦμα τὸν Υἱόν ; Ὁμοτίμως γὰρ
ἄμφω προήγαγεν ὁ Πατήρ. Εἰπὲ πρὸς τῆς ἀληθείας
αὐτῆς, τί ἀπολογήσῃ πρὸς ταῦτα ; Ἆρ' οὐκ ἐλεγχθήσῃ
κακῶς λέγων, εἰ διὰ τὸ ὁμοτίμως προάγεσθαι Υἱὸν
καὶ Πνεῦμα ἐκ τοῦ Πατρὸς, προάγεσθαι δὲ καὶ ἐκ τοῦ
Υἱοῦ καὶ τὸ Πνεῦμα, λέγεις ἀνάγκην εἶναι προάγε-
σθαι καὶ ἐκ τοῦ Πνεύματος τὸν Υἱόν ; Εὔδηλον γὰρ
ὡς οὐχ ὁμοτίμως προάγονται μόνον Υἱὸς καὶ Πνεῦ-
μα ἐκ τοῦ Πατρὸς, ἀλλὰ ὁμοτίμως προχέονται, καὶ
ὁμοτίμως προέρχονται, καὶ ὁμοτίμως ἐκλάμπουσιν.
Καὶ ὅτι μὲν ἐκ τοῦ Υἱοῦ προχεῖται τὸ ὁμοτίμως ἐκ
Πατρὸς προχεόμενον Πνεῦμα, καὶ ὅτι ἐκ τοῦ Υἱοῦ
προέρχεται τὸ ὁμοτίμως αὐτῷ προερχόμενον ἐκ
Πατρὸς, καὶ ὅτι ἐκ τοῦ Υἱοῦ ἐκλάμπει τὸ ὁμοτίμως C
αὐτῷ ἐκλάμπον ἐκ Πατρὸς, ἡ Ἐκκλησία ὁμολογεῖ·
οὐ διὰ τοῦτο δὲ παραδέχεται, καὶ ὡς κατ' ἀνάγκην
ἀκολουθοῦν, προχεῖσθαι, καὶ προέρχεσθαι, καὶ ἐκ-
λάμπειν καὶ ἐκ τοῦ Πνεύματος τὸν Υἱόν, διὰ τὸ
ὁμοτίμως ἄμφω εἶναι αὐτὰ ἐκ Πατρός. Ἄλλος τῶν
σῶν λέγει συλλογισμῶν·

μδ'. « Εἴπερ ὁ Υἱὸς τῷ Πατρὶ κοινωνεῖ τῆς τοῦ
ἁγίου Πνεύματος προβολῆς, καὶ τὸ ἅγιον Πνεῦμα
ταύτης κοινωνήσει. Πάντα γὰρ ὅσα τοῦ Πατρὸς κοινὰ
πρὸς τὸν Υἱὸν, ταῦτα καὶ πρὸς τὸ Πνεῦμα τὸ
ἅγιον. Καὶ λοιπὸν ἔσται καὶ αἴτιον ἅμα καὶ αἰ-
τιατὸν, ὅ καὶ τῆς τῶν Ἑλλήνων μυθολογίας τερατω-
δέστερον.

Οὐκ ἀληθὴς σου ἡ πρότασις, δι' ἧς βούλει τάχα D
κατασκευάζειν καὶ τὸ ἅγιον Πνεῦμα τῆς οἰκείας
ὑπάρξεως τῷ Πατρὶ καὶ Υἱῷ κοινωνεῖν, ἐὰν ὁ Υἱὸς
τῆς αὐτοῦ ὑπάρξεως κοινωνῇ τῷ Πατρί. Ἡ γὰρ
λέγουσα πρότασις πάντα ὅσα τοῦ Πατρὸς κοινὰ πρὸς
τὸν Υἱὸν, ταῦτα καὶ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον,
οὐχ ἁπλῶς καὶ δίχα διαστολῆς τοῖς ἐπιστατικῶς τὰς
θείας ἐπιοῦσι Γραφὰς ἐκληφθήσεται. Τοῦτο μὲν, ὅτι
οὐδενός ἐστιν ἡ πρότασις αὕτη τῶν τὴν θεολογίαν
παραδεδωκότων Πατέρων τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ,
ἀλλὰ σόν ἐστι γέννημα ἐπὶ συγκρατήσει τοῦ σχίσμα-
τος ἐπινοηθέν σοι· τοῦτο δὲ, ὅτι οἱ ἐπιστατικώτεροι
τῶν τὰς θείας ἐπιόντων Γραφὰς οἴδασι μέν τινα
κοινὰ Πατρὶ καὶ Υἱῷ προσόντα, κοινὰ καὶ τῷ Πνεύ-
ματι, ἅπερ δηλαδὴ ἀγαθὰ φυσικῶς αὐτοῖς πρόσεστι,

centur, ad absurda, quæ inde consequuntur, reji-
cienda. Dicebas præterea et hæc :

43. « Si ex una causa Patre Filius et Spiritus
sanctus emanarunt, producit autem rursus Filius
Spiritum, producet et Spiritus Filium : pares enim
dignitate utrosque eduxit Pater et productor. »

Ad hæc quoque, quæ opponimus, audi. Cum
Patrem pares dignitate produxisse Filium et Spi-
ritum, demonstrationis tuæ materiam assumis,
produci quoque ex Patre Filium : Si Latinus infe-
rat, produci Filium et Spiritum, ex Patre ; produci
vero rursus et ex Filio Spiritum, quid ipsi respon-
debis adversus te opponenti ; si ex una causa, Patre
nempe, tum Filius, tum Spiritus effulgent, iterum- B
que Filius Spiritum emicat, emicat itaque et
Filium Spiritus : pares enim dignitate utrosque
Pater produxit. Dicito perversitatem ipsam, quid ad
hæc respondebis ? Annon male inferre deprehen-
deris, si, quod pares dignitate producantur Filius
et Spiritus ex Patre, producatur et ex Filio Spiritus,
concludis necessarium esse, produci quoque ex
Spiritu Filium ? Namque satis manifestum est, non
pares dignitate tantum produci Filium et Spiritum
ex Patre, sed et pares dignitate effundi, pares di-
gnitate provenire, pares quoque dignitate emicare.
Et ex Filio quidem effundi, qui pari dignitate ex
Patre effunditur Spiritus, et ex Filio effulgere, qui
pari dignitate cum eo ex Patre effulget, Ecclesia
fatetur, neque propterea admittit, quasi id neces- C
sario consequatur, effundi, provenire, et effulgere
et ex Spiritu Filium, quod eadem dignitate ambo
ex Patre sint. Alius rursus tuus syllogismus hæc
continet :

44. « Si communis est Patri et Filio sancti Spi-
ritus productio, utique illius quoque Spiritus
sanctus particeps erit. Omnia siquidem, quæ sunt
communia Patris et Filii, eadem etiam referuntur
ad Spiritum sanctum. Hinc erit ille causa simul et
effectus, quod ipsis ventilium fabulis monstruo-
sius est. »

Veritas in enuntiato tuo posituatur, quo forte D
probare intendis, etiam Spiritum sanctum propriam
exsistentiam Patri et Filio communicare, si Filius
illius exsistentiæ cum Patre commune quid habet.
Namque propositio asserens, quæcunque sunt
Patris communia cum Filio, hæc quoque esse com-
munia cum Spiritu sancto, neque temere, neque
absque distinctione ab iis, qui diligenti examine
divinas Scripturas evolvunt, accipietur. Primum
quidem quod propositio hæc nullius sit eorum
Patrum, qui res theologicas nostræ Ecclesiæ tradi-
derunt, sed tuus sit fœtus ad stabiliendum schisma
conflctus. Secundum, quod qui attentius divinas
Scripturas enucleant, agnoscunt quædam insita
communia Patri et Filio, communia et Spiritui,

Digitized by Google Распознавание текста АВК/FR

bona duntaxat, quæ naturaliter illis insunt, nec aliunde adveniunt acquisita, ut justitia, bonitas, sapientia, et similia : agnoscunt etiam alia, quæ naturaliter insunt Patri et Filio, et non insunt Spiritui, non quod Spiritus non sit ejusdem naturæ atque Pater et Filius, hoc enim longe abest ab omni pia cogitatione, sed quod naturales Patris ut Patris, et Filii ut Filii proprietates, non sint communes Spiritui. Licet enim ejusdem naturæ sit Spiritus sanctus ac Pater et Filius, attamen tanquam Spiritus in Triade accipitur, et universam communium naturalium bonorum communionem habebit ut Spiritus; sed naturalium proprietatum Patris et Filii, ut Patris et ut Filii, communionem non habebit. Quanam enim ratione naturales proprietates hæc appellata fuissent, si communia essent et Spiritui? Naturalia siquidem hæc, quod natura insunt Patri et Filio : proprietates vero Patris et Filii, quod non insint Spiritui. Itaque Spiritum una simul haberi a Patre et Filio, naturale est bonum Patris et Filii, sed ut proprietas eorumdem naturalis. Non ideo ergo quia communicat Filius cum Patre, quod ex utrisque Spiritus sit, communicabit cum eisdem et Spiritus, ut et ipse sit ex se ipso. Hac distinctione considerata pro dictæ propositionis examine, qua asseritur, « Quæcunque sunt Patris communia cum Filio, erunt etiam communia cum Spiritu sancto, » indeque reprobate, non bene sentire eos, qui opinantur Spiritum propriæ exsistentiæ cum Patre et Filio communem causam esse, si Filius commune quid habet cum Patre in eo, quod ex utrisque est Spiritus sanctus, qua tu ratione et simili communione æque ac si necessario concluderes aliquid verum, insinuas ac decernis gentilium fabulis, quod a Latinis asseveratur ut dogma, monstruosius esse? In syllogismis ergo Photii continebantur hæc et similia, et jam a nobis allata satis sunt, ut opinor, ad ea evertenda. Porro in progressu orationis, futilem instituens disputationem, hæc prætendi ab Italis, ait, asserentibus, ab Ambrosio, Augustino, et Hieronymo ex Filio processionem decretam fuisse, et ut ruborem forte excutiat ab Italis, pro hisce viris sapientia clarissimis responsionem suam hisce derivat, nempe :

45. « Licet id dixerint jam memorati, forte secundum dispensationem dixerunt, qua et magnus Basilius suo tempore usus est, vel ab accurata rerum notitia uti homines exciderunt, quod multi præstantes viri perpessi sunt, veluti Alexandrinus Dionysius, Methodius Patarensis, et alius et alius, qui sanctitatis sibi nomen vendicarunt, quorum nonnulla dicta Ecclesiam non recepisse » refert, « licet in aliis maxima in admiratione haberentur. »

Et hoc est Photii pro Ambrosio, Augustino, et Hieronymo responsum, in infamiam forte Italorum illis cognatorum excogitatum; nos vero in infamiam potius eorum judicamus, qui ambabus, ut

καὶ οὐκ ἔξωθεν, οὐδὲ ἐπίκτητα, ὡς τὸ δίκαιον, τὸ ἀγαθὸν, τὸ σοφὸν, καὶ τὰ τοιαῦτα· οἴδασι δὲ καί τινα φυσικῶς μὲν προσόντα Πατρὶ καὶ Υἱῷ, μὴ προσόντα δὲ τῷ Πνεύματι, οὐ διὰ τὸ μὴ τῆς αὐτῆς Πατρὶ καὶ Υἱῷ φύσεως εἶναι τὸ Πνεῦμα (πόρρῳ γὰρ τοῦτο πάσης εὐσεβοῦς διανοίας), ἀλλὰ διὰ τὸ μὴ εἶναι τὰ φυσικὰ τοῦ Πατρὸς καθὸ Πατρὸς, καὶ τοῦ Υἱοῦ καθὸ Υἱοῦ ἰδιώματα κοινὰ καὶ τῷ Πνεύματι. Εἰ γὰρ καὶ τῆς αὐτῆς ἐστι Πατρὶ καὶ Υἱῷ φύσεως τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὡς Πνεῦμα ἐν τῇ Τριάδι παραλαμβάνεται, καὶ πᾶσαν μὲν τὴν τῶν κοινῶν φυσικῶν ἀγαθῶν κοινωνίαν ἕξει ὡς Πνεῦμα, τὴν δὲ τῶν φυσικῶν ἰδιωμάτων Πατρὸς καὶ Υἱοῦ, καθὸ Πατρὸς, καὶ καθὸ Υἱοῦ κοινωνίαν οὐχ ἕξει. Πῶς γὰρ ἂν φυσικὰ ἰδιώματα ἐρρέθη Πατρὸς καὶ Υἱοῦ ταῦτα, εἴπερ ἦσαν κοινὰ καὶ τῷ Πνεύματι; Φυσικὰ μὲν γὰρ ταῦτα, ὅτι φύσει πρόσεισι Πατρὶ καὶ Υἱῷ, ἰδιώματα δὲ Πατρὸς καὶ Υἱοῦ, ὅτι μὴ πρόσεισι καὶ τῷ Πνεύματι. Τὸ γοῦν κοινῶς ἔχειν τὸ Πνεῦμα τὸν Πατέρα καὶ τὸν Υἱὸν φυσικὸν μὲν ἀγαθόν ἐστι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλ' ὡς ἰδίωμα αὐτῶν φυσικόν. Οὐ διότι γοῦν κοινωνεῖ ὁ Υἱὸς τῷ Πατρὶ κατὰ τὸ ὑπάρχειν ἐξ ἀμφοῖν τὸ Πνεῦμα, κοινωνήσει αὐτοῖς καὶ τὸ Πνεῦμα κατὰ τὸ ὑπάρχειν καὶ αὐτὸ ἐξ ἑαυτοῦ. Τοιαύτης γοῦν ἐνθεωρουμένης διαστολῆς τῇ λεγούσῃ προτάσει, « Πάντα ὅσα τοῦ Πατρὸς κοινὰ πρὸς τὸν Υἱὸν, ταῦτα καὶ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον· » κἀντεῦθεν ἐληλεγμένου μὴ καλῶς ἔχειν τοῦ οἴεσθαι κοινωνεῖν τὸ Πνεῦμα τῆς ἰδίας ὑπάρξεως τῷ Πατρὶ καὶ Υἱῷ, ἐὰν ὁ Υἱὸς κοινωνεῖ τῷ Πατρὶ κατὰ τὸ ἐξ ἀμφοῖν ὑπάρχειν τὸ Πνεῦμα· πῶς σὺ ἐκ τῆς τοιαύτης κοινωνίας, ὡς τάχα κατ' ἀνάγκην συμπεραίνων τι ἀληθὲς, εἰς τὸ λέγειν τερατωδέστερον τῆς Ἑλλήνων μυθολογίας ἀποφαίνῃ, τὸ παρὰ τῶν Λατίνων δογματιζόμενον; Ἃ μὲν οὖν ἐν τοῖς τοῦ Φωτίου Συλλογισμοῖς εὑρόσα τε καὶ τοιάδε, καὶ ἀρκούντως ἔχειν οἶμαι καὶ τὰ παρ' ἡμῶν ῥηθέντα εἰς τὴν ἐκείνων ἀνατροπήν· ἃ δὲ καὶ ἐφεξῆς ἐρεῖ πρὸς ὧν, λογοειδῆ ποιούμενος τὴν διάλεξιν, ταῦτα προφασίζεσθαι τοὺς Ἰταλοὺς φησι, λέγοντα; παρὰ Ἀμβροσίου, Αὐγουστίνου τε καὶ Ἱερωνύμου τὴν ἐκ τοῦ Υἱοῦ θεολογηθῆναι ἐκπόρευσιν καὶ εἰς αἰσχύνην τάχα τῶν Ἰταλῶν συστήσασθαι, ὑπὲρ τῶν ἐπὶ σοφίᾳ περικλύτων τούτων ἀνδρῶν ἀπολογίαν βουλόμενος, οὕτω φησίν·

με'. « Ὦ; εἰ καὶ εἰρήκασι τοῦτο οἱ δηλωθέντες, ἀλλὰ κατ' οἰκονομίαν ἴσως εἰρήκασιν, ᾗτινι καὶ ὁ μέγας Βασίλειος ἐν καιροῖς ἰδίοις ἐχρήσατο, ἢ καὶ τῆς ἀκριβείας ὡς ἄνθρωποι παρεσύρησαν, ὃ πολλοὶ πεπόνθασι τῶν μεγάλων ἔν τισιν, ὡς Ἀλεξανδρείας Διονύσιος, καὶ Μεθόδιος ὁ Πατάρων, καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα τῶν ἐπὶ ἁγιωσύνῃ ὀνομασθέντων, ὧν τινας ῥήσεις οὐκ ἀποδεχθῆναι, » λέγει « τῇ Ἐκκλησίᾳ, καὶ ταῦτα ἐπὶ τοῖς ἄλλοις σφόδρα θαυμαζομένων. »

Αὕτη μεν οὖν ἡ τοῦ Φωτίου ὑπὲρ Ἀμβροσίου, Αὐγουστίνου τε καὶ Ἱερωνύμου ἀπολογία εἰς αἰσχύνην τάχα συντεθειμένη τῶν ὁμογενῶν αὐτοῖς Ἰταλῶν. Ἡμεῖς δὲ αἰσχύνην μᾶλλον ταῦτα διαγιγώσκομεν τῶν

Digitized by Google Распознавание текста ABBYY FR

ἀμφοτέραις ἀπωθουμένων τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἰρήνην. Καὶ σκόπει πρὸς τῆς ἀληθείας αὐτῆς ὁ βουλόμενος. Κατ' οἰκονομίαν φῆς, Φώτιε, Ἀμβρόσιον, Αὐγουστῖνον, καὶ Ἱερώνυμον ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα θεολογῆσαι, ἢ καὶ τὸν μέγαν Βασίλειον ἐν καιροῖς ἰδίοις ὁμολογεῖς χρήσασθαι. Σὺ γοῦν πῶς οὐκ ἠδέσθης ὑψηλότερον ἢ κατὰ τὸν μέγαν Βασίλειον ἑαυτῷ τὴν ἀκρίβειαν φανταζόμενος, καὶ τοῖς ἀσθενεστέροις μὴ συμπεριαγόμενος; Πῶς δὲ οὐκ ἐλογίσω τοὺς ἐν ταῖς ἀρχαίαις ἐκείναις ἡμέραις ἐν τῷ στερεώματι τῆς καθ' ἡμᾶς Ἐκκλησίας διαλάμψαντας Πατέρας ἡμῶν, αὐτόν τέ φημι τὸν μέγαν Βασίλειον, τὸν ἐπώνυμον τῆς θεολογίας Γρηγόριον, τὸν Νύσσης αὖθις Γρηγόριον, Ἰωάννην τὸν Χρυσορρήμονα, ἔτι δὲ καὶ τοὺς μετ' αὐτοὺς ἀναφανέντας πολλοὺς καὶ μεγάλους, οἱ πάντες, Ἀμβροσίου, Αὐγουστίνου τε καὶ Ἱερωνύμου τοῖς συγγράμμασιν ἐντυγχάνοντες, αὐτούς τε τοὺς τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν εἰρηκότας τοῦ Πνεύματος, τῷ τῶν ἁγίων συνηριθμουν χορῷ, καὶ τὴν τὰ συγγράμματα αὐτῶν ἀσπαζομένην Ἐκκλησίαν τῆς Ῥώμης κοινωνικὴν εἶχον, καὶ ὡς μητρὶ τῶν Ἐκκλησιῶν προσεῖχον αὐτῇ; Ὅτι δὲ παρασυρῆναι τῆς ἀκριβείας αὐτοὺς ἔφης, ὡς τὸν δεῖνα καὶ δεῖνα τῶν παρ' ἡμῖν ἁγίων, ἀλλ' ἐνταῦθα οὐκ ἀληθεύων οὕτω φανήσῃ. Ὧν γὰρ ἁγίων ῥήσεις τινὰς οὐκ ἀποδεχθῆναι τῇ Ἐκκλησίᾳ ἔφης, ἐπισημανθῆναι πάντως αὐτὰς ἐν ταῖς ἐκκλησιαστικαῖς βίβλοις οἱ τὰ ἐκκλησιαστικὰ ἱστορεῦντες ἴσχυσι. Κἀντεῦθεν τὸ παρασυρῆναι τῆς ἀκριβείας ἐκείνους γέγονε δῆλον. Εἰ γοῦν καὶ τοὺς ῥηθέντας Πατέρας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας παρασυρῆναι τῆς ἀκριβείας διέγνων, οἵ τε ἄλλοι τῆς Ῥωμαϊκῆς Ἐκκλησίας Πατέρες, οὓς πολλοὺς καὶ μεγάλους ὁ τότε χρόνος ἀνέδειξεν, οἵ τε τῆς ἡμετέρας Ἐκκλησίας φωστῆρες, οὓς ἡ τῶν Ἐκκλησιῶν τότε ἡσπάζετο ἕνωσις, οὐκ ἂν ποτε παρεῖδον ἀνεπισήμαντον τὸ οὕτω γεγονὸς ἡμῖν ὕστερον ἀξιοζήτητον σφάλμα. Καὶ τοῦτο Φώτιος λέγει.

μς'. « Εἶπον οἱ τρεῖς, ὡς Ῥωμαῖοι λέγουσιν. Οἱ δὲ τῶν ἑπτὰ συνόδων ἀρχιερεῖς οὐκ εἶπον, οἱ καὶ συνεψηφίσαντο δόγμα προστεθῆναι μηδὲν ἔτι, μήτ' ἀφαιρεθῆναι τοῦ παραδοθέντος ὅρου τῆς πίστεως, ἀλλὰ καὶ τὸν κατατολμήσαντα παντάπασιν ἀπορραγῆναι τῆς Ἐκκλησίας. »

Καὶ Φώτιος μὲν ὡς οὐδέν τι κοινὸν ἠγεῖται, εἴπερ εἶπον τοῦτο οἱ τρεῖς, διὰ τὸ ὡς Ῥωμαίους εἰπεῖν τοῦτο αὐτούς· ἐγὼ δὲ καὶ πάνυ καινόν φημι, ὅτι αὐτός τε Φώτιος, καὶ ὅσοι μετ' αὐτὸν τοῦ σχίσματος γεγόνασι ζηλωταί, οὐκ ἠθέλησαν οὗτοι στέργειν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τὴν ἕνωσιν, ὡς οἱ Πατέρες ἡμῶν τὴν κατὰ τῶν εἰπόντων πρώτως τὴν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπόρευσιν τοῦ Πνεύματος, Ἀμβροσίου, φημί, Αὐγουστίνου τε καὶ Ἱερωνύμου. Ὅτι δὲ καὶ « τοὺς τῶν ἑπτὰ συνόδων ἀρχιερεῖς συμψηφίσασθαι » ἔφη « δόγμα προστεθῆναι μηδὲν, μήτ' ἀφαιρεθῆναι τοῦ παραδοθέντος ὅρου τῆς πίστεως, ἀλλὰ καὶ τὸν κατατολμήσαντα παντάπασιν ἀπορραγῆναι τῆς Ἐκκλησίας, » ἐκεῖνο πῶς οὐ λογίζεται, ὅτι ὅρον

A aiunt, manibus cum Romana Ecclesia pacem rejiciunt. Et attente consideret, per veritatem ipsam, cui lubitum fuerit. Secundum dispensationem, ais, Photi, Ambrosium, Augustinum, et Hieronymum ex Patre et Filio Spiritum sanctum asseruisse, qua et magnum Basilium suo tempore usum fateris. Tu itaque quomodo verecundia non es suffusus, excelsius, et æque ac sanctus Basilius rerum accuratam cognitionem tibi vendicans, et infirmiorum misericordiam non capiens? Quomodo animo non concepisti Patres nostros antiquis illis diebus in firmamento nostræ Ecclesiæ compellucidos, magnum nempe Basilium, cui a theologia cognomen fuit Gregorium, alterum Nyssenum Gregorium, Joannem, cujus aureum eloquentiæ flumen est, B prætereaque alios post eos plurimos summosque doctores, qui omnes Ambrosii, Augustini, et Hieronymi commentaria evolventes, ipsos, qui ex Filio processionem Spiritus asseverant, inter sanctorum numerum collocabant, et cum Romana Ecclesia eorum commentarios exosculante communicabant, illamque veluti Ecclesiarum matrem obsequiosi audiebant? Eos ab accurata rerum notitia excidisse, ais, ut hunc vel illum ex nostris sanctis. Sed mera te mendacia fundere hinc apparet. Namque quorum sanctorum dicta non approbasse Ecclesiam dicis, ea omnia obsignata in ecclesiasticis voluminibus, qui res ecclesiasticas pertractant, optime norunt. Indeque eos ab accurata rerum C notitia excidisse innotuit. Si itaque et allegatos Romanæ Ecclesiæ Patres ab accurata rerum notitia excidisse cognovissent, tum alii Romanæ Ecclesiæ Patres, quos plurimos et summos ea ætas tulit, tum Ecclesiæ nostræ lumina, qui id temporis Ecclesiarum unionem exosculabantur, non neglexissent, sed scripto signassent, postmodum nobis enatum, dignissimum tamen qui sciretur, errorem. Hoc quoque Photius ait.

40. « Dixerunt tres, ut Romani tradunt, sed septem synodorum præsules non dixerunt, qui simul una decreverunt, nullum ultra dogma apponi, neque tolli ex definitione fidei tradita: quinimo qui similia ausus fuisset, eum penitus ab Ecclesia D abscindi. »

Et Photius plane nihil novum opinatur, si id tres dixerunt, quia id veluti Romani dixerunt. Ipse vero et novum admodum asserо, eumdem Photium, aliosque, qui schisma secuti sunt, noluisse Romanæ Ecclesiæ unionem amplecti, quemadmodum progenitores nostri eorum, qui primum ex Patre et Filio Spiritus processionem enuntiarunt, Ambrosii dumtaxat, Augustini, et Hieronymi. Cum vero dicat, « et septem synodorum præsules simul omnes decrevisse, nullum in posterum dogma apponi, neque tolli, ex tradita fidei definitione; imo qui similia ausus fuisset, ab Ecclesia abscindi; » quomodo illud animo non comprehendit, fidei definitionem ab universis synodis Nicænæ Symbolum

Digitized by Google Распознавание текста АВК/FR

nuncupatum fuisse, ut scire quisque poterit, qui varia variarum synodorum acta percurrit ? Et ego sane hoc Nicænæ synodi Symbolum sine ulla sui immutatione robur habuisse affirmo et in secunda, et in tertia, et in aliis quoque synodis subsecutis. Namque immutationem non additione, aut ademptione dictionum circumscribo, quod non in vocibus, sed in sententiis nostra pietas definiatur. Verum Photius si additione et ademptione vocum immutationem traditæ in Nicæna synodo fidei definitionis præscribit, præsules omnes a secunda synodo reliquisque aliis et audaces reputat, et præscriptis pœnis adversus audentes obnoxios facit. Nullus enim ex iis, qui ecclesiasticas res perscrutantur, ignorat, nonnullas dictiones e Nicænæ primæ synodi Symbolo ademptas fuisse, alias etiam illi additas. Etsi Romani pœnis subjiciendi sunt, quod secundæ synodi Symbolum recitantes, ex Patre et Filio Spiritum procedere addunt, multo antea afficiendi erant accusandique secundæ synodi Patres, hanc totam additionem inserentes de processione Spiritus primæ synodi Symbolo. Sed enim illi ipsi, qui terribiles pœnas irrogant contra additionem et ademptionem ausuros in Symbolo Nicænæ synodi, et voces ex eo sustulerunt, et addiderunt. Quod indicium manifestum fuerit, additionem et ademptionem a Patribus nullam aliam reputari, quam illam ademptionem et additionem, quæ pietatis sententiam vulnerat. Quare Romani vocem addentes, dummodo piam de Triade sententiam conservant, non sunt a nobis inter schismaticos accensendi, si rectum judicium ferre volumus. Inter alia quoque in scripto Photii continebatur : Ῥωμαῖοι, προσθήκην μὲν ποιησάμενοι λέξεως, εὐσεβῆ δὲ τὴν ἐπὶ τῇ Τριάδι περισώζοντες ἔννοιαν, οὐ σχίσματος κριθήσονται ἀφ' ἡμῶν τοῖς ὀρθῶς δικάζειν ἐθέλουσιν. Περικοπὴ τῆς τοῦ Φωτίου γραφῆς ἦν καὶ τό·

A τῆς πίστεως αἱ σύνοδοι ἅπασαι τὸ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου Σύμβολον ἀπεκάλεσαν, ὡς εἰδέναι ἔχει ὁ τοῖς διαφόροις τῶν διαφόρων συνόδων πρακτικοῖς ἐντυγχάνων ; Καὶ ἐγὼ μὲν τὸ τοιοῦτον τῆς ἐν Νικαίᾳ συνόδου Σύμβολον ἀπαραποιήτως κρατεῖν φημι, καὶ ἐν τῇ δευτέρᾳ, καὶ τρίτῃ, καὶ ταῖς ἑφεξῆς τῶν συνόδων. Τὴν παραποίησιν γὰρ οὐ προσθήκῃ καὶ ἀφαιρέσει λέξεων ἐπιγράφομαι, διὰ τὸ μὴ ἐν λέξεσιν, ἀλλ' ἐννοίαις τὴν ἡμῶν εὐσέβειαν περιωρίσθαι· Φώτιος δὲ, ἐὰν προσθήκῃ καὶ ἀφαιρέσει λέξεων τὴν παραποίησιν τοῦ παραδοθέντος ἐν Νικαίᾳ ὅρου τῆς πίστεως ἐπιγράφηται, τοὺς ἀπὸ τῆς δευτέρας συνόδου καὶ ἑφεξῆς τῶν ἄλλων συνόδων ἀρχιερεῖς, καὶ τολμητίας κρίνει, καὶ τῷ ὁρισθέντι ἐπιτιμίῳ κατὰ τῶν τολμητῶν ἐνόχους αὐτοὺς ἀποφαίνεται. Οὐδεὶς B γὰρ τῶν τὰ ἐκκλησιαστικὰ ἱστορούντων ἀγνοεῖ ὡς τινὲς μὲν λέξεις ἀφῃρέθησαν τοῦ Συμβόλου τῆς ἐν Νικαίᾳ καὶ πρώτης συνόδου, τινὲς δὲ αὐτῷ προσετέθησαν. Καὶ εἴγε Ῥωμαῖοι ἐπιτιμίων κρίνωνται ἐπὶ τῷ Συμβόλῳ τῆς δευτέρας συνόδου ἀναγινώσκοντες ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον, πολλῷ πρότερον οἱ τῆς δευτέρας συνόδου Πατέρες γραφὴν ἐπιτιμίων ἀποίσονται, τὴν ὅλην ταύτην προσθήκην ποιησάμενοι, τὴν περὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, ἐπὶ τῷ τῆς πρώτης συνόδου Συμβόλῳ. Ἀλλὰ μὴν αὐτοὶ ἐκεῖνοι οἱ τὰ φοβερὰ ἐπιτίμια ἀποφαινόμενοι κατὰ τῶν προσθήκην καὶ ἀφαίρεσιν τολμησόντων ἐπὶ τῷ Συμβόλῳ τῆς ἐν Νικαίᾳ συνόδου, αὐτοὶ καὶ λέξεις ἐκεῖθεν ἀφεῖλοντο, αὐτοὶ καὶ C λέξεις ἐκεῖσε προσέθεντο. Καὶ δεῖγμα τοῦτο σαφὲς τοῦ προσθήκην καὶ ἀφαίρεσιν ὑπὸ τῶν Πατέρων νομίζεσθαι ἐκείνην τὴν προσθήκην τε καὶ ἀφαίρεσιν, ἣ τὴν ἔννοιαν τῆς εὐσεβείας λυμαίνεται. Ὥστε

μ΄. « Τὸν πάππαν Λέοντα τὸ θησαυροφυλάκιον τῆς ἀποστολικῆς ἐκκλησίας ἀνοίξαντα, ἀσπίδας δύο τοῖς ἱεροῖς κειμηλίοις ἐναποτεθησαυρισμένας ἐξενεγκεῖν, Ἑλληνικοῖς καὶ γράμμασι καὶ ῥήμασιν ἐχούσας τὴν τῆς πίστεως ἔκθεσιν, ἃς καὶ δικαιωσαι » λέγει « τὸν πάππαν Λέοντα ἐνώπιον ὑπαναγνωσθῆναι τοῦ Ῥωμαϊκοῦ πλήθους. »

47. « Leonem papam cum apostolicæ ecclesiæ scrarium reserasset, duo scuta inter alia sacra donaria asservata eduxisse, Græcis et litteris et verbis expositionem fidei continentia, quæ, » refert, « jussisse Leonem papam coram universo Romano populo legi. »

Dictum hoc propriis sermonibus Methonensis complicans, in eam sententiam, ut apparet, attrahit, in quam et plerique alii post eum, quemadmodum etiam ego hisce meis auribus exponentes audivi, contendentes ex voce illa, qua duos effectus nominat germina a Deo nata, non posse aliquem unquam dicere, Spiritum et ex Filio: « Quod ex germine germen esse nequit. » Et Methonensis quidem hoc magni Dionysii dictum afferens, ad evertendum Spiritum esse et ex Filio, exempli imaginem duorum germinum ad constabiliendam suam sententiam proponit, dicens, « fieri non posse, ut ex germine germen sit. » Ego vero dico: Aptissima hujusce exempli imago tum fuisset, si e Deo nata illa germina essent in duas partes divisa, quemadmodum hic est, et in his inferioribus, et quæ visui objiciuntur, reperitur; nunc vero a Deo nata illa germina non dividi in duas partes, planum fit: germen enim Filius vocatur, sed contiguum illi ex quo est, germen vero et Spiritus sanctus, sed per germen Filium; ex radice enascentia Patre. Germina itaque a Deo nata Filius et Spiritus a sancto nuncupati sunt, non quod in duo divisi inde exeant, sed quod tantum enascantur. Nam simpliciter esse, et non divisim inde emanare eos, dictio notat tantum effectus nobis notionem insinuans. Quanam ergo ratione Methonensis veluti sejuncta a seipsis separataque germina Spiritum et Filium ex Patre esse decernit, et Pauli discipulum naturalem Triadis ordinem nescivisse subinnuit, cum dicat, « non posse esse germen ex germine? » Namque si, ut Methonensis contendit, veluti separata germina Filius et Spiritus ex Patre, quomodo Spiritus tertius ordine erit, ut magnus Basilius tradit, et Filius medius esse inter Patrem et Spiritum dicetur? Vel quomodo Spiritus Filii dicitur immediata imago, Patris vero imago per Filium? Magnum porro divinis pertractandis Dionysium, non quod divisim ex Patre enascantur, sed quod solum et simpliciter enascantur, germina Filium et Spiritum nuncupasse, intelligere possunt, qui accuratius dicta examinabunt, nec non ex eo, quod hic radicem Patrem non vocat, licet alios alibi hoc quoque modo elocutos invenimus. Fontem enim Deitatis Patrem compellans, illico subdidit, Filius vero et Spiritus germina a Deo nata, et quasi flores, et supersubstantialia lumina. Et nihilominus si germinum ratio habenda esset, nuncupari debuerat a

Digitized by Google Распознавание текста ABK/FR

magno Dionysio radix Pater. Sed ille, ne quis fortasse dictioni insisteret, illius, quod in exemplum afferebatur, immutabilitatem erga exemplum imaginatione concipiens, fontem Deitatis Patrem enuntians, germinum, et florum, et luminum nomine, qui inde proveniunt effectus significavit, quorum neutrum ullam cum fonte proportionem habet. Quibus itaque similes dictiones obviam fiunt, illi animo concipiant, similium auctores Patres theologos, non Spiritus et Filii divisionem inducere volentes hæc protulisse, sed tantummodo ad Patris effectus respicientes, pro vario dictionum usu, causam et effectum indicare statuentes, gemina flumina eos ex uno fonte, a Deo nata ex radice germina, flores duos ex uno ramo, duo lumina ex uno sole, dixerunt: et ex his alii tantum effectum indicantes, tam variis vocibus, illum subinnuebant; alii vero quomodo effectus inter se respondeant, et ad causam referantur, ostendentes, hunc quidem dicebant immediate ex primo, illum vero per eum, qui immediate erat a primo. Qui vero potest attentius cogitationem suam figere in dictionem hanc, « per eum, qui immediate est, » et capere, quomodo ex Patribus nemo unquam Spiritum immediate ex Patre asseruit, ille et ex Filio Spiritum dicet, et causam Patri conservabit : quemadmodum qui dicit fructum ex radice per ramum, et ex ramo, et fluvium ex oculo per fontem, et ex fonte.

56'. Et de his quidem hæc satis. Ad ea vero, quæ consequuntur, Methonensis dicta, cum nulla alia nova sententia concludatur, sed eadem, quam et alii insinuarunt, et cui nos supra jam dictis respondimus, nihil dicimus, intempestivam respuentes loquacitatem. Eadem enim sæpius inculcare, pertractareque cum delirante futilitate satietatem affert : quala sunt, quæ in progressu orationis agitantur, de uno principatu theologiæ, de singularitate generationis et processionis, de immutabilitate filiationis in paternitatem, et paternitatis in filiationem, de indivisibili relatione ad duo principia, de absolutissima perfectione singularum trium personarum, de discrimine missionis et processionis, in qua differentia etiam admiranda illa complicat, « procedere Gabrielem a Patre, veluti missum a Deo Patre, et Moysem quoque uti missum a Deo. » Hæc itaque cum subsequens illius oratio exponat, qui accurate antea in hoc nostro Commentario pertractata perlegerit, ad illa evertenda, aliis non indigebit. Propterea que nos supervacaneum intempestivumque esse duximus, iterum ex illis quidpiam repetere

7. Partem porro illam Methonensium dictorum, in qua illud, « Ex meo accipiet, » enarrans ita affirmat, « nihil ex hoc dicto evangelico significari, ex Filio Spiritum accipere, verum ex Patre, » quis a veritate aberrare non determinaverit, cum de eo Patrum expositiones percurrerit, quarum una in Ancorato magni Epiphanii jacet, quam vel solam,

A δὲ, ἵνα τις τάχα μὴ ἐπιμείνῃ τῇ λέξει, ἀπαραλλαξίαν τοῦ παραδείγματος φανταζόμενος, πηγαίαν θεότητα τὸν Πατέρα εἰπὼν, τῷ τῶν βλαστῶν καὶ ἀνθέων, καὶ φώτων ὀνόματι τὰ ἐκεῖθεν ὄντα αἰτιατὰ παρεδήλωσεν, ὧν οὐδὲν ὡς πρὸς τὴν πηγὴν ἔχει σχέσιν ἀνάλογον. Οἱ γοῦν ταῖς τοιαύταις τῶν λέξεων ἐντυγχάνοντες, συνιέτωσαν, ὡς οἱ τοιαῦτά τινα εἰρηκότες θεολόγοι Πατέρες οὐχὶ διείχειαν Υἱοῦ καὶ Πνεύματος παραστῆσαι βουλόμενοι, ἔλεγον τὰ τοιαῦτα, ἀλλὰ πρὸς μόνον τὸ ἐκ Πατρὸς ὁρῶντες αἰτιατὸν κατὰ διάφορον χρῆσιν τῶν λέξεων, τὸ αἴτιον καὶ αἰτιατὸν σημαίνειν βουλόμενοι, διδύμους ποταμοὺς αὐτὰ ἐκ μιᾶς πηγῆς λέγοντες, θεοφύτους ἐκ ῥίζης βλαστοὺς ἄνθη δύο ἐκ κλάδου ἑνὸς, φῶτα δύο ἐξ ἡλίου ἑνός. Καὶ οἱ μὲν, μόνον τὸ αἰτιατὸν B δηλοῦντες· ἐν διαφόροις οὕτω λέξεσιν, αὐτὸ ὑπῃνίττοντο· ἄλλοι δὲ καὶ ὅπως ἔχουσι τὰ αἰτιατὰ πρός τε ἄλληλα, καὶ πρὸς τὸ αἴτιον ἐμφαίνοντες, τὸ μὲν ἔλεγον προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Καὶ ὁ δυνάμενος ἐπιστατικώτερον τῇ λέξει ταύτῃ ἐπιβαλεῖν, τῇ διὰ τοῦ προσεχῶς, καὶ συνιεὶς ὅπως οὐδέ τις τῶν ἁγίων εἴρηκέ που τὸ Πνεῦμα ἀμέσως ἐκ τοῦ Πατρὸς, ἐκεῖνος· καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐρεῖ, καὶ τὴν αἰτίαν τῷ Πατρὶ τηρήσει, ὡς ὁ λέγων τὸν καρπὸν ἐκ τῆς ῥίζης διὰ τοῦ κλάδου, καὶ ἐκ τοῦ κλάδου, καὶ τὸν ποταμὸν ἐκ τοῦ ὀφθαλμοῦ διὰ τῆς πηγῆς, καὶ ἐκ τῆς πηγῆς.

νε'. Περὶ μὲν οὖν τούτων τοσαῦτα. Πρὸς δὲ τὰ C ἑφεξῆς τῶν τοῦ Μεθώνης ῥητῶν, ἐπεὶ μὴ καινήν τινα ἔχουσιν ἔννοιαν παρὰ τὴν ἣν εἶπον καὶ ἄλλοι, πρὸς ἣν καὶ ἀπηντήσαμεν ἐν τοῖς ἀνωτέρω, οὐδὲν λέγομεν τὴν ἄκαιρον παραιτούμενοι περιττολογίαν. Τὰ γὰρ αὐτὰ πολλάκις μεταχειρίζεσθαι πάντως προσκορὲς καὶ ἀδόλεσχον. Οἷα γὰρ τὰ ἐν τοῖς ἑξῆς τῶν λόγων αὐτοῦ περὶ τοῦ ἐνιαίου τῆς ἀρχαίας θεολογίας φησὶ περὶ τοῦ μοναδικοῦ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως, περὶ τοῦ ἀμετακινήτου τῆς υἱότητος εἰς πατρότητα, καὶ τῆς πατρότητος εἰς υἱότητα, περὶ τοῦ πρὸς διττὰς ἀρχὰς ἀμερίστου τῶν σχέσεων, περὶ τοῦ παντελεστάτου καὶ πληρεστάτου ἑκάστου τῶν τριῶν προσώπων, περὶ διαφορᾶς ἀποστολῆς τε καὶ ἐκπορεύσεως, ἐφ' ᾗτινι διαφορᾷ καὶ ἐκεῖνα τὰ θαυμάσια ἐπισυμπλέκει, « τὸ ἐκπορεύεσθαι τὸν Γα- D βριὴλ παρὰ Πατρὸς, ὡς ἀπεσταλμένον παρὰ τοῦ Θεοῦ Πατρὸς, καὶ τὸν Μωϋσῆν δὲ, ὡς ἀπεσταλμένον παρὰ Θεοῦ. » Περὶ τοιούτων γοῦν οὔσης τῆς τῶν ἑφεξῆς λόγων ἐκθέσεως, ὁ ἐπιμελῶς τὰ προδιειλημένα τῷ λόγῳ ἡμῶν ἐπελθὼν οὐκ ἑτέρων δεήσεται πρὸς ἀντίρρησιν. Καὶ διὰ ταῦτα περιττὸν ἡμεῖς καὶ ἄκαιρον ἡγησάμεθα εἰπεῖν τι καὶ πάλιν περὶ αὐτῶν.

νς'. Τὴν δὲ περικοπὴν ἐκείνην τῶν τοῦ Μεθώνης ῥητῶν, ἐν ᾗ τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » ἐξηγούμενος οὗτος, « μηδὲν δηλοῦν λέγει τὸ εὐαγγελικὸν τοῦτο ῥητὸν, τὸ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λαμβάνειν, ἀλλ' ἐκ τοῦ Πατρὸς, » τίς ἂν οὐ διαγνοίη διαμαρτάνειν τῆς ἀληθείας, ὁπηνίκα ταῖς περὶ τοῦ ῥητοῦ τούτου ἐξηγήσεσι τῶν Πατέρων ἐντύχῃ, ὧν μία καὶ ἡ ἐν τῷ

Digitized by Google Распознавание текста ABK/FR

Ἀγκύρῳ τῷ τοῦ μεγάλου Ἐπιφανίου λόγῳ ἐστὶν, ἣν καὶ ὡς ἀντὶ πάντων ἀρκοῦσαν ἐκθήσομαι καὶ πάλιν ἐν τῷ παρόντι, εἰς ἔλεγχον τῆς διαστρόφου ἐξηγήσεως, τῶν μὴ ἐκλαμβανόντων τὸ ῥητὸν εἰς δήλωσιν τοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ; Ὁ γὰρ πολὺς οὗτος τὰ θεῖα Ἐπιφάνιος ἔν τινι μέρει τοῦ εἰρημένου Ἀγκυρωτοῦ λόγου οὕτω φησίν· « Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, ὃ παρὰ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ Υἱοῦ λήψεται· » τίς τῶν τῇ τοιαύτῃ ἐντυγχανόντων γραφῇ οὐ διαγνοίη ἂν ὡς ὁ ἅγιος οὗτος τὸ ἐκ τοῦ Υἱοῦ λαμβάνειν, εἰς τὸ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν αὐτὸ, ἡ λέγουσα λέξις, παρὰ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι

νζ'. Ἀλλὰ καὶ εἰς τὸν περὶ τῆς ἐμφυσήσεως λόγον πολυστίχους ὁ Μεθώνης; οὗτος ἐξυφαίνει τοὺς λόγους, εἰς τὸ ἀποδεῖξαι τάχα πνευματικὸν εἶναι χάρισμα τὸ ἐμφυσηθὲν, καὶ μὴ τὴν σχετικὴν αὐτὴν τοῦ ὅλου ἐνοίκησιν Πνεύματος. Καὶ οὐκ ἐρυθριᾷ ἀντιλέγων εἰς τοῦτο Ἀθανασίῳ τῷ πάνυ, Βασιλείῳ τῷ μεγάλῳ, καὶ τῷ θαυμασίῳ Κυρίλλῳ· ἀλλὰ τὸ πολυσήμαντον τοῦ Πνεύματος μεταχειριζόμενος, ὡς ἔν τι τῶν εἰς διαφόρους ἐννοίας εὑρισκομένων παρὰ τῇ Γραφῇ ὀνομάτων τοῦ Πνεύματος, καὶ τὸ ἐμφυσώμενον παρὰ τοῦ Υἱοῦ Πνεῦμα λαμβάνειν ἐθέλει. Ἐν οἷς καὶ ὡς ἐμπαίζων ὅῃθεν τῷ Ἰταλῷ, καὶ πολυσχιδῆ τὴν τοῦ θείου Πνεύματος πρόοδον ἐκ τῆς ἐννοίας ταύτης, ἀναφαίνεσθαι λέγει, ἰδίαν ἀποκαλῶν πρόοδον αὐτὸ εὖ δοθὲν τοῖς ἀποστόλοις ἐμφύσημα, καὶ ἰδίαν τὸ πάλαι μετὰ ψυχῆς τῷ πρωτοπλάστῳ ἐμφυσηθὲν, καὶ ἔτι τὸ πᾶσαν στερεῶσαν τῶν οὐρανῶν τὴν δύναμιν. Καὶ οὐ σύνοιδε μηδὲν ἐν τούτοις ὑγιὲς εἶναι. Οὐ γὰρ ὁ Ἰταλὸς τότε λαμβάνει ὕπαρξιν, τερατολογεῖ τὸ συμπληρωτικὸν τῆς Τριάδος Πνεῦμα, ὅτε τῷ πρωτοπλάστῳ ἐνεφυσᾶτο παρὰ τοῦ δημιουργοῦντος τὸ πρότερον, καὶ τοῖς μαθηταῖς παρὰ τοῦ Σωτῆρος τὸ δεύτερον· οὐδὲ οὐσιωδῶς δοξάζει τοῖς μαθηταῖς αὐτὸ ἐνοικεῖν, ἀλλὰ τὴν σχετικὴν τοῦ ὅλου Πνεύματος ἐνοίκησιν σημαίνειν βουλόμενος, τὴν ἀῤῥήτως, καὶ ὑπὲρ λόγον ἐγγινομένην τοῖς ὑποδεχομένοις αὐτὸ διαγωνίζεται πρὸς ἀπόδειξιν, τοῦ μὴ διδόναι τὸ Πνεῦμα τὸν Υἱὸν, οἷς ἂν καὶ δίδωσιν, ὡς ἀλλότριον τῆς οὐσίας αὐτοῦ, καὶ ὡς μὴ ἐκ τῆς οὐσίας ὑπάρχον αὐτοῦ, ἀλλ' ὡς αὐτοφυῶς αὐτὸ ἐκπέμποντα, καὶ ὡς οἰκείαν πνοὴν οὐσιώδη καὶ ἐνυπόστατον ἐξ ἑαυτοῦ προχέοντα. Αὐτὸ γὰρ μὴ οὕτω διδόναι, τῶν κατὰ μετοχὴν ἐχόντων αὐτὸ καὶ διδόντων ἐστὶ, προφητῶν δηλαδή τε καὶ ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους τοῦ ἀποστολικοῦ ἠξιωμένων χαρίσματος.

νη'. Ἐπεὶ δὲ πάλιν ἐν τοῖς ἑξῆς, ὁ μὲν Λατῖνος εἰς ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ προβάλλεται τὸ λέγεσθαι τὸ Πνεῦμα Πνεῦμα Χριστοῦ· ὁ δὲ Μεθώνης ἀνθυποφέρει, « Οὐ πᾶν ὅπερ ἐστί τινος, ἤδη καὶ ἐξ αὐτοῦ· καὶ ὡς μετάθεσιν πατρικῶν ὁρίων, καὶ καινοτομίαν κηρύγματος, καὶ πίστεως παραχάραξιν, καὶ ἀρῶν ἐπιφορὰν, καὶ ἀτέλειαν τῆς τῶν ἁγίων ὁμολογίας, καὶ ματαιότητα τῶν μαρτυρικῶν ἄθλων, καὶ τῶν ἀσκη-

A cum præ omnibus aliis esse possit, apponam hic iterum, ad refellendam perversam explicationem eorum qui dictum illud non intelligunt, neque volunt, eo indicari Spiritum esse ex Filio? Magnus itaque hic Epiphanius rerum divinarum cognitione hæc habet : « Si vero Christus ex Patre creditur, Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus dicit, *Qui a Patre procedit*, et, *Hic et meo accipiet*, » quis scriptum hoc percurrens non discernet æque atque hic sanctus, ex Filio accipere, non aliud esse, quam ex Filio cum esse, dictionem illam indicare, ex Patre eum procedere?

B 58. Sed de inflatu etiam prolixos longioresque sermones Methonensis iste contexit, ut fortasse commonstret, spirituale esse donum, quod inflatum fuerat, et non relativam ipsam totius Spiritus inhabitationem. Neque erubescit in eo contradicens magno Athanasio, magno Basilio, et admirabili Cyrillo, sed dictionis Spiritus varios significatus arripiens, Spiritus nomen veluti unum ex iis, quæ in divinis Litteris varias sententias insinuant, Spiritum quoque a Filio inflatum accipere conatur, quibus quasi illudens Italo, varie ac multifariam divisum divini Spiritus processum ex hac sententia apparere autumat, specialem vocans processum, ipsum apostolis traditum inflatum, et specialem antiquitus cum anima primum creato homini inflatum, nec non, C qui cœlorum facultatem munivit, nec comprehendit se in his nihil sanum afferre. Neque enim Italus tum exsistentiam accipere prodigiose conlingit, qui est complementum Triadis, Spiritum, cum primum creato homini inflabatur ab opifice prius et deinceps discipulis a Servatore : neque essentialiter discipulis illum inhabitare existimat, sed relativam totius Spiritus inhabitationem denotare volens, verborum vim et mentis conceptum superantem in illis, qui illum accipiunt, contendit demonstrare, non tradi Spiritum a Filio, quibuscunque ille tradatur, veluti ab essentia illius alienum, et ab illius essentia non exsistentem, sed veluti ex se emanantem illum mittente, et veluti propriam spirationem D essentialem, et in hypostasi effundente. Illum siquidem non ista ratione tradere eorum est, qui illum participatione possident, et tradunt, prophetarum scilicet et apostolorum, et post eos insignitorum apostolico munere.

58'. Cum autem rursus insequentibus Latinus ad demonstrandum, Spiritum esse ex Filio, proponat, quod dicatur Spiritus, Spiritus Christi, Methonensis contra opponit, « Non quidquid alicujus, id jam et ex eo est; » et paternorum terminorum immutationem, et prædicationis innovationem, et fidei prævaricationem, et dirarum impressionem, et sanctorum confessionis imperfectionem, et martyrum certaminum inanitatem, et asceticorum laborum

Digitized by Google Распознавание текста ABK/FR

verum etsi Itali asserant procedere Spiritum ex Patre et Filio, non duo principia unius erunt, et hoc magnus Basilius dicto suo comprobabit, « quod a Filio dicitur esse, ad primam causam Patrem referri, » scribens. Nam qui hac ratione sermones perpendet, ob enuntiatum dicens, ex Patre et Filio esse Spiritum, nunquam Romanos criminabitur, quasi duo principia Spiritus decernentes, cum dicunt, procedere Spiritum ex Patre et Filio. Et hæc de primo syllogismo. Secundus syllogismus est : « Cum ex duobus esse Spiritum, ambarum personarum imperfectionem introducat. » Sufficient ad hunc confutandum, quæ a nobis dicta sunt, ad evertendum unum ejusdem atque iste sententiæ ex Photii syllogismis : cum propriæ probationis materiam habeat, non posse aliquid commune in Triade proprium esse, et omne proprium non esse commune : neque in eversione circumplexus hujus syllogismi, dubium remanebit ullum legenti quæ nos scripsimus, cum similes syllogismos Photii refutaremus. Similiter et alterius Methonensis syllogismi refutatio facilis erit, in quo in unum confusionem Patris et Filii, et simplicitatis unius Spiritus divisionem confingit, si ex Patre et Filio Spiritum esse dicamus. Sed cum ad subsequentem syllogismum pervenerim, visum est necessarium, ipsum uti jacet, in Oratione digerere, et in illius refutatione productiore sermone uti. Syllogismus ita se habet :

δείς· ὅτι δὲ διὰ τὸ λέγειν τοὺς Ἰταλοὺς ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ, οὐχὶ δύο ἀρχαὶ τοῦ ἑνὸς ἔσονται, ὁ μέγας Βασίλειος μαρτυρήσει καὶ πάλιν, « τὸ παρὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι, εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα ἀναφέρεσθαι, λέγων· « Ὁ γὰρ οὕτω τοὺς λόγους διανοούμενος τῆς λεγούσης φωνῆς, ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, οὐκ ἄν ποτε τοὺς Ῥωμαίους διαβάλοι, ὡς δύο ἀρχὰς τοῦ Πνεύματος δογματίζοντας ἐν τῷ λέγειν αὐτοὺς, ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ. Καὶ ταῦτα μὲν περὶ τοῦ ῥηθέντος πρώτου συλλογισμοῦ. Ὁ δὲ τῶν συλλογισμῶν δεύτερος, « Ἐπεὶ τὸ ἐξ ἀμφοῖν εἶναι τὸ Πνεῦμα ἀτέλειαν εἶναι καὶ ἀμφοτέρων τῶν προσώπων ὁρίζεται, ἀρκέσει αὐτῷ εἰς ἀνατροπὴν, ὅσα ἡμῖν ἐρρέθη εἰς ἀνατροπὴν ἑνὸς, τοῦ τῆς αὐτῆς ὄντος ἐννοίας τῶν τοῦ Φωτίου συλλογισμῶν· ἐπεὶ τῆς οἰκείας κατασκευῆς ὕλην ἔχει τὸ, μὴ δύνασθαί τι κοινὸν ἐν τῇ Τριάδι ἴδιον εἶναι, καὶ πᾶν ἴδιον μὴ κοινὸν εἶναι· οὐδ' ἐπὶ τῇ ἀνατροπῇ τῆς τοῦ συλλογισμοῦ τούτου περιλήψεως ἀπορίαν ἕξει τινὰ ὁ ἐντυγχάνων τοῖς παρ' ἡμῶν ἀνατρεπτικοῖς τῶν ὁμοίως αὐτῷ ἐχόντων τοῦ Φωτίου συλλογισμῶν. Ὁμοίως τῷ τοιούτῳ εὐχερὴς ἔσται καὶ ἡ τοῦ ἄλλου συλλογισμοῦ τοῦ Μεθώνης ἀνατροπὴ, ἐν ᾧ τὴν εἰς ἕν τε σύγχυσιν Πατρὸς καὶ Υἱοῦ, καὶ τὸν τῆς ἁπλότητος τοῦ ἑνὸς Πνεύματος μερισμὸν πλάττεται, ἐὰν ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχον τὸ Πνεῦμα ῥηθείη. Ἐν δὲ τῷ ἑξῆς συλλογισμῷ γεγονότι μοι δεῖν ἔδοξεν αὐτόν τε τὸν συλλογισμὸν, ὡς ἔχει, ἐγκαταστρῶσαι τῷ λόγῳ, καὶ πρὸς τὴν αὐτοῦ ἐμπλατυνθῆναι ἀνατροπήν. Ἔχει ὁ συλλογισμὸς οὕτω·

62. « Si quod unum sunt Pater et Filius, sunt enim omnino unum natura, propterea ut ex Patre, ita et ex Filio concedendum est procedere Spiritum : hoc etenim innovata Latini dogmatis vox postulat : concedendum esset et Filium nece sario uti a Patre, ita et a Spiritu gigni, quod Pater et Spiritus unum sunt natura ; sin minus, periclitabitur Spiritus non unum esse natura cum Patre. Et iterum Macedonio dicendi facultatem liberam concedemus. »

ξβ'. « Εἰ διότι ἓν εἰσι Πατὴρ καὶ Υἱὸς, εἰσὶ δὲ πάντως ἓν τῇ φύσει, διὰ τοῦτο ὡς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ ἐκ τοῦ Υἱοῦ δοτέον ἐκπορεύεσθαι τὸ Πνεῦμα· τοῦτο γὰρ ἡ καινοφωνία τοῦ Λατινικοῦ δόγματος ἀπαιτεῖ· δοτέον ἂν εἴη καὶ τὸν Υἱὸν ἐξ ἀνάγκης, ὡς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ ἐκ τοῦ Πνεύματος γεννᾶσθαι· διότι ὁ Πατὴρ καὶ τὸ Πνεῦμα ἓν εἰσι τῇ φύσει· εἰ δὲ μὴ, κινδυνεύει τὸ Πνεῦμα μὴ ἓν εἶναι τῇ φύσει μετὰ Πατρός. Καὶ πάλιν παῤῥησιάζεται Μακεδόνιος. »

Vir Dei, ipse ex te solus accusator simul et judex Romanorum constitueris? Et quis ex iis qui nunc sunt, aut unquam fuere, audivit ab Italis similem in sancta Triade interpretationem? Etenim si propter idem naturæ Latini dicerent, esse Spiritum uti a Patre, ita et a Filio, non tantum, quod ipse colligis, absurdum contingeret, esse nempe et Filium necessario uti ex Patre ita et a Spiritu, sed et multa alia præterea. Nam si propter eamdem naturam diceretur esse Spiritus ex Filio quemadmodum ex Patre, prorsus hanc eamdem ob causam similiter cogeretur gignere cum Patre. Item, si propter eamdem naturam ita esset ex Filio Spiritus uti ex Patre, esset et Filius quemadmodum Pater absque principio et absque causa. Nam Spiritus ex Patre est tanquam ex fonte absque principio : etsi et ex Filio eumdem in modum, ut tu autumas, omnino et ipse esset sine princi-

Ἄνθρωπε τοῦ Θεοῦ, αὐτὸς ἀφ' ἑαυτοῦ μόνος κατήγορος ἅμα καὶ κριτὴς τῶν Ῥωμαίων γίνῃ; Καὶ τίς τῶν νῦν ἢ τῶν πώποτε ἀκήκοε παρὰ τῶν Ἰταλῶν τοιαύτην ἐπὶ τῆς ἁγίας Τριάδος ἐξήγησιν; Εἰ γὰρ διὰ τὸ ταυτὸν τῆς φύσεως οἱ Λατῖνοι ἔλεγον εἶναι τὸ Πνεῦμα, ὡς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ ἐκ τοῦ Υἱοῦ, οὐ μόνον ὃ συνῆξας αὐτὸς ἄτοπον συνέβαινεν ἄν, τὸ εἶναι δηλονότι καὶ τὸν Υἱὸν ἐξ ἀνάγκης, ὡς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ ἐκ τοῦ Πνεύματος, ἀλλὰ καὶ ἕτερα πάντως. Εἰ γὰρ διὰ τὸ ταυτὸν τῆς φύσεως ἐλέγετο εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, ὡς ἐκ τοῦ Πατρὸς, πάντως δι' αὐτοῦ τούτου καὶ γεννᾷν ὁ Υἱὸς ὁμοίως ἠναγκάζετο τῷ Πατρί. Καὶ πάλιν, εἰ διὰ τὸ ταυτὸν τῆς φύσεως, οὕτως ἦν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὥσπερ ἐκ τοῦ Πατρὸς, ἦν ἂν καὶ ὁ Υἱὸς ὡς ὁ Πατὴρ ἄναρχος καὶ ἀναίτιος. Τὸ γὰρ Πνεῦμα ἐκ τοῦ Πατρὸς ὡς ἐξ ἀνάρχου ἐστὶ πηγῆς. Εἰ δὲ καὶ ἐκ τοῦ Υἱοῦ κατὰ σὲ οὕτως, πάντως καὶ αὐτὸς

Digitized by Google Распознавание текста ABK/FR

χος. Ἀλλ' οὐχ οὕτως, ἀλλ' ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, ὡς ἐκ πηγῆς ἐκ τοῦ Πατρὸς ἐχούσης τὸ εἶναι, καὶ πρὸς τὸν Πατέρα τὴν πρώτην αἰτίαν καὶ ἀρχὴν ἅπαντα τὸν τοῦ Πνεύματος πηγασμὸν ἀναγούσης κατὰ τὸν μέγαν Βασίλειον. Ῥωμαῖοι μὲν οὖν εἰς τοιαύτην ἔννοιαν ἐκ τοῦ Υἱοῦ λέγουσιν εἶναι τὸ Πνεῦμα. Σὺ δὲ παρεισάγων αὐτοὺς διὰ τὸ ὁμοφυὲς δῆθεν ἀπολογουμένους τὸ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα, οὐ δικαίως κατηγορῶν αὐτῶν φαίνῃ, καινοφωνίαν Λατινικοῦ δόγματος ἀποκαλῶν, ἅπερ ἐκεῖνοι οὐ λέγουσιν, καὶ παῤῥησίαν ὀνομάζων ταῦτα Μακεδονίου. Ἄλλος πάλιν πλέκεταί σοι συλλογισμὸς ἐκ τοῦ Πνεύματος γεννᾶσθαι τὸν Υἱόν, καὶ αὐτὸς συμπεραίνων δῆθεν·

ξγ'. « Εἰ διὰ τὸ ὁμότιμον Πατρὸς καὶ Υἱοῦ, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεται· τῆς γὰρ αὐτῆς ἐστιν ὁμοτιμίας τῷ Πνεύματι ὁ Πατήρ. »

Καὶ τί σοι πρὸς ταῦτα ἐροῦμεν ἡμεῖς ; Πολλαί σοι τάχα αἱ τοῦ Υἱοῦ ἐκ τοῦ Πνεύματος γεννήσεις τερατευθήσονται, εἰ νῦν μὲν θέλεις ἐκ Πατρὸς καὶ Υἱοῦ διὰ τὸ ὁμοφυὲς εἶναι τὸ Πνεῦμα, νῦν δὲ διὰ τὸ ὁμότιμον, νῦν δὲ διὰ τὸ ὁμόδοξον, νῦν δὲ διὰ τὸ ὁμοδύναμον. Ὁποῖον δὲ καὶ τὸ ἐπακολουθοῦν τοῖς ῥηθεῖσιν ἤδη συλλογισμοῖ, σου, ἐν ᾧ διισχυρίζῃ σὺ ἀναφανῆναί που τῶν Γραφῶν πάντως τὸν Υἱὸν λεγόμενον τοῦ Πνεύματος μείζονα, ἐὰν καὶ ἐξ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον λέγοιτο. Ὡς γὰρ ἔοικεν, ἠγνόησας ὁ σοφώτατος, ὡς ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ μείζονα τοῦ Πνεύματος ἀριδήλως τὸν Υἱὸν ἀποφαίνεται. Ὃ δὲ μετὰ ταῦτα πλεκόμενός σοι συλλογισμός, ὁ τὸν Ἰταλὸν καταφερόμενος σφόδρα ἐν τῷ προτείνειν, « Πᾶν ὅπερ ἐπὶ τῆς ὑπερουσίου Τριάδος καὶ νοεῖται καὶ λέγεται, ἢ κοινόν ἐστι τῶν τριῶν, ἢ ἑνὸς ἴδιον. » Οὗτος τῇ τῆς ἀληθείας χάριτι πρανατέτραπται παῤ' ἡμῶν, ἐν οἷς ἀπεδείκνυμεν εἶναί τι κοινὸν τοῖς δυσὶν, ὅπερ μὴ πρόσεστι καὶ τῷ τρίτῳ, καὶ εἶναί τι ἴδιον τοῖς δυσὶ, μὴ κοινωνοῦντος αὐτοῖς καὶ τοῦ τρίτου. Ὡσαύτως καὶ ὁ ἕτερος τῶν ἐπὶ τούτῳ συλλογισμῶν ὁ λέγων δύο ἀναφαίνεσθαι τὰ τοῦ Πνεύματος αἴτια τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἐάν τις ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ λέγῃ τὸ Πνεῦμα, ἐν ἐκείνοις ἡμῶν τοῖς ῥήμασ » ἀνατέτραπται, ἐν οἷς ἀπεδείκνυμεν ὡς ὁ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ λέγων τὸ Πνεῦμα, μίαν αἰτίαν λέγει τοῦ Πνεύματος, διὰ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ εἶναι αὐτὸ, ἅτε τῆς *δι' Υἱοῦ* φωνῆς δήλωσιν τῆς προκαταρκτικῆς αἰτίας ἐχούσης, κατὰ τὸν μέγαν εἰπεῖν καὶ πάλιν Βασίλειον. Ἀλλ' οὐδὲ ὁ ἐφεξῆς συλλογισμός, ὁ « ἀτελῆ τὴν ἐκ τοῦ Πατρὸς ἐκπόρευσιν λέγων, ἐὰν καὶ ἐκ τοῦ Υἱοῦ λέγοιτο ὑπάρχειν τὸ Πνεῦμα, » καινοῦ τινος δεηθήσεται τοῦ νοήματος εἰς ἀντίῤῥησιν. Ἀρκέσει γὰρ εἰς ἀνατροπὴν αὐτοῦ, ὅσα πρὸς τὸν ὁμοίως αὐτῷ ἔχοντα συλλογισμὸν τοῦ Φωτίου εἰρήκαμεν. Ὡσαύτως καὶ τῇ ἀνατροπῇ τοῦ ἀκολουθοῦντος αὐτῷ συλλογισμοῦ, τοῦ δύο ἀρχὰς τοῦ Πνεύματος λέγοντος τὸν Πατέρα καὶ τὸν Υἱὸν, ὕλη παραληφθήσονται τὰ πρὸς τὸν ὁμοίως αὐτῷ ἔχοντα συλλογισμὸν τοῦ αὐτοῦ Φωτίου ῥηθέντα ἡμῖν.

pio. Sed res aliter se habet. Ex Filio Spiritus est, ut e fonte ex Patre esse habente, et ad Patrem primam causam et principium omnem Spiritus efluxum referente, secundum magnum Basilium. Romani itaque ita sentientes asserunt ex Filio esse Spiritum. Tu vero eos introducens, quasi responderent, propter eamdem naturam asserere, ex Patre et ex Filio Spiritum esse, præter fas eos insimulare videris, dictionem innovatam Latini dogmatis nuncupans, quæ illi non enuntiant, et illa libertatem dicendi Macedonii nominans. Alius iterum syllogismus complicatur, ex Spiritu generari Filium, quasi tu certo concluderes :

63. « Si propter eamdem dignitatem Patris et Filii, ex Patre et Filio Spiritus procedit : ejusdem namque dignitatis est cum Spiritu Pater. »

Quid hisce tuis nos respondebimus? Pleræque fortasse Filii ex Spiritu generationes portentosæ confingentur ; si nunc quidem vis ex Patre et Filio propter eamdem naturam esse Spiritum, nunc propter eamdem dignitatem, nunc propter eamdem gloriam, nunc propter eamdem potentiam. Quale porro est quod consequitur, ad tuos jam expositos syllogismos, quo tu contendis, comparuisse in aliquibus Scripturis, prorsus Filium dici majorem Spiritu, si et ex Filio Spiritus procedere dicatur? Ut enim videtur, te sapientissimum latuit magnus Athanasius oratione prima contra Arianos, majorem Spiritu apertissime Filium decernens. Qui postmodum a te syllogismus connectitur, et Italum graviter impetit, eo quod affirmat, « Omne quod in supersubstantiali Triade intelligitur et dicitur, aut commune est trium, aut unius proprium. » Hic Dei gratia refutatus est a nobis, dum ostendimus, esse quid duorum commune, quod non communicatur et tertio : et esse proprium duorum, cujus tertius particeps non est. Similiter et alius syllogismus subsequens, asserens, duas comparere Spiritus causas Patrem et Filium, si quis ex Patre et Filio Spiritum decernit, illis verbis a nobis rejectus est, quibus ostendimus, eum qui ex Patre et Filio Spiritum dicit, unam causam inferre, quod ex Patre per Filium ille sit : vox namque illa *per Filium* primigeniam causam indicat, ut iterum cum magno Basilio affirmemus. Sed neque qui deinceps locum occupat syllogismus, qui « imperfectum ex Patre processionem inculcat, si et ex Filio Spiritus esse astruatur, » nova aliqua excogitata sententia refutationem merebitur : namque ad eum convellendum satis erit, quæ ad consimilem Photii syllogismum adduximus. Pari ratione pro refutatione, qui post hunc legitur, syllogismi, et duo principia Spiritus Patrem et Filium constituentis, assumentur, quæ in æque se habentem ejusdem Photii syllogismum a nobis allata sunt.

Digitized by Google Распознавание текста АВК/FR

65. Quemadmodum et qui post hos sequitur, huicque proximus alius syllogismus, ambo simul eamdem habebunt responsionem. Unam siquidem propositionum vim uterque possidentes, cum vocant « Patrem causam eorum, quæ ex ipso sunt, ratione hypostasis et non ratione naturæ, » hic quidem aliud, ille aliud absurdum comprobant; dum ipse ignoras, qui eos concinnasti, nullum unquam ex sanctis dixisse, Patrem causam esse eorum, quæ ex ipso sunt, ratione hypostasis, et non ratione naturæ. Mihi plane, qui fere omnes theologicas scriptiones sedulo indagavi examinavique, similes distinctiones reperire nusquam contigit : namque si similis distinctio apud nostros Patres theologos reperiretur essentiæ et hypostasis in causa earum personarum, quæ ex Patre sunt, nunquam secundum te, qui vocas causam Patrem eorum, quæ ex eo sunt, ratione hypostasis, et non ratione naturæ, dictus fuisset Pater generans naturaliter. Verum nunc aliquando ex Patre, quod ejusdem hypostasim denotat, aliquando ex essentia Patris generari Filium scripturæ statuunt. Quibus manifesto apparet temere has dictinctiones ab earum auctoribus conflictas fuisse. Nec erit præter rem scripto tradita testimonia hic recensere, Deum naturaliter generare, et fetum vel prolem essentiæ et naturæ Dei Filium dici, ut modis omnibus vesania redarguatur illius, qui asserere audet, Patrem causam esse eorum, quæ ex eo sunt, ratione hypostasis, et non ratione naturæ. Et ante alios magnus Athanasius in colloquio cum Ario in synodo Nicæna habito, cujus principium, « Divina providentia cum amicissimis meis fratribus, accessi ad desideratos a me Christi servos, » tradit : « Itaque Deus dicens ad proprium Filium per prophetam, « Ex utero ante Luciferum genui te[18], » ex paterna essentia generationem Filii notat : » et paucis interjectis : « Nulla alia de causa uterum nominat, nisi ut ostendat, ipsum Filium ex Patris essentia genitum fuisse. » Et iterum : « Filium ex essentia Dei et Patris generatum accepimus. » Idem oratione, cujus principium, « Recte fecisti mihi significans factum a te quæsitum, » hæc habet : « Non erit idem Filius et creatum, ne ex Deo et extra Deum, essentia illius reputetur. » Et multis interjectis ibidem : « Non extranea est et adinventa Filii essentia, neque ex iis, quæ non sunt, introducta, sed ex Patris essentia orta est, quemadmodum luminis splendor, et aquæ vapor. » Et magnus Basilius epistola ad Canonicas, cujus principium : « Quantum nos tristis rumor, aures nostras circumsonans, » scribit : « Cum ex essentia Patris Filium esse docemur, ne decidamus ad corporeas passionum intelligentias : neque enim essentia divisa est a Patre in Filium, neque cum fluxisset genuit, sed modus divinæ generationis explicari minime valet. » Sed et iterum magnus

[18] Psal. cix, 3.

ξ ξδ'. Οἷα δὲ καὶ ὁ μετ' αὐτοὺς, καὶ ὁ ἐγγὺς αὐτοῦ πάλιν συλλογισμὸς, οἱ δύο ἅμα διαλαμβάνουσι. Μίαν γὰρ οὗτοι δύναμιν τῶν προτάσεων καὶ ἀμφότεροι ἔχοντες, τὸ λέγειν δηλαδὴ « τὸν Πατέρα αἴτιον τῶν ἐξ αὐτοῦ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως, » ὁ μὲν ἄλλο, ὁ δὲ ἄλλο κατασκευάζουσιν ἄτοπα, ἐν τῷ ἀγνοεῖν σε τὸν αὐτοὺς συντιθέμενον ὡς οὐδείς που εἴρηκε τῶν ἁγίων, ὅτι ὁ Πατὴρ αἴτιός ἐστι τῶν ἐξ αὐτοῦ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως. Ἔμοιγε τέως, πάσας σχεδὸν θεολογικὰς ἐξηρευνηκότι γραφὰς, διαιρέσεσι τοιαύταις ἐντυχεῖν οὐκ ἐγένετο. Εἰ γὰρ ἐλέγετό τις παρὰ τοῖς θεολόγοις Πατράσιν ἡμῶν τοιαύτη διαίρεσις οὐσίας καὶ ὑποστάσεως ἐν τῇ αἰτίᾳ τῶν ἐκ Πατρὸς αἰτιατῶν προσώπων, οὐκ ἄν ποτε κατὰ σὲ τὸν λέγοντα αἴτιον τὸν Πατέρα τῶν ἐξ αὐτοῦ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως, ἐρρέθη ὁ Πατὴρ γεννῶν φυσικῶς. Νῦν δὲ ἄλλα πῇ μὲν ἐκ τοῦ Πατρὸς, ὅπερ ἐστὶ τῆς αὐτοῦ δηλωτικὸν ὑποστάσεως, πῇ δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεννᾶσθαι τὸν Υἱὸν δογματίζουσιν αἱ γραφαί. Ὁπόθεν προδήλως καὶ ἀναφαίνεται, μάτην τὰς τοιαύτας διαιρέσεις ἀναπεπλάσθαι τοῖς αὐτὰς ἀναπλάττουσιν. Οὐκ ἀπὸ δὲ λόγου καὶ γραφικὰς ἐνταῦθα μαρτυρίας παραγαγεῖν, τοῦ γεννᾷν τὸν Θεὸν φυσικῶς, καὶ αὐτοῦ γέννημα τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Θεοῦ λέγεσθαι τὸν Υἱὸν, ὅπως ἂν τὸ ἄλογον κατὰ κράτος ἀπελεγχθείη τοῦ λέγειν ἀποτολμῶντος τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως. Αὐτίκα γὰρ ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Ἄρειον διαλέκτῳ τῇ γενομένῃ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, ἧς ἡ ἀρχή· « Τῇ τοῦ Θεοῦ προνοίᾳ ἀπείην προσεληλυθὼς σὺν τοῖς φιλτάτοις μου ἀδελφοῖς πρὸ τοὺς ἐμοὶ ποθουμένους τοῦ Χριστοῦ δούλους, » φησίν· « Οὐκοῦν ὁ Θεὸς λέγων πρὸς τὸν ἴδιον Υἱὸν διὰ τοῦ προφήτου, « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, » σημαίνει τὴν ἐκ τῆς Πατρικῆς οὐσίας γέννησιν τοῦ Υἱοῦ. » Καὶ μετ' ὀλίγα· « Δι' οὐδὲν ἕτερον γαστέρα ὀνομάζει, ἢ ἵνα παραστήσῃ αὐτὸν τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεγεννῆσθαι. » Καὶ μετ' ὀλίγα· « Τὸν Υἱὸν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθέντα μανθάνομεν. » Ὁ αὐτὸς ἐν τῷ λόγῳ οὗ ἡ ἀρχή· « Καλῶς ἐποίησας δηλώσας μοι τὴν γενομένην παρὰ σοῦ ζήτησιν, » οὕτω φησίν· « Οὐκ ἂν εἴη ὁ αὐτὸς Υἱὸς καὶ κτίσμα, ἵνα μὴ καὶ ἐκ τοῦ Θεοῦ, καὶ ἔξωθεν τοῦ Θεοῦ ἡ οὐσία αὐτοῦ νομίζηται. » Καὶ μετὰ πολλὰ ἐν τῷ αὐτῷ· « Οὐκ ἔξωθέν τίς ἐστιν ἐφευρεθεῖσα ἡ τοῦ Υἱοῦ οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἦφυ, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα, καὶ ὡς ὕδατος ἀτμίς. Καὶ ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ, ἧς ἡ ἀρχή· « Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ τὰς ἀκοὰς ἡμῶν περιηχήσασα, » φησίν· « Ὅταν δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι διδασκόμεθα, μὴ καταπίπτωμεν ἐπὶ τὰς σωματικὰς τῶν παθῶν ἐννοίας. Οὐ γὰρ ἡ οὐσία ἐμερίσθη ἀπὸ τοῦ

Πατρὸς εἰς Υἱὸν, οὐδὲ ῥυεῖσα ἐγέννησεν, ἀλλ' ἄῤῥητος τῆς θείας γεννήσεως ὁ τρόπος. » Ἀλλὰ καὶ πάλιν ὁ μέγας Ἀθανάσιος ἐν τῇ ἐπιστολῇ τῇ ἀπὸ τῆς συνόδου τοῖς ἐν Ἱεροσολύμοις, πρὸς τὴν ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίαν, ἧς ἡ ἀρχή· « Πᾶσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων, » φησίν· « Οἱ γὰρ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες, γινώσκοντές εἰσι μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν Λόγον, καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ. » Ἆρά γε ἀρκούντως ἔχειν σοι δόξουσιν τῷ τοῖς παροῦσιν ἡμῶν λόγοις ἐντευξομένῳ αἱ τοσαῦται γραφικαὶ μαρτυρίαι εἰς ἔλεγχον τοῦ μὴ καλῶς τὸν Μεθώνης εἰπεῖν, « τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως; » Εἰ γὰρ ἡ οὐσία τοῦ Θεοῦ λέγεται, καὶ ὁ Υἱὸς τῆς οὐσίας τοῦ Πατρὸς ὀνομάζεται γέννημα, ὡς αἱ παροῦσαι μαρτυρίαι γραφικαὶ παριστῶσι, τίς ὁ λόγος διαιρεῖν τὸν Μεθώνης τὴν οὐσίαν τοῦ Πατρὸς καὶ τὴν ὑπόστασιν τοῦ Πατρὸς; ἐν τῇ αἰτίᾳ τῶν ἐξ αὐτοῦ; Ὁ γὰρ εἰπὼν ἐκ Πατρὸς εἶναι τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα, οὐσίαν ἐδήλωσε τοῦ Πατρὸς ἐνυπόστατον· καὶ ὁ εἰπὼν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα, ὅλον τὸν Πατέρα δηλοῖ. Καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα εἰπὼν, ὅλον τὸν Υἱὸν λέγει ἐνούσιον καὶ ἐνυπόστατον. Εἴ δέ τις τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως λέγειν ἐθέλει τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ, καὶ τῇ περιττῇ καὶ ἀκαίρῳ ταύτῃ λεπτολογίᾳ εἰς ἄλλην μὲν ἔννοιαν ἐκλαμβάνειν βούλεται, ὅταν ἀκούσῃ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, τὸ μὲν ἐκ τοῦ Πατρὸς εἰς τὴν τῆς ὑποστάσεως δήλωσιν ἐκλαμβάνων, τὸ δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἰς δήλωσιν διοριζόμενος ἰδικῆς ἐννοίας, ἵν' ἐντεῦθεν ὡς ἀναγκαῖόν τι ἀκολουθήσῃ τὸ μὴ νοεῖσθαι ὑπάρχειν τὸ Πνεῦμα ἐξ Υἱοῦ, ὅταν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγωσιν αἱ γραφαὶ, ἀλλ' οὗτος σκοπείτω, ὅποι ἀτοπίας ἡ ἀκαιρος αὕτη λεπτολογία συνωθήσῃ αὐτόν. Ὅστις γὰρ ἂν καὶ εἴη ὁ ταῦτα λέγων, λέγει ἕτερον μέν τι νοεῖσθαι, ὅταν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγωσιν αἱ Γραφαὶ, ἕτερον δὲ ὅταν ἐκ τοῦ Υἱοῦ ὑπάρχειν θεολογῶσιν αὐτό. Ἐγὼ δὲ οὔτε τὴν ὑπόστασιν τοῦ Υἱοῦ ἐν ἰδικῇ διαιρίσει νοεῖσθαί φημι, ὅταν τὸ Πνεῦμα ἐκ τῆς οὐσίας αὐτοῦ λέγηται, οὔτε τὴν οὐσίαν αὐτοῦ ἀποδιαιρεῖσθαι τῆς ὑποστάσεως, ὅταν ἐκ τοῦ Υἱοῦ τὸ αὐτὸ λέγηται Πνεῦμα, ἀλλ' ὅλον φημὶ παραλαμβάνεσθαι τὸν Υἱὸν, ὅταν καὶ ἐκ τοῦ Υἱοῦ καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγοιτο ὑπάρχειν τὸ Πνεῦμα. Μᾶλλον μὲν οὖν καὶ ἐπιπλέον σημαίνεσθαι διαγινώσκω τὸ οὐσιωδῶς ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν, ὁπηνίκα ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγηται, διὰ τὸ καὶ τὰ λειτουργικὰ πνεύματα ἐκ τοῦ Υἱοῦ μὲν εἶναι, ἀλλ' ὡς αὐτοῦ ποιήματα καὶ δημιουργήματα, τὸ δὲ ἅγιον Πνεῦμα ἐξ αὐτοῦ μὲν εἶναι, ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ, ὡς οὐσιωδῶς ὑπόστατον ἐξ αὐτοῦ, ἀλλ' οὐχ ὡς ἓν τῶν ἐξ αὐτοῦ λειτουργικῶν πνευμάτων τῶν ποιητῶν καὶ κτιστῶν. Ἐγὼ μὲν οὖν, καθὼς ἔφην, ὅταν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὑπάρχειν ἀκούω τὸ Πνεῦμα, καὶ ὅταν ἐκ τοῦ

A Athanasius epistola ex synodo Hierosolymitana ad Alexandrinam Ecclesiam, cujus principium, « Omnibus quidem nobis, qui in unum convenimus ex diversis diœcesibus, » ait : « Qui enim Arianam hæresim anathematizarunt, agnoscunt non creaturam, sed ex essentia fetum esse Verbum, et essentiam Patris principium et radicem et fontem esse Filii. » An satis esse videbuntur hæc nostra scripta legenti tot scripto tradita testimonia, ad redarguendum Methonensem, non probe dixisse, « Patrem causam esse eorum quæ ex eo sunt, ratione hypostasis, et non ratione naturæ? » Namque si essentia Dei dicitur, et Filius essentiæ Patris fetus nominatur, quemadmodum adducta testimonia scripto dedita comprobant, quid cogit Methonensem, dividere essentiam Patris et hypostasim Patris in causa eorum, quæ ex eo sunt? Qui enim dicit, ex Patre esse Filium aut Spiritum, essentiam Patris in hypostasi palam protulit; et qui dicit ex essentia Patris esse Filium, aut Spiritum, totum Patrem evulgat : et qui ex essentia Filii Spiritum dicit, totum Filium profert, in sua essentia et hypostasi. Quod si quis ratione hypostasis, et non ratione naturæ contendet, Patrem causam esse eorum, quæ ex ipso sunt, et supervacanea hac et intempestiva de rebus minimis disceptatione in aliam sententiam trahere conatur, cum audit ex essentia Patris, illud, ex Patre, ad manifestandam hypostasim arripiens, illud vero ex essentia Patris ad manifestandam specialem intelligentiam determinans, ut inde tanquam necessarium aliquod consequatur, non intelligi Spiritum ex Filio, cum ex essentia Filii Spiritum dicunt scripturæ, is enimvero perpendat, ad quæ absurda intempestiva isthæc de frivolis disputatio ipsum compellet, quicunque fuerit, qui similia evulgat, aliud intelligi cum ex essentia Filii Spiritum scripturæ tradunt, et aliud cum e Filio eum esse decernunt. Ego vero neque hypostasim Filii in speciali divisione intelligi assero, cum Spiritus ex essentia illius dicitur, neque essentiam illius ab hypostasi separari, cum ex Filio idem dicitur Spiritus : sed totum affirmo comprehendi Filium, cum et ex Filio, et ex essentia Filii dicetur Spiritus esse. Quinimo illud etiam addi statuo, essentialiter ex Filio Spiritum esse, cum ex essentia Filii dicitur, quod et ministratorii Spiritus ex Filio quidem sunt, sed ut illius creaturæ et opificia : Spiritus vero sanctus ex ipso plane est, sed ex essentia ipsius, tanquam qui essentialiter ex ipso subsistit, sed non tanquam unus ex illius administratoriis spiritibus creatis et factis. Ego itaque, ut jam dixi, cum ex essentia Filii audio Spiritum esse, et cum eumdem ex Filio concipio, ex Filio nempe essentialiter Spiritum esse conjicio. Quod si quis inopinabiles atque inopportunas divisiones confingit, et dum ex essentia Filii Spiritus dicitur, non illum ex Filio essentialiter esse intelligit, sed exposcit, Quare

Digitized by Google Распознавание текста АВК/FR

non ex hypostasi ait, qui ex essentia dixit? illud animo volvat, in nonnullis divinis Scripturis reperiri ex Patre Spiritum procedere, in aliis Spiritum ex essentia Patris procedere. Si itaque cum ex Patre procedere reperitur, ex hypostasi illum procedere hic contendet, planum est, cum ex essentia Patris procedere legitur, aliam quamdam ex essentia Patris processionem concipere, et erit secundum ipsum unus Spiritus ex uno Patre duas habens processiones, unam ex hypostasi, et aliam ex essentia : quo quid dici potest absurdius, aut monstruosius? Sed et Filii ex Patre generationem duplicem hic concedet. Namque si aliquando Filium gigni ex Patre Scripturæ tradunt, aliquando eum gigni ex essentia Patris affirmant, quanam ratione non erit alia ex hypostasi Patris generatio Filii, et alia ex essentia Patris, secundum eos qui determinant, ratione hypostasis, et non ratione naturæ Patrem causam esse eorum, quæ ex ipso sunt? Cum enim causam Filii Patrem constituit, qui ex hypostasi Patris eum generari asseruit, aliam quamdam prorsus causam commonstrat, qui ex essentia Patris eum generari dicit: indeque duæ unius Filii causæ ex uno Patre comparent. Si itaque propter quod inde sequitur absurdum et fallax, qui tantumdem similibus sententiis tuleris, ut vel nolens fatearis, nullum esse discrimen, sive ex Patre dicatur Spiritus procedere, sive ex essentia Patris, scito nullam differentiam esse, dum ais, aliquando ex essentia Filii Spiritum, aliquando vero ex Filio. Quod ubi indifferens esse demonstratum sit, quare non concipietur a te, qui ex essentia Patris procedit, et ex essentia Filii exsistit Spiritus sanctus, ex essentia quidem Patris procedens tanquam ex fonte absque principio Deitatis, ex essentia vero Filii exsistens, tanquam per Filium naturaliter et essentialiter ex Patre emanans? Id si ita a te intelligetur, Methonensis condemnabitur, tanquam qui temere supra digestum syllogismum connectit, in quo intempestiva, et de futilibus disceptatione commentæ ab ipso distinctionis contendebat, « ratione hypostasis, et non ratione naturæ Patrem esse causam eorum, quæ ex ipso sunt. » Etenim si, ut alias etiam a me dictum est, aliud essentia est, aliud hypostasis in Deitate, sed non propterea cum dicit quis, ex Patre et ex essentia Patris, absque essentia hypostasim Patris intelligit, aut essentiam absque hypostasi. Quando vero post recensitos syllogismos, alii quoque ab ipso exaggerati sunt, sed nullus inter eos sit, qui nova ad sui eversionem sententia indigeat præ his, quæ ad refellendos alios ejusdem syllogismos adducta sunt, et præsens nostra hæc oratio examinavit, propterea hic adversus eosdem refutationum finem facere decrevimus, illud solummodo observare monentes eum, qui supervacanea loquacitate atque intempestiva concinnatos a Methonensi syllogismos percurrerit, aperte, et sine ulla hæsitatione in uno ex iisdem syllogismis Me-

A Υἱοῦ, τὰ αὐτὸ νοεῖν βούλομαι, τὸ ἐκ τοῦ Υἱοῦ δηλαδὴ οὐσιωδῶς τὸ Πνεῦμα ὑπάρχειν. Εἰ δὲ ὁ τὰς παραλόγους διαιρέσεις ἀκαίρως ἀναπλαττόμενος, ἐν τῷ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγεσθαι τὸ Πνεῦμα, οὐ τὸ ἐκ τοῦ Υἱοῦ οὐσιωδῶς ὑπάρχειν αὐτὸ ἐθέλει νοεῖν, ἀλλ' ἀπαιτεῖ, διὰ τί μὴ ἐκ τῆς ὑποστάσεως εἴρηκεν ὁ ἐκ τῆς οὐσίας εἰπών, σκεψάσθω ὡς ἔν τισι μὲν τῶν θείων Γραφῶν, ἐκ Πατρὸς τὸ Πνεῦμα ἐκπορευόμενον εὕρηται, ἔν τισι δὲ ἐκ τῆς οὐσίας ἐκπορευόμενον τοῦ Πατρός. Εἰ γοῦν, ὁπηνίκα ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον εὕρηται, ἐκ τῆς ὑποστάσεως ἐκπορευόμενον αὐτὸ ἐθέλει οὗτος νοεῖν, εὔδηλον ὡς, ὁπηνίκα ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἐκπορευόμενον εὕρηται, ἄλλην τινὰ τὴν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς νοήσει ἐκπόρευσιν, καὶ ἔσται κατ' αὐτὸν τὸ ἓν Πνεῦμα ἐκ τοῦ ἑνὸς Πατρὸς δύο ἔχον τὰς ἐκπορεύσεις, μίαν ἐκ τῆς ὑποστάσεως, καὶ ἄλλην ἐκ τῆς οὐσίας· οὗ τί ἀτοπώτερον καὶ παραλογώτερον; Ἀλλὰ καὶ τὴν ἐκ Πατρὸς τοῦ Υἱοῦ γέννησιν διπλῆν δώσει νοεῖσθαι ὁ τοιοῦτος. Εἰ γὰρ ἔστι μὲν οὗ γεννᾶσθαι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς λέγουσιν αἱ Γραφαὶ, ἔστι δὲ οὗ γεννᾶσθαι αὐτὸν ἐκ τῆς τοῦ Πατρὸς θελογοῦσιν οὐσίας, πῶς οὐκ ἄλλη μὲν ἔσται ἡ ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς γέννησις τοῦ Υἱοῦ, ἄλλη δὲ ἡ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, κατὰ τοὺς λέγοντας τῷ λόγῳ τῆς ὑποστάσεως καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ; Ἐπεὶ γὰρ αἴτιον Υἱοῦ τὸν Πατέρα παρέστησεν ὁ ἐκ τῆς ὑποστάσεως εἰπὼν τοῦ Πατρὸς γεννᾶσθαι αὐτὸν, ἄλλην τινὰ πάντως B αἰτίαν ἀνέφηνεν, ὁ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἰπὼν γεννᾶσθαι αὐτὸν, κἀντεῦθεν δύο τὰ τοῦ ἑνὸς Υἱοῦ αἴτια ἐκ τοῦ ἑνὸς ἀνεφάνη Πατρός. Εἰ γοῦν διὰ τὸ ἐντεῦθεν ἄτοπον καὶ παράλογον ὁ ταῖς παραλόγοις σὺ χαριζόμενος ταύταις ἐννοίαις συνελαύνῃ καὶ ἄκων ὁμολογεῖν, μηδὲν διαφέρειν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγειν τὸ Πνεῦμα, καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρός· γνῶθι μηδὲ διαφοράν τινα ἀναφαίνεσθαι καὶ ἐν τῷ λέγειν ὅτε μὲν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὅτε δὲ ἐκ τοῦ Υἱοῦ. Τούτου δὲ ἀδιαφόρου δειχθέντος, πῶς οὐ νοηθήσεταί σοι τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τῆς C οὐσίας τοῦ Υἱοῦ ὑπάρχον ἅγιον Πνεῦμα, ἐκ μὲν τῆς οὐσίας τοῦ Πατρὸς ἐκπορευόμενον, ὡς ἐκ πηγαίας ἀνάρχου Θεότητος, ἐκ δὲ τῆς οὐσίας τοῦ Υἱοῦ ὑπάρχον, ὡς διὰ τοῦ Υἱοῦ φυσικῶς καὶ οὐσιωδῶς ἐκ Πατρὸς ἀναβλύζον; Εἰ δὲ τοῦτο οὕτω σοι νοηθήσεται, ὁ Μεθώνης διαγνωσθήσεταί σοι μάτην τὸν προανατεταγμένον πλέκων συλλογισμὸν, ἐν ᾧ κατὰ τὰς ἀκαίρους λεπτολογίας τῆς ἐφευρημένης αὐτῷ διαιρέσεως ἔλεγε « τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ D τῷ λόγῳ τῆς φύσεως τὸν Πανέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ. » Εἰ γὰρ, ὡς καὶ ἀλλοτέ μοι εἴρηται, ἄλλο μέν ἐστιν οὐσία, ἄλλο δὲ ὑπόστασις ἐπὶ τῆς Θεότητος, ἀλλ' οὐκ ἐπὰν λέγῃ τις ἐκ τοῦ Πατρὸς, καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἀνούσιον ὑπόστασιν νοεῖ τοῦ Πατρὸς, ἢ οὐσίαν ἀνυπόστατον. Ἐπεὶ δὲ καὶ ἕτεροι μετὰ τοὺς ἀπηριθμημένους συλλογισμοὺς αὐτῷ ἐπλέκησαν, καὶ οὐδείς ἐστιν ἐξ αὐτῶν, ὃς καινοτέρου τινὸς εἰς ἀνατροπὴν νοήματος χρῄζει παρὰ ταῦτα,

Digitized by Google Распознавание текста ABK/FR

οἱσπερεὶς ἀνατροπὴν τῶν παρ' ἡμῶν προειλεγμένων συλλογισμῶν ὁ παρὼν οὗτος ἡμέτερος λόγος ἐχρήσατο· διὰ τοῦτο ἐνταῦθα λῆξαι καὶ τῶν ἐπὶ τούτοις ἀντιῤῥήσεων διαγινώσκομεν, τοῦτο μόνον σημειοῦσθαι ὑποτιθέμενοι τῷ ἐντυγχάνοντι τοῖς διὰ περιττολογίαν ἄκαιρον ἐκθεῖσι τοῦ Μεθώνης συλλογισμοῖς, ὅτι καθαρῶς καὶ ἀνυποστόλως ἔν τινι τῶν τοιούτων συλλογισμῶν « ἀμέσως τὸ Πνεῦμα εἰρηκεν ἐκ Πατρός, » ὅπερ οὐδεὶς τῶν ἁγίων οὐδέποτε εἰρηκε. Λῆξαι οὖν ἐνταῦθα τῶν ἐπὶ τοῖς τοῦ Μεθώνης ἀντιῤῥήσεων διεγνωκότες, ἐπιβαλοῦμεν ἀπάρτι καὶ οἷς ὁ Βουλγαρίας Θεοφύλακτος ἐπὶ συγκροτήσει τοῦ ἐκκλησιαστικοῦ συνεγράψατο σχίσματος. Αὐτίκα γὰρ οὗτος ἐν αὐτῇ τῶν οἰκείων λόγων τῇ εἰσβολῇ, οὓς ποιεῖται σπουδάζων ἀποδεῖξαι μὴ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, ὡς πρὸς τὸν Ἰταλὸν σχηματίζων τὸν λόγον οὕτω φησίν·

thonensem asseruisse, « immediate Spiritum ex Patre, » quod nullus sanctorum Patrum unquam asseruit. Cum itaque hic contradictionibus adversus Methonensem finem ponere statuerimus, actutum aggrediemur, quæ et Bulgariæ Theophylactus ad promovendum ecclesiasticum schisma concinnavit. Statim enim ille, et in ipso suorum sermonum ingressu ostendere contendens, Spiritum non esse ex Filio, veluti ad Italum convertens orationem, hæc infit:

Θεοφύλακτος ὁ Βουλγαρίας.

ξε'. « Γέγραπται, ἔφης, Πνεῦμα Υἱοῦ, καὶ Πνεῦμα Χριστοῦ, κἀγὼ τίθεμαι, ἀλλ' οὐχ ὡς ἐξ ἐκείνου προῖόν, ἀλλ' ὡς οἰκεῖον αὐτοῦ. Συγγενὲς γὰρ καὶ οὐκ ἀλλότριον, καὶ ὡς παρ' αὐτοῦ τοῖς ἀξίοις πεμπόμενον, καὶ χορηγούμενον, καὶ μεταδιδόμενον. »

Καὶ ὁ μὲν ταῦτα. Ἡμεῖς δὲ τοὺς τῶν ἡμετέρων λόγων διαγνώμονας ἀξιοῦμεν σκοπῆσαι ὅπως ὁ σοφὸς οὗτος ἀνὴρ τὸ, « οὐχ ὡς ἐξ ἐκείνου προῖόν, » ἐξελάβετο. Ἐμοὶ γὰρ δοκεῖ ὅτι οὕτως εἶπε τὸ, « οὐχ ὡς ἐξ ἐκείνου προῖόν, » ὡς ἐὰν εἰπεῖν ἔμελλεν, « οὐχ ὡς ἐξ ἐκείνου ἐκπορευόμενον. » Δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγὴ, ἐν ᾗ φησιν, « ἀλλ' ὡς παρ' αὐτοῦ τοῖς ἀξίοις πεμπόμενον, καὶ χορηγούμενον, καὶ μεταδιδόμενον. » Ταῦτα γὰρ πάντα πρὸς τὸ ἐκπορευόμενον ἀντιδιαστέλλονται. Μετὰ δὲ τὸ σαφῶς διαγνωσθῆναι ἡμῖν τοῖς τῶν ἐμῶν διαγνώμοσι λόγων, ὡς τὸ *προϊέναι* ἐνταῦθα ἀντὶ τοῦ *ἐκπορεύεσθαι* ἐξειλῆφθαι τῷ Βουλγαρίας, ἐρωτῶ ὑμᾶς, πῶς δύναται ὁ Βουλγαρίας τοῖς Ἰταλοῖς ἀντειπεῖν λέγουσι τὸ Πνεῦμα ἐκπορευόμενον ἐξ Υἱοῦ, ἐὰν ἡμεῖς δείξωμεν τοὺς τῶν θεολόγων ἐκκρίτους ἀριδήλως διατρανοῦντας τὸ Πνεῦμα πρῶτον ἐξ Υἱοῦ; Ἀλλ' ὅτι μὲν πρόεισι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, ἱκανῶς μοι προαποδέδεικται, καὶ περιττολογία δοκεῖ μοι λοιπὸν παλιλλογεῖν περὶ τῶν αὐτῶν, τὴν δὲ τῆς ὑμῶν διαγνώσεως εὐθύτητα ἀπαιτῶ, εἰς τὸ διακρίναι πῶς εὐλόγως ἔλεγε τὰ τ ταῦτα, συγκαλύπτων τὸ ἀληθὲς, ὃ καὶ πολλοὶ τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν πεπόνθασιν ἄλλοι, εὑρίσκοντες μὲν τὸ Πνεῦμα προῖὸν ἐξ Υἱοῦ, καὶ οὐχ ἁπλῶς προῖόν, ἀλλ' οὐσιωδῶς, καὶ προερχόμενον ἐξ Υἱοῦ, καὶ οὐχ ἁπλῶς, ἀλλ' οὐσιωδῶς, καὶ προερχόμενον καὶ αὐτὸ οὐσιωδῶς, ἃ πάντα τὸ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν οὐσιωδῶς τὸ Πνεῦμα δηλοῦσιν, ἀντιλέγοντες δὲ ὅμως τοῖς Ἰταλοῖς ἅτε γυμνὴν αὐτὴν τὴν λέξιν τῆς ἐκπορεύσεως ἀπαιτοῦντες, καὶ μὴ τὸ δηλούμενον ἐντεῦθεν δεχόμενοι, ὅπερ ἐστὶ τὸ οὐσιωδῶς ἐξ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν. Τῷ γὰρ ἐν συλλαβαῖς ἐκφωνουμένῳ προσέχοντες οὗτοι, ὥσπερ ἐν λέξεσι καὶ οὐκ ἐννοίαις ἀναφαινομένης τῆς εὐσεβείας ἡμῖν, παρέτρεχον τὸ ἐκ τῆς ἐννοίας δηλούμενον. Τὸ μὲν οὖν ῥηθὲν τοῦτο ἱκανὸν εἰς ἔλεγχον τοῦ ἀνδρὸς, ἐπὶ τῷ κατὰ διορθώσεως γνώμης τὴν τῶν Ἐκκλησιῶν ἀποθεῖσθαι καταλλαγήν.

Theophylactus Bulgariæ.

65. « Scriptum est, ais, Spiritus Filii, et Spiritus Christi, et ipse subjicio, non veluti ex eo proveniens, sed ut proprius illius; consimilis enim illi est, et non alienus, tanquam qui ab eo dignis mittatur et suppeditetur.

Hæc ille. Nos vero nostrorum sermonum cognitores exposcimus, ut considerent, quomodo sapiens hic vir illud, « non veluti ex eo proveniens, » accepit. Namque mihi videtur in eam sententiam illud accepisse, ac si dixisset, « non veluti ex eo procedens. » Hocque satis indicat inductio in qua ait: « Sed tanquam qui ab ipso dignis mittatur, suppeditetur, et communicetur. » Hæc enim omnia a procedente distinguuntur. Postquam vero exacte palamque cognitum fuerit a vobis meorum sermonum examinatoribus, *provenire* hoc in loco pro eo, quod est *procedere* a Bulgariæ episcopo assumptum esse, interrogo vos, Quomodo poterit Bulgarus Italis contradicere asserentibus Spiritum procedere ex Filio, si nos ostenderimus inter theologos præcipuos et celeberrimos aperte et palam asseverari Spiritum provenire ex Filio? Verumtamen Spiritum provenire a Filio, satis a me antea demonstratum est, adeo ut inanis loquacitas a me judicetur, si iterum eadem inculcem: et vestræ cognitionis rectum judicium reposco ad discernendum, eum sponte deteriora consectatum, similia enurtiasse ad veritatem occultandam, quod et plerique alii ante eum et post eum perpessi sunt, qui reperientes, Spiritum provenire ex Filio, neque id simpliciter solum, sed essentialiter, et progredi eumdem essentialiter, quæ omnia ex Filio esse Spiritum essentialiter innuunt, contradicunt nihilominus Italis, quasi nudam ipsam processionis dictionem poscentes, nec recipientes, quid illa significatur, quod est essentialiter ex Filio Spiritum esse. Namque quod syllabis enuntiatur attendentes, quasi vero in dictionibus et non in sententiis pietas nostra consistat, quod sententia insinuabatur, negligebant. Itaque hoc, quod diximus, ad refutandum hominem, qui propria contentiosaque opinione Ecclesiarum rejicit reconciliationem satis erit.

Digitized by Google Распознавание текста ABBYY FR

66. Ad illud vero quid ipse dicet, cum processionem Spiritus specialem habere intelligentiam dictitat, præter eam, quam inferunt, mitti, suppeditari, et dari? Nam dictiones hasce, quæ sententia manifesto distinguuntur a processione, producit, quasi illis refellendus veniat Italus: quod vero quidam ex Patribus a Filio habere esse dixit Spiritum, alius ex Filio esse Spiritum; et hic quidem ex essentia Filii illum esse, ille vero ex Filio naturaliter et essentialiter esse, et alius, suam hypostasim habere ex essentia Filii, horum inquam verborum nullam ipse mentionem facit. Ego autem ad ipsum veluti præsentem orationem convertam: Sapientissime vir, si contradicere optans, ut redargueres Italos, male asserentes, Spiritum procedere ex Patre et Filio, non admitti, et suppeditari, et dari, discrimen processionis animum advertebas, sed ad ipsum esse Spiritus ex Filio, et ad provenire, et effundi eumdem ex Filio, et ad essentialiter esse eumdem ex Filio hoc pacto specimen aliquod præberes, non a ratione prorsus esse alienam, quam appingebas Italis dissidii causam per differentiam, quæ est inter procedere, et mitti, et suppeditari, et dari. At nunc cum suppeditari et mitti differant a voce procedere; provenire vero, progredi, et profundi nihil differant ab eo, quod infert, essentialiter esse, temere videris ecclesiasticum schisma constabilire, dicens, specialem habere intelligentiam procedere, ac diversam ab ea, quam habent, mitti, suppeditari, et dari. Simile quidpiam tinnit quoque expositio factæ a Servatore discipulis Spiritus insufflationis, cui abunde nostra oratio occurrit, quibus ad eam refellendam adversus alios decertantes rationibus usi sumus, qui et ante te eamdem insufflationis interpretationem tradiderunt. Ego interim gratias tibi ago bonæ mentis, quando te reperio unionem Ecclesiæ veluti a subtili, quod aiunt, filo appendisse, in illis, quæ Italo insinuas: « In aliis quidem concedo tibi vocem usurpandam Spiritus ex Patre et Filio processionis, ut tibi lingua permitit, in communibus nempe sermonibus et colloquiis, si allubescit, in Symbolo vero solo non concedam. » Exosculor animi tui candorem, et agnosco unioni te magnum pondus addidisse, si paucos quosdam tuo ævo inter præsules eximios et conspicuos tibi contigisset proprii propositi deprecatores habere. Quibus vero ratiocinans, iterum argumentaris:

11. Illud item perpende, quod in uno ex Antirrheticis adversus Eunomium capitibus magni Basilii reperitur, in quo cum sanctus objectum sibi ab adversariis diluens, « Quare non dicitur et Spiritus Filius Filii? » respondit: « Non quod non sit ex Deo per Filium, sed ne Trinitas multitudo innumera reputaretur, Filiis ex Filiis, quemadmodum et in hominibus usu venit, cogitatione comprehensis. » Verum pars illis adversa, qui per Filium asserunt esse Spiritum, in nonnullis codicibus, « Non quod non sit ex Deo per Filium, » omittentes, reliqua descripserunt. Sed quid tandem ipsis conducere posset ad demonstrandum, Spiritum non esse per Filium, si sanctus dubium solvens, «quare non et Spiritus Filius Filii dicitur? » dixit, « Non quod non sit ex Deo per Filium, sed ne Trinitas multitudo innumera reputaretur. » Suspendito, precor, quicunque es, qui ad rerum harum cognitionem animum advertis, justas cognitionis lances, discernitoque quomodo adæquatur interrogationi responsio. Nisi decretum esset, et plane in confessis, per Filium et ex Filio esse Spiritum, qua ratione dubitasset, qui dubium movit, « Quare non et Spiritus Filii Filius? » Dubitationem hujusce causæ undenam alio exortæ sunt, quam ex eo quod indubitatum erat, per Filium esse Spiritum sanctum? Namque si ex Filio non esset, interrogatus sanctus, « Quare non et Spiritus Filii Filius? » prompte quidem, et admodum scriter dubium rejecisset, respondendo, quod non esset per Filium, aut ex Filio. Sed ille Spiritum quidem esse per Filium, affirmante illum Spiritum Filii apostolico

Digitized by Google Распознавание текста ABBYY FR

voce, apertissime comprobat, sed de voce *Filius* decertans, et rationem reddens, quare non Filius Filii, qui per Filium est, Spiritus non dicitur? sic respondit : Dicimus itaque, asserere Filium ex Filio, Trinitatem deitatis multitudinis suspicionem ingerere hominibus, qui hæc audiunt. In promptu enim erat concipere, si Filius ex Filio nascitur, et ex hoc rursus alius generatur, itemque alius, et sic deinceps, filiorum numerus adaugeretur. Sed unumquodque in Triade unum tantum agnoscendum est : namque unus Pater, unus Filius, unus Spiritus sanctus. Et hæc quidem in rebus divinis eximius Basilius, quæ satis superque, ut opinor, jam dictæ sententiæ corruptionem redarguunt.

12. Nobis porro et alterius quoque dicti scripti corruptio consideranda est, corruptionisque refutatio apponenda. In libro *Dei-cognitio* inscripto Gregorius Nyssaensium antistes docet, his verbis : « Spiritus ex paterna hypostasi procedens, propterea que Spiritum oris, non autem verbum oris David dixit, ut processivam proprietatem Spiritui soli inhærentem confirmaret. » Qui per Filium Spiritum sanctum procedere, non acceptant, cum non possent hoc stabilire, ἐκπορεύεσθαι *procedere* formatione passiva enuntiari, sed vim activam denotare, agere enim et non pati est, τὸ πορεύεσθαι καὶ ἐκπορεύεσθαι, *incedere et procedere*, dogma vero, quod illi ex ventre eructarunt, firmare nitentes, Spiritum scilicet ex solo Patre procedere, πνεῦ *Spiritui* dictionem tribus litteris cum reperissent exarari concise, nec non et simili ratione πρὶ *Patri* dictionem, media littera immutata atque corrupta : facilis enim est αν ad ρ transitio, eos qui non considerate, sed per transversum commentaria percurrunt, fefellerunt, quod erat Spiritus proprium, Patri tribuentes. Et ut corruptionis fraus in apertum veniat, sermo ita disponatur a nobis, ut ipsi digerunt : « Hujus gratia Spiritus oris, non vero verbum oris David dixit, ut processionis proprietatem soli Patri inhærentem astrueret. » Dixisset utique David et verbum oris Verbum, quemadmodum et spiritum oris dixit Spiritum, an propterea similem processionis proprietatem et alteri cuipiam cum Patre communicaturus erat? Et quæ hæc sermonis necessitas cogit? Sed si dixisset verbum oris esse Verbum, uti et Spiritum oris dixerat Spiritum, prorsus processionis proprietatem et Verbo et Spiritui communem fecisset. Cum enim verba oris procedentia dicantur, « Quæ procedunt, inquit, de labiis meis, non irrita faciam [23], » si Spiritum oris spiritum, et Verbum oris verbum David dixisset, necessario prorsus processionis proprietas utrisque communicaretur. Hoc igitur sanctus destruens, ut demonstraret processionis proprietatem tantummodo inesse Spiritui, assumpsit, non dixisse Davidem et Verbum oris verbum.

διαγωνιζόμενος, καὶ λόγον διδοὺς, διατί μὴ Υἱὸς τοῦ Υἱοῦ τὸ διὰ τοῦ Υἱοῦ ὑπάρχον λέγεται Πνεῦμα; οὕτως ἔφη· Λέγομεν οὖν ὅτι τὸ εἰπεῖν Υἱὸν ἐξ Υἱοῦ τὴν Τριάδα τῆς θεότητος εἰς πλήθους ὑποψίαν προσῆγεν ἀνθρώποις ἀκούσασιν. Ἕτοιμον γὰρ ἦν ὑπολαβεῖν ὡς, εἴπερ Υἱὸς ἐξ Υἱοῦ γεγέννηται, καὶ ἐκ τούτου πάλιν ἕτερος ἂν εἴη γεγεννημένος, καὶ πάλιν ἄλλος, καὶ ἐπὶ πλῆθος ἑξῆς. Ἀλλ' ἕκαστον ἐπὶ τῆς Τριάδος ἓν ἐπιγινώσκεσθαι δεῖ· εἷς γὰρ Πατὴρ, εἷς Υἱὸς, ἓν Πνεῦμα ἅγιον. Καὶ ταῦτα μὲν ὁ πολὺς τὰ θεῖα Βασίλειος, ἅπερ καὶ ἀρκούντως, οἶμαι, τὴν παραφθορὰν τῆς δηλωθείσης ἀπελέγχουσι ῥήσεως.

ιβ'. Ἡμῖν δὲ διασκοπητέον ἑτέρας γραφικῆς παραφθορὰν ῥήσεως, καὶ τὸν τῆς παραφθορᾶς ἔλεγχον. Ἐν βίβλῳ τῇ *Θεογνωσίᾳ* Γρηγόριος διδάσκει τῶν Νυσσαέων ὁ πρόεδρος λέγων· « Πνεῦμα τὸ τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως· τοῦ δ' ἕνεκα γὰρ καὶ Πνεῦμα στόματος, ἀλλ' οὐχὶ καὶ λόγον στόματος εἴρηκεν ὁ Δαυΐδ; ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πνεύματι μόνῳ προσοῦσαν πιστώσηται. » Οἱ δὲ τὸ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι μὴ δεχόμενοι, τοῦτο μὲν ἐπιστῆσαι μὴ δυνηθέντες, ὡς τὸ *ἐκπορεύεσθαι* παθητικῶς μὲν ἐσχημάτισαι, φέρει δὲ δήλωσιν ἐνεργητικήν· ἐνεργεῖν γὰρ, ἀλλ' οὐχὶ πάσχειν ἐστὶ τὸ πορεύεσθαι· τοῦτο δὲ καὶ συστῆσαι βουλόμενοι, ὅπερ αὐτοὶ ἀπὸ κοιλίας ἠρύξαντο δόγμα, τὸ τὸ Πνεῦμα ἐκ μόνου δηλαδὴ τοῦ Πατρὸς ἐκπορεύεσθαι, τὴν πνι λέξιν τρισὶ στοιχείαις εὑρόντες διαχαραττομένην συγκοπτικῶς, κατὰ ταῦτα δὲ καὶ τὴν πρὶ λέξιν, τὸ μέσον στοιχεῖον μεταποιήσαντές τε, καὶ παραφθείραντες, καὶ γὰρ ἡ τοῦ ν πρὸς τὸ ρ μεταποίησις εὐχερὴς, τοὺς μὴ ἐπεσκεμμένως, ἀλλὰ παροδικῶς τὰς Γραφὰς ἐπιόντας ἠπάτησαν, τὸ τοῦ Πνεύματος ἴδιον τῷ Πατρὶ προσαρμόσαντες. Καὶ ἵνα ὁ τῆς παραφθορᾶς ἔλεγχος διασαφηθείη, ὁ λόγος οὕτω προαγέσθω ἡμῖν, ὡς οὗτοί φασιν. « Τούτου χάριν Πνεῦμα στόματος, ἀλλ' οὐχὶ καὶ λόγον στόματος εἴρηκεν ὁ Δαυΐδ, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται. » Ἔστω γοῦν εἰπεῖν τὸν Δαυΐδ καὶ τὸν Λόγον στόματος λόγον, ὥσπερ οὖν καὶ τὸ Πνεῦμα στόματος εἴρηκε πνεῦμα· ἆρ' ἔμελλε διὰ τοῦτο τὴν τοιαύτην ἐκπορευτικὴν ἰδιότητα καί τινι μετὰ τοῦ Πατρὸς ἑτέρῳ κοινώσασθαι; Καὶ ποίαν ἔχει τὴν ἀνάγκην ὁ λόγος; Ἀλλ' ἐὰν εἴπε λόγον στόματος εἶναι τὸν Λόγον, ὥσπερ οὖν καὶ πνεῦμα στόματος εἶπε τὸ Πνεῦμα, πάντως τὴν ἐκπορευτικὴν ἰδιότητα, καὶ τῷ λόγῳ καὶ τῷ Πνεύματι κοινώσασθαι ἔμελλε. Καὶ γὰρ ἐπεὶ τὰ τοῦ στόματος ῥήματα ἐκπορευόμενα λέγεται· « Τὰ γὰρ ἐκπορευόμενα, » φησὶ, « διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω, » ἐὰν τὸ Πνεῦμα στόματος πνεῦμα, καὶ τὸν Λόγον στόματος λόγον εἴρηκεν ὁ Δαυΐδ, κατὰ πᾶσαν ἂν τὴν ἀνάγκην ἡ ἐκπορευτικὴ ἰδιότης ἔμελλεν ἀμφοτέροις κοινοῦσθαι. Τοῦτο γοῦν ὁ ἅγιος ἀναιρῶν, εἰς ἀπόδειξιν τοῦ τὴν ἐκπορευτικὴν ἰδιότητα μόνῳ προσεῖναι τῷ Πνεύματι, παρέλαβε τὸ μὴ εἰπεῖν τὸν Δαυΐδ καὶ τὸν Λόγον στόματος λόγον.

[23] Psal. LXXXVIII, 35.

Digitized by Google Распознавание текста ABK/FR

ιγ'. Ἐὰν δὲ οἱ δι' ἐναντίας, τὸ ἐκπορευτὸν καὶ ἐκπορευτικὸν διαιροῦντες, οὐδὲν ἁρμόζειν φασὶ τῷ Πνεύματι τὸ ἐκπορευτικὸν, ἀλλὰ τῷ Πατρὶ μᾶλλον διὰ τὸ τὴν προφορὰν τῆς λέξεως ἐνεργητικὴν εἶναι· ἀλλὰ καὶ ἐντεῦθεν ὁ τῆς παρ' αὐτῶν γενομένης παραφθορᾶς συγκροτηθήσεται ἔλεγχος. Εἰ γὰρ καθαρεύειν ἤθελον τὴν συνείδησιν, οὐκ ἂν ἐκείνους διέλαθεν, ὅπερ ὁ ἅγιος ἐφεξῆς τῆς ῥηθείσης ἐπάγει περικοπῆς, λέγων οὕτως· « Ἵνα διὰ μὲν τοῦ Λόγου εἰπεῖν τὴν ὡς ἐκ νοῦ, τοῦ Θεοῦ καὶ Πατρὸς, ἀπαθεστάτην καὶ ἄῤῥητον τοῦ Υἱοῦ παραδεξώμεθα γέννησιν, διὰ δὲ τοῦ εἰρηκέναι Πνεῦμα, στόματος τὴν ἁγιαστικὴν καὶ οὐσιώδη δύναμιν, καὶ ζωαρχικὴν τοῦ Πνεύματος ὑπόστασιν ὑπολάβωμεν, τῷ τῆς ἐκπορευτικῆς ἰδιότητος ὀνόματι δηλονότι χαρακτηριζομένην. » Καὶ ὁ ἐν ἁγίοις δὲ Πατὴρ Ἀναστάσιος ἰδίωμα τοῦ Πνεύματος γινώσκει τὸ ἐκπορευτικόν. Ἐν γὰρ δεκάτῳ καὶ ἕκτῳ κεφαλαίῳ τῆς αὐτοῦ βίβλου τῆς Ὁδηγοῦ κεκλημένης οὕτω φησίν· « Οὐ γὰρ τὸ ἀγέννητον τοῦ Πατρὸς πρόσωπον ἐσαρκώθη, οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου Πνεύματος ὑπόστασις. » Ἀλλὰ καὶ Κλήμης ὁ Στρωματεὺς ἐν οἷς συνέθετο διαφόροις ὅροις, ὥστε παντὸς εὐσεβοῦς δόγματος προηγεῖσθαι αὐτοὺς τῷ βουλομένῳ θεολογίαν μετιέναι, ὁριζόμενος, « Τί Πνεῦμα, καὶ κατὰ τί Πνεῦμα; καὶ ὁσαχῶς λέγεται Πνεῦμα; » φησὶ· « Πνεῦμα μέν ἐστι λεπτὴ, καὶ ἄῦλος, καὶ ἀσχημάτιστος ἐκπορευτικὴ ὕπαρξις. »

ιδ'. Οἷον δὲ κἀκεῖνο, ὅπερ οἱ τοιοῦτοι ἐσπούδασαν περὶ τὸ τέλος τοῦ πρώτου λόγου τῶν κατ' Εὐνομίου Ἀντιῤῥητικῶν τοῦ αὐτοῦ Πατρὸς ἡμῶν, τοῦ τῶν Νυσσαέων προέδρου; Ἐκεῖσε γὰρ ὁ ἅγιος ἐν τῷ κατ' Εὐνομίου περὶ τῆς τοῦ Υἱοῦ καὶ Πνεύματος μάχεσθαι τὸν τῆς αἰτίας τοῦ Υἱοῦ καὶ Πνεύματος λόγον, τῇ θεολογίᾳ προσεπιπλέκει, καί φησιν οὕτω· « Εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερτίθει τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ὁ τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ Υἱοῦ λόγος ἐκινδυνεύετο· νυνὶ δὲ ποτὲ μὴ ἔσεσθαι ἐπὶ τῆς προαιωνίου φύσεως, ἴσως καὶ ὁμοίως ἐπί τε τῆς τοῦ Πατρὸς ζωῆς, καὶ τῆς τοῦ Μονογενοῦς, ἀλλὰ καὶ τῆς τοῦ ἁγίου Πνεύματος ὁμολογίας οὐ δέχεται· ἔνθα γὰρ χρόνος οὐκ ἔστι, καὶ τὸ *ποτὲ* συνανῄρηται, » καὶ μετ' ὀλίγα· « Ὁ δὲ αὐτὸς ἡμῖν καὶ περὶ τοῦ ἁγίου Πνεύματος λόγος ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν ἔχων. Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν· οὕτω πάλιν καὶ τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως· αἱ δὲ χρονικαὶ παρατάσεις ἐπὶ τῆς προαιωνίου ζωῆς χώραν οὐκ ἔχουσιν· ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν. Καὶ ὁ μὲν ἅγιος οὕτω κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρεῖσθαι τοῦ Υἱοῦ τὸν Πατέρα θεολογεῖ, σαφῶς παριστῶν ἐκ τοῦ Πατρὸς μόνου προσεχῶς καὶ ἀμέσως αἰτιατὸν τὸν Υἱὸν εἶναι, καὶ τὸν Υἱὸν αὖθις κατὰ τὸν τῆς αἰτίας λόγον προ-

13. Quod si adversarii id ex quo proceditur, et id quod procedit distinguentes, non congruere dicant Spiritui τὸ ἐκπορευτικὸν, *id ex quo procedit*, sed Patri potius, ob enuntiationem dictionis, vim agendi possidentis, ex his quoque corruptionis per eosdem libris illatæ comprobabitur argumentum. Etenim si animi conscientia bene curati exstimularentur, non eos latuisset, quod sanctus post dictum orationis segmentum suggerit, ita scribens : « Ut cum Verbum diceret, veluti ex mente, Deo et Patre, nullis passionibus obnoxiam, et quæ verbis exprimi non potest, nativitatem intelligeremus; cum vero Spiritum, oris vim sanctificantem et essentialem, vitæque principem Spiritus hypostasim conciperemus, processivæ proprietatis nomine connotatam. » Sanctus quoque Pater Anastasius proprietatem Spiritus processivam agnoscit. Namque decimo sexto capite libri, Hodegi nuncupati, hæc habet : « Non enim ingenita Patris persona carnem assumpsit, neque processiva sancti Spiritus hypostasis? Quinimo Clemens Stromateus in Definitionibus, quas ille concinnavit, ut dogmatum piorum traditionem præcederent prærirentque, antequam rebus theologicis studium impenderetur, definiens, « Quid Spiritus? et secundum quid Spiritus? et quot modis Spiritus? » tradit : « Spiritus est subtilis, et immaterialis, et supra omnem figuram, exsistentia processiva. »

14. Quale porro est illud, quod isti in fine primi adversus Eunomium Antirrheticorum libri ejusdem Patris nostri Nyssaensium antistitis conati sunt? Ibi enim sanctus adversus Eunomium de Filii et Spiritus æternitate contendens, rationem causæ Filii et Spiritus inter alias res theologicas immiscet hisce fere verbis : « Si temporalem quamdam intercapedinem hypostasi, seu subsistentiæ Filii anteponeret, qui Patrem sola principii ratione prius Filio concipit, jure censeri posset doctrina de Filii æternitate in periculum vocata. Nunc pari prorsus modo, aliquando non futurum esse, a Patre et Filio, quin et a Spiritu exulat : nam ubi nullum tempus, ibi etiam *aliquando* sublatum est. » Et paucis interjectis : « Eadem est nostra et de Spiritu sancto sententia, in solo ordine illius differentiam constitui. Quemadmodum enim Patri Filius conjungitur, et cum ex illo originem ducat, exsistentia tamen posterior non est : sic etiam Spiritus sanctus ad Filium se habet, cogitatione sola secundum causæ rationem Filius prius, quam Spiritus sancti hypostasis concipitur : temporales autem dimensiones in illa omne sæculum antegressa vita locum non habent; ita ut excepta causæ ratione sanctissima Trinitas in nullo discordet, probe sibi consonans. » Et sanctus hoc pacto secundum rationem causæ præintelligi Filium Patre decernit, palam edicens, ex solo Patre contigue et immediate produci Filium : et Filium rursus secundum causæ rationem præintelligi hypostasi Spiritus, aperte statuens, per Filium ex Patre produci Spiritum. Qui vero

Digitized by Google Распознавание текста ABK/FR

omnia prævertunt, existimantes forte proficuam futuram corruptionem ad stabiliendam propriam sententiam, cum sanctus scripserit, « Spiritum sanctum adhærere Filio cogitatione sola dum Spiritus hypostasi præintelligitur, » in plerisque illi codicibus exararunt, « Patris hypostasi, » tantum adversus rectum nictantes, ut asseruerint Patre Filium secundum causæ rationem præintelligi, dummodo e mentibus hominum evellant, Spiritum esse per Filium, et consequenter ex Filio.

A θεωρεῖσθαι, φησὶ, τῆς τοῦ Πνεύματος ὑποστάσεως, σαφῶς παριστῶν διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς αἰτιατὸν εἶναι τὸ Πνεῦμα. Οἱ δὲ πάντα διαστρεβλοῦντες τάχα τι κέρδος πρὸς τὸν οἰκεῖον σκοπὸν ἐκ τῆς παραφθορᾶς οἰηθέντες πορίσασθαι, λέγοντος τοῦ ἁγίου ὡς « Τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Μονογενοῦς ἕξεται: ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον, προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως, ἐν πολλαῖς ἐκεῖνοι βίβλοις τῆς τοῦ Πατρὸς ὑποστάσεως ἔγραψαν, τοσοῦτον πρὸς τὸ εὐθὲς μυωπάσαντες, ὡς τοῦ Πατρὸς εἰπεῖν τὸν Υἱὸν κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρεῖσθαι· ἵνα μόνον ἀδιανόητον ποιήσωσι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ, καὶ κατὰ τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ.

15. Quale etiam contigisse comperimus in theologicis magni Epiphanii dictis, quæ ille libro, cui nomen Ancyroto, digessit. Ibi enim sanctus hunc B in modum loquitur : « Sed, ut reor, utraque in homine justo inhabitant : Christus et Spiritus illius. Quod si Christus ex Patre creditur, Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus loquitur : Qui ex Patre procedit, et : Hic ex meo accipiet. » Qui vero in corrumpendis dictis plane insaniunt, « Si Christus ex Spiritu creditur, » descripserunt, « Deus ex Deo, et Spiritus ex Christo. » Nec intellexerunt, similem dicti corruptionem, mentis plane esse apertam corruptionem. Demus enim dictum ita dictatum fuisse : « Si Christus ex Spiritu creditur. » Nihil inde sequetur a pietate alienum, dum Christus ex Spiritu dicitur, si secundum assumptum ex Spiritu sancto, et Maria Virgine hic est, ut idemmet sanctus in progressu C orationis edisserit, cui usui fuerit dicti corruptoribus ad demonstrandum Spiritum non ex Christo? Sive enim ex Patre, sive ex Spiritu credi Christum Deum ex Deo sanctus dixisset, attamen ex Christo esse Spiritum modis omnibus declaravit, et dicti corruptio nihil illis profuit, ad corroborandum Spiritum non esse ex Christo. Imo quod postmodum adnectitur, « aut ab utrisque, ut Christus loquitur : Qui ex Patre procedit, et hic ex meo accipiet, » eorum gravem vesaniam redarguit, qui loco illius, « ex Patre credi Christum, Deum ex Deo, » intruserunt, « Si Christus ex Spiritu creditur, Deus ex Deo. »

ιε'. Ὁποῖόν τι γέγονε καὶ ἐν τοῖς θεολογικῶς παρὰ τοῦ μεγάλου Ἐπιφανίου ἐν τῷ καλουμένῳ Ἀγκυρωτῷ εἰρημένοις. Ἐκεῖσε γὰρ ὁ μὲν Ἅγιος οὕτω φησίν· « Ἀλλ', οἶμαι, ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, « Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ, Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Οἱ δὲ περὶ τὰς παραφθορὰς τῶν ῥήσεων ἐπτοημένοι, « Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πνεύματος, » πιστεύεται ἔγραψαν, « Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ. » Καὶ οὐ συνῆκαν ὡς ἡ τοιαύτη παραφθορὰ τῆς ῥήσεως παραφθορὰ λογισμῶν ἐστιν ἀντικρυς. Ἔστω γὰρ οὕτω γεγράφθαι τὴν ῥῆσιν· « Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πνεύματος πιστεύεται. » Οὐδὲν γὰρ ἀπᾴδον τῇ εὐσεβείᾳ τὸν Χριστὸν λέγειν ἐκ Πνεύματος, εἴπερ κατὰ τὸ πρόσλημμα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου οὗτός ἐστιν· ὡς καὶ αὐτὸς παρακατιὼν ὁ ἅγιος λέγει, τί συμβάλλον ἦν τοῖς τὴν ῥῆσιν διαφθείρασι πρὸς τὸ μὴ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ; Εἴτε γὰρ ἐκ τοῦ Πατρὸς, εἴτε ἐκ τοῦ Πνεύματος πιστεύεσθαι τὸν Χριστὸν, Θεὸν ἐκ Θεοῦ ὁ ἅγιος ἔφη. Τὸ γοῦν ἐκ τοῦ Χριστοῦ εἶναι τὸ Πνεῦμα πάντη σαφῶς διετράνωσε, καὶ ἔμεινεν ἡ παραφθορὰ τῆς ῥήσεως οὐδὲν αὐτοῖς συντελέσασα εἰς κατασκευὴν τοῦ μὴ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ. Ἀλλὰ καὶ τὸ ἐφεξῆς ἐπαγόμενον τὸ, « ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, « Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται, » πολλὴν τὴν ἄνοιαν κατηγορεῖ τῶν ἀντὶ τοῦ εἰπεῖν, « ἐκ τοῦ Πατρὸς πιστεύεσθαι τὸν Χριστὸν, Θεὸν ἐκ Θεοῦ, » λεγόντων, « Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πνεύματος πιστεύεται, Θεὸς ἐκ Θεοῦ. »

16. Sed sane vere cæca res est improbitas, sæpeque sæpius et ut plurimum sapientes decipit. Et qui adulterandis codicibus, eorumque scripto traditis dictis manus admoverunt, non alio, quam ut propriam contumaciam tutarentur, ad id agendum permoti sunt. Nos porro jam dictas corruptiones, et earum commenta futilia reteximus, illud ostendere conantes, non frustra nos asseruisse, tempus indicasse dissidii nonnullos in adulterandis similibus sententiis suam operam collocasse. Quod cum demonstratum sit, simul quoque demonstratum venit, exemplarium librorum magni Basilii, illa commentitia esse, in quibus dictum asserens, « Ex

D ις'. Ἀλλ' ὄντως τυφλὸν ἡ κακία, καὶ τοὺς σοφοὺς τῶν ἀνδρῶν σφάλλει ὡς τὰ πολλά. Καὶ οἱ πρὸς τὴν παραφθορὰν ἐξενεχθέντες τῶν γραφικῶν ῥήσεων οὐκ ἄλλοθεν, ἀλλ' ἐκ μόνου τοῦ βούλεσθαι οἰκείαν πεισμονὴν συστῆσαι πρὸς τοῦτό γε ἐξηνέχθησαν. Ἡμεῖς δὲ τάς τε ῥηθείσας παραφθορὰς, τόν τε ἐπὶ ταῖς τοιαύταις παραφθοραῖς διεσαφήσαμεν ἔλεγχον, ἀποδεῖξαι σπουδάζοντες ὡς οὐ μάτην ἐλέγομεν τὸν τῆς διαστάσεως χρόνον ἀναδεῖξαι τινας σπουδὴν θεμένους οἰκείαν τὴν ἔν τισι παραφθορὰν τῶν γραφικῶν χρήσεων. Οὗπερ καὶ ἀποδεδειγμένου συναποδέδεικται τὸ ἐψεῦσθαι μὲν τὰ ἀντίγραφα τῶν τοῦ μεγάλου Βασιλείου βίβλων, αἷς ἡ « παρὰ

Digitized by Google Распознавание текста ABK/FR

τοῦ Υἱοῦ τὸ Πνεῦμα » λέγουσα « ἔχον τὸ εἶναι » οὐκ ἐμφέρεται ῥῆσις· μάλα δὲ ἀληθεύειν, αἷς αὕτη ἐστὶν ἀνάγραπτος. Γνόντες γοῦν ταῦτά ποτε οἱ τὴν τοιαύτην τοῦ μεγάλου Βασιλείου διαβάλλοντες ῥῆσιν, καὶ πρὸς τὰ παράλογα τῶν διαπορημάτων παραφερόμενοι, οὐχ ὡς ἰδιῶται καὶ ἄσοφοι, ἀλλ' ὡς πρὸς τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν ἰδιοπεισμονοῦντες ἐξ ἐριθείας, παυσάσθωσαν ἐπηρεασταὶ τῆς ἀληθείας καθεστηκέναι διακενῆς. Εἰ δὲ καὶ ἄλλων ῥήσεων γραφικῶν παραφθορὰ γέγονε, καὶ ταύτην ὁ χρόνος ἡμῖν γνωριεῖ, καὶ ἡμεῖς ἐν ἄλλοις ἡμῶν λόγοις καὶ περὶ τῶν τοιούτων διαληψόμεθα.

A Filio Spiritum habere, quod sit, » nusquam appareat : sincera vero ac integra, in quibus illud exaratum legitur, resipiscentes igitur aliquando, qui appositum magni Basilii dictum criminantur, et ad absurda et plane stupida dubia deferuntur, non veluti idiotæ, indoctique, sed veluti ecclesiasticæ unionis pertinaces atque improbi hostes, veritatem perperam oppugnare desinant. Quod si et aliarum sententiarum scripto demandatarum immutatio facta est, eamque tempus nobis notam fecerit, in aliis nostris scriptionibus evulgabimus.

ΚΕΦΑΛ. Β'.

Πρὸς τοὺς διαπορουῦντας περὶ τῆς εὑρισκομένης ἔν τισι βίβλοις προσθήκης τοῦ, « ἴσως, » διστακτικοῦ ἐπιῤῥήματος.

CAPUT II.

Ad eos, qui subdubitant, de additione, quæ in nonnullis codicibus reperitur, « Fortasse, » dubitativi adverbii.

B

α'. Ἐκεῖνο δὲ πῶς ἂν τις ἀνεξέταστον παραδράμοι, ὅπερ ἐχόμενον τῶν προεξητασμένων διεπόρηται παρ' αὐτῶν; Φασὶ γὰρ ὡς, εἴπερ εὐσεβές ἐστιν εἰπεῖν ἀξιώματι τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ, διατί ἔν τισι τῶν βίβλων οὐχὶ καθαρῶς εὑρίσκεται τὸ, « Παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος, » ἀλλὰ πρόσκειται καὶ τὸ *ἴσως*· καὶ προϊόντος τοῦ λόγου, ἐν οἷς ὁ ἅγιος παρακατιὼν λέγει, « Εἰ καὶ ὑποβέβηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτ' ἂν εἰκότως, ὡς ἀλλοτρίας ὑπάρχον φύσεως, ἀκολουθεῖν εἴποιμεν, » διατί εὑρίσκεται καὶ τὸ, « Ἵν' ὅλως καὶ συγχωρήσωμεν; » Καὶ οἱ μὲν ταῦτα. Ἡμεῖς δὲ καὶ τὸν ἐπὶ ταύτῃ τῇ ἀπορίᾳ λόγον ἐξεταστικώτερον μεταχειριζόμενοι, ἀπ' αὐτῆς τῆς κατὰ πᾶσαν ἀνάγκην νοεῖσθαι ἀπαιτουμένης ἐννοίας ἀποδείξομεν προσθήκην εἶναι τὸ, *ἴσως*. Οἱ γὰρ αὐτοὶ καὶ ἀφαιρέσει λέξεων ἐκακούργησαν. ὡς παρ' ἡμῶν ἀπεδείχθη, ἐν οἷς διαγεγράφθαι τινῶν βίβλων ἀκριβῶς παρεστήσαμεν τὴν λέγουσαν ῥῆσιν, « παρὰ τοῦ Υἱοῦ ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, » καὶ προσθήκην ἐδολιεύσαντο.

1. Illud porro quanam ratione sine examine quispiam præterierit, quod verbis jam proxime examinatis adhæret, et ab eisdem in dubium vertitur? Namque, inquiunt, si pium est asserere, Spiritum dignitate esse a Filio secundum, qua de causa in quibusdam voluminibus non pure atque ingenue reperitur illud, « Nobis pietatis sermo tradit, » sed illi adnectitur, « Fortasse » et procedente oratione sanctus sermonem continuans dicit, « si ordine et dignitate secundus a Filio est, non tamen verisimiliter alienæ esse naturæ inde consequi dicemus, » quare scriptum est, « Ut id quoque concedamus? » Et hi quidem similia. Nos vero de hisce verbis dubitationem accuratius examinantes, ex ipsa, quæ necessario prorsus intelligenda est, sententia commonstrabimus, *Fortasse* illud suppositivum esse. Iidem enim et vocum ademptione dictum depravarunt, ut a nobis jam ostensum est in illis, quibus in nonnullis codicibus plane comprobavimus, dictum asserens, « a Filio habere Spiritum sanctum, » subtraxisse, et nunc additione adulterarunt.

C

β'. Καὶ γοῦν εἰπάτωσαν ἡμῖν ἐρωτῶμενοι, πόθεν ὅλως παρὰ τοῦ ἁγίου ἐκδεδομένον εἶναι τὸ, *ἴσως*; Τίς τῶν ἁπάντων, οἷς ἔργον ἐπιμελὲς βίβλοις ἐγκυπτάζεσθαι θεολογικαῖς, ἐνέτυχέ τινι τῶν Πατέρων μετὰ τοῦ, *ἴσως*, θεολογοῦντι διστακτικῶς; Τίς ἐρεῖ ποτε νοῦ κύριος καὶ φρενῶν, ἐν διστάγμῳ τινὶ ὅλως τὴν θεολογίαν προβαίνειν, ὁπότε εἰς αὐτὸ τὸ τῆς εὐσεβείας ἀκρότατον οἱ τῆς Ἐκκλησίας ταύτην ἐλογογράφουν διδάσκαλοι; Παράδοσιν εὐσεβείας ὁ μέγας Βασίλειος τὴν ῥῆσιν ἀποκαλεῖ, καὶ τὸ, *ἴσως*, προστίθησιν; Ποίαν ἔχει τὴν ἀκολουθίαν ὁ λόγος; Ἡ γὰρ παράδοσις εὐσεβείας τὸ ῥῆμα, καὶ τίς ἡ χρεία τοῦ, *ἴσως*; Ἢ μετὰ τοῦ *ἴσως* ἔδει τὸν λόγον ἐξενεχθῆναι; Καὶ πῶς ἂν εὐσεβείας ὠνομάσθη παράδοσις; Οὐδὲ γὰρ οὐδὲ ἐν ἄλλοις τισὶν, οὓμενουν ἐν θεολογίαις λογογραφῶν τις, Εἰ τὸ ἀναμφίβολον τοῖς λεγομένοις περιποιήσασθαι βούλεται τὸ, *παραδίδωσι*, καὶ τὸ, *ἴσως*, ἀλλήλοις προσεπιπλέξειεν ἄν. Ἐπὶ γὰρ τοῖς ἀξιωματικῶς εἰρημένοις καὶ οὐδεμίαν ἀντίῤῥησιν δεχομένοις τὸ *παραδίδωσιν*, δίχα τῆς τοῦ *ἴσως* ὁ λόγος ὑφαινόμενος ἀπαιτεῖ, ὁ τὸν λόγον ἐκτιθέμενος ἐρεῖ προσφυῶς τήνδε τὴν ἔννοιαν, ἢ τόδε

2. Quare respondeant, quæso, nobis interrogantibus; Quonam constat a sancto *fortasse* illud orationi annexum? Quis unquam ex iis, quibus studium unum incumbit, sanctorum theologicas scriptiones evolvendi, Patrem aliquem offendit, cum theologica pertractaret, *fortasse*, quasi de re dubia hæsitantem usurpasse? Quis unquam affirmabit, dummodo pleno pectore sapiat, cum dubitatione atque incertitudine res tradi divinas, et potissimum cum de pietatis ipso vertice agentes, eas Ecclesiæ doctores scripto commendarent? Traditionem pietatis magnus Basilius dictum suum nuncupat, et *fortasse* apponit? Quæ est ista consequentiæ ratio? Aut enim est pietatis traditio verbum, et quæ fuerit necessitas illius *fortasse*? Aut oratio cum illo *fortasse* enuntianda, et quomodo pietatis traditio appellabitur? Neque enim in aliis, tantum abest ut in rebus theologicis sententiam suam quispiam scripto proferens, dummodo certum atque indubium dictis suis comparare conatur, illa *tradit*, et *fortasse* simul una complicaverit. Namque in dictis cum dignitate et auctoritate pro-

D

Digitized by Google Распознавание текста ABK/FR

latis, et nulli contradictioni obnoxiis, illud *tradit*, absque illius *fortasse* additione scriptor pronuntiaverit : cum vero quæ contexitur oratio *fortasse* requirit, qui scriptum enucleat, aptissime dixerit, hanc sententiam, vel hoc verbum, vel hanc constructionem, permittet fortasse oratio, vel concedet, vel præbebit, vel quid simile ex iis, quæ verbis et adverbiis dubiis connectuntur. Nullus itaque remanet locus, neque *fortasse*, neque, *ut id quoque concedamus*, cogitandi a magno Basilio in jam dictis theologicis apposita fuisse, et hac ratione consequenter tanquam certissimum comparet, ex ipsa *fortasse*, et, *ut id quoque concedamus*, additionem

A τὸ ῥῆμα, ἢ τήνδε τὴν σύνταξιν. παραχωρήσει ἴσως ὁ λόγος ἢ συγχωρήσει ἴσως, ἢ ἐκχωρήσει ἴσως, ἤ τι τῶν, ὅσα τοῖς διστακτικοῖς ἐπισυμπλέκεται ῥήμασί τε καὶ ἐπιῤῥήμασιν. Οὐκ ἔχει γοῦν τινα χώραν τὸ *ἴσως*, καὶ τὸ *ἴν' ὅλως καὶ συγχωρήσωμεν*, οἴεσθαι παρὰ τοῦ μεγάλου Βασιλείου ἐκδεδόσθαι ἐπὶ τῆς εἰρημένης θεολογίας. Καὶ οὕτω λοιπὸν κατὰ τὸ πάντη βέβαιον ἀναφαίνεται ἀπ' αὐτῆς τῆς κατὰ πᾶσαν ἀνάγκην νοεῖσθαι ἀπαιτουμένης ἐννοίας προσθήκην εἶναι τὸ, *ἴσως*, καὶ τὸ *ἴν' ὅλως καὶ συγχωρήσωμεν*.

esse. quæ necessario et modis omnibus sententia elicitur.

3. Illud porro quomodo comprehendere non potuerunt, quod universa inductio apertissime astruit? Etenim si difficulter, ut ipsi aiunt, et violenter, et ut quispiam diceret invitum, et coacte sibi permittentem a se ipso sanctum extorsisse verba illa, Spiritum esse secundum a Filio dignitate, qua ratione sententiam istam constabiliens, tot deinceps de secundis dignitatis partibus verba infercit, ut non tantum secundas Filii partes a Patre ad dicendorum probationem assumeret, sed similem angelorum naturam insuper adderet, et pleraque de eorum dignitatibus scripto consignaret, quousque tandem et illud pronuntiaret, « Non omne, quod ordine et dignitate secundum aut tertium est, idem et diversam naturam habet? » Si coacte sanctus dixisset, Spiritum secundum esse a Filio dignitate, fortasse etiam cursim illud præteriisset, ut eum quoque, qui non ita attente rem examinasset, falleret. Verumtamen ille in dissertatione de eo ita perdurat, ut non tantum, postquam multa de dignitatibus angelorum disputasset, induceret, « Non omnino, si quid est ordine et dignitate secundum aut tertium, habebit et naturam diversam, » sed et paucis interjectis adderet, « Quemadmodum multæ mansiones apud Patrem, dignitatum nempe diversitates. Natura vero similis eorum, qui glorificantur. Sic profecto et Spiritus sanctus dignitate quidem et ordine tertius est. Accepimus enim ipsum tertium a Patre et Filio numeratum, cum ipse Dominus in traditione salutaris baptismatis ordinem tradiderit. In naturam autem tertiam a Filio et Patre dejectum Spiritum nusquam audivimus. » Huncne in modum, qui dogmata tradunt, in sermones effunduntur, cum violenter atque coacte de illis sibi sermonem concedi cognoscunt? Non est hoc, non. Facilius enim sese sanctus expediisset, demonstrans falsa asserere eum, qui Spiritum secundum a Filio ordine et dignitate affirmabat, quam si admittens Spiritus a Filio partes secundas, summopere elaboraret, ad illud commonstrandum, quanam ratione quod est ordine et dignitate secundum, non idem esset et natura secundum.

γ'. Ἐκεῖνο δὲ πῶς οὐ συνιδεῖν ἔσχον, ὅπερ ἡ ἐπαγωγὴ πᾶσα παρίστησιν ἐναργῶς; Εἰ γὰρ δυσχερῶς, B ὡς αὐτοί φασι, καὶ σὺν βίᾳ, καὶ, ὡς ἄν τις ἐρεῖ, κατά τινα ἀκούσιον παραχώρησιν ἐδέξατο ὁ ἅγιος εἰπεῖν τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ ἀξιώματι, πῶς διὰ τὴν τῆς ἐννοίας ταύτης κατασκευὴν τοσοῦτον ἐφεξῆς τοῖς περὶ τοῦ ἐν τῷ δευτερείῳ ἀξιώματος ἐμπλατύνεται λόγοις, ὡς μὴ μόνον τὸ πρὸς τὸν Πατέρα δευτερεῖον τοῦ Υἱοῦ εἰς κατασκευὴν, ὧν λέγειν ἠβούλετο, παραλαβεῖν, ἀλλὰ καὶ τὸ ὁμοφυὲς τῶν ἀγγέλων προσθεῖναι, καὶ πολλὰ περὶ τῶν ἐν αὐτοῖς ἀξιωμάτων λογογραφῆσαι, μέχρι τοῦ ἐπαγαγεῖν, « Οὐ πᾶν, εἴ τι τῇ τάξει καὶ τῷ ἀξιώματι δεύτερόν ἐστι καὶ τρίτον, τοῦτο καὶ τὴν φύσιν ἑτέραν ἔχει; Εἰ περιστατικῶς εἰρήκει ὁ ἅγιος τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ τῷ ἀξιώματι, τάχ' ἂν C καὶ κατ' ἐπιδρομὴν παρῆλθεν αὐτὸ, ὡς καὶ λανθάνειν σχεδὸν τῶν μὴ πάντη ἐπεσκεμμένως αὐτὸ ἐπερχόμενον. Ὁ δὲ ἀλλ' οὕτω ἐπιμένει ταῖς περὶ αὐτοῦ ῥήσεσιν, ὡς μὴ μόνον μετὰ τὸ πολλὰ λογογραφῆσαι περὶ τῶν ἐν ἀγγέλοις ἀξιωμάτων ἐπαγαγεῖν, « Οὐ πάντως εἴ τι τῇ τάξει καὶ τῷ ἀξιώματι δεύτερόν ἐστι καὶ τρίτον τοῦτο, καὶ τὴν φύσιν ἑτέραν ἔχει. » Ἀλλὰ καὶ αὖθις μετ' ὀλίγα προσθεῖναι, « Ὥσπερ πολλαὶ μοναὶ παρὰ τῷ Πατρὶ, τουτέστιν ἀξιωμάτων διαφοραί· φύσις δὲ ὁμοία τῶν δοξαζομένων· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀξιώματι μὲν ὑποβέβηκε καὶ τάξει· παρειλήφαμεν γὰρ αὐτὸ τρίτον ἀπὸ Πατρὸς καὶ Υἱοῦ ἀριθμούμενον, αὐτοῦ τοῦ Κυρίου ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος παραδεδωκότος τὴν τάξιν εἰς φύσιν δέ τινα D τρίτην ἀπὸ Υἱοῦ καὶ Πατρὸς ἐκβαλλόμενον οὐδαμοῦ μεμαθήκαμεν. » Οὕτω ταῖς ῥήσεσιν οἱ δογματίζοντες ἐμπλατύνονται, αἷς ἡ κατὰ τὸ βέβαιον συγχώρησις ἔνεστιν; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Ῥᾷον γὰρ ἂν ἦν τῷ ἁγίῳ τὸν ἀγῶνα πάντα ἐνδείξασθαι, πρὸς τὸ ἀποδεῖξαι ψευδόμενον τὸν τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ τάξει τε καὶ ἀξιώματι λέγοντα, ἢ δεξαμένῳ τὸ πρὸς τὸν Υἱὸν δευτερεῖον τοῦ Πνεύματος, ἔπειτα μεγάλην ποιεῖσθαι σπουδὴν, πῶς ἂν ἀποδειχθείη τὸ τῇ τάξει καὶ τῷ ἀξιώματι δεύτερον μὴ καὶ τῇ φύσει δεύτερον εἶναι.

4. His itaque mendacium aperte deprehenditur asserentium a sancto adverbium *fortasse* quod hæsitationem ingenerat, appositum fuisse. Totum enim ille studium conferebat suum, ad illud amolien-

δ'. Διὰ γοῦν ταῦτα τὸ ψεῦδος πρόδηλον ἀπελήλεγκται τῶν λεγόντων παρὰ τοῦ ἁγίου εἰρῆσθαι, τὸ διστακτικὸν, *ἴσως*, ἐπίῤῥημα. Πᾶσα γὰρ αὐτῷ ἡ σπουδὴ πρὸς τὸ παρὰ τοῦ Πνευματομάχου Εὐνο-

Digitized by Google Распознавание текста АВК/FR

μίου ἐν συλλογιστικῷ συμπεράσματι ἐπιφερόμενον ἦν, τὸ εἶναι δηλαδὴ τὸ Πνεῦμα τρίτον τῇ φύσει. Τὸ δὲ τὸ Πνεῦμα τάξει καὶ ἀξιώματι τρίτον εἰπεῖν ἀπὸ τοῦ Πατρὸς ἀδιάστως καὶ ἱλαρῶς πάντη ἐδέξατο. Τοῦ γὰρ αἱρετικοῦ Εὐνομίου ὡς πρότασιν τιθεμένου τὸ παρὰ τῶν ἁγίων μαθεῖν τρίτον ἀξιώματι καὶ τάξει τὸ Πνεῦμα, τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, οὐ λέγοντος, ἀλλ' εἷς ἐν ἀποτεινομένου μόνον, τὸ συλλογιστικαῖς δῆθεν ἀνάγκαις διαστρεβλῶσαι τὸν λόγον, καὶ συμπερᾶναι τρίτον εἶναι καὶ τῇ φύσει τὸ Πνεῦμα, πρὸς τὸ κακόσχολον συμπέρασμα τὸν ζῆλον ὁ ἅγιος ἀνεζώσατο, καὶ συγχωρῶν τῇ προτάσει ὡς ἐλάττονι, κατὰ τὰς συλλογιστικὰς μεθόδους κειμένῃ, ἀποτρέπεται τὸ συμπέρασμα, διὰ τὸ μὴ ἔχειν ἐπαγαγεῖν τὸν Εὐνόμιον καὶ μείζονα πρότασιν ἀληθῆ, τὴν, Πᾶν τὸ τῇ τάξει καὶ τῷ ἀξιώματι τρίτον, καὶ τῇ φύσει τρίτον ἐστὶ, καὶ πρὸς τὸ διατείνεσθαι μὴ παρὰ τῶν ἁγίων δεδιδάχθαι Γραφῶν τρίτῃ φύσει χρῆσθαι τὸ Πνεῦμα· οὐδὲ ἐκ τῶν εἰρημένων δυνατόν φησιν εἶναι συλλογίσασθαι αὐτὸ κατὰ τὸ ἀκόλουθον. Δέδεικται ἄρα προσθήκην εἶναι τὸ, ἴσως, ὅπερ ἀποδεῖξαι ὁ λόγος ἡμῶν ἐπηγγείλατο. Μὴ γοῦν συγκλώθειν ἐπιχειρείτωσαν τὰ ἀσύγκλωστα οἱ πρὸς ἓν μόνον ὁρῶντες, τὸ φιλερι, καὶ πρὸς εἰρήνην ἀνένδοτον.

A dum quod ex Spiritus hostis Eunomii syllogismo inferebatur, nempe Spiritum natura esse tertium : sed Spiritum ordine et dignitate tertium dicere a Patre, libenter spontaneeque excepit. Hæretico siquidem Eunomio veluti pronuntiatum ponente, se a Patribus didicisse tertium dignitate et ordine Spiritum, quinam vero sancti, et in quibus scriptionibus doctrinam enuntiarint tacente, et illud unum solumque enitente, syllogismorum nempe necessariis consequentiis orationem distorquendo concludere, tertium esse et natura Spiritum, ad male compactam conclusionem studia sua sanctus contulit, et concedens enuntiatum veluti minorem, syllogismorum methodis digestam, conclusionem refellit : quod non suppeteret Eunomio major propositio vera : Omne nempe, quod est ordine et dignitate tertium, est quoque tertium natura, contendensque non a sacris Scripturis didicisse, tertia natura Spiritum uti, neque ex dictis fieri posse, inquit, ulla argumentatione concludi. Demonstratum est itaque *fortasse* supposititium esse, quod oratio nostra probare promiserat. Ne itaque quæ simul componi non possunt, una compingere tentent, qui unam solam ambiunt contentionem, et pacem obstinate et contumaciter repudiant.

B

ΚΕΦΑΛ. Γ.

Πρὸς τοὺς λέγοντας ὡς, ἐπεὶ ὁ μέγας Βασίλειος ἐν τῷ περὶ Πίστεως λόγῳ αὐτοῦ εἶπε χρήσασθαί ποτε λέξεσι πρὸς τὰς κατὰ καιρὸν αἱρέσεις ἀγωνιζόμενος ἄλλοις ἄλλας, ὡς ἂν ἡ χρεία αὐτὸν κατηνάγκασεν, οὐ δεῖ προσέχειν πάσαις ταῖς θεολογίαις αὐτοῦ.

C

CAPUT III.

Adversus eos, qui contendunt quod magnus Basilius in oratione sua de fide dixerit, « aliquando dictiones usurpasse, adversus consurgentes hæreses decertantem, alias atque alias pro diversis temporibus, ut necessitas ipsum compellebat, » non esse omnibus illius theologicis dictis attendendum.

σ'. Ὡς ἀπόλοιτο ἡ κακία, καὶ ὁ ταύτης ἀρχηγέτης διάβολος. Ψυχὴ γὰρ ἅπαξ ἁλοῦσα κακίᾳ, εὐχερῶς οὐκ ἀνανεύει αὐτῆς, ἀλλὰ ῥύμῃ καὶ ἀκαταισχέτῳ τὴν τῆς οἰκείας ἐφέσεως μεταδιώκει ἐκπλήρωσιν. Τοιοῦτόν τι παθόντες καὶ οἱ πρὸς τὴν τῶν Ἐκκλησιῶν διάστασιν ἀνεπιστρόφως ἑαυτοὺς ἐπιδόντες, πρὸς τὸν ἔσχατον κολοφῶνα τῆς κακίας ἀναρριχῶνται· καὶ ἐπὰν αὐτοῖς ἀποδειχθείη ἐναργέστατα τοῦ μεγάλου Βασιλείου ῥῆσιν εἶναι τὴν λέγουσαν « παρὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, » καὶ προσθήκην ἐν ταῖς βίβλοις τοῦ μεγάλου Βασιλείου εἶναι τὸ *Ἴσως*, καὶ τὸ, « ἵν' ὅλως καὶ συγχωρήσωμεν, » οὐκ ὀκνοῦσιν εἰς ἔπειτα τὴν αἰσχίστην τῶν διαβολῶν διαβάλλειν αὐτόν. Ἡμῶν γὰρ διὰ τὸν ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης ζῆλον πολλὰς προβαλλομένων περικοπὰς τῶν ἐκείνου θεολογιῶν, ἐξ ὧν προδήλως ἀναφαίνεται μηδὲν ἐμποδὼν τῇ εὐσεβείᾳ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν καθίστασθαι ἐκ τοῦ λέγειν ἐκ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, οὗτοι μετὰ πολλὰς ἄλλας ἀντιῤῥήσεις, ἐξ ὧν οὐδὲν αὐτοῖς ὄφελος, ὡς δυσάντητόν τινα, καὶ δυσαντίβλεπτον ἀντίῤῥησιν τελευταίων ἐπιφέρουσι τὸ μὴ πάσας τὰς ἐκείνου θεολογίας τὸ βέβαιον ἔχειν, ὡς αὐτοῦ ἐκείνου ἐν τῷ περὶ Πίστεως λόγῳ ὃν τοῖς Ἀσκητικοῖς ἐκεῖνος ἐκδέδωκε, ὁμολογοῦντος « ἄλλοτε ἄλλαις χρήσασθαι λέξεσιν,

1. O utinam pereat improbitas, et illius primus auctor diabolus : semel enim animus improbitate mancipatus, ab ea difficulter eximitur, quinimo impetu, qui coerceri nequit, proprii desiderii complementum consectatur. Simile quid perpessi, qui Ecclesiarum dissidio, inexorabiles, et sine spe ulla reconciliationis addicuntur, ad extremum improbitatis verticem perveniunt; et cum illis apertissime ostensum fuerit, magni Basilii dictum esse asserens, « ex Filio esse Spiritum sanctum, » et in magni Basilii voluminibus illud, *fortasse*, additamentum esse, quemadmodum et illud, *ut id quoque concedamus*, non verentur postmodum nomen illius pessimis criminationibus maculare. Nobis etenim ob ecclesiasticæ pacis studium, ex illius theologicis dictis pleraque segmenta in medium afferentibus, quibus manifesto indicatur, Romanam Ecclesiam pietatem neque convellere, neque labefactare, cum asserit, ex Patre et Filio esse Spiritum sanctum, isti post multas objectiones, ad nullam partem utiles, veluti inauspicatam et aspectu terribilem tandem contradictionem opponunt, non omnia illius dicta theologica firmitatem et stabilitatem habere : eodem ipso oratione de fide, quam ille inter Ascetica publicavit, ingenue asserente, « diversis temporibus alias atque alias dictiones usur-

D

Digitized by Google Распознавание текста ABBYY FR

passe, ut necessitas illum compellebat, adversus enascentes hæreses decertantem. » Et hi quidem hæc inquiunt.

2. Nos vero adversus eorum effrenem impetum obviam euntes, non sic simpliciter et ex aliarum dictionum, scripto mandatarum collectione, sed ex eadem ipsa jam laudata oratione tantum mendacium esse refellendum decernimus, et simili ratione. Dividamus orationis segmentum, quo adversarii ducti pronuntiant, non omnia theologica dicta magni Basilii firmitatem habere, et præsenti hoc nostro sermone referamus : tum postea quæ de ea nobis videntur, regeremus, sic auditorum rectitudini decernendum, relinquemus, an omnia magni Basilii dicta theologica firmitatem habeant, quod ille dictionibus usus est alio atque alio tempore diversis, adversus exortas certis temporibus hæreses decertans. Et jam hoc ipsum præstantes, orationis segmentum exscribimus. « Atque quandiu quidem adversus consurgentes variis temporibus varias hæreticorum factiones pugnandum fuit, eorum, a quibus in certamen provocabar, in dicendo styli vestigiis insistens, consequens esse arbitrabar, ut ei impietatis pesti, quam diabolus seminaret, ejusdem modi oppositis ipsi vocabulis obviam irem, et maledicta, quæ in Deum inde nascerentur reprimerem, vel etiam penitus refutarem : et aliis alias, prout videlicet hæreseos morbo laborantium utilitas necessario videbatur postulare, atque his sæpenumero ejusmodi, quæ licet in sacrosancta Scriptura nusquam reperirentur, a pio tamen, et sanctis Litteris consentaneo sensu neutiquam abhorrerent. » Et hæc continentur in pericope, quibus adversarii conantur comprobare, universa theologica magni Basilii dicta firma ac stabilia censenda non esse :

3. At tu, qui judex in hoc certamine sedes, considera, accurateque perpende, quo pacto refutatio nostra, non e longe petitis, et alienis scripturis concinnata, sed ex iis ipsis, quæ sanctus pronuntiavit in ipsa orationis serie illis occurrat. Namque cum dixisset, « Consequens esse arbitrabar, ut ei impietatis pesti, quam diabolus seminaret, ejusdem modi oppositis ipsi vocabulis obviam ire, et maledicta, quæ in Deum inde nascerentur, reprimere, aliis alias, prout videlicet hæreseos morbo laborantium utilitas necessario videbatur postulare, » statim subnectit, « atque his sæpenumero ejusmodi, quæ licet in sacrosancta Scriptura nusquam reperirentur, a pio tamen et sanctis Litteris consentaneo sensu neutiquam abhorrerent. » Qui itaque dictionibus scripto minime traditis se usum fatetur, simulque contestatur easdem neque peregrinas, neque alienas esse a pio sacrarum Scripturarum sensu, quomodo dignus fuerit, cui in nonnullis ex dictis suis theologicis fides adhibenda non sit? Namque licet ad illius tempora scripto consignatæ ex his dictionibus quæpiam forte non sint, attamen cum eas a pietate alienas non esse, sanctus ipse contestetur, illis attendendum est æque atque aliis, quas ante ipsum pietatis doctores

A ὡς ἂν ἡ χρεία αὐτὴν κατηνάγκασεν, πρὸς τὰς κατὰ καιρὸν αἱρέσεις ἀγωνιζόμενον. » Καὶ οἱ μὲν ταῦτα.

β'. Ἡμεῖς δὲ, πρὸς τὴν ἀχάλινον ὁρμὴν τούτων ἀντιφερόμενοι, δεῖν ἔγνωμεν μὴ ἁπλῶς οὕτω καὶ ἐξ ἑράνου ἄλλων ῥήσεων γραφικῶν, ἀλλ' ἐξ αὐτοῦ ἐκείνου τοῦ ῥηθέντος λόγου τὸν ἔλεγχον τοῦ τόσου ψεύδους ποιήσασθαι· ποιήσασθαι δὲ οὕτω· Διελεῖν μὲν τὴν τοῦ λόγου περικοπὴν, ἐξ ἧς τοῖς δι' ἐναντίας εἰπεῖν γέγονε μὴ δεῖν τὰς ἁπάσας θεολογίας τοῦ μεγάλου Βασιλείου τὸ βέβαιον ἔχειν, καὶ τῷ παρόντι λόγῳ ταύτην ἐγκαταστρῶσαι· ἀπολογήσασθαι δὲ τὰ ἐπὶ ταύτῃ δοκοῦντα ἡμῖν, καὶ οὕτω τῆς τῶν ἀκροατῶν ἀναρτῆσαι εὐθύτητος τὸ διαγνῶναι, εἴγε δὴ μὴ τὸ βέβαιον τὰς ἁπάσας τοῦ μεγάλου B Βασιλείου ἔχειν θεολογίας, διὰ τὸ λέξεσιν ἐκείνοις χρήσασθαι ἄλλοτε ἄλλαις πρὸς τὰς κατὰ καιρὸν αἱρέσεις ἀγωνιζόμενον. Καὶ δὴ τοῦτο ποιοῦντες, οὕτω τὴν τοιαύτην τοῦ λόγου περικοπὴν ὠδὶ ἐκτιθέμεθα. « Ἕως μὲν οὖν ἀγωνίζεσθαι πρὸς τὰς ἐπανισταμένας κατὰ καιρὸν αἱρέσεις ἐχρῆν, ἑπομένοις τοῖς προειληφόσιν ἀκόλουθον ἡγούμην τῇ διαφορᾷ τῆς ἐπισπειρομένης ὑπὸ τοῦ διαβόλου ἀσεβείας ταῖς ἀντιθέτοις φωναῖς κωλύειν, ἢ καὶ ἀνατρέπειν τὰς ἐπεισαγομένας βλασφημίας, καὶ ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία τῶν νοσούντων κατηνάγκασε, καὶ ταύταις πολλάκις ἀγράφοις μὲν, ὁμως δ' οὖν οὐκ ἀπεξενωμέναις τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας. » Ταῦτα μὲν ἡ περικοπὴ· ἐξ ἧς τοῖς δι' ἐναντίας εἰ- C πεῖν γέγονε μὴ δεῖν τὰς ἁπάσας θεολογίας τοῦ μεγάλου Βασιλείου τὸ βέβαιον ἔχειν,

γ'. Σὺ δὲ ὁ τοῖς παροῦσιν ἀγῶσιν ἐνδιαιτῶν, ἄθρει δὴ, καὶ ἀκριβῶς διασκόπει, ὅπως ὁ παρ' ἡμῶν ἔλεγχος αὐτοῖς ἁπανταχῇ οὐ πόρρωθεν καὶ ἐξ ἄλλων ἠρανισμένος γραφῶν, ἀλλ' ἐξ αὐτῶν ὧν ὁ ἅγιος ἔφη τοῦ λόγου καθ' εἱρμὸν προϊόντος. Εἰπὼν γὰρ « Ἀκόλουθον ἡγούμην τῇ διαφορᾷ τῆς ἐπισπειρομένης ὑπὸ τοῦ διαβόλου ἀσεβείας ταῖς ἀντιθέτοις φωναῖς κωλύειν, ἢ καὶ ἀνατρέπειν τὰς ἐπεισαγομένας βλασφημίας, καὶ ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία τῶν νοσούντων κατηνάγκασεν, » ἐπάγει εὐθὺς, D « καὶ ταύταις πολλάκις ἀγράφοις μὲν, ὁμως δ' οὖν οὐκ ἀπεξενωμέναις τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας. » Ὁ γοῦν λέξεσιν ἀγράφοις ὁμολογῶν χρήσασθαι, διαμαρτυρόμενος δὲ μὴ ἀπεξενωμένας εἶναι αὐτὰς τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας, πῶς ἂν εἴη δίκαιος ἐπί τινι τῶν παρ' αὐτοῦ θεολογηθέντων διαπιστεῖσθαι; Εἰ γὰρ καὶ ἄγραφοι μέχρις ἐκείνου τυχὸν τινὲς ὑπῆρχον τῶν λέξεων τούτων, ἀλλ' ἐπεὶ οὐκ ἀπεξενωμένας τῆς εὐσεβείας ταύτας ὁ ἅγιος μαρτυρεῖ, οὕτω δεῖ προσέχειν αὐταῖς, ὡς ἐκείναις, αἷς οἱ πρὸ αὐτοῦ διδάσκαλοι τῆς εὐσεβείας ἐχρήσαντο. Καὶ γὰρ κἀκείνων ἑκάστῳ καιροῖς ἰδίοις πρὸς ἀποτροπὴν τῶν ἀναφυομένων αἱρέσεων ἐλάμβανε τὰς ἀρχὰς, ταῖς μὲν συλλαβαῖς ἴσως οὐ διειλημμένη ταῖς πρὸ τῆσδε ἢ τῆσδε τῆς

Digitized by Google Распознавание текста ABK/FR

αἱρέσεως θεολογηθείσαις γραφαῖς, ἐκ δὲ τῆς ἐν- A usurparunt : earum quippe singulæ certis tempo-
νοίας αὐτῶν εἰς ἔγγραφον ἔκθεσιν παραδιδομένη. ribus ad refellendas recens exortas hæreses, ori-
Ἐπεὶ γοῦν ὁ μέγας Βασίλειος ταῖς ἐννοίαις τῶν ginem habuere, syllabis fortasse, ante hanc vel aliam
προγενεστέρων αὐτοῦ θεολόγων ἀκολουθῶν, λέξεσιν enatam hæresim in theologicis scriptionibus non
ἀπαθάρρητοι χρήσασθαι ἀγράφοις μὲν, ἐξηρτημέ- comprehensis, verumtamen ex sensu earum expo-
ναις δὲ τῆς τῶν παλαιοτέρων θεολογιῶν ἐννοίας, sitæ, scriptoque demandatæ. Cum igitur magnus
βαρβητέον καὶ ἡμῖν ταῖς τοιαύταις λέξεσι χρῆσθαι, Basilius sententiis theologorum qui eum præiverunt,
ὡς ἐξ αὐτοῦ μὲν τὴν ἀρχὴν λαβούσαις, μὴ ἀπεξε- insistens, dictionibus non scriptis uti ausus est,
νωμέναις δὲ τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς sed quæ tamen ab antiquiorum theologorum sensu
διανοίας. penderent, audendum quoque et nobis fuerit, illas
eadem voces usurpare, tanquam quæ ex eo principium sumpsere, nec a pio Scripturarum sensu ac
mente recedunt.

δ'. Καὶ ἵνα ὁ λόγος παραστήσειε καθαρώτερον 4. Et ut oratio apertius exhibeat, atque repræ-
ὅπως ἀγράφοις μὲν ἔστιν ὅτε ὁ θεόληπτος οὗτος sentet, qua ratione dictiones non scriptas ali-
Πατὴρ ἐχρῆτο ταῖς λέξεσιν, οὐκ ἀπεξενωμέναις δὲ B quando numine afflatus hic Pater, sed pio sacrarum
τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας, ἐκεῖνα δὲ Scripturarum sensui consentaneas usurpabat, illa
ἐπισκεπτέον ἡμᾶς, ἅπερ ἐν ἀρχαῖς εἰρημένα ἐστὶ a nobis consideranda sunt, quæ principio tertii
τοῦ τρίτου λόγου τῶν κατ' Εὐνομίου Ἀντιῤῥητικῶν libri adversus Eunomium Antirrheticorum dictata
λόγων αὐτοῦ, ἐν οἷς οὕτω λέγει· « Μόλις ποτὲ κορε- sunt, scilicet : « Vix tandem blasphemiis in Unige-
σθεὶς τῶν εἰς τὸν Μονογενῆ βλασφημιῶν, ἐπὶ τὸ nitum saturatus, ad Spiritum sanctum transiit,
Πνεῦμα τὸ ἅγιον μετελήλυθεν, ἀκόλουθα τῇ ὅλῃ totique suæ consentanea voluntati de ipso etiam
αὐτοῦ προαιρέσει καὶ περὶ τούτου διαλεγόμενος. disserit, sic dicens, « Cum vero hæc de Unigenito
Γράψει δὲ οὕτως· Ἀρκούντων δὲ ἡμῖν τοσούτων sufficiant, reliquum est, ut de Paracleto quoque
περὶ τοῦ Μονογενοῦς, ἀκόλουθον ἂν εἴη, καὶ περὶ dicamus : nec opiniones multorum absque ulla
τοῦ Παρακλήτου λοιπὸν εἰπεῖν, οὗ τοι ταῖς ἀνεξε- examinatione sequemur, sed sanctorum in omnibus
τάστοις τῶν πολλῶν ἀκολουθοῦντας δόξαις, τὴν δὲ doctrinam conservabimus, a quibus cum dignitate
τῶν ἁγίων ἐν ἅπασι φυλάσσοντας διδασκαλίαν, παρ' et ordine tertium ipsum didicerimus, tertium quo-
ὧν τρίτον αὐτὸ ἀξιώματι καὶ τάξει μαθόντες, que natura esse credidimus. » Adhæc usque ser-
τρίτον εἶναι καὶ τῇ φύσει πεπιστεύκαμεν. » Μέχρις monum Eunomianorum fragmentum exscribens,
ὧδε τὸ τεμάχιον τῶν τοῦ Εὐνομίου προθεὶς λόγων. C refutationem illius hisce verbis aggreditur :
ἐλέγχειν αὐτὸν ἅπάρχεται, καὶ φησιν· « Ὅτι μὲν « Quod igitur non putet, oportere in simplici ac
γὰρ οὐκ οἴεται δεῖν τῇ ἁπλῇ καὶ ἀνεπιτηδεύτῳ secura fide multorum permanere, sed artificiosis
πίστει τῶν πολλῶν ἐμμένειν, ἀλλὰ τεχνικοῖς τισι quibusdam ac cavillatoriis rationibus, ad id, quod
καὶ σεσοφισμένοις λόγοις πάλιν πρὸς τὸ δοκοῦν sibi videtur, veritatem rursus commutat, satis
ἑαυτῷ πραγκρούεσθαι τὴν ἀλήθειαν, ἱκανῶς ἐξ ὧν verbis suis osteudit. Cum enim contemnat opinio-
εἶπεν ἐδήλωσεν. Ἀτιμάζων γὰρ τὴν τῶν πολλῶν nem multorum, qua Spiritum sanctum glorificant,
δόξαν, ᾗ δοξάζουσι τὸ Πνεῦμα τὸ ἅγιον, προσποιεῖ- sanctorum se simulat conservare doctrinam, et
ται τὴν τῶν ἁγίων φυλάσσειν διδασκαλίαν, καὶ tacet eos, qui ei ipsam tradiderunt : nunc etiam
τοὺς ταύτην αὐτῷ παραδεδωκότας ἀποσιωπᾷ· καὶ ea ipsa faciens, quæ cum de Unigenito haberet
ὧν ἅπερ κἀν τοῖς περὶ τοῦ Μονογενοῦς λόγοις orationem, facere demonstratus est. Deinde ait a
ποιῶν ἀπεδείχθη. Εἶτά φησι παρὰ μὲν τῶν ἁγίων sanctis didicisse, ordine ac dignitate tertium esse
μεμαθηκέναι τὸ τρίτον εἶναι καὶ τῇ τάξει καὶ τῷ Spiritum : a se autem ipso credidisse natura quo-
ἀξιώματι, παρ' ἑαυτοῦ δὲ πεπιστευκέναι τὸ καὶ τρί- que tertium esse. Qui vero illi sancti sint, et in
τον εἶναι τῇ φύσει. Τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν quibus sermonibus eam doctrinam fecerint, non
ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, εἰπεῖν D potest dicere. » Et his quidem sanctus Eunomium
οὐκ ἔχει. » Ταῦτα μὲν πρὸς τὸν τοῦ Εὐνομίου ὁ refutat.
ἅγιος ἔλεγχον.

ε'. Σὺ δέ, ὃν ὁ λόγος εἰς διαιτητὴν τῶν παρόντων 5. Tu porro, quem oratio præsentium certami-
ἀγώνων ἐκάλεσεν, ὅρα ὅπως ὁ ἅγιος τὸν τοιοῦτον num arbitrum seu judicem instituit, considera,
μετέρχεται ἔλεγχον, καὶ ὅποι αὐτῷ τείνει ὁ τοῦ quanam ratione hanc refutationem disponat, et
ἐλέγχου σκοπός· φιλοψευδῆ μὲν προηγουμένως quonam refutationis illius scopus respiciat, primum
ἐλέγχει τὸν κάκιστον, ὡς λέγοντα, παρὰ τῶν ἁγίων quidem et ante omnia pessimum mendacia me-
μεμαθηκέναι τὸ τρίτον εἶναι τὸ Πνεῦμα καὶ τῇ morare convincit, tanquam qui dicat a Patribus
τάξει καὶ τῷ ἀξιώματι, καὶ εἰπεῖν οὐκ ἔχοντα τίνες didicisse, Spiritum ordine et dignitate tertium esse,
οἱ ἅγιοι, καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πε- nec possit indicare quinam hi sancti sint, et quibus
ποίηνται· οὐ μὴν δὲ καὶ ἀποδοκιμάζει ταῦτα τὰ in sermonibus doctrinam similem asserant, non
ῥήματα, ὡς τῆς εὐσεβοῦς διανοίας ἀλλότρια. Πρὸς ideo tamen verba hæc veluti a pio sensu aliena
δὲ τὸ ἀπὸ τῶν ῥημάτων τούτων δῆθεν συναγόμενον condemnat; ad illud vero, quod ex ejuscemodi
παρὰ τοῦ Εὐνομίου ἅπάντων, ὅπερ ἦν τὸ παρ' ἑαυ- verbis Eunomius colligebat, quod erat, a seipso

Digitized by Google Распознавание текста ABK/FR

creder', et tertium esse natura, respondens, dictaque illius refellens; impietatis reum agit. Postmodum licet falso Eunomius fassus est, a sanctis didiciase, tertium esse Spiritum ordine et dignitate, et si scripto similia verba demandata non fuissent, nihilominus ea sanctus excepit, prolixumque orationem prosequens sermonem habuit, non colligi, eum tertinm esse natura, quamvis ordine et dignitate tertium illum dicere, a pietate non abhorreat. Quare refutationem sanctus orsus non est, quasi pietas læderetur, dum Eunomius asserebat, Spiritum esse tertium et ordine et dignitate, sed quod diceret, dicta ista ab antiquioribus quibusdam Patribus pronuntiata fuisse, eum falsa proloqui commonstrare in animo habuit. Demum ea sanctus admittens enuntiansque, « ut pietatis ratio tradit, dignitate Spiritum esse secundum a Filio, » totum refutationis caput constituit ad refellendum, quod ex semetipso crediderat Eunomius, tertium illum esse et natura. Quonam vero pacto Spiritus secundas ad Filium partes magnus Basilius probaverit, et quomodo hoc item pietatis traditionem nuncupaverit præcedentibus nostris sermonibus', Deo opem ferente, demonstravimus.

A τοῦ ἐκεῖνον πεπιστευκέναι καὶ τρίτον εἶναι τῇ φύσει, εἰς γραφὴν ἀσεβείας ἐνταῦθα τὸν ἐκείνου περίστησιν ἔλεγχον. Εἶτα εἰ καὶ ψευδῶς ὁ Εὐνόμιος ἔφη παρὰ τῶν ἁγίων μαθεῖν τρίτον εἶναι τὸ Πνεῦμα τῇ τάξει καὶ τῷ ἀξιώματι, μήπω ἐν ταῖς γραφαῖς τῶν ῥημάτων τούτων εὑρισκομένων, καὶ ἐδέξατο ταῦτα ὁ ἅγιος καὶ πολὺν παρακατιὼν ἐποιήσατο λόγον τοῦ μὴ συνάγεσθαι τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει, εἰ καὶ τῇ τάξει καὶ τῷ ἀξιώματι τρίτον εἶναι λέγειν αὐτό, εὐσεβές ἐστιν. Ὥστε ὁ ἔλεγχος οὐκ ἦν παρὰ τοῦ ἁγίου ὡς τι λυμαινομένης τῆς εὐσεβείας παρὰ τὸ λέγειν τὸν Εὐνόμιον τρίτον εἶναι Πνεῦμα τῇ τάξει καὶ τῷ ἀξιώματι, ἀλλὰ παρὰ τὸ λέγειν αὐτὸν ῥηθῆναι τὰ ῥητὰ ταῦτα παρὰ ἁγίων τινῶν προτέρων. Τῷ τέως γὰρ φιλοψευδῆ ἀποδεῖξαι B τοῦτον ἠθέλησεν. Ἐφεξῆς δὲ δεξάμενος ταῦτα ὁ ἅγιος, καὶ τοὺς λόγους εἰπών, καθ' οὓς ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος ἀξιώματι τὸ Πνεῦμα εἶναι δεύτερον τοῦ Υἱοῦ, » τὸ σύμπαν περίστησι τοῦ ἐλέγχου, εἰς τὸ παρ' ἑαυτοῦ πεπιστευκέναι τὸν Εὐνόμιον λέγειν καὶ τρίτον αὐτὸ εἶναι καὶ τῇ φύσει. Ὅπως δὲ καὶ ἐδέξατο τὸ πρὸς τὸν Υἱὸν δευτερεῖον τοῦ Πνεύματος ὁ μέγας Βασίλειος, καὶ ὅπως παράδοσιν εὐσεβείας ἀπεκάλεσε τοῦτο, εἰ καὶ μὴ ὁ Εὐνόμιος εἶχεν εἰπεῖν παρὰ τίνων ἁγίων τοῦτο μεμάθηκεν, ἐν τοῖς προηγησαμένοις τῶν λόγων ἡμῶν ἀποδεδείχαμεν σὺν Θεῷ.

6. Nunc autem hoc solum necessario dicendum arbitramur, quando magnus Basilius dictiones hasce ad sua usque tempora scripto minime traditas et excepit, et scripto consignavit, veluti sacrarum Scripturarum pio sensui consentaneas, manifeste, cum umbris depræliari, ad veritatis lumen nictantes, qui contendunt, quod magnus Basilius oratione sua de Fide asseruerit, « aliquando se usurpasse dictiones adversus certis temporibus exortas hæreses depugnans, alio tempore alias, ut necessitas ipsum compellebat, » omnibus illius dictis theologicis attendendum non esse. Et hæc quidem ad ea, quibus adversarii dictæ pericopes sententiam criminantur.

ς'. Νῦν δὲ τοῦτο μόνον εἰπεῖν ἀναγκαῖον ἡγούμεθα, ὡς, ἐπεὶ ὁ μέγας Βασίλειος τὰς λέξεις ταύτας ἀγράφους οὔσας μέχρις αὐτοῦ καὶ ἐδέξατο καὶ γραφῇ παραδέδωκεν, ὡς μὴ ἀπεξενωμένας οὔσας C τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας, προδήλως σκιαμαχοῦσι, πρὸς τὸ τῆς ἀληθείας μύοντες φῶς οἱ λέγοντες ὡς, ἐπεὶ ὁ μέγας Βασίλειος ἐν τῷ περὶ Πίστεως λόγῳ αὐτοῦ εἶπε « χρήσασθαί ποτε λέξεσι πρὸς τὰς κατὰ καιρὸν αἱρέσεις ἀγωνιζόμενος ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία αὐτὸν κατηνάγκασεν, » οὐ δεῖ προσέχειν πάσαις ταῖς θεολογίαις αὐτοῦ. Καὶ ταῦτα μὲν ἐφ' οἷς οἱ δι' ἐναντίας τοῦ λημματίου ἐπελάβοντο τῆς ῥηθείσης περικοπῆς.

7. Cumque præterea in alio orationis segmento sanctus scribat, « Haud dubie manifestum hoc infidelitatis argumentum fuerit, et signum superbiæ certissimum, si quis eorum quæ scripta sunt, aliquid velit rejicere, aut eorum quæ non scripta, introducere, » adducatque Apostolum, sumpto ex hominibus exemplo vehementissime interdicentem, ne quid eorum, quæ in divinis Litteris habentur, demator aut addatur. Sic enim est apud illum : Tamen hominis confirmatum testamentum nemo spernit aut superordinat, » et has dictiones, qui nobis contradicunt, perpugnaciter arripientes, existimant, nos jure merito incusare, quasi male egerimus, nosmetipsos cum Ecclesia Romana reconciliantes, quæ ex Patre et Filio Spiritum sanctum procedentem in fidei Symbolo recitat; nos hunc in modum defensionem nostram digeremus, et hujusmodi pericopes verba penitissime considerantes, orationem adversus similia

ζ'. Ἐπεὶ δὲ ἐν ἑτέρᾳ πάλιν τοῦ λόγου περικοπῇ ὁ ἅγιος λέγει, « Φανερὰ ἔκπτωσις πίστεως καὶ ὑπερηφανίας κατηγορία ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τὸ μὴ γεγραμμένον, » καὶ τὸν Ἀπόστολον παράγει « ἐν ὑποδείγματι ἀνθρωπίνῳ D σφοδροτέρως ἀπαγορεύοντα τὸ προσθεῖναι, ἢ ὑφελεῖν τι ἐν ταῖς θεοπνεύστοις Γραφαῖς, δι' ὧν φησιν· « Ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται, » καὶ τούτων τῶν λέξεων πάλιν οἱ ἀντιλέγοντες ἡμῖν ἐνστατικώτερον ἀντιλαμβανόμενοι, ἐντεῦθεν οἴονται καὶ ἔτι ἀπελέγχειν κακῶς πεποιηκότας ἡμᾶς, σπεισαμένους Ἐκκλησίᾳ τῇ Ῥωμαϊκῇ, ἥτις ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορευόμενον τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῷ Συμβόλῳ ἀναγινώσκει τῆς πίστεως· τοιόνδε καὶ ἐπὶ τούτοις ποιούμεθα τὸν ἀπόλογον, κατ' ἐπιστασίαν τῆς τοιαύτης περικοπῆς τὸν ἡμέτερον λόγον οὕτωσὶ πρὸς τὸν ἡμῖν ἀντιλέγοντα σχηματίζοντες. Δεῦρο δή λέγε μοι, ὅστις ἂν εἶ, ὁ διὰ τὸ τὸν μέγαν λέγειν Βα-

Digitized by Google Распознавание текста АВК/FR

σῶσιν φανερὰν ἔκπτωσιν τῆς πίστεως εἶναι ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τὸ μὴ γεγραμμένον, καὶ διὰ τὸ τὸν Ἀπόστολον ἀπαγορεύειν τὸ προσθεῖναι, ἢ ὑφελεῖν τι ἐν ταῖς θεοπνεύστοις Γραφαῖς, αἱρέσεως τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν γραφόμενος, διὰ τοῦτό σοι ἐγκαλοῦνται Ῥωμαῖοι, ὅτι τῶν Γραικῶν ἐν τὸ συμβόλῳ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον ἀνομολογούντων, προστιθέασιν οὗτοι, καὶ ἐκ τοῦ Υἱοῦ. Ναὶ πάντως διὰ τοῦτο ἐρεῖς παραβάσεως εὐσεβείας γράφεσθαί σοι τὸν Ἰταλὸν, καὶ τὴν τοῦ οἰκείου λόγου ἀπόδειξιν ἐναργεστάτην καὶ ἀναμφίβολον οἴῃ εἶναι, τὴν ἐν Εὐαγγελίοις τοῦ Σωτῆρος προτεἰνων φωνὴν, ἐν ᾗ ὁ Σωτὴρ ἔφη, « τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Ἐπιφέρεις γὰρ ὡς, τοῦ Σωτῆρος οὕτω γε εἰρηκότος, ὁ προστιθεὶς τὸ, καὶ ἐκ τοῦ Υἱοῦ, τὴν Εὐαγγελικὴν παραχαράττει ἀλήθειαν, καὶ τὰς ἀναγεγραμμένας τοῦ μεγάλου Βασιλείου περὶ τῆς προσθήκης φωνὰς εἰς καταδρομὴν ὅτι πολλὴν τοῦ Ἰταλοῦ πανταχοῦ τοῦ λόγου προφέρεις.

η'. Ἀλλ' ἴσθι ὡς οὐκ ἄλλοθεν, ἀλλ' ἐξ αὐτοῦ τοῦ τῆς θεολογίας κήρυκος Βασιλείου τοῦ πάνυ ἀποίσῃ καὶ πάλιν τὸν ἔλεγχον, ὥσπερ οὖν κἀν τοῖς προτέροις, καὶ οὐκ ἐξ αὐτοῦ μὲν, ἐκ τῶν ἐν ἄλλοις δὲ θεολογηθέντων ἴσως αὐτῷ, ἀλλ' ἐξ αὐτῆς τῆς ἐν αὐτῷ τῷ λόγῳ, οὗπερ εἰσι καὶ αἱ προανατεταγμέναι περικοπαὶ, ἐκδοθείσης παρ' αὐτοῦ πίστεως, ἥτις καὶ οὕτως ἐπὶ λέξεων ἔχει· « Βασιλείου ἔκθεσις πίστεως. Πιστεύομεν τοίνυν καὶ ὁμολογοῦμεν εἰς ἕνα μόνον ἀληθινὸν, ἀγαθὸν Θεὸν, Πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα, τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ· καὶ εἰς ἕνα τὸν μονογενῆ αὐτοῦ Υἱὸν, Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, μόνον ἀληθινὸν, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν· ὃς ἐν ἀρχῇ ἦν πρὸς τὸν Θεὸν, καὶ θεὸς ἦν, καὶ μετὰ ταῦτα κατὰ τὴν Γραφὴν ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, καὶ διὰ τῆς ἐκ Παρθένου γεννήσεως μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, πάντα τὰ εἰς ἑαυτὸν καὶ περὶ ἑαυτοῦ γεγραμμένα ἐπλήρωσε κατὰ τὴν ἐντολὴν τοῦ Πατρὸς, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθεὶς ἐκ νεκρῶν κατὰ τὰς Γραφὰς, ὤφθη τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ τοῖς λοιποῖς, ὡς γέγραπται. Ἀνέβη τε εἰς οὐρανοὺς, καὶ κάθηται ἐν δεξιᾷ τοῦ Πατρὸς, ὅθεν ἔρχεται ἐπὶ συντελείᾳ τοῦ αἰῶνος τούτου, ἀναστῆσαι πάντας καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· ὅτε οἱ μὲν δίκαιοι προσληφθήσονται εἰς ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν, οἱ δὲ ἁμαρτωλοὶ κατακριθήσονται εἰς κόλασιν αἰώνιον, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Καὶ ἓν μόνον Πνεῦμα ἅγιον, τὸν

nobis objicientes efformabimus. Agedum : dicito mihi, quisquis fueris, qui, quod magnus Basilius fassus est, manifestum esse infidelitatis argumentum, ex iis, quæ scriptioni commendata sunt, aliquid rejicere, sive ex iis, quæ scripta non sunt, introducere ; et quod Apostolus prohibet aut addere, aut demere aliquid ex numine afflatis Scripturis, hæreseos crimen Romanæ Ecclesiæ appingis, propterea reos agis Romanos, quod Græcis in Symbolo Spiritum ex Patre procedentem pronuntiantibus, illi addunt, et ex Filio. Ita est omnino, inquies, meritoque a te Italum veluti pietatis violatorem accusari, tuique dicti probationem apertissimam esse, et prorsus certissimam arbitraris, evangelicam Servatoris vocem proponens, qua Servator pronuntiavit, « Spiritus veritatis, qui a Patre procedit [a]. » Isfers siquidem, Servatore ita asserente, qui addit, Et ex Filio, evangelicam veritatem adulterat ; ut supra allatas magni Basilii voces de additione, vehementer Italum criminando, singulis orationis membris volvis revolvisque.

8. Verumtamen scito, non ex aliis, sed ex ipsis magni theologiæ præconis Basilii verbis rursus refutaberis, quemadmodum et de aliis supra exposuimus, neque ex ipsius, sed in aliis tractatibus ab eodem de rebus divinis decretis, sed ex eadem metipsa oratione, cujus et supra adducta segmenta sunt, et fide in ea tradita, quæ hunc in modum nec aliis verbis producta est. « Credimus igitur et confitemur unum solum, et verum, et bonum Deum, et Patrem omnipotentem, ex quo omnia, Deum Patrem Domini et Dei nostri Jesu Christi : Et unicum unigenitum ejus Filium, Dominum et Deum nostrum Jesum Christum, solum, verum, per quem omnia facta sunt, visibiliaque atque invisibilia, et in quo omnia constant, quique in principio erat apud Deum, et Deus erat et post hæc secundum Scripturas in terris visus est, et cum hominibus conversatus est. Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit : et per nativitatem ex Virgine formam servi cum accepisset, et habitu inventus esset ut homo, omnia, quæ in ipsum, et de ipso scripta fuerunt, complevit, secundum mandatum Patris factus obediens usque ad mortem, mortem autem crucis. Et postquam tertia die resurrexisset a mortuis secundum Scripturas, visus est a sanctis discipulis suis, et reliquis, sicut scriptum est : Et ascendit in cœlum, et sedet ad dexteram Patris, unde venturus est in consummatione sæculi hujus ad excitandos omnes et reddendum unicuique juxta opus illius : quando justi quidem assumentur ad vitam æternam, peccatores vero sempiterno addicentur supplicio, ubi vermis eorum non moritur, et ignis non exstinguitur. Credimus item unum solum Spiritum san-

[a] Joan. xv, 26.

Digitized by Google Распознавание текста ABK/FR

ctum, Paracletum, in quo obsignati sumus in die redemptionis, Spiritum veritatis, Spiritum adoptionis, in quo clamamus, Abba Pater, qui dividit et efficaciter operatur dona, quæ a Deo dantur, singulis, prout vult, ad utilitatem : Spiritum, inquam, quæcunque audiverit a Filio docentem et commonentem omnia : bonum, deducentem in omnem veritatem, et confirmantem omnes credentes ad cognitionem veram et exactam, et cultum Dei pium, et adorationem spiritalem, et veram confessionem Dei Patris, unigenitique ejus Filii, Dominique ac Dei nostri Jesu Christi. Et hæc ipsa equidem tria nomina seorsum singula suam peculiarem quamdam proprietatem aperte significant, quæ pie considerari in ipsis potest, atque in Patre quidem proprietas Patris, in Filio proprietas Filii, in Spiritu sancto postremo sua quædam a duobus diversa proprietas : cum neque Spiritus sanctus a se ipso loquatur, neque Filius a semetipso faciat quidquam : ac Pater quidem Filium mittat, Filius vero Spiritum sanctum. Sic sentimus, et sic baptizamus in Trinitate consubstantiali, idque ex præcepto Domini nostri Jesu Christi, qui dixit : « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, docentes eos servare omnia, quæcunque mandavi vobis [25]. » Quæ servantes et charitatem erga illum habere nos demonstramus, et digni efficimur, qui in ea maneamus, sicut scriptum est : contra negligentes eam servare, ab ea disjuncti, aut aliter affecti convincimur. « Qui enim non diligit me, inquit Dominus, sermones meos non servat [26]. » Et item, « Qui habet mandata mea et custodit ea, ille est, qui diligit me [27]. » Et hæc equidem est a magno Basilio fides tradita ipsissimis verbis.

9. Qua asserta tua hunc in modum redarguentur. Namque in ea a Filio Spiritum procedere, quod Italorum additio contendit, tacens, silet quoque et ex Patre procedere, quod Dominica vox in Evangelio enuntiavit, quo aperte palamque confirmat, non talem esse additionem ab Italis in Symbolo factam, qualem idem ipse, cæterique nostri deiferi Patres, eum, qui sane fidei quidpiam addiderit, vel aliquid ex ea detraxerit, anathemati subjicientes, prohibuerunt. Vera siquidem tum additio, et detractio est, cum non dictionibus, sed sententiis alienis externisque fides sana violatur. Etenim, si dictionum additione Evangelica veritas vulneratur, fidemque aliis propinare, in qua Evangelicæ Servatoris voces prorsus non digerantur, sed silentio involutæ dissimulentur, Dominicas voces est violare, et Evangelium adulterare : si hoc, inquam, verum est nunquam hic magnus Basilius asseverasset, « planum apertumque esse a fide casum, et superbiæ indicium, aut ex iis quæ scripta sunt aliquid rejicere, aut ex non

Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, ἐν ᾧ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώσεως· τὸ Πνεῦμα τῆς υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ, τὸ διαιροῦν καὶ ἐνεργοῦν τὰ παρὰ τοῦ Θεοῦ χαρίσματα ἑκάστῳ πρὸς τὸ συμφέρον, καθὼς βούλεται· τὸ διδάσκον καὶ ὑπομιμνῆσκον πάντα, ὅσα ἀκούει παρὰ τοῦ Υἱοῦ· τὸ ἀγαθὸν, τὸ ὁδηγοῦν εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ στηρίζον πάντας τοὺς πιστεύοντας πρὸς γνῶσιν ἀσφαλῆ, καὶ ὁμολογίαν ἀκριβῆ, καὶ προσκύνησιν πνευματικὴν καὶ ἀληθῆ Θεοῦ Πατρὸς καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ἑαυτοῦ ἑκάστου ὀνόματος τὴν τοῦ ὀνομαζομένου ἰδιότητα σαφῶς ἡμῖν διευκρινοῦντος· καὶ περὶ ἕκαστον τῶν ὀνομαζομένων πάντων τῶν ἐξαιρέτων ἰδιωμάτων εὐσεβῶς θεωρουμένων, τοῦ μὲν Πατρὸς ἐν τῷ ἰδιώματι τοῦ Πατρὸς, τοῦ δὲ Υἱοῦ ἐν τῷ ἰδιώματι τοῦ Υἱοῦ, τοῦ δὲ ἁγίου Πνεύματος ἐν τῷ οἰκείῳ ἰδιώματι, μήτε τοῦ ἁγίου Πνεύματος ἀφ' ἑαυτοῦ λαλοῦντος, μήτε τοῦ Υἱοῦ ἀφ' ἑαυτοῦ τι ποιοῦντος, καὶ τοῦ μὲν Πατρὸς πέμποντος τὸν Υἱον, τοῦ δὲ Υἱοῦ πέμποντος τὸ ἅγιον Πνεῦμα· οὕτω φρονοῦμεν, καὶ οὕτω βαπτίζομεν εἰς Τριάδα ὁμοούσιον, κατὰ τὴν ἐντολὴν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες τοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. » Ἅπερ τηροῦντες μὲν τὴν εἰς αὐτὸν ἀγάπην ἐπιδεικνύμεθα, καὶ ἐν αὐτῇ μένειν καταξιούμεθα, καθὼς γέγραπται, μὴ τηροῦντες δὲ ἐναντίως ἔχοντες ἐλεγχόμεθα. « Ὁ μὴ ἀγαπῶν γάρ με, » φησὶν ὁ Κύριος, « τοὺς λόγους μου οὐ τηρεῖ. » Καὶ πάλιν· « Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. » Αὕτη μὲν ἡ παρὰ τοῦ μεγάλου Βασιλείου ἐκδοθεῖσα πίστις αὐτολεξεί.

θ'. Σὺ δὲ ἐκ ταύτης, ἐφ' οἷς λέγεις, οὕτως ἀπελεγχθήσῃ. Ἐν ταύτῃ γὰρ μὴ παρὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι λέγων τὸ Πνεῦμα ὁ ἅγιος, ὅπερ ἡ προσθήκη τῶν Ἰταλῶν βούλεται, σιγᾷ καὶ τὸ ἐκ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, ὅπερ ἐν Εὐαγγελίοις ἡ Κυριακὴ φωνὴ παραδέδωκε· καὶ τοῦτο ποιῶν παρίστησιν ἐναργῶς μὴ τοιαύτην εἶναι προσθήκην τὴν παρ' Ἰταλῶν ἐν τῷ Συμβόλῳ γενομένην προσθήκην, οἷανπερ καὶ οὗτος αὐτὸς, καὶ οἱ λοιποὶ θεοφόροι Πατέρες ἡμῶν ἀπηγόρευσαν, πάντα τὸν προστιθέντα τῇ ὑγιαινούσῃ πίστει, ἢ ἀφαιροῦμενον ἐξ αὐτῆς, καταδικάζοντες ἀναθέματι. Ἀληθὴς γὰρ προσθήκη ἐστὶ καὶ ἀφαίρεσις τὸ μὴ λέξεσιν, ἀλλ' ἐννοίαις ἑκατέρως τούτων τὴν ὑγιαίνουσαν πίστιν παθεῖν. Εἰ γὰρ ἐν λέξεσι προσθήκη τὴν Εὐαγγελικὴν παραχαράττει ἀλήθειαν, καὶ τὸ πίστιν πάντως παραδιδόναι, καὶ τὰς Εὐαγγελικὰς τοῦ Σωτῆρος φωνὰς ἐν τῇ τοιαύτῃ πίστει ἐκτίθεσθαι, ἀλλὰ ταύτας παρατρέχειν σιγῇ, καὶ τοῦτο ἀθετεῖν ἐστι τὰς τοῦ Κυρίου φωνὰς, καὶ παραχαράττειν τὸ Εὐαγγέλιον. Ἀλλ' εἰ τοῦτο ἦν ἀληθὲς, οὐκ ἂν ὁ μέγας οὗτος Βασίλειος νῦν μὲν ἔλεγεν « φανε-

[25] Matth. xxviii, 19, 20. [26] Joan. xiv, 24. [27] ibid. 21.

Digitized by Google Распознавание текста ABK/FR

ρὰν ἐκπτωσιν πίστεως εἶναι καὶ ὑπερηφανίας κατηγορίαν ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τὸ μὴ γεγραμμένον· » νῦν δὲ ὅρον πίστεως καὶ εὐσεβείας παραδιδοὺς τὴν ἐν Εὐαγγελίοις γεγραμμένην ἠφίει τοῦ Κυρίου φωνὴν, τὸν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα ἐκπορεύεσθαι λέγουσαν. Ἆρα, ὅτι γε ὁ μέγας Βασίλειος ἐν τῇ ἐκθέσει ταύτῃ τῆς πίστεως οὐκ ἐρῇ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἠθέτηκέ τι τῶν γεγραμμένων, καὶ τῇ καταδίκῃ ἔνοχον κατέστησεν ἑαυτὸν, ἣν οἱ Πατέρες ἡμῶν κατεδίκασαν τοὺς ἐπὶ τῷ Συμβόλῳ τῆς πίστεως προστιθέντας ἢ ἀφαιροῦντας ; καὶ ποῖος ἂν δὴ κατὰ τοῦ τῆς Ἐκκλησίας φωστῆρος ἐκείνου τοιαύτην ἀπερύξαται βλασφημίαν ; Αὐτός ἐστιν ὁ « φανερὰν ἔκπτωσιν πίστεως » ἀποκαλῶν « τὸ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν, καὶ ἐν τῷ παράγειν τὸν Ἀπόστολον ἐν ὑποδείγματι ἀνθρωπίνῳ σφοδρότερον ἀπαγορεύοντα τὸ προσθεῖναι ἢ ὑφελεῖν τι ἐν ταῖς θεοπνεύστοις Γραφαῖς. » Αὐτός ἐστιν ὁ ταῦτα λέγων, καὶ ἐν τῇ ἐκδοθείσῃ παρ' αὐτοῦ πίστει σιωπῇ παρατρέχει τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ Πνεύματος Εὐαγγελικὴν τοῦ Σωτῆρος φωνὴν, εἴπερ ὕφεσίν τινα τῆς ἀκριβοῦς εὐσεβείας διεγίνωσκε τὸ ὑφελεῖν μέχρι στοιχείων τε καὶ γραμμάτων τῶν τινας ἐγκειμένων ἐν ταῖς θεοπνεύστοις γραφαῖς λέξεων ; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Ἀλλ' ἐν τῷ φανερὰν ἔκπτωσιν πίστεως, καὶ ὑπερηφανίας κατηγορίαν ἀποκαλεῖν τὸ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τὸ μὴ γεγραμμένον, καὶ ἐν τῷ παράγειν τὸν Ἀπόστολον ἐν ὑποδείγματι ἀνθρωπίνῳ σφοδρότερον ἀπαγορεύοντα τὸ προσθεῖναι ἢ ὑφελεῖν τι ἐν ταῖς θεοπνεύστοις Γραφαῖς, εἶτα παράδοσιν ἐκτίθεσθαι πίστεως, καὶ τὴν Εὐαγγελικὴν φωνὴν ἀποσιωπᾶν, τὴν λέγουσαν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἐναργῆ ποιεῖται ἀποδεῖξιν τοῦ μὴ τῶν γεγραμμένων εἶναι ἀθέτησιν τὸ λέξεις ἐν ταῖ, θεολογίαις ἀποσιωπᾶσθαι Εὐαγγελικάς τε καὶ ἀποστολικὰς, ὁπηνίκα ἐκ τῆς ἐννοίας τῶν ἄλλων ἁπασῶν λέξεων αἱ θεολογίαι τὸ ἀκριβὲς καὶ ἐντελὲς ἀποφέρονται. Καὶ εἰ μὴ εὐσεβείας ἐστὶν ἀφαίρεσις ἡ τῶν γραφικῶν ἀφαίρεσις λέξεων, ὁπηνίκα ἔχῃ τὸ τῆς εὐσεβείας ἀπηρτισμένον ἡ ἔννοια, οὐδὲ εὐσεβείας ἐστὶν ἀθέτησις τῶν λέξεων ἡ προσθήκη, ὁπηνίκα ἡ τῶν πρωτιθεμένων λέξεων ἔννοια τὴν εὐσέβειαν ἀπαραποίητον συντηρεῖ. Ὅθεν οὐδὲ σὺ ἐκ τῶν περὶ προσθήκης καὶ ἀφαιρέσεως τῷ ἁγίῳ ῥηθέντων ἐν τῇ δηλωθείσῃ περικοπῇ καλῶς ἡμᾶ; ἀπελέγχειν ὑπέλαβε;, τῇ Ῥωμαϊκῇ σπεισαμένους Ἐκκλησίᾳ ὡς διαγνόντας μηδὲν τὴν εὐσέβειαν ἐκ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης λυμαίνεσθαι.

ι'. Ἔστι δέ σοι καὶ ἐξ ἄλλων τοῦ ῥηθέντος λόγου λέξεων τοῦτο καταμαθεῖν. Προεπαγγέλλεται γὰρ ὁ ἅγιος τοῖς αἰτησαμένοις αὐτὸν τὴν τῆς πίστεως ἔκθεσιν ἀνοθεύτως καὶ ἀκαπηλεύτως παραδοῦναι, καὶ ὡς αὐτὴν ἐκ τῆς θεοπνεύστου Γραφῆς ἔμαθεν. Ἐν γὰρ μιᾷ τῶν τοῦ ῥηθέντος λόγου περικοπῶν οὕτω λέγει σαφῶς· « Διακόνου δὲ πιστοῦ ἴδιον ἴστε πάντως καὶ αὐτοὶ τὸ, ἅπερ ἂν εἰς τοὺς συνδούλους οἰκονομῆσαι παρὰ τοῦ ἀγαθοῦ Δεσπότου πιστευθῇ, ταῦτα διασῶσαι τούτοις ἀνοθεύτως καὶ ἀκαπηλεύτως. Ὥστε κἀγὼ ἅπερ ἔμαθον ἐκ τῆς θεοπνεύστου Γρα-

scriptis inserere. » Nunc vero definitionem fidei pietatisque tradens, Domini vocem in Evangeliis scripto consignatam deseruit, eam nempe, quæ Spiritum ex Patre procedere intonat. Num itaque magnus Basilius, quod in hac fidei expositione Spiritum ex Patre procedere, tacuit, aliquid ex scriptis violavit, et pœnis iis obnoxius factus est, quibus Patres nostri eos subjecere, qui in Fidei Symbolo adderent, vel detraherent? Et quisnam orcus adversus illud Ecclesiæ lumen similem blasphemiam eructaverit? Ille ipse est, qui « haud dubium a fide casum » nuncupat, « aut aliquid ex scriptis improbare, aut addere, Apostolum, sumpto ex homine exemplo vehementissime interdicentem, ne quid eorum, quæ in divinis Litteris habentur, demator, aut addatur, adducens. Hic est qui hæc intonat, et in exposita a se fide silentio involvit de processione Spiritus evangelicam Servatoris vocem, si accuratæ pietatis imminutionem aliquam censuisset, vel tenuiculis vel litterulis voces, qui in divinis Litteris digeruntur, quoquo modo mutilare? Non est hoc, non est. Verumtamen, dum minime dubium infidelitatis argumentum, et superbiæ indicium vocat, aliquid scriptis rejecere, et ex non scriptis introducere: dumque Apostolum adducit, sumpto ab homine exemplo, vehementius interdicentem, ne quid eorum, quæ in divinis Litteris habentur, demator aut addatur, tum postmodum fidei editionem tradens, evangelicam vocem asserentem, Spiritum ex Patre procedere, tacitus præterit, plane demonstrat, eorum, quæ scripta sunt, violationem non esse, dictiones tum evangelicas, tum apostolicas, cum de theologicis tractamus, silentio obruere, dummodo ex aliarum omnium dictionum sententia theologica dicta accuratum perfectumque intellectum præseferunt. Et si nulla pietas imminuitur, dum scriptæ dictiones detrahuntur, dummodo sententia pietatis erit violatio dictionum additio, dummodo additarum dictionum sententia nulla in re pietatem immutat. Hinc neque tu ex iis, quæ traduntur de additione et detractione a sancto in jam adducto libri segmento, probe ac merito nos reprehendis, qui Romanæ Ecclesiæ societatem amplexati sumus, tanquam ii, qui dignoscimus, pietatem additione in Symbolo facta nullo modo lædi.

10. Potes item et ex aliis jam laudatæ orationis verbis hoc idem agnoscere. Promittit etenim sanctus iis, qui ab eo postularant, fidei expositionem, integram, et nullius rei alterius admistione adulteratam tradere, et ea ratione, qua ex divinis Litteris acceperat. Namque in una ejusdem orationis pericopa, hæc plane habentur, « Porro fidelis ministri hoc esse proprium sine dubio scitis vos quoque nimirum, ut quæ a benigno Domino in conservos suos distribuenda acceperit, hæc ipsis integra, et nullius rei alterius

Digitized by Google Распознавание текста АВК/FR

admistione adulterata custodiat. Quocirca ego quoque quæ ex divinis Litteris accepi, hæc quemadmodum Dei voluntas est, ad communem utilitatem exponere vobis teneor necessario. » Qui igitur postulatam fidem integram, et nulla in re adulteratam postulantibus tradere profitetur, eaque illis apponere promittit, quæ ipse ex divinis Litteris didicit, si vel dictionibus divinæ Scripturæ doctrina præscribitur, quanam ratione in fide tradenda silentio præteriit, dictionem illam ipsam, quam Dominus in Evangeliis pronuntiavit? Et si præteriit, quomodo mendacii, illiusque ingentis non erit reus, qui promiserat quidem apponere, quæ ex divina Scriptura didicerat, et ea tamen quæ maxime omnium necessaria videbantur, tacuit? Sane qui magnum Basilium pietatis doctorem confitetur, quemadmodum ego, et Spiritus diversorium eum tenet, assensum præbebit, nullam aliam ob causam eum asserere, traditam ab se fidem integram esse, et nulla in re adulteratam, et ut eam ex divinis Litteris didicerat, et nihilominus dictionibus evangelicis de processione Spiritus carentem, quam quod non dictionibus, sed sententiis in fide additionem, aut imminutionem esse dicat et decernat. Adeo itaque firma patenteque demonstratione, non in dictionibus sed in sententiis consistere additionem vel detractionem in fide, frustra sermones confundere deprehendimini, qui cum Romana Ecclesia societatem initam et pacem nobis exprobratis.

φῆς, ταῦτα ἡμῖν παραθέσθαι κατὰ τὸ ἀρέσκον Θεῷ πρὸς τὸ κοινῇ συμφέρον ὀφειλέτης εἰμί. Ὁ γοῦν τὴν ἀπαιτηθεῖσαν παρ' αὐτοῦ πίστιν ἀνόθευτον καὶ ἀκαπήλευτον τοῖς αἰτηθεῖσιν παραδοῦναι ἐπαγγελλόμενος, κἀκεῖνα αὐτοῖς παραθέσθαι καθυπισχνούμενος, ἅπερ ἐκ τῆς θεοπνεύστου Γραφῆς ἔμαθεν, εἰ μέχρι λέξεων ἡ τῆς θεοπνεύστου Γραφῆς διδασκαλία διώρισται, πῶς ἂν ἐν τῷ παραδιδόναι τὴν πίστιν σιωπῇ παραδεδραμήκει λέξιν αὐτὴν ἐκείνην, ἣν ἐν Εὐαγγελίοις ὁ Κύριος εἴρηκεν; Εἰ δὲ παρέδραμε, πῶς οὐκ ἂν τοῦ μεγίστου ψεύδους ἑάλω, ἐπαγγειλάμενος μὲν εἰπεῖν, ἅπερ ἔμαθεν ἐκ τῆς θεοπνεύστου Γραφῆς, σιωπῶν δὲ τὰ μᾶλλον δοκοῦντα τῶν ἄλλων ἀναγκαιότερα; Πάντως ὁ τὸν μέγαν Βασίλειον διδάσκαλον εὐσεβείας ὁμολογῶν, ὥσπερ ἐγὼ, καὶ Πνεύματος καταγώγιον πιστεύων εἶναι αὐτὸν, σύνθοιτο ἂν οὐ δι' ἄλλο τι λέγειν αὐτὸν τὴν παρ' αὐτοῦ δοθεῖσαν πίστιν ἀνόθευτον εἶναι καὶ ἀκαπήλευτον, καὶ ὡς αὐτὴν ἔμαθεν ἐκ τῆς θεοπνεύστου Γραφῆς, καὶ ταῦτα ἐλλιπῶς τῶν ἐπὶ τῇ ἐκπορεύσει τοῦ Πνεύματος Εὐαγγελικῶν λέξεων ἐχουσαν, ἀλλ' ἢ διὰ τὸ μὴ ἐν λέξεσιν, ἀλλ' ἐννοίαις κρίνειν αὐτὸν τὴν ἐν τῇ πίστει προσθήκην καὶ ὕφεσιν. Οὕτω δὲ βεβαίας ἀναφαινομένης τῆς ἀποδείξεως τοῦ μὴ ἐν λέξεσιν, ἀλλ' ἐννοίαις περιεῖναι τὸ ἐπὶ τῇ πίστει προσθεῖναι καὶ ὑφελεῖν, μάτην λοιπὸν λέγοντες ὑμεῖς ἀπελέγχεσθε οἱ τὴν Ῥωμαϊκῆς Ἐκκλησίας καταλλαγὴν καὶ εἰρήνην διεγκαλοῦντες ἡμῖν.

CAPUT IV.

Adversus eos qui addubitant super eo dicto, « Quod a Filio esse dicitur, ad Patrem refertur. »

1. Sed cum, dum de dictis illis, quæ per Filium et ex Filio esse Spiritum astruunt, alia atque alia objiciendo, qui rebus similibus inhiant, defessi fuerint, rursus incerti, hæsitabuntque, inquiunt: Et undenam addisceremus, quod a Filio esse dicitur, ad Patrem relationem habere? Nos ad eorum, quæ ab ipsis postulantur, demonstrationem cum aptius nihil aut opportunius afferre valeamus, quam quæ magnus Basilius in fine secundæ adversus Eunomium orationis dixit, illa eadem in medium adducimus, quæ hunc in modum se habent: « Illud vero cui non patet, quod nulla Filii operatio a Patre divisa est: nec est aliquid in rebus, quod Filio insit, et a Patre alienum sit? « Omnia, » inquit, « mea tua sunt, et tua mea [28]. » Quomodo ergo Spiritus causam et originem Unigenito soli attribuit, et ad ejus accusandam naturam hujus creationem accipit? Si igitur duo principia in oppositum inter se ducens, hæc ait, cum Manichæo et Marcione conteretur. Quod si ab uno dependere ac prodire omnia putat, quod a Filio esse dicitur factum, ad primam causam refertur, quare et si cuncta producta esse per Verbum Deum

[28] Joan. xvii, 10.

ΚΕΦΑΛ. Δ'.

Πρὸς τοὺς διαπορουῦντας, « Εἰ τὸ παρὰ τοῦ Υἱοῦ εἶναι λεγόμενον πρὸς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει. »

α'. Ἀλλ' ἐπεὶ ὁπηνίκα ταῖς παρὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα δηλούσαις ῥήσεσι τῶν ἁγίων ἀποκάμωσιν ἀντιλέγειν οἱ πρὸς τοῦτο ἐπιῤῥεπεῖς διαπορουῦντες, καὶ πάλιν φασί· Καὶ πόθεν μαθεῖν ἔξομεν τὸ παρὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχειν; ἡμεῖς εἰς ἀπόδειξιν, ὧν ἀπαιτοῦσι, μηδὲν ἔχοντες εἰπεῖν προσφυέστερον, ὧν ὁ μέγας ἔφη Βασίλειος περὶ τὰ τέλη τοῦ δευτέρου τῶν κατ' Εὐνομίου λόγων αὐτοῦ, ἐκεῖνα δὴ καὶ προτείνομεν, ἃ καὶ ἔχουσιν οὕτως· « Ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλον, ὅτι οὐδεμία ἐνέργεια τοῦ Υἱοῦ ἀποτετμημένη ἐστὶ τοῦ Πατρὸς, οὐδὲ ἔστι τι ἐν τοῖς οὖσι τῷ Υἱῷ ὑπάρχον, ὃ τοῦ Πατρὸς ἠλλοτρίωται; « Πάντα γάρ, » φησὶ, « τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. » Πῶς; οὖν τὴν τοῦ Πνεύματος αἰτίαν τῷ Μονογενεῖ μόνῳ προστίθησι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνει δημιουργίαν; Εἰ μὲν δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις ταῦτά φησι, μετὰ Μανιχαίου καὶ Μαρκίωνος συντρεβήσεται· εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα, τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. Ὥστε κἂν πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ τοῦ Θεοῦ Λόγου πιστεύωμεν, ἀλλὰ τὸ

Digitized by Google Распознавание текста ABK/FR

πάντων αἴτιον εἶναι τὸν Θεὸν τῶν ὅλων οὐκ ἀφαιρούμεθα. Ταῦτα μὲν οὖν ἡμεῖς τῷ λόγῳ προτείνομεν εἰς ἀπόδειξιν τοῦ τὴν αἰτίαν τοῦ Πνεύματος εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχειν, κἂν καὶ παρὰ τοῦ Υἱοῦ λέγηται εἶναι αὐτό.

A credimus, omnium tamen esse causam Deum non negamus. » Hæc itaque nos hac nostra oratione proponimus, ut ostendamus, causam Spiri us ad Patrem referri, licet ille et a Filio esse dicitur.

β'. Οὗτοι δὲ ἐριστικώτερον ἡμῖν καὶ πάλιν ἐπιφυόμενοι, Ἀλλ' ὁ μέγας, φασὶ, Βασίλειος, ὅσον ἐστὶν εἰκάσαι ἀπὸ τῶν ῥηθεισῶν λέξεων, οὐ περὶ τῆς θεότητος τοῦ Πνεύματος ἐνταῦθα θεολογῶν ἔφη τὰ εἰρημένα, ἵνα ἡμῖν λύσις τοῦ ζητουμένου γένηται ταῦτα. Ἀλλ' ἐπεὶ κτίσμα τοῦ Υἱοῦ ὁ Εὐνόμιος ἐβλασφήμει, διαιρῶν δὲ αὐτὸ τοῦ Πατρὸς, μόνου τοῦ Υἱοῦ ἔλεγε κτίσμα εἶναι αὐτὸ, ὡς προτάσεις ὁ ἅγιος προτιθέμενος, τὸ « Μηδεμίαν ἐνέργειαν τοῦ Υἱοῦ ἀποτετμημένην τοῦ Πατρὸς εἶναι, μηδὲ εἶναί τι ἐν τοῖς οὖσι τῷ Υἱῷ ὑπάρχον, ὃ τοῦ Πατρὸς ἠλλωτρίωται, » συνάγει ἐντεῦθεν τὸ κακῶς καὶ ἐπισφαλῶς τὴν τοῦ Πνεύματος αἰτίαν τῷ Μονογενεῖ μόνῳ τὸν Εὐνόμιον προστιθέναι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνειν δημιουργίαν. Τοιαῦτα τοῖς ἡμετέροις ἀντιπροτεινόντων αὐτῶν, ἡμεῖς πάλιν, Καὶ τί, φαμὲν, ὑμῖν δοκεῖ, βέλτιστοι; Ἆρά γε διὰ τοῦτο κακιστέος Εὐνόμιος ἔδοξε τῷ Πατρὶ Βασιλείῳ, λέγων ἐκ μόνου τοῦ Υἱοῦ τὸ Πνεῦμα, διότι ἔφθη κτίσμα Υἱοῦ τὸ Πνεῦμα εἰπεῖν; Καὶ εἰ διὰ τοῦτο ἀναμφίβολος καθ' ὑμᾶς ἀκολουθεῖ ἔννοια κατὰ τὸ σιωπώμενον, ὡς, εἰ μὴ κτίσμα, ἀλλὰ Θεὸν τὸ Πνεῦμα φρονῶν ὁ Εὐνόμιος ἐκ μόνου τοῦ Υἱοῦ ἔλεγεν εἶναι αὐτὸ, οὐκ ἂν παρὰ τῷ Πατρὶ Βασιλείῳ ἐκακίσθη. Ἡ γὰρ κτίσμα τὸ Πνεῦμα κατ' Εὐνόμιον, καὶ τὸ βλάσφημον εἰς τὴν ἐκείνου τρέποιτο κεφαλὴν, ἢ οὐ κτίσμα κατὰ τὴν τῆς θεολογίας ἀλήθειαν, καὶ εἰ διὰ τὴν τοῦ κτίσματος δόξαν κακιστέος ὁ Εὐνόμιος λέγων ἐκ μόνου τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἐδήλων ὡς ὁ Θεὸν τὸ Πνεῦμα φρονῶν οὐ κακιστέος, ἐκ μόνου τοῦ Υἱοῦ λέγων αὐτό. Καὶ ὁρᾶτε ὑμεῖς, μήποτε τὸν καπνὸν φεύγοντες ἐμπεσεῖσθε πυρί. Οἱ γὰρ παρὰ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα διενιστάμενοι, ὥσπερ ἐπιλανθανόμενοι μὴ μόνου τοῦ Πατρὸς Πνεῦμα εἶναι αὐτὸ, δοκεῖτε τὸν μέγαν παράγειν Βασίλειον ἐκ τῆς κατ' Εὐνομίου ἀντιῤῥήσεως συνιστῶντα, ἐκ μόνου τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, κατὰ τὴν θεϊκὴν οὐσίαν αὐτοῦ.

2. At hi porro contentiosius nobis insistentes, Sed magnus, inquiunt, Basilius, ut ex dictis vocibus conjicere possumus, non de deitate Spiritus, quæ adducta sunt, enuntiavit, ut quæstionis nostræ solutio essent : sed cum Filii creaturam Eunomius improbe blasphemaque assereret, separansque eum a Patre, solius Filii creaturam affirmaret, præponens sanctus veluti pronuntiata. « Nullam operationem Filii a Patre divisam esse : » et, « Non esse aliquid in rebus, quod Filio insit, et a Patre alienum sit; » inde colligit, male, et non sine errore, causam Spiritus Unigenito soli attribui, et ad accusandam illius naturam, hujus creationem assumi. Hæc illis objicientibus nos rursus respondemus : Et quid, inquimus, vobis videtur? viri optimi. Num propterea Patri Basilio condemnandus visus est Eunomius dicens ex solo Filio Spiritum, quod antea dixerat creaturam Filii Spiritum? Et si propter hoc absque dubio per vos sequetur illud, licet verbis non exprimatur, si Spiritum non creaturam, sed Deum tenens Eunomius, ex solo Filio esse dixisset, nunquam a magno Basilio male habitus fuisset. Etenim aut creatura est Spiritus secundum Eunomium, et blasphemia in caput illius vertatur, aut non creatura, ut vera sancit theologia, et si propter creaturæ opinionem Eunomius damnandus est, asserens ex solo Filio Spiritum, manifestum est eum, qui Deum Spiritum tenet, damnandum non esse, licet dicat ex solo Filio illum esse. Et cavete vos, ne dum fumum fugitis in ignem incidatis. Namque qui a solo Patre esse Spiritum contenditis, quasi obliti non solius Patris Spiritum illum esse, ut videmini, magnum Basilium, objectione, quam ille Eunomio proposuit, adducitis constabilientem, ex solo Filio esse Spiritum secundum divinam illius essentiam.

γ'. Φημὶ γὰρ καὶ πάλιν ὡς, ἐὰν καθ' ὑμᾶς ὁ κατ' Εὐνομίου γέγονε γογγυσμὸς, λέγοντος ἐκ μόνου τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, τῷ δοξάζειν αὐτὸν κτίσμα εἶναι τὸ Πνεῦμα, πρόδηλον ὡς οὐκ ἂν ἐκακίσθη πρὸς τὸ ἐκ μόνου τοῦ Υἱοῦ λέγειν αὐτὸ, εἰ Θεὸν ἐφρόνει αὐτό· καὶ τῆς ἐννοίας ταύτης ἀκολουθεῖν ἠναγκασμένης κατὰ τὸ σιωπώμενον, οἱ παρὰ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα διενιστάμενοι, λανθάνουσι παρὰ μόνου τοῦ Υἱοῦ συνιστῶντες εἶναι αὐτό. Ἀλλ' εἴπερ τὸ ἐντεῦθεν ἀνακύπτον ἄτοπον καὶ παράλογον καρίστησιν ἐναργῶς μὴ διὰ τὴν τοῦ κτίσματος δόξαν κακίζεσθαι παρὰ τοῦ μεγάλου Βασιλείου τὸν αἱρετικὸν Εὐνόμιον, ἐκ μόνου τοῦ Υἱοῦ λέγοντα εἶναι τὸ Πνεῦμα, ἀλλὰ διὰ μόνον αὐτὸ τὸ ὅλως ἐκ μόνου εἰπεῖν, εἴτε ὡς ὁ Εὐνόμιος ἐβλασφήμει κτίσμα, εἴτε

3. Namque iterum repeto, si per vos adversus Eunomium querela habita est, dicentem ex solo Filio esse Spiritum, dum ille opinatur, Spiritum creaturam esse, manifestum est, eum non male tractatum fuisse, quod ex solo Filio diceret Spiritum, si Deum illum esse crederet : et ex hac violenta sententia sequi, licet taceatur, qui a solo Patre Spiritum esse contendunt, illos imprudenter a solo Filio eum esse comprobare. Sed si quod hinc subsultat absurdum, et plane inopinabile, aperte confirmat, non propter creaturæ opinionem male accipi hæreticum Eunomium a magno Basilio, ex solo Filio asserentem Spiritum esse, sed quod solum eum omnino ex solo dixerat, sive, ut Eunomius impie sentiebat, creatura, sive, ut theolo-

Digitized by Google Распознавание текста ABK/FR

gica veritas insinuat, Deus est Spiritus sanctus; nullus relinquitur dubitationis locus, quin cognoscamus, sanctum illud tantummodo adversus Eunomium inculcasse, Spiritum sanctum, licet ille secundum divinam suam essentiam non sit a solo Filio, disgregatus a Patre, sed etiam si creatura esset Filii, Eunomi, ut astruis, neque hac ratione operæ pretium erat, causam illius Unigenito soli appingere separareque a Patre, quod « omne quod a Filio factum est, ad Patrem primam causam refertur; » necnon absque ulla hæsitatione patente, non propter creaturæ opinionem a magno Basilio objurgatum Eunomium dicentem, ex solo Filio esse Spiritum, sed quod solum ipsum prorsus ex solo Filio diceret, patet una simul refutatio eorum, qui addubitant an quod a Filio dicitur esse, referatur ad Patrem.

4. Tu porro, si jam allatam refutationem tanquam minus validam non usquequaque probas, accuratius examinatis quæ post jam descriptam pericopem sanctus verba connectit, adhuc illud percipies, quod multis supra digestis manifesto oratio comprobavit. Cum enim sanctus redarguisset Eunomium, et tantum non ad eum protulisset, licet creatura esset Filii Spiritus, ut tu opinaris, Eunomi, hac etiam ratione neque addecebat te causam illius Unigenito soli appingere, quod quidquid a Filio factum est, in Patrem primam causam referatur, de divinitate Spiritus sermonem arripit, constabilireque studens, ex Patre et Filio secundum propriam deitatem esse illum, tanquam qui ineffabiliter ex Patre per Filium procedat, hæc ipsissimis verbis edisserit : « Quo pacto autem dividere Spiritum a Deo non habet manifestum periculum? partim Apostolo conjunctim nobis tradente, et modo Christi Spiritum dicente, et modo Dei, ubi scribit : « Si quis autem Spiritum Christi non habet, hic non est ejus[29] ». Et rursus : « Vos autem non Spiritum mundi accepistis sed Spiritum, qui ex Deo est[30] : » partim vero Domino, Spiritum veritatis, quoniam ipse veritas est, dicente, et a Patre procedit. » Et hæc quidem ipsissima verba Basilii sunt. At tu porro considera illud attentius : « Quo pacto dividere Spiritum a Deo, manifestum periculum non habet? » Neque enim sanctus dixit : Quo pacto manifestum periculum non habet, conjungere Spiritum Filio, cum neque per ipsum neque ex ipso sit, sed ex solo Patre? Sed dixit : « Quo pacto manifestum periculum non habet, dividere Spiritum a Deo? » Hinc patet omnes illius conatus fuisse, demonstrandi, quanam ratione Spiritus, qui Patri conjungitur, separaretur ab eo, ut prætendebat Eunomius, et testimoniis annexis palam sit, tum ex Evangelio, tum ex Apostolo, quibus demonstrat, conjunctum esse Spiritum Patri et Filio : non propterea, quod Filii est Patris non esse : neque quia ex Patre, ideo non

[29] Rom. VIII, 9. [30] I Cor. II 12.

ὡς ἡ ἀληθὴς θεολογία βούλεται, Θεός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον· οὐδεὶς λοιπὸν ἔτι λόγος ἀμφιβολίας διαγνῶναι ὑμᾶς ὡς ὁ ἅγιος μονονουχὶ τοῦτο φαίνεται πρὸς τὸν Εὐνόμιον λέγων, ὡς τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ κατὰ τὴν θεϊκὴν οὐσίαν αὐτοῦ οὐκ ἔστιν ἐκ μόνου τοῦ Υἱοῦ ἀποδιῃρημένον τοῦ Πατρὸς, ἀλλ' οὐδ' εἰ ποίημα ἦν τοῦ Υἱοῦ, Εὐνόμιε, κατὰ σὲ, οὐδὲ οὕτως ἔδει σε τὴν αἰτίαν αὐτοῦ μόνῳ τῷ Μονογενεῖ προστιθέναι, καὶ τοῦ Πατρὸς ἀποδιαιρεῖν, διὰ τὸ « πᾶν τὸ παρὰ τοῦ Υἱοῦ πεποιημένον εἰς τὸν Πατέρα τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχειν. » Ἀναμφιβόλως δὲ ἀναφαινομένου τοῦ μὴ διὰ τὴν τοῦ κτίσματος δόξαν παρὰ τοῦ μεγάλου Βασιλείου κακίζεσθαι τὸν Εὐνόμιον λέγοντα ἐκ μόνου τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, ἀλλὰ διὰ μόνον αὐτὸ τὸ ὅλως ἐκ μόνου τοῦ Υἱοῦ λέγειν αὐτὸ, συναναφαίνεται ὁ ἔλεγχος τῶν διαπορούντων, εἰ τὸ παρὰ τοῦ Υἱοῦ εἶναι λεγόμενον πρὸς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει.

δ'. Σὺ δὲ, εἰ μὴ ἀρκούντως σοι δοκεῖ ὁ τοιοῦτος ἔλεγχος ἀναφαίνεσθαι, ἀλλ' ἀκριβέστερον ἐπελθὼν καὶ ἅπερ ὁ ἅγιος ἐφεξῆς τῆς ἀναγεγραμμένης περικοπῆς ἐπάγει ῥητὰ, ἔτι κατανοήσεις ὅπερ διὰ πολλῶν ἀναγεγραμμένων καθαρῶς παρέστησέ σοι ὁ λόγος. Μετὰ γὰρ τὸ τὸν Εὐνόμιον ἀπελέγξαι ὁ ἅγιος, καὶ μονονουχὶ πρὸς αὐτὸν εἰπεῖν ὡς, εἰ καὶ ποίημα ἦν τοῦ Υἱοῦ τὸ Πνεῦμα, Εὐνόμιε, κατὰ σὲ, ἀλλ' οὐδὲ οὕτως ἔδει σε τὴν αἰτίαν αὐτοῦ μόνῳ τῷ Μονογενεῖ προστιθέναι, διὰ τὸ πᾶν τὸ παρὰ τοῦ Υἱοῦ πεποιημένον εἰς τὸν Πατέρα τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχειν, εἰς τοὺς περὶ θεότητος τοῦ Πνεύματος λόγους εἰσβάλλει, καὶ παραστῆσαι θέλων ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ κατὰ τὴν αὐτοῦ θεότητα ὑπάρχειν αὐτὸ, ὡς ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἀῤῥήτως ἐκπορευόμενον, ταῦτά φησιν ἐπὶ λέξεων· « Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα; τοῦτο μὲν τοῦ Ἀποστόλου συνημμένως ἡμῖν παραδιδόντος, καὶ νῦν μὲν Χριστοῦ λέγοντος, νῦν δὲ τοῦ Θεοῦ, ἐν οἷς γράφει· « Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτῶ· » καὶ πάλιν· « Ὑμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. Τοῦτο δὲ τοῦ Κυρίου τὸ Πνεῦμα τῆς ἀληθείας λέγοντος, ἐπειδὴ αὐτὸς ἡ ἀλήθεια, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Ταῦτα μὲν ἐπὶ λέξεων ὁ ἅγιος. Σὺ δὲ σκόπει τὸ, « Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα; » Οὐ γὰρ εἶπεν ὁ ἅγιος· Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον προστιθέναι τῷ Υἱῷ τὸ Πνεῦμα, μήτε δι' αὐτοῦ, μήτε ἐξ αὐτοῦ ὄν, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνου; Ἀλλ' εἶπε, « Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα; Ὥστε πᾶσα ἦν αὐτῷ ἡ σπουδὴ, πῶς ἂν ἀποδείξειε τὸ Πνεῦμα τῷ Πατρὶ συναπτόμενον, διαιρούμενον ἀπ' αὐτοῦ κατὰ τὸν Εὐνόμιον. Καὶ δῆλον ἐξ ὧν ἐπιφέρει μαρτυριῶν, ἀποστολικῶν τε καὶ Εὐαγγελικῶν, ἐξ ὧν ἀποδείκνυσι συνημμένως εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, καὶ οὐ διότι τοῦ Υἱοῦ, διὰ τοῦτο οὐχὶ καὶ τοῦ Πατρὸς, οὐδ' ὅτι ἐκ τοῦ Πατρὸς, διὰ τοῦτο οὐχ

Digitized by Google Распознавание текста АВК/FR

διὰ τοῦ Υἱοῦ, ἢ ἐκ τοῦ Υἱοῦ. Τὰς γὰρ Εὐαγγελικὰς ῥήσεις τήν τε λέγουσαν· « Τὸ Πνεῦμα τῆς ἀληθείας· » καὶ τὴν « Παρὰ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι » εἰς μαρτυρίαν ἐνταῦθα τῆς εἰρημένης συναφείας ὁ ἅγιος φέρει, εἰδὼς ἀκριβῶς ὡς ὅπερ ἡ *ἐκπορεύεσθαι* δύναται δηλοῦν λέξις ἐπὶ τῇ φυσικῇ σχέσει τε καὶ οἰκειότητι τοῦ Πνεύματος πρὸς τὸν Πατέρα, τοῦτο δύνασθαι δηλοῦν καὶ ἐπὶ τῇ φυσικῇ σχέσει τε καὶ οἰκειότητι τοῦ Πνεύματος πρὸς τὸν Υἱόν, ἡ λέγουσα αὐτὸ Πνεῦμα τῆς ἀληθείας. Καὶ εἴγε τις διαπιστῶν ἐστι τῷ τῶν ῥήσεων τούτων ἰσοδυνάμῳ, ἐξ ὧν εἰς μαρτυρίαν παρὰ τοῦ μεγάλου Βασιλείου παραγομένων ἀναφαίνεται, συνημμένως εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, κἀκεῖνα τὰ μέρη ἐπιζητείτω τῶν τοῦ μεγάλου Βασιλείου γραφῶν, ἐν οἷς εὑρίσκεται λέγων, « Τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δέ, ἐπειδὴ ἀκούω, « Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Καὶ ὁ μὲν ἡμέτερος ἀπόλογος πρὸς τοὺς διαποροῦντας, εἰ τὸ παρὰ τοῦ Υἱοῦ εἶναι λεγόμενον εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει, οὗτος, ἱκανῶς οἶμαι ἀποδοθείς. Δεῖ δὲ καὶ τὰ ἔτι ῥηθησόμενα ὡς πόρισμά τι τοῖς ἤδη ῥηθεῖσιν ἐπαγαγεῖν. Ἐπεὶ γὰρ ὁ ἅγιος πᾶσαν τὴν σπουδὴν ἐποιεῖτο ἀποδεδειχέναι μὴ κτίσμα Υἱοῦ εἶναι τὸ Πνεῦμα, εἴπερ ἀποδεδείχει, μηδόλως ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό, συναποδεδειγμένον ἂν ἔμελλεν ἔχειν, καὶ τὸ μηδὲ κτίσμα εἶναι αὐτὸ τοῦ Υἱοῦ. Τὸ γὰρ μηδόλως ἐξ αὐτοῦ ὑπάρχον, πῶς ἂν εἶχε λόγον ποίημα αὐτοῦ λέγεσθαι; πάροδος γὰρ Εὐνομίῳ πρὸς τὸ εἰπεῖν τὸ Πνεῦμα τοῦ Υἱοῦ ποίημα οὐδεμία τίς γέγονεν ἄλλη ἀλλ' ἢ μόνον αὐτό, τὸ διαῤῥήδην τοῖς τότε θεολογεῖσθαι, ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, καὶ κατὰ τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ. Οὐ γὰρ ὡς ἐκ πρώτης αἰτίας καὶ ἀρχῆς ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, ἀλλ' ὡς ἐκ τοῦ Πατρὸς ὑπάρχον δι' Υἱοῦ. Καὶ οὐ μόνον τοιαύτην ἂν εἶχεν ὁ λόγος τὴν δύναμιν, ὥστε ἀναφέρεσθαι τὸ Πνεῦμα, μὴ εἶναι τοῦ Υἱοῦ κτίσμα, ἐὰν ὁ ἅγιος ἀπέδειξαι εἶχε, μὴ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό. Ἀλλὰ καί τι ἄλλο βαθύτερον τοῖς ἐξεταστικωτέροις ἐντεῦθεν ἦν συνιδεῖν. Ὁ γὰρ Εὐνόμιος ποίημα τοῦ Υἱοῦ λέγων τὸ Πνεῦμα, καὶ τοῦ Μονογενοῦς, ἔλαττον, τὴν τοῦ ἁγίου Πνεύματος ἐξουδένωσιν ὡς ὁμολογουμένην λαμβάνων, ἐντεῦθεν πρὸς τὴν ἀπόδειξιν τῆς τοῦ Μονογενοῦς ἐλαττώσεως ὥρμα, ὡς αὐτὸς ὁ μέγας Βασίλειος μαρτυρεῖ ὀλίγῳ πρότερον τῆς εἰς ἐξέτασιν προκειμένης περικοπῆς οὕτως ἐπὶ λέξεων λέγων· « Ὁ μὲν Κύριος περὶ τοῦ Παρακλήτου, » ἐκεῖνος ἐμὲ δοξάσει, » φησὶν, « ἡ δὲ κατήγορος γλῶσσα, ἐμπόδιον εἶναι τῷ Υἱῷ τῆς πρὸς τὸν Πατέρα συγκρίσεως ἀποφαίνεται. Ἐπειδὴ γὰρ τοῦ Πνεύματος, φησὶ, ποιητὴς ὁ Υἱὸς, ἵλεως δὲ ἡμῖν, Κύριε, τοῖς λαλουμένοις εἶης, τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς μηδεμίαν σεμνότητα τῷ δημιουργήσαντι προστιθέναι, διὰ τοῦτο οὐδὲ συγκρίνεσθαι τῷ Πατρὶ ἄξιος, ἐκ τῆς ὧν ἐποίησεν εὐτελείας, τὸ ὁμότιμον τῆς ἀξίας ἀφῃρημέ-

per Filium, aut ex Filio. Evangelica enim dicta tum quod asserit, « Spiritum veritatis, » tum illud, « Ex Patre procedit [31], » in jam assertæ conjunctionis testimonium profert, plane sciens, quam *processionis* vox sententiam insinuat in naturali relatione, et affinitate Spiritus ad Patrem, eamdem quoque connotare in naturali relatione et affinitate Spiritus ad Filium, qua nuncupatur Spiritus veritatis. Quod si quis hujuscemodi dictorum æquales vires esse non suadetur, quibus in testimonium a magno Basilio adductis apparet, conjunctum esse Spiritum Filio et Patri, partes alias scriptorum magni Basilii inquirat, quibus ille insinuat: « Cum Patre quidem affinitatem intelligo, quando a Patre procedit, cum Filio vero, dum audio, « Si quis Spiritum Christi non habet, hic illius non est. » Et ratiocinatio equidem nostra adversus eos, qui hæsitant, an quod a Filio esse dicitur, ad Patrem refertur, hoc modo satis abundeque, ut ipse existimo, expeditur. Quæ autem subnectentur, dictis nostris veluti corollarium conjungenda sunt. Cum enim sanctus summopere atque ex integro incumberet demonstrare, non esse creaturam Filii Spiritum; si demonstrasset, nullo modo eum esse ex Filio, jam etiam illud demonstratum fuisset, neque creaturam illum esse Filii. Etenim quod nullo modo ex ipso est, quanam ratione creatura illius diceretur? Aditus enim Eunomio ad asserendum Spiritum creaturam Filii, nullus alius fuit, quam hic; quod palam ab his, qui eo tempore vivebant, ex Patre per Filium esse Spiritum enuntiaretur, et consequenter ex Filio. Non enim veluti ex prima causa et principio ex Filio Spiritus est, sed ex Patre exsistens per Filium. Et neque id tantummodo sermo inferret, ut assereretur Spiritus non esse Filii creatura, si sanctus demonstrare potuisset, ex Filio eum non esse. Sed aliud quoque et id multo accuratius, qui accuratius res expendunt, concipere potuissent. Nam Eunomius creaturam Filii Spiritum tradens, et Unigenito minorem, sancti Spiritus contemptum tanquam omnibus probatum accipiens, hinc ad demonstrandam Unigeniti diminutionem proficiscebatur, ut testatur idem magnus Basilius paulo ante jam ad examen propositam pericopem; hæc verbatim edisserens: « Et Dominus quidem de Paracleto dicit; ille me glorificabit, at ista maledica lingua, impedimentum esse ipsum Filio censet, ne cum Patre comparetur. Quando enim Spiritus, inquit, factor est Filius (propitius autem tu, Domine, in his, quæ loquimur, nobis sis) hoc vero hujuscemodi est, ut nullum decus addat Creatori, propterea nec Patri comparari dignus est, quoniam humilitate eorum, quæ fecit, dignitatis æqualitate privatus est. » Hæc sanctus verbatim enuntians, et Eunomii blasphemiam palam omnibus deprædicans ac commonstrans,

[31] Joan. XIV, 17; XV, 26.

Digitized by Google Распознавание текста ABK/FR

quo pacto eamdem cum Patre dignitatem Filii ex hoc convelli comprobet Eunomius, quod Spiritus a Filio factus est, postmodum sæpissime repetitam pericopem connectit, dicens : « Illud vero cui non patet, quod nulla operatio Filii a Patre divisa est? » Et quæ sequuntur pericopes. Cum itaque sanctus in contemptum Unigeniti gloriæ, et impedimentum æqualis cum Patre dignitatis illius existimaret Eunomium dicere, Spiritum a Filio factum esse, si potuisset ex Scripturis comprobare, eum non ex Filio esse, quam aliam Eunomianarum blasphemiarum refutationem aptiorem attulisset, quam demonstrando, nullo modo ex Filio Spiritum esse? Etenim si demonstratum fuisset, nullo modo ex Filio esse Spiritum, similis demonstratio maledicum Eunomii os obstructura erat, asserentis, humilitatem a Filio facti Spiritus non permittere, ut Filius eadem sit ac Pater dignitate. Et sane sanctum demonstrare nullo modo ex Filio Spiritum sanctum esse, adeo necessarium ad refutandas Eunomii blasphemias videbatur; sed id cum demonstrare non posset, illud, ex Filio Spiritum esse, sanctus neque negat, neque contradicit Eunomio, sæpissime in propriis commentariis id ipsum et apertissime repetenti; illud vero, ex solo eum dicere Filio, pessimo Dei hosti multis objectis pernegat. Qui vero non ad illud, ex Filio, sed ad illud, ex solo Filio esse Spiritum sanctum contradicit, quomodo hic, ex utroque manifesto non constabilit? Neque enim quispiam dicet, sanctum, dum ex solo Filio non esse Spiritum, astruit, confirmare, eum esse ex solo Patre, neque hoc pacto ratiocinandum est, si ex solo Filio Spiritus non est, ex solo ergo Patre est, sed sciendum, eum, qui Spiritum non esse ex solo Filio asseverat manifesto ex utroque eum esse comprobare : qui vero ex solo Patre esse Spiritum demonstrare conatur, ad probandum illi non ita facile futurum, nisi ad refellendum in semet susceperit, prorsus ex Filio Spiritum non esse. Hoc enim tantummodo nec aliud constabilire poterit, ex solo Patre Spiritum esse. A B C

νος. » Ταῦτα λέγων ἐπὶ λέξεων ὁ ἅγιος, καὶ τὴν τοῦ Εὐνομίου βλασφημίαν ἐκπομπεύων καὶ παριστῶν ὡς τὸ πρὸς τὸν Πατέρα ὁμότιμον τοῦ Υἱοῦ ἐκ τούτου ἀναιρεῖσθαι κατασκευάζει ὁ Εὐνόμιος ἐκ τοῦ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ πεποιῆσθαι, ἐφεξῆς τὴν πολλάκις ῥηθεῖσαν περικοπὴν ἀποφέρει λέγων, « Ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλον, ὅτι οὐδεμία ἐνέργεια τοῦ Υἱοῦ ἀποτετμημένη ἐστὶ τοῦ Πατρός; » καὶ τὰ λοιπὰ τῆς περικοπῆς. Ἐπεὶ οὖν ὁ ἅγιος εἰς ἐλάττωσιν τῆς τοῦ Μονογενοῦς δόξης, καὶ εἰς ἐμπόδιον τῆς πρὸς τὸν Πατέρα ὁμοτιμίας αὐτοῦ κατενόει τὸν Εὐνόμιον λέγοντα τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ πεποιῆσθαι, εἴπερ εἶχε παραστῆσαι ἀπὸ Γραφῶν μὴ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν αὐτό, ποίαν ἂν ἄλλην εὗρεν ἀνατροπὴν τῶν Εὐνομίου βλασφημιῶν, εἰ μὴ τὸ ἀποδεῖξαι μηδόλως ἐκ τοῦ Υἱοῦ ὑπάρχειν τὸ Πνεῦμα. Ἂν γὰρ ἀπεδείχθη, οὐδόλως ἐκ τοῦ Υἱοῦ ὑπάρχον τὸ Πνεῦμα, ἡ τοιαύτη ἀπόδειξις ἔμελλε τὸ κατήγορον Εὐνομίου στόμα ἐμφράξαι, λέγοντος· ὡς ἡ εὐτέλεια τοῦ παρὰ τοῦ Υἱοῦ ποιηθέντος Πνεύματος οὐ συγχωρεῖ τὸν Υἱὸν ὁμότιμον τῷ Πατρὶ εἶναι. Καὶ τὸ μὲν ἀποδεῖξαι τὸν ἅγιον μηδόλως ἐν τοῦ Υἱοῦ ὑπάρχον τὸ Πνεῦμα τὸ ἅγιον οὕτω χρήσιμον ἔμελλεν εἰς ἀνατροπὴν τῶν Εὐνομίου ἀναφανῆναι βλασφημιῶν· ὁ δὲ ἅγιος ἀποδεῖξαι τοῦτο μὴ ἔχων, πρὸς μὲν τὸ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, οὐκ ἀντιλέγει τῷ Εὐνομίῳ, μυριαχοῦ τῶν οἰκείων συγγραμμάτων τοῦτο τρανότατα λέγοντι· πρὸς μόνον δὲ τὸ ἐκ μόνου λέγειν αὐτὸ τοῦ Υἱοῦ ἀντιλέγει τῷ κακίστῳ καὶ θεομάχῳ. Ὁ δὲ μὴ πρὸς τὸ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ πρὸς τὸ ἐκ μόνου τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὰ ἅγιον ἀντιλέγων, πῶς οὐ τὸ ἐξ ἀμφοῖν προδήλως οὗτος συνίστησιν; οὐ γὰρ δήτις ἐρεῖ ὡς ὁ ἅγιος, ἐκ μόνου τοῦ Υἱοῦ μὴ εἶναι λέγων τὸ Πνεῦμα συνίστησιν ἐκ μόνου τοῦ Πατρὸς εἶναι αὐτό· οὐδὲ συλλογίζεσθαι δεῖ ὡς, εἰ ἐκ μόνου τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἔστιν, ἐκ μόνου ἄρα ἐστὶ τοῦ Πατρός, ἀλλ' εἰδέναι ὡς ὁ μὴ εἶναι τὸ Πνεῦμα ἐκ μόνου τοῦ Υἱοῦ λέγων προδήλως τὸ ἐξ ἀμφοῖν αὐτὸ εἶναι συνίστησιν. Ὁ δὲ ἐκ μόνου τοῦ Πατρὸς εἶναι θέλων ἀποδεῖξαι τὸ Πνεῦμα, ἄλλως οὐχ ἕξει τὸ τῆς τοιαύτης ἀποδείξεως εὐχερὲς, εἰ μὴ πρὸς ἀνατροπὴν ἀποδύσεται τοῦ ὅλως ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα. Τοῦτο γὰρ μόνον καὶ οὐκ ἄλλο συστῆσαι ἕξει τὸ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα. D

CAPUT V.

Ad eos qui dubitant, « Quomodo Spiritus procedit per Filium? »

1. Cum dubiorum absurdum mente concipio, quæ plerique de incomprehensa Triade excogitant, dum interrogationes, quas cogitatione consequi non valeas, mecum revolvo, et quod ipsi pelagus pertransire tentant, et quantam profunditatem investigare audent, projectæ et ad similia concitæ cupiditatis confidentiam demiror, et quasi ipse ego essem, qui talia fidenter aggrederer, totus mente animoque metuens inhorresco. Quæ porro sunt, quæ illi de processione sanctissimi Spiritus addubitant? Nos, inquiunt, Filium et Spiritum una simul ex Patre emanantia didicimus. Et qua ratione qui cum Filio simul emanat ex Patre, per Filium procedit? Et hi quidem hæc.

ΚΕΦΑΛ. Ε'.

Πρὸς τοὺς διαπορουῦντας, « Πῶς ἐκπορεύεται τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ; »

α'. Ὅτε τὸ τῶν ἀποριῶν ἀναλογίσομαι ἄτοπον, ἃς οἱ πολλοὶ περὶ τῆς ἀκαταλήπτου διανοοῦνται Τριάδος· ὅτε τὸ τῶν ἐρωτήσεων κατὰ νοῦν λάβω ἀνέφικτον, καὶ οἷον ἐπιχειροῦσιν οὗτοι πέλαγος νήχεσθαι, καὶ βυθὸν ἀνιχνεύειν ἀποτολμῶσι βυθὸν, τῆς πρὸς τὰ τοιαῦτα κινουμένης διανοίας ἀποθαυμάζω τὴν τόλμαν, καὶ ὡς αὐτὸς ἐγὼ τυγχάνων ὁ τούτων κατατολμῶν φρίττω καὶ νοῦν καὶ διάνοιαν. Οἷα γὰρ διαποροῦσι περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως; Ἡμεῖς, φασὶν, Υἱὸν καὶ Πνεῦμα ἅμα προερχόμενα ἐκ Πατρὸς μεμαθήκαμεν. Καὶ πῶς δι' Υἱοῦ ἐκπορεύεται τὸ ἅμα Υἱῷ προερχόμενον ἐκ Πατρός; Καὶ οἱ μὲν ταῦτα.

Digitized by Google Распознавание текста АВК/FR

β'. Ἡμεῖς δὲ, λύσιν τῶν τοιούτων ἀπαιτούμενοι ἀπορίων, ἄλλοθεν οὐκ ἔχομεν ἐφευρεῖν, ἀλλ' ἐξ ἐπερωτήσεως ἄλλων ἀπορίων ταῖς ἀπορίαις αὐτῶν ἀντεπαγομένων. Τίνα γὰρ ἄν τις καὶ ἐπινοήσαιτο λύσιν ἐπ' ἐκείνοις, ὧν λόγος φυσικὸς ἐφικνεῖται οὐδείς, καὶ ἅπερ αἰῶνος παντὸς καὶ χρόνου ἀνώτερα, καὶ ὧν οὐδὲν καταλήψεως μέτρον; Τοῖς γὰρ πάνυ περὶ ταῦτα ζητητικοῖς πολλὰ καμοῦσι πέρας ἐπιθεῖναι τῇ περὶ αὐτῶν γνώσει, καὶ κατάληψιν ἐφευρεῖν, ἔν τι πέρας καὶ μία κατάληψις ἐπιγίνεται μόλις, ἄπειρα γνῶναι ταῦτα καὶ ἀκατάληπτα. Ἐπὶ γοῦν τοῖς οὕτως ἀκαταλήπτοις καὶ ἀπερινοήτοις τίνα ἄν τις λύσιν τοῖς ἀποροῦσιν ἐπινοήσαιτο; Πάντως τοὺς ἐπὶ τοιούτοις διαποροῦντας, οὐκ ἔστιν ἄλλοθεν στῆναι τοῦ ἀπορεῖν ἀλλ' ἢ ἐξ ἐπαγωγῆς ἄλλων ἀπορίων, ὡς ἂν διαπορηθέντες οὗτοι ἐφ' οἷς οὐκ ἔστιν αὐτοὺς λύσιν ἀπορίας δοῦναί τινα, οὕτω τοῦ ἀπορεῖν μόλις ἀπόσχωνται.

2. Nos vero de similium dubitationum solutione rogati, aliunde eam conquirere non valemus, quam ex aliarum dubitationum interrogationibus, adversus objectas dubitationes propositis. Quam enim solutionem quispiam unquam invenerit eorum, ad quæ nulla ratio naturalis pertingit, et quæ omni ævo et tempore potiora sunt, et quorum comprehensionis mensura nulla præscribitur? Namque qui de illis anxie investigando sese sollicitant, licet multum defatigentur, ut cognitioni de iis finem imponant, et comprehensionem aliquam assequantur, tandem illis unus terminus et una comprehensio accedit, immoderata ea cognoscere, nulliquo cognitioni obnoxia. De his itaque, quæ neque mente comprehendi, neque cogitatione cognosci queunt, qua quispiam solutione incertis atque dubitantibus satisfecerit? Plane eos, qui de similibus dubitant, non aliunde quis coercebit, neque dubitationem eximet, quam ex aliarum dubitationum inductione, ut sic illi in dubia conjecti; de quibus nullam solutionem comminisci possunt, tandem aliquando dubitationibus finem imponant.

γ'. Καὶ γοῦν ἐρωτῶσιν ἡμῖν εἰπάτωσαν οὗτοι, πῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ Πατρός; Τοῖς δυνησομένοις δοῦναι λόγον ἡμῖν πῶς τὸ Πνεῦμα ἐκπορεύεται ἐκ Πατρὸς ἕτοιμοι λόγον ἀποδοῦναι ἡμεῖς πῶς ἐκπορεύεται τὸ Πνεῦμα δι' Υἱοῦ. Εἰ δὲ διὰ τὸ ἅμα Υἱῷ ἐκ Πατρὸς τὸ Πνεῦμα προέρχεσθαι γίνονται πρὸς τὸ ἀπορεῖν, πῶς δι' Υἱοῦ, διά τενα ἔμφασιν χρόνου οἰόμενοι, καὶ πάλιν, εἰπάτωσαν ἡμῖν αὐτοὶ πρότερον, πῶς ὁ Υἱὸς καὶ ἅμα ἐστὶ τῷ Πατρὶ, καὶ ἐκ Πατρὸς ἔχει τὸ εἶναι, καὶ ἡμεῖς ἐροῦμεν, πῶς τὸ Πνεῦμα ἅμα ἐστὶ τῷ Υἱῷ, καὶ διὰ τοῦ Υἱοῦ ἔχει τὸ εἶναι. Εἰ γὰρ ἔχει χρόνου δύναμιν ἡ διὰ ἐν τῇ δι' Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος, ἕξει πάντως καὶ ἡ ἐκ πρόθεσις τὴν αὐτὴν τοῦ χρόνου δύναμιν κατὰ τὴν ἐκ Πατρὸς γέννησιν τοῦ Υἱοῦ. Ἀλλ' οὐδεὶς εὐσεβῶν, εἰ μὴ κατὰ τὸν Ἄρειον μανείη, καὶ Εὐνόμιον, χρονικὴν ἔννοιαν τῆς τοῦ Υἱοῦ προεπινοήσει γεννήσεως. Οὐκ ἄρα οὐδὲ κατὰ τὴν δι' Υἱοῦ ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος χρονική τις ἔννοια πάροδον ἕξει τινά. Οὐ δεῖ γοῦν ἀπορεῖν καὶ ἀνταπορεῖσθαι ἐφ' οἷς ἅπας λόγος ἀπορίας ἀργεῖ, ἵνα μὴ οἱ ἀποροῦντες καὶ ἀνταπορούμενοι δοκῶσι παρακύπτειν εἰς μυστήρια Θεοῦ δίκην μεμηνότων καὶ παραπλήγων. Οὐ μὴν ὅτι τὸ πάντα διαπορεῖν περὶ Θεοῦ ἐπικίνδυνον καὶ ἐπισφαλὲς, ἀπαγορευτέον λέγειν καὶ ἀκούειν τι περὶ Θεοῦ, ἵνα μὴ τὸ ἐπὶ παντὶ λόγῳ τῆς θεογνωσίας ἀνεπιχείρητον εἰς τὸ πάντη ἄθεον ἀντιπερισταίη. Ἀλλ' ἐπεὶ διὰ τὸ ἐκ μέρους γινώσκειν, καὶ ἐκ μέρους καταλαμβάνειν τὸ περὶ τοῦ Θεοῦ ζητεῖν ἃ δεῖ, σκίνδυνον καὶ ἐπωφελὲς, ἔστιν οὗ δεῖ φεύγειν τὸ ἀπορεῖν, ἔστιν οὗ δεῖ ζητεῖν, καὶ ἀνερευνᾷν.

ιδ'. Οὕτω γοῦν ἀπὸ χρήσεων γραφικῶν τῆς διὰ προθέσεως μὴ παραχωρούσης, τὸ « ἐκ μόνου τοῦ Πατρὸς » ἐν τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος εἰς διαστολὴν λαμβάνεσθαι τοῦ Υἱοῦ, ἆρά γε πεῖθομέν σε ἐκ τῶν ἤδη εἰρημένων ἡμῖν τὴν ἔννοιαν παραδέξασθαι ταύτην, ἢ δεῖ σοι καὶ ἑτέρων γραφικῶν μαρτυριῶν, ὅπως ἂν σαφέστερον γνοίης εἰς παράστασιν τοῦ πρῶτον αἴτιον τὸν Πατέρα εἶναί τε, καὶ νοεῖσθαι τὸ « ἐκ μόνου » λαμβάνεσθαι « τοῦ Πατρὸς, » εἴπερ ἂν τέως τοῦτο καὶ εὑρεθείη ἔν τισι θεολογικαῖς ῥήσεσι κείμενον; Οἶδα ὡς δεῖ σοι καὶ μαρτυριῶν ἑτέρων, ἃς καὶ μὴ ἀπαιτούμενοι, ἡμεῖς προαγαγεῖν ἠναγκάσμεθα, ὡς ἐν τοῖς ἀνωτάτω τοῦ λόγου αὐτὰς προεπαγγειλάμενοι. Ὁ μέγας Βασίλειος ἐν μιᾷ τῶν πρὸς Ἀμφιλόχιον ἐπιστολῶν, ἧς ἡ ἀρχὴ, « Ἐζητημένον ἤδη παρὰ πολλοῖς τὸ Εὐαγγελικὸν ῥητὸν, περὶ τοῦ ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὴν ἡμέραν τοῦ τέλους καὶ τὴν ὥραν, » φησὶ, « Τὸ *οὐδεὶς* καθολικὸν μὲν εἶναι δοκεῖ ῥῆμα, ὡς μηδὲ ἓν πρόσωπον διὰ τῆς φωνῆς ταύτης ὑπεξαιρεῖσθαι· ἔστι δὲ οὐχ οὕτω παρὰ τῇ Γραφῇ ἀναφερόμενον, ὡς τετηρήκαμεν ἐπὶ τοῦ, *Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς Θεός*. Οὐδὲ γὰρ ἐκεῖ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγαθοῦ φύσεως ὁ Υἱὸς ταῦτα λέγει· ἀλλ' ἐπειδὴ τὸ πρῶτον ἀγαθὸν ὁ Πατὴρ, τῷ *οὐδεὶς* συνυπακουομένου τοῦ πρώτου, τὸ δεύτερον εἰρῆσθαι πιστεύομεν. » Ὅρα τὸν τὴν σοφίαν ἀσύγκριτον, καὶ πολὺν καὶ μέγαν Βασίλειον, ποίας ἐξηγήσεως τὸ Εὐαγγελικὸν ῥητὸν ἀξιοῖ τὸ, « οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. » Προδήλως γὰρ τὸ τοῦ Πατρὸς ἐμφαίνεσθαι δηλοῖ ὄνομα, ἐν τῷ « εἰ μὴ εἷς ὁ Θεός. » Διὰ τοῦτο γὰρ ἐπάγει, « Οὐδὲ γὰρ ἐκεῖ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγαθοῦ φύσεως, ὁ Υἱὸς ταῦτα λέγει. » Εἰπὼν γὰρ, « εἰ μὴ εἷς ὁ Θεὸς, εἶτα ἐπαγαγὼν ὡς « οὐχὶ ἔξω τιθεὶς ἑαυτὸν τῆς τοῦ ἀγαθοῦ φύσεως, ὁ Υἱὸς ταῦτα λέγει, » περὶ τοῦ Πατρὸς εἰρῆσθαι δεδήλωκε τὸ, « εἰ μὴ εἷς ὁ Θεός. » Ἑρμηνεύων δὲ ὅπως δύναται συνεπινοεῖσθαι ὁ Υἱὸς τῷ Πατρὶ, καὶ διαστέλλεσθαι τοῦ Πατρὸς ἐν τῇ Εὐαγγελικῇ ταύτῃ φωνῇ τῇ, « οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, » ἐπιφέρει καὶ πάλιν· « Ἀλλ' ἐπειδὴ τὸ πρῶτον ἀγαθὸν ὁ Πατὴρ τῷ οὐδεὶς συνυπακουομένου τοῦ πρώτου, τὸ δεύτερον εἰρῆσθαι πιστεύομεν. » Τί τούτου γένοιτ' ἂν σοι σαφέστερον εἰς παράστασιν τοῦ μὴ πρὸς διαστολὴν τοῦ Υἱοῦ λαμβάνεσθαι τὸ, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεὸς, » ἀλλὰ πρὸς δήλωσιν τοῦ πρῶτον ἀγαθὸν τὸν Πατέρα εἶναί τε καὶ νοεῖσθαι;

ιε'. Καὶ εἴ γέ σε τὸ τοῦ μεγάλου Βασιλείου ἀξιόπιστον πείθει μὴ ἀντιλέγειν τοῖς παρ' αὐτοῦ εἰρημένοις, ἔχει διαγῶναι πάντως· ὡς οὐ μάτην ἐπηγγειλάμεθά σοι ἐν καταρχαῖς τοῦ λόγου ἐκ τῶν τοῦ μεγάλου Βασιλείου ἐπὶ τοῖς Εὐαγγελικοῖς ῥητοῖς ἐξηγήσεων ἀποδεδειχέναι μὴ πρὸς διαστολὴν τοῦ Υἱοῦ τὸ ἐκ μόνου τοῦ Πατρὸς εἰρῆσθαι, εἴπερ ἂν τέως τοῦτο καὶ εὑρεθείη ἔν τισι θεολογικαῖς ῥήσεσι κείμενον, ἀλλὰ πρὸς μόνην παράστασιν τοῦ πρῶτον

Digitized by Google Распознавание текста ABK/FR

αἴτιον τὸν Πατέρα εἶναί τε καὶ νοεῖσθαι. Εἰ δέ σε ταράττει καὶ πρὸς ἀμφιβολίας λογισμοὺς ἐνάγει τινὰς, μή ποτε τὸ, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός, » οὐ ταυτόν τι δύναται τῷ λόγῳ τῷ, « Οὐδεὶς ἀγαθὸς, εἰ μὴ μόνος ὁ Θεός· » οὐ γὰρ περὶ τοῦ ἑνὸς, ἀλλὰ περὶ τοῦ μόνου ὁ λόγος ἡμῖν· τὸ γὰρ κατὰ πολὺ περίεργον τῶν ἀντιλεγόντων ἴσως προχωρῆσαι μέχρι καὶ τοιούτων ἀντιρρήσεων οὐκ ὀκνήσει, ἀλλ' ὁ αὐτὸς ἐξηγητὴς λύσει σοι κἀνταῦθα τὸ διαπόρημα ἐν τῇ περὶ τῆς ὑποχωρήσεως αὐτοῦ πρὸς τοὺς Καισαρεῖς ἀπολογητικῇ ἐπιστολῇ ἧς ἡ ἀρχὴ, « Πολλάκις ἐθαύμασα, τί ποτε πρὸς ἡμᾶς πεπόνθατε, » λέγων· « Καὶ γὰρ ἐπὶ τῆς θείας φύσεως εἰρημένα νοοῦμεν, τὸ, Ὁ μόνος ἔχων ἀθανασίαν, καὶ μόνῳ σοφῷ Θεῷ, καὶ τὸ, « Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός· » Τὸ γὰρ εἷς ἐνταῦθα τῷ μόνος ταυτὸν δηλοῖ. » Τί φῄς; Ὁ πολὺς ἀρκεῖ σοι Βασίλειος, τὸ, « εἰ μὴ εἷς ὁ Θεὸς, » ἀντὶ τοῦ, « εἰ μὴ μόνος ὁ Θεὸς, » σαφῶς ἐξηγούμενος; Οἶδα ὡς οὐκ ἂν ἀντείποις αὐτῷ, τὸ τῆς θεολογίας αὐτοῦ αἰδούμενος ἀδιάβλητον. Καὶ λοιπὸν εἴπερ σε κὰκ τούτου ἀξιόπιστον δυσωπεῖ, προηγουμένως μὲν, τὸ « εἰ μὴ εἷς ὁ Θεὸς, » ἀντὶ τοῦ, « εἰ μὴ μόνος ὁ Θεὸς, » νοεῖν, ἐφεξῆς δὲ διὰ τὸ, « οὐδὲ γὰρ ἐκεῖ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγαθοῦ, φύσεως » ὁ Υἱὸς ταῦτα λέγει μὴ πρὸς ἀντιδιαστολὴν τοῦ Υἱοῦ ἐκλαμβάνειν, ὁπουδήποτε τῶν Γραφῶν εὑρίσκεται κείμενον τὸ, « μόνος ὁ Θεὸς, καὶ μόνος ὁ Πατὴρ, » ἔχεις δέξασθαι, ὡς εἰ καὶ εἰρηκέ που τῶν ἑαυτοῦ γραφῶν ἐφάπαξ ὁ θαυμάσιος Κύριλλος, τὸ « ἐκ μόνου τοῦ Πατρὸς, » ἀλλὰ καὶ οὕτως οὐδενὶ λόγῳ ἐναντίον τὸ τοιοῦτον ἀναφανείη ῥητὸν τοῖς παρ' αὐτοῦ τε τούτου πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ ἐκφωνηθεῖσι ῥητοῖς εἰ; θεολογίαν τοῦ, ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν τὸ Πνεῦμα καὶ τοῖς παρὰ τῶν ἄλλων Πατέρων, ὁπόσοις πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν, τὸ αὐτὸ τεθεολογήκασι, διὰ τὸ τὸν λέγοντα « ἐκ μόνου τοῦ Πατρός. » Ἐπειδὴ γὰρ ὁπουδήποτε τὸ *μόνος* λαμβάνεται ἐπὶ τοῦ Πατρὸς, εἰς δήλωσιν τοῦ πρώτως ὁ Πατὴρ λαμβάνεται, οὐδὲν διαφέρει ἐκ μόνου τοῦ Πατρὸς καὶ ἐκ πρώτης αἰτίας τοῦ Πατρὸς εἰπεῖν, οἷον μόνος ἀγαθὸς ὁ Πατὴρ, ὅτι πρώτων ἀγαθὸν ὁ Πατὴρ, μόνος οἶδε τὸν Υἱὸν ὁ Πατὴρ, ὅτι πρώτως οἶδε τὸν Υἱὸν ὁ Πατήρ. Τὸ γὰρ Πνεῦμα εἰ καὶ οἶδε σὺν τῷ Πατρὶ τὸν Υἱὸν, ἀλλὰ διὰ τὸ τὸν Πατέρα πρώτως εἰδέναι, οἶδε καὶ αὐτὸ τὸν Υἱόν· μόνος οἶδε τὴν ἡμέραν τοῦ τέλους ὁ Πατὴρ, ὅτι πρώτως οἶδεν αὐτὴν ὁ Πατήρ· εἰ γὰρ καὶ ὁ Υἱὸς οἶδε ταύτην σὺν τῷ Πατρὶ, ἀλλὰ διὰ τὸ τὸν Πατέρα πρώτως εἰδέναι, οἶδε καὶ αὐτὸς τὴν ἡμέραν ταύτην· τὸ γὰρ εἰδέναι ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἔχει.

ιϛ'. Καὶ ἐγὼ μὲν οἶμαι δέξασθαί σε τὰ εἰρημένα, ταῖς ἤδη ῥηθείσαις ἐξηγήσεσι τοῦ μεγάλου Βασιλείου πεισθέντα· σὺ δὲ εἴγε μήπω ταῦτα δέξασθαι θέλεις, ἀλλὰ καὶ ἔτι πλείοσι περικοπαῖς τῶν περὶ τῆς τοῦ *μόνου* φωνῆς ἐξηγήσεων ἀπαιτεῖς ἡμᾶς, συγκροτῆσαι τὴν δηλοῦσαν ἔννοιαν, μὴ πρὸς ἀντιδιαστολὴν τοῦ Υἱοῦ, τὸ *μόνος ὁ Πατὴρ* εἰρῆσθαι ἐν ταῖς Γραφαῖς, ἀλλὰ πρὸς δήλωσιν τοῦ πρώτως τῷ Πατρὶ προσεῖναι τὴν ἀγαθότητα, ὅπου μόνος ἀγαθὸς λέγεται ὁ Πατὴρ, καὶ τοῦ πρώτως τῷ Πατρὶ προσεῖναι τὴν

A si te turbat, et ad varias comminiscendi dubitationes commovet, an, « Nemo bonus nisi unus Deus, » æque valeat sententia atque hoc, « Nemo bonus nisi solus Deus : » neque enim de uno, sed de solo nobis sermo est. Nimia enim contradicentium curiositas forte ad similes objectiones procedere non verebitur, idem nec alius interpres hic quoque dubitationi tuæ satisfaciet, in apologetica epistola ad Cæsarienses de sua secessione, cujus principium, « Sæpenumero admiratus sum, quidnam animos vestros erga nos affecerit, » dicens : « Ita enim intelligimus et illa de natura divina pronuntiata, utpote qui solus habet immortalitatem, et soli sapienti Deo, et illud, « Nemo bonus nisi unus Deus : » nam hic unitatis dictio idem significat ac
B si dixisset, « nisi solus Deus. » Quid hic ais? Satisne est tibi magnus multusque Basilius, illud, « nisi unus Deus, » pro eo, « nisi solus Deus, » aperte interpretans? Scio te illi non reluctaturum, illius theologica dicta, omni reprehensionis calumnia extracta reveritum. Quare si hujusce infracta auctoritas tibi suadet, antecedenter quidem illud « nisi unus Deus, » loco illius, « nisi solus Deus, » intelligere, postmodum vero illis, « nequaquam eo loci sese Filius statuens, extra omnem boni rationem similia enuntiat, » non ad distinctionem Filii desumi, ubicunque tandem in Scripturis reperitur, « solus Deus, et solus Pater, » poteris item tibi persuadere, si semel in suis scriptionibus admiran-
C dus Cyrillus pronuntiavit, « ex solo Patre. » Sed hac quoque ratione, nullo modo dictum simile adversaretur illis, quæ ab eodem plerisque in locis suorum Commentariorum dictata sunt, affirmante ex Patre et Filio esse Spiritum, et aliorum quoque Patrum, quotquot ante eum, et post eum hoc idem sibiliverunt, testimoniis, quod qui asseruerit, « ex solo Patre, » cum ubicunque *solus* accipitur de Patre, innuit, primum Patrem assumi, eodem sensu, ex solo Patre, et ex prima causa Patre diceret, veluti solus bonus Pater, quod primum bonum Pater sit ; solus scit Filium Pater, quod primus scit Filium Pater. Namque Spiritus licet sciat Filium cum Patre, sed quod Pater primus novit, cognoscit et ipse Filium ; solus scit diem finis Pater, quod
D primus eam Pater novit ; licet enim et Filius illam sciat cum Patre, sed quod Pater eam primus novit, novit illam et ipse : scientiam enim possidet Filius a Patre.

16. Et ego quidem opinor te hæc mea dicta amplexaturum, allatis magni Basilii interpretationibus persuasum. Quod si eas rejicis et contemnis, sed et adhuc pluribus aliis dictis de *solius* voce significatu nos exposcis constabilire sententiam insentem, non ad distinctionem Filii *solus Pater* in Scripturis dici, sed ad manifestationem primo Patri bonitatem inesse, ubi solus Pater bonus dicitur, et primo Patri inesse cognitionem, ubi solus Pater scire asseritur, et primo Patri causam inesse, ubi

Digitized by Google Распознавание текста АВК/FR

solus causa Pater astruitur, cæteras quoque pericopas magni Basilii interpretationum hic apponere non gravabimur, quas existimamus ad propositum nostrum comprobandum maxime idoneas. Namque in supra laudata epistola, quæ una est ex illis, quas ad Amphilochium dedit, postquam exposuisset, « Nemo bonus nisi unus Pater, et declarasset, quomodo illud Dominus in Evangelio pronuntiavit, « non se ipsum statuens extra bonitatis rationem, sed primum bonum esse Patrem indicans, » subdit : « Simile est, « Nemo novit Filium nisi Pater [38] : » neque enim ibi ignorantiam Spiritui appingit, sed primo Patri cognitionem illius inesse naturæ testatur. » Vides etiam hic non ad distinctionem Spiritus sanctum exponere, intelligi, ex solo Patre Filium cognosci, sed ad connotandum primo Patri cognitionem inesse naturæ Filii? Considera, hinc tibi et astrue, et infer, neque ad distinctionem Filii solum Patrem accipi in divinis Litteris, ubi simul una et Filius intelligendus est. Nam hic quoque esset distinctio Spiritus a Patre, cum dicitur, « Nemo novit Filium nisi Pater. » Infra quoque rursus hæc magnus Basilius subnectit : « Nemo novit, rerum cum præsentium tum futurarum scientiam Patri adscribi, primamque omnium causam hominibus designari arbitramur. » Et paucis hujusce pericopes interjectis subinfert : « Suam igitur personam silentio transmittens, veluti rem positam in confesso Dominus, Patrem solummodo cognoscere dicit, scientiam Patris et suam esse statuens per reticentiam. » Considera interpretationis acumen, et dictum accuratius pensita, quo solummodo Patrem cognoscere exponit. Ait enim, « Patris scientiam, et suam esse Dominus dicit per reticentiam. » Sermonis hujusce profunditatem pervestigans, plane arcanorum dogmatum rudes eos conjicies, qui veluti alicujus considerationis dubitationem proponunt, Si et ex Filio Spiritus est, quam ob causam in Evangeliis Dominus, « qui ex Patre procedit [39], » dixit, non addens, ex me? Si enim magnus Basilius causam reticendi nominis Filii, in quibus dicit Patrem solummodo hoc scire, illam aperte assignat, quod Patris cognitio per reticentiam cognitio sit et Filii, quis magis potis fuerit, veluti Spiritus, et forte purius, quam ipse sit Basilius, diversorium addubitare, quare non et nomen Filii palam aperteque una cum Patris nomine enuntietur, et si non enuntiatur, quare una simul intelligitur? καὶ τοῦ Υἱοῦ, τίς ἂν εἴη δίκαιος ἕκτοτε ὡς τοῦ Πνεύματος καταγώγιον καθαρώτερον τάχα, ἢ κατὰ τὸν μέγαν Βασίλειον διαπορεῖν, διατί μὴ καὶ τὸ ὄνομα τοῦ Υἱοῦ κατὰ τὸ πάντη πρόδηλον τῷ τοῦ Πατρὸς συνεκφωνεῖται ὀνόματι ; καὶ εἰ μὴ συνεκφωνεῖται, διατί συνεπινοεῖται ;

17. Magnus Basilius veluti pronuntiatum et dogma edicit, secundum reticentiam una cum Patre intelligi Filium, ubi Patris nomen cum additione etiam solius effatur, et tu inquis, quisquis tandem fueris, qui hæc in dubium vocas, Quare non et una cum Patre Filius pronuntiatur in processione Spi-

[38] Matth. xi, 27. [39] Joan. xv, 26.

A γνῶσιν, ὅπου μόνος εἰδέναι λέγεται ὁ Πατὴρ, καὶ τοῦ πρώτῳ τῷ Πατρὶ τὴν αἰτίαν προσεῖναι, ὅπου μόνος αἴτιος λέγεται ὁ Πατὴρ, οὐδὲ τὰς ἄλλας περικοπὰς προθεῖναι ὀκνήσομεν τῶν τοῦ μεγάλου Βασιλείου ἐξηγήσεων, ἃς διανοούμεθα πρὸς συγκρότησιν τοῦ προκειμένου ἡμῖν συντείνειν σκοποῦ. Ἐν γὰρ τῇ ἀνωτέρω δηλωθείσῃ ἐπιστολῇ τῇ μιᾷ τῶν πρὸς Ἀμφιλόχιον μετὰ τὸ ἐξηγήσασθαι τὸ, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Πατήρ, » καὶ διασαφῆσαι, ὡς ὁ Κύριος ἐν Εὐαγγελίοις ἔφη τοῦτο, « οὐχὶ ἔξω τιθεὶς ἑαυτὸν τῆς τοῦ ἀγαθοῦ φύσεως, ἀλλὰ πρῶτον ἀγαθὸν εἶναι τὸν Πατέρα δηλῶν, » ἐπάγει τοιοῦτον εἶναι καὶ τὸ, « Οὐδεὶς οἶδε τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ » οὐδὲ γὰρ ἐκεῖ ἄγνοιαν τοῦ Πνεύματος κατηγορεῖ ὁ Υἱὸς, ἀλλὰ πρώτῳ τῷ Πατρὶ ἐνυπάρχειν τὴν γνῶσιν τῆς B φύσεως μαρτυρεῖ. » Ὁρᾷς ὅπως κἀνταῦθα οὐκ εἰς διαστολὴν τοῦ Πνεύματος ἐξηγεῖται, νοεῖσθαι τὸ παρὰ μόνου τοῦ Πατρὸς γινώσκεσθαι τὸν Υἱὸν, ἀλλ' εἰς δήλωσιν τοῦ πρώτῳ τῷ Πατρὶ ἐνυπάρχειν τὴν γνῶσιν τῆς τοῦ Υἱοῦ φύσεως ; Ὅρα καὶ πορίζου ἐντεῦθεν μηδ' εἰς διαστολὴν τοῦ Υἱοῦ τὸ, « μόνος ὁ Πατὴρ » λαμβάνεσθαι παρὰ τῇ Γραφῇ, ὅπου δεῖ συνεπινοεῖσθαι καὶ τὸν Υἱόν. Ἦν γὰρ ἂν κἀνταῦθα διαστολὴ τοῦ Πνεύματος ἀπὸ τοῦ Πατρὸς, ἐν τῷ, « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ. » Ἀλλ' ἐφεξῆς ἐπάγει καὶ πάλιν ὁ μέγας Βασίλειος οὕτω· « Καὶ τὸ, Οὐδεὶς οἶδε, τὴν πρώτην εἴδησιν τῶν τε ὄντων καὶ τῶν ἐσομένων ἐπὶ τὸν Πατέρα ἀνάγοντος, καὶ διὰ πάντων τὴν πρώτην αἰτίαν τοῖς ἀνθρώποις ὑποδεικνύοντος, εἰρῆσθαι νομίζομεν· » καὶ C μετ' ὀλίγα τῆς περικοπῆς ταύτης προσεπιφέρει· « Παρασιωπήσας τοίνυν ὡς ὁμολογούμενον τὸ ἑαυτοῦ πρόσωπον ὁ Κύριος, εἰδέναι τὸν Πατέρα μόνον φησὶ, τὴν τοῦ Πατρὸς γνῶσιν κατὰ τὸ σιωπώμενον καὶ ἑαυτοῦ εἶναι λέγων. » Σκόπει τὸ τῆς ἐξηγήσεως βάθος, καὶ κατανόει τὸν λόγον, καθ' ὃν μόνον τὸν Πατέρα εἰδέναι ὁ ἄγιος ἐξηγεῖται. Φησὶ γάρ· « Τὴν τοῦ Πατρὸς γνῶσιν ὁ Κύριος καὶ ἑαυτοῦ εἶναι λέγει κατὰ τὸ σιωπώμενον. » Εἰ τὸ τοῦ λόγου τούτου βάθος ἐξερευνήσεις, ἀμυήτους εἶναι τῶν δογματικῶν μυστηρίων διαγνώσῃ τοὺς ὥσπερ τι μέγα προτείνοντας διαπόρημα, Εἰ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχει, διατί ἐν Εὐαγγελίοις ὁ Κύριος, « ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » ἔφη, μὴ προσθεὶς καὶ τὸ, ἐξ D ἐμοῦ. Εἰ γὰρ ὁ μέγας Βασίλειος αἰτίαν τοῦ παρασιωπηθῆναι τὸ ὄνομα τοῦ Υἱοῦ, ἐφ' οἷς λέγει τὸν Πατέρα μόνον εἰδέναι τοῦτο, λέγει σαφῶς τὸ, τὴν τοῦ Πατρὸς γνῶσιν κατὰ τὸ σιωπώμενον γνῶσιν εἶναι

ιζ'. Ὁ μέγας Βασίλειος ὡς ἀξίωμά τι καὶ δόγμα ἐκφέρει κατὰ τὸ σιωπώμενον συνεπινοεῖσθαι τὸν Υἱὸν τῷ Πατρὶ, ὅπου τὸ τοῦ Πατρὸς ὄνομα μετὰ προσθήκης τοῦ μόνου ἐρρέθη, καὶ σὺ λέγεις ὅστις ἂν εἶης, ὁ ταῦτα διαπορῶν, Διατί μὴ συνεκφωνεῖται ὁ Υἱὸς τῷ Πατρὶ ἐν τῇ προόδῳ τοῦ Πνεύματος ;

Digitized by Google Распознавание текста ABK/FR

Ἀλλ' εἰ καὶ σὺ κρεῖττον ἢ κατὰ τὸν μέγαν Βασίλειον φαντάζει ταῖς τῆς θεολογίας αὐγαῖς ἐναστράπτεσθαι, ἐγὼ δὲ τῶν αὐτῷ θεολογηθέντων ὁλοσχερῶς ἐξέχεσθαι οὐκ ἀναδύομαι, καὶ ὑπὸ καθηγητῇ καὶ διδασκάλῳ αὐτῷ τὸν λόγον οἶδα καθ' ὃν τὸ *μόνος* λαμβάνεται ἐπὶ τοῦ Πατρός. Αὐτὸς γὰρ οὗτος ὁ τῆς θεολογίας φωστὴρ ἐξηγούμενος, τὸ « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰμὴ ὁ Πατήρ, » λέγει, « Οὐδὲ γὰρ ἐκεῖ ἄγνοιαν τοῦ Πνεύματος κατηγορεῖ ὁ Υἱός, ἀλλὰ πρώτῳ τῷ Πατρὶ ἐνυπάρχειν τὴν γνῶσιν τῆς ἑαυτοῦ φύσεως μαρτυρεῖ. » Καὶ τὸ, « εἰ μὴ εἷς ὁ Θεός, » ἀντὶ τοῦ, « εἰ μὴ μόνος ὁ Πατήρ, » ἐκλαμβάνων, ἐν τῇ ἐξηγήσει φησὶ δήλωσιν ἔχειν τὸ ῥῆμα τοῦ *πρῶτον* ἀγαθὸν εἶναι τὸν Πατέρα. Καὶ ἐπεὶ ἐκ τῶν ἐξηγήσεων τούτων οἶδα τὸ *μόνος* ἐπὶ τοῦ Πατρὸς ἀντὶ τοῦ *πρώτου* λαμβάνεσθαι, οὐδὲ ὅπου μόνος ὁ Πατὴρ αἴτιος λέγεται, ἢ ἐκ μόνου τοῦ Πατρὸς, ἀγνοῶ δήλωσιν ἔχειν τὰ ῥήματα τοῦ πρώτην αἰτίαν τὸν Πατέρα νοεῖσθαι. Ἐπεὶ γὰρ οὐδέν τι τῶν τοῦ Υἱοῦ ἰδίως αὐτῷ ἔνεστι, καὶ οὐδέν τι τῶν τοῦ Υἱοῦ ὡς ἰδία ἐνέργειά ἐστι παρὰ τὴν ἐνέργειαν τοῦ Πατρὸς, πῶς οὐκ ἂν μόνος αἴτιος ῥηθείη ὁ Πατήρ; Ὅπερ γὰρ ὁ μέγας οὗτος Πατὴρ περὶ τῆς γνώσεως; λέγει τῆς περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας σαφῶς δογματίζων, οὐδ' ἂν ὁ Υἱὸς ἔγνω ἐκείνην, εἰ μὴ ὁ Πατὴρ ἔγνω, τοῖς ἐκείνου λόγοις ὁποθαῤῥήσας, τοῦτο καὶ αὐτὸς περὶ τῆς τοῦ Πνεύματος προόδου ἐρῶ. Οὐκ ἂν ποτε τὸ Πνεῦμα προῆλθεν ἐκ τοῦ Υἱοῦ, εἰ μὴ προῆλθεν ἐκ τοῦ Πατρός. Πόθεν γὰρ ἂν καὶ ἔσχεν Πνεῦμα ὁ Υἱὸς ὁ μηδὲν ἔχων ἴδιον παρὰ τὸν Πατέρα, εἰ μὴ παρὰ τοῦ Πατρὸς φυσικῶς εἶχεν αὐτό; Καὶ ἐπεὶ πάντα, ὧν ἐστιν ὁ Υἱὸς αἴτιος, εἰς τὸν Πατέρα τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει, πῶς οὐχὶ μόνος αἴτιος ὁ Πατὴρ κατὰ τὸν ἐκ Δαμασκοῦ θεολόγον ῥηθήσεται; Ἐπεὶ δὲ πάλιν πάντων τῶν τοῦ Πατρὸς φυσικῶν ἀγαθῶν κοινωνός ἐστιν ὁ Υἱὸς, πῶς οὐχὶ τὸ ἐκ τοῦ Πατρὸς λεγόμενον εἶναι, καὶ ἐκ τοῦ Υἱοῦ ῥηθήσεται εἶναι; καὶ πῶς τὸ τοῦ Πατρὸς Πνεῦμα οὐχὶ καὶ τοῦ Υἱοῦ ῥηθήσεται Πνεῦμα; καὶ πῶς ἐκ τοῦ Πατρὸς ὑπάρχον τὸ Πνεῦμα μὴ καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν ῥηθήσεται; Εἰ γὰρ μὴ τοῦτ' ἦν, οὐκ ἂν ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ ἧς ἡ ἀρχὴ, « Ἐνέτυχον καὶ τῇ νῦν γραφείσῃ ἐπιστολῇ παρὰ τῆς σῆς εὐλαβείας, » ἔφη· « Ἀμέλει τοῦ Πατρὸς πέμποντος τὸ Πνεῦμα, ὁ Υἱὸς ἐμφυσῶν δίδωσιν αὐτὸ τοῖς μαθηταῖς, ἐπειδὴ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστιν. »

ιη'. Εἰ δὲ σὺ ἐκ τοῦ Πατρὸς ἀκούων τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, δύο κατὰ πᾶσαν ἀνάγκην τὰ αἴτια θέλεις νοεῖν, ἀλλ' ἐγὼ ταῦτά σοι ὑποτίθημι. Ἐπείπερ ὁ τῆς εὐσεβείας ἀπαιτεῖ λόγος ἕπεσθαι τοῖς παρὰ τῶν ἁγίων Πατέρων παραδοθεῖσιν ἡμῖν θεολογικῶς, πρώτην αἰτίαν τὸν Πατέρα ἀκούεις, καὶ μίαν πάντως αἰτίαν, διὰ τὸ πᾶν τὸ παρὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι εἰς αὐτὸν ἀναφέρεσθαι, καὶ περαιτέρω πολυπραγμονεῖν σε οὐ δεῖ, θέλεις εἰς διαστολὴν τοῦ Υἱοῦ ἐκλαμβάνειν, ὅπου τὸ τοῦ Πατρὸς ὄνομα μετὰ προσθήκης τοῦ *μόνου* εὑρίσκεται. Ἀλλ' ὁ μέγας Βασίλειος ἐξηγησάμενος τὸ, « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, » καὶ παραστήσας οὐκ εἰς

A ritus? Verumtamen etiamsi tu ipso Basilio melius theologiæ splendoribus illuminari imaginaris, ego nihilominus ab illius theologicis dictis prorsus dependere non recuso, quo magistro ac præceptore modum quoque novi, quo *solus* accipitur de Patre. Ipse enim theologiæ lumen interpretans illud, « Nemo novit Filium nisi Pater, » ait: « Eo loci non ignorantia Spiritus a Filio prædicatur, sed primo Patri inesse cognitionem illius naturæ testatur, » et illud, « nisi unus Deus, » loco illius, « nisi solus Pater, » accipiens, et exponens tradit, significatum præseferre dictionem illam, « primum bonum esse Patrem. » Et cum ex similibus expositionibus comperiam *solus* de Patre pro *primo* accipi, neque ubi solus Pater causa dicitur, aut ex

B solo Patre, ignorem verba denotare, primam causam Patrem intelligi; cum enim nihil ex iis, quæ Filii sunt, proprie ipsi inest, et nihil ex illis, quæ Filii sunt, propria operatio est, præ operatione Patris, quanam ratione solus causa Pater non dicetur? Quod magnus hic Pater de cognitione illius diei et horæ affirmat, plane veluti dogma constituens, nunquam Filium horam illam cogniturum, nisi Pater cognovisset, illius sermonibus confidens, hoc ipsum et ego de Spiritus progressu enuntiabo: Nunquam Spiritus progressus fuisset ex Filio, nisi progressus fuisset ex Patre. Unde enim Spiritum Filius habuisset, qui nihil præter Patrem proprium habet, nisi a Patre naturaliter illum possideret? Et

C cum omnia, quorum Filius causa est, ad Patrem primam causam referantur, quanam ratione non solus causa Pater astruetur, ut Damascenus theologus indigitat? Et cum rursus omnium Patris naturalium bonorum Filius particeps est, quo pacto qui ex Patre dicitur esse, non dicetur esse et ex Filio? et quomodo Patris Spiritus non dicetur et Filii Spiritus? Et qua ratione Spiritus exsistens ex Patre, non dicitur ex Filio quoque exsistere? Namque id si non esset, nunquam magnus Athanasius ad Serapionem epistola, cujus principium, « Reddita est mihi nunc a tua pietate scripta epistola, » scripsisset: « Profecto Patre mittente Spiritum, Filius sufflans tradit illum discipulis, cum omnia quæ habet Patris Filii sint. »

D 18. Quod si tu ex Patre audiens Spiritum et ex Filio, duas prorsus necessario causas intelligere vis, ego hæc tibi suggero. Quandoquidem pietatis ratio deposcit, quæ a sanctis Patribus nobis tradita sunt, theologica dicta sequi, primam causam Patrem audis, et unam omnium causam, quod quidquid a Filio esse dicitur, in ipsum referatur, ultraque curiosius indagare non addecet, contendis ad distinctionem Filii accipi, ubi Patris nomen cum *solius* additione reperitur. At magnus Basilius interpretans, « Nemo novit Filium nisi Pater, » et confirmans non ad distinctionem Filii illud esse enuntiatum, sed ad insinuandum, primum Patri

Digitized by Google Распознавание текста ABK/FR

cognitionem illius naturæ inesse; itemque exponens, « Neque Filius cognovisset diem finis nisi Pater, » eoque aperte professus, Filium non secerni a Patre, sed tantummodo Patri primam cognitionem attribui, quod ex Patre Filius habeat omnem cognitionem, non permittit tuæ curiositati, quod ex solo Patre, semel et in una tantum pericopa, ut tradunt, reperiatur, omnia reliqua sanctorum theologica dicta respuere, quæ aperte ex Patre et Filio Spiritum esse decernunt. Propterea tu sanctorum dicta invicem conferens, et illud, « ex solo Patre, » semel, ut aiunt, et in uno solum testimonio habetur, non ad refellenda adeo multa confertaque, et scripto tradita, et in superioribus digesta testimonia, quæ ex Patre et Filio Spiritum esse comprobant, pervestigans, cum Romana Ecclesia facilis ac benevolus antiquam in gratiam redi, quæ asserit, ex Patre et Filio Spiritum procedere, et unam causam, et unum principium in beata Triade profitetur

A διαστολὴν τοῦ Πνεύματος τοῦτο ῥηθῆναι, ἀλλ' εἰς δήλωσιν τοῦ πρώτῳ τῷ Πατρὶ τὴν γνῶσιν τῆς τοῦ Υἱοῦ φύσεως ἐνυπάρχειν. Καὶ πάλιν διερμηνεύσας τὸ, « Οὐδ' ἂν ὁ Υἱὸς ἔγνω τὴν ἡμέραν τοῦ τέλους εἰ μὴ ὁ Πατήρ, » καὶ ἐν τούτῳ διατρανώσας, μὴ τὸν Υἱὸν διαστέλλεσθαι ἀπὸ τοῦ Πατρὸς, ἀλλὰ τῷ Πατρὶ τὴν πρώτην γνῶσιν προσμαρτυρεῖσθαι, διὰ τὸ ἐκ τοῦ Πατρὸς ἔχειν καὶ τὸν Υἱὸν τὸ εἰδέναι, οὐκ ἐξ τὴν σὴν πολυπραγμοσύνην διὰ τὸ ἐκ μόνου τοῦ Πατρὸς ἅπαξ, καὶ ἐν μιᾷ τινι περικοπῇ, ὡς φασιν, εὑρισκόμενον, τὰς ἄλλας πάσας θεολογικὰς τῶν ἁγίων φωνὰς ἀθετεῖν, αἳ διαῤῥήδην ἐκ Πατρὸς καὶ Υἱοῦ θεολογοῦσιν εἶναι τὸ Πνεῦμα. Διὰ γοῦν ταῦτα πρὸς ἄλληλα συμβιβάζων σὺ τὰ τῶν ἁγίων ῥητὰ, καὶ τὸ « ἐκ μόνου Πατρὸς » ἅπαξ, ὡς φασι, καὶ ἐν B μιᾷ περικοπῇ εὑρισκόμενον, μὴ εἰς ἀνατροπὴν ἐκλαμβάνειν θέλων τῶν εἰς πολὺ πλῆθος ἐξηπλωμένων ῥητῶν γραφικῶν τῶν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν θεολογούντων, τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καταλλαγὴν εὐμενῶς καὶ ἐνστόρ-

ξως προσίσσο, τὸ Πνεῦμα λεγούσης ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, καὶ μίαν αἰτίαν, καὶ μίαν ἀρχὴν ἐπὶ τῆς μακαρίας προσβευούσης Τριάδος.

19. Quodsi laudatis expositionibus attentius animum advertas, et mutuam dictorum scripto concreditorum conciliationem examines, neque dictum a Damasceno theologo prolatum, « Ex Filio vero Spiritum non dicimus, » turbas ciebit. Namque ab iis, qui « ex solo Patre » vocem in sententiam Basilianæ expositionis accipiunt dignoscetur, quemadmodum etiam initio orationis fassi sumus, qua ratione et hic Damascenus theologus, non tanquam C ex ipso, sed tanquam per ipsum procedentem Spiritum asseruit, et quomodo aliis in locis, « Ex Filio autem Spiritum non dicimus, » decrevit. Namque cum ad Patrem universa causalitas deferatur, prima causa Pater asseritur, et cum prima causa sit, propterea et sola causa ab æquis cognitoribus, et iis, qui fidei decreta præscribunt, creditur. Nullus itaque dubitandi locus relinquitur, ne cognoscamus, propterea, « Ex Filio Spiritum non dicimus, » Damascenum dixisse, ne quis primam causam et principium Spiritus Filium existimaret. Etsi enim, ut nonnulli opinantur, propterea sanctus dixit, « Ex Filio autem Spiritum non dicimus, ut Filium a Patre sejungeret, nunquam dixisset, « non tanquam ex ipso, sed veluti per ipsum procedens. » Nam a Patre Filii sejunctio, quemadmodum a me dictum est, nunquam in Spiritus ex Patre exsistentia, illud « per Filium » admittet. Verum ego, quas tibi magni Basilii expositiones de voce *solius* in testimonium adduxere, non ad distinctionem Filii hanc dictionem assumi, promiseram, satis abundeque produxi.

ιθ'. Εἰ γὰρ ταῖς ῥηθείσαις προσέχειν ἐπιστατικώτερον ἐξηγήσεσι, καὶ τὸν πρὸς ἄλληλα συμβιβασμὸν τῶν γραφικῶν ῥήσεων ἐρευνᾷς, οὐδὲ τὸ ῥητὸν ἐκεῖνο, ὅπερ ὁ ἐκ τῆς Δαμασκοῦ θεολόγος ἔφη, τὸ, « Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, » ταραγμόν σοι ἐμποιήσει τινά. Τοῖς γὰρ τὴν « ἐκ μόνου τοῦ Πατρὸς » φωνὴν εἰς τὴν ἔννοιαν προσιεμένοις τῆς ῥηθείσης παρὰ τοῦ μεγάλου Βασιλείου ἐξηγήσεως, συνδιαγνωσθήσεται, ὡς καὶ ἐν καταρχαῖς τοῦ λόγου εἰρήκειμεν, ὅπως καὶ οὗτος ὁ ἐκ τῆς Δαμασκοῦ θεολόγος; οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον ἔφη, καὶ ὅπως, « Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, » ἐν ἄλλοις ἐθεολόγησεν. Ἐπεὶ γὰρ διὰ τὸ εἰς τὸν Πατέρα τείνεσθαι τὸ πᾶν τῆς αἰτίας, πρῶτον αἴτιον λέγεται ὁ Πατὴρ, καὶ διότι πρῶτον αἴτιον, διὰ τοῦτο καὶ μόνον τοῖς εὐθυγνώμοσι πιστεύεται τῶν δογματιστῶν, οὐδεμία λοιπὸν ἀμφιβολίας πρόφασις λείπεται, μὴ διαγινώσκειν, ὡς διὰ τοῦτο, « Ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν, » ὁ Δαμασκηνὸς ἔφη, ἵνα μή τις τὴν πρώτην αἰτίαν καὶ ἀρχὴν τοῦ Πνεύματος τὸν Υἱὸν εἶναι δοξάσῃ. Εἰ γὰρ, ὥς τινες ὑπειλήφασι, διὰ τοῦτο ὁ ἅγιος ἔφη, « Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, » ἵνα διαστείλῃ D τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, οὐκ ἄν ποτε ἔφη, « οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον. » Ἡ γὰρ ἀπὸ τοῦ Πατρὸς διαστολὴ τοῦ Υἱοῦ, ὥσπερ μοι καὶ προείρηται, οὐκ ἄν ποτε ἐν τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος παραδέξαιτο τὸ δι' Υἱοῦ. Ἀλλ' ἐγὼ μὲν ὡς ἐπηγγειλάμην σοι τοῦ μεγάλου Βασιλείου ἐξηγήσεις περὶ τῆς « τοῦ μόνου » φωνῆς εἰς μαρτυρίαν παραγαγεῖν τοῦ μὴ πρὸς διαστολὴν τοῦ Υἱοῦ τὴν φωνὴν ταύτην λαμβάνεσθαι, ἀρκούντως παρήγαγον.

20. Quod si tu temet trabendum concredis iis, qui veluti rem bonam Ecclesiarum dissidium procurant, et dissidii causarum non infimam protendunt, a nullo Christianorum dogma approbandum

κ'. Εἰ δὲ σὺ δίδως ἑαυτὸν παρασύρεσθαι τοῖς ὥσπερ τι καλὸν χρῆμα τὴν τῶν Ἐκκλησιῶν διάστασιν ἐπισπεύδουσι, καὶ μέρος ποιουμένοις τῆς διαστάσεως ἀφορμῶν τὸ μὴ δεῖν λέγειν μηδένα

Digitized by Google Распознавание текста ABBYY FR

Χριστιανῶν δόγμα τῷ παραδοδέντι Συμβόλῳ τῆς πίστεως μὴ ἐμφερόμενον, πότε ἂν ὁ ἀληθὴς λόγος τῆς σῆς διανοίας ἐναυγασθείη τοῖς ὀφθαλμοῖς; Πλὴν εἰ καὶ σὺ, ὅστις ἂν εἶῃς, ὁ οὕτω διακείσθαι βουλόμενος, βύεις τὰ ὦτα πρὸς πᾶν τὸ πρὸς τὴν εἰρήνην σε ἐκκαλούμενον, ἀλλὰ διὰ τοὺς εὐγνώμονας τῶν ἀκροατῶν ἐγὼ καὶ πάλιν ἐρῶ, ἃ τε προτεινομένους ἀκήκοα, τοὺς διὰ ταυτηνὶ τὴν αἰτίαν τὴν τῶν Ἐκκλησιῶν ἀπωθουμένους εἰρήνην, καὶ ἅπερ ἐμοὶ συντείνοντα δοκεῖ πρὸς τὴν τούτων ἀνατροπήν. προηγουμένως μὲν παραβάτην εἶναι τῆς εὐσεβείας φασὶ, τὸν μέχρι γοῦν καὶ μιᾶς κεραίας τολμήσοντα προσθεῖναι ἐπὶ τῷ Συμβόλῳ τῆς πίστεως. Ὑπηνίκα δὲ ἀκούσωσιν Ἀλλὰ Θεὸς τὸ Πνεῦμα ἐν τῷ Συμβόλῳ οὐκ εἴρηται, οὐδ' ὁμοούσιον Πατρὶ καὶ Υἱῷ, καὶ δεῖ λοιπὸν κατὰ τὸ δοκοῦν αὐτοῖς εὐσεβείας ἐγκαλεῖσθαι παραβασίαν τοὺς τὴν θεολογίαν ταύτην μὴ τῷ Συμβόλῳ ἐμφερομένην θεολογοῦντας, δέχονται μὲν μηκέτι κρίνεσθαι ἀσεβείας τοὺς καὶ τὰ μὴ ἐμφερόμενα τῷ Συμβόλῳ θεολογοῦντας εἰς ἔννοιαν εὐσεβῆ· ἐφεξῆς δὲ ὡς ἰσχυρόν τι τάχα καὶ ἅμαχον προτείνουσιν εἰς ἀντίρρησιν, Ἀλλ' ὁ μέγιστος Κύριλλος τῆς τρίτης συνόδου ἀρχηγὸς ὤν, εἴπερ ᾔδει ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχον, πῶς οὐ προσέθετο ἐν τῷ Συμβόλῳ, « καὶ ἐκ τοῦ Υἱοῦ; » Ἀκούοντες δὲ καὶ ἐπὶ ταῖς τοιαύταις ἀνελογίαις αὐτῶν ὡς οἱ Πατέρες τῆς δευτέρας συνόδου δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ διὰ τὸν κατὰ τῶν Πνευματομάχων ἀθροισθέντες ἀγῶνα, καὶ σκοπὸν ὅλον τῆς εἰς τὸ αὐτὸ συνδρομῆς τὴν τῆς θεολογίας τοῦ Πνεύματος διατράνωσιν ἔχοντες, ὅπερ δῆλον ἀπὸ τοῦ καὶ τὴν προσθήκην πᾶσαν περὶ μόνου γενέσθαι τοῦ Πνεύματος, διατί μὴ Θεὸν τὸ Πνεῦμα, καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ ἐν τῷ Συμβόλῳ φανερῶς ἀνεκήρυξαν, ὅπερ πλέον τῶν προστεθεισῶν ἀπασῶν λέξεων περὶ αὐτοῦ, ἔμελλε τὴν αὐτοῦ θεότητα παρισᾶν καὶ διατρανοῦν; Ἀκούοντες γοῦν ταῦτα, ἔτι δὲ καὶ προσεπακούοντες ὡς ὁ θαυμαστὸς Κύριλλος τὸν τῆς τρίτης συνόδου σύλλογον διὰ μόνην τὴν Θεοτόκος ἐποιεῖτο φωνὴν, καὶ ἵνα τί μὴ ἐν τῷ Συμβόλῳ προδήλως Θεοτόκον ἀνηγόρευσε τὴν τοῦ Κυρίου μητέρα, ἀλλὰ Μαρίαν Παρθένον, αἰσχύνονται μὲν, δεδογμένον δὲ ἅπαξ αὐτοῖς πρὸς τὴν ἐκκλησιαστικὴν εἰρήνην ἀφηνιάζειν, τῆς σφῶν αὐτῶν πεισμονῆς οὐκ ἀφίστανται.

κα'. Ἀλλ' οὗτοι μὲν ἐχόντων, ὡς ἔχουσι. Γένοιτο δὲ κἂν γοῦν ὀψὲ τοῦ χρόνου καὶ αὐτοὺς ἐπιγνόντας τὰς κατὰ καιροὺς γενομένας παρὰ Πατέρων ἡμῶν μεγάλας οἰκονομίας, τὸν μὴ κατ' ἐπίγνωσιν παριδεῖν ζῆλον, καὶ πρὸς τὴν τῶν Ἐκκλησιῶν εἰρήνην ἁπαρώτερον ἐνατενίσαι. Ὑμεῖς δὲ, ὦ εὐγνώμονες τῶν ἐμῶν λόγων ἀκροαταὶ, αὐτὰ τὰ φαινόμενα ἐξόπου ἡ μέσον ἡμῶν τε καὶ Ἰταλῶν εἰρήνη γέγονε, μάρτυρας ἀπαραγράπτους παραλαμβάνοντες τῆς τῶν δογμάτων ἡμῶν συντηρήσεως, καὶ τοῦ ὁμεταποιήτου τῶν ἡμετέρων ἐθῶν, καὶ πάσης τῆς πατροπαραδότου ἡμῶν εὐταξίας τε καὶ κοσμιότητος, ὡσαυτως τῆς εἰρήνης ἐξέχεσθε, ἀδιστάκτως ἐπὶ τῷ εἰρηνάρχῃ πεποιθότες Χριστῷ, τῷ τὰ διε-

A esse, in tradito fidei Symbolo non inclusum, quo tandem tempore vera tuæ mentis ratio oculusque collustrabitur? Et si tu, quisquis tandem fueris, qui ita affectus, ad voces omnes, pacem adhortantes aures claudis, nihilominus propter æquos auditores rursus ipse repetam, quæ eos proponere audivi, qui propter hanc causam pacem Ecclesiarum rejiciunt, quæque apprime ad eos refellendos utilia atque conducibilia videntur. Ante alia vero pietatis esse violatorem asserunt, vel unum apicem in Symbolo fidei addere præsumentem. Verumtamen cum audiunt, Sed Deus Spiritus in Symbolo non legitur, neque consubstantialis Patri et Filio, oporteretque, ut ipsis affubescit, pietatis violationis crimen inuri theologiam hanc in Symbolo
B non traditam decernentibus, ipsi quidem concedunt non esse impietatis accusandos, non tradita in Symbolo præscribentes, verumtamen sensu non a pietate alieno, tum deinceps veluti validum quid, et cui respondere nequeas, objiciunt. Sed maximus Cyrillus, qui præfuit tertiæ synodo, si sciebat ex Filio Spiritum esse, quare non apposuit in Symbolo, « et ex Filio? » Cum postea audiunt, pro dictis suis objectionibus, Patres secundæ synodi, ob nullam aliam causam quam ut cum Spiritus hostibus certamen subirent, coacti et ad eum exitum, qui illis tantummodo fuit propositus, congressum illum atque sententias dirigentes, ut divinitatem Spiritus declararent, quod clarum remanet ex additione, solummodo de Spiritu facta, quam ob
C causam Spiritum Deum et Patri et Filio consubstantialem palam aperteque non deprædicarunt, quod magis ac dilucidius aliis omnibus dictionibus de eo appositis, illius deitatem demonstrasset, constabilissetque? Hæc igitur audientes, necnon et illa præterea, admirabilem Cyrillum tertiæ synodi congressum ob solam Deiparæ vocem celebrasse, et tamen in symbolo nullo modo manifeste Domini Matrem Deiparam nuncupasse, sed Mariam Virginem, pudore equidem suffunduntur; verumtamen cum semel decreverint, ecclesiasticam pacem turbas etiendo respuere, a propria pertinacia non desistunt.

D

21. Et hi quidem pro libidine sua sese gerant, agantque. Utinam vero, licet sero, verum aliquando contingeret, ut agnitis, quæ a Patribus nostris certis temporibus magnæ dispensationes transactæ sunt, zelum secundum cognitionem non negligant, sed ad Ecclesiarum pacem multo alacrius ac promptius oculos figant. Vos vero, meorum sermonum æqui auditores et judices, res ipsas, quæ oculis contemplamur, ex quo inter nos et Italos pax intercessit, veluti testes omni exceptione majores accipientes, dogmatum nostrorum conservationis, nostrarum consuetudinum permanentis retinentiæ, necnon universi a Patribus nobis traditi instituti atque ornatus pari adhærescite, citra ullam hæsi-

Digitized by Google Распознавание текста АВК/FR

tationem spe vestra in Christo principe pacis, qui A disjuncta colligavit atque conjunxit, collocata, ubcrem inde mercedem, cum merces persolvitur, a remuneratore Deo consecuturi.

στῶτα συνδήσαντι καὶ συνάψαντι, πολὺν ἐντεῦθεν ἐν τῷ τῆς μισθαποδοσίας καιρῷ εὑρεῖν τὸν μισθὸν παρὰ τοῦ μισθαποδότου Θεοῦ.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΟΝ

ΑΓΑΛΛΙΑΝΟΝ ΚΥΡΙΟΝ ΑΛΕΞΙΟΝ

ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ ΔΙΑΚΟΝΟΝ

ΕΠΙΣΤΟΛΗ.

EJUSDEM

AD

AGALLIANUM DOMINUM ALEXIUM

MAGNÆ ECCLESIÆ DIACONUM

EPISTOLA.

Joannes miseratione divina humilis archiepiscopus Constantinopolitanus, sed ob verum Patrum dogma, ex Patre nempe per Filium Spiritus sancti processionem, propria sede pulsus, et in exsilium perpetuum et carcerem, ut ibi inclusus usque deperet, donec finem vitæ posuisset, condemnatus, Alexio diacono dilecto secundum Spiritum filio, benedictionem in Christo, et paternam salutationem.

1. Nunquam animo agitaveram iis, quæ nunc te audio proloqui, aures meas aliquando onerandas. Verumtamen cum nuntiatum fuerit, te adversariorum nostrorum partes tuentem contendere, vere propter eamdem naturam a sanctis Patribus dictum fuisse, ex essentia Filii esse Spiritum sanctum, non duxi pretium operæ me facturum, si quæ ad aures meas pervenerunt, silentio præteriero. Quare eloquar ipse, tu vero attende, atque animum adverte. Annon tenes me sæpenumero tibi declarasse, non simpliciter propter eamdam naturam, quæ nullum præpositionis *ex* ad sui insinuationem inter Triadis personas usum habet, ex essentia Filii Spiritum a Sanctis esse, fuisse pronuntiatum, sed propter eamdem naturam, quæ certe et definite effectum innuit? Et nunc dicito mihi, per Deum, quo malo raptus, meorum omnium memoriam ab- B

Ἰωάννης ταπεινὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, διὰ δὲ τὸ ἀληθὲς τῶν Πατέρων δόγμα, τὴν ἐκ Πατρὸς δηλονότι δι' Υἱοῦ ἐκπόρευσιν τοῦ Πνεύματος τοῦ ἁγίου, τοῦ οἰκείου θρόνου ἀπελαθείς, καὶ τὴν ἕως θανάτου ἐξορίαν καὶ φυλακὴν καταδικασθείς Ἀλεξίῳ διακόνῳ ἀγαπητῷ κατὰ Πνεῦμα υἱῷ εὐλογίαν τὴν ἐν Χριστῷ, καὶ πατρικὸν ἀσπασμόν,

α'. Ἐγὼ μὲν οὐκ ἄν ποτε ἀκοῦσαι ᾠήθην τοιαῦτα, οἷάπερ καὶ ἤκουσα λέγειν σε· ἐπεὶ δὲ ἤκουσα τῶν ἡμῖν ἀντιδικούντων ὑπερμαχόμενον διατείνεσθαι, ἢ μὴν διὰ τὸ ὁμοούσιον τοῖς ἁγίοις εἰρῆσθαι, τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα εἶναι τὸ ἅγιον, οὐ δεῖν πάλιν ᾠήθην σιγῇ τὰ ἠκουτισμένα παραδραμεῖν. Καὶ δὴ λέγω ἐγώ, ἄκουε δὲ σύ. Οὐκ οἶδας ὡς ἐγὼ πολλάκις σοι διεσάφησα, μὴ διὰ τὸ ἁπλῶς ὁμοούσιον, ὅπερ οὐδεμίαν τῆς ἐκ προθέσεως εἰς τὴν ἑαυτοῦ δήλωσιν μεταξὺ τῶν τῆς Τριάδος προσώπων ἔχει τὴν χρείαν, ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τοῖς ἁγίοις εἰρῆσθαι, διὰ δέ γε τὸ ὁμοούσιον ὡρισμένως αἰτιατόν; Καὶ νῦν εἰπέ μοι, ὦ πρὸς Θεοῦ, τί παθόντι σοι τῶν μὲν ἐμῶν ἐπιλαθέσθαι γέγονε πάντων, τῶν δὲ λεγόντων ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγεσθαι διὰ τὸ ὁμοούσιον κἀνταῦθα ττιζόντων ὑπερμαχεῖν; C

Digitized by Google Распознавание текста ABK/FR

jicere, asserentium vero ex essentia Filii Spiritum propter eamdem naturam dici, atque sic puncto *signantium*, defensionem suscipere animum induxisti?

β'. Εἰ τὴν ἐν τούτῳ πλάνην ἐθέλεις μαθεῖν, ἐπεὶ τῆς θεολογίας οὐκ ἔστιν ἀλλότριον ἐκ τῶν καθ' ἡμᾶς δηλοῦν ἡμᾶς; τὰ ὑπὲρ ἡμᾶς, ἔστιν οὗ παραδείγμασι τοῖς ὑλαίοις χρωμένους; καὶ αἰσθητοῖς τῶν ἄνω ἐκείνων καὶ ὑπὲρ νοῦν, πρόσσχες ἐπὶ τῶν ἀνθρώπων ἡμῶν· τί μέν, ὅταν τῆς αὐτῆς οὐσίας τὸν Παῦλον εἶναι τῷ Πέτρῳ φαμέν, ἔστιν ἡμῖν τὸ δηλούμενον· τί δέ, ὅταν ἐκ τῆς τοῦ Πέτρου τὸν Παῦλον εἶναι οὐσίας· καὶ πάντως προσεσχηκὼς τῷ παρατηρήματι, ὑπὸ μὲν τῆς τῶν ῥήσεων μιᾶς εὑρήσεις δηλούμενον τὸ τὸν Παῦλον ὁμοούσιον εἶναι Πέτρῳ κατὰ τὸ ὁμοειδές. Ὅπερ δὴ ὁμοούσιον, καὶ ἐπὶ τῶν ὁμοειδῶν ἄλλων πάντων ἀνθρώπων διήκει, καὶ ἀντιστρέφει ἡ ῥῆσις. Τῆς γὰρ αὐτῆς οὐσίας Παῦλον τῷ Πέτρῳ, καὶ Πέτρον αὖ τῆς αὐτῆς τῷ Παύλῳ, λέγομεν ἀντιστρέφοντες, ἐπὰν τὸ κατὰ τὸ ὁμοειδὲς αὐτῶν σημαίνειν θέλοιμεν ὁμοούσιον. Ὑπὸ δὲ τῆς λεγούσης ἐκ τῆς τοῦ Πέτρου τὸν Παῦλον εἶναι οὐσίας, εἶπε, πατέρα Παύλου εἶναι τύχοι τὸν Πέτρον. Εἰ γὰρ μὴ τοῦτο, οὐδὲ ἐκ τῆς τοῦ Πέτρου ἂν ποτε ῥηθείη Παῦλος οὐσίας. Ἀλλ' ὅτι εὑρήσεις δηλούμενον τὸ τὸν Παῦλον δηλαδὴ αἰτιατὸν ἐξ αἰτίου εἶναι τοῦ Πέτρου, οὐχ ὡς ἔν τινι τῶν ὧν ἐξωτερικῶς, ἤτουν ποιητικῶς αἴτιος εἶναι πέφυκε Πέτρος, ἀλλ' ὁμοούσιον αἰτιατὸν, καὶ τῆς ἰδίας τῷ αἰτίῳ αὐτοῦ φύσεως γέννημα. Καὶ ἡ ῥῆσις ὧδε οὐκ ἀντιστρέφει· εἰς ταύτην, ὡς ἐμοὶ δοκεῖ, εὑρήσεις μεριζόμενον τὴν διαφορὰν ὑπὸ τῶν εἰρημένων δύο ῥήσεων τὸ μεταξὺ Παύλου καὶ Πέτρου λεγόμενον ὁμοούσιον.

γ'. Εἰ μὲν οὖν καὶ σοὶ ταῦτα συνδοκεῖ, τινῶν ἄλλων λόγων εἰς τὴν τῆς διαφορᾶς κατασκευὴν μὴ δεόμενος, αὐτόθεν ὑπὸ τοῦ ληφθέντος ἐξ ἀνθρώπων ἡμῖν παραδείγματος λάμβανε καὶ τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ μὲν τὸ πρὸς τὸν Υἱὸν σύμμορφον τῆς αὐτῆς τῷ Υἱῷ θεολογεῖσθαι οὐσίας, καὶ ἀντιστρέφειν τὴν ῥῆσιν, ὡς καὶ τὸν Υἱὸν τῆς αὐτῆς τῷ Πνεύματι λέγεσθαι· κατὰ δὲ τὸ φυσικῶς καὶ οὐ ποιητικῶς αἰτιατὸν ἐξ Υἱοῦ, τουτέστι, δι' Υἱοῦ εἶναι αὐτό, ἐκ τῆς τοῦ Υἱοῦ θεολογεῖσθαι οὐσίας, καὶ τὴν ῥῆσιν μὴ ἀντιστρέφειν. Καὶ οὕτω ταῦτα λαμβάνων τῆς πλάνης ἀπαλλάττου καλῶς. Εἰ δέ γε τῆς τῶν ματαιολόγων ἅπαξ ἠττηθεὶς φλυαρίας, καὶ λόγων τῶν εἰς κατασκευὴν τῶν εἰρημένων δύο τρόπων τῆς ἡμῶν χρήζεις ὁμοουσιότητος, ἵν' ἐντεῦθεν πρὸς τὸ διάφορον βεβαίως ὁδηγηθεὶς τῆς τε λεγούσης ῥήσεως, τῆς αὐτῆς τῷ Υἱῷ τὸ Πνεῦμα εἶναι οὐσίας, καθ' ἣν τὸ ἁπλῶς αὐτῶν σημαίνεται ὁμοούσιον, τῆς τε ἐκ τοῦ Υἱοῦ λεγούσης προϊέναι οὐσίας αὐτό, καθ' ἣν τὸ διὰ τοῦ Υἱοῦ ὁμοούσιον αἰτιατὸν δηλοῦται αὐτοῦ, πρὸς ἀντιδιαστολὴν τῶν ποιητικῶς δι' Υἱοῦ αἰτιατῶν, ἐγώ σοι καὶ τοὺς τῆς κατασκευῆς διὰ βραχέων, ὡς οἷόν τε λόγους παραδοῦναι οὐκ ἀποκνήσω. Καὶ ἄκουε δή. Εἰ μηδέν τι διέφερε τῆς αὐτῆς οὐσίας τῷ Πέτρῳ τὸν Παῦλον, καὶ

2. Si errorem, quo in similibus aberras, aves addiscere, cum a theologica tractatione alienum non sit, nos ex hisce nostris, ea quæ supra nos sunt, sæpe scilicet ex materiæ ac sensui rebus obnoxiis, illorum quæ extra materiam sunt, et mentem humanam superant, ductis exemplis indicare, attento animo audi de rebus humanis sermonem. Quid cum ejusdem esse essentiæ Paulum et Petrum; quid cum ex Petri essentia Paulum esse dicimus, a nobis indicatur: et modis omnibus, siquidem perattente observationem meam consideraveris, percipies, ab uno horum dictorum significari, Paulum esse ejusdem ac Petrum naturæ secundum eamdem speciem, quæ natura et ad alios quoque omnes ejusdem speciei homines transit: et dictum hoc vicissim vertitur: namque ejusdem essentiæ Paulum cum Petro, et Petrum item ejusdem cum Paulo dicimus, nomina reciprocantes, cum unam eorumdem essentiam secundum speciem indicamus. At in dicto alio, quo asserimus, ex Petri essentia Paulum esse, Pauli parentem, si ita obtigerit esse, notamus. Namque si id non esset, neque ex Petri essentia Paulus unquam diceretur. Quo item invenies indicari Paulum, nempe effectum, ex Petro sui causa esse, cujus non uti unius ex iis, quæ externa sunt, factitia nempe, causa Petrus natura sua est, sed ejusdem essentiæ effectus, uniusque naturæ cum sui causa factus. Et dictum hac ratione conceptum non convertitur, et in hoc discrimen dividentem comperies eamdem, quæ inter Petrum et Paulum est, naturam, ut mihi videtur, hisce duobus dictis expressum.

3. Quod si hæc eadem tu quoque probas, ad corroborandum hoc discrimen, aliis rationibus et argumentis omissis, hoc ex hominibus desumpto per nos exemplo teneto, sanctum etiam Spiritum propter unam cum Filio formam ejusdem cum Filio substantiæ decerni, et dictum hoc contraverti, ut Filius quoque ejusdem cum Spiritu essentiæ asseratur; sed secundum naturalem et non factitium effectum ex Filio, hoc est per Filium esse illum ex Filii essentia affirmari, et dictum non contraverti. Et hunc in modum hæc concipiens, ab errore te, ut decet hominem probum, libera. Quod si nugatorum vaniloquentia inductus, momenta rationum ad duos jam dictos modos propositæ nobis consubstantialitatis roborandos exposcis, ut inde cate et solide discrimine percepto, tum dicti asserentis, Spiritum eadem esse ac Filium essentia, quo simpliciter eorum una natura exprimitur, tum affirmantis, illum ex Filii essentia progredi, quo per Filium ejusdem essentiæ effectus illius indicatur, ad distinctionem eorum, quæ sunt per Filium tanquam a Creatore producta, ego tibi et probationis hujusmodi, uti fieri potest, rationes tradere non gravabor. Et attentus aures porrige. Si nihil discreparet, ejusdem essentiæ cum Petro Paulum esse, et ex essentia

Digitized by Google Распознавание текста АВК/FR

Petri Paulum esse, astruere, sed utrumque dictum, unam eamdemque secundum speciem, nempe naturam indicaret, nihil differret, si dicta æque una converteres, tanquam quæ unum idemque connotarent. Quæ enim eadem sunt, eodem quoque modo enuntiantur. Idemque esset dicere, ejusdem essentiæ cum Petro Paulum, et cum Paulo Petrum, et Paulum ex essentia Petri esse, et Petrum rursus ex essentia Pauli. Sed hoc æque fieri poterit, atque oriens sol ab occasu exoriri. Quis enim unquam audiit, Patrem ex Filii essentia esse?

4. Quid hic ais? Annon satis tibi est hæc mutuæ conversionis demonstratio, ad unius ejusdemque naturæ discrimen intelligendum, an alio quoque exemplo id a nobis constabiliri peroptas? Et sodes attende animum huic secundo, ex creaturis item desumpto, at non ex iis, quæ æque atque nos sensibus subjacent, sed excelsioribus et minime materiatis, cujus firmitatem nec Satan ipse, qui natura sua veritati adversatur, convellere atque in dubium vertere poterit. Quænam vero sunt creaturæ, de quibus mihi sermo est? Angeli et animæ. Quid enim tibi de hisce videtur? Dicine de iisdem potest, Gabrielem et Michaelem ejusdem esse essentiæ et Theodori animam ejusdem esse naturæ cum anima Joannis, et vice versa, an non? Annues, sat scio. Specie enim similes inter sese angeli omnes, et animæ omnes inter se ejusdem speciei, et rationis participes sunt. Et quanam ratione de his sine ulla hæsitatione affirmari dices dictum, quo secundum speciem essentia eadem astruitur? Verumtamen si quis te interrogabit, Estne angelus ex essentia alicujus angeli, aut anima ex essentia alterius animæ? concedesne id? Imo et magnum reboabis, sat scio, contendens, nunquam quid simile ad aures hominis pervenisse. Quod si, quod est secundum speciem eadem natura per dictum asserens, hoc ex hujusce esse essentia, pro libitu indicaretur, cum jam nemo inficias eat, et de animabus et de angelis dictum astruens, ejusdem esse essentiæ hoc et hoc, et vice versa, ad notandum dici secundum speciem homousion, qua ratione et dictum asserens, ex essentia angeli angelum esse, et ex essentia animæ aliam animam, tantum reputaretur absurdum, ut interrogatus de hoc contendes, neque in aures unquam hominum incidisse? Quod hoc modo fieri prorsus nequit, ex nullo alio est, quam quod in angelis aut animabus nullus inveniatur ejusdem essentiæ effectus.

5. Quare cum, ubi quod ejusdem essentiæ est, causam sui non habet, ex essentia dici minime potest, manifestum remanet, ubi ex essentia dicitur, propter effectum ejusdem essentiæ dici. Sic veritas vim obtinet, cui respondere nequeas. Sic undequaque sui concors est, ut tum ex creatura, quæ palam est, et sensibus obnoxia, tum ex ea quæ invisa, intellectu tantum percipitur, sibi adversantes seque oppugnantes refellat. Pari ratione

A ἐκ τῆς τοῦ Πέτρου αὐτὸν λέγειν εἶναι οὐσίας, ἀλλ' αἱ ῥήσεις ἀμφότεραι μιᾶς καὶ τῆς αὐτῆς, τῆς γε κατὰ τὸ ὁμοειδὲς δηλαδὴ ὁμοουσιότητος ἦσαν δηλωτικαί, διέφερεν ἂν οὐδαμῶς, καὶ ἐπίσης τὰς ῥήσεις ὡς τῶν αὐτῶν σημαντικὰς ἀντιστρέφειν. Τὰ γὰρ ταυτὰ καὶ ταυτῶς. Καὶ ἦν ἂν ταυτὸν τῆς αὐτῆς οὐσίας τῷ Πέτρῳ λέγειν τὸν Παῦλον, καὶ τῷ Παύλῳ τῆς αὐτῆς Πέτραν, καὶ Παῦλον ἐκ τῆς τοῦ Πέτρου εἶναι οὐσίας, καὶ Πέτρον αὖθις ἐκ τῆς τοῦ Παύλου. Ἀλλὰ τοῦτο τόσα γε ἀδύνατον, ὅσα καὶ ἥλιον ἐξ ἑσπέρας ἀνατεῖλαι τὸ ἑῷον. Τίς γάρ ποτε Πατέρα ἐκ τῆς τοῦ Υἱοῦ ἀκήκοεν εἶναι οὐσίας;

B δ'. Τί φῄς; Ἀρκεῖ σοι ὁ ἐκ τῆς ἀντιστροφῆς οὗτος τῆς ἀποδείξεως τρόπος ἐπὶ τῇ διαφορᾷ τῆς ὁμοουσιότητος, ἢ καὶ ἐξ ἄλλου τινὸς συστῆσαι ταύτην ἡμᾶς ἐθέλεις τοῦ παραδείγματος; Καὶ δὴ πρόσσχες ἄλλῳ δευτέρῳ, ἐκ τῶν κτισμάτων μὲν καὶ αὐτῷ, οὓμενουν τῶν καθ' ἡμᾶς αἰσθητῶν, τῶν ὑψηλοτέρων δὲ καὶ ἀΰλων, οὗ πρὸς τὸ ἀναντίῤῥητον οὐδ' ἂν αὐτὸς Σατὰν, ὁ φύσει τῆς ἀληθείας πολέμιος ἀντεπεῖν ἕξει. Τίνων λέγω κτισμάτων; Ἀγγέλων τε καὶ ψυχῶν. Τί γάρ σοι καὶ ἐπὶ τούτων δοκεῖ; Ἆρ' ἔστι καὶ ὑπ' αὐτῶν τῆς αὐτῆς εἶναι οὐσίας εἰπεῖν τὸν Γαβριὴλ τῷ Μιχαὴλ, καὶ τὴν τοῦ Θεοδώρου ψυχὴν τῆς αὐτῆς οὐσίας εἶναι τῇ τοῦ Ἰωάννου, καὶ τὸ ἀνάπαλιν, ἢ οὔ; Ἔστιν, οἶδα, ἐρεῖς· ὁμοειδεῖς γὰρ ἀλλήλοις ἄγγελοι πάντες, καὶ ψυχαὶ πᾶσαι ἀλλήλαι; εἴδους καὶ λόγου μετέχουσι τοῦ αὐτοῦ. Καὶ πῶς οὐκ ἂν ἐπὶ τούτων λέγεσθαι ἀκωλύτως ἐρεῖς, ῥῆσιν ἐξ ἧς τὸ κατὰ τὸ ὁμοειδὲς παρίστατο ὁμοούσιον; Ἂν δέ τίς σε ἔροιτο, Ἔστι τις ἄγγελος ἐκ γε οὐσίας ἀγγέλου τινὸς ἡ ψυχή τις ἐκ γε οὐσίας ψυχῆς ἑτέρας; δώσεις καὶ τοῦτο; Καὶ μέγα βοήσεις οἶδα, μηδ' εἰς ἀκοὴν ποτε πεσεῖν ἀνθρώπου τοῦτο διατεινόμενος. Εἰ γοῦν τὸ κατὰ τὸ ὁμοειδὲς ὁμοούσιον ὑπὸ τῆς λεγούσης ῥήσεως ἐκ τῆς τοῦδε τόδε εἶναι οὐσίας τοῖς λέγουσιν ἐδηλοῦτο, ὁμολογουμένου τοῦ καὶ ἐπὶ ψυχῶν καὶ ἀγγέλων τὴν λέγουσαν ῥῆσιν τῆς αὐτῆς εἶναι οὐσίας τόδε τῷδε, καὶ τὸ ἀνάπαλιν, εἰς δήλωσιν τοῦ κατὰ τὸ ὁμοειδὲς λέγεσθαι ὁμοουσίου, πῶς ἂν τὴν καὶ ἐκ γε οὐσίας ἀγγέλου εἶναι λέγουσαν ἄγγελον, καὶ ἐκ γε οὐσίας ψυχῆς ἑτέραν ψυχὴν ἐς τόσον ἦν ἀδύνατον λέγεσθαι, ὡς ἐρωτώμενόν σε περὶ τούτου, μηδ' εἰς ἀκοὴν ποτε ἀνθρώπου τοῦτο πεσεῖν, διατείνεσθαι; Τὸ οὕτω ἀδύνατόν ἐστι πάντως οὐκ ἄλλοθεν, ἀλλ' ἢ ἐκ τοῦ μήτι ὁμοούσιον αἰτιατὸν ἢ ἐν ἀγγέλοις εἶναι ἢ ἐν ψυχαῖς.

ε'. Τοίνυν ἐπεὶ ἔνθα τὸ ὁμοούσιον οὐκ ἔστιν αἰτιατὸν τὸ ἐκ τῆς οὐσίας εἰρῆσθαι ἀδύνατον, εὔδηλον ὡς ἔνθα εἴρηται τὸ ἐκ τῆς οὐσίας διὰ τὸ ὁμοούσιον εἴρηται αἰτιατόν. Οὕτως ἀναπάντητον ἔχει τὴν ἰσχὺν ἡ ἀλήθεια. Οὕτω πανταχόθεν σύμφωνός ἐστιν ἑαυτῇ, ὡς ἔκ τε τῆς φαινομένης κτίσεως καὶ αἰσθητῆς, ἔκ τε τῆς ἀθεάτου καὶ νοερᾶς τοὺς αὐτῇ ἀντιδικοῦντας ἐλέγχεσθαι. Καὶ σὺ λοιπὸν ἐκ τῆς ἀναπαντήτου ταυτησὶ βεβαίως μαθὼν ἀποδείξεως, ἐκ τῆς οὐσίας

Digitized by Google Распознавание текста ABK/FR

τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεσθαι, εἰς παράστασιν ἀκριβῆ τοῦ τῆς οὐσίας τοῦ Υἱοῦ ἴδιον αὐτὸ τυγχάνειν ἐκπόρευμα ἐκ πρώτου καὶ ἀρχικοῦ τοῦ Πατρὸς αἰτίου, δι' αὐτοῦ προχεόμενον τοῦ Υἱοῦ, τοὺς μὲν ἐπὶ τούτῳ ἀντιδικοῦντας οἰμώζειν ἔα, σὺ δὲ τῇ ἀληθείᾳ τοῦ δόγματος ἐδραζόμενος, ἔρρωσο.

A tu quoque demonstratione hac, quam nulla convellet responsio, firmiter addiscens, ex essentia Filii Spiritum sanctum dici, ad exactam probationem, essentiæ Filii propriam esse eam processionem, ex primo, et principali Patre causa, per ipsum Filium effusam, qui contra nos obstrepunt pro hac re, fac propriis malis ingemant, et tu veritatis dogmate animum obfirmato. Vale.

ΤΟΥ ΑΥΤΟΥ

ΣΗΜΕΙΩΜΑ ΣΥΝΟΔΙΚΟΝ.

—

EJUSDEM

SENTENTIA SYNODALIS.

(Apud Leon. Allatium, *Græciæ orthod.* tom. I, p. 366.)

—

Μηνὶ Μαΐῳ γ', ἡμέρᾳ ἕκτῃ, ἰνδικτιῶνος ὀγδόης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ πατριάρχου Κωνσταντινουπόλεως νέας Ῥώμης κυροῦ Ἰωάννου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ συνεδριαζόντων τῇ μεγάλῃ ἀγωσύνῃ αὐτοῦ, καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Χαλκηδόνος, καὶ ὑπερτίμου Νικολάου, τοῦ Ἀθηνῶν, καὶ ὑπερτίμου Μελετίου, τοῦ Λαρίσσης, καὶ ὑπερτίμου Νικάνδρου, τοῦ Σερρῶν, καὶ ὑπερτίμου Λέοντος, τοῦ Χερσῶνος Θεοδώρου, τοῦ Σογδαίας Θεοδώρου, τοῦ Προικονήσου Νικολάου, καὶ τοῦ Βερροίας Λέοντος, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

B « Mensis Maii die 3, feria sexta, indictione octava, præsidente sanctissimo omino nostro patriarcha Constantinopoleos novæ Romæ, domino Joanne in cellis suis prope sanctum Theophylactum : considentibus una cum sanctitate ejus sanctissimis præsulibus, Chalcedonensi et hypertimo Nicolao, Atheniensi et hypertimo Meletio, Larissæo et hypertimo Nicandro, Serrarum et hypertimo Leone, Chersonensi Theodoro, Sogdææ Theodoro, Præconesi Nicolao, Berroensi Leone : adstantibus et piissimis dominis principibus. »

α'. Καὶ θρὶξ ἐμπεσοῦσα τῷ ὀφθαλμῷ τὸ φαυλότατον ἐπισκοτεῖ μὲν καὶ τούτῳ, πολλὴν δὲ καὶ τὴν ζημίαν ἐπιφέρει τῷ λοιπῷ σώματι. Εἰ γὰρ τοῦ σώματος λύχνος ὁ ὀφθαλμός ἐστιν, τούτου διακειμένου κακῶς, πᾶσα πάντως ἀνάγκη, καὶ σύμπαν τὸ σῶμα τῇ καχεξίᾳ ταύτῃ συνδιατίθεσθαι, καὶ ὅσα καὶ λύχνου σβεσθέντος αὐτοῦ, ἀμαυροῦσθαι τὸ παρ' ἐκείνου ποδηγετούμενον. Καὶ θείας ὡσαύτως Γραφῆς κατὰ τὸ τυχὸν κακουργηθείσης, καὶ μέχρι καὶ μιᾶς κεραίας παθούσης τὴν πρόσθεσιν, ἢ τὴν ἀφαίρεσιν, οὐκ ὀλίγη καὶ ἡ λύμη ἐπενεχθείη ἂν τῷ τῆς Ἐκκλησίας ἅπαντι σώματι. Καὶ τί γὰρ ἄλλο τῷ τοιῷδε σώματι, οὗ κεφαλὴ ὁ Χριστὸς, εἰς ὀφθαλμῶν λογισθείη ἂν τάξιν καὶ χρείαν, ἢ αἱ τῶν ἁγίων Πατέρων γραφαὶ, ἐκ τῆς κεφαλῆς αὐτῆς τὰς τοῦ ὀπτικοῦ κεκτημέναι ἀρχὰς καὶ φωταγωγοῦσαι τοὺς ἐντυγχάνοντας; Τί γοῦν ποιητέον ἐπὶ τῷ σωματικῷ ὀφθαλμῷ, καὶ τί διανοητέον ἐπὶ τῷ πνευματικῷ τούτῳ, οὗ χωρὶς τῆς ὀρθότητος οὐδεὶς τὸν Κύριον ὄψεται; Πάντως ὥσπερ ἐκεῖνον ἐκκαθαίρειν ἔθος τοῖς περὶ ταῦτα δεινοῖς, καὶ πρὸ τοῦ λυσιτελοῦν τῇ

C 1. Capillus res vilissima in oculum cadens, tenebras offundit, multumque noxæ reliquo corpori affert. Etenim si corporis lucerna est, eo male se habente, prorsus necesse est, corpus universum illa eadem ægritudine male affligi, et, veluti lampade illius exstincta, quod ab eo ducitur, obtenebrari. Similiter et sacra Scriptura, utcunque depravata, etiamsi unus tantum apex vel additione vel detractione male habitus sit, non mediocrem in universum Ecclesiæ corpus jacturam induxerit. Et quodnam aliud corpori, cujus caput Christus est, oculorum vicem usumque suppleverit, quam sanctorum Patrum monumenta, a capite ipso conspiciendi facultatem possidentia, et perlegentes illuminantia? Quid igitur agendum est de corporeo oculo, et quid in spirituali hoc excogitandum, quo

D non dirigente moderanteque nemo Dominum aspiciet? Plane quemadmodum eum purgare, qui in ea scientia plurimum valent, consueverunt, eumque ad utilem et omnium corporis membrorum constitutionem optimam reducere : ita procurandum

Digitized by Google Распознавание текста ABK/FR

est, uti fieri potest, studiumque impendendum, ut ab eo festuca, quæ objicitur, et ipsam trabem exsuperat, per idonea fidei dogmata germanaque dematur, ut eo jam a morbo libero, et in pristinum statum restituto lumen splendeat, tenebræque fugentur. Verum ad quos cura ista et diligentia magis pertinebit, quam ad nos ipsos, quibus miseratione Dei Patrum horum administratio demandata est, necnon aliæ omnes divinarum Litterarum et Patrum traditiones, ut tanquam legitimi filii, paternorum testamentorum depravatione, vel potius hæreditate ab illis nobis proveniente, magna equidem continuoque duratura, injuste spoliati, summopere indoleamus, et super illis potissimum, in quibus pacis pulchritudo resplendet, et Ecclesiarum reconciliatio roboratur; et maxime si inverecunde illæ et perfide pertractantur; ut multa contingunt a quibusdam, qui veritatem discerpunt, pro libidine adeo immutatam, ut non tantum impune veritas omni scelere laceretur, sed flagitium ipsum ex divinis quoque Litteris robur auctoritatemque accipiat. Quodsi et Nyssaensium lumen injuriæ, et fide dignus liber antiquusque deprava ioni obnoxius fit; quantum id addat ad animi ægritudinem, animas ipsas effundentium, ne aliquod scandalum reliquum sit, quod ecclesiasticam pacem impediat? Quænam rursus diligentia intentanda est, et quanam ratione conandum, ut veritas libere et cum fiducia appareat, futurumque in tempus securitatem obtineat? Prorsus quam maxima, et qualem nos addecet in similibus ponere, et pro viribus effectu quoque ipso perficere. Quemnam itaque successum res habuerit, et quale principium, hoc nostro sermone apertissime indicabitur.

2. Jam divini Numinis ope ecclesiastica pace perfecta, et multorum annorum scandalo gratia sancti Spiritus propulsato (oportebat enim aliquando similem caliginem dissolvi, et concordiæ lumen illucescere, et ex supervacuo Deum pacis devincire) debebamus nos etiam pro viribus pacem promovere, et ex sacris Scripturis, ut videbatur peropportunum, eam constabilire, ne ex ventre loqui insimularemur, sed ex fluminibus a Deo paratis, et ventribus viva aqua repletis. Quapropter nunc hanc viam, nunc illam, alias aliam et prorsus universas in auris obsequentis auditum, singulis fere diebus dirigebamus, divina misericordia ad jam perfectam pacem, et aliis viam aperientes. Et licet inter eos ob aliquem metum laudabilem scandalum irrepsisset, facili eos negotio semper obsequiosos, nec nobis, nec nostris reluctantes habuimus. Sed o invidentiam, et Satanicas machinas! Nonnulli ex nostris contrariæ parti addicti, cum non absonum id illis visum fuisset, si aliquo modo paci adversarentur, sese a nostra Ecclesia inter se congredientes avulserunt; qui continuo pro pace sacris Scripturis oblatis angu-

A ὁλομελείᾳ τοῦ σώματος ἀποκαθιστᾷν· οὕτω καὶ τοῦτον ἄξιον καθόσον οἷόν τε περιποιεῖσθαι, καὶ τὸ φαινόμενον μὲν κάρφος, ὑπερβάλλον δὲ καὶ αὐτὴν τὴν δοκὸν, ὑπεξαιρεῖσθαι διὰ τὸ τῶν δογμάτων ἀξιοπρεπὲς καὶ ἀνόθευτον, ὡς ἂν ὑγιαίνοντος τούτου, καὶ καθὼς ἦν ἀποκαταστάντος, τὸ φῶς ἐπιλάμπῃ καὶ ἡ σκοτεία διώκηται. Τίσι δ' ἂν ἄλλοις τῆς τοιαύτης μελήσεις περιποιήσεως ἢ πάντως ἡμῖν τοῖς ἐν τῷ ἐλέει τοῦ τῶν Πατέρων Θεοῦ, τὴν τῶν τοιούτων οἰκονομίαν λαχοῦσι, καὶ ἐφ' ἑτέραις ἁπάσαις γραφικαῖς τε καὶ πατρικαῖς παραδόσεσιν, ὡς ἂν υἱοὶ φαινώμεθα γνήσιοι τῶν πατρῴων διαθηκῶν παραχαραττομένων ὑπεραλγοῦντες, ἢ μᾶλλον ἡμῶν ἑαυτῶν ἀδικουμένων, τὴν ἀπ' ἐκείνων κληρονομίαν τὴν μεγάλην ὄντως καὶ ἀεὶ διαμένου-
B σαν, πολλῷ δὲ πλέον ἐφ' αἷς τὸ τῆς εἰρήνης ἐπιλάμπει καλὸν καὶ ἡ τῶν Ἐκκλησιῶν καταλλαγὴ ἐνισχύεται· καὶ τοσοῦτον ἴσως, ὅσον καὶ κακουργεῖσθαι ταύτας· ὡς τὰ πολλὰ συμβαίνει παρά τινων τὴν ἀλήθειαν σπαραττόντων, μεταποιούντων αὐτὰς, πρὸς ὅπερ καὶ βούλονται, ἵνα μὴ μόνον ἀνεύθυνον ᾖ τὸ περὶ τὸ ἀληθὲς ἁμαρτάνειν αὐτοῖς, ἀλλὰ καὶ ἐκ τῶν θείων Γραφῶν λογίζηται ἰσχυροποιούμενον. Εἰ δὲ καὶ ὁ τῶν Νυσσαέων φωστὴρ ὁ ἀδικούμενός ἐστι, καὶ ἀξιόπιστος βίβλος καὶ παλαιὰ, ἡ παθοῦσα τὴν παραχάραξιν, ὁποῖον τοῦτο, εἰς ὀδύνην ψυχῆς τοῖς προϊεμένοις καὶ αὐτὰς τὰς ψυχὰς, ὑπὲρ τοῦ μηδὲν ὑπολελεῖφθαι, διὰ τὴν ἐκκλησιαστικὴν εἰρήνην, μηδενὶ σκάνδαλον. Ὁποίαν δὲ πάλιν πραγματευτέον τὴν ἐπιμέλειαν, καὶ ὅπως σπουδαστέον ὡς
C ἂν τὸ ἀληθὲς τὴν παῤῥησίαν ἔχῃ, καὶ τὸ ἀσφαλὲς τὸ εἰσέπειτα πάντως μεγίστην, καὶ οἵαν εἰκὸς ἐπὶ τοιούτοις ἡμᾶς ἐκπονῆσαι, καὶ κατὰ τὸ δυνατὸν διαπράξασθαι. Ὅπως τοίνυν προέβη, καὶ οἵαν ἔσχε τὴν καταρχὴν, αὐτὸς ὁ λόγος προῶν δηλώσει σαφέστατα.

β'. Ἤδη μὲν σὺν Θεῷ τῆς ἐκκλησιαστικῆς τελεσθείσης εἰρήνης, καὶ τοῦ πολυετοῦς σκανδάλου ἐκποδὼν γεγονότος τῇ τοῦ Πνεύματος χάριτι, (ἔδει γάρ ποτε τὴν τοιαύτην διαλυθῆναι σκοτόμαιναν, καὶ τὸ τῆς ὁμονοίας ἐπιλάμψαι φῶς, καὶ πολλῇ τῇ περιουσίᾳ τὸν τῆς εἰρήνης νικῆσαι Θεὸν), ἦν μὲν ἡμῖν κἀθόσον οἷόν τε συναίρεσθαι τῇ εἰρήνῃ, καὶ ἐκ Γραφῶν ἁγίων, καθὼς καὶ ἦν ἄξιον, αὐτὴν συνιστᾷν, ἵνα μὴ
D ἐκ κοιλίας λέγοντες ἐλεγχοίμεθα, ἀλλ' ἐκ ποταμῶν θεοκροτήτων, καὶ κοιλιῶν ζῶντος πεπληρωμένων ὕδατος. Ὅθεν καὶ νῦν μὲν ταύτην, νῦν δὲ ἐκείνην, ἄλλοτ' ἄλλην, καὶ ἁπαξαπλῶς ἁπάσας, εἰς ἀκοὴν ὠτίου δεχόμενοι, εὐοδούμενοι καθ' ἑκάστην ἦμεν τῷ τοῦ Θεοῦ ἐλέῳ πρὸς τὴν τελεσθεῖσαν εἰρήνην, καὶ ἄλλοις ὑποδεικνύοντες τὴν ὁδόν. Εἴ τί που καὶ σκάνδαλον ἦν ἐν αὐτοῖς διά τινα φόβον ἐπαινετὸν, ῥᾳδίως εἴχομεν αὐτοὺς ἀπειθεῖς, καὶ μηδὲν ἀντίξουν πρὸς ἡμᾶς καὶ τὰ ἡμέτερα φέροντας. Ἀλλ', ὦ τοῦ φθόνου καὶ τῶν σατανικῶν μηχανῶν! ἔστησαν εἰς ἐναντίαν μοῖραν καὶ τῶν ἡμετέρων τινὲς, καὶ δόξαν τούτοις ἀγαθόν τι ποιεῖν, εἴπως διαπολεμοῖεν πρὸς τὴν εἰρήνην, ἔσχισαν [illegible] τῆς ἡμετέρας Ἐκκλησίας, καὶ καθ' ἑαυτοὺς ἐγένοντο· οἳ καὶ ταῖς ὑπὲρ

Digitized by Google Распознавание текста ABK/FR

τῆς εἰρήνης ἁγίαις Γραφαῖς διὰ παντὸς καταγχόμε- A
νοι, ἔμελλον μέν ποτε πρόσελθεῖν, καὶ ἀποθέσθαι
μὲν τὸ πεισματικὸν καὶ δυσήνιον, ἀγαπῆσαι δὲ τὴν
μεθ' ἡμῶν εἰρήνην, καὶ τῇ ὁλοκληρίᾳ τῆς Ἐκκλη-
σίας συγκολληθῆναι· ὃ δὲ καὶ ἐγένετο ὕστερον.
Ἀλλὰ τότε καθ' ὃν μὲν καιρὸν ἡ τούτων ἔτι πει-
σμονὴ χώραν εἶχε, καὶ περὶ πλείονος τῆς ἀληθείας
τὴν ἰδίαν ἐτίθουν ἀρέσκειαν, τί ἕτερον ἐπὶ ταῖς
τοιαύταις γραφαῖς ἦν αὐτοῖς εὔπορον; Τῶν γὰρ
ἐπηβόλων λόγων καὶ γνώσεως οἱ ἄνδρες ἦσαν, ἃς
μὲν ἄλλως, καὶ ὡς αὐτοῖς βουλητὸν ἐπεξηγεῖσθαι,
ἃς δὲ καὶ νόθους εἶναι διισχυρίζεσθαι, ἔστι δ' οὗ
καί τινας ὁμολογεῖν μὲν τῶν Πατέρων εἶναι, τοῦτο
μόνον ὑγιῶς λέγοντας, προφέρειν δὲ ἀπολογίαν,
φοβερὰν οἶμαι καὶ ἀναξίαν ὅλως τῆς τῶν Πατέ- B
ρων προθέσεως, ὅτι πρὸς τοὺς τότε κινουμένους
λόγους παρὰ τῶν αἱρετιζόντων ποιούμενοι τὰς
γραφάς, ἔστιν οὗ καὶ τοῦ εἰκότος οἱ Πατέρες διέπι-
πτον· τῶν οὕτω λεγόντων μὴ συνοριώντων ὡς οὐ
δόξα ὅλως Θεοῦ καὶ σύστασις ἀληθείας τὸ διὰ ψευ-
δῶν τινων συγκροτεῖσθαι καὶ ἀναξίων τοῦ Πνεύ-
ματος. Ἀλλ' ὅπερ ἐλέγομεν, ὅλοι τό τε τοῦ ἰδίου
θελήματος ὄντες οἱ εἰρημένοι, καθ' ἑαυτῶν ἐσοφί-
ζοντο, καὶ ἄδειαν εἶχον λόγων, ἐφ' οἷς ἐνδεεῖς κα-
θίσταντο τοῦ συμφέροντος, πολλὰ μὲν καὶ διά-
φορα λέγοντες, εἰς ἓν δὲ καὶ τὸ αὐτὸ καταντῶντες,
τὸ ἀντιλέγειν τῇ εἰρήνῃ, καὶ πρὸς τὴν τῶν Γραφῶν
ἀλήθειαν διαμάχεσθαι, ὅσα καὶ διαφόροις τρόποις
τὸν οἰκεῖον πραγματευόμενοι ὄλεθρον. Ἀλλὰ ταῦτα
πάντα ἦσαν ἡμῖν, ταυτὸ δὲ εἰπεῖν καὶ τῇ ἀληθείᾳ C
ἀνεκτά, τῶν Γραφῶν σωζομένων, λέγειν ἐκείνους
τὴν ἐπεξήγησιν, οἵαν ἐβούλοντο. Τὸ δὲ καὶ εἰς σίδη-
ρον ἀπιδεῖν, καὶ τὴν γραφὴν ἀποξύειν, ἔστι μὲν ἐκ
προχείρου κατανοῆσαι γενέσθαι διὰ ψυχῆς μόνης
ὄρεξιν, τῷ δέ γε ἐπηβόλως κατανοοῦντι ἐντεῦθεν
διαγνωσθήσεται καὶ ὡς, ἐπεὶ μηδόλως οἱ τοιοῦτοι
ἀντεῖπεῖν πρὸς οὕτω φανερὰν ἀλήθειαν εἶχον, ἀπα-
λείφειν ταύτην διέγνωσαν. Τίς δὲ ὁ τρόπος, καὶ
παρά τίνος, καὶ ὅπως, ὁ λόγος ἤδη ἐρεῖ.

γ'. Προσῆν ἐφ' ἑτέροις βίβλοις τῷ τοῦ μεγάλου
οἰκονόμου ἐκείνου τοῦ Ξιφιλίνου γαμβρῷ, οὗ Πεν-
τεκλησιώτης τὸ ἐπίκλην, ὃς καὶ αὐτὸς σύναμα τῷ
συγγάμβρῳ αὐτοῦ τῷ τῆς καθ' ἡμᾶς Ἐκκλησίας D
ῥεφερενδαρίῳ τῷ Ἐσκαμματισμένῳ τῆς ἐναντίας
μοίρας τότε καθίστατο, καὶ βίβλος πολλὴν τὴν σε-
μνότητα ἐκ τῆς ἀρχαιότητος ἔχουσα ἐν ᾗ πονήματα
ἦσαν διάφορα θεοκρότητα τοῦ τῶν Νυσσαέων φω-
στῆρος, Γρηγορίου δηλαδὴ τοῦ μεγάλου καὶ θαυμα-
σίου Πατρός. Εἷς οὖν τῶν ἐκεῖσε λόγων ἦν καὶ εἰς
τὸ, *Πάτερ ἡμῶν*, ὁμιλία, ἧς ἡ ἀρχή, « Ὅτε προσ-
ῆγεν ὁ μέγας Μωσῆς τῇ κατὰ τὸ ὄρος μυσταγωγίᾳ
τὸν Ἰσραηλίτην λαόν· » καθ' ὃν γενομένῳ τῷ
τοιῷδε Πατρὶ περὶ κοινῶν καὶ ἰδίων τῶν τῆς Θεότη-
τος ὑποστάσεων θεολογῆσαί τε καὶ διδάξαι, ἐπῆλθεν
εἰπεῖν· « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Πατρὸς
λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. »
Τὸ τοιόνδε οὖν τεμάχιον τοῦ ῥητοῦ, καὶ τὴν ἐντεῦ-
θεν εἰς τὴν εἰρήνην συγκρότησιν, συνετέλεσε μὲν

stati debebant quidem aliquando procedere, depo-
nereque pervicacem effrenemque animum, et
nobiscum una pacem amplecti, et cum reliquis
Ecclesiæ partibus conglutinari; quod tandem fa-
ctum est. Verumtamen cum eorum pertinacia
invalesceret, ipsique propria placita veritati præ-
ponerent, quid aliud in similes scripturas ausuri
erant, quam quod ipsis offerret occasio? Erant
siquidem viri illi et sermone et cognitione versa-
tiles, has quidem in alium sensum, et ut illis
placebat, raptare, has vero tanquam spurias con-
tendentes rejicere, aliquando etiam quasdam ex
illis confiteri Patrum esse, hoc tantummodo recte
dicentes, afferre autem responsum terribile, væ
mihi misero, et prorsus indignum Patrum propo-
sito, quod in quæstiones, eo ævi motas a sectato-
ribus commentaria edentes, fuisse cum ex æquo
Patres decederent. An hi, qui talia loquuntur, non
intelligunt, nullam omnino Dei gloriam, nullamque
divinæ rei constitutionem esse, quæ a falsis et
Spiritu indignis promovetur? Sed quod jam dice-
bamus, omnes tum proprii arbitrii facti, contra
semetipsos captiose agebant, abutebanturque otio
dicendi ea, ex quibus nullum ipsis commodum
emanabat; multa quidem ac varia in medium af-
ferentes, in unum vero ac idem collimantes, ut
paci contradicerent, et Scripturarum veritati ad-
versarentur, variis multisque modis propriam sibi
procurantes ruinam. Sed hæc omnia erant quidem
nobis ipsis, quod idem est dicere, et veritati tole-
rabilia, si, salvis Scripturis, pravam ipsi suam
interpretationem, quæcunque illa foret, adjicerent.
At enim in ferrum animum intendere, eradereque
scriptum, facile quispiam adverterit, pro libidine
tantummodo, et affectata cupiditate actum fuisse:
at is, qui prudenter res examinat, hinc colliget,
similis sortis homines cum patenti adeo veritati
adversari non possent, eam e medio tollere ani-
mum induxisse. Modum, auctorem, rationemque
ipsam hæc nostra oratio prosequetur.

3. Habuit inter alios libros magnus œconomus
Xiphilinus a suo genero cognomento Penteclesiota, qui simul cum uxoris suæ sororis marito, nostræ Ecclesiæ referendario, Escammatismeno nuncupato, adversas partes tuebatur, volumen, ex ipsa antiquitate dignitatem habens, in quo varia commentaria divinitus inspirata continebantur Nyssaensium luminis Gregorii, magni illius atque admirabilis Patris. Inter eas orationes legebatur et illa, in *Pater noster*, Homilia, cujus principium: « Cum adduceret magnus Moyses mystagogia, quam in monte acceperat, populum Israelitem. » In ea cum de communibus et propriis divinarum hypostaseon tractare, edocereque contingeret, subintulit, « Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse affirmatur. » Hanc sententiæ particulam, indeque comparata pro pace subsidia, in commodum publicum attulit beatæ memoriæ ille magnus œconomus Xiphilinus, volu-

Digitized by Google Распознавание текста ABK/FR

men illud percurrens, et ad hunc ocum perveniens, volumenque sibi ad legendum comparasse ex Penteclesiota fassus est. Omnibus id patuit, et nobis ipsis, et ipsi, qui volumen possidebat, nostrisque adversabatur. Hinc non parvæ suppetiæ, Deo miserente, ad pacem ecclesiasticam stabiliendam accessere. Referendarius ergo, sororis uxoris Penteclesiotæ maritus, ejusdem cum possessore libri sententiæ, id propriis oculis intuitus, et ad adeo patens dictum non valens se opponere, quod fidem etiam ex multis aliis, quæ in libro continebantur, large comparaverat, planum hoc documentum eradere, cum adhuc nostra oppugnaret, sibi proposuit, ferroque usus *ex* eradit, non considerans alia quoque volumina ad hoc ipsum comprobandum conquisita fuisse, quæ omnia exprimerent, et *ex* propositionem abunde redderent, cum depravata nondum fuissent.

4. Sed cum aliquando pervicacia cessasset, pacem amplexatus, nobiscum communionem iniit, quemadmodum et alii plures, sæpius cum ipso nostra mediocritas de nonnullis conferebat ; casu vero factum est, ut voluminis illius aliquando recordaremur. Referendarius veluti a quopiam summotus, volumen quidem laudabat, de eoque, quod ipsi visum fuerat, enuntiabat, inter congressus vero de volumine confessus est : se in eo loco, in quo erat, « et ex Filio esse affirmatur, » gladiolo e serie illa verborum *ex* erasisse, nescio quanam ratione id fassus sit, et quam ob causam. Id tamen totum veritatis et Dei Patrum fuit. Quid inde subsecutum est ? Consideratio fixa, et ossium tabes nostram petit mediocritatem, quemodo talis sententia adulterata fidem perdiderat, ecclesiasticæ paci tantumdem proficua ; et quomodo tot per annos, e periculo elapsa, cum in Ecclesiam veteris Romæ bellum desæviret, nunc demum per crudelem plagiarium corrupta sit, ut in posterum cum desideraretur *ex*, securitas Ecclesiæ non esset, et quando etiam apponeretur fidem volumen non haberet neque soliditatem, cum jam recens apposita fuisse censeretur propter rasuræ suspicionem.

5. Itaque hac de re omnes, qui tum aderant, sanctissimos antistites nostros, et comministros nostra mediocritas participes facit, medelamque negotio poscit : unaque cum illis comminiscitur, quanam ratione Ecclesiæ jus conservari posset. Et commune consilium accedit, et synodalis sententia, relinquendum esse locum illum vacuum, in quo *ex* antea exarata erat : quod tutum non esset, nunc iterum rescribi, rursumque idem posteris suspicionem injiceret, propter scripturam recentem novam ; remque gestam signandam scripto, ut inde testimonium publicum et fides proveniat, scripturæ sententiam depravatam fuisse, propter eorum, qui postmodum venturi sunt, securitatem :

A τῷ κοινῷ ὁ τῆς μακαρίας μνήμης ἐκεῖνος μέγας οἰκονόμος ὁ Ξιφιλῖνος, διερχόμενος τὴν τοιαύτην βίβλον, καὶ κατὰ τοῦτο τὸ χωρίον γενόμενος, ἐν τῷ ταύτην ἐκ τοῦ Πεντεκλησιώτου χρήσασθαι εἰς ἀνάγνωσιν · πασίδηλον δὲ ἐγεγόνει, καὶ ἡμῖν αὐτοῖς, καὶ αὐτῷ δὲ τῷ τὴν βίβλον ἔχοντι, καὶ ἀντικαθισταμένῳ πρὸς τὰ ἡμέτερα. Ἦν τοῦτο, καὶ οὐκ ὀλίγη συγκρότησις γέγονεν ἐν τῷ ἐλεοῦντι Θεῷ εἰς τὴν εἰρήνην ἐντεῦθεν τῷ τῆς Ἐκκλησίας πληρώματι. Ὁ γοῦν ῥαιφερενδάριος σύγγαμβρος ὢν καὶ ὁμογνώμων ἔτι τῷ τὴν βίβλον ἔχοντι, οἰκείοις ὀφθαλμοῖς τὸ τοιοῦτον ἰδὼν, καὶ μὴ ἔχων ὅ τι καὶ δράσειε πρὸς τοῦτο, φανερὸν ὄν, καὶ τὸν ἀξιόπιστον ἀπὸ πολλῶν τῶν τῆς βίβλου πλουτοῦν, τὸ σαφῆ τοῦτον ἔλεγχον ἀπαλείφειν ἔγνω, ἔτι τοῖς ἡμετέροις μαχόμενος, καὶ χρῆται σιδήρῳ, καὶ ὑποξύει τὸ *ἐκ*, μὴ ὑπολογισάμενος, ὡς καὶ ἕτεραι βίβλοι εἰς τὸ αὐτὸ ἐρευνήθησαν, κἀκεῖναι οὕτως εἶχον καὶ τὸ *ἐκ* ἐπλούτουν, καὶ τὸ ἀνόθευτον ὑπεξέφευγον.

B

Δ'. Ἀλλ' ἐπειδή ἔληξέ ποτε τούτῳ τὸ ἰδιόπεισμον καὶ τῆς εἰρήνης ἐγένετο, καὶ μεθ' ἡμῶν τὸ κοινωνικὸν ἔσχεν, ὥσπερ καὶ ἕτεροι πλείονες, πολλάκις μὲν περί τινων πρὸς αὐτὸν ἐκοινολογεῖτο ἡ μετριότης ἡμῶν. Ἔτυχε δέ πως ἀναμνησθῆναί ποτε τὴν ἡμῶν μετριότητα τῆς δηλωθείσης βίβλου. Ὁ δέ γε ῥαιφερενδάριος, ὥσπερ ὑπό τινος παρωθούμενος, ἐπῄνει μὲν τὴν βίβλον, καὶ περὶ αὐτῆς τὰ δοκοῦντά οἱ ἔλεγεν · διωμολόγησε δὲ μεταξὺ λέγων περὶ τῆς βίβλου ὡς ἐν τῷ τόπῳ, οὗπερ ἦν, « καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, » χρησάμενος μαχαίρᾳ τὸ *ἐκ* τοῦ λόγου ἀπέξυσεν, οὐκ οἶδ' ὅπως ὁμολογήσας αὐτὸ καὶ παρ' ἣν τὴν αἰτίαν. Τέως δὲ ὅλον ἦν τοῦτο τῆς ἀληθείας καὶ τοῦ τῶν Πατέρων Θεοῦ. Τί τὸ ἐπὶ τούτοις ; Ἐμμέριμνος λογισμὸς, καὶ σὴς ὀστέων ἐμπίπτει τῇ ἡμῶν μετριότητι, ὅπως τοιοῦτον ῥητὸν ἐνοθεύθη, καὶ τὴν ἀξιοπιστίαν ἀπώλεσε τῇ ἐκκλησιαστικῇ εἰρήνῃ τὰ πολλὰ συμβαλλόμενον, καὶ ὅπως χρόνοις τοσούτοις τὸν κίνδυνον ἀποδρὰν, ὅτε καὶ ὁ κατὰ τῆς Ἐκκλησίας τῆς πρεσβυτέρας ῥώμης ἐσφάδαζε πόλεμος, ἀρτίως παρεχαράχθη ὑπὸ ἀποτόμῳ τομεῖ, ὡς μήτε τὸ ἐντεῦθεν τοῦ *ἐκ* λείποντος ἀσφαλὲς εἶναι, μήτε μὴν προστεθέντος καὶ πάλιν τὸ ἀξιόπιστον ἔχειν τὴν βίβλον καὶ ἀσφαλὲς, ἐκ τοῦ προσφάτως λογίζεσθαι προστεθῆναι διὰ τοῦ ξύσματος ὕποπτον.

C

D

Ε'. Κοινοῦται τοίνυν τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς παρευρεθεῖσιν ἱερωτάτοις ἀρχιερεῦσιν ἀδελφοῖς ἡμῶν καὶ συλλειτουργοῖς· ἀναζητεῖ θεραπείαν τοῦ πράγματος · σκοπεῖ σὺν αὐτοῖς, πῶς ἂν ἐπανασωθείη τῇ Ἐκκλησίᾳ τὸ αὐτῆς δίκαιον. Καὶ κοινὴ βουλὴ προβαίνει, καὶ γνώμη συνοδικὴ εἶναι μὲν τὸν τόπον καινὸν, καθ' ὃν τὸ « *ἐκ* » κείμενον διαγέγραπται · ὅτι μηδ' ἀσφαλὲς, ἀπό γε τοῦ νῦν γραφῆναι καὶ πάλιν αὐτὸ, ὑποψίαν τοῖς εἰς ἔπειτα ἔχον διὰ τὸ τῆς γραφῆς ὑπόγυιον, σημειωθῆναι δὲ τὰ τοῦ πράγματος, καὶ κοινὴν μαρτυρίαν καὶ πίστιν ἐντεῦθεν εἶναι, ὅπως τὸ γραφικὸν παρεχαράχθη ῥητὸν, διὰ τὴν τῶν ὀψιγόνων ἀσφάλειαν. Μηδὲ γὰρ ἂν εἶναι τὸ ἀπὸ τοῦδε οὕτω

Digitized by Google Распознавание текста ABK/FR

σημειωθέντος τοῦ ἀληθοῦς, διαπιστεῖν τινα, κα. προφάσεις, ἃς οὐ χρὴ, κατὰ τοῦ ῥητοῦ προφασίζεσθαι. Ἔδοξε τοῦτο κοινῶς καὶ ἤδη τὴν σήμερον περατοῦται διὰ τῆς παρούσης συνοδικῆς πράξεως, ὁμολογοῦντος μὲν καὶ πάλιν τοῦ ῥαιφερενδαρίου, καὶ οὐκ ἀρνουμένου τὸ σύνολον, ὅτι τὸ « ἐκ » παρ' αὐτοῦ διαγέγραπται, ζητοῦντος δὲ καὶ συγγνώμην, ὅτι καθ' ὃν καιρὸν ἀφ' ἡμῶν οὗτος ἐχίζετο, τὸ τοιοῦτον πεποίηκεν. Ὅθεν καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις, εἰς δήλωσιν γεγονυῖα, ἀπετέθη τῷ καθ' ἡμᾶς χαρτοφυλακείῳ εἰς ἀσφάλειαν μὲν τῶν εἰς ἑπειτα, ὠφέλειαν δὲ τῶν ἐντυγχανόντων τῇ βίβλῳ, μανθανόντων ἐντεῦθεν καθαρὰν καὶ ἀδόλωτον τὴν ἀλήθειαν.

A neque enim fieri posse, ut, sic veritate signata, alius diffidat, et prætextus haud decoros contra dictum prætexat. Visum id fuit omnibus, et jam hodie hac synodica actione perficitur, rursus id idem fatente referendario, et non negante, *ex* ab eodem abrasum fuisse, veniamque petente, quod eo tempore id perfecerit, cum a nobis dissidebat. Quare hæc synodalis actio, quæ rem revelat, nostro chartophylacio reposita est, ad posterorum securitatem, eorumque, qui librum percurrunt, utilitatem, cum inde discant puram atque incorruptam veritatem.

ΤΟΥ ΑΥΤΟΥ

ΤΩΝ

ΠΡΟΣ ΤΟΝ ΣΟΥΓΔΑΙΑΣ ΘΕΟΔΩΡΟΝ

ΤΟ ΠΡΩΤΟΝ.

EJUSDEM

AD

SUGDÆÆ EPISCOPUM THEODORUM

LIBER PRIMUS.

(*Græciæ orthodoxæ* tom. II, p. 35.)

α'. Ἐπειδὴ τὸν εὐαγγελικὸν ζυγὸν ἄρτι ἐπωμισάμενος, καὶ μέλλων ἤδη πρὸς τὴν Σουγδαίων ἀπαίρειν, ἧς ποιμενάρχην σε δι' ἡμῶν τὸ ἅγιον Πνεῦμα προεχειρίσατο, περί τινων ἡμᾶς ἤρου δογματικῶν, τὰς δὲ, ἐφ' αἷς προέθου δὴ ἐρωτήσεσιν, ἀποκρίσεις ἡμῶν ἐγγράφους ἐξενεχθῆναί σοι τὴν ἡμῶν ἠτήσω εὐτέλειαν, ἵν' ἔχῃς τοῖς βουλομένοις σοι ἀντιλέγειν, ἐνστατικώτερον ἁπάντων, διὰ τὸ καὶ πλέον ἢ ἐν τοῖς ἑτέρωθι τῆς οἰκουμένης κλίμασι, τοὺς ἀφ' ἡμῶν σχισματικοὺς παραβάλλειν ἐκεῖ· ἡμεῖς, τῷ εὐλόγῳ τῆς αἰτήσεως εἴξαντες, τὴν παροῦσαν γραφὴν κατ' ἀριθμὸν τριάδος ἐρωτήσεων σῶν, καὶ ἀποκρίσεων ἡμετέρων προβαίνουσαν, ἐγχαράττομεν.

B 1. Cum jam humeris tuis jugum evangelicum sustuleris, et Sugdæam, cujus te per nos Spiritus sanctus ovili Christi præesse pastorem promovit, iter tibi emetiendum sit; de nonnullis quæstionibus dogmaticis perquirens, ad propositas per te interrogationes responsiones in scripto tradi, nostram mediocritatem expostulasti, ut promptas atque paratas ac magis firmas, adversus eos, qui tibi contradicere conantur, responsiones habeas, quod multo abundantius ibidem, quam in aliis terræ regionibus, eorum, qui a nobis scissi sunt, copia conveniat: nos instæ tuæ petitioni obtemperantes, præsens hoc responsionum nostrarum scriptum, terno tuarum interrogationum numero respondentes, concinnavimus.

β' Αὐτίκα ἐπὶ τῶν ἄλλων ταύτην πρώτην ἔθου ἐρώτησιν· Εἰ καλῶς οἱ ἀντιδιατιθέμενοι διενίστανται λέγοντες, ὡς εἰ καὶ τὸ « προϊέναι, » καὶ « προχεῖ-

C 2. Et primum quidem atque ante alia, sic interrogas: An recte, qui sese nobis et contentiose opponunt, asseruerint, licet exsilire, et effundi, et

Digitized by Google Распознавание текста ABK/FR

emanare, nonnullis in locis de Spiritu ex Patre dicta, illum ex Patre e. essentialiter et naturaliter esse indicent, non tamen idem innuere, nec Spiritus ex Filio naturalem exsistentiam denotare, sed spiritualia quædam dona, cum ex Filio eadem dicuntur. Eorum, qui similia discrimina comminiscuntur atque proponunt, absurditatem lingua aureus, et tuba Spiritus ex auro ducta, Joannes oratione quam ille habuit de sanctissimo Spiritu (1) comprobabit. Copiose namque ille in ea de nominibus Spiritus sermonem instituens, et Spiritus nomen subdividens, tum ad auctoritatem et dominium, ipsamque naturam Spiritus, qui Triados complementum est, tum ad spiritualium donorum distributionem manifestandam, et accurate rem explanans, et acute admodum extricans, aliquando nomen Spiritus inferre proponereque ipsum Paracletum, aliquando eodem nomine gratiam aliquam insinuari, his iisdem verbis denotat: « Operæ pretium autem est, ut perseveremus diutius in sancti adorandique Spiritus enarratione, et manifestius aliquid de sancta gloriosaque facultate dicamus, non per ea quæ comminiscimur, sed per quæ docemur. Spiritus sanctus natura est indivisibilis, utpote qui ex inseparabili et indivisibili natura progressus est : nomen autem ejus, Spiritus sanctus, Spiritus veritatis, Spiritus Dei, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Christi. » Et paucis annexis : « Itaque dicitur Spiritus sanctus. Hæc enim est prima et propria appellatio, et ut evidentiorem habens intelligentiam, Spiritus sancti naturam demonstrat. » Et post pauca : « Si quis autem Spiritum Christi non habet ; et sane oportebat dicere, Si quis autem Spiritum Dei non habet : sed dixit Spiritum Christi ; dixit id vero, ut ostenderet, idem esse dicere, Spiritum Dei, et Spiritum Christi. Hæc nomina sanctæ et immaculatæ virtutis, sancti sunt et adorandi Spiritus. Sunt vero et alia nomina, non naturæ convenientia, sed operationi. Profundus sermo, et opus habet auribus attentis, munitis, et fidelibus. Dicitur enim Spiritus vitæ, cum Salvator dicat : « Ego sum veritas et vita [1]. » Dicitur Spiritus vitæ, ut Paulus dicit : Lex enim Spiritus vitæ. Hæc nomina ejusdem sunt auctoritatis, et ejusdem naturæ. Sunt et alia nomina, quæ non adscribuntur Spiritui sancto, sed virtuti illius et operationi, ut sunt dona ejus. Dico itaque et insuper declaro sententiam, postea testimonium subinducturus. Quando dat Spiritus sanctus precibus sanctorum, vel mihi vel alteri Christianorum, sanctificationem, accipio donum ita ut sanctum habeam et corpus et animam. Donum mihi exhibitum vocatur spiritus sanctitatis, hoc est munus. Si dederit Spiritus sanctus cuipiam donum, non habenti sapientiam,

σθαι, » καὶ « ἀναβλύζειν, » ἔστιν οὗ λεγόμενα περὶ τοῦ Πνεύματος, ἐκ Πατρὸς οὐσιωδῶς δηλοῦσι, καὶ φυσικῶς ὑπάρχειν αὐτὸ ἐκ Πατρὸς, ἀλλ' οὐκ ἐπὰν λέγονται ταῦτα καὶ ἐκ τοῦ Υἱοῦ, τὴν φυσικὴν αὐτὴν τοῦ Πνεύματος ὕπαρξιν τοῦ ἁγίου, ἀλλά τινα πνευματικὰ δηλοῦσι χαρίσματα. Τὸ πάνυ παράλογον τῆς τῶν πλαττομένων τὰς τοιαύτας ἐνστάσεως διαφορὰς, ὁ χρυσορρήμων Ἰωάννης, σάλπιγξ τοῦ Πνεύματος ἡ χρυσήλατος, ἐν τῷ περὶ τοῦ παναγίου Πνεύματος συγγραφέντι παρ' αὐτοῦ λόγῳ συστήσει σοι. Πολὺν γὰρ οὗτος ἐκεῖ περὶ τῶν τοῦ Πνεύματος ὀνομάτων ἐξυφαίνων τὸν λόγον, καὶ διαιρῶν τὸ τοῦ Πνεύματος ὄνομα εἴς τε τὴν δήλωσιν αὐτῆς τῆς αὐθεντίας, καὶ φύσεως τοῦ τῆς Τριάδος συμπληρωτικοῦ Πνεύματος, εἴς τε τὴν δήλωσιν τῆς τῶν πνευματικῶν χαρισμάτων διανομῆς, καὶ διασαφῶν ἀκριβῶς, καὶ διερμηνεύων πάνυ λεπτῶς, πῇ μὲν ἔστιν ἀκοῦσαι τὸ τοῦ Πνεύματος ὄνομα, καὶ νοῆσαι αὐτὸν τὸν Παράκλητον, πῇ δὲ ἀκοῦσαι πάλιν ὄνομα Πνεύματος, καὶ νοῆσαι χάριν τινὰ δηλουμένην πνευματικὴν, οὕτως ἐπὶ λέξεων λέγει· « Ἀναγκαῖον δέ ἐστιν ἐπιμεῖναι τῇ τοῦ ἁγίου καὶ προσκυνητοῦ Πνεύματος ἐξηγήσει, καὶ σαφέστερόν τι περὶ τῆς ἁγίας καὶ ἐνδόξου δυνάμεως εἰπεῖν, οὐκ ἐξ ὧν λογιζόμεθα, ἀλλ' ἐξ ὧν διδασκόμεθα. Τὸ Πνεῦμα τὸ ἅγιον τὴν μὲν φύσιν ἐστὶν ἀδιαίρετον, ἅτε δὴ ἐκ τῆς ἀδιαιρέτου καὶ ἀμερίστου φύσεως προελθὸν, ὄνομα δὲ αὐτοῦ Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας, Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα Κυρίου, Πνεῦμα τοῦ Πατρὸς, Πνεῦμα τοῦ Υἱοῦ, Πνεῦμα Χριστοῦ. » Καὶ μετ' ὀλίγα· « Λέγεται τοίνυν Πνεῦμα ἅγιον. Αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφατικωτέραν ἔχουσα τὴν διάνοιαν, καὶ παριστῶσα τοῦ ἁγίου Πνεύματος τὴν φύσιν. » Καὶ μετ' ὀλίγα πάλιν· « Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, καὶ μὴν ἐχρῆν εἰπεῖν, Εἰ δέ τις Πνεῦμα Θεοῦ οὐκ ἔχει, ἀλλ' εἶπε Χριστοῦ : ἀλλὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὅτι ἴσον ἐστὶν εἰπεῖν Πνεῦμα Θεοῦ, καὶ Πνεῦμα Χριστοῦ. Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ Πνεύματος. Ἔστι δὲ ἄλλα ὀνόματα οὐ τῇ φύσει προσήκοντα, ἀλλὰ τῇ ἐνεργείᾳ. Βαθὺς ὁ λόγος, καὶ χρῄζει ἀκοῆς προσεχοῦς καὶ ἀσφαλοῦς καὶ πιστῆς. Λέγεται δὲ πάλιν τὸ Πνεῦμα ζωῆς Πνεῦμα, ἐπειδὴ ὁ Σωτὴρ λέγει, « Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. » Λέγεται οὖν Πνεῦμα ζωῆς, καθὼς καὶ ὁ Παῦλος λέγει, Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς. Ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς τῆς φύσεως. Ἔστι δὲ ἄλλα ὀνόματα, ἃ οὐ προσγράφεται τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ τῇ δυνάμει, καὶ τῇ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ, λέγω δὲ καὶ προσδιασαφηνίζω τὴν ἔννοιαν, καὶ ἐπάγω τὴν μαρτυρίαν. Ἐπειδὰν χαρίσηται τὸ Πνεῦμα τὸ ἅγιον, εὐχαῖς τῶν ἁγίων, ἢ ἐμοὶ, ἢ ἑτέρῳ Χριστιανῷ ἁγιασμὸν, καὶ λάβω δῶρον, ὥστε ἅγιον ἔχειν τὸ σῶμα καὶ τὴν ψυχὴν, ἡ δωρεὰ

[1] Joan. XIV, 6.

(1) Hujus orationis principium est : *Heri, o Christi amatores, sacri et adorandi Spiritus celebrabatur adventus.*

ἡ δοθεῖσά μοι καλεῖται πνεῦμα ἁγιωσύνης, τουτέστι χάρισμα. Ἐὰν δῷ τὸ Πνεῦμα τὸ ἅγιον δωρεάν τινι μὴ ἔχοντι σοφίαν, μὴ ἔχοντι γνῶσιν, ἀλλὰ δῷ αὐτῷ μόνον πίστιν, ὥς εἰσι πολλοὶ χάρισμα ἔχοντες τοῦ πιστεύειν μόνον Γραφαῖς, οὐκ εἰδότες τὰς Γραφάς, καὶ ταῖς Γραφαῖς πιστεύοντες, καλεῖται δωρεὰ ἐκεῖ καὶ πνεῦμα πίστεως. Ἐάν τις λάβῃ δωρεὰν καὶ δύναμιν παρὰ τοῦ ἁγίου Πνεύματος πιστεύειν τῇ ἐπαγγελίᾳ τῶν διδομένων ἀγαθῶν ἐν τῷ μέλλοντι, ἔλαβε πνεῦμα ἐπαγγελίας. Ἐάν τις λάβῃ σοφίας δῶρον, καλεῖται ἡ δωρεὰ πνεῦμα σοφίας, καὶ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος καλεῖται πνεῦμα, καὶ πρόσεχε τύπον διασαφηνιζόντων ἡμῶν ἐκ μέρους τῆς θεωρίας. Ὅταν τις ἔχῃ χάρισμα ἀγάπης, λέγεται ὅτι πνεῦμα ἀγάπης ἔχει. Ὅταν λάβῃ τις χάρισμα μαρτυρίου, λέγεται πνεῦμα δυνάμεως ἔχειν, τουτέστι χάρισμα. ἐπειδήπερ τὸ δωρούμενον τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι. Καλεῖται καὶ τὸ δωρούμενον Πνεῦμα ἅγιον, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίζοντι. « Καὶ μετ' ὀλίγα· » Οὕτω καὶ ὁ μακάριος Ἡσαΐας· « Ἐξελεύσεται, φησί, ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ. » Ὧδε τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ Πνεύματος, λοιπὸν δὲ τὰ χαρίσματα πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. » Καὶ μετ' ὀλίγα πάλιν· « Ἔλαβεν ὁ διδάσκων πνεῦμα σοφίας, ὁ διδασκόμενος πνεῦμα συνέσεως, ἵνα συνῇ. Διὰ τοῦτο Ἡσαΐας τὴν σοφίαν ἐπιγράφει τῷ λέγοντι, τὴν σύνεσιν τῷ ἀκούοντι, καί φησι, Σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. Πνεῦμα βουλῆς δίδοται τῷ τὴν γνώμην δεχομένῳ. » Καὶ μετά τινα τῆς περικοπῆς· « Ἐπαναλαμβάνω τοίνυν τὰ ὀνόματα τῆς ἀφράστου φύσεως, πνεῦμα Θεοῦ, πνεῦμα τὸ, ἐκ τοῦ Θεοῦ, πνεῦμα Κυρίου, Πνεῦμα Πατρὸς, Πνεῦμα Υἱοῦ, Πνεῦμα Χριστοῦ, Πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστὸν, πνεῦμα ζωῆς, πνεῦμα ἀληθείας. Λοιπὸν τὰ χαρίσματα, πνεῦμα δυνάμεως, πνεῦμα ἀγάπης, πνεῦμα σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα ἀποκαλύψεως, πνεῦμα υἱοθεσίας. » Ταῦτα σαφῶς τοῦ χρυσορρήμονος Πατρὸς διηκρινηκότος καὶ παραδεδωκότος, πῇ μὲν ἔστιν ἀκοῦσαι τὸ τοῦ Πνεύματος ὄνομα, καὶ νοῆσαι αὐτὸν τὸν Παράκλητον, πῇ δὲ ἀκοῦσαι πάλιν ὄνομα πνεύματος, καὶ νοῆσαι χάριν τινὰ δηλουμένην πνευματικήν, πῶς ἔξουσιν οἱ σύμπαν τὸ δοκοῦν αὐτοῖς ἀπυλώτῳ ἀπερευγόμενοι στόματι διενίστασθαι, μὴ τὴν φύσιν τοῦ ἁγίου Πνεύματος, ἀλλὰ τὰ πνευματικὰ δηλοῦσθαι χαρίσματα; Ἐν οἱῳδήτινι ἂν τῆς θείας Γραφῆς μέρει εὑρίσκηται τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχον, καὶ ἀναβλύζον, καὶ προχεόμενον ἐξ Υἱοῦ; Εἰ γὰρ τὸν περὶ τῶν ὀνομάτων λόγον ὁ ἅγιος ποιούμενός φησιν, « Ὄνομα δὲ αὐτοῦ Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας, Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα τοῦ Πατρὸς, Πνεῦμα τοῦ Υἱοῦ, καὶ προστίθησιν, « Αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφατικωτέραν ἔχουσα τὴν δύναμιν, καὶ παριστῶσα τοῦ ἁγίου Πνεύματος τὴν

A non habenti intelligentiam, sed det illi solam fidem, quales sunt multi habentes donum, ut credant solum Scripturis, ignorantes Scripturas, et Scripturis credentes; illud donum vocatur et spiritus fidei. Si quis accipiat donum et virtutem a Spiritu sancto, ut credat promissioni bonorum, quæ dantur in futuro sæculo, ille spiritum promissionis accepit. Si quis accepit sapientiæ donum, illud vocatur spiritus sapientiæ; et omnia dona Spiritus sancti nuncupantur spiritus: et attende diligenter formam, qua tibi partem speculationis exponimus. Quando quis habet donum charitatis, dicitur habere spiritum charitatis. Quando quis acceperit donum martyrii, dicitur habere virtutis spiritum; hoc est donum, quod datum B Spiritus sanctus appellatur, et donum eodem nomine, quo is qui donat. » Et paucis interjectis: « Ita et beatus Isaias: « Egredietur, inquit, de radice Jesse virga et flos ex ea ascendet, et requiescet super eum Spiritus Dei [1]. » Hic est nomen ipsius naturæ Spiritus; deinceps sequuntur dona: spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudidis, spiritus cognitionis, spiritus pietatis, spiritus timoris Dei. » Et post pauca: « Accepit docens, spiritum sapientiæ, et addiscens, spiritum intelligentiæ, ut intelligat. Propterea Isaias sapientiam ascribit dicenti, intellectum audienti; et, inquit, sapientem architectum, et intelligentem auditorem. Spiritus consilii dicitur consiliatio; spiritus fortitudinis, consilium accipienti. » Et post C alia nonnulla pericopes: « Repeto igitur nomina ineffabilis naturæ Spiritus Dei, Spiritus qui ex Deo, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Christi, Spiritus qui excitavit Christum, Spiritus vitæ, Spiritus veritatis: deinde dona, spiritus virtutis, spiritus charitatis, spiritus temperantiæ, spiritus promissionis, spiritus fidei, spiritus revelationis, spiritus adoptionis filiorum. » Hæc palam Chrysostomo discernente tradenteque aliquando audimus Spiritus nomen, et Paracletum ipsum intelligimus; aliquando rursus audimus nomen spiritus, et aliquod spirituale donum per illud indicatum cognoscimus; quanam ratione, qui, quidquid visum D fuerit, effreni ore effutiunt, contendunt, non naturam sancti Spiritus, sed spiritualia dona in quacunque sacræ Scripturæ parte reperiri, Spiritum sanctum esse, emanare, et effundi ex Filio indicari? Namque, si de nominibus spiritus verba faciens, sanctus ait: « Nomen vero ipsius, Spiritus sanctus, Spiritus veritatis, Spiritus Dei, Spiritus Patris, Spiritus Filii, » et addit: « Hæc enim est propria et prima appellatio, quæ sententiam habet expressiorem, et naturam Spiritus sancti repræsentat; » tum subdit deinde: « Hæc sunt nomina sanctæ et immaculatæ virtutis sancti et adorandi Spiritus, » rursumque: « Hæc nomina sunt aucto-

[1] Isa. xi, 1, 2.

Digitized by Google Распознавание текста ABK/FR

ritatis ipsius naturæ Spiritus sancti : » quis, dummodo veritatem frustra oppugnare non appetit, non fatebitur, qui in Scripturis indistincte Spiritus sanctus vocitatur, ipsius naturæ, ipsius dominatus Paracleti nomen esse ? Et si id est, quanam ratione audebit affirmare, donum spirituale denotari, cum prope locis Scripturæ innumeris reperiatur, nunc quidem progrediens, nunc emanans (2), nunc exsiliens Spiritus sanctus ex Filio? Nemo, ut reor, adversus veritatem ita inverecundus fuerit, ut ex his, quæ Chrysostomus de nominibus Spiritus præscripsit, certam patentemque demonstrationem non habeat, ipsam Paracleti naturam significari, cum quis simpliciter et indistincte Spiritum sanctum pronuntiat. Hac demonstratione pro certo habita, citra contradictionem sequetur refutatio dicentium, ex Filio prosilire, emanare, effundi Spiritum sanctum, veluti donum quoddam spirituale.

λογουμένης τῆς ἀποδείξεως ἀναντίῤῥητος ἀκολουθήσει τὸ λοιπὸν ἔλεγχος τῶν λεγόντων ἐκ τοῦ Υἱοῦ προϊέναι, καὶ προχεῖσθαι, καὶ ἀναβλύζειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς χάρισμά τι πνευματικόν.

3. Verba quoque Chrysostomi attentius consideranti, aliis etiam rationibus hos eosdem refellere, suggeretur. Cum enim hi, ut dictum est, ubicunque audiunt, Spiritum provenientem, promanantem, sive exsilientem ex Filio, non naturam ipsam Spiritus, sed spiritualia dona intelligere amant, separata et veluti funiculo divisa ab ipsa natura Spiritus, absurdam eorum sententiam non leviter refellunt, quæ Chrysostomus ipse suggerit, cum Isaiæ dictum in propria scriptura digerit : « Et vide, quæ beatus Isaias enuntiat : « Egredietur virga de radice Jesse, et flos ex ea ascendet, et requiescet super eum Spiritus Domini. » Et hic veluti puncto sententiam terminans, adnectit : « Hic nomen naturæ ipsius Spiritus. » Et addit : « Deinceps sequuntur dona, spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis, spiritus cognitionis, spiritus pietatis, spiritus timoris Dei. » Si itaque Isaias, Spiritum Dei super eum requieturum primo dicens, Spiritus sancti naturam indicavit, et subdens postea, « Spiritus sapientiæ et intellectus, » alia quoque Spiritus dona manifestavit, apertum remanet, ut et sanctus Pater Chrysostomus exponit, « cum Spiritus sanctus sanctorum precibus vel mihi vel alteri Christiano elargitus fuerit significationem, aut sapientiam, aut intellectum, aut fidem, aut charitatem, » aut hoc vel aliud, (plurima namque sunt, nec numero comprehendi possunt dona) Spiritus, ipsum sanctum Spiritum intelligendum esse, in sua per Filium habituali inhabitatione, in iis qui digni fuerint, donorum. Spiritus enim Dei, Isaias primo dixit, tum Spiritus sapientiæ et intellectus, aliaque superaddidit, innuens, quæ eadem cum donante appellatione dona nuncupantur, non propriam quamdam et veluti funiculo divisam a Spiritu exsistentiam habere, sed ipsum Spiritum sanctum

A φύσιν· » καὶ ἐπάγει, « Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ Πνεύματος· » καὶ πάλιν, « Ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς τῆς τοῦ ἁγίου Πνεύματος φύσεως· » τίς ἂν, μὴ βουλόμενος τὴν ἀλήθειαν ἐπηρεάζειν διακενῆς, οὐχ ὁμολογήσει τὸ ἐν ταῖς Γραφαῖς ἀδιορίστως εἰρημένον ἅγιον Πνεῦμα, αὐτῆς τῆς φύσεως, αὐτῆς τῆς αὐθεντίας τοῦ Παρακλήτου ὄνομα εἶναι; Καὶ εἰ τοῦτο, πῶς ἂν τολμήσειεν εἰπεῖν χάρισμα δηλοῦσθαι πνευματικὸν, ὅτι μυριαχοῦ τῆς Γραφῆς εὑρίσκεται, νῦν μὲν προϊὸν, νῦν δὲ προχεόμενον, νῦν δὲ ἀναβλύζον τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ; Οὐδεὶς ἂν, οἶμαι, τῆς ἀληθείας οὕτω καταναιδεύσηται, ὡς μὴ ἐξ ὧν ὁ Χρυσορῥήμων ἔφη περὶ τῶν ὀνομάτων τοῦ Πνεύματος, ὁμολογουμένην ἔχειν ἀπόδειξιν, τοῦ αὐτὴν τὴν τοῦ Παρακλήτου φύσιν δηλοῦσθαι, ὁπηνίκα τις Πνεῦμα ἅγιον λέγει ἁπλῶς καὶ ἀπροσδιορίστως. Καὶ ταύτης ὁμολογουμένης τῆς ἀποδείξεως ἀναντίῤῥητος ἀκολουθήσει τὸ λοιπὸν ἔλεγχος τῶν λεγόντων ἐκ τοῦ Υἱοῦ προϊέναι, καὶ προχεῖσθαι, καὶ ἀναβλύζειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς χάρισμά τι πνευματικόν.

γ'. Ἔτι δὲ τῷ ἐπιστατικώτερον ἐπισκεπτομένῳ τὰ ῥηθέντα τῷ Χρυσορῥήμονι καὶ κατ' ἄλλους λόγους ἀπελέγχειν οὕτος τοιούτους ἐπιγενήσεται. Ἐπεὶ γὰρ οὗτοι, ὡς εἴρηται, ὅποι ἂν ἀκούσωσι Πνεῦμα προϊὸν, ἢ προχεόμενον, ἢ ἀναβλύζον ἐκ τοῦ Υἱοῦ, οὐ τὴν φύσιν αὐτὴν τοῦ Πνεύματος, ἀλλὰ τὰ πνευματικὰ νοεῖν χαρίσματα θέλουσιν, ἀποδιῃρημένα ὥσπερ, καὶ οἷον διεσχοινισμένα τῆς οὐσίας τοῦ Πνεύματος, οὐκ εἰς ἀγενῆ τῆς παραλόγου ταύτης ἐννοίας ἔλεγχον ἔσται, καὶ ἅπερ ὁ αὐτὸς χρυσορῥήμων λέγει Πατὴρ, ἐν τῷ τὴν Ἡσαΐου ῥῆσιν τῇ οἰκείᾳ καταστρωννύειν γραφῇ· « Ὅρα γάρ τι οὕτω καὶ ὁ μακάριος Ἡσαΐας, « Ἐξελεύσεται, » φησὶ, « ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Κυρίου. » κἀνταῦθα στίζων ἐπάγει· « Ὧδε τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ Πνεύματος, » καὶ προστίθησι· « Λοιπὸν δὲ τὰ χαρίσματα, πνεῦμα σοφίας καὶ συνέσεως, καὶ πνεῦμα βουλῆς, καὶ ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. « Εἰ γοῦν ὁ Ἡσαΐας, Πνεῦμα Θεοῦ ἐπαναπαύσεσθαι ἐπ' αὐτὸν προηγουμένως εἰπὼν, τὴν τοῦ ἁγίου Πνεύματος φύσιν ἐδήλωσεν, ἐπαγαγὼν δὲ τὸ, « Πνεῦμα σοφίας, καὶ συνέσεως » καὶ τἆλλα τὰ τοῦ Πνεύματος χαρίσματα διεσάφησεν, εὔδηλον, καθὼς καὶ ὁ χρυσορῥήμων ἐξηγεῖται Πατὴρ, ὡς, ὅταν τὸ Πνεῦμα τὸ ἅγιον εὐχαῖς τῶν ἁγίων δωρήσηται ἢ ἐμοὶ ἢ ἑτέρῳ Χριστιανῷ ἁγιασμὸν, ἢ σοφίαν, ἢ γνῶσιν, ἢ πίστιν, ἢ ἀγάπην, » ἢ τὸ, ἢ τὸ (πολλὰ γὰρ καὶ οὐκ ἀριθμῷ περιληπτὰ τοῦ Πνεύματος τὰ χαρίσματα,) αὐτό τις ὀφείλει τὸ ἅγιον Πνεῦμα νοεῖν ἐν τῇ δι' Υἱοῦ ἐπιγινομένῃ τοῖς ἀξίοις σχετικῇ ἐνοικήσει αὐτοῦ, διανεμητικὸν τῶν χαρισμάτων γινόμενον. Πνεῦμα γὰρ Θεοῦ ὁ Ἡσαΐας πρότερον ἔφη, καὶ οὕτω πνεῦμα σοφίας, καὶ συνέσεως, καὶ τἆλλα ἐπήγαγε, δηλῶν ὅτι τὰ ὁμωνύμως τῷ δωρουμένῳ τῇ τοῦ πνεύματος κλήσει καλούμενα δῶρα, οὐκ ἰδίαν

(2) Adverte, Spiritum sanctum promanare etiam ex Filio.

Digitized by Google Распознавание текста АВК/FR

τινὰ ἀποδιῃρημένην τοῦ ἁγίου Πνεύματος ὕπαρξιν ἔχουσιν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, τὸ ἐν τῷ σοφίαν δωρεῖσθαι πνεῦμα σοφίας λεγόμενον, καὶ ἐν τῷ ἁγιωσύνην δωρεῖσθαι πνεῦμα ἁγιωσύνης λεγόμενον. Οἱ γοῦν προΐέναι, καὶ προχεῖσθαι καὶ ἀναβλύζειν ἐξ Υἱοῦ, τὸ ἅγιον ἀκούοντες Πνεῦμα, καὶ εἰς τὰ χαρίσματα, οὗμενουν εἰς τὴν τῆς αὐτοῦ φύσεως δήλωσιν, τὰς λέξεις ἐκλαμβάνοντες ταύτας, πολλὴν τὴν κατὰ τῆς ἀληθείας νοσοῦσι κακίαν.

A esse, qui, cum sapientiam largitur, Spiritus sapientiæ dicitur, et cum sanctimoniam impartitur, sanctimoniæ Spiritus nuncupatur. Qui itaque progredi (3), et effundi, et promanare ex Filio Spiritum sanctum audiunt, et ad dona notanda, non ad naturam illius insinuandam, dictiones similes accipiunt, plane contra veritatem malitiose se gerunt, et turpiter ex cerebro laborant.

δ'. Ἵνα δέ σοι καὶ ἀπὸ γραφικῶν δῆλον γένοιτο τῶν μαρτυριῶν τὸ τοῦ νοήματος πλημμελὲς, τῶν ἐν ἰδίᾳ τινὶ νοούντων εἶναι ὑπάρξει τοῦ ἁγίου Πνεύματος τὰ χαρίσματα, ἀποδιῃρημένα τρόπον τινὰ τῆς οὐσίας αὐτοῦ, ἄκουσον καὶ οἷα ὁ ἅγιος Κύριλλος περὶ τούτου ἐν τοῖς πρὸς Ἑρμείαν φησίν. Ἐκεῖσε γὰρ ἐν μέρει τοῦ διαλόγου ταῦτα ἐπὶ λέξεων κεῖται· « Ὁ Ἅγιος· Τὸ δὲ δὴ τὴν θείαν ἡμῖν ἐγχαράττον εἰκόνα, καὶ σημάντρου δίκην ἐμποιοῦν τὸ ὑπερκόσμιον κάλλος, οὐχὶ τὸ Πνεῦμά ἐστιν; — Ὁ Ἑρμείας· Ἀλλ' οὐχ ὡς Θεὸς, φασὶν, ἀλλ' ὡς θείας χάριτος ὑπουργόν. — Ὁ Ἅγιος· Οὐκ αὐτὸ τοιγαροῦν ἡμῖν, ἀλλ' ἡ δι' αὐτοῦ χάρις ἐνσημαίνεται. — Ὁ Ἑρμείας· Ἔοικεν. — Ὁ Ἅγιος· Ἦν οὖν ἀναγκαῖον, εἰκόνα τῆς χάριτος, καὶ οὐχὶ μᾶλλον Θεοῦ διακεκλῆσθαι τὸν ἄνθρωπον. » Καὶ μετά τινα· « Ἀλλ' εἰ τῆς οὐσίας τοῦ Πνεύματος διεσχοινισμένη τις ἦν ἡ δι' αὐτοῦ χάρις, τί μὴ ἔφη σαφῶς ὁ μὲν μακάριος Μωϋσῆς ὅτι παρενηνεγμένῳ τῷ ζώῳ πρὸς τὸ εἶναι λοιπὸν ἐνεφύσησε χάριν ὁ πάντων δημιουργὸς τὴν διὰ πνοῆς τῆς ζωῆς, Χριστὸς δὲ ἡμῖν, « Λάβετε χάριν τὴν δι' ὑπουργίας τοῦ ἁγίου Πνεύματος, » ἀλλ' ὠνόμασται μὲν ἐν ἐκείνῳ πνοὴ ζωῆς· ζωὴ γάρ ἐστιν ἀληθὴς ἡ τῆς θεότητος φύσις, εἴπερ ἐστὶν ἀληθὲς ὡς ἐν αὐτῇ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμεν· διὰ δὲ τοῦ Σωτῆρος φωνῆς Πνεῦμα ἅγιον αὐτό που κατὰ τὸ ἀληθὲς ταῖς τῶν πιστευόντων ψυχαῖς ἐγκατοικίζοντός τε καὶ ἐνιέντος τὸ Πνεῦμα; « Καὶ ὁ μὲν ἅγιος Κύριλλος ταῦτα. Ὁ δὲ τῆς Ῥαΐθου πρεσβύτερος Θεόδωρος ὁ δογματικώτατος ἐν τῷ περὶ ἀπεριγράπτου λόγῳ αὐτοῦ δευτέρῳ οὕτω φησίν· « Ἴδωμεν οἷα λέγειν περὶ Θεοῦ ἀνέχονται· Τῇ ἐνεργείᾳ, φασὶν, ἐν πᾶσίν ἐστιν ὁ Θεὸς, τῇ οὐσίᾳ δὲ οὐδαμοῦ· ἐνέργειαν λέγοντες, τὸ προϊὸν ἐκ τῆς ἐνεργείας φασὶν ἀποτέλεσμα. Φαίην δ' ἂν ἔγωγε τῆς

4. Ut vero tibi et ex scriptis testimoniis, quantum a vero aberrent, innotescat, qui in propria quadam sancti Spiritus exsistentia dona, quodammodo ab illius essentia separata, intelligunt; audi quæ et divus Cyrillus de hac eadem re in eo Dialogo, quem ad Hermiam direxit, pronuntiat; in ejus enim parte hæc ad verbum habentur: « Sanctus. — Quod vero divinam imaginem imprimit, et notæ instar cœlestem pulchritudinem inferens, nonne Spiritus est? — Hermias: Sed non ut Deus, inquiunt, sed ut divinæ gratiæ administer.—Sanctus: Non ipse igitur nobis, sed gratia, quæ per ipsum confertur, imprimitur.— Hermias: Videtur.— Sanctus: Necesse igitur fuerit gratiæ imaginem, et non potius Dei, hominem nuncupari. » Et paucis annexis: « Sed si essentia Spiritus divisa est, quæ per eum gratia datur, quamnam ob causam manifeste dictum est a beato quidem Moyse, animali ad id, quod est, producto, Creatorem omnium gratiam, quæ per Spiritum vitæ est, insufflasse, et nobis a Christo: « Accipite gratiam, quæ administro Spiritu sancto datur [a], » sed dictus est apud illum Spiritus vitæ: namque vita vera est Deitatis natura, si verum est, quod dicitur, In ipso vivimus, movemur, et sumus, et a Salvatore, Spiritus sanctus; a Salvatore, inquam, qui vere in infidelium animos introducit immittitque Spiritum sanctum? » Et hæc quidem sanctus Cyrillus. Theodorus presbyter, in dogmatibus decernendis accuratissimus, secunda de Incircumscripto oratione, hunc in modum eloquitur; « Consideremus, quæ de Deo dicere sustinent. Operatione, inquiunt, Deus in omnibus est, essentia vero nullo in loco; operationem vocantes, qui ex operatione procedit effectum. Ipse vero dixerim, a natura divina, operationem illius

[a] Joan. xx, 22.

(3) Eumdem Spiritum sanctum, unum ex Triade, Triadem ipsam complere, et ex Filio promanare, effundi, et exsilire, dici, diviniloquus Gregorius, oratione de Spiritu sancto, comprobabit, diserte hæc scribens: *Ego vero totus cohorresco, abundantiam appellationum considerans; quæ cum tot sint tantæque, nihilominus Spiritum oppugnantes inverecunde sese gerere præsumunt. Spiritus Dei dicitur, Spiritus Christi, mens Christi, Spiritus Domini, ex se ipse Dominus, Spiritus adoptionis, veritatis, libertatis, Spiritus sapientiæ, prudentiæ, consilii, fortitudinis, intelligentiæ, pietatis, timoris Dei: facit enim omnia creatque, universa essentia complens, et omnia continens, essentia quæ mundana sunt, omnia implens.* Et post pauca: *quæ-cunque vero his humilius enuntiantur, dari scilicet, mitti, distribui, donum etiam, munus, inflatus, pollicitatio, intercessio, et, si quid aliud hujusmodi, ne singula recenseam, ad primam causam referenda sunt, ut, ex quo sit, ostendatur, et non tria principia divisa, proindeque Deos introducentia, admittantur; æqualem enim impietatem inferunt, sive cum Sabellio personas connectunt, sive cum Ario naturæ dividantur.* Hac ratione et nomina, Spiritus naturam indicantia, et differentia donorum, diligenti enumeratione comprobantur, cum ex Filio emanare et profundi et exsilire Spiritus dicitur, illum ipsum esse Spiritum Sanctum, unum ex Triade, et qui Triadem complet.

Digitized by Google Распознавание текста АВК/FR

esse indivisam. » Et quibusdam annexis : « Cum vero vivat natura divina, vivas habet et operationes ; et absque essentia fieri nequit, ut operatio emergat : ubi operatio apparuerit, simul una cum ea et essentia ex qua emanat, consideratur. » Et post pauca : « Igitur non operatione tantum Deus rebus præsens est, sed essentia. Namque demonstratum est absque essentia nullam esse operationem. » Et paucis additis : « Quomodo itaque, quod dicitur, verum fuerit, Spiritum Domini orbem adimplesse? Essentia Deus cum sit, quæ sunt omnia, natura divina adimplevit, et in omnibus est. » Et postmodum : « Operatio absque essentia non emanat, et in omnibus est ; essentia ergo in omnibus est, ut a prophetà dicitur : « Nonne cœlum et terram ego impleo dicit Dominus[a]? » Hæc Sanctorum pronuntiata, ad ora eorum obturanda qui ex Filio provenire, effundi et exsilire veluti donum quoddam, Spiritum sanctum contendunt, maximopere conducent.

5. Quod si et dicto illi inter alia Cyrilli (4) accuratius mentem fixeris, quod ille, dum Filium habere Spiritum pertractat, pronuntiat, « eodem quo et Pater modo Spiritum habere veluti omnium naturalium Patris bonorum participem, non ascititium neque extraneum, sed ut quisque nostrum proprium in semetipso spiritum continet, et ex intimis visceribus in externa effundit ; » maximum quoque tibi inde contra importuna discrimina adjumentum habebis. Etenim si sanctus Cyrillus hominis exemplum usurpans, Filium, ait, Spiritum effundere, quemadmodum nostrum singuli proprium spiritum ex intimis visceribus foras effundunt ; quid aliud similis effusio erit, quam ex Filio naturalis Spiritus exsistentia? Nam et in hominibus, et in omnibus aliis, quæ spiritum habent corruptioni obnoxium, uniuscujusque spiritus a spirante exsistentiam possidet.

6. Propterea magnus Basilius in nonnullis suis theologicis dictis (5) cum quis Spiritum Dei pronuntiat, satis esse, tradit, nomen hoc exsistentiam illius ex Deo notare. Cum igitur in plerisque Scripturæ locis Spiritus Patris, Spiritus quoque Filii Spiritus sanctus vocitatur, si veluti Spiritus oris Patris exsistentiam ex eo habere dicitur, habebit utique et similem ex Filio exsistentiam, veluti vivens, et essentialis Filii Spiritus, quod et os Patris (6) Filius in divinis Scripturis asseritur. Et sic jam habes absolutum, ad primam tuam interrogationem, responsum, scriptis testimoniis

A τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ. » Καὶ μετά τινα· « Ἐπειδὴ δὲ ζῶσα ἡ θεία φύσις, ζιόσας ἔχουσα καὶ τὰς ἐνεργείας, χωρὶς δὲ οὐσίας ἀδύνατον προελθεῖν ἐνέργειαν. Ἔνθα ἂν ἡ ἐνέργεια φανῇ, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία, ἐξ ἧς προέρχεται. » Καὶ μετά τινα· « Οὐκοῦν οὐ μόνον τῇ ἐνεργείᾳ πάρεστι τοῖς οὖσι Θεὸς, ἀλλὰ καὶ τῇ οὐσίᾳ, δέδεικται γὰρ, οὐχ ὅτι χωρὶς οὐσίας ἐστὶν ἐνέργεια. » Καὶ μετά τινα· « Πῶς οὖν ἔσται τὸ λεγόμενον ἀληθὲς, ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην; Οὐσία Θεὸς ὤν, πάντα τὰ ὄντα τῆς θείας οὐσίας πεπλήρωκε, καὶ ἐν πᾶσι τοῖς οὖσιν ἐστί. » Καὶ μετά τινα· « Ἡ δὲ ἐνέργεια χωρὶς οὐσίας οὐ πρόεισι, καὶ ἐν πᾶσίν ἐστιν· ἡ οὐσία ἄρα ἐν πᾶσίν ἐστι, κατὰ τὸν διὰ τοῦ Προφήτου B λεγόμενον, « Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος ; » Οὐκ ὀλίγον σοι πάντως αἱ χρῆσεις αὗται πρὸς ἐπιστομισμὸν τῶν ἐκ τοῦ Υἱοῦ προϊέναι, καὶ προχεῖσθαι, καὶ ἀναβλύζειν, ὡς χάρισμά τι πνευματικὸν τὸ Πνεῦμα λεγόντων τὸ ἅγιον, συντελέσουσιν.

ε'. Ἀλλ' εἰ καί τινι τῶν τοῦ μεγάλου Κυρίλλου ἐπιστατικώτερον ἐπιβαλεῖς ῥήσεων τῇ παρ' αὐτοῦ εἰρημένῃ, ὅπου τὸ Πνεῦμα τὸν Υἱὸν ἔχειν θεολογεῖ « καθ' ὃν τρόπον καὶ ὁ Πατὴρ, ὡς πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνὸν, οὐκ ἐπακτὸν δηλονότι, οὐδ' ἔξωθεν, ἀλλ' ὡς ἕκαστος ἡμῶν τὸ ἴδιον ἐν ἑαυτῷ Πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει· » με- C γάλην κἀντεῦθεν ἕξεις κατὰ τῶν παραλόγων διαφορῶν τὴν συγκρότησιν. Εἰ γὰρ ἐν ὑποδείγματι ἀνθρωπίνῳ ὁ ἅγιος Κύριλλος τὸν Υἱὸν φησι τὸ Πνεῦμα προχέειν, ὡς ἕκαστος ἡμῶν τὸ ἴδιον πνεῦμα ἐκ τῶν ἐνδοτάτων αὐτοῦ σπλάγχνων εἰς τὸ ἔξω προχέει, τί ἂν ἄλλο ἡ τοιαύτη πρόχυσις εἴη παρὰ τὴν ἐξ Υἱοῦ φυσικὴν τοῦ Πνεύματος ὕπαρξιν; Καὶ ἐπ' ἀνθρώπων γὰρ, καὶ ἐπὶ πάντων ἄλλων, ὅσα πνεῦμα ἔχει φθαρτὸν, τὸ ἑκάστου πνεῦμα παρὰ τοῦ ἐκπνέοντος ἔχει τὴν ὕπαρξιν.

ς'. Διὰ τοῦτο ὁ μέγας Βασίλειος ἔν τισι τῶν οἰκείων θεολογιῶν, ὅταν τις λέγῃ Πνεῦμα Θεοῦ, ἀρκεῖν φησι καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ. Εἰ γοῦν πολλαχοῦ τῆς Γραφῆς πνοὴ μὲν τοῦ Πατρὸς, πνοὴ δὲ καὶ τοῦ Υἱοῦ τὸ ἅγιον D εἴρηται Πνεῦμα, ἐὰν ὡς πνοὴ τοῦ στόματος τοῦ Πατρὸς τὴν ἐξ αὐτοῦ ἔχειν ὕπαρξιν λέγοιτο, εἴη ἂν τὴν τοιαύτην καὶ ἐκ τοῦ Υἱοῦ ὕπαρξιν ἔχον, ὡς ζῶσα καὶ οὐσιώδης πνοὴ τοῦ Υἱοῦ. Ὅτι καὶ στόμα τοῦ Πατρὸς ὁ Υἱὸς ταῖς θείαις θεολογεῖται Γραφαῖς. Ἔχεις ἐντελῶς ἤδη τὴν ἐπὶ τῇ πρώτῃ σου ἐρωτησει ἀπόκρισιν ἀπὸ γραφικῶν συγκεχροτημένην μαρτυ-

[a] Jer. XXIII, 24.

(4) In expositione Evangelii Joannis, ad illa : *Et ego rogabo Patrem, et alium Paracletum dabit vobis.*

(5) In quarta scilicet adversus Eunomium oratione.

(6) Filium os Patris esse, reperies in oratione dogmatica Theodori presbyteri Raythieni, cujus principium : *Absurdum existimo, et probe me id existimare duco.* Sito porro Orationem, in qua dictum simile continetur, in nonnullis voluminibus divo Anastasio ascribi.

Digitized by Google Распознавание текста ABK/FR

ρῶν, ἐφ' οἷς οἱ δι' ἐναντίας τὰς παραλόγους διαφορὰς τῶν ἀναγεγραμμένων λέξεων πλάττονται.

ζ'. Ἃ δὲ καὶ περὶ τῆς « πεφηνέναι » λέξεως κατὰ δεύτερον τὸν πρὸς ἡμᾶς λόγον λέγειν ἔφης αὐτούς, μηδὲ αὐτὴν εἰς δήλωσιν ὑπάρξεως ἐκδεχομένους τοῦ Πνεύματος ὁ μέγας, ἀπελέγξει καὶ ταῦτα Βασίλειος, ἐν μὲν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή, « Ὅτι θεία φύσις τὸ Πνεῦμα, » λέγων· « Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις, καὶ θεία φύσις ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος πεφηνυῖα. » Ἐν δὲ τῇ ἑρμηνείᾳ τοῦ τριακοστοῦ τετάρτου ψαλμοῦ, « Ὡς οὖν ὁ δημιουργὸς Λόγος ἐστερέωσε τὸν οὐρανὸν, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ. » Ὁ γὰρ, νῦν μὲν ἐκ τοῦ θείου στόματος πεφηνέναι, νῦν δὲ ἐκ τοῦ αὐτοῦ στόματος ἐκπορεύεσθαι λέγων τὸ Πνεῦμα, οὐδεμίαν τῶν τοιούτων λέξεων διαφορὰν συγχωρεῖ ἀναφαίνεσθαι. Καὶ σὺ λοιπὸν τοῖς ῥηθεῖσιν ἅπασι πρὸς ἀπόδειξιν χρῶ τοῦ μηδὲν ἐπισφαλὲς πεπραχέναι τοὺς ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι, καὶ προχεῖσθαι, καὶ ἀναβλύζειν, ἔτι δὲ πεφηνέναι ὁμολογοῦντας, ὅτι γε τὴν μετὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἡσπάσαντο ἕνωσιν, τῇ τῆς ἐκπορεύσεως λέξει διὰ τὸ στενὸν ἴσως τῆς γλώττης ἀντὶ πασῶν χωμένης τῶν λέξεων.

η'. Ἐπεὶ δὲ κατὰ τρίτην προέθου ἐρώτησιν, εἰ μὴ πλημμελῶς, βλασφήμως δὲ μᾶλλον, ἀμέσως οὗτοι καὶ προσεχῶς εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς διενίσανται, ἔχεις ἀπὸ πασῶν αὐτοὺς ἐπιστομίσαι τῶν ῥήσεων, ὅσαι τὴν δι' Υἱοῦ ἐκ Πατρὸς τοῦ παναγίου Πνεύματος τεθεολογήκασιν ὕπαρξιν. Εἰ γὰρ ἀμέσως, οὐχὶ δι' Υἱοῦ, καὶ εἰ δι' Υἱοῦ πάντως, οὐκ ἀμέσως· ἐπεὶ ταῦτα συνυπάρχειν ἀλλήλοις ἀδύνατον. Ἀλλ' ἀμέσως μὲν οὐκ ἂν εὑρῇ τις τὸ Πνεῦμα ὑπάρχον, ἢ ἐκπορευόμενον ἐκ Πατρὸς, κἂν μυρία κάμῃ πᾶσαν θεόπνευστον ἀνιχνεύων Γραφὴν, δι' Υἱοῦ δὲ καὶ ἐν πολλοῖς καὶ πολλάκις. Αὐτίκα γὰρ ὁ θεῖος καὶ μέγας ἀληθῶς Ἀθανάσιος ἐν τῷ λόγῳ, ὃς ἐπιγέγραπται, « Ἔλεγχος ὑποκρίσεως τῶν περὶ Μελέτιον, καὶ Εὐσέβιον, » οὗ ἡ ἀρχὴ, « Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονε, » φησὶν· « Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προσδικῶς ὂν ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν. » Ὁ μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, Διατί μὴ καὶ τὸ Πνεῦμα Υἱὸς τοῦ Υἱοῦ· « Τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι, » φησὶ, « τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων, « Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν, » καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ, καθάπερ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου. » Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ, « Τὸ ἀπαράλλακτον, » φησὶ, « τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν τῷ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ

A comprobatum, de iis ob quæ adversarii absurdas descriptarum dictionum differentias comminiscuntur.

7. Quæ porro de *apparere* dictione, secundo loco in sermone tuo ad nos dato, proponis scribisque, dum asserunt, eamque ad insinuandam exsistentiam non accipiunt, eos vel maxime magnus refellet Basilius, in eo capite cujus inscriptio est, « Divinam Spiritus esse naturam ; Spiritus enim cum vivente Verbo in eodem ordine collocatus ad creandum, vivens potestas et divina natura, ineffabilis ex ineffabili ore apparens. » Et in expositione psalmi quadragesimi quarti : [« Quemadmodum itaque creans Verbum firmavit cœlum, ita et Spiritus Dei, qui ex Patre procedit, hoc est B ex ore illius. »] Qui enim nunc ex divino ore apparere, nunc ex illius ore procedere Spiritum asserit, nullam similium dictionum differentiam vel imaginari quemquam permittit. Tu porro omnibus jam dictis ad demonstrandum utere, nullo errore sese implicasse eos, qui ex Patre, et ex Filio, promanere, profundi, et exsilire, nec non apparere, profitentur, quod cum Romana Ecclesia, quæ dictionem processionis, ob angustiam forte linguæ, præ aliis dictionibus usurpat, unionem amplexati sunt.

8. Cum vero et tertia tua interrogatione proponas, an aberrent, vel blasphement potius, qui immediate et continenter Spiritum esse ex Patre autumant ; eorum omnium ora frenabis dictis omnibus, quæ, per Filium ex Patre, sanctissimi Spiritus exsistentiam stabiliunt. Etenim, si immediate, non utique per Filium ; et, si per Filium, prorsus non immediate ; cum hæc una simul esse nequeant, sed immediate Spiritum exsistere, aut ex Patre Spiritum procedere, licet delassetur divinas Scripturas investigando, nunquam quispiam repererit ; per Filium vero in multis et sæpissime. Primus, divinus ac vere magnus Athanasius, oratione, cui titulus, « Refutatio simulationis eorum, qui Meletium atque Eusebium sequuntur, » et principium est, « Homo ad imaginem Dei factus est, » scribit : « Haud fieri poterat, in Triadis gloria Spiritum D glorificari, ni procederet ex Deo per Filium, sed factus fuisset ex Deo, ut tradunt. » Magnus Basilius, in capite cujus inscriptio est, « Quare non et Filius Filii Spiritus : « Scilicet Spiritum ex Deo esse, aperte enuntiavit Apostolus, dicens : Spiritum, qui ex Deo est, accepimus ; et per Filium apparere, clare significavit, cum illum Spiritum Filii nuncupavit, uti Dei, et mentem Christi compellans, et Dei Spiritum, uti et hominis. » Gregorius Nyssenus, oratione ad Ablabium : « Immutabilitatem naturæ confitentes, non imus inficias secundum causam et causatum differentiam in qua sola dicerni aliud ab alio deprehendimus ; cum hoc quidem causam credamus esse, illud ex causa, et illius etiam quod ex causa est, rursus aliud discrimen observemus : hoc

Digitized by Google Распознавание текста ABK/FR

etenim est immediate ex primo, hoc vero per id quod contiguum atque immediatum est, ex primo. » S. Cyrillus secundo ad Hermiam libro, inquit: « Sanctum vero Spiritum dices, qui ex Deo Patre per Filium effunditur naturaliter, veluti, ut exemplo explicem respirationis ex ore humano, propriam nobis exsistentiam indicans. » Sanctus Maximus (7) eum dicit, « ex Patre essentialiter per Filium, qui genitus est, modo, qui verbis exprimi non potest, procedere. » Divinus Tarassius, sua ad Antiochenos atque Alexandrinos epistola: « Et in Spiritum sanctum, » ait, « qui ex Patre per Filium procedit; eumdemque Deum esse agnoscimus. » Damascenus, Theologicorum capite tertio decimo dicit de Patre: « Ipse itaque mens est, Verbi abyssus, Verbi genitor, et per Verbum his manifestantis Spiritus productor. » Et post multa ibidem: « Spiritus sanctus, absconditæ Divinitatis manifestans, facultas Patris ex Patre est per Filium procedens. » Et hæc sunt scriptis mandata testimonia, quibus ex Patre per Filium Spiritus exsistentia satis manifeste patet, et abunde ora coercentur eorum, qui asseverare non verentur, Spiritum ex Patre esse immediate et continenter.

A αἰτίου καὶ τοῦ ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν· τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. » Ὁ ἅγιος Κύριλλος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν φησὶν, « Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων ἀναπνοῆς, τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν. » Ὁ ἅγιος Μάξιμος, « ἐκ τοῦ Πατρὸς οὐσιωδῶς » αὐτὸ « δι' Υἱοῦ γεννηθέντος ἀφράστως » λέγει « ἐκπορευόμενον. » Ὁ θεῖος Ταράσιος ἐν τῇ πρὸς Ἀντιοχεῖς καὶ Ἀλεξανδρεῖς Ἐπιστολῇ αὐτοῦ, « Καὶ εἰς τὸ Πνεῦμα, » φησὶ, « τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον. » Ὁ Δαμασκηνὸς ἐν τῷ τρισκαιδεκάτῳ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων φησὶ περὶ τοῦ Πατρός· « Αὐτὸς μὲν οὖν ἐστι νοῦς, Λόγου ἄβυσσος, Λόγου γεννήτωρ, καὶ διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος » καὶ μετὰ πολλὰ ἐν τῷ αὐτῷ· « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ Πατρὸς, ἐκ Πατρός ἐστι δι' Υἱοῦ ἐκπορευομένη. » Αὗται δὴ αἱ δι' ὧν ἡ ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξις τοῦ Πνεύματος δεδήλωται γραφικαὶ ῥήσεις ἐπιστομίζειν ἱκανῶς ἔχουσι τοὺς ἀμέσως καὶ προσεχῶς ἐκ Πατρὸς τὸ Πνεῦμα εἶναι λέγειν ἀποτολμῶντας.

B

9. Verumtamen et hic adversarii non eamdem sequuntur sententiam, sed dissimili studio longe diversa pronuntiant. Quidam enim illud, « cum Filio, » aut « simul cum Filio, » aut « una cum Filio, » quam supra diximus processionem per Filium immodica dicendi libertate, et, quidquid animo occurrerit, blaterandi securitatem accipiunt, alii, cum per Filium exsistentiam convellere pertinaciter non audeant, ad eam, « quæ ex utroque, » asseritur, opponuntur. Primos paucis hisce dictis refelles, tum divi Damasceni (8) affirmantis, « Per Verbum productor est Spiritus Pater; » quid enim differt, productorem Spiritus per Verbum, et causam per Filium, Patrem dicere? tum Nysseni, quod ille primo adversus Eunomium antirrhetico scribit, in quo secundum rationem causæ Spiritus hypostaseos Filium dicit præintelligi. Etenim si quis dictum alio modo, quam quod causam ex Patre per Filium Spiritus habet, exceperit, nunquam ad piam catholicamque sententiam illud direxerit. Et, si causatus per Filium ex Patre Spiritus est, quanam ratione admitti queunt, quæ ab ipsis de præpositione *per* inconsiderate atque inconsulto proferuntur?

C

D

θ'. Ἐπεὶ δὲ κάνταῦθα εἰς διαφόρους οἱ δι' ἐναντίας διαιροῦνται τὰς δόξας, καὶ οἱ μὲν αὐτῶν εἰς τὸ « μετὰ τοῦ Υἱοῦ, » ἢ « ἅμα τῷ Υἱῷ, » ἢ « σὺν τῷ Υἱῷ, » κατὰ πολλὴν ἄδειαν τοῦ λέγειν ἃ βούλονται, τὴν δι' Υἱοῦ ἐκπόρευσιν ἐκλαμβάνονται, οἱ δὲ πρὸς μὲν τὴν δι' Υἱοῦ ὕπαρξιν ἀντιλέγειν αὐθαδῶς οὐκ ἀποτολμῶσι, πρὸς δὲ τὴν ἐξ ἀμφοῖν ἀντιλέγουσιν· τοὺς μὲν πρώτους δι' ὀλίγων τούτων ἐπιστομίζειν ἔχεις τῶν χρήσεων, τῆς τε τοῦ θείου Δαμασκηνοῦ τῆς, « Ὅτι διὰ τοῦ Λόγου προβολεύς ἐστι τοῦ Πνεύματος ὁ Πατήρ· » τί γὰρ διαφέρει προβολέα τοῦ Πνεύματος διὰ τοῦ Λόγου, ἢ αἴτιον δι' Υἱοῦ τὸν Πατέρα εἰπεῖν; Καὶ τῆς τοῦ Νύσσης, ἣν ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον θεολογεῖ ἀντιῤῥητικῶν, ἐν ᾗ κατὰ τὸν τῆς αἰτίας λόγον τῆς τοῦ Πνεύματος ὑποστάσεως τὸν Υἱὸν φησι προεπινοεῖσθαι. Εἰ μὴ γὰρ διὰ τὸ τὴν αἰτίαν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα ἔχειν τὸ ἅγιον τὸ ῥητὸν τοῦτο ἐκλήψεταί τις, ἄλλως οὐχ ἕξει εἰς εὐσεβῆ τὴν ἔννοιαν ἀπευθῦναι αὐτό. Εἰ δὲ αἰτιατὸν διὰ Υἱοῦ ἐκ Πατρὸς τὸ Πνεῦμά ἐστι, ποίαν ἕξουσι χώραν τὰ περὶ τῆς, *διὰ*, παρ' αὐτῶν παραλόγως λεγόμενα;

10. Illis porro, qui dictum, « per Filium ex Patre, » certant non cohærere cum dicto, « Ex utroque, » ante alios magnus Basilius, regio, quod aiunt, cubitu resistet uno ex capitibus ad Amphilochium (9), cujus principium est, « Eorum porro

ι'. Τοὺς δὲ τὸ δι' Υἱοῦ λεγόμενον ἐκ Πατρὸς ἀσυμβίβαστον εἶναι πρὸς τὸ ἐξ ἀμφοῖν λέγοντας προηγουμένως μὲν βασιλικῷ τῷ πήχει ὁ μέγας Βασίλειος ἀντιπαλαμήσεται ἐν ἑνὶ τῶν πρὸς τὸν μακάριον Ἀμφιλόχιον κεφαλαίων, οὗ ἡ ἀρχὴ, « Τὰ μὲν δὴ

(7) Reperies id in expositione verborum, « Quid apud Zachariam significet aureum candelabrum, et super eo lucerna et luminaria. »

(8) Est hoc in tertio decimo capite theologico.

(9) In quinto capite.

Digitized by Google Распознавание текста АВК/FR

ἐκείνων τοιαῦτα· ἡμεῖς δὲ δείξομεν ὃ προεθέμεθα, » οὕτω λέγων σαφῶς· — « Οὐ μόνον δὲ ἐπὶ τῆς Θεολογίας αἱ χρήσεις τῶν φωνῶν ἐπαλλάττονται, ἀλλ' ἤδη καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίστανται· ὅταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ, οἷον, « Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, » φησὶν ὁ Ἀδάμ, ἴσον λέγων, τὸ, ἐκ τοῦ Θεοῦ· καὶ ἑτέρωθι· « Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ προστάγματος Κυρίου· » καὶ πάλιν, « Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν; » ὁ Ἰωσὴφ τοῖς ἐν δεσμωτηρίῳ διαλεγόμενος. Σαφῶς γὰρ καὶ αὐτὸς ἀντὶ τοῦ, Ἐκ Θεοῦ, εἰπεῖν, Διὰ τοῦ Θεοῦ εἴρηκε. Καὶ ἀνάπαλιν, τῇ « ἐξ οὗ » προθέσει ἀντὶ τῆς « δι' οὗ » κέχρηται· ὡς ὅταν λέγῃ Παῦλος, « Γενόμενος ἐκ γυναικός, » Τοῦτο γὰρ ἡμῖν ἑτέρωθι σαφῶς διεστείλατο, τῇ γυναικὶ μὲν προσήκειν λέγων τὸ ἐκ τοῦ ἀνδρὸς γεγεννῆσθαι, ἀνδρὶ δὲ τὸ διὰ γυναικὸς, ἐν οἷς φησιν ὅτι « Ὡς πρώτη ἡ γυνὴ ἐξ ἀνδρὸς, οὕτως ἀνὴρ διὰ γυναικός. » Ἀλλ' ὅμως ἐνταῦθα ὁμοῦ μὲν τὸ ἀδιάφορον τῆς χρήσεως ἐνδεικνύμενος, ὁμοῦ δὲ καὶ τὸ σφάλμα τινῶν ἐν παρόδῳ διορθούμενος, τῶν οἰομένων πνευματικὸν εἶναι τὸ τοῦ Κυρίου σῶμα, ἵνα δείξῃ ὅτι ἐκ τοῦ ἀνθρωπείου φυράματος ἡ θεοφόρος σὰρξ συνεπάγη, τὴν ἐμφαντικωτέραν φωνὴν προστίμησε. Τὸ μὲν γὰρ διὰ τῆς γυναικὸς παροδικὴν ἔμελλε τὴν ἔννοιαν τῆς γεννήσεως ὑπεμφαίνειν· τὸ δὲ ἐκ τῆς γυναικὸς ἱκανῶς παραδηλοῦν τὴν κοινωνίαν τῆς φύσεως τοῦ τικτομένου πρὸς τὴν γεννήσασαν, οὐχ ἑαυτῷ που μαχόμενος, ἀλλὰ δεικνὺς ὅτι ῥᾳδίως ἀλλήλαις ἀντεπιχωριάζουσιν αἱ φωναί. » — Ἐφεξῆς δὲ καὶ ὁ μέγας αὐτοὺς καταγωνίσεται Κύριλλος· ἐν μὲν τῷ πρώτῳ τῶν πρὸς Παλλάδιον, οὕτω καθαρῶς λέγων· « Τρεπτὸν δὲ οὖ τοί που τὸ Πνεῦμά ἐστιν, ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα· » ἐν δὲ τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην, οὕτω διασαφῶν, « Εἰ δὲ νομίζουσι δύνασθαι τὸ δι' Υἱοῦ, λεγόμενον ἐφ' Υἱοῦ, καταφέρειν αὐτοῦ τὴν οὐσίαν τῆς πρὸς τὸν Πατέρα ἰσοτητός τε καὶ φυσικῆς ὁμοιότητος, ὡς ὑπουργὸν εἶναι μᾶλλον ἢ δημιουργόν· διασκεπτέσθωσαν οἱ παράφρονες, καὶ εἰς μέσον ἡμῶν ἰόντων ἀπολογησόμενοι, τί ποτε ἄρα καὶ περὶ αὐτοῦ τοῦ Πατρὸς ἐννοήσομεν, τίνα δὲ εἶναι καὶ αὐτὸν ὑπολήψόμεθα, ὅταν φαίνηται δεχόμενος τὸ δι' οὗ Πατέρα τῇ θείᾳ Γραφῇ; « Πιστὸς γὰρ, φησὶν, ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ· » καὶ, « Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, » καὶ πάλιν πρός τινας ὁ Παῦλος ἐπιστέλλει· « Ὥστε οὐκ ἔτι δοῦλος, ἀλλὰ Υἱός· εἰ δὲ Υἱὸς καὶ κληρονόμος διὰ Θεοῦ. » Ταῦτα δὴ σύμπαντα τὴν ἀναφορὰν εἰς τὸ τοῦ Θεοῦ καὶ Πατρὸς ἔχει πρόσωπον. Καὶ οὐ δήπου πρὸς τοῦτο μανίας ἐλάσειέ τις, εἰ μὴ τύχοι τοῖς προειρημένοις τὰ ἴσα φρονῶν, ὡς τὸ τῆς ὑπουργίας ὄνομά τε καὶ πρᾶγμα καὶ αὐτῆς

A dicta hæc sunt, nos vero quod proposuimus, » hisce verbis aperte intonans :— « Neque enim solum, cum de Deo sit sermo, harum vocum usus variat, verum etiam ea, quæ ab his significantur, sæpenumero invertuntur, quoties altera alterius recipit significationem, veluti : « Possedi hominem per Deum [5], » inquit Adam, idem dicens, quasi dixisset, ex Deo. Et alibi : « Quæ præcepit Moyses Israeli per mandatum Domini [6]. » Et rursus : « Nonne per Deum horum manifestatio est [7]? » ita Joseph, loquens de insomniis apud eos qui erant in carcere : palam est et hunc pro eo, quod erat, Ex Deo, dixisse, Per Deum, et contra, hæc particula, Ex quo, usurpatur pro, Per quem, velut cum ait Paulus, « Factus ex muliere [8], » pro eo, B quod erat, per mulierem. Nam is nobis alibi perspicue distinxit, cum ait, feminæ convenire ex viro natam esse, viro autem per feminam, in his, quæ sic scribit : « Quemadmodum mulier ex viro, ita vir per mulierem [9]. » Quanquam hic Apostolus, simul ostendens diversum harum vocum usum, simul obiter corrigens quorumdam errorem, existimantium Domini corpus esse spirituale, ut ostenderet carnem, Dei gestatricem, ex humana massa concretam fuisse, maluit uti verbo significantiore. Nam hæ dictiones, Per mulierem, transitorium generationis intellectum erant significaturæ : at hæ, ex muliere, sufficienter declarant communionem naturæ genitæ cum ea quæ genuit : non C quod secum pugnet Apostolus, sed ut ostendat, has voces facile sibi vicissim cedere. » — Postmodum et magnus eos Cyrillus devincet, tum in primo ad Palladium apertissime scribens : « Mutabilis vero nullo modo Spiritus est; quod si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, præterea et Filii essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus : » tum expositione in Joannem, hunc in modum explanans : « Quod si existimant, illud, quod dicitur de illo, per Filium, posse illius substantiam ab æqualitate et naturali similitudine, quam cum Patre habet, dejicere, quasi Filius administer sit potius quam creator; considerent mente capti isti, et in medium nostri prodeant, responsuri, quid D tandem et de ipso Patre deprehendemus, et quem eum esse excogitabimus, cum in sese recipiat illud, per eum, in divinis Litteris : « Fidelis enim, ait, Deus, per quem vocati estis in consortium Filii ejus; » et : « Paulus apostolus Jesu Christi, per voluntatem Dei, » et rursus ad quosdam Paulus scribit : « Itaque jam non est servus, sed Filius : quod si Filius, et hæres per Deum [10]. » Hæc enim omnia ad personam Patris referuntur. Et plane haud sanum sinciput illius fuerit, qui prædictis æquum assensum non præbeat, ministerii nomen et rem, ipsi Patris gloriæ consentanee attribuens; quando quidem de eo, Per eum, dictio prædicatur. Namque

[5] Gen. IV, 1. [6] Levit. XXIV, 23. [7] Baruch. IV, 4. [8] Gal. I, 4. [9] I Cor. XI, 12. [10] Gal. IV, 7.

Digitized by Google Распознавание текста АВК/FR

plerumque divina Scriptura indifferenter dictiones usurpat, rem subjectam non lædens, et in rebus exponendis, nominibus abutitur, quibus probe se eas indicare putet. » Dictis similibus, qui « ex Patre per Filium » exsistentiam, cum ea, quæ est « ex utroque » non cohærere contendunt, refelluntur. Et hoc concesso fatendum est, quæcunque Spiritus ex Filio habet, quod ea per Filium habeat, ea ex Filio habere, probe dici. Spiritus enim ex Filio emanans, non tanquam ex proprio, ac diverso a Patre fonte emanat, sed, quod ex Patre per Filium emanat, ideo ex Filio emanare; et, quod per Filium effunditur, ex Filio dicitur effundi. Nec tantummodo in dictionibus illis omnibus, quæ significant naturalem atque essentialem illius per Filium ex Patre exsistentiam, dicitur esse et ex Filio, quod per Filium est, sed etiam ex Filio exhiberi, et mitti, quod ex Patre per Filium mitti et exhiberi dicitur.

A κατηγορεῖσθαι τῆς τοῦ Πατρὸς δόξης εὐλόγως εἰπεῖν· ἐπείπερ ἠνέχθη καὶ ἐπ' αὐτοῦ τὸ δι' οὗ. Ἀδιαφορεῖ γὰρ ἔσθ' ὅτε περὶ τὰς λέξεις ἡ θεία Γραφὴ, μηδὲν ἀδικοῦσα τὸ ὑποκείμενον, καταχρηστικώτερον δέ πως ἐπιφέρουσα τοῖς σημαινομένοις τά τε ῥήματα καὶ τὰ δι' ὧν ἂν οἴηται καταδηλοῦσθαι καλῶς. Ἐν ταύταις δὴ ταῖς ῥήσεσι, καὶ οἱ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν ἀσυμβίβαστον πρὸς τὴν ἐξ ἀμφοῖν εἶναι διενιστάμεναι καταγωνισθήσονται. Τούτου δὲ δοθέντος, ὁμολογηθήσεται καὶ πάνθ' ὅσα τὸ Πνεῦμα ἐξ Υἱοῦ ἔχει, διὰ τὸ δι' Υἱοῦ ἔχειν αὐτὰ, λέγεσθαι ταῦτα ἔχειν ἐκ τοῦ Υἱοῦ. Τὸ γὰρ Πνεῦμα, ἐκ τοῦ Υἱοῦ ἀναβλύζον, οὐχ ὡς ἐξ ἰδίας παρὰ τὸν Πατέρα πηγῆς ἀναβλύζον ἐστὶν, ἀλλ' ὅτι ἐκ Πατρὸς ἀναβλύζει, δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ λέγεται ἀναβλύζειν, B καὶ δι' Υἱοῦ προχεόμενον, λέγεται προχεῖσθαι καὶ ἐκ τοῦ Υἱοῦ, καὶ δι' Υἱοῦ προερχόμενον, καὶ ἐκ τοῦ Υἱοῦ προέρχεσθαι λέγεται. Καὶ οὐ μόνον ἐπὶ ταῖς λέξεσι ταύταις ταῖς δηλούσαις φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν αὐτὸ δι' Υἱοῦ ἐκ Πατρὸς· πάντα λέγεται εἶναι καὶ ἐκ τοῦ Υἱοῦ, ὅσα ἐστὶ διὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ ἐξ Υἱοῦ χορηγούμενον καὶ πεμπόμενον, διὰ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ πέμπεσθαι, καὶ χορηγεῖσθαι λέγεται ταῦτα.

11. Præterea, qui ex Patre Spiritum immediate esse enuntiant, his iisdem scripto mandatis testimoniis rejicientur. Thaumaturgo siquidem Gregorio decernente, « Domini Patrem esse principium ab æterno eum generantem, et Dominum Spiritus prototypum (10); » quomodo intelligetur ergo, Spiritus Dominum prototypum, si Spiritus immediate, quemadmodum Filius, ex Patre est? sive, quomodo intelligetur, Filium imaginem esse Patris, et Spiritum imaginem Filii? sive, quomodo intelligetur, Patrem Filio præintelligi tanquam causam, et Filium secundum eamdem causæ rationem hypostasi Spiritus? sive, quomodo intelligetur, Patrem majorem esse Filio, et Filium Spiritu sancto? sive, quomodo intelligetur, Spiritum per Filium conjungi Patri? Et quæ præterea sanctus Athanasius ad Serapionem epistola de Spiritu sancto, dictavit; probans, « eamdem unionem habere Spiritum erga Filium, quam ipse habet ad Patrem, quod Filius a Patre, Spiritus vero a Filio mittatur; et Pater quidem a Filio, Filius vero a Spiritu glorificetur. » Quibus satis aperte decernit, eumdem ordinem et naturam habere Spiritum erga Filium, quam Filius habet erga Patrem. Hæc magnas tibi atque ingentes suppetias ferent ad eos refellendos, qui immediate ex Patre Spiritum esse, ex ventre eructant, nec intelligendis Scripturis studium collocant. Quare, tu, per Filium exsistere Spiritum sanctum, multa cum confidentia et pura in Deum spe, et ex Filio, fateri ne reformides. Nos porro ad tres tuas interrogationes divinis Scripturis, ut jam vidisti, constabilitis responsionibus adductis, si

Ἔτι δὲ οἱ ἀμέσως ἐκ Πατρὸς τὸ Πνεῦμα λέγοντες εἶναι, κἀκ τῶν γραφικῶν τούτων ἀπελεγχθήσονται ῥήσεων. Τοῦ γὰρ Θαυματουργοῦ Πατρὸς Γρηγορίου ἀριδήλως θεολογοῦντος ὅτι « Τοῦ Κυρίου ὁ Πατὴρ ἀρχὴ, ἀΐδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος, » πῶς νοηθήσεται τὸ πρὸς τὸ Πνεῦμα τοῦ Κυρίου πρωτότυπον, εἰ καὶ τὸ Πνεῦμα ἀμέσως ὡς ὁ Υἱὸς ἐκ Πατρός; ἢ πῶς C νοηθήσεται ὁ μὲν Υἱὸς εἰκὼν τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ; ἢ πῶς νοηθήσεται ὁ μὲν Πατὴρ προεπινοούμενος τοῦ Υἱοῦ τῷ αἰτίῳ, ὁ δὲ Υἱὸς κατὰ τὸν τῆς αἰτίας λόγον προεπινοούμενος τῆς τοῦ Πνεύματος ὑποστάσεως; ἢ πῶς νοηθήσεται ὁ μὲν Πατὴρ μείζων τοῦ Υἱοῦ, ὁ δὲ Υἱὸς μείζων τοῦ Πνεύματος; ἢ πῶς νοηθήσεται τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ συναπτόμενον τῷ Πατρί; Ἀλλὰ καὶ ἅπερ ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος λέγει ἐπιστολῇ, κατασκευάζων « τὴν αὐτὴν ἔχειν ἑνότητα τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, ἀπὸ τοῦ τὸν μὲν Υἱὸν παρὰ Πατρὸς, τὸ δὲ Πνεῦμα παρὰ τοῦ Υἱοῦ ἀποστέλλεσθαι· καὶ τὸν μὲν Πατέρα παρὰ τοῦ Υἱοῦ, τὸν δὲ Υἱὸν παρὰ τοῦ Πνεύματος δοξάζεσθαι. » Ἐν D οἷς καὶ πάνυ καθαρῶς λέγει, τοιαύτην τάξιν, καὶ φύσιν ἔχειν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχειν πρὸς τὸν Πατέρα, μεγάλην, καὶ οὔτι μικρὰν παρέξει σοι τὴν συγκρότησιν πρὸς τὸν ἔλεγχον τῶν ἀμέσως ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα ἀπὸ κοιλίας ἐρευγομένων, καὶ τὰς Γραφὰς μὴ διερευνώντων. Τοίνυν καὶ σὺ μὲν τὸ δι' Υἱοῦ ὑπάρχον ἐκ τοῦ Πατρὸς ἅγιον Πνεῦμα μετὰ πολλοῦ τοῦ θάρρους καὶ καθαρᾶς τῆς εἰς Θεὸν ἐλπίδος, καὶ ἐξ Υἱοῦ λέγειν

(10) **Prototypum Spiritus Dominum Thaumaturgus Gregorius nuncupavit, Oratione, cujus illud est principium : *Inimicissimi et alieni ab apostolica confessione sunt. Imaginem* vero *Filii Spiritum*,** inter alios et divus Cyrillus, in libro Thesaurorum; **et, *Filium secundum causæ rationem Spiritu præintelligi*,** Gregorius Nyssenus in primo adversus Eunomium Antirrhetico : et *majorem Spiritu*, magnus Athanasius adversus Arianos oratione prima; et, ***Spiritum per Filium adjungi Patri*,** Damascenus in Theologicis, cap. 14.

Digitized by Google Распознавание текста АВК/FR

μὴ ὑποστέλλου. Ἡμεῖς δὲ τὰς ἐπὶ ταῖς τρισὶν ἐρωτήσεσιν ἀποκρίσεις ἀπὸ τῶν θείων, ὡς ἦδη ἔγνως, Γραφῶν συγκεκροτημένας προενεγκόντες, εἴ τί σοι ἕτερον, μετὰ τὸ εἰς τὴν λαχοῦσάν σε ἀπελθεῖν, λόγου καὶ ἐρωτήσεως ἄξιον, καὶ τούτου τὴν λύσιν δι' ἑτέρου λόγου ποιήσασθαί σοι ἐπαγγελλόμεθα.

A quid aliud, postquam in urbem tibi sorte concessam accesseris, ab iis, qui sese opponunt, propositum fuerit, consideratione et interrogatione dignum, illius quoque solutionem sermone alio tibi nos exhibituros spondemus.

ΤΟΥ ΑΥΤΟΥ

ΤΩΝ

ΠΡΟΣ ΤΟΝ ΣΟΥΓΔΑΙΑΣ ΘΕΟΔΩΡΟΝ

ΤΟ ΔΕΥΤΕΡΟΝ.

—

EJUSDEM

AD

SUGDÆÆ EPISCOPUM THEODORUM

LIBER SECUNDUS.

—

α'. Σύ μὲν, ἀγαπητὲ ἀδελφὲ, τὰς διαφόρους τῶν ἀντιδιατιθεμένων σοι ἀντιῤῥήσεις, καὶ ἃ, πῆ μὲν ἐπὶ διαβολαῖς τῶν Γραφῶν, πῆ δὲ ἐπὶ ἀλλοκότοις οὗτοι παρεξηγήσεσι λέγουσι, δι' ἐγγράφου ἡμῖν ἐγνώρισας ὑπομνήσεως· ἡμεῖς δέ σοι ἀφοσιούμενοι τὸ ἐπάγγελμα, τὰς ὧν αὐτοί φασι πάντων ἀνασκευὰς, διὰ γραφικῶν συγκεκροτημένας παρέχομεν τῶν μαρτυριῶν, ὡς ἂν σοι ἐντεῦθεν καὶ γένοιτο τὰ παρὰ τῶν ἀντιλεγόντων ἀναισχύντως πλέον ἢ ἀνοήτως λεγόμενα εὐσθενῶς ἀπελέγχειν. Καὶ ἄκουε δή.

B 1. Tu quidem, frater dilectissime, varias ab adversariis nostris objectiones, tum Scripturas calumniantibus, tum absurdis et temere excogitatis interpretationibus rem interturbantibus, tibi propositas, datis litteris ad nostri memoriam annotasti. Nos vero quo obstricti sumus, promissum solventes, quæ ipsi in medium afferunt, omnium refutationes scripto traditis testimoniis firmatas exhibemus, ut tibi promptum sit, dicta invereconde magis, quam insulse proposita, robuste valideque refellere. Et attento sis animo.

β'. Αὐτίκα πρὸ τῶν ἄλλων, ἐπεὶ κεφάλαιον τῆς ἀναφορᾶς πρῶτόν σοι γέγονεν, ἣν οὗτοι ποιοῦνται διαβολὴν, ἐφ' οἷς ὁ πολὺς τὰ θεῖα Βασίλειος ἐν τῷ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν τρίτῳ θεολογεῖ, ἡ τοιαύτη θεολογία τοῦ λόγου, ὡς ἐπὶ λέξεών ἐστιν ἔχουσα, προανατετάχθω μοι, ὡς ἂν τῶν εἰς ἀνασκευὴν τῆς διαβολῆς ἐχομένως ῥηθέντων μοι τὰ ἑξῆς τὴν οἰκίαν ἕξει κατὰ τάξιν τὴν ἀπολογίαν. Ἔχει δὲ ἡ θεολογία ἐπὶ λέξεων οὕτω· « Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ Πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον, παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων Γραφῶν δεδιδάγμεθα, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν

C 2. Ante omnia, cum caput tuæ ad nos relationis primum fuerit, eorumdem criminatio de iis, quæ magnus in rebus divinis apprehendendis exponendisque Basilius tertio adversus Eunomium Antirrhetico tradit, ille de rebus theologicis discursus universus, uti sese habet, ejusdem verbis ante alia digerendus est, ut, quæ apta sunt ad retundendam criminationem, postea propositis, reliqua suo ordine propriam responsionem consequantur. Discursus autem, illius verbis, non aliis, digeretur : « Quæ enim necessitas est, si dignitate et ordine tertius est Spiritus, tertium et illum esse natura ? Namque dignitate posteriorem esse Filio, tanquam qui ab eo, quod sit, habet, et ab eo accipit, et nobis communicat, et prorsus illi causæ adhæret, nobis pietatis sermo tradit : natura vero tertia uti, neque a divinis Scripturis edocti sumus,

Digitized by Google Распознавание текста ABK/FR

neque, ex jam dictis consequenter colligi potest. Quemadmodum enim Filius ordine quidem a Patre secundus est, quoniam ab illo est, et dignitate, quoniam origo, atque causa quod ille sit, Pater est, et quod per ipsum accessus, et adductio ad Deum Patrem ; natura vero nullo modo secundus, quod in utroque una Deitas est : ita videlicet et Spiritus sanctus, et si dignitate et ordine secundus a Filio est, non tamen verisimiliter, alienæ esse naturæ, inde consequi dixerimus. » Et hoc magni Basilii de Spiritu sancto theologicum dictum, ut primo relationis tuæ capite continetur, inter te et sese tibi opponentes certamen exsuscitat, dum tu contendis libros, qui dictum jam propositum integrum, nec aliqua sui parte imminutum, ut supra digestum est, continent, firmitatem sibi vindicare, nec ulli calumniæ subjici : illi vero ex adverso alia atque alia, etiam longe aliunde petita, contentiose producant, libros, qui similia continent, falsidicis fallacils prorsus onustos esse, in iis nempe quæ asserunt, « Tanquam qui ab eo, quod sit, habet, et ab eo accipit, et nobis annuntiat, et prorsus illi causæ adhæret ; » qui vero similia non habent, et ex quibus talia abjudicantur, verissimos ac sincerissimos esse : et, duas sic in partes libris divisis, unam prorsus adulteratam esse, vel cæcus viderit.

συλλογίσασθαι. Ὡς γὰρ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ, καὶ αἰτία τῷ εἶναι αὐτοῦ Πατέρα, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα · φύσει δὲ οὐκ ἔτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία · οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποβέβηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκ ἔτ' ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως ἀκολουθεῖν εἴπομεν. » Αὕτη τῶν τοῦ μεγάλου Βασιλείου θεολογικῶν περὶ Πνεύματος οὖσα περικοπὴ, ὡς τὸ πρῶτον ἐδήλου σοι τῆς ἀναφορᾶς, μέγαν μεταξύ σου καὶ τῶν ἀντιδιατιθεμένων ἵστησι τὸν ἀγῶνα · σοῦ μὲν διενισταμένου ἢ μὴν τὰς ἐντελῶς ὡς ἐνταῦθα καὶ ἀναγέγραπται, ταύτην ἐχούσας βίβλους τὸ βέβαιον αὐχεῖν, καὶ ἀπαρεγχείρητον, τῶν δέ γε δι' ἐναντίας πολλὰ διισχυριζομένων ἑτέρωθεν τὰς μὲν οὕτως ἐχούσας ἀκριβῶς νενοθεῦσθαι, ἐφ' οἷς αὖται τὸ, « παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ἀναγγέλλον ἡμῖν, καὶ ἐκείνης τῆς αἰτίας ἐξημμένον » διαλαμβάνουσι · τὰς δὲ μὴ οὕτως ἐχούσας, ὧν ταῦτα δηλαδὴ διαγέγραπται, καὶ μάλα τὸ ἀληθὲς ἔχειν καὶ ἀκραιφνές · καὶ ὅτι μὲν, εἰς δύο οὕτω μέρη γινομένων τῶν βίβλων, ἓν ὁποιονοῦν τι νενόθευται, δηλονοτιὴ καὶ τυφλῷ.

3. Cum vero et accuratæ considerationis, et sermonis qui fidem faciat ad inveniendam veritatem, opus sit, nos sermonem hunc, qui sit, duobus hisce modis, et, ut ego reor, quibus nemo contradixerit, altero secundum judicium, quod a rationibus petitur, altero secundum demonstrationem, qui ex Scripturis colligitur, expediemus. Et nunc in tui gratiam de iisdem agimus, eosdemque ad confutationem adversariorum promimus ; præcatque qui a ratiocinationibus est. Qui contraria asserunt, illud, « quod ab ipso, quod sit, habet, » et reliquas alias voces, quæ Filium causam esse Spiritus, aperte insinuant, Basilii Magni nullo modo esse, affirmant. Hujus ratio si postuletur ab iis, non illa omnibus in libris circumferri, in quibus hæc continens oratio exarata est, et hoc solummodo abunde satis esse existimant ad demonstrandum dictum simile, referentes libros, ut supra positum est, corruptos fuisse : contra ipse contendo, si nullo in volumine dictum hoc esset exaratum, esse quæ de eo afferri possent, omni objectione superiora. Verumtamen cum in nonnullis non habeatur, in nonnullis aliis inseratur ; considerandum est ab iis, qui neutram in partem propendent, et recta mente res dijudicant, quænam pars voluminum corrupta sit ; an ea in quibus integrum, ut supra posuimus, ascribitur, an vero altera in quibus nusquam apparet. Qui enim hac ratione rem perpendunt, plane mihi suadeo, summæ vesaniæ notam incurrere, si volumina dictum præferentia, conficta existimet. Namque si post dissidium cum Romana Ecclesia, volumina ista exscripta sunt, quomodo quispiam, dummodo sanus

γ'. Ἐπεὶ δὲ σκέμματος ἀκριβοῦς τῆς ἀληθείας πρὸς εὕρεσιν, καὶ λόγου πιστικοῦ χρεία, τὸν πιστικὸν τοῦτον λόγον ἡμεῖς δυσὶ τούτοις τρόποις, καὶ, ὡς ἐγῷμαι, ἀναντιρρήτοις, εὑρίσκομεν, ἑνὶ μὲν κατὰ κρίσιν εὑρισκομένῳ τὴν ἀπὸ λογισμῶν, ἑτέρῳ δὲ κατ' ἀπόδειξιν συναγομένῳ τὴν ἀπὸ τῶν Γραφῶν, περὶ ὧν δή σοι καὶ λέγομεν, καὶ οὓς δή σοι πρὸς ἀποτροπὴν τῶν ἐναντίων παραδιδόαμεν. Προηγείσθω δὲ ὁ ἀπὸ λογισμῶν. Τοῦ μεγάλου Βασιλείου, οἱ ἀντιδικοῦντές φασιν, ἐστὶ τὸ « Παρ' αὐτοῦ τὸ εἶναι ἔχον, » καὶ ὅσαι ἄλλαι τὸν Υἱὸν λέξεις αἴτιον προφανῶς δηλοῦσι τοῦ Πνεύματος. Καὶ τίς ἡ ἀπόδειξις ἐρωτώμενοι, Τὸ μὴ πᾶσαις, φασὶ, ταῖς βίβλοις ταύταις ἐμφέρεσθαι, αἷς ὁ τὴν ῥηθεῖσαν θεολογίαν περιέχων λόγος κεκαλλιγράφηται. Καὶ τοῦτο μόνον ἀρκοῦσαν εἶναι ἀπόδειξιν οἴονται τοῦ διεφθορότος τῶν τὴν ῥῆσιν ἐχουσῶν, ὡς καὶ ἀνατέτακται. Ἐγὼ δέ φημι ὡς, εἰ μὲν οὐδ' ὅλως ἐν οὐδεμιᾷ τῶν βίβλων ἡ ῥῆσις ἐνεφέρετο αὕτη, ἦσαν ἂν καὶ πάσης ἀντιρρήσεως ἀνώτερα τὰ περὶ αὐτῆς · ἐπεὶ δὲ τῶν μὲν διαγέγραπται, ταῖς δὲ τῶν βίβλων ἐμφέρεται, σκοπεῖν δεῖ τοὺς ἀῤῥεπεῖς τε καὶ εὐθυγνώμονας ὁποῖον μέρος τῶν βίβλων νενόθευται, ἆρά γε τὸ παρ' αἷς ἢ ῥῆσις ἐντελῶς οὕτω κεῖται, ὡς καὶ εἴρηται, ἢ τὸ παρ' αἷς ἐστιν ἡ ἀφαίρεσις. Τοῖς γὰρ οὕτω γε διασκοπουμένοις διαγνωσθῆναι πέπεισμαι ἀκριβῶς πολλῆς τῆς ἠλιθιότητος γέμειν τὸ οἴεσθαι τὰς τὸ ἐντελὲς ἐχούσας βίβλους πεπλάσθαι. Εἰ μὲν γὰρ μετὰ τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διάστασιν αἱ βίβλοι ἐγράφησαν αὗται, πῶς ἄν τις τοῦ καὶ φρενῶν κύριος δέξαιτο τοὺς ἐν καιρῷ τῆς μεταξὺ τῶν Ἐκκλησιῶν μάχης τοὺς παρ' ἡμῖν γράφοντας βίβλους ἢ παρεντίθεσθαί τι ταῖς βίβλοις ἡμῶν, τοῖς ἀντιδίκοις

Digitized by Google Распознавание текста ABK/FR

τὴν καθ' ἡμῶν ἰσχὺν παρεχόμενον; Εἰ δὲ πρὸ τῆς διαστάσεως, τίνα ἂν ἔχοι λόγον τὰς βίβλους νοθεύεσθαι ἐπ' ἐκείνοις τοῖς λόγοις καὶ δόγμασι, περὶ ὧν οὐδὲν ζήτημα ἦν; δι' ὁποῖόν τι ἔστιν ὅτε καὶ παρεῖρονταί τινες πρὸς κακουργίαν τοιάνδε. Οὔτε γοῦν ὁ τῆς μάχης χρόνος οὔτε ὁ τῆς εἰρήνης συγχωρεῖ παραδέξασθαι τὰς τὴν ῥῆσιν ἐντελῶς ἐχούσας βίβλους εἰς προσθήκην νοθευθῆναι παρέγγραπτον, τὰς δὲ μὴ οὕτω καὶ μάλα βεβαίως ὁ συνετὸς διαγνώσεται τὸ κατ' ἀφαίρεσιν καὶ διαγραφὴν νενοθευμένον ἔχειν, καὶ κίβδηλον. Ἐπεὶ γὰρ ὁ τῆς διαστάσεως χρόνος εἰς ἑκατοντάδας ὅλας ἐτῶν παρετάθη, καὶ οὐκ ὀλίγοι ἀνεφάνησαν διὰ μέσου ἐνστατικῶς πάνυ πρὸς λογικὰς διαλέξεις κατὰ τῶν Ῥωμαίων ἀποδυσάμενοι τῶν μάλα εἰκότων λογιεῖταί τις βίβλων, τινῶν διαγραφῆναι ῥῆσιν ἐκείνην, ἐξ ἧς οὐκ ἀγεννὴς ὁ ἔλεγχος ἀναφαίνεται τῶν τὴν διάστασιν τῶν Ἐκκλησιῶν ἐπισπευδόντων ὥσπερ καὶ ἐπισυγκροτούντων. Διὰ γοῦν ταῦτα ἐμοὶ τέως δοκεῖ τὸν ταῖς βίβλοις ἐπιγραφόμενον τὴν παραφθορὰν, αἷς ἐντελῶς ἡ ῥῆσις κεῖται, ὡς προανατέτακται, κοιναῖς ἀντικρυς ἐννοίαις μαχόμενον φαίνεσθαι, ὡς τὸν πειρώμενον τὸν ἥλιον διαβεβαιοῦσθαι σκότους εἶναι ποιητικὸν, τὰ ὑπὲρ γῆν διιππεύοντα, καὶ πληροῦν πάλιν φωτὸς τὰ ἡμέτερα, ἐν τῷ τὸν δυτικὸν ὑποτρέχειν ὁρίζοντα. Καὶ λόγος μοι πρῶτος; οὗτος, οὗπερ ἑνὸς ἔφημεν πρὸς ἀποτροπὴν τῶν ἐναντίων παραδοῦναί σοι τρόπου. Ὁ γὰρ λογισμῷ κρίνειν δυνάμενος διαταγμοῦ παντὸς δίχα πεποιθότως πάνυ τὰ εἰρημένα ἐπικρινεῖ.

sit, et animus illius non sit a sapientia remotus, a limitet, tempore, quo inter Ecclesias inimicitiæ exercentur, nostrorum librorum exscriptores omisisse aut apposuisse aliquid nostris voluminibus, quod robur adversariis nostris adversum nos conciliasset. Si ante dissidium, quæ causa fuerit libros adulterandi in sermonibus iis atque dogmatibus, de quibus nulla quæstio mota erat, propter quam aliquando ad similia maleficia nonnemo adigitur? Neque itaque pugnæ tempus neque pacis permittit, ut admittamus volumina, dictum integrum continentia, additione inserta adulterata fuisse; at illa, quæ non continent, prudens quilibet et quam certissime spurium in se habere et ementitum, agnoscet. Etenim, cum dissidii tempus ad annorum centenas periodos, easque integras, extensum fuisset, et interim non pauci contentiose admodum dialecticis disputationibus Romanos adorirentur, verosimillimum quispiam existimaverit, dictum illud aliquibus voluminibus ademptum fuisse, quo valida satis refutatio eorum enascitur, qui Ecclesiarum dissidium studiose procurant, et constabilire conantur. Quapropter reor, qui voluminibus dictum referentibus, corruptionem ascribit, in quibus integra sententia legitur, ut supra annotavimus, palam aperteque communibus notionibus adversari, quemadmodum qui solem tenebrarum esse auctorem, confirmare nititur, cum super terrena, equitat, et nostra hæc omnia lumine complere, cum occiduum finientem subit. Et hæc prima ratio fuerit ad adversarios refellendos, unius ex illis modis; quos tibi tradendos esse diximus. Etenim, qui ratione dijudicare poterit absque ulla hæsitatione asseveranter nimis dicta hæc nostra decernet.

δ'. Λοιπὸν δὲ ἡμῖν ἀπάρτι ἐστὶ καὶ τοῦ κατὰ τὴν ἀπὸ τῶν γραφῶν συναγομένου ἀπόδειξιν δευτέρου τρόπου ἐπιμνησθῆναι. Ὁ γὰρ μέγας Βασίλειος ἀξιώματι δευτερεύειν τοῦ Υἱοῦ τὸ Πνεῦμα δεξάμενος, καὶ παράδοσιν εὐσεβείας τὸ τοιοῦτον δευτερεῖον εἰπεῖν οὐχ ὑποστειλάμενος, κατασκευῆς ἐδεήθη, δι' ἧς ἂν ἀληθὴς ὁ λόγος ἀναφανείη, ὁ παράδοσιν εὐσεβείας ἀποκαλῶν τὸ πρὸς τὸν Υἱὸν δευτερεῖον τοῦ Πνεύματος. Καὶ ἐπεὶ οὔτε κατὰ χρόνον ἦδει τὸ Πνεῦμα δευτερεῦον Υἱοῦ τῷ ἀξιώματι, οὔτε καθ' ὑποβιβασμόν τινα δόξης, ἰσοκλεὴς γὰρ ἡ θεότης ἀμφοῖν, οὔτε κατά τινα λόγον ἄλλον, οἷς τὰ πρός τι τὸ δευτερεῖον ἔχοντα τῶν πρωτευόντων ὑφίενται, ἀλλ' ἕνα μόνον εὐσεβείας ἐγίνωσκεν ὅρον, καθ' ὃν τὸ Πνεῦμα τοῦ Υἱοῦ δευτερεῦόν ἐστιν. Ὁ δὲ ὅρος, τὸ δι' αὐτοῦ ἔχειν τὸ εἶναι, καὶ κατὰ τοῦτο, καὶ ἐξ αὐτοῦ, ἔφησεν οὕτω· « Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον, παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων δεδιδάγμεθα Γραφῶν οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν συλλογίσασθαι. » Τὴν μὲν οὖν τοῦ λόγου ὁ ἅγιος ποιεῖται ἀπόδοσιν, λέγων· « Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ

4. Nunc reliquum est, et demonstrationem, quæ ex Scripturis elicitur, et est secundus jam commemoratus a nobis, in medium afferre. Nam magnus Basilius, dignitate secundum a Filio Spiritum, cum excepisset, pietatis traditionem appellare non veritus, probatione indiguit, per quam vera sententia appareret, pietatis traditionem secundas has partes nuncupaverat. Et, cum sciret, Spiritum neque ratione temporis secundum dignitate esse a Filio, neque imminutione aliqua gloriæ, peræqua enim est in utroque divinitas, neque ulla alia ratione, qua respectu alterius secundas partes obtinentia primas obtinentibus submittuntur, et unum tantummodo pietatis terminum, cognosceret, quo Spiritus a Filio secundus est, qui erat, quod ex eo haberet, quod esset, propterea esse ex ipso, hunc in modum effatus est: « Dignitate enim secundum esse a Filio, tanquam qui ab eo, quod sit, habet ab eo accipit, et annuntiat nobis, et omnino illi causæ adhæret, pietatis tradit sermo: sed tertia uti natura, neque a sacris Scripturis edocti sumus, neque ex illis quæ diximus, consequi, possumus demonstrare. » Et his dictis sententiæ assignationem conclusit. « Dignitate enim a Filio secundum esse, tradit pietatis sermo: natura vero uti tertia, » dicendum omnino non est: probatio-

Digitized by Google Распознавание текста ABK/FR

nem vero illius, Spiritum dignitate esse secundum a Filio, per illud, « quod ab eo habet, quod sit, et ab eo accipit, et nobis annuntiat; » tantum non dicens, propterea quod ex Filio est, ideo secundus a Filio est. Et si tibi in animo est, quicunque tandem fueris, qui refragaris, cognoscere, si a Filio non esset, neque secundus a Filio prorsus vocatus fuisset, deme dictum hoc, assigna nobis aliam rationem qua a Filio Spiritus secundus asseratur. Etenim præ hac una sola ratione, aut temporali intervallo, aut in sedendo inferiori subsellio, aut gloriæ indigentia, secundæ hæ partes Spiritus concipientur. Si itaque dictum asserens, « dignitate secundum esse a Filio Spiritum, » ex oratione illa universa erasissent, qui aliud palam aperteque enuntians, « ab eo, quod sit, habet, » obliteraverunt, forte tum eorum improbitas, ut illis collubitum erat, finem assecuta fuisset. Sed nunc veritatis spiritu eorum cogitationes subvertente, illud, « a Filio esse Spiritum, » abrogarunt; « sed secundum esse eum a Filio, » in omnibus libris descriptum reliquerunt. Indeque, qui sapientes apprehendit in callididate eorum, diligenter similia examinantibus, fraudem comprehendere concedit. Et nulla alia ratione dicturum unquam Basilium Magnum, Spiritum secundum esse a Filio, argumentari licet ex his, quæ ipse dictis adnectit: infra enim hæc habet: « Etenim, quemadmodum Filius ordine et dignitate a Patre secundus est; ordine quidem, quod ex eo est; dignitate vero, quod principium et causa illius Pater est, et quod per ipsum accessus et adductio ad Deum Patrem; natura autem nullo modo secundus, quod Deitas in utroque una: pari ratione videlicet, et Spiritus sanctus, licet ordine, et dignitate inferior est, non tamen inde verisimiliter, alienæ esse naturæ, sequi dixerimus. » Consideret cui id collibitum fuerit, non alienum esse a pietatis ratione secundum esse dignitate a Filio Spiritum, quod ex proportione, quæ est Filii ad Patrem, dum Filius secundas a Patre partes possidet, comprobatur. Ait enim: Licet ordine, et dignitate Filio inferior sit, non ideo Filio ordine et dignitate inferior est, quasi alienæ naturæ compos: quando et Filius, licet a Patre secundus sit ordine et dignitate, non est propterea natura secundus: et exponens sanctus dictum, quo Filius a Patre secundus est: « Ordine quidem, inquit, secundus est a Patre, quod ex illo est, et dignitate, quod principium et causa, quod ille sit, Pater est; et quod per eum accessus et adductio ad Deum Patrem. »

5. Sed quis scit, inquiunt adversarii, an secundas partes Spiritus respectu Filii, proportione quidem, respondere sanctus opinetur secundis Filii partibus, respectu Patris? Quis scit? Qui theologica dicta diligenter percurrit, quibus similis proportio plane innotescit. Quæ licet pleraque sint, pauca nihilominus hic apponemus, contenti tantummodo dictis magni Athanasii, quæ magnus ille

A χρῆσθαι οὐκ ἔστι λέγειν αὐτό. » Τὴν δὲ κατασκευὴν τοῦ τὸ Πνεῦμα δευτερεύειν Υἱοῦ τῷ ἀξιώματι, ἀπὸ τοῦ « παρ' αὐτοῦ τὸ εἶναι ἔχειν, καὶ παρ' αὐτοῦ λαμβάνειν, καὶ ἀναγγέλλειν ἡμῖν, » μονονουχὶ φάσκων ὡς διὰ τὸ ἐκ τοῦ Υἱοῦ εἶναι, καὶ δευτερεύειν αὐτοῦ. Καὶ εἰ βούλει, ὅστις ποτ' ἂν καὶ εἷς ὁ διεστάμενος, γνῶναι, ὡς, εἰ μὴ παρὰ τοῦ Υἱοῦ ἦν, οὐδὲ δευτερεῖον ἂν ὅλως ἐῤῥέθη αὐτοῦ· ἄφελε τὴν ῥῆσιν ταύτην καὶ δὸς ἡμῖν σὺ ἕτερον λόγον τινὰ, καθ' ὃν τοῦ Υἱοῦ δευτερεύει τὸ Πνεῦμα. Παρὰ γὰρ τὸν τοιοῦτον λόγον ἢ διαστήματι χρόνου, ἢ καθέδρας ὑφεδρίᾳ, ἢ δόξης ἐνδείᾳ, τὸ δευτερεῖον νοηθήσεται. Εἰ μὲν οὖν καὶ τὴν λέγουσαν ῥῆσιν « δευτερεύειν ἀξιώματι τοῦ Υἱοῦ τὸ Πνεῦμα, » διέγραφον τοῦ παντὸς λόγου οἱ τὴν παρ' αὐτοῦ τὸ εἶναι ἔχον διαγραψάμενοι, ἔσχον ἂν ἴσως τὸ τῆς ποτηρίας αὐτῶν, ὅπερ ἐβούλοντο ἀποτέλεσμα· νῦν δ' ὅτε τὸ τῆς ἀληθείας Πνεῦμα τὴν αὐτῶν διάνοιαν ἔσφαλλε, τὸ μὲν « παρὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, » τοῦ λόγου διέγραψαν. « δευτερεύειν δὲ αὐτὸ τοῦ Υἱοῦ, » ἐν πάσαις ἀφῆκαν ταῖς βίβλοις ἀνάγραπτον. Κἀντεῦθεν ὁ τοὺς σοφοὺς δρασσόμενος ἐν τῇ πανουργίᾳ αὐτῶν δίδωσι τοῖς τὰ τοιαῦτα ἐπιμελῶς διασκοπουμένοις κατανοεῖν τὸ σκαιωρηθέν. Καὶ ἔτι δὲ, ὅτι κατ' οὐδένα ἕτερον λόγον εἰρήκει ἄν ποτε τὸ Πνεῦμα δεύτερον τοῦ Υἱοῦ ὁ μέγας Βασίλειος, λογίσασθαι ἔστι καὶ ἐξ ὧν οὗτος τοῖς εἰρημένοις ἐπάγει· φησὶ γὰρ ὑποκαταβάς· « Ὡς γὰρ ὁ Υἱὸς τάξει καὶ ἀξιώματι δεύτερος τοῦ Πατρὸς, τάξει μὲν ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τοῦ εἶναι Πατέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος, καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν, καὶ Πατέρα, φύσει δὲ οὐκ ἔτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκ ἔτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως ἀκολουθεῖν εἰποιμεν. » Σκοπείτω ὁ βουλόμενος τοῦ τῆς εὐσεβείας λόγου μὴ ἀποδεῖν τὸ δευτερεύειν ἀξιώματι τοῦ Υἱοῦ τὸ Πνεῦμα· ἐκ τῆς ἀναλογίας τοῦ πρὸς τὸν Πατέρα, δευτερείου τοῦ Υἱοῦ συνίστησι τοῦτο. Φησὶ γὰρ ὡς, Εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκ ἔτι ἂν ὡς ἀλλοτρίας ὑπάρχον φύσεως, ὑποδέδηκεν αὐτὸν τῇ τάξει καὶ τῷ ἀξιώματι. Ἐπεὶ καὶ ὁ Υἱὸς δεύτερος ὢν τοῦ Πατρὸς τάξει τε καὶ ἀξιώματι, οὐκέτι καὶ φύσει ἐστὶ δεύτερος· καὶ ἐφερμηνεύων ὁ ἅγιος τὸν λόγον, καθ' ὃν ἐστι δεύτερος τοῦ Πατρὸς ὁ Υἱὸς, « Τάξει μὲν, » φησὶ, « τοῦ Πατρός ἐστι δεύτερος, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ, καὶ αἰτία τῷ εἶναι Πατέρα αὐτοῦ καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα. »

ε'. Ἀλλὰ τίς οἶδε, φασὶν οἱ ἀντιλέγοντες εἰ τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν δευτερεῖον ἀνάλογον ὁ ἅγιος οἴεται τῷ τρὸς τὸν Πατέρα δευτερείῳ τοῦ Υἱοῦ; Τίς οἶδεν; Ὁ τὰ θεολογικὰ ῥητὰ ἐπιμελῶς ἐξερχόμενος, ἐξ ὧν ἡ τοιαύτη ἀναλογία ἔχει τὴν διατράνωσιν, ὧν πολλῶν ὄντων ὀλιγάττα ἐν τῷ παρόντι ἐκθήσομεν, μόνοις τοῖς τοῦ μεγάλου Ἀθανασίου, οἷς ὁ μέγας οὗτος ἐν τῇ πρὸς Σεραπίωνα περὶ

Digitized by Google Распознавание текста АВК/FR

τοῦ ἁγίου Πνεύματος Ἐπιστολῇ ἐχρήσατο, ἀρκεσθέντες. Οὕτω γὰρ ὁ ἅγιος ἐκεῖσέ φησι· « Καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Λόγου ἑνότητα οὐ θέλουσιν εἶναι τῶν γενητῶν αὐτὸν τὸν Υἱόν, διατί τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τὴν αὐτὴν ἔχον ἑνότητα πρὸς τὸν Υἱόν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, κτίσμα λέγουσι; » καὶ μετὰ πολλὰ τῆς Ἐπιστολῆς ταύτης· « Ἀμέλει ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται. « Οὕτω γὰρ, φησὶν, ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν· » ὁ δὲ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει· « Ἐὰν γάρ, φησὶν, ἐγὼ ἀπέλθω ἀποστελῶ τὸν Παράκλητον· » καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει, λέγων, « Πάτερ, ἐγώ σε ἐδόξασα· » τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν· « Ἐκεῖνος γὰρ, φησὶν, ἐμὲ δοξάσει, » καὶ ὁ μὲν Υἱός φησιν· « Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον. » Τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει· « Ἐκ τοῦ ἐμοῦ γὰρ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν, » φησί· καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, φησὶν, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. » Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων, οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει; » Ὁ τὰ θεολογικὰ ταῦτα ῥητὰ ἐπιμελῶς ἐπερχόμενος, εὐγνωμόνως πάντη συνθήσεται τοῖς διαγινώσκουσι κατ' οὐδένα ἕτερον λόγον τὸ Πνεῦμα θεολογεῖσθαι δεύτερον τοῦ Υἱοῦ ἀλλ' ἢ κατὰ μόνον αὐτὸν καθ' ὃ καὶ ὁ Υἱὸς τοῦ Πατρός ἐστι δεύτερος. Καὶ ὁ μὲν τοῖς ταῦτα διαγινώσκουσιν οὕτως εὐγνωμονῶν, ὡς μοι ἐῤῥέθη, συνθήσεται· ἡμῖν δὲ καὶ ὁ τὴν ἀπόδειξιν ἀπὸ Γραφῶν ἔχων δεύτερος τρόπος ἐπὶ τοῖς ῥηθεῖσιν ἥξει τὸ κῦρος. Εἰ γάρ ὅρος τίς ἐστιν ἀπὸ Γραφῶν ἀπαράβατος, κατ' οὐδένα ἕτερον λόγον ἢ μόνον γε τὸν τοῦ αἰτιατοῦ, καὶ τὸ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, καὶ τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, καὶ τοῖς θεολογοῦσι δευτερεῖον εἰλῆφθαι, ἐντελέστατα πάντως ἡμῖν ἡ ἀπὸ τῶν Γραφῶν τοῦ δευτέρου τρόπου ἀπόδειξις, τοῦ τῶν ἐντελῆ τὴν ῥῆσιν ἐχουσῶν βίβλων, ὑγιοῦς καὶ ἀπαρεγχειρήτου ἐκβέβηκε.

ς'. Πρὸς δὲ τὸ τῆς ἀναφορᾶς δεύτερον, ὃ περὶ τῆς τοῦ ἁγίου Πνεύματός ἐστιν ἐμφυσήσεως, χάριν ταύτην εἶναι πνευματικὴν τῶν δι' ἐναντίας ἐνισταμένων, ταῦτά σοι ἀποχρήσει, ἃ ὁ αὐτὸς μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, « Ὅτι θεία φύσις τὸ Πνεῦμα, » φησί· « Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις καὶ θεία φύσις, ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος πεφηνυῖα, ἀῤῥήτως καὶ κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Κυρίου δειχθέντα τύπον, αὖθις ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισταμένη· συντρέχειν γὰρ δεῖ τῇ καταρχὴν καινότητι τὴν νῦν ἀνακαίνισιν, καὶ τὴν συνδρομὴν ἐξετύπωσεν, ἐμφυσήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' αὐτὸς, δι' οὗ Θεὸς δέδωκε τὴν ἐμφύσησιν τότε μὲν μετὰ

A epistola ad Serapionem de Spiritu sancto usurpavit. Verba illius sunt: « Etenim, si propter Verbi unionem ad Patrem, abnuunt esse creaturam ipsum Filium, qua fide causa Spiritum sanctum ejusdem unionis ad Filium, quam Filius, habet ad Patrem, compotem, creaturam asserunt? » Et pluribus ibidem interjectis: « Profecto Filius quidem a Patre mittitur. « Sic enim, inquit, Deus mundum dilexit, ut Filium suum unigenitum daret[11]; » Filius vero Spiritum mittit. « Si enim ait, ego abiero, mittam Paracletum[12], » et Filius quidem Patrem glorificat, dicens, Pater, ego te glorificavi; Spiritus vero glorificat Filium; « Ille enim, dicit me, glorificabit[13]. » Et Filius quidem dicit: « Quæ audivi a Patre, hæc loquor in mundum[14]. » Spiritus vero ex B Filio accipit; « Ex meo enim accipit, ait, et annuntiabit vobis[15]: » et Filius quidem in nomine Patris venit; « Spiritus vero sanctus, quem mittet, inquit, Pater in nomine meo[16]. » Hunc itaque ordinem et naturam erga Filium possidente Spiritu, quam et Filius possidet erga Patrem, qua ratione, qui hunc creaturam asserit, non idem et de Filio necessario excogitabit? » Qui hæc theologica dicta accurate perpendet, æquo animo prorsus assensum præbebit, concordabitque cum affirmantibus, illa solummodo ratione Spiritum dici secundum a Filio, qua et Filius a Patre esse secundus astruitur; et his quidem assensum præbebit, ut jam dixi, qui æquo animo res dijudicat. Et modus, qui ex Scri- C pturis demonstrationem sibi vindicat, secundus, hisce, quæ diximus, auctoritatem obtinet. Etenim, si Scripturarum decreto, nulla alia ratione, sed ea tantummodo, quæ est ex causa, et Filii ad Patrem, et Spiritus ad Filium, theologi secundas partes accipiunt, absolutissime prorsus ex Scripturis per modum secundum demonstratio petita, librorum integrum dictum præseferentium incolumitatem, nullis unquam rationibus convellendam constabilit.

6. Capiti vero tuæ relationis secundo, quod de insufflatione Spiritus sancti est, quam gratiam esse spiritualem adversarii contendunt, satis abunde- D que respondebit magnus Basilius capite, quo probat, divinam esse naturam Spiritus, cum dicit: « Spiritus enim cum viventi Verbo in eodem ordine collocatus ad creandum, vivens virtus, et divina natura, ineffabilis ex ineffabili ore exsistens, ineffabili modo, et per inflatum in homines missa, et secundum corporeum a Domino typum ostensum, rursus ab eo, per inflatum restituta: concurrere enim debet cum prima novitate, ea, quæ nunc sit, innovatio, et concursum expressit sufflans, idem ille exsistens, qui a principio insufflavit, idemque per quem Deus inflatum elargitus est, tum quidem cum anima, nunc vero in animam. » Cum itaque

[11] Joan. III, 16. [12] Joan. XVI, 7. [13] ibid. 14. [14] Joan. XV, 15. [15] ibid. 14. [16] ibid. 14, 26.

Digitized by Google Распознавание текста ABBYY FR

magnus hic et in rebus theologicis decernendis eximius Basilius, inflatum hunc illius esse Spiritus asserat, qui cum vivente Verbo in eodem ordine collocatur ad creandum, nemo equidem affirmabit, spiritualem gratiam esse, quæ æque cum Verbo collocatur ad creandum, sed ipsam viventem virtutem et divinam naturam Spiritus. Et, si id est, temere eos obloqui scito, qui in gratiam spiritualem, inflatum a Filio Spiritum accipiunt, et aliis tradunt. Attende etiam, quod mihi consideratione non indignum judicatur. Magnus Basilius nunc quidem Spiritum hunc divinam naturam appellat, ineffabilem ex ineffabili ore promanantem, unum dicens os, ex quo Spiritus, et non duo : nunc vero infra nonnullis annexis, eumdem esse tradit, qui discipulis insufflavit, et eumdem per quem Deus antiquitus primum creato homini inflatum exhibuit, et cum ait, « per quem Deus insufflavit, » perspicue duas commonstrat personas Dei et Patris ex quo inflatus, et Dei Filii, per quem inflatus; cum vero singulari numero os profert, ostendit, quidquid de Spiritu ex Patre per Filium dicitur, non tanquam ex duabus causis esse; quod et capitibus ad Amphilochium plenius insinuavit, dictionem *per Filium* primæ et præcipuæ causæ confessionem esse decernens.

7. Tertium tuæ relationis caput erat, proprietatum confusionem ascribi Romanis, cum fatentur Spiritum ex Patre et Filio procedere. At hoc manifesto falsum esse evincitur, quod propriæ in Triade proprietates ipsa hæc nomina sunt, Pater, Filius et Spiritus. Paternæ siquidem hypostasis exquisita proprietas agnoscitur esse, Patrem neque Filium neque Spiritum esse : et hypostasis rursus Filii, Filium neque Patrem neque Spiritum esse : pari modo et Spiritus hypostasis propria proprietas, Spiritum neque Patrem neque Filium, sed tantummodo Spiritum esse. Itaque, si, ut ipsi asserunt, confusio quædam proprietatum sit, cum ex Filio Spiritus procedere asseritur, multo antea facta fuisset, cum Spiritus Filii dictus est. Et nihilominus et Spiritus Patris dicitur, et Spiritus Filii, et nullam proprietates confusionem patiuntur. Quare et ex Patre procedens, et ex Filio in sua proprietate, Spiritus scilicet procedens, immutabilis conservatur. Tunc enim proprietatis mutatio fit, cum aut Pater ut Pater sit, amittit, aut Filius ut sit Filius, aut Spiritus ut Spiritus sit, et Spiritus Patris et Filii; quemadmodum et proprietatis perennitas est, cum ex tribus quilibet in eo, quod est, perseveret. Et, plane nullam inde sequi confusionem, jam dicta probant aperte. Verumtamen propriæ Triadis proprietates ipsa hæc nomina esse, Pater, et Filius, et Spiritus sanctus, hisce scripto traditis testimoniis manifesto probatur. Nyssenus secunda adversus Eunomium oratione : « Hypostaseon, » ait, « proprietas apertam et inconfusam efficit personarum distinctionem, Patris, inquam, et Filii, et Spiritus sancti. His enim compel-

ψυχῆς, νῦν δὲ εἰς ψυχήν. » Ἐπεὶ γοῦν ὁ μέγας οὗτος καὶ πολὺς τὴν θεολογίαν Βασίλειος τὴν ἐμφύσησιν ταύτην ἐκείνου εἶναι λέγει τοῦ Πνεύματος, ὅπερ ἐστὶ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν· πάντως οὐκ ἂν τις ἐρεῖ πνευματικὴν χάριν εἶναι τὴν τῷ Λόγῳ συντεταγμένην εἰς τὸ δημιουργεῖν, ἀλλ' αὐτὴν τὴν ζῶσαν δύναμιν, καὶ θείαν φύσιν τοῦ Πνεύματος. Καὶ εἰ τοῦτο, μάτην λέγοντας ἴσθι, τοὺς εἰς χάριν πνευματικὴν τὸ ἐμφυσώμενον παρὰ Υἱοῦ Πνεῦμα ἐξηγουμένους. Σκόπει δὲ καὶ ὅ μοι ἐπιστασίας ἠξίωται. Ὁ μέγας Βασίλειος νῦν μὲν τὸ Πνεῦμα τοῦτο θείαν ὀνομάζει φύσιν, ἄρρητον ἐξ ἀῤῥήτου στόματος πεφηνυῖαν, ἓν εἶναι λέγων τὸ στόμα, ἐξ οὗ τὸ Πνεῦμα, καὶ οὐχὶ δύο, νῦν δὲ παρακατιὼν, οὐκ ἄλλον εἶναι λέγει τὸν τοῖς μαθηταῖς ἐμφυσήσαντα, ἀλλ' αὐτὸν, δι' οὗ Θεὸς, καὶ πάλαι τῷ πρωτοπλάστῳ δέδωκε τὴν ἐμφύσησιν, καὶ ἐν μὲν τῷ, « δι' οὗ Θεὸς ἐνεφύσησεν » ὁμολογουμένως τὰ δύο ἐμφαίνει πρόσωπα, τοῦ τε Θεοῦ καὶ Πατρὸς, ἐξ οὗ ἡ ἐμφύσησις, καὶ τοῦ Θεοῦ καὶ Υἱοῦ, δι' οὗ ἡ ἐμφύσησις· ἐν δὲ τῷ ἑνικῷ τοῦ στόματος παριστᾷ ὡς, εἴ τι περὶ τοῦ Πνεύματος ἐκ Πατρὸς δι' Υἱοῦ λέγεται, οὐχ ὡς ἐκ δύο αἰτίων ἐστὶν, ὃ καὶ ἐν τοῖς πρὸς Ἀμφιλόχιον δεδήλωκεν ἐναργέστερον, τὴν « δι' Υἱοῦ » φωνὴν τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν τεθεολόγηκώς.

A ἐν ἰδίῳ ἡμᾶς ἠτήσω λόγῳ διαλαβεῖν, ὅποι τῶν ἑαυτοῦ συγγραμμάτων αὐτὸς ἑαυτῷ Κύπριος ἐναντιούμενος φαίνεται, ἐπινεύω ἤδη πρὸς τὴν αἴτησιν, καὶ γίνεται πάλιν πρὸς τὸ γράφειν ἡ χείρ. Οὐ γὰρ ἂν, καὶ ὁ νοῦς πρὸς τὸ νοεῖν ἕτερα τῶν πρὶν, εἰποιμι. Πάντων γὰρ ὅσα πρὸς ἀντίρρησιν τῶν ἐπισφαλῶς καὶ νοηθέντων, καὶ ῥηθέντων Κυπρίῳ, νοηθῆναι καὶ ῥηθῆναι παρ' ἡμῶν ἔδει, ἀνελλιπῶς ἡμῖν διαπεραντθέντων, μόνη πρὸς τὸ παρὸν ἡ χεὶρ τῇ πρὸς τὴν σὴν αἴτησιν ἐπινεύσει ἡμῶν ὑπουργήσει, μέρη τινὰ τῶν πολλῶν ἐκείνων ἀποδιαιροῦσα καὶ τμήματα, καὶ τῇ γραφῇ, ὅποι ἂν καὶ προσήκοι, χαριζομένη. Καὶ ἄκουε δή.

B β'. Ἐν τῷ πρώτῳ αὐτοῦ τόμῳ Κύπριος τὴν, « ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα, » φάσκουσαν ῥῆσιν παρεξηγούμενος, οὕτω φησίν. « Παντί που δῆλον ὡς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας λεγόμενον τοῦ Πατρὸς καλῶς ἂν ἔχοι καὶ εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι· μία γάρ· » καὶ μετ' ὀλίγα· « Διότι δὲ μία τὸ ἐκ τῆς οὐσίας ὁμολογούμενον τοῦ Πατρὸς Πνεῦμα, καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑπάρχειν ὁμολογεῖται. Πλὴν οὐ διὰ τοῦτο ἤδη καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑποστάσεως. » Αἱ δὴ τοιαῦται τῶν αὐτοῦ λόγων περικοπαὶ τῆς αὐτοῦ διανοίας ἐφεύρεμα οὖσαι, κἀπὶ τῇ τῶν ἡμετέρων ἀντιρρήσει καινουργηθεῖσαι γραφῶν, καθ' ὁποίαν τὴν διάνοιαν C τὴν ἐκ τῶν αὐτοῦ πάλιν ῥημάτων ἀπάντησιν ἔχουσιν, ἧς οὐδὲν γενναιότερον βουλομένῳ σοι αὐτῷ ἀντιλέγειν κριθήσεται. Οὕτω δὴ προσέχων τοῖς παροῦσιν αὐτὸς γνωριεῖς. Ἐν ἄλλοις τοῦ αὐτοῦ τόμου μέρεσι, πρὸς τοὺς ἓν τοῦ Πνεύματος αἴτιον τὸν Πατέρα καὶ τὸν Υἱὸν λέγοντας ἁπάντων οὗτος, καὶ πολὺν κατ' αὐτῶν προχέων τὸν ὕθλον, τέλος ὥσπερ δυσάντητον, καὶ τὸν ἀντίδικον ἐλεῖν ἄφυκτα ἔχων, τόδε προβάλλεται· « Ποία τις, » ἐρωτᾷ, « ἑνότης τὸ ἓν τῆς αἰτίας παρίστησι; Πότερον ἡ τῆς οὐσίας; καὶ πῶς ἓν κατ' οὐσίαν Πατρί τε καὶ Υἱῷ τὸ Πνεῦμα θεολογούμενον, οὐκ ἂν καὶ αὐτὸ προβλητικὸν ἔσται καὶ ἐκπορευτικόν; » Τὴν δὴ τοιαύτην ἐρώτησιν προβάλλεται μὲν Κύπριος, ὡς ἀπαρνούμενος τὸ κατὰ τὸν τῆς αἰτίας λόγον τοῖς θεολόγοις ἡμῶν Πατράσιν ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ τὸ D Πνεῦμα θεολογεῖσθαι· ἡμεῖς δὲ οἱ εἰς τοιοῦτον λόγον τὴν θεολογικὴν ταύτην ἐκδεχόμενοι ῥῆσιν, ὅπως αὐτὸς ἑαυτῷ ἐνταῦθα Κύπριος περιπίπτει, πρότερόν σε ἀναδιδάξαντες κατὰ τὸ προηγούμενον ἡμῖν τοῦ σκοποῦ, ἐφεξῆς παραστήσομέν σοι καὶ ὅπως ἡ ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα θεολογοῦσα ῥῆσις, κατὰ τὸν τῆς αἰτίας λόγον τοῖς Πατράσιν ἡμῶν ἐξελήφθη, καὶ ἀνάγκη τις οὐδεμία διὰ τὸ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τοῦ Πνεύματος ὁμοούσιον, καὶ αὐτὸ δὴ τὸ Πνεῦμα προβλητικὸν εἶναι καὶ ἐκπορευτικόν. Ἀναδιδάξομεν δὲ πῶς; Οὕτω δὴ πρὸς αὐτὸν ἐκεῖνον ἀποτεινόμενοι.

γ'. Ἐπεί σοι δοκεῖ, Κύπριε, ἐάν τις τὴν ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα φάσκουσαν ῥῆσιν εἰς τὸν τῆς αἰτίας λόγον ἐκδέγεται, ἄτοπόν τι

Digitized by Google Распознавание текста ABK/FR

συνάγεσθαι τὸ καὶ αὐτὸ Πνεῦμα, διὰ τὸ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοούσιον προβλητικὸν εἶναι καὶ ἐκπορευτικόν· πῶς οὐκ ἔγνως τὸν σεαυτοῦ συνιστῶν ἔλεγχον, καὶ ἀγχόνην ἄντικρυς ἑαυτῷ πλέκων, ὅταν τὴν τοιαύτην ῥῆσιν ἐξηγούμενος σὺ, « Καλῶς ἂν ἔχοι καὶ εὐσεβῶς, » ἔλεγες, τὸ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας λεγόμενον καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι; μία γάρ. » Ἔξεστι γὰρ πάντως τὸν βουλόμενόν σοι ἀντιλέγειν εἰπεῖν ὡς ὃν τρόπον, ὦ πάντολμε Κύπριε σὺ, ὁ τῆς τοῦ Πνεύματος πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοουσιότητος λόγος ἀπαιτεῖ, καθώς σοι δοκεῖ, προβλητικὸν εἶναι τὸ Πνεῦμα καὶ ἐκπορευτικόν, ἐάν τις τὴν ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα φάσκουσαν ῥῆσιν εἰς τὸν τῆς αἰτίας λόγον ἐκδέχοιτο· οὕτως ὁ τῆς αὐτῆς ὁμοουσιότητος λόγος κατὰ τὴν αὐτὴν ἀπαιτήσει ἀνάγκην, καὶ ἐκ τῆς ἑαυτοῦ εἶναι τὸ Πνεῦμα οὐσίας, ἐάν, ὡς σὺ τερατεύῃ, « καλῶς ἔχει καὶ εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι τὸ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας λεγόμενον ἅγιον Πνεῦμα, διὰ τὸ μίαν τοῦ Υἱοῦ καὶ Πατρὸς εἶναι οὐσίαν. » Πῶς ταῦτά σε τὸν σοφώτατον ἔλαθε; Πῶς τὸν Ἀριστοτελικόν σε, καὶ μεγάλως Πλάτωνι ἐγκαυχώμενον, συνιδεῖν οὐκ ἐγένετο, ὅπως ἀγχόνην ταῦτα λέγων σεαυτῷ πλέκεις, ἢ ξίφος πρὸς τὴν τῶν οἰκείων ἐγκάτων ἔκχυσιν χαλκουργεῖς; Ἄτινα δὴ τὰ ἔγκατα ταῦτα ὑπολῃπτέον; Εἶναι δὲ ταῦτα οἶμαι τῆς σῆς φρενὸς τὰ δυσέλικτα καὶ πλήρη κόπρου, τῆς αἱρετικῆς δυσωδίας λέγω διανοήματα. Ἢ γὰρ οὐδὲν εἶναι ἄτοπον ἀποδείξεις, ὡς ἂν εἴποιμι τὰ αὐτά, τὸ ἐκ τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ λεγόμενον Πνεῦμα οὐσίας, καὶ ἐκ τῆς ἑαυτοῦ λέγεσθαι· φθάνει γὰρ ἂν οὕτως ἀναμφιβόλως διὰ τὸ ἀμφοῖν ὁμοούσιον, ὡς αὐτὸς ἐξηγῇ τὴν ῥῆσιν τοῖς ἁγίοις εἰρῆσθαι· καὶ σὺ καλῶς ἐλέγχων ἀποδεικθήσῃ τοὺς εἰς τὸν τῆς αἰτίας λόγον αὐτὴν ἐκλαμβάνοντας· ἢ ἐὰν ἡ παρ' ἡμῶν ἀπαιτουμένη ἀπόδειξις ἀπὸ σοῦ ἀδύνατος ὁμολογηθῇ, ἀναμφίβολον αὐτὸς ἑαυτῷ ἀρτύεις τὸν ἔλεγχον, νῦν μὲν ὡς ἐπ' ἐλέγχῳ ὄντων εἰς τὸν τῆς αἰτίας λόγον ἐκλαμβανόντων τὴν ῥῆσιν, ἀκολουθεῖν ἐξ ἀνάγκης διατεινόμενος διὰ τὴν πρὸς Πατέρα καὶ Υἱὸν τοῦ Πνεύματος ὁμοουσιότητα, καὶ αὐτὸ δὴ τὸ Πνεῦμα προβλητικὸν εἶναι καὶ ἐκπορευτικόν· νῦν δὲ διὰ τὸ πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ ὁμοούσιον τὴν τοιαύτην ῥῆσιν τῆς ἁγίοις δογματίζων εἰρῆσθαι, καὶ τὸ κατὰ τὴν σὴν δόξαν ἐντεῦθεν ὀφεῖλον συνάγεσθαι συνάγειν ἀδυνατῶν. Ἀλλὰ σὺ μὲν, ὡς ἀπαρνούμενος τὸν κατὰ τῆς αἰτίας λόγον τοῖς θεολόγοις ἡμῶν Πατράσιν ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα θεολογεῖσθαι, ἔλαθες οὕτω διὰ τῆς παρεξηγήσεως ξίφος τῷ βουλομένῳ σοι ἀντιλέγειν ἐγχειρίζων καθ' ἑαυτοῦ· Ἡ αἶξ, ὅ φησιν ἡ παροιμία, τὴν μάχαιραν.

Ὑμεῖς δὲ πρώτην ἰδοὺ ταύτην ἀπόδειξιν τοῦ περιπίπτειν σεαυτὸν ἑαυτῷ καθ' ἓν τοῦτο διανοίας μέρος οὕτως ἀτόπου ταῖς προαναταχθείσαις ἡμῖν τοῦ σοῦ τόμου περικοπαῖς ἐγκειμένης, καλῶς, ὡς οἶμαι, καὶ πάνυ ποιησάμενοι ἀκριβῶς, γινόμεθα δὴ κατὰ τὴν ἐπαγγελίαν καὶ πρὸς τῷ δεῖξαι ὅπως ἡ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦ-

colligi, eumdem nempe Spiritum, quod Patri et Filio consubstantialis est, propterea et producendi, et procedere faciendi potestatem habere, quomodo non agnoscis, tuam astruere refutationem, et palam te laqueo involvere, cum simile dictum interpretans tu, « bene pieque enuntiari, » asseverabas, « quod ex Patris essentia dicitur, ex essentia quoque Filii dici, una siquidem est. » Potest siquidem quicunque tibi contradicere conatur, asserere, quemadmodum, o Cyprie, qui omnia audes, ratio consubstantialitatis Spiritus erga Patrem et Filium postulat, sic enim decernis, ut Spiritus producat, et procedere faciat, si quis dictum quo traditur, ex essentia Patris et Filii Spiritum esse, causam denotare contendat, pari modo ejusdem consubstantialitatis ratio, necessario requiret, ex sua esse essentia Spiritum, si ut tu prodigiose fingis, « bene pieque, ex essentia Filii dici, qui ex Patris essentia astruitur Spiritus sanctus, quod una Patris et Filii essentia est. » Quomodo te, qui pleno pectore sapis, hæc latuere? Quomodo, qui Aristotelem spiras, et magnum tui fastum in Platone collocas, cognoscere non potuisti, laqueum tibi adaptare, et ensem, ad tuorum viscerum effusionem præparare? Quæ viscera non alia esse existimandum est, quam tuæ mentis circumactu difficiles, et limo refertas, hæretici scilicet putoris grave olentes sententias. Namque si nullum esse absurdum ostenderis, ut eadem repetam, qui ex Patris et Filii essentia dicitur Spiritus, etiam ex sui ipsius dici: sequitur enim absque ulla hæsitatione propter utriusque eamdem unamque essentiam, sic tu contendis sanctos intelligendos esse, et tu recte refellere reputareris eos, qui ratione causæ id accipiunt, aut si quæ a nobis exposcitur a te demonstratio impossibilis afferatur, certam tuimetipsius tu refutationem ordiris; nunc quidem ut eos refellas, qui dictam causam connotare affirmant, dum necessario consequi contendis, propter unam eamdemque erga Patrem et Filium essentiam, eumdem etiam Spiritum producendi, et procedere faciendi facultatem obtinere: nunc vero dum propter eamdem Filii erga Patrem substantiam tale dictum a Patribus traditum decernens, et quo inde, ut tu opinaris, necessario concludendum era concludere non vales. At tu negans, secundum causæ rationem a theologis nostris Patribus ex essentia Patris et Filii Spiritum decerni, non vidisti per hanc tuam improbam interpretationem ensem contra te ipsum exhibere cuicumque tibi adversandi in animo est. Capra, ut proverbio teritur, gladium.

4. Nos porro prima hac demonstratione, te tibi ipsi contraria asserere, in hac sententia adeo absurda, quæ in supra per nos allatis tui tomi pericopis continetur, probe et exacte, ut opinor, absoluta, accedamus, ut promisimus, ad ostendendum dictum, quod ex essentia Patris et Filii Spiritum esse fatetur, secundum causæ rationem a Patribus,

Digitized by Google Распознавание текста ABK/FR

nostris accipi : nec inde ullo modo necessario consequi, propter eamdem unamque cum Patre et Filio Spiritus essentiam, ipsum quoque Spiritum producendi, et procedere faciendi facultatem habere. Tu vero, ad quem mea hæc oratio convertitur, dicendis mentem applica. Qui Spiritum ex essentia Patris et Filii fassi sunt, non ad eorum unam eamdemque simpliciter essentiam respicientes, dictum enuntiarunt. Tum enim nullum esset absurdum dicere, Spiritum ex suam et ipsius essentia esse, sed ex Patre per Filium Spiritum decernentes, ad demonstrandam ex Patre duorum horum causatorum differentem progressionem. Et hujus rei mihi Nyssenus sine ulla exceptione testis est. Cum de sancti Spiritus ex Patre per Filium exsistentia, imo etiam ex utroque, nemo esset qui contradicere auderet : non apud omnes in confesso erat, ex Patre per Filium, et ex utroque esse, nulla in re differre ; omne sibi certamen instituerant Patres adversus eos, qui Spiritum creaturam esse contendebant, ut eorum os obstruerent, et blasphemiam convellerent, ex utroque consubstantiale causatum Spiritus indicare volentes, ex essentia Patris et Filii dictis theologicis addiderunt. Et considera tu interim quomodo hinc promissionis nostræ finis irreprehensus succedit. Cum enim ex Patre per Filium Spiritus sancti exsistentiam astruens dictum differentem Spiritus causam exprimat : dictum vero ex essentia Patris et Filii ipsum esse asserens, indicet increatam et consubstantialem ex quo et per quem progressionem atque effluxum, plane perfecte demonstratur, secundum causæ rationem simile dictum a Patribus accipi, cum vero alius spiritus per Spiritum ex Patre tradatur, non est, rursus hoc item plane absoluteque demonstrat, non necessario consequi, quod cum Patre et Filio Spiritus ejusdem essentiæ est, ut videtur Cyprio, eumdem Spiritum producendi et procedere faciendi facultatem habere.

μα θεολογοῦσα ῥῆσις κατὰ τὸν τῆς αἰτίας λόγον τοῖς Πατράσιν ἡμῶν ἐξελήφθη· καὶ ἀνάγκη τις οὐδεμία διὰ τὸ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τοῦ Πνεύματος ὁμοούσιον καὶ αὐτὸ δὴ τὸ Πνεῦμα προβλητικὸν εἶναι καὶ ἐκπορευτικόν. Σὺ δὲ ὁ πρὸς ὃν ὁ λόγος ἡμῖν τοῖς λεγομένοις πρόσεχέ μοι τὸν νοῦν. Οἱ τὸ Πνεῦμα ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ εἶναι θεολογήσαντες, οὐχὶ πρὸς τὸ αὐτῶν ἁπλῶς ὁμοούσιον ἀφορῶντες τὴν ῥῆσιν ταύτην ἐθεολόγησαν· ἦ γὰρ ἂν οὐδὲν ἄτοπον ἦν καὶ ἐκ τῆς ἑαυτοῦ λέγεσθαι τὸ Πνεῦμα οὐσίας, ἀλλ' ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα θεολογοῦντες εἰς δήλωσιν τῆς ἐκ Πατρὸς διαφόρου προόδου τῶν δύο τούτων αἰτιατῶν· καὶ ὁ Νύσσης μάρτυς μοι ἀπαράγραπτος. Ἐπεὶ πρὸς μὲν τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν τοῦ Πνεύματος τοῦ ἁγίου οὐδένα εἶχον τὸν ἀντιλέγοντα, ἀλλ' οὐδὲ πρὸς τὸ ἐξ ἀμφοῖν· κοινῶς γὰρ ἅπασιν ὡμολόγητο τὸ ἐκ Πατρὸς δι' Υἱοῦ μηδὲν διαφέρειν τοῦ ἐξ ἀμφοῖν· πάντα δὲ τὸν ἀγῶνα πρὸς τοὺς κτίσμα τὸ Πνεῦμα ἅγιον λέγοντας ἐποιοῦντο εἰς ἐπιστομισμὸν αὐτῶν καὶ τῆς ἑαυτῶν βλασφημίας ἀναίρεσιν· τὸ ἐξ ἀμφοῖν ὁμοούσιον αἰτιατὸν τοῦ Πνεύματος δηλῶσαι βουλόμενοι, τὸ ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ προστεθείκασι τῇ θεολογίᾳ. Καὶ σκόπει λοιπὸν σὺ, ὅπως ἐντεῦθεν τὸ τῆς ἐπαγγελίας ἡμῶν ἐκβαίνει πέρας ἀνεπιτίμητον. Ἐπεὶ γὰρ ἡ μὲν ἐκ Πατρὸς δι' Υἱοῦ τὴν τοῦ παναγίου Πνεύματος ὕπαρξιν θεολογοῦσα ῥῆσις τὸ πρὸς τὸν Υἱὸν διάφορον τοῦ Πνεύματος αἰτιατὸν παρισεῖ· ἡ δὲ ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ θεολογοῦσα εἶναι αὐτὸ δηλωτική τις ἐστὶ τῶν τοῦ ἀκτίστως καὶ ὁμοουσίως τῷ τε ἐξ οὗ καὶ δι' οὗ πρόεισι, προϊέναι αὐτό· ἐντελὴς ἡμῖν τοῦτο ἀπόδειξις τοῦ κατὰ τὸν τῆς αἰτίας λόγον τὴν τοιαύτην ῥῆσιν τοῖς ἁγίοις εἰλῆφθαι. Ὅτι δὲ οὐχὶ καὶ πνεῦμα ἕτερον διὰ τοῦ Πνεύματος ἐκ Πατρὸς τοῖς ἁγίοις ἐθεολογήθη, ἀνενδεὴς πάλιν τοῦτο ἀπόδειξις τῷ μηδεμίαν εἶναι ἀνάγκην διὰ τὸ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τοῦ Πνεύματος ὁμοούσιον, καθὼς Κυπρίῳ δοκεῖ, καὶ αὐτὸ δὴ τὸ Πνεῦμα προβλητικὸν εἶναι καὶ ἐκπορευτικόν.

5. Sed procedat ultra oratio, et reliqua quibus sibi Cyprius adversatur, cogitata refellat. In alio jam laudati tomi loco sunt hæc ipsissima verba : « Qui propter eamdem Patris et Filii essentiam Spiritus dicitur ex essentia Patris, pie quoque et ex essentia Filii diceretur : verum ex ejusdem hypostasi, quando ex essentia est, quænam unquam ratio astruet? » Nos ipsi rursum postquam docuerimus, sapientissimum hunc crasse admodum atque indocte sibimetipsi contraria effutire, necessario inde aliam novam impietatem exoriri comprobabimus. Sibi itaque ipsi contraria refert, dum in eodem ipso tomo scribit : « Verumtamen a nobis perfecta, integra, neque ullius indiga Patris hypostasis reputatur, cum per se ipsam essentia sit vivens, et actuosa : perfecta etiam Filii in omnibus plena, nulliusque indiga, cum per se ipsam essentia sit vivens et actuosa. » Et iterum alibi hæc habet : « Nos essentiam hypostasis carnea crassaque divi-

ε'. Ὁ δὲ λόγος προβαινέτω μοι πρόσω, καὶ τὰς λοιπὰς τῶν διανοιῶν, καθ' ἃς αὐτὸς ἑαυτῷ Κύπριος, περιπίπτει ἐλέγχων. Ἐν ἑτέρῳ αὖ μέρει τόμου τοῦ εἰρημένου ὁ μὲν οὕτως ἐπὶ λέξεων λέγει· « Διὰ τὸ ταυτὸν τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ λεγόμενον τὸ Πνεῦμα ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ῥηθείη ἂν εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ· ἐκ δὲ τῆς ὑποστάσεως αὐτοῦ, ἐπειδὴ ἐκ τῆς οὐσίας, πῶς ἂν λόγος ποτὲ παραστήσειεν; » Ἡμεῖς δὲ πάλιν πρότερόν σε ἀναδιδάξαντες, ὅπως κἂν τούτοις αὐτὸς ἑαυτῷ ἀνοήτως ὁ σοφώτατος περιπίπτει, ἐφεξῆς ὥσπερ ἐξ ἀνάγκης ἀνακύπτον ἐντεῦθεν ἕτερόν τι παραστήσομαί σοι ἀσέβημα. Περιπίπτει μὲν οὖν αὐτὸς ἑαυτῷ, ἐν οἷς τοῦ αὐτοῦ τόμου φησὶ μέρεσιν· « Ἀλλ' ἡμῖν γε τελεία, πλήρης, καὶ ἀνενδεὴς ἡ τοῦ Πατρὸς ὑπόστασις, καθ' ἑαυτὴν οὐσία οὖσα ζῶσα καὶ ἐνεργὸς, τελεία καὶ ἡ τοῦ Υἱοῦ κατὰ πάντα, πλήρης, καὶ ἀνενδεὴς, καθ' ἑαυτὴν οὐσία οὖσα ζῶσα καὶ ἐνεργός. » Καὶ πάλιν ἐν οἷς οὕτω λέγει· « Οὐκ οὐσίαν ὑποστά-

Digitized by Google Распознавание текста ABK/FR

σεως σαρκίνῳ καὶ παχεῖ μερισμῷ διαιροῦμεν ἡμεῖς· οὐδ' ἑκατέρῳ χωρὶς θατέρου ἰδίαν ἀπονέμομεν ὕπαρξιν, μόνῳ δὲ τῷ λόγῳ ἀποδιιστῶμεν, ἄλλως μὴ πεφυκότα χωρίζεσθαι. » Ὁ γὰρ διατεινόμενος πρὶν μηδένα εἶναι λόγον τὸν παραστήσοντα τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λεγόμενον Πνεῦμα καὶ ἐκ τῆς αὐτοῦ ὑποστάσεως εἶναι, ἀλίσκεται, ὕστερον τὴν τοῦ Υἱοῦ ὑπόστασιν τελείαν, πλήρη, καὶ ἀνενδεῆ καὶ ζῶσαν, καὶ ἐνεργὸν καθ' ἑαυτὴν οὐσίαν εἶναι ὁμολογῶν, καὶ ἔτι προστιθεὶς τῇ ὁμολογίᾳ μηδὲ σαρκίνῳ καὶ παχεῖ μερισμῷ τὴν τοιαύτην οὐσίαν τῆς οἰκείας ὑποστάσεως διαιρεῖσθαί ποτε. Τούτων δὲ τῶν λόγων τί ἂν ἰσχυρότερον πρὸς ἀπόδειξιν γένοιτο τοῦ αὐτὸν ἀφ' ἑαυτοῦ ἐλέγχεσθαι Κύπριον ; ὃν γὰρ λόγον εὑρεθῆναι, μηδέποτε διατείνεται, τοῦτον αὐτὸς εὑρίσκει, οὐκ ἄλλος, τὴν οὐσίαν τοῦ Υἱοῦ, ἐξ ἧς τὸ Πνεῦμα συντίθεται, λέγεσθαι ἀδιαίρετον, ἧς κατηγορεῖται ὑποστάσεως, εἶναι ὁμολογῶν, κἀντεῦθεν συνάγειν δίδους τὸν βουλόμενον τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λεγόμενον καὶ ἐκ τῆς αὐτοῦ ὑποστάσεως κατὰ πᾶσαν εἶναι ἀνάγκην. Οὕτω μὲν οὖν κἀν τούτοις αὐτὸς ἑαυτῷ Κύπριος περιπίπτει.

ς'. Τὴν δ' ἐπηγγελμένην ἡμεῖς ἀπόδειξιν τοῦ ἐντεῦθεν ἀνακύπτοντος ποιούμενοι ἀσεβήματος, τοῦτό φαμεν εἶναι, τὸ ἐξ ὧν οὕτω Κύπριος λέγει συνάγεσθαι τὴν τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ σύναψιν εἶναι κατὰ τὸ ἀνυπόστατον, καὶ ὅσον εἰς τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν ἀφορᾷ. Ἐπεὶ γὰρ αὐτός ἐστιν ὁ νομοθετῶν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεσθαι, ὡς ἐκ τῆς τοῦ Πατρὸς οὐσίας λεγόμενον, διὰ τὸ ταυτὸν τῆς τοῦ Πατρὸς οὐσίας καὶ Υἱοῦ, ἐκ μέντοι τῆς τοῦ Υἱοῦ ὑποστάσεως εἶναι αὐτὸ συγχωρῶν οὐδαμῶς, αὐτός ἐστι καὶ ὁ λόγῳ μόνῳ τὴν οὐσίαν ἑκάστης ὑποστάσεως διαιρεῖσθαι ὁμολογῶν· εὔδηλον ὡς, ὁπηνίκα ἐκ μὲν τῆς οὐσίας τοῦ Υἱοῦ δεῖν λέγεσθαι τὸ Πνεῦμα νομοθετεῖ, διὰ τὸ ταυτὸν τῆς τοῦ Πατρὸς οὐσίας καὶ Υἱοῦ, ἐκ δὲ τῆς ὑποστάσεως οὐδαμῶς; κατὰ τὴν λόγῳ μόνῳ νοουμένην διαίρεσιν ἐπὶ τῆς ἑκάστης ὑποστάσεως οὐσίᾳ, τοῦτο δὴ τὸ ἐκ τῆς οὐσίας ἐκδέχεται. Τὸ δ' οὐδέν τι ἄλλο ἐστὶν ἢ ἐναργὴς δόξα τοῦ κατὰ ψιλὴν ἐπίνοιαν, καὶ μὴ φύσει καὶ ἀληθείᾳ καὶ πράγματι ὁμοούσιον εἶναι τῷ Πνεύματι τὸν Υἱόν. Τοῦτο κἀνταῦθα τὸ ἐπόμενον τοῖς Κυπρίου ῥήμασίν ἐστιν ἀσέβημα.

ζ'. Ἡμῖν δὲ μελέτω ἀπάρτι καὶ τὰς λοιπὰς τῶν ἐναντιώσεων, καθ' ἃς αὐτὸς ἑαυτῷ περιπίπτει, παραστῆσαι καὶ ἀποδεῖξαι. Ἐν γὰρ ἄλλοις τοῦ αὐτοῦ τόμου μέρεσιν, πολλὴν ὅτι καὶ μεγάλην οὕτως εἰσφέρων σπουδήν, μὴ τῷ λόγῳ τῆς οὐσίας, μόνῳ δὲ τῷ τῆς ὑποστάσεως τὸν Πατέρα αἴτιον ἀποδεῖξαι τῶν ἐξ αὐτοῦ, οὕτως ἐπὶ λέξεων λέγει· « Ἐκ μὲν γὰρ τῆς οὐσίας τῆς τοῦ Υἱοῦ, ὅτι μία ἐστὶ τῇ τοῦ Πατρὸς, ἀνάγκη ὁμολογεῖσθαι τὸ Πνεῦμα· ἐκ δὲ τῆς ὑποστάσεως, ὅτι μὴ μία, οὐκ ἀνάγκη· ἄλλη γὰρ ὑπόστασις ἡ πατρική, ἄλλη δὲ ἡ τοῦ Υἱοῦ, καὶ τὸ αἴτιαν εἶναι Υἱοῦ καὶ Πνεύματος, τῆς πατρικῆς ἐστιν ὑποστάσεως· » καὶ μετά τινα· « Εἰ δὲ τὴν αἰτίαν εἰς τὴν οὐσίαν ἀνοίσεις, ἀλλ' οὐκ εἰς τὴν ὑπόστασιν, πρῶτον μὲν πῶς ὁ Πατὴρ αἴτιος μᾶλλον τοῖν δυοῖν,

sione non dispertimur : neque uni absque alio propriam exsistentiam exhibemus, sed ratione tantummodo separamus, cum alia ratione dividi minime possint. » Qui enim antea contendebat nullam esse rationem, quæ comprobaret Spiritum, qui ex Patris essentia dicitur, etiam ex ejusdem hypostasi esse, deprehenditur, postea Filii hypostasim perfectam, integram et nullius indigam, et viventem et actuosam secundum se essentiam esse, asserere, et præterea confessioni addere, carnea crassaque partitione similem esse etiam a suametipsius hypostasi nunquam dividi; hisce pronuntiatis an ad demonstrandum Cyprium a seipso redargui, excogitari poterit efficacius? Quam enim rationem inveniri unquam posse contendit, illam ipse, nec alius comminiscitur; cum essentiam Filii ex qua Spiritum dici assentitur, indivisibilem ab illa, de qua prædicatur hypostasi, esse affirmat, indeque unicuique, modo collubitum sit, colligere concedit, quod ex essentia Filii dicitur ex illius quoque hypostasi necessario prorsus esse. Hac itaque ratione Cyprius etiam in his sibi adversatur.

6. Quam porro promisimus nos ex his ipsis impietatem nascentem ostensuros, illud est, quod Cyprius colligi scribit, essentiam Patris et Filii dempta hypostaseon ratione contactum esse, seu conjunctionem, et tantummodo nuda intelligentia et quantum secundum nudam divisionem respicere. Namque cum ipse decernat, ex essentia Filii Spiritum sanctum dici, uti etiam ex Patris essentia dicitur, propter unum idemque essentiæ Patris et Filii; verum ex hypostasi Filii illum esse nullo modo concedens, ille ipse est, qui ratione tantum essentiam uniuscujusque hypostasis dividi affirmat, sic patet aperte, cum ex essentia Filii dicendum esse Spiritum decernit, propter unum idemque Patris et Filii essentiæ, ex hypostasi vero nullo modo, secundum rationem sola intellectam divisionem in uniuscujusque hypostasis essentia, hoc quod ex essentia est, admittere : quod nihil aliud fuerit quam patens opinio, nuda solum cogitatione, et non natura, vere et reipsa ejusdem essentiæ esse Filium cum Spiritu. Et hæc est quæ ex similibus Cyprii verbis hic quoque impietas enascitur.

7. Nobis interim curæ fuerit, et reliquas contrarietates, quibus seipsum Cyprius involvit, referre, ostendereque. In aliis quippe tomi partibus magno contentionis studio conatur demonstrare, non essentiæ, sed solius hypostasis ratione Patrem esse causam eorum, quæ ex ipso sunt, et ait : « Namque ex essentia Filii, quod una illa est cum essentia Patris, necesse est fateri Spiritum : ex hypostasi vero, quod una non est, necesse non est. Alia siquidem est hypostasis Patris, et alia Filii, et causam esse Filii et Spiritus, paterna hypostasis est. » Et post pauca : « Quod si causam ad essentiam referas, et non ad hypostasim, primum quidem, qua ratione Pater potius duorum causa est? et non et ipsa alterutrius, et Patris item causa fuerint, cum

Digitized by Google Распознавание текста ABK/FR

eamdem essentiam sine ullo discrimine possideant : secundum, quomodo supersubstantialis fecunditatis manifestatio sistetur, si essentiæ fecunditas attribuitur ? » Et hæc ille et multa alia his similia stultissime blaterans ; tanquam qui demonstratione haud subsistenti studiose probare nititur, ea quæ ex hypostasi absque essentia sunt causata, ea ex paterna hypostasi esse, qualem sibi foveam fodit, satis a nobis demonstratum est in omnibus nostrarum scriptionum partibus, in quibus dicta scripto tradita digesta sunt, quæ Patris cum essentia hypostasi causam ascribunt : inter quæ præ aliis multis theologorum testimoniis præclarissimus Athanasius nunc « proprium » appellat fetum paternæ essentiæ Filium » ; nunc « Patris essentiam principium et radicem, et fontem Filii » comprobat : nunc : « Neque enim externum quid est Filii essentia commentum, » dicit, « neque ex iis quæ non sunt introducta, sed ex Patris essentia orta est, quemadmodum luminis splendor, et aquæ vapor : » nunc, « causam esse Dei naturam decernit « et Filii et Spiritus.

8. Verumtamen nunc, et antea, et iterum cum ostenderimus in jam positis Cyprium aperte semetipsum redarguere, undenam plerosque alios ab eodem decipi contigit, demonstrabimus. Quo loco porro seipsum redarguit ? Ubi in secundo tomo suarum pericopeon scribit : « Neque enim est communis essentia et natura hypostasis causa, cum nec generet unquam, neque ipsa communis essentia apta nata est individua producere. Sed essentia cum proprietatibus, quæ plane dicto magni Maximi ipsam notat hypostasim, quin ipso quoque magno Basilio asserente, definiente, hypostasim esse, quæ commune et minime circumscriptum in re aliqua per apparentes proprietates repræsentat, et circumscribit. » Quid ais ? Non potuisti apertius, Cyprie, quam ab ipso Cyprio redargui, dum scribis faterisque ipsam essentiam cum proprietatibus hypostasim denotare, et magnorum Basilii et Maximi testimoniis suasus, libens volensque simili essentiæ causam attribuis ? Etenim si Patris essentiam cum paterna proprietate exsistentem ipsam ejusdem hypostasim notare affirmas, Cyprie, et simili essentiæ causam tribuere, ne minimum quidem dubitas, ubinam sunt ingentia tua illa nugamenta ? ubinam absque ullo discrimine ab essentia Patris causam sustollentia decreta, aut, ut aptius dicam, vaniloquentia, et de rebus nihili curiosæ disceptationes ? Videsne quo malorum adactus es, dum parum considerate res theologicas tractas ? Præterea « communem naturam, et essentiam nullius hypostasis esse causam asseris. » At ego talem essentiam non in Deo tantum, sed in quacumque alia creatura prorsus inficior, ni quispiam Aristotelicis placitis persuasus, cui te præbere assensum sermones tui comprobant, et quamille ante multa essentiam nuncupans, in deorum numero collocat, veneraturque, tuis pronuntiatis plane te

A καὶ οὐχὶ καὶ αὐτά, καὶ ἀλλήλων αἴτια καὶ τοῦ Πατρὸς τὸ ἓν ἀπαραλλάκτως κατὰ τὴν οὐσίαν ἔχοντα ; δεύτερον δὲ πῶς εἰς Τριάδα ἡ τῆς ὑπερουσίου γονιμότητος ἔκφασις στήσεται, εἴπερ τῆς οὐσίας ἐστὶ τὸ γόνιμον ; » Ταῦτα καὶ πολλὰ τούτοις ὅμοια ὁ μάταιος ληρῳδῶν, ἅτε δὴ ἀνυπόστατον ἐπισπεύδων ἀπόδειξιν τοῦ ἐξ ἀνουσίου ὑποστάσεως ὄντα παραστῆσαι τῆς πατρικῆς τὰ ἐκεῖθεν αἰτιατά, ὁποῖον μὲν ἀσεβείας ἑαυτῷ διώρυξε βόθρον ἱκανῶς ἡμῖν ἀπεδείχθη ἐν ὁπόσοις τῶν ἡμετέρων κατεστρώθη γραφῶν μέρεσι, τὰ προδήλως τῇ ἐνουσίῳ τοῦ Πατρὸς ὑποστάσει τὸ αἴτιον ἀπονέμοντα ῥήματα γραφικά· ὅπου πρὸς τοῖς ἄλλοις τῶν θεολόγων καὶ Ἀθανάσιος ὁ λαμπρὸς νῦν μὲν « ἴδιον » ἀποκαλεῖ γέννημα τῆς τοῦ Πατρὸς οὐσίας τὸν Υἱὸν, νῦν δὲ τὴν τοῦ B Πατρὸς » οὐσίαν ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν ἀποφαίνεται « τοῦ Υἱοῦ, » καὶ νῦν μὲν, « Οὐ γὰρ ἔξωθέν τις ἐστὶ, » λέγει, « ἡ τοῦ Υἱοῦ ἐφευρεθεῖσα οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἦφυ, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα καὶ ὡς ὕδατος ἀτμίς· » νῦν δὲ, « αἰτία ἐστὶν ἡ τοῦ Θεοῦ φύσις, θεολογεῖ καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. »

ἡ'. Τὸ δέ γε παρὸν πρότερον καὶ πάλιν ἀποδεδειχότε ; ἡμεῖς, ὅπως κἀν τοῖς ἤδη ῥηθεῖσιν ἑαυτῷ Κύπριος αὐτὸς ἔλεγχος ἀναφαίνεται ἐφεξῆς, καὶ ὁπόθεν αὐτῷ παραλογίζεσθαι τοὺς πολλοὺς ἐπὶ τούτοι ; προσγίνεται, ὑποδείξομεν. Ἐλέγχει δ' ἑαυτὸν, ποῦ ; Ὅπου τῶν ἐν τῷ δευτέρῳ τόμῳ περικοπῶν αὐτοῦ λέγει · « Οὐδὲ γάρ ἐστιν ἡ κοινὴ οὐσία καὶ φύσις ὑποστάσεως αἰτία· ἐπεὶ μηδὲ γεννητική ποτε, οὐδὲ C προβλητικὴ αὐτή γε ἡ κοινὴ οὐσία πέφυκε τῶν ἀτόμων· ἡ δὲ μετ' ἰδιωμάτων οὐσία, ἥτις σαφῶς κατὰ τὸν μέγαν Μάξιμον αὐτὴν δηλοῖ τὴν ὑπόστασιν· ἀλλὰ καὶ κατ' αὐτὸν δὴ τὸν μέγαν Βασίλειον· κἀκεῖνος γὰρ ὑπόστασιν ὁρίζεται εἶναι τὴν τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινι πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστῶσαν καὶ περιγράφουσαν. » Τί φῄς ; Τίς ἂν γένοιτο, Κύπριε, λαμπρότερος ἔλεγχος ἢ αὐτὸς Κύπριος, ἐν οἷς τὴν μετ' ἰδιωμάτων οὐσίαν αὐτὴν δηλοῦν ὁμολογεῖ τὴν ὑπόστασιν Βασιλείῳ καὶ Μαξίμῳ τοῖς μεγάλοις πειθόμενος, καὶ ἀσπασίως τῇ τοιαύτῃ οὐσίᾳ τὸ αἴτιον ἀπονέμων ; Εἰ γὰρ τὴν τοῦ Πατρὸς οὐσίαν μετὰ τοῦ πατρικοῦ τυγχάνουσαν ἰδιώματος αὐτὴν τὴν αὐτοῦ D ὑπόστασιν ὁμολογεῖς δηλοῦν, Κύπριε καὶ τῇ τοιαύτῃ οὐσίᾳ τὸ αἴτιον ἀπονέμειν διστάζεις σύδοπωσοῦν· ποῦ οἱ μακροὶ ἐκεῖνοί σου λῆροι ; ποῦ αἱ τῆς οἱασοῦν διαστολῆς δίχα τὴν οὐσίαν τοῦ Πατρὸς ἀφαιροῦσαι τὸ αἴτιον θεολογίαι σου ἢ ματαιολογίαι σου τὸ κυριώτερον ; Ὁρᾷς οἷ κακοῦ προήχθης ἀπερισκέπτως θεολογῶν ; Ἔτι δὲ « τὴν κοινὴν οὐσίαν καὶ φύσιν μηδεμιᾶς ὑποστάσεως εἶναι λέγεις αἰτίαν. » Ἐγὼ μηδὲ εἶναι ὅλως τοιαύτην οὐσίαν, μή τοί γε ἐπὶ Θεοῦ, ἀλλ' οὐδ' ἐπὶ οὐδενὸς τῶν κτιστῶν ἀποφαίνομαι, εἰ μή πού τις Ἀριστοτελικοῖς πειθόμενος δόγμασιν, ὁποῖον αὐτόν σε εἶναι λόγοι παριστῶσιν οἱ σοὶ, ἣν πρὸ τῶν πολλῶν ἐκεῖνος ὀνομάζει οὐσίαν θεοποιεῖν ἐθέλει καὶ σέβεσθαι, τοιαύτην σὺ πάντως ἐξ ὧν λέγεις πρεσβεύων ἀπελέγχει οὐσίαν. Ἐγὼ δὲ

Digitized by Google Распознавание текста ABK/FR

τρισυπόστατον ἀεὶ, καὶ οὐδέποτε ἀνυπόστατον τὴν κοινῶς ἐπὶ Θεοῦ λεγομένην πρεσβεύων οὐσίαν, σὲ μὲν οἰμώζειν ἐῶ, εἰς καταδρομήν σου ἀρχούμενος, οἷς αὐτὸς ἑαυτὸν ἐξελέγχεις, νῦν μὲν τὴν πατρικὴν οὐσίαν τὸ αἴτιον ἀφαιρῶν, νῦν δὲ τὴν μετ' ἰδιωμάτων οὐσίαν αὐτὴν δηλοῦν ὁμολογῶν τὴν ὑπόστασιν, καὶ τὸ αἴτιον αὐτῇ προσομολογῶν. Ἔτι δὲ καὶ φυσικὴν ἀρχὴν καὶ αἰτίαν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα καὶ αὖθις αἴτιον Υἱοῦ καὶ Πνεύματος οὐσιωδῶς τοῦτον ἀποκαλῶν. Εἰ γὰρ οὐ κατὰ τὴν οὐσίαν αἴτιος ὁ Πατὴρ, ὡς αἱ εἰρημέναι τοῦ σοῦ τόμου δηλοῦσι περικοπαὶ, καὶ ψεύδη οὐσιῶδες αἴτιον καὶ φυσικὴν ἀρχὴν καὶ αἰτίαν Υἱοῦ καὶ Πνεύματος τοῦτον ἀποκαλῶν, ἢ κατὰ τὰ ὡμολογημένα καὶ σοὶ καὶ ἐμοὶ, καὶ πρό γε ἡμῶν τοῖς Θεολόγοις πᾶσι Πατράσιν οὐσιῶδες ἀληθῶς αἴτιον, καὶ φυσικὴ αἰτία καὶ ἀρχὴ τῶν ἐξ αὐτοῦ ὁ Πατὴρ, καὶ τὸ ψεῦδος αἱ μὴ κατὰ τὴν οὐσίαν αἴτιον εἶναι τὸν πατέρα διοριζόμεναί σοι γραφαὶ ἔχουσι, καὶ ὁ ἐξ αὐτοῦ σοι προσγινόμενος ἔλεγχος ἐντεῦθεν περιφανής.

quoque colere convincat. Ego vero, quæ communiter de Deo dicitur, essentiam semper in tribus personis, neque unquam absque hypostasi agnoscens, tibi lacrymas mando, satis ad tuam reprehensionem reputans, quibus tu teipsum redarguis, dum nunc paternam essentiam causa spolias, nunc essentiam cum proprietatibus ipsam notare hypostasim affirmas, et causam ipsi attribuis : necnon dum naturale principium et causam Filii, et Spiritus Patrem, rursumque eumdem Filii et Spiritus essentialiter causam nuncupas. Etenim si non secundum essentiam Pater causa est, ut allatæ tomi tui pericopæ indicant, et palam mentiris cum essentialem causam, et naturale principium et causam Filii et Spiritus ilium vocas, aut secundum ea, quæ mihi, et tibi et ante nos theologis omnibus Patribus in confesso sunt, essentialis vere causa et naturalis, et principium eorum quæ ex ipso sunt, Pater est, et mendacium, non secundum essentiam causam esse Patrem, decernentes tuæ scriptiones continent, et quæ inde tui redargutio oritur, hisce manifesta est.

θ'. Ἡμῖν δὲ, ὦ φίλε μοι τῶν λεγομένων ἀκροατὰ, μετὰ τὸ τοῖς λεγομένοις τὴν αἰτίαν προσθεῖναι, δι' ἣν Κύπριος τὴν πατρικὴν οὐσίαν ἀφαιρεῖται τὸ αἴτιον, ὑποδεικτέον κατὰ τὴν ἐπαγγελίαν καὶ ὁπόθεν αὐτῷ ἐπὶ τῇ ἀφαιρέσει ταύτῃ παραλογίζεσθαι προσγίνεται τοὺς πολλούς. Ἡ μὲν οὖν τῆς ἀφαιρέσεως αἰτία ἐστὶ τὸ ἀκριβῶς εἰδέναι αὐτὸν ὡς, εἰ τὴν κατηγορουμένην τοῦ Πατρὸς οὐσίαν αἰτίαν συγχωρήσει λέγεσθαι τοῦ Υἱοῦ, καὶ τὴν τοῦ Υἱοῦ κατηγορουμένην οὐσίαν αἰτιατὴν ἐκ Πατρὸς, οὐκ ἄν τι καὶ ἀνεφθέγξαιτο τοῖς εἰς τὴν αἰτίαν τοῦ Πνεύματος παραλαμβάνουσι τὸν Υἱὸν ἀπὸ τῶν τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὑπάρχειν Θεολογουσῶν ῥήσεων. Ὁ δ' ἐπὶ τῇ τοιαύτῃ παραλογισμὸς ἀφαιρέσει, καὶ ὁ τῷ παραλογισμῷ ἑπόμενος ἔλεγχος, καὶ ταῦτα ἐντεῦθέν σοι ἔσται δῆλα. Μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις κατὰ κοινὴν ἔννοιαν ἐπὶ τῆς ἁγίας Τριάδος πᾶσαν εἰδὼς τὴν Ἐκκλησίαν πρεσβεύουσαν Κύπριος, αὐτὸ τὸ μίαν εἶναι τὴν τῆς Τριάδος οὐσίαν ὕλην ποιούμενος παραλογισμοῦ, τοὺς μὲν λόγους, καθ' οὓς μία λέγεται ἡ οὐσία παρασιωπᾷ, εἰς ἄλλην δὲ τὴν οὐκ οὖσαν ἔννοιαν ἐκλαμβάνων τὸ, μία. οὐ τοὺς πολλοὺς, καὶ ἁπλουστέρους μόνον, ἀλλ' ἤδη καὶ αὐτῶν οὐκ ὀλίγους τῶν ἐλλογίμων παραλογίζεται. Μία μὲν γὰρ λέγεται ἡ οὐσία, οὐχ ὅτι τὴν εἰς αἴτιον καὶ αἰτιατὸν διαίρεσιν οὐκ ἐπιδέχεται, οὐδ' ὅτι οὐχὶ τελεία οὐσία ὁ Πατὴρ, τελεία οὐσία καὶ ὁ Υἱὸς, τελεία οὐσία καὶ τὸ Πνεῦμα τὸ ἅγιον εἰσί τε καὶ λέγονται, ἀλλ' ὅτι τὰ τρία πρόσωπα ταῦτα, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα οὐσία, καὶ οὐσία, καὶ οὐσία ὄντα τε καὶ λεγόμενα, πάσης διαφορᾶς καθ' ἣν οὐσίας οὐσία διαιρεῖται, ἀνεπίδεκτά εἰσι παντελῶς. Εἶεν δ' ἂν αἱ τὰς οὐσίας ἀλλήλων διαιροῦσαι διαφοραὶ τὸ θνητὸν καὶ ἀθάνατον, τὸ λογικὸν καὶ ἄλογον, καὶ σὺν πολλαῖς ἄλλαις τὸ κτιστὸν καὶ ἄκτιστον, ἦν δὴ διαφορὰν καὶ Ἄρειος ἐπὶ τῆς ἁγίας Τριάδος πρεσβεύων

9. Nos vero, o amice dictorum meorum auditor, postquam jam allatis causam tradidimus, ob quam Cyprius paternam essentiam causa privat, usi promisimus, ostendemus unde ipsi in hac privatione accidit ut multos decipiat. Privationis itaque causa est quod ipse bene sciat, si quæ de Patre prædicatur essentia, causam Filii dici concedat, et quæ de Filio prædicatur, essentiam ex Patre sui causam agnoscere, non posse se contraire iis, qui causam Spiritus Filium stabiliunt, propter dicta quæ astruunt, Spiritum sanctum ex essentia Filii exsistere. Et quæ ex hac privatione sequitur deceptio, et deceptionem redargutio hisce certe ac manifeste patebunt. Unam essentiam et tres hypostases in sancta Triade uno consensu Ecclesiam universalem asserere sat noscens Cyprius, hoc, unam essentiam Triadis esse materiam suæ deceptionis assumens, rationes, ob quas una dicatur essentia, silet, et in aliam sententiam illud unam retorquens, non multos, et minus cautos tantum, sed etiam non paucos cordatos atque eximios viros in fraudem duxit. Una siquidem dicitur essentia, non quod divisionem in causam et causatum non admittat : neque quod perfecta essentia Pater, perfecta essentia et Filius, perfecta essentia et Spiritus sanctus non sint, et dicantur, sed quod tres istæ personæ, Pater, Filius, et Spiritus essentia, et essentia, et essentia cum sint, et dicantur. differentiam omnem, ob quam essentia ab essentia differt, modis omnibus respuant. Differentiæ autem, quæ essentiam ab essentia differre faciunt, mortale et immortale, rationis compos et expers, et præ multis aliis creatum et increatum sunt, quam differentiam in divina Triade Arius ponere deprehensus est, ob quam Nicæni Patres coacti sunt, et ad quam eliminandam sua posuere studia, voces hasce, « una, unum, et per omnia simile » prædicantes de essentia, quæ tribus personis constat. Et vera

Digitized by Google Распознавание текста ABK/FR

quidem ratio, propter quam trium personarum, sive trium hypostaseon essentia dicitur una, hæc est. Sed Cyprius in causam et causatum divisionem et differentiam, tanquam unam ex differentiis assumens, propter quas una essentia ab alia differt, unam esse trium personarum essentiam definit, ita ut neque in causam et causatum differentiam admittat, quæ manifesta deceptio est. Neque enim in causam et causatum differentia essentiæ differentiam inducit, sed personarum, secundum quod causa et causatum differunt, cum tamen unam eamdemque naturam ac essentiam conservent. Quod si testimonia item Scripturarum requiris, Gregorius Nysseensium, ac totius terrarum orbis lumen, in tradendis dogmatibus præclarissimus, consubstantialis conjunctiones expresserit, quæ divisione in causam et causatum nullo modo læduntur, cum dicit : « In quibus per omnia naturæ simile consistentes, differentiam, quæ est secundum causam et causatum, non inficiamur. »

A

B

ἐάλω, δι' ἣν καὶ οἱ ἐν Νικαίᾳ Πατέρες ἠθροίσθησαν, ἣν καὶ ἀναιροῦντες πολλὴν ἐνεδείξαντο τὴν σπουδὴν, τὰς φωνὰς ταύτας, τὸ *μία*, τὸ *ἓν*, τὸ *ἀπαράλλακτον* τῆς τρισυποστάτου κατηγορῆσαι οὐσίας. Ὁ μὲν δὴ ἀληθὴς λόγος καθ' ὃν μία ἡ τῶν τριῶν προσώπων τρισυπόστατος θεολογεῖται οὐσία. Οὗτος Κύπριος δὲ, τὴν εἰς αἴτιον καὶ αἰτιατὸν διαίρεσιν αὐτῶν καὶ διαφορὰν ὡς μίαν τῶν διαφορῶν ἐκλαμβάνων, καθ' ἃς οὐσία τις οὐσίας τινὸς διαφέρει, οὕτω μίαν εἶναι τὴν τῶν τριῶν προσώπων οὐσίαν διορίζεται, ὡς μηδὲ τὴν εἰς αἴτιον καὶ αἰτιατὸν διαίρεσιν ἐπιδέχεσθαι, ὅπερ προφανὴς ἐστι παραλογισμός. Οὐ γὰρ εἰς αἴτιον καὶ αἰτιατὸν διαίρεσις οὐσίας διαφόρους ποιεῖ, ἀλλὰ προσώπων διαφοράν, κατ' αὐτὸ μὲν τοῦτο τὸ αἴτιον καὶ αἰτιατὸν διαφερόντων, ὁμοουσίων δὲ τηρουμένων καὶ ὁμοφυῶν. Εἰ δὲ καὶ μαρτυρίας δεῖ σοί τινος ἀπὸ τῶν Γραφῶν, Γρηγόριος ὁ τῶν Νυσσαέων, καὶ πάσης τῆς οἰκουμένης φωστὴρ διαυγὴς ἐπὶ δόγμασι, τὰς τοῦ ὁμοουσίου παραστήσει συνάψεις, μηδέν τι παρὰ τὴν εἰς αἰτίαν καὶ αἰτιατὸν βλαπτομένας διαίρεσιν, τὸ ἐν οἷς τὸ ἀπαράλλακτον, » λέγει, « ὁμολογοῦντες τῆς φύσεως, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα. »

10. Habes jam rationem absolute tibi traditam, unde fit, ut Cyprius permultos in fraudem depellat, cum paternam essentiam causa spoliat. Age nunc vero et reliquis ejusdem adversus seipsum contradictionibus animum attende. In alia primi tomi parte, cum illi visum fuisset dictionem processionis nescio qua ratione in sensum verum ac rectum accipere, illa de dictione discernit, quæ propalam, et quam manifestissime modum ipsam exsistentiæ esse, et proprietatem Spiritum designantem comprobant. Scribit siquidem in tomi pericopis alicubi : « Quod vero neque inde procedere habet, neque generari, neque etiam dicetur ex Patre exsistentiam habere, neque Patrem sui possidebit naturale principium et causam, cum inde neque generetur, neque procedat, quæ sunt propriæ ex illo exsistentiæ notæ. » Et paucis annexis : « Videamus itaque divinum Cyrillum, quamnam ille notam, quod Filius ex Patre sit, assignet? non locis in omnibus generationem. Quid vero Spiritus? Non ubique processionem et procedere. » Et hæc de processione primo tomo digerit, quid porro secundo? « Licet enim, » ait, « et per Filium Spiritum procedere sanctum, a nonnullis sanctis scripto traditum sit, dictio in sempiternam exhibitionem, non in exsistentiam proprie denotat processionem. » Plane hic similia scribens, homonyma dictione sententiam invertit, et a proprio suo significatu retrahit. Et Cyprius quidem hæc, tu vero quid? Num etiam in hoc semetipsum redarguere a te deprehenditur, qui nunc exsistentiam et proprietatem Spiritus comprobat, nunc multifida homonymia deturpat; an aliud quidpiam tibi videtur? Non aliud dices hæc esse opinor, quam a semetipso redargui Cyprium, si modo dictio eadem et de iis, quæ diversa cum sint, uno nomine exprimuntur, et de iis quæ proprietatem notant, dici unquam potest.

C

D

ι'. Ἔχεις τὸν λόγον ἐντελῶς ἤδη ἀποδοθέντα σοι ὁπόθεν τοὺς πολλοὺς παραλογίζεσθαι Κυπρίῳ προσγίνεται, ἐφ' οἷς τὴν πατρικὴν οὐσίαν ἀφαιρεῖται τὸ αἴτιον. Δεῦρο δὴ οὖν καὶ ταῖς ἔτι λειπομέναις αὐτοῦ καθ' ἑαυτοῦ ἐναντιώσεσι πρόσεχε. Ἐν ἑτέρῳ οὖν τοῦ πρώτου τόμου αὐτοῦ μέρει δόξαν οὐκ οἶδ' ὅπως αὐτῷ τὴν τῆς ἐκπορεύσεως λέξιν εἰς ἔννοιαν ἐκλαβέσθαι τὴν ἀληθῆ, ἐκείνα περὶ τῆς λέξεως διέξεισιν ἃ προφανῶς, καὶ πάνυ γε ἀριδήλως τρόπον αὐτὴν ὑπάρξεως καὶ χαρακτηριστικὸν ἰδίωμα παριστῶσι τοῦ Πνεύματος. Λέγει γάρ που τῶν τοῦ τόμου περικοπῶν οὕτως· « Ὃ δὲ μήτ' ἐκπορεύεσθαι ἐκεῖθεν ἔχοι, μήτε γεννᾶσθαι, οὐδ' ἂν καὶ ἐκ τοῦ Πατρὸς λέγοιτο ἔχειν τὴν ὕπαρξιν, οὐδέ γε τὸν Πατέρα πλουτεῖν φυσικὴν ἀρχὴν καὶ αἰτίαν, ἐκεῖθεν μὴ γεννώμενον, μηδ' ἐκπορευόμενον τὰ γνωρίσματα τῆς ἐκεῖθεν ὑπάρξεως · » καὶ μετ' ὀλίγα · « Οὐκοῦν ἴδωμεν καὶ Κύριλλον τὸν θεῖον ποῖόν τι γνώρισμα τοῦ εἶναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς τίθησιν. Οὐ πάνταχοῦ τὴν γέννησιν; τί δὲ τοῦ Πνεύματος; Οὐ πανταχοῦ τὴν ἐκπόρευσιν, καὶ τὸ ἐκπορεύεσθαι; » Ταῦτα περὶ τῆς ἐκπορεύσεως ἐν τῷ πρώτῳ διεξιὼν αὐτοῦ τόμῳ, ἐν δὲ τῷ δευτέρῳ · « Εἰ γὰρ καὶ διὰ τοῦ Υἱοῦ, » φησὶ, « παρά τισι τῶν ἁγίων ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον εἴρηται, τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ λέξις ἐνταῦθα, οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον. » Καὶ σαφῶς πάντως ἐν τῷ ταῦτα λέγειν τὴν λέξιν εἰς ὁμωνυμίαν περιίστησι, καὶ τῆς, ἣν ἀληθῶς ἔχει δυνάμεως, ταύτην ἀφίστησι. Καὶ ὁ μὲν ταῦτα. Σὺ δὲ τί φῄς; Ἆρά σοι ἐλέγχεται κἀν τούτοις ἐλέγχων ἑαυτὸν οὗτος, ὡς νῦν μὲν εἰς ὕπαρξιν καὶ ἰδιότητα τοῦ Πνεύματος περιιστῶν τὴν ἐκπόρευσιν, νῦν δὲ εἰς τὴν πολυσχιδῆ ταύτην ἁπάντων ὁμωνυμίαν; ἤ τι ἕτερόν σοι δοκεῖ; Οὐδὲν ἕτερον, οἶμαι, ἢ ἔλεγχον αὐτοῦ καθ' ἑαυτοῦ ταῦτα ἐρεῖς, εἴπερ λέξις οὐκ ἄν ποτε ἡ αὐτὴ ἐπὶ τῶν αὐτῶν καὶ ὁμωνύμως, καὶ εἰς σημασίαν ἰδιότητος ἐκληφθείη.

Digitized by Google Распознавание текста ABK/FR

ια'. Ἔν ἔτι προσθεὶς τῆς τῶν ῥηθέντων ἐχόμενον ὁμοιότητος τὸν λόγον πέρατι δώσω. Ἐν ταῖς τοῦ πρώτου τόμου πάλιν περικοπαῖς λέγων οὕτω διαπορητικῶς, « Πῶς ἂν εἴη κατὰ τὴν οὐσίαν Πατήρ, ἢ προβολεύς, ἢ Υἱὸς καὶ Πνεῦμα, ἢ αἴτιον καὶ αἰτιατόν; » Αὐτὸς μὲν φαίνεται τὴν προβολεὺς ἐπὶ τοῦ Πατρὸς φρονῶν λέξιν, οὐ μόνον ὅτι τὸν αἴτιον αὕτη σημαίνει τοῦ Πνεύματος, ἀλλ' ὅτι καὶ εἰς ὑποστατικὴν ἀποκεκλήρωται ἰδιότητα τῷ Πατρί· σὺ δέ, ὅπως ἐν ἄλλοις καὶ κατ' ἀμφοτέρας ταύτας ἂν ἀπονέμει σημασίας τῇ λέξει ἑαυτῷ ἐναντιοῦται καὶ διαμάχεται, σκόπει. Ἐν γὰρ μέρει τοῦ τόμου αὐτοῦ πρὸς τοὺς τὸν Πατέρα τοῦ Πνεύματος αἴτιον διὰ τοῦ Υἱοῦ λέγοντας, καὶ τοῦτο ἀπὸ τῆς « προβολεὺς διὰ Λόγου » ἀποδεικνύντας ῥήσεως, τὸν ἀγῶνα ποιούμενος, μετὰ τὰ πολλὰ τῆς πρὸς αὐτοὺς ἀντιῤῥήσεως καὶ ταῦτα ἐπάγει· « Πίστιν δὲ τοῦ λόγου τούτου κομίζουσι τὴν τοῦ θείου Δαμασκηνοῦ ῥῆσιν, τὴν ὅτι Προβολεύς ἐστι τοῦ ἐκφαντορικοῦ Πνεύματος ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ· ἥτις καὶ οὐδαμῶς εἰς τοῦτον φέρει τὸν νοῦν. Ἀλλὰ βούλεται τρανῶς τὴν δι' Υἱοῦ ἐκ Πατρὸς τοῦ Πνεύματος παριστάνειν φανέρωσιν. » Ταῦτα ἐν τῷ δευτέρῳ αὐτοῦ τόμῳ αὐτολεξεὶ οὕτω Κύπριος λέγων, ὅρα εἰ μὴ καὶ κατ' ἀμφοτέρας, ἃς ἐν τῷ πρώτῳ τόμῳ τῇ *προβολεὺς* ἀπονέμει λέξει σημασίας, ἑαυτῷ διαμάχεται, εἰ τὸν τοῦ Πνεύματος αἴτιον ἐκεῖ, ὡς καὶ τῇ ἀληθείᾳ δοκεῖ, τὸν προβολέα ἐκδέχεται, τὴν ἐκ Πατρὸς τοῦ Πνεύματος φανέρωσιν ἠλοῦν τὴν λέξιν, ὅπερ οὐχὶ τῇ ἀληθείᾳ δοκεῖ, ἐνταῦθα νομοθετεῖ, εἰς ὑποστατικὴν ἰδιότητα. Ἐκεῖ ὅπερ οὐδ' αὐτὸ τῇ ἀληθείᾳ δοκεῖ τὴν λέξιν ἀποκληροῖ τῷ Πατρί· προβολέα ἐνταῦθα τοῦ Πνεύματος διὰ τοῦ Λόγου τὸν Πατέρα εἶναι δεχόμενος σημαντικὸν τῆς ἀμφοῖν ἐπὶ τῇ προβολῇ κοινωνίας, ὃ καὶ αὐτὸ τῇ ἀληθείᾳ δοκεῖ, τὴν ῥῆσιν εἶναι ἐπικυροῖ. Τί οὖν ἐπὶ πᾶσι τούτοις δοκεῖ σοι διαπραττόμενος Κύπριος; Τί; Πάντως ἄλλο οὐδὲν ἢ ἑαυτὸν ἑαυτῷ ἀποφαίνων ἐναντιούμενον. Τὴν δέ γε τοιαύτην ἐναντιότητα εἴ τις δίστομον ἀποκαλέσει μάχαιραν παρ' αὐτοῦ Κυπρίου καθ' ἑαυτοῦ τῷ ἀντιδίκῳ ἐγχειριζομένην αὐτοῦ, τῆς ἀληθείας ἁμαρτήσει οὐδέν. Δύο γὰρ σημασιῶν ἐννοίας ἰσοπόσοις ἐννοιῶν ἀνατρέπων ἐναντιότησι, δίστομον ὡς ἀληθῶς μάχαιραν, καθ' ἑαυτοῦ χαλκουργεῖ. Καὶ σκόπει δὴ πά τν κἀνταῦθα, εἰ μὴ δι' ἀλλήλων ῥήσεις ἀνατρέπει τὰς ἑαυτοῦ. Τοῖς γὰρ τὸν Πατέρα αἴτιον τοῦ Πνεύματος διὰ Υἱοῦ ἀπὸ τῆς προβολεὺς διὰ λόγου ἀποδείκνυσι ῥήσεως διαμαχόμενος, προτείνει μὲν ὡς εἰς ἀνασκευὴν δῆθεν, ἣν αὐτὸς ἄξιαν σκότους πλάττει φανέρωσιν, ταύτην ὑπὸ τῆς προβολεὺς σημαίνεσθαι λέξεως διατεινόμενος, παρ' αὐτὰ δὲ τὸ στόμα ἐμφράγνυται τὴν αὐτοῦ ἀντιπροτεινόντων ὁμολογίαν αὐτῶν, καθ' ἣν τὴν προβολεὺς αὐτὸς λέξιν εἰς τὸν τοῦ Πνεύματος αἴτιον ἐξελάβετο, τοῖς αὐτοῖς πάλιν ἀπὸ τῆς αὐτῆς ῥήσεως τὴν Υἱοῦ καὶ Πατρὸς ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος ἀποδείκνυσιν ἐναντιότητα ἐναντιούμενος, προτείνει μὲν ὡς ἀνατρεψὴν δῆθεν, ἣν αὐτὸς ἐπλάσατο ὑποστατικῆς σημασίαν ἰδιότητος, ὅπου τὴν πατρικὴν οὐσίαν τὴν

A 11. Unum præterea cum addidero a prædictis minime diversum, finem orationi ponam. In primi tomi rursus pericopis veluti hæsitans scribit : « Quomodo erit secundum essentiam Pater, aut productor, aut Filius et Spiritus, aut causa et causatum? » Videtur ipse productoris vocem de Patre, non tantum quod causam denotat Spiritus, sed etiam quas' illa ad significandam Patris proprietatem hypostaticam posita sit, assumere. Tu porro, quomodo inter alia etiam secundum hos duos significatus, quos dictioni assignat, sibi contraria dicit, et secum pugnat, considera. Quodam enim in loco sui tomi adversus eos, qui Patrem Spiritus causam per Filium asserunt; idque a dicto « productor per Verbum » demonstrant, certamen iniens, postquam multa B adversus eos exaggerasset, addit : « Ad hujusce vero sermonis confirmationem arripiunt divini Damasceni dictum : Productor nempe est revelantis Spiritus Pater per Filium, quod ad rem nihil facit, cum velit aperte ostendere, Spiritum ex Patre per Filium manifestari. » Hæc secundo tomo iisdem verbis prosequens Cyprius, considera, annon secundum ambas, quas primo tomo voci *productoris* significationes attribuit, secum ipse pugnet. Ibi productorem ad notandum causam Spiritus, uti veritas poscere videtur, accipit, et nihilominus hic ex Patre Spiritus manifestationem vocem indicare, quod alienum a vero est, in hypostaticam proprietatem asseruit. Ibi, quod nec ipsum cum veritate consonat, Patri soli vocem vindicat : productorem C hic Spiritus per Verbum Patrem esse acceptans, utriusque in productione communionem, quod ad verum quam proxime accedit, dictionem significare determinat. Quid igitur in his omnibus videtur tibi Cyprius peragere? Quid? Nil aliud quam sibi semetipsi contraria blaterat, et similem contrarietatem si quis gladium bicipitem ab ipso Cyprio suis adversariis contra se porrectum nuncupaverit, ne ille a vero non aberraverit. Duarum siquidem significationum sententias, æqualibus sententiarum contrarietatibus evertens, bicipitem quam verissime gladium adversus se fabricatur. Et rursus attendito an num in iisdem dictiones suas per seipse destruat? Namque cum iis decertans, qui Patrem Spiritus causam per Filium ex productoris per Filium dictione demonstrant, proponit quidem quasi refellens, quam, dignam quæ tenebris obruatur, manifestationem communiscitur, dum illam indicari productoris voce contendit. Verum statim os illi obstruitur, si confessionem ab ipso factam reponas, qua productoris vocem ad Spiritus causam denotandam assumpsit, ex iisdem rursus et eadem dictione Filii et Patris in causa Spiritus contra se opponit, contrarietatem importat : cum proponit, quasi refelleret, quam ipse commentus est hypostaticæ proprietatis significationem, et paternam essentiam productione Spiritus spoliat, et sola tanquam alicui, quæ essentia destitueretur, Patris hypostasi eam tribuit : eodem momento os ipsius

Digitized by Google Распознавание текста ABK/FR

obturabis, si illius confessionem ipsi contra oppo- A nas, qua ipse, productorem per Filium Patrem asserens dictum, communionem denotare interpretatur, et quas ipse excogitaverat manifestationes.

τοῦ Πνεύματος προβολὴν ἀφῃρεῖτο, καὶ μόνῃ ὥσπερ τινὶ ἀνουσίῳ τῇ τοῦ Πατρὸς ὑποστάσει ταύτην ἀπένεμε· παρ' αὐτὰ δὲ τὸ στόμα ἐμφράγνυται τὴν αὐτοῦ ἀντιπροτεινόντων ὁμολογίαν αὐτῶν, καθ' ἣν αὐτὸς τὴν προβολέα διὰ Λόγου τὸν Πατέρα λέγουσαν ῥῆσιν τὴν κοινωνίαν δηλοῦν ἐξηγεῖτο τῶν, ὡς αὐτὸς ᾤετο, φανερώσεων.

12. Sic res divinas pertractare, qui ad summum sapientiæ se exaltat, semetipsum instruxit; sic Scripturas exponere, qui cognitione per aerem et in sublimi suspensus vagatur: sic opponentibus respondere, qui magnis cogitationibus inflatur. Tu porro ex his quæ diximus omnibus, quidquid petilisti abunde a nobis pertractatum, possidens (ubi enim, et quibus in rebus, et qua ratione Cyprius sibi contradicit, exacte indicavimus) reliquas nostras scriptiones legere ne detrectes, illic siquidem reliqua illius blaspheme dicta, quibus non seipsum sed veritatem tantummodo oppugnat, deprehenduntur.

ιβ'. Οὕτω θεολογεῖν, ὁ εἰς αὐτὸ τὸ τῆς σοφίας ἐπηρμένος ἀκρότατον ἐπαίδευσεν ἑαυτόν· οὕτω τὰς Γραφὰς ἐξηγεῖσθαι, ὁ τὴν γνῶσιν ἀεροπόρος· οὕτως τοῖς ἀντιδιατιθεμένοις ἀντιλογεῖν ὁ τὸ φρόνημα ὑψηλός. Σὺ δὲ ἐκ τῶν εἰρημένων πάντων πᾶν ὅπερ ἠτήσω ἱκανῶς ἀφοσιωθέν σοι παρ' ἡμῶν ἐσχηκὼς (ὅποι γὰρ καὶ ἐν τίσι, καὶ ὅπως ἑαυτῷ Κύπριος ἐναντιοῦται, ἀκριβῶς ἡμεῖς δεδηλώκαμεν), μηδὲ B τῶν ἄλλων ἡμετέρων ἀμέλει γραφῶν, δι' ὧν αἱ λοιπαὶ τῶν βλασφημιῶν αὐτοῦ, ἐν αἷς μὴ ἑαυτῷ, τῇ δ' ἀληθείᾳ μόνῃ ἐναντιοῦσθαι συμβαίνει αὐτὸν, ἐξελέγχονται.

ΤΟΥ ΑΥΤΟΥ

ΤΩΝ

ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ

ΤΟ ΔΕΥΤΕΡΟΝ.

—

EJUSDEM

AD CONSTANTINUM

LIBER SECUNDUS.

—

1. Neque secundam tuam petitionem rejicimus, C sed eam excipientes, æque atque primam pertractabimus, et absolvemus, stultas siquidem ac futiles Cyprii nugas, quibus ille seipsum implicat, in his, quæ veritatem oppugnans concinnavit, scriptoque tradidit, nostra scriptione, uti petieras, patefecimus: et quam nunc rursus exposcis, scripto tibi consignari solutionem eorum, quæ novissime et præter communem usum pronuntiata in dogmate, de processione ex Patre per Filium Spiritus inaudisti, promptissime labore suscepto exsolvemus. Et jam audi, et animo volvito, annon prudenter ista dicantur, quæ nec minimum quidem a veritate deerrant.

α'. Οὐδὲ τὴν δευτέραν σὴν ἀποπέμπομεν αἴτησιν, ἀλλὰ προσιέμενοι καὶ αὐτὴν, οὐδὲν τῆς προτέρας ἔλαττον ἐκπεραίνομεν. Τά τε γὰρ Κυπρίου μωρὰ ληρωδήματα, ἐφ' οἷς αὐτὸς ἑαυτῷ ἐν τοῖς κατὰ τῆς ἀληθείας αὐτοῦ περιπίπτει συγγράμμασιν, ἐγγράφως σοι ὅπερ ᾐτήσω πρὶν ὑπεδείξαμεν· καὶ ἃ πάλιν ἀρτίως αἰτεῖς ἔγγραφον τὴν λύσιν ἡμᾶς ἀπαιτῶν, ὧν καινοτέρως ἐπὶ τῷ δόγματι τῆς ἐκ Πατρὸς δι' Υἱοῦ τοῦ Πνεύματος ἀκήκοας ἐκπορεύσεως ἑτοίμως ἐκπληροῦν ὑφιστάμεθα. Καὶ δὴ ἄκουε, καὶ λογίζου, εἰ μὴ συνετῶς ταῦτα, καὶ τῆς ἀληθείας μηδὲν λειπόμενα οὐδαμῶς.

2 Qui dictiones novas usurpat, veluti sumptionem præponens, non esse idem exsistentiam, et D

β'. Ὁ μὲν τὰ καινὰ τῶν ῥημάτων εἰπὼν, ὥσπερ τι λῆμμα τιθέμενος πρότερον, μὴ ταυτὸν εἶναι ὕπαρ-

Digitized by Google Распознавание текста ABK/FR

ξιν καὶ τρόπον λέγειν ὑπάρξεως. « Εἴπερ ἡ μὲν πράγματός ἐστι καὶ οὐσίας σημαντικὴ ἡ ὕπαρξις, ὁ δὲ τῆς ὑπάρξεως τρόπος διαφορᾶς τῆς πρός τι ἕτερον ὑπαρκτὸν θεωρουμένης δηλωτικός, οὐ καλῶς ἔλεγε τὴν Υἱοῦ καὶ Πατρὸς ἑνότητα ἐπὶ τῇ τοῦ Πνεύματος αἰτίᾳ συνάγειν τοὺς ταύτην συνάγοντας, ἀπὸ τοῦ τοὺς Πατέρας ἡμῶν τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν θεολογῆσαι τοῦ Πνεύματος. Εἰ γὰρ οὐκ αὐταῖς φωναῖς ὕπαρξιν, ἀλλ' ἐκπόρευσιν δι' Υἱοῦ οἱ Πατέρες εἰρήκασιν, ἔφη, τρόπος δὲ ὑπάρξεως, οὔμενουν ὕπαρξις ἡ ἐκπόρευσις, οὐκ ἂν εἴη τὸ μὴ βεβαίως μηδ' ὡρισμένως τὴν ὕπαρξιν ἔχειν λεγόμενον δι' Υἱοῦ, αἴτιον αὐτὸν ἔχον, δι' οὗ θεολογεῖται ἐκπορευόμενον. » Ταῦτα μὲν τὰ τῆς καινῆς ἐπὶ τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος ἐξηγήσεως συντείνοντα, ὡς τῷ ἐξηγουμένῳ δόκει, τοῖς τὴν ἑνότητα Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ αἰτίᾳ μὴ καταδεχομένοις τοῦ Πνεύματος. Ἡμεῖς δὲ, εἴγε τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν μηδὲν ἄλλο ἢ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν σημαίνουσαν ἀποδείξομεν, οὐ μόνον οὐδὲν τοὺς τὴν ἑνότητα Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος ἀρνουμένους ἀπόνασθαι τῆς ἐξηγήσεως ἐάσομεν, ἀλλὰ καὶ βιαιοτέραν αὐτοῖς ὅτι μάλα τὴν ἀνάγκην ἐπάξομεν, τοῖς τὴν ἑνότητα ταύτην ὁμολογοῦσι συντεθῆναι ἡμῖν. Εἰ γὰρ οὐδὲν τοῦ ἰδίοις πτεροῖς ἁλίσκεσθαι ἰσχυρότερον, ὁ διὰ τὸ μὴ τοὺς Πατέρας αὐταῖς φωναῖς ὕπαρξιν, ἀλλ' ἐκπόρευσιν δι' Υἱοῦ εἰρηκέναι, τὸ αἴτιον ἀφαιρῶν τὸν Υἱὸν, δῆλον ὡς τὴν ὕπαρξιν ἀποδεικνύντων ἡμῶν διὰ Υἱοῦ, ἰσχυραῖς ταῖς ἀνάγκαις δώσει αὐτό. Ἐπεὶ μηδ' ἔστι δυνατὸν οὐδαμῶς τὸν τῇ ἀποφάσει τῆς ὑπάρξεως ἀφαιροῦντα τὸ αἴτιον μὴ τοῦτο δοῦναι τῇ καταφάσει, καὶ μάλιστα ὅτε μέλον ἐστὶν αὐτῷ, ὅπερ καὶ πᾶσι τοῖς ἐναντιουμένοις ἡμῖν οἶσθα προσὸν, λόγοις καὶ κανόσιν ἐμφιλοσόφοις προσδιαλέγεσθαι.

γ'. Ἀλλ' ὅπως μὲν λόγοις τοιούτοις καὶ κανόσι τοιοῖσδε οἱ ἀντιλέγοντες ἡμῖν προσανέχουσιν, ὡς ἀκριβῶς λέγειν τὸ παρὸν, ἑαυτόν ἐστί. Βραχὺ δὲ τοῦτο μόνον εἰρηκότες ἡμεῖς, ὡς πᾶσα τούτοις ἡ περὶ τοῦτο σπουδὴ, ὡς ἂν ἐντεῦθεν χώραν οἱ παραλογισμοὶ, οἷς τὰ πολλὰ τεθήπασι, σχοῖεν, τὸ πᾶν τοῦ λόγου πρὸς ἀπόδειξιν τοῦ μηδὲν ἄλλο ἢ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν τὴν ἐκ Πατρὸς δι' Υἱοῦ σημαίνειν ἐκπόρευσιν τοῦ Πνεύματος τρέψομεν, ὅπως ἂν αὐτοῖς πολλῇ τῆς δίκης περιουσίᾳ τὴν εἰρημένην τῆς ὁμολογίας ἀνάγκην ἐπάξωμεν. Ἔσται δὲ ἡμῖν ἡ ἀναγκαστικὴ τῆς ὁμολογίας ταύτης ἀπόδειξις ῥᾷον προβαίνουσα, οὕτω δὴ τὸν λόγον πρὸς αὐτὸν ἐκεῖνον τὸν ἐξηγούμενον ἀποτείνουσιν. Ἆρ', ὦ βέλτιστε, διὰ τοῦτό σοι ἄλλο μὲν ὕπαρξις, ἄλλο δὲ ὁ σῆς ὑπάρξεως τρόπος δοκεῖ, ὅτι οὐσιωδῶς; μὲν ἡ ὕπαρξις, εἰς διαφορᾶς δὲ λόγον ὁ τῆς ὑπάρξεως τρόπος κατηγορεῖται τοῦ ὑπαρκτικοῦ; Διὰ τοῦτο πάντως; καὶ οὐκ ἄν τι ἄλλο ἔχεις εἰπεῖν. Ἀλλὰ τὸ δοκοῦν σοι τοῦτο στιβαρὸν καὶ δυσάντητον, ὡς ἱστὸς ἀράχνης, διαλυθήσεται, μηδὲν ἄλλο τὸν τῆς ὑπάρξεως τρόπον ἢ τὴν τοιάνδε δηλοῦν ἀντιπροτεινόντων ἡμῶν ὕπαρξιν. Εἰ γὰρ τοιάνδε ὕπαρξιν ὁ τῆς ὑπάρξεως τρόπος δηλοῖ,

A exsistentiæ modum : « Si existentia rem, essentiamque significat, exsistentiæ autem modus differentiam, qua respectu alterius exsistentia consideratur, denotat, male quidem asserebat, Filii et Patris unitatem in Spiritus causa colligere, qui eam colligebant ex eo, quod Patres nostri ex Patre per Filium Spiritus processionem statuere. Etenim licet non iisdem verbis exsistentiam sed processionem per Filium Patres vocavere, modus exsistentiæ, non item exsistentia processio est, quod certe ac determinate per Filium exsistentiam habere dicitur, causam illum sui habet, per quem procedere asseritur. » Hæc sunt novæ de processione ex Patre per Filium Spiritus interpretationis commenta, quæ conferunt, ut interpreti videtur, coadjuvantque illos, qui
B unionem Patris et Filii in causa Spiritus non probant. Nos porro, si ex Patre per Filium processionem nil aliud quam ex Patre per Filium exsistentiam significari ostenderimus, non solum nihil utilitatis hac interpretatione accedere unionem Patris et Filii in causa Spiritus pernegantibus permittemus, sed violentius ipsos cogemus, nobis hanc unionem asserentibus manus dare, et in nostram ire sententiam. Etenim si nihil validius est, quam propriis aliis capi, qui, quod Patres non iisdem vocibus exsistentiam sed processionem per Filium expressere, causam aufert a Filio, manifestum remanet, si nos exsistentiam per Filium demonstraverimus, valida necessitate coactum,
ἄναρχον αἴτιον, καὶ ἀρχικὴν κατὰ τὸν Πατέρα δόξαζεν ῥίζαν τοῦ Πνεύματος, ἠκολούθει ἂν ἡμᾶς μὲν ταῦτα λέγειν καὶ γράφειν, ὡς τῆς τοιαύτης κατ' ἀνάγκην ἀπαιτούσης δόξης αὐτά· σὲ δὲ τούτοις πρὸς ἔλεγχον χρῆσθαι τὸν καθ' ἡμῶν. Πῶς οὖν οὐχὶ προδήλως τὸ καὶ τὸ λέγειν ἡμᾶς ἔφης, εἴπερ καὶ ἀποδεῖξαι ταῦτα λέγειν ἡμᾶς; Ἢ δηλῶν ὡς μὴ ἔχων τοιοῦτό τι καθ' ἡμῶν ἀποδεῖξαι, τούτων μὲν λέγεις οὐδέν, μόνῃ δὲ τῇ λέξει ἐπικάθῃ πανούργως, καὶ εἰς τοιαύτην ἡμᾶς τὴν ἔννοιαν ἐκλαμβάνειν τὴν ἐκ πρόθεσιν ἐπὶ τοῦ Υἱοῦ διαβάλλεις, εἰς οἷαν οὐδείς τῶν ἁγίων ποτέ. Ταῦτα, ὦ φιλότης, ἡ ἔννοια τῶν ἡμῖν εἰρημένων, ἐφ' οἷς καθ' ἡμῶν Κύπριος ἐπὶ τῇ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος εἶρηκε δύναται. Καὶ ταῦτά σοι λύσις τῶν διηπορημένων γινόμενα, τῆς τε σῆς ἀπορίας παριστᾶσι τὸ ἔλλογον, καὶ τὸν ἐπὶ τῇ ἀπορίᾳ σκοπὸν μηδὲν ἧττον μετέχειν ἀποφαίνουσι τούτου. Οἷς μὲν γὰρ πῶς μὲν προσιεμένους ἡμᾶς τὴν ἐκ Πατρὸς καὶ Υἱοῦ καταλαμβάνων ἐκπόρευσιν, πῶς δὲ πρὸς αὐτὴν ἀντιλέγοντας, τὸ τῶν ἐπικαθημένων ταῖς λέξεσι περίεργον ὑφορᾷ, καὶ μὴ παρδικῶς ἐπιὼν ταύτας διαπορεῖς, τὸ τῆς ἀπορίας ἔλλογον παριστᾷς· οἷς δὲ πολλοῦ τὸ μετὰ συνέσεως προεπισκεπτικὸν ἀξιῶν, τὴν τῶν ἐσομένων ποτὲ εἰς διαπόρησιν λύσιν πόρρωθεν προαποσκοπεύμενος, ἑαυτῷ προαποταμιεύῃ τὸν ἐπὶ τῇ ἀπορίᾳ ταύτῃ σκοπὸν, τῶν πάνυ κρίνειν ἑλλόγων πείθεις τὸν ἐντυγχάνοντα. Ἀλλὰ ταῦτα μὲν ταύτῃ, κἂν τούτοις ἀρκούντως ἡ ἀπορία σοι λέλυται.

A palem causam indicandam, ut tua accusatio vult, assumimus, ita ut duo principia introducantur, et Filius absque principio causa, et principalis, uti Pater est, radix Spiritus reputetur, sequeretur nos similia dicere et scribere, cum similis opinio necessario talia requirat, te vero ad nos redarguendos hæc producere, quanam ratione non aperte hoc et hoc nos dicere scripsisti, aut ea demonstrasti nos dicere? Annon profecto manifestum fit, te nihil habere simile, quod nobis opponas, ideoque te nihil ex memoratis afferre? tantummodo maligne dictioni inhæres, et in eum significatum nos præpositionem ex de Filio, inquam nullus unquam ex sanctis Patribus assumere, criminaris. Hæc, o amice, dictorum nostrorum, quæ adversus nos B Cyprius in processione ex Patre et Filio Spiritus, attulit, vis et sententia est, et ea cum dubitationem prorsus tollant, tuum dubium non esse a ratione alienum probant, et finem quoque in hac hæsitatione non minus rationi consentaneum ostendunt. Cum enim nos nunc ex Patre et Filio processionem amplectentes deprehendis, nunc illi contradicentes, eorum qui in perquirendis dictiunculis assidui sunt, curiositatem perspicis, et similia tu non excurrens per transennam dubia movens, dubitationis solertiam rationi nixam confirmas: cum vero cordate admodum futuris prævisis addubitas, et e longinquo solutionem investigaris, tibi multum antea reservas, circa illam dubitationem scopum tuum quam maxime rationi consentaneum reputare singulos quosque persuades. Sed hæc ita se habent, et mota circa ea difficultas abunde satis sublata est.

ε'. Ἐπεὶ δὲ αὖθις, νῦν μὲν ἀκούων ἡμᾶς σὺ, ἓν τοῦ Πνεύματος αἴτιον τὸν Πατέρα καὶ τὸν Υἱὸν λέγοντας, νῦν δὲ τῷ Πατρὶ τὸ ἐπὶ τῇ αἰτίᾳ πρῶτον καὶ ἀρχικὸν ἀπονέμοντας καὶ ἄναρχον αὐτὸν ἀποκαλοῦντας προβολέα τοῦ Πνεύματος, ἐντεῦθεν προστιθεὶς ἐρωτᾷς, πῶς ἂν εἴη καὶ τὴν τῆς αἰτίας ἑνότητα τοῦ Πατρὸς ἅμα κατηγορεῖν καὶ Υἱοῦ, καὶ τὴν τοῦ πρώτου καὶ ἀρχικοῦ διαφορὰν μόνῳ ἑνοῦσαν τῷ Πατρὶ φρονεῖν ἀσφαλῶς, εἴ γε ἡ μὲν ἑνότης τὸ ταυτὸν ἀπαιτεῖ, τὸ δὲ μὴ ταυτὸν ἡ διαφορά; Εἰ μὲν, ὡς καὶ ἄλλοι τὴν ἀλήθειαν ἐπηρεάζοντες, ἀντιλέγων οἶσθα καὶ σὺ πρὸς τὴν ἐκ πολλῶν γραφῶν θεολογικῶν ἀναφαινομένην ἑνότητα τοῦ Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος· οὐδέν τι ἂν ἕτερον ταῦτα ἐρωτῶντί σοι ἀπελογησάμεθα, ἢ ὅτι Ὁ μὴ τὴν ἑνότητα δεχόμενος πῶς περὶ τῶν τῇ ἑνότητι ἕπεσθαι ἀπηνημένων διαπορεῖς; ἐπεὶ δὲ οὐκ ἐπηρεάζων, ἀλλὰ τοὺς ἐπηρεαστὰς ἐπιστομίζειν μᾶλλον βουλόμενος, ὡς πρὸς τὴν τῆς ἑνότητος ταύτην παραδοχὴν, ἅπαξ ὑπὸ τῶν θεολογικῶν γραφῶν καὶ ὁδηγηθεὶς καὶ πεισθεὶς, τὰ διηπορημένα διαπορεῖς, ὁ λυτικὸς τῶν ἀπορίων οὕτως σοι κἀνταῦθα λόγος δοθήσεται. Οἶδας ὡς, διαφόρων τρόπων τῶν τῆς ἀποδείξεως ὄντων, ὁ κατὰ τῶν ἄλλων ἔχων τὸ κράτος ἐκ τινων προεγνωσμένων καὶ ὁμολογουμένων προσαίνων ἐστίν. Ἐπεὶ οὖν ἡ πᾶσά σου ἀπορία περὶ τοῦ πῶς ἐστι, καὶ τὴν ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος τὴν ἑνότητα τοῦ Πατρὸς ἅμα κατηγορεῖν καὶ Υἱοῦ, καὶ

C 5. Cum vero rursus nunc nos audiens unam Spiritus causam Patrem et Filium esse asserentes: nunc Patri in causa primas ac potissimas partes attribuentes, eumque citra principium productorem Spiritus nuncupantes, arrepta occasione postulas, quomodo id fieri poterit, ut causæ unitas de Patre et Filio prædicetur, et primarii atque præcipui discrimen tantum Patri inesse, absque errore existimetur, si unitas unum idemque requirit, discrimen vero quod non est neque unum neque idem? Si tu, uti et alii veritatis calumniatores, quæ ex multis theologicis testimoniis stabilitur, unitatem Patris et Filii in causa Spiritus oppugnares, nihil ultra ad tuam interrogationem respondissemus quam illud, Qui unionem non admittis, D quomodo in iis, quæ unitatem necessario consequuntur, hæsitas? Quando vero non calumnians, sed calumniantium os obstruere cupiens; ad hanc enim unionem acceptandam semel scriptis theologicis manu ductus es suasusque; dubia proponis, hic tibi quoque ratio quæ dubia prorsus tollat, assignabitur. Cum duo sint demonstrationis genera, quod ex quibusdam præcognitis et minime dubiis est, plus pollere ac potius esse judicatur. Quando igitur universa tua dubitatio sita est, qua ratione unitas Patris semel ac Filii in causa Spiritus prædicetur, et primarii atque principalis discrimen Patri inesse absque errore asseratur: si unitas

Digitized by Google Распознавание текста ABK/FR

unum idemque requirit, discrimen vero quod non est neque unum, neque idem, assumenda sunt a nobis ex iis, quæ theologicis scriptis decernuntur illa, quibus freti, qui theologica tractant, et unionem Patris et Filii fatentur, et primarii ac principalis in Patre discrimen non negant, indeque dubiorum solutio comparanda. Enimvero si in cunctis, in quibus secundum communia theologica axiomata Patris et Filii unitas asseritur, Patris primarium et principale non inficiantur, planum est, dum in causa Spiritus, Patris et Filii unitatem semel concesserint, primum quoque et principale Patri concedere modis omnibus cogi. Quare concessas jam unitates, et in his primarii ac principalis discrimina, ad propositam unitatem et discrimen comprobandum accipiemus. Et primum unam esse Patris et Filii deitatem apud omnes in confesso est, neque propterea in Deitate primarium ac principale Patri quispiam negaverit. Patris et Filii dominatus unus apud omnes in confesso est; neque propterea primarium ac principale Patri in dominatu quispiam negaverit. Patris et Filii in omnibus unus principatus apud omnes in confesso est; neque propterea primarium et principale Patri in principatu quispiam denegaverit. Patris et Filii rerum creatarum opificium unum apud omnes in confesso est: neque propterea primarium et principale Patri in opificio quispiam denegaverit. Patris et Filii unam esse operatricem facultatem apud omnes in confesso est, neque propterea in fabrefactorum creatione primarium et principale in operatrice facultate Patri quispiam denegaverit. Vides jam annumerata omnia certa ac firma esse, nullaque indigere demonstratione? Considera illa, atque ex illis certa ac constante confirmatione videbis, nullo modo a theologia discordare, in causa Spiritus unionem Patris simul et Filii prædicari, et primarii et principalis discrimen Patri absque errore attribui.

A τὴν τοῦ πρώτου καὶ ἀρχικοῦ διαφορὰν ἐνοῦσαν τῷ Πατρὶ φρονεῖν ἀσφαλῶς, εἴ γε ἡ μὲν ἑνότης τὸ ταυτὸν ἀπαιτεῖ, τὸ δὲ μὴ ταυτὸν ἡ διαφορὰ, ἔστι λαβόντας ἡμᾶς ἀπὸ τῶν περὶ Πατρὸς καὶ Υἱοῦ ἐν γραφαῖς εἰρημένων ταῖς θεολογικαῖς ἐκείνα, ἐφ' οἷς πᾶς ἀνὴρ θεολογικὸς καὶ ἑνότητα Πατρὸς ὁμολογεῖ καὶ Υἱοῦ, καὶ τὴν τοῦ πρώτου καὶ ἀρχικοῦ διαφορὰν τῷ Πατρὶ συνομολογεῖ, ἐντεῦθέν σοι τὴν τῶν διηπορημένων λύσιν ποιήσασθαι. Εἰ γὰρ ἐπὶ πᾶσιν, ἐφ' οἷς κατὰ κοινὰς ἐννοίας θεολογικὰς ἑνότης ὁμολογεῖται Πατρὸς καὶ Υἱοῦ, οὐδὲ τὸ τοῦ Πατρὸς πρῶτον καὶ ἀρχικόν ἐστιν ἀπαρνούμενος, εὔδηλον ὡς καὶ τοῖς ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος ἑνότητα Πατρὸς καὶ Υἱοῦ ἅπαξ διωμολογηκόσι, καὶ τὸ πρῶτον καὶ ἀρχικὸν διδόναι τῷ Πατρὶ ἀπαραίτητον. Καὶ γοῦν τὰς B ὡμολογημένας ἑνότητας, καὶ τὰς ἐπὶ ταύταις τοῦ ἀρχικοῦ καὶ πρώτου διαφορὰς, πρὸς τὴν τῆς ζητουμένης ἑνότητος καὶ διαφορᾶς ληπτέον ἡμᾶς πίστωσιν. Αὐτίκα ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ θεότης μία εἶναι πᾶσι συνωμολόγηται· ἀλλ' οὐδὲ τὸ ἐπὶ τῇ θεότητι πρῶτον καὶ ἀρχικὸν τοῦ Πατρός ἐστιν ὁ ἀπαρνούμενος. Ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ κυριότης μία εἶναι πᾶσι συνωμολόγηται· ἀλλ' οὐδὲ τὸ ἐπὶ τῇ κυριότητι πρῶτον καὶ ἀρχικὸν τοῦ Πατρός ἐστιν ὁ ἀπαρνούμενος. Ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ ἐπὶ τοῖς πᾶσιν ἀρχὴ μία εἶναι πᾶσι συνωμολόγηται· ἀλλ' οὐδὲ τὸ ἐπὶ τῇ ἀρχῇ πρῶτον καὶ ἀρχικὸν τοῦ Πατρός ἐστιν ὁ ἀπαρνούμενος. Ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ τῶν δεδημιουργημένων δημιουργία μία εἶναι πᾶσι συνωμολόγηται· C ἀλλ' οὐδὲ τὸ ἐπὶ τῇ δημιουργίᾳ πρῶτον καὶ ἀρχικὸν τοῦ Πατρός ἐστιν ὁ ἀπαρνούμενος. Ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ ποιητικὴ δύναμις μία εἶναι πᾶσι συνωμολόγηται· ἀλλ' οὐδὲ τὸ ἐπὶ τῇ τῶν πεποιημένων ποιήσει πρῶτον καὶ ἀρχικὸν τοῦ Πατρός ἐστιν ὁ ἀπαρνούμενος. Ὁρᾷς ὅπως τὰ ἀπηριθμημένα πάντα τῶν ὡμολογημένων εἰσὶ, καὶ οὐδεμιᾶς δεομένων τῆς ἀποδείξεως; Ὅρα ταῦτα, καὶ ἐξ αὐτῶν κραταιὰν λαμβάνων τὴν πίστωσιν τοῦ μηδὲν τῇ θεολογίᾳ εἶναι ἀπᾷδον, καὶ τὴν ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος ἑνότητα τοῦ Πατρὸς ἅμα κατηγορεῖν καὶ Υἱοῦ, καὶ τὴν τοῦ πρώτου καὶ ἀρχικοῦ διαφορὰν ἐνοῦσαν τῷ Πατρὶ φρονεῖν ἀσφαλῶς.

6. Et huc usque tuæ interrogationis dubitationisque solutionem pertingere prorsus discito, et rationes, quibus ducti theologi similia enuntiata decernunt: namque de his etiam, licet non interrogati, dicemus, ne te fugiant. Namque Dominus in Evangeliis nunc quidem ad Judæos convertens orationem: « Quemadmodum Pater exsuscitat mortuos, et vivificat, sic et Filius, quos vult, vivificat [25], » dixit. Item ad eosdem: « Quemadmodum Pater vitam habet in seipso, ita dedit et Filio vitam habere in seipso [26]. » Prætereaque ad eosdem: « Ego et Pater unum sumus [27]: » nunc ad discipulos: « Quæcunque habet Pater, mea sunt [28]; » nunc ad ipsum Patrem: « Mea omnia tua sunt, et tua mea [29]. » Quicunque pie theologica tractare cupiunt, in deitate, et dominatu, et om-

ς'. Μέχρι τοῦδε καὶ τὴν τῆς δευτέρας ἐρωτήσεως καὶ ἀπορίας σοι λύσιν περιισταμένην μάνθανε ἀκριβῶς, μηδὲ τοὺς λόγους καθ' οὓς αἱ εἰρημέναι ὁμολογίαι τοῖς θεολόγοις πρεσβεύονται· ἐροῦμεν γὰρ καὶ D περὶ τούτων, καὶ μηδὲν ἐρωτώμενοι, ἀγνοῶν. Ὅτι μὲν γὰρ ἐν Εὐαγγελίοις ὁ Κύριος νῦν μὲν πρὸς τοὺς Ἰουδαίους, « Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτως, » ἔφη, « καὶ ὁ Υἱὸς, οὓς θέλει ζωοποιεῖ. » Καὶ πάλιν πρὸς τοὺς αὐτούς· « Ὥσπερ ὁ Πατὴρ, εἶπε, ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. » Καὶ ἔτι πρὸς τοὺς αὐτούς· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » εἴρηκε. Νῦν δὲ πρὸς τοὺς μαθητὰς, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν. » Νῦν δὲ πρὸς αὐτὸν τὸν Πατέρα, « Τὰ ἐμὰ πάντα σά ἐστιν, καὶ τὰ σὰ ἐμά. » Πᾶσαν οἱ θεολογεῖν βουλόμενοι εὐσεβῶς τὴν ἐπὶ θεότητί τε καὶ κυριό-

[25] Joan. v, 21. [26] ibid. 26. [27] Joan. x, 30 [28] Joan. xvi, 15. [29] Joan. xvii, 10.

Digitized by Google Распознавание текста ABK/FR

τητι, καὶ πᾶσι τοῖς ἄλλοις ἑνότητα τοῦ Πατρὸς ὁμολογοῦσι καὶ τοῦ Υἱοῦ, καὶ πρὸς τὴν ὁμολογίαν ταύτην βεβαίαν ἔχουσαν οὕτω ἐκ τῶν Εὐαγγελίων τὴν σύστασιν ὁ ἀντιλέξων ἐστὶν οὐδείς. Ὅτι δὲ ὁ Πατὴρ μόνος τὸ πάντων τούτων ἄναρχόν ἐστιν αἴτιον, καὶ αὐτὸς μὲν ἐκ τινος ἑτέρου τούτων ἔχει οὐδέν, ὁ δὲ Υἱὸς πάντα ταῦτα ἐκ τοῦ Πατρὸς, διὰ τοῦτο πάλιν τῶν τὴν ὀρθὴν πρεσβευόντων θεολογίαν ἐστὶν οὐδείς, ὃς τὴν ἐπὶ πᾶσι τούτοις κατὰ τὸ πρῶτον καὶ ἀρχικὸν διαφορὰν οὐχ ὁμολογῇ τοῦ Πατρός. Ἵνα μὴ τί γένηται; Ἵνα μὴ παῤῥησίαν ἕξει καὶ πάλιν ἡ Σαβέλλειος σύγχυσις. Τὸ γὰρ τὴν τοιαύτην ἀπαρνεῖσθαι διαφορὰν, τῆς ἑνότητος ὁμολογουμένης, ἴσον τῷ Σαβέλλειῳ εἰς τὴν Τριάδα σύγχυσιν. Καὶ λόγος οὗτος λοιπὸν ἀναντίῤῥητος, καὶ τῆς ἣν ἐπὶ τῇ κατὰ τὸ πρῶτον καὶ ἀρχικὸν διαφορᾷ τοῦ Πατρὸς ὁμολογίας οἱ θεολόγοι πρεσβεύουσιν. Εἰ δὲ μὴ καὶ σοὶ δοκεῖ ἀναντίῤῥητοι πρὸς τοῦτο ἴσως διστάζοντι, διὰ τὸ μὴ πρὸς λέξιν οὕτω, πλὴν τῆς κατὰ τὸ πρῶτον καὶ ἀρχικὸν διαφορᾶς τοὺς Πατέρας θεολογεῖν, ὁποιπερ ἂν Πατρὸς ἑνότης μνημονεύηται καὶ Υἱοῦ, ἀλλὰ διαταγμοῦ τοῦ πρὸς τοῦτό σε ἀπαλλάξει πᾶσα γραφὴ θεολογικὴ, πάντα τὰ τῷ Πατρὶ προσόντα εἰληφέναι παρὰ Πατρὸς τὸν Υἱὸν, καὶ πάντα εἶναι αὐτὸν ὅσα καὶ ὁ Πατὴρ, καὶ πᾶν ὁτιοῦν ἰσόμετρον τῷ Πατρὶ ἔχειν, δίχα μόνου τοῦ Πατέρα εἶναι αὐτὸν φάσκουσα. Ἐπεὶ γὰρ τὸ ἐν τῇ Τριάδι ἄναρχον ἡ ῥίζα, τὸ πρῶτον καὶ ἀρχικὸν ὁ Πατὴρ ἐστι ταῦτα πάντα ῥηθεῖσα δύναται ἡ πατρότης, καὶ λοιπὸν διαφέρει οὐδὲν, πάντα εἶναι λέγειν τὸν Υἱὸν ὅσα καὶ ὁ Πατὴρ, δίχα μόνου τοῦ Πατέρα εἶναι αὐτὸν, ἢ δίχα τοῦ πρῶτον καὶ ἀρχικὸν αἴτιον εἶναι αὐτόν. Εἰ δὲ καί τινες τῶν γραφῶν τὴν τοῦ Πατρὸς καὶ αὐταὶ διδοῦσιν ἰσότητα τῷ Υἱῷ πλὴν τῆς ἀγεννησίας, καὶ ἕτεραι τὸ αὐτὸ ποιοῦσαι πλὴν τοῦ γεννᾷν, ἢ πλὴν τοῦ τεκεῖν φασι· καὶ αὗται δὲ διὰ τὸ τὴν πατρότητα τὰς λέξεις ταύτας δηλοῦν, τὸ πρῶτον καὶ ἀρχικὸν τοῦ Υἱοῦ διαστέλλουσαι, τῷ Πατρὶ ἀπονέμουσι. Ταῦτά σοι ἀπόδειξις ἱκανὴ τοῦ τοὺς Πατέρας καὶ τὴν κατὰ τὸ πρῶτον καὶ ἀρχικὸν διαφορὰν τοῦ Πατρὸς ἐπὶ πάσαις ταῖς τοῦ Πατρὸς, καὶ Υἱοῦ ἑνότησιν ὁμολόγως θεολογεῖν.

A nibus aliis unionem Patris et Filii confitentur, et simili confessioni certæ atque indubitatæ, et evangeliorum testimonio comprobatæ nemo prorsus contradixerit. Quoniam vero Pater solus horum omnium absque principio causa est, et ille quidem ex alio eorumdem nihil habet, Filius vero omnia hæc ex Patre, propterea rursus ex iis, qui rectam theologiam tenent, nullus hisce in omnibus primarii ac principalis discrimen Patri denegat. Quam ob causam? Ne rursus Sabelliana confusio confidenter divulgata, irrepat. Namque discriminis hujus negatio, dum unitas asserituir, æque atque Sabellius confusionem in Trinitatem introducit. Et rationi simili nemo repugnaverit, si quæ theologi de primarii et principalis discrimine Patris decernunt, consideraveris. Quodsi tibi aliud placet dubitanti, et contradici posse existimas, quod non iisdem verbis insinuant, et primarii ac principalis discrimen Patres excipiant, ubicunque Patris et Filii unitas commemoratur, verumtamen ab hæsitatione simili scripta omnia theologica liberabunt, quæ Patris omnia inesse ex Patre Filio, et omnia ipsum esse, quæ Pater est, et quidquid est, æquabili ratione cum Patre possidere, tantummodo si Patrem esse excipias, affirmant. Cum enim quod in Trinitate est absque principio, radix, primarium, et principale Pater est, hæc omnia, dum paternitas astruitur, inferuntur, hinc nullo discrimine dicitur, omnia esse Filium quæcunque dicitur Pater, excepto solummodo eum Patrem, necnon primariam et principalem causam esse. Sic nonnulla scripta Patris parilitatem, una excepta gignendi ratione, Filio tribuunt, et alia id idem comprobant, cum absque eo quod gignat, vel generet, insinuent, quod paternitas dictiones similes connotat, primarium ac principale a Filio dementes Patri cuncedunt. Et hæc tibi abunde demonstrabunt Patres, primarium et principale discrimen de Patre in omnibus Patris et Filii unitatibus uno ore decantare

B

C

ζ. Καὶ σὺ λοιπὸν ἤδη καὶ τὰς ὁμολογίας, καὶ τοὺς τῶν ὁμολογιῶν ἀκριβῶς μαθὼν λόγους, προτέτει καὶ τὸν κατ' ἐπίνοιαν μερισμὸν τῶν ἑνοτήτων, καὶ τῶν διαφορῶν, πρεσβεύειν πρόσεχε ἀσφαλῶς. Χρὴ γάρ τε ὁμολογοῦντα Θεὸν ἕνα, καὶ Κύριον ἕνα, καὶ μίαν πάντων ἀρχὴν, καὶ δημιουργὸν ἕνα, καὶ ποιητὴν ἕνα, ἔτι δὲ τοῦ Πνεύματος αἴτιον ἓν τὸν Πατέρα καὶ τὸν Υἱὸν, συνεπινοεῖν μὲν τὴν ἐπὶ πάσαις ταῖς ἑνότησι ταύταις κατὰ τὸ πρῶτον καὶ ἀρχικὸν διαφορὰν τοῦ Πατρός. Οὕτω δὲ πλὴν ὡς μήτε τὴν ἑνότητα ὑπὸ τῆς διαφορᾶς μεριζομένην νοεῖν· μία γὰρ καὶ ταυτὴ, καὶ ἀμέριστος πᾶσα ἑνότης Πατρὸς καὶ Υἱοῦ, διὰ τὸ τὸν Υἱὸν πάντα ἔχοντα ἐκ Πατρὸς, οὕτως αὐτὰ ἔχειν ὡς αὐτὸς ὁ Πατὴρ, μήτε τὴν διαφορὰν τοῦ οἰκείου ἐξισταμένην ὑπὸ τῆς ἑνότητος μερισμοῦ· μεγίστη γὰρ πᾶσα διαφορὰ Πατρὸς καὶ Υἱοῦ διὰ τοῦ πάντα τὰ τοῦ Πατρὸς ἐξιδιούμενον τὸν Υἱὸν, μέλοντα

7. Et tu interim, cum jam et confessiones, et confessionum rationes perfecte didiceris, tum etiam quæ secundum intellectum est unionum, et discriminum partitionem, absque errore rebus assensum præbere ne respuas. Namque addecet, ut dum confiteris Deum unum, et Dominum unum, et unum omnium principium, et opificem unum, et creatorem unum, prætereaque Spiritus causam unam Patrem et Filium, una simul in omnibus his unitatibus primarii atque principalis discrimen Patris intelligas. Ea nihilominus ratione ne unitatem a discrimine divisam agnoscas. Una siquidem est et eadem, et indivisa omnis Patris et Filii unio, quod, cum Filius omnia habeat ex Patre, ita illa possideat, ut ipse Pater, neque discrimen a propria unionis partitione divellatur. Maximum siquidem est omne discrimen Patris et

D

Digitized by Google Распознавание текста АВК/FR

Filii, quod omnia Patris cum sibi vindicet Filius, et maneat Filius, nec in Patrem immutetur, hæc sibi addiscat, unde et contractio Sabelliana longe pellitur inconfuso hoc personali discrimine abrogata. Quodsi et scriptis tradito testimonio addiscere cupis, quomodo in beata Triade simul juncta intelligantur partitio cum unitate, et unitas cum partitione, et neque partitio ab unitate, neque unitas a partitione impediatur, tibi sane ad persuadendum satis fuerit, et quæstionem persolvendam (2), « conjunctim divinam Triadem dividi, et divisim conjungi, » asserens theologicum axioma. Nobis porro oratio finem habeat. Non enim solum, o amice, tibi debitum absolute exsolvimus, debitum siquidem nostrum est, respondere ad ea, quæ nostra scripta percurrens, atque considerans, ut nos concedimus, efflagitas, et in dubium vertis, quodcunque tibi et interrogatione et dubitatione dignum visum fuerit, sed etiam de quibus nulla interrogatio intercessit; nam quorum notitiam tibi necessariam esse judicavimus, responsionibus eorum ad interrogationes tuas factis, et de dubiis solutionibus, veluti corollarium, adjunximus. Et hæc quidem in præsentia. Verum et in futurum tempus interrogandi dubitandique tibi facultatem longe et quam liberaliter concedimus.

Υἱόν, οὐκ εἰς Πατέρα μεταβαλλόμενον, ταῦτα καὶ ἐξιδιοῦσθαι, ὁπόθεν καὶ συναλοιφὴ ἀπελήλαται ἡ Σαβέλλειος τῷ ἀσυγχύτῳ τῆς προσωπικῆς ταύτης καταργουμένη διαφορᾶς. Εἰ δὲ κἀνταῦθα διὰ γραφικῆς ἐθέλεις τῆς μαρτυρίας μαθεῖν, ὅπως ἐν τῇ μακαρίᾳ Τριάδι καὶ συνεπινοοῦνται ἀλλήλοις μερισμὸς τῇ ἑνότητι, καὶ ἑνότης τῷ μερισμῷ, καὶ οὔθ' ὁ μερισμὸς ἐμποδίζεται ὑπὸ τῆς ἑνότητος, οὔθ' ἡ ἑνότης ὑπὸ τοῦ μερισμοῦ· σοὶ μὲν εἰς μαρτυρίαν ἀρκέσει τοῦ ζητουμένου πρὸς σύστασιν τὸ, « συνημμένως τὴν ἁγίαν διαιρεῖσθαι Τριάδα, καὶ διῃρημένως » φάσκον « συνάπτεσθαι » τῆς θεολογίας ἀξίωμα· ἡμῖν δὲ ἐχέτω πέρας ἤδη ὁ λόγος. Οὐ μόνον γὰρ, ὦ φιλότης, ἐντελῶς ἡμεῖς τὴν ὀφειλήν σοι ἀποδεδώκαμεν· ὀφειλὴ γὰρ ἡμῖν ἀπολογία πᾶσα προβαίνουσα, ἐφ' οἷς τὰς ἡμῶν γραφὰς ἐπισκεπτόμενος σὺ, καθ' ἡμετέραν ἐκχώρησιν ἐρωτᾷς καὶ διαπορεῖς, ὅτι περ ἂν ἄξιον ἐρωτήσεως δόξῃ σοι καὶ διαπορήσεως· ἀλλ' ἐν προθήκης λόγῳ, ἐφ' οἷς καὶ μὴ ἠρωτήμεθα, προστεθείκαμεν, ὧν ἀναγκαίαν εἶναί σοι τὴν γνῶσιν διεγνώσκομεν τῶν ἐπὶ ταῖς σαῖς γινομένων ἐρωτήσεσιν ἀποκρίσεων κἀπὶ ταῖς διαπορήσεσι λύσεων, οἱονεί τι πόρισμα ταῦτα ποιούμενοι. Καὶ ταῦτα μὲν νῦν· τὴν δὲ καὶ εἰσέτι ἐκχώρησιν τοῦ ἐρωτᾷν καὶ διαπορεῖν σε φιλοτιμότατά σοι παρέχομεν.

ΤΟΥ ΑΥΤΟΥ

ΤΩΝ

ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ

ΤΟ ΤΕΤΑΡΤΟΝ.

—

EJUSDEM

AD CONSTANTINUM

LIBER QUARTUS.

—

1. Rursus tu dubitationem affers, sed nulla nos dubitatione premimur. Cum interrogas, addubitas; nos tamen ad dubitationem non caremus responsione: stat enim a nobis veritas, nostrisque scriptis, quibus ex Patre et Filio, per Filium nempe ex Patre Spiritus sancti exsistentiam, paternarum scriptionum traditionem esse, probare contendimus; itemque demonstramus, ex iis nunquam

α'. Ἀπορεῖς καὶ πάλιν· καὶ οὐκ ἀποροῦμεν ἡμεῖς· Ἀπορεῖς ἐρωτῶν, καὶ ἀπολογεῖσθαι οὐκ ἀποροῦμεν. Εἰ γὰρ ἡ ἀλήθεια παρ' ἡμῖν, ταῖς ἡμετέραις γραφαῖς, ἐφ' οἷς τὴν ἐκ Πατρὸς καὶ Υἱοῦ, τουτέστι δι' Υἱοῦ ἐκ Πατρὸς, τοῦ Πνεύματος ὕπαρξιν τοῦ ἁγίου θεολογικὴν τῶν πατρικῶν γραφῶν εἶναι παράδοσιν καὶ διενιστάμεθα, καὶ ἀποδεικνύομεν, τῶν ἀποκρινομένων σοι ἀπορήσεις οὐδέποτε, ἔστ' ἂν τῆς

(2) Quærito hoc oratione *in sacra Lumina*.

Digitized by Google Распознавание текста ABK/FR

ἀληθείας οὐδέν τι γένοιτο εὐπορώτερον. Ἐρώτα οὖν καὶ πάλιν· ἀπόρει καὶ πάλιν. Τὸ δὲ νῦν ἔχον ἐπείπερ ἅττα διαπορεῖς, οὐχ ὡς φρονῶν αὐτὰ καὶ διαπορεῖς, ἀλλὰ τῶν τῆς ἀληθείας καταστοχαζόμενος ἐπηρεαστῶν, ὅπως ἂν ἐπὶ πᾶσι τὸ πρὸς ἐπιστομισμὸν αὐτῶν ἕτοιμόν σοι ἀποταμιεύοιτο, καὶ τὰ ἠπορημένα, καὶ αἱ τῶν ἠπορημένων διασαφήσεις, εἰς τύπον ὁδηγίας σοι διεκτιθέσθωσαν, τίνι ἂν ἐπ' αὐτοῖς καὶ γένοιτό σοι τῷ τρόπῳ ἐπιστομίζειν σύμπαν τὸ ἀντικαθιστάμενον. Κινοῦνται μὲν γὰρ καὶ πάλιν ἡμῖν τὴν χθὲς που καὶ πρότριτα συνήθως λόγοι περὶ τοῦ δόγματος. Ἄγει δὲ πρὸς μνήμην ὁ λόγος ἡμᾶς τῆς πρὸς Μαρῖνον τοῦ θείου Μαξίμου ἐπιστολῆς, ἐν ᾗ ὁ μεγαλώνυμος οὗτος Πατὴρ τὴν ὑπὲρ τῶν Ῥωμαίων ἐπὶ τῇ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύσει τοῦ Πνεύματος δεφένδευσιν διεξιὼν, τὸ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν, » εἴρηκε. Καὶ τοίνυν διὰ τὸ πρῶτον καὶ ἀρχικὸν, ὅπερ ἀληθῶς μόνῳ τῷ Πατρὶ πρόσεστιν εἴρῆσθαι, τὰ εἰρημένα τῷ θείῳ Μαξίμῳ ἐξηγουμένων ἡμῶν, σὺ δὲ τὸ τῶν ἀντιδίκων ὑποδὺς πρόσωπον, ἀλλ' ἔστι τὸν βουλόμενον, ἔφης, εἰπεῖν ὡς, εἰ μὲν τοῖς αἰτιωμένοις Ῥωμαίους περὶ ἀρχικοῦ καὶ μὴ ἀρχικοῦ αἰτίου ἡ καταιτίασις ἦν, εἶχον ἂν αἱ ἐξηγήσεις τὸ εὐλογοφανές· ἐπεὶ δὲ ἐκεῖνοι πρὸς αὐτὴν τὴν ἐξ Υἱοῦ ἐκπόρευσιν ἀντιλέγουσι, πάντη ἐστὶ δῆλον μήτ' ἐκείνοις μήτε τῷ ὑπερηγοροῦντι τῶν ὑπ' αἰτίασιν περὶ ἀρχικοῦ καὶ μὴ, περὶ δὲ τῆς ὅλως αἰτίας τὸν λόγον ἅπαντα γίνεσθαι.

tibi responsa nostra non aderunt, donec veritate ipsa parabilius aut liberalius aliquid quispiam excogitaverit. Quare rursus interrogationibus insta, rursus dubitationibus urge Verumtamen cum in præsentia quæ controvertis, non uti illius sententiæ sis, controvertis, sed ad veritatis calumniatores animum intendens, ut in omnibus promptum tibi ad eorum ora obstruenda reserves, dubia, et dubitationum explicationes, quas sequi debeas, digerantur, quibus ad ora frenanda sese rebus similibus opponentium, non imparatus comprehendaris. Moventur siquidem iterum, qui et heri, et nudius tertius, uti assolet, sermones de dogmate, sermoque nobis memoriam refricat divini Maximi ad Marinum epistola, qua magni nominis Pater pro Romanis de Spiritus ex Patre et Filio processione defensionem instituens, illud, « ex quibus non causa Spiritus Filium asserere, sese illi ostenderunt, » scripsit. Et hæc cum nos propter primarium atque principale, quod vere soli Patri inest, dictata esse, quæ supra attulimus ex sancto Maximo, interpretemur, tu adversariorum personam induens, posse ais, cuicunque id complacitum fuerit, opponere, si qui Romanos in crimen vocabant, illis de primaria et principali causa criminatio fuisset, similes expositiones rationis aliquid in se continere judicarentur : sed cum illi ipsam ex Filio processionem oppugnent, omnibus manifestum remanet, neque ab illis, neque ab aliis qui eorum defensionem suscipiunt, de primaria et principali causa quæstionem, sed de totali causa sermones universos jactatos fuisse.

β'. Τοῦτο ἡ ἀπορία. Ἡμεῖς δὲ τὴν λύσιν, ὃν εἴρηται τρόπον ὁδηγίας, ἐπὶ τῷ ἔχειν σε τοὺς ταῦτα φρονοῦντας ἐπιστομίζειν, διεκθέσθαι βουλόμενοι, οὕτω δὴ καὶ διεκτιθέμεθα. Οἶδας ὡς τινὲς μὲν τούτων, ὑπ' ἀρχηγῷ Κυπρίῳ τασσόμενοι, πρὸς οἷς ἄλλοις κατὰ τοῦ εὐσεβοῦς φασι δόγματος, καὶ εἰς ὁμωνυμίαν διαβάλλουσι τὴν ἐκπόρευσιν· τινὲς δὲ τοῖς τοιούτοις κατὰ τὸ ἐκ Πατρὸς διαιρεῖν τὸν Υἱὸν ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος συμφωνοῦντες, τοῦ τέως μόνον εὐγνωμονοῦσιν ὁμολογεῖν τὴν ἐκπόρευσιν, τρόπον τῆς τοῦ Πνεύματος ὑπάρξεως μόνον, καὶ πλέον σημαίνειν μηδέν. Τῆς ῥήσεως γοῦν ὑπὸ πάντων ὁμολογουμένης κοινῆ· τὸ γὰρ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν, » τὴν αὐτῶν ὑποθέλγον ῥοπὴν πρὸς ὁμολογίαν ἕλκει αὐτούς· ἦ γὰρ ἄν, εἰ μὴ τοῦτο, οὐδὲ ταύτην, ὡς πολλὰς τῶν ἄλλων Πατέρων θεολογίας, διαβαλεῖν ὤκνησαν. Ὅρα ὅπως καὶ πρὸς ἄμφω διαλεγόμενῳ τὰ μέρη ταῦτα ἰσχυρῶς ἀποδεικνύειν ἐξέσται σοι, διὰ τὸ πρῶτον καὶ ἀρχικὸν αἴτιον ἀληθῶς Μάξιμον εἰρηκέναι τὸν μεγαλώνυμον τὸ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν. » Γινέσθωσάν σοι πρῶτον οἱ τὴν ἐκπόρευσιν ὀρθοτομοῦντες διαλεγόμενοι· προτεινέτωσαν, ὅπερ οἱ ὁμωνυμοῦντες οὐδέποτε τὸ, εἰ μὲν τοῖς αἰτιωμένοις Ῥωμαίοις περὶ ἀρχικοῦ καὶ μὴ ἀρχικοῦ αἰτίου ἡ καταιτίασις ἦν, εἶχον ἂν αἱ ἐξηγήσεις τὸ εὐλογοφανές· ἐπεὶ δ' ἐκεῖνοι πρὸς τὴν ἐξ Υἱοῦ ἐκπό-

2. Hæc addubitatio est. Nos porro solutionem, ut habeas, modo quo dictum est, promptam ad ora similia sentientium frenanda, exponere cupientes, sic eam digerimus. Sat nosti ex hisce nonnullos, ducem Cyprium sequentes, inter alia, quæ adversus dogma pium rectumque blaterant, processionem quoque criminantes, homonymiæ obnoxiam facere : alios vero iisdem in separatione Filii a Patre in causa Spiritus concordantes, ita æquos se præstasse, ut processionem modum tantum existentiæ Spiritus et nihil aliud connotare dictarent. Dico vero simili assensu communi excepto ; namque illud : « Ex quibus non causam Spiritus Filium facere sese illi ostenderunt, » eorum emolliens impetum ad præbendum assensum inducit. Etenim si id non esset, hoc uti pleraquo aliorum Patrum theologica dicta accusare non neglexissent. Attende porro tu, qua ratione, cum ambabus hisce partibus colloquium conserens, valide demonstrare poteris, propter primariam et principalem causam vere magni nominis Maximum scripsisse, « Ex quibus non causam Spiritus Filium facere sese illi ostenderunt. » Et primum quidem cum sermones conseruntur, qui processionem recte tractant, proponant, quod nunquam, qui homonymiam insinuant, concedent, si qui Romanos in crimen vocabant, illis de primaria et principali causa criminatio fuisset, similes expositiones ra-

Digitized by Google Распознавание текста ABK/FR

tionis aliquid in se continere judicarentur : sed cum illi ipsam ex Filio processionem oppugnant, omnibus manifestum remanet, neque ab illis, neque ab aliis, qui eorum defensionem suscipiunt, de primaria et principali causa quæstionem, sed de totali causa sermones universos jactatos fuisse. Quid tibi videtur? Anne multo indigebis labore ad veritatem interpretationum similium confirmandam? Quid laborem commemoro, cum ipsi jam apud eos, qui accusabantur, negationem processionis ex Filio, non primariæ ac principalis causæ, sed totalis causæ ademptionem inferre contendunt? Tu enim ad eosdem dices : Quando propter hoc neganda vobis videtur, ab iis, qui Romanos criminantur, processio ex Filio, ne aliqua Filio communio cum Patre in causa Spiritus concedatur, quid aliud quispiam asseveraverit concedenti ex Filio processionem a consiliis esse, quam contra sentiendo oppugnatoribus reponere, hujusce causæ Filium participem esse? Negatio siquidem per *non*, confessio vero prorsus per *sit*, constituitur. Nulla quidem ratio suadet, et negantes, et sanctum processioni assentientem in unum eumdemque scopum collimare. Verum ipsi cum a veritate præfocentur, ne sibimetipsis contradicere deprehendantur, tanquam qui semel processionem Spiritus, quam recte tenent, exsistentiam esse, ad comprobandum causam assumere, ultra contra verba facere cessabunt. Et interim robur suum habebit, et valide nostra expositio. Nam confidenter et libere enuntiabit, sanctum, qui ex Filio processionem concedit, verbis illis, cum antedictis subdit, « Ex quibus non causam Spiritus Filium facere sese illi ostenderunt, » quibus processionem concedit, illis prorsus et causam tribuere : quibus vero per Filium processionem, *ex* in Filio, loco illius *per*, accipiens, causæ primarium ac principale tollere. Neque enim temere et inconsulto præpositionibus una pro alia utitur, sed sciens magnum asserentem Basilium, « Vox enim per Filium primariæ causæ confessionem continet, » hac voce, nempe per Filium, plane corroborat, licet Filius causæ Spiritus particeps est, non ita tamen esse participem, ut primaria Spiritus causa sit : id enim Pater est.

ρευσιν ἀντιλέγουσι, πάντη ἐστὶ δῆλον μητ' ἐκείνοις μήτε τῷ ὑπερηγοροῦντι τῶν ὑπ' αἰτίασιν ἀρχικοῦ καὶ μή, περὶ δὲ τῆς ὅλως αἰτίας τὸν λόγον ἅπαντα γίνεσθαι. Τί σοι δοκεῖ; Πολλοῦ σοι δεήσει τοῦ πόνου πρὸς ἀπόδειξιν τοῦ τῶν ἐξηγήσεων ἀληθοῦς; Καὶ πῶς ὅλως πόνου, εἴγε αὐτοὶ φθάνοντες τὴν παρὰ τοῖς αἰτιωμένοις ἀπάρνησιν τῆς ἐξ Υἱοῦ ἐκπορεύσεως, οὐχὶ ἀρχικοῦ καὶ πρώτου αἰτίου, τῆς δὲ ὅλως αἰτίας ἀφαίρεσιν ἐνίστανται δύνασθαι; Σὺ μὲν γὰρ ἐρεῖς πρὸς αὐτούς· Ἐπεὶ διὰ τοῦτο ὑμῖν ἀρνητέα παρὰ τῶν αἰτιωμένων Ῥωμαίους δοκεῖ ἐκπόρευσις ἡ ἐξ Υἱοῦ, ἵνα μὴ τῷ Υἱῷ κοινωνία τις μετὰ τῆς Πατρὸς ἐπὶ τῇ αἰτίᾳ συγχωρηθείη τοῦ Πνεύματος· τί ἂν ἕτερον τῷ τὴν ἐξ Υἱοῦ διδόντι ἐκπόρευσιν φήσειέ τις εἶναι διὰ σπουδῆς, ἢ ἀπεναντίας ταῖς ἀντιλέγουσι, μετεῖναι τῆς αἰτίας ταύτης τῷ Υἱῷ συνιστᾷν; Εἰ γὰρ ἡ ἄρνησις διὰ τὸ *μή*, ἡ ὁμολογία πάντως διὰ τὸ *ναί*. Ἐπεὶ μηδέ ἐστί τις λόγος ὁ πείθων καὶ τοὺς ἀρνουμένους καὶ τὸν διδόντα πρὸς τὴν ἐκπόρευσιν ἅγιον πρὸς τὸν αὐτὸν καὶ ἕνα τείνειν σκοπόν. Αὐτοὶ δὲ τῆς ἀληθείας πάντως ἀγχούσης αὐτούς, ἵνα μὴ ἑαυτοὺς ἐναντιοφωνοῦντες ἐλέγχαιντο, ὡς ἅπαξ τὴν ἐκπόρευσιν, ἣν ὑγιῶς ὕπαρξιν φρονοῦσι τοῦ Πνεύματος, εἰς κατασκευὴν αἰτίας λαμβάνοντες, τοῦ πρόσω στήσονται ἀντιλέγειν. Καὶ ἔξει τὸ λοιπὸν τὴν ἰσχὺν ἡ ἡμετέρα κατὰ κράτος ἐξήγησις. Ἔχει γὰρ μετὰ παῤῥησίας εἰπεῖν ὡς ὁ τὴν ἐξ Υἱοῦ διδοὺς ἐκπόρευσιν ἅγιος, καὶ τὸ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν, » τοῖς προειρημένοις ἐπάγων, οἷς μὲν ἐκπόρευσιν διδωσιν, αἰτίαν δίδωσι πάντως, οἷς δὲ τὴν δι' Υἱοῦ ἐκπόρευσιν, τὴν ἐξ, ἐπὶ τοῦ Υἱοῦ ἀντὶ τῆς *διά*, ἐκδεχόμενος, τὸ τῆς αἰτίας πρῶτον ἀφαιρεῖται καὶ ἀρχικόν. Οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχε τῇ τῶν προθέσεων ἐνταῦθα χρῆται ἀντιπεριχωρήσει· ἀλλὰ τὸν μέγαν εἰδὼς Βασίλειον λέγοντα, « Ἡ γὰρ δι' Υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, » διὰ τῆς τοιαύτης φωνῆς, λέγω δὴ, τῆς *δι' Υἱοῦ*, παρίστησιν ἐναργῶς ὡς, εἰ καὶ τῷ Υἱῷ τῆς αἰτίας τοῦ Πνεύματος μέτεστιν, ἀλλ' οὐχ οὕτως, ὥστε αὐτὸν τὸ προκαταρκτικὸν τοῦ Πνεύματος αἴτιον εἶναι· τοῦτο γὰρ ὁ Πατήρ.

3. Hæc dum dicis, et nostra expositio suum robur habebit, et valide, ut diximus. Adversarii vero aut ultra contradicendi finem facient, aut rursus in alia sese convertentes, quod illis in more est, modos omnes fundendorum verborum usurpantes, posse, inquient, et ex Filio, et per Filium processionem dici, atque exsistentiam, sed eo significatu, quasi *pertranseat* per Filium. Hujusce enim quoque dictionis formatores sunt, non quod aniatur in causa Spiritus cum Patre Filius, et sic, quod proverbio circumfertur, ipsos, cum effugiunt fumum, ignis apprehendet. Namque Filium a Patre separantes in causa Spiritus, ne videlicet duæ causæ Pater et Filius Spiritus reputentur, quod nullus unquam pietatis sermo admisit, mali-

γ'. Ταῦτα ἐρεῖς σὺ, καὶ ἡ ἡμετέρα ἐξήγησις τὴν ἰσχὺν ἕξει κατὰ κράτος, ὡς εἴρηται. Οἱ δέ γε δι' ἐναντίας ἢ τοῦ πρόσω στήσονται ἀντιλέγειν, ἢ ἐὰν ἴσως μεταβαλλόμενοι αὖθις, ὅπερ εἰώθασι, πάντα τρόπον εὑρεσιλογίας ἀεὶ μετιόντες, δύνασθαι φήσωσι καὶ ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ ἐκπόρευσιν λέγειν καὶ ὕπαρξιν, πλὴν κατὰ τὸ *διήκειν* διὰ τοῦ Υἱοῦ· καὶ ταύτης γὰρ αὐτοὶ τῆς λέξεως πλαστουργοί· οὕμενουν κατὰ τὸ ἠνῶσθαι ἐπὶ τῇ αἰτίᾳ τοῦ Πνεύματος τῷ Πατρὶ τὸν Υἱὸν τὸ παροιμιακὸν αὐτοὺς ἐπιφύγῃ, καπνοῦ καταλήψεται πῦρ. Τὸν γὰρ Υἱὸν τοῦ Πατρὸς ἐπὶ τῇ αἰτίᾳ διαιροῦντες τοῦ Πνεύματος, ἵνα μὴ δῆθεν δύο αἴτια Πατὴρ καὶ Υἱὸς νομισθεῖεν τοῦ Πνεύματος, ὅπερ λόγος ἂν εὐσεβείας οὐδείς ποτε παραδέξαιτο. Καὶ διὰ ταῦτα πάνυ πονηρῶς τὸ *διήκειν*,

Digitized by Google Распознавание текста ABK/FR

καὶ πάνυ δυσσεβῶς πλαστουργοῦντες, εἰς Ἀρειανισμὸν ἐκτραχηλίζονται οἱ ταλαίπωροι. Λόγος γὰρ ἔσται προσδοκηθήσων οὐδείς, μὴ οὐχὶ τοῦ Πατρὸς ὑπηρέτην, ἢ λειτουργικόν τι ὄργανον λογίζεσθαι τὸν Υἱὸν κατ' αὐτὸ τὸ *διήκειν* ἐπὶ τῇ ἐκεῖθεν ἐκπορεύσει καθυπουργοῦντα τοῦ Πνεύματος. Καὶ τὰ μὲν πρὸς αὐτοὺς οὕτω σοι προσοικονομηθήσονται· καὶ οὕτως ἡ κατ' αὐτῶν σοι νίκη περιγενήσεται.

δ'. Ἐπεὶ δὲ καί τις ἄλλη ἐν τούτοις ἐστὶ φαύλη μερίς· εἰσὶ γάρ τινες, οἳ καὶ αὐτοὶ τὴν ἐκπόρευσιν φρονοῦντες ὀρθῶς, ὅρως δι' ἀφαίρεσιν τῆς ὅλως αἰτίας τὴν ῥῆσιν τὸν ἅγιον εἰρηκέναι φασὶν, ὡς τὴν « δι' Υἱοῦ ἐκπόρευσιν » ἀντὶ τοῦ « μετὰ τοῦ Υἱοῦ » ἐκδεξόμενοι· εἰ γὰρ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ταυτὸν δὲ εἰπεῖν μετὰ τοῦ Υἱοῦ, φασὶν, ἐκπορεύεται· πῶς ἂν καὶ εἴη ἐπὶ τῇ αὐτοῦ ἐκπορεύσει κοινωνῶν ὁ Υἱὸς τῷ Πατρί; ὅρα εἰ καὶ ἡ τούτων ματαιολογία τῶν ἡμετέρων ὀπίσω κείσεται ἐξηγήσεων. Πρῶτα μὲν πόθεν ἦν οὗτοι προβάλλονται μετάληψιν τῶν προθέσεων ἔχουσιν ἀποδεῖξαι; Ποία ταύτην γραμματικῆς τεχνολογία; ἔχει περιλήψιν; Τῆς γὰρ πρὸς ἀλλήλας τινῶν προθέσεων ἀντιμεταστάσεως ἅπαξ παραδοθείσης τοῖς τεχνολογήσασιν ἐς τὸ ἀκριβὲς, οὐκ ἔστιν οὐδέποτε εἰλημμένην παρ' οὐδενὶ τὴν *διὰ* εὑρεῖν ἀντὶ τῆς *μετὰ*. Καὶ ἔτι οὐ μόνον λόγον Ἑλληνικῆς σοφίας ἔχει τοῦτο οὐδείς, ἀλλά γε οὐδὲ γραφή τις οὐδεμία τῶν ὅσαι τῆς καθ' ἡμᾶς θειοτέρας φιλοσοφίας, ἀντὶ τῆς *μετὰ* τὴν *διὰ* παραδίδωσιν, ὡς ἡ τῆς ἐξ καὶ *διὰ* παρὰ Βασιλείῳ, Κυρίλλῳ καὶ Γρηγορίῳ τοῖς μεγάλοις ἀντιπεριχώρησις εὕρηται. Ἔπειτα δὲ εἰ καὶ τοῦτο δοθείη, τάχ' ἂν ἀντιδίκων παρὰ προσδοκίαν οἱ ταῦτα λέγοντες ἐκτραπόμενοι εἰς συμμάχους κατασταῖεν ἡμῖν. Ἡ γὰρ « προβολεὺς διὰ Λόγου » φωνὴ, ἣν Δαμασκηνὸς ὁ θεῖος πεφιλοσόφηκεν, αἴτιον ἐκ τοῦ λόγου τούτου μετὰ Υἱοῦ τὸν Πατέρα παριστῶσα τοῦ Πνεύματος, ἀναπάντητα συστήσαι ἂν, ἣν ἡ ἀλήθεια βούλεται, τοῦ Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ τοῦ Πνεύματος αἰτίᾳ ἑνότητα. Τρίτον εἰς κατάλυσιν αὐτῶν ἰσχυρὸν, ἣν ἔχει ἀνάγκην ὁ λόγος καὶ τὸν Υἱὸν ἐκπορευτὸν ἀποφαίνειν. Εἰ γὰρ μετὰ τοῦ Υἱοῦ ἐκπορεύεται, οὐκ ἔστι μὴ καὶ τὸν Υἱὸν ἐκπορευτὸν καὶ νοεῖσθαι καὶ λέγεσθαι, ὥσπερ ἂν εἴ καὶ τὸν Υἱόν τις γεννᾶσθαι λέγει μετὰ Πνεύματος, οὐκ ἔστι μὴ καὶ τὸ Πνεῦμα γεννητὸν καὶ νοεῖσθαι καὶ λέγεσθαι. Ταῦτα καὶ ἡ δευτέρα τῶν τὴν ἐκπόρευσιν ὀρθοτομούντων μερὶς καὶ τοιοῦτό σοι τὸ τέλος λοιπὸν ὁποιοισδήτισι προσδιαλεγομένῳ ἐκβήσεται, ἀναπάντητος δηλονότι ἀπόδειξις ἐκ τοῦ πανταχόθεν τῶν οἰκείων λόγων στενοχωρεῖσθαι αὐτοὺς, καὶ εἰς ἀτοπίας περιάγεσθαι τοῦ δι' ἀφαίρεσιν τοῦ πρώτου καὶ ἀρχικοῦ, οὗμενουν τῆς ὅλης αἰτίας, τοῦ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν, » τὸν ἅγιον εἰρηκέναι. Διὰ τοῦτο καὶ ἅπερ πρὸς ἡμᾶς πολλάκις διαπορεῖς, τὸ πρὸς ἐπιστομισμὸν τῶν δι' ἐναντίας ἕτοιμον ἑαυτῷ προαποταμιεύων, ἡμεῖς πρόσιέμεθα.

tiose nimis hoc *pertransire*, et admodum impie efformantes in Arianismum infelices præcipitantur. Nulla enim ratio auxiliabitur, ne Patris administer aut instrumentum servile Filius, per hoc *pertransire*, in processione, quæ inde est, Spiritus, asserviens existimetur. Et hæc tibi digesta promptaque sint, dum homines contra colloqueris, quibus adversus eos victoriam facile consequeris.

4. Verumtamen cum inter eosdem pars alia internoscatur, sed valde improba, quæ licet de processione recte sentiat, attamen Sanctum penitus causam tollentem, dictum simile enuntiasse contendit, et « processionem per Filium » loco illius, « una simul cum Filio » accipit. Namque si per Filium Spiritus, quod idem est, ac si diceres simul cum Filio, inquiunt, procedit, qua ratione in illius processione Filius partes obtinebit? Sed quo tandem tendat eorum vaniloquentia ex apponendis nostris expositionibus, deprehendes. Et primum quidem harum præpositionum, quam ipsi prætendunt transumptionem, quibusnam demonstraverint? Quænam eam grammaticæ artis curiosa indagatio conquisiverit? Nam cum mutua præpositionum in sese immutatio ab iis, qui artem pertractarunt, semel tradita sit et diligenter, in nullo unquam eorum præpositionem *per* loco illius *cum* assumi inveneris. Adde etiam, nullum hujusce rei apud profanos reperiri exemplum, sed nec apud nos, qui diviniorem philosophiam colimus, ullus est, qui loco illius *cum* præpositionem *per* accipi tradat, quemadmodum *ex*, et *per* apud Basilium, Cyrillum, et Gregorium magnos quidem viros, mutuam unius pro alia acceptionem invenies. Secundum, etiamsi id concedatur, forte ex adversariis, qui similia tradunt, præter exspectationem mutata sententia, ad opem auxiliumque nostrum concurrent. Namque dictio « productor per Verbum, » cujus divinus Damascenus auctor est, causam hac ratione cum Filio Patrem comprobans; sine ulla oppositione, quam veritas poscit Patris et Filii in causa Spiritus unionem comprobaverit. Interim est, quod plane ipsos convellet, cum necessario Filium quoque procedere demonstret. Etenim, si cum Filio procedit, fieri nequit, ut Filius quoque procedens non sit et dicatur, veluti, si quis Filium generari cum Spiritu diceret, Spiritum ipsum generari, et intelligi, et dici confirmaret. Hujus secundæ, quæ de processione recte sentit partis, finem similem, si ad eam confabulatum accedas, colloquium consequetur, demonstrationem scilicet, cui illa respondere nequeat, quod omni ex parte propriis enuntiatis astringatur, et in absurda deducatur, ob primarii et principalis, ne dicam universæ causæ, negationem propter illud sancti dictum, « Ex quibus non causam Spiritus Filium facere sese illi ostenderunt. » Præterea quæ sæpius promptas tibi responsiones præparans, proponis, ad nos dubia, ad sese opponentium ora frenanda, hilariter et benigne excipimus.

ε'. Παρίτωσαν γοῦν ἀπάρτι δεύτεροι πρὸς διάλεξιν

5. Accedant itaque deinceps ad colloquium ho-

Digitized by Google Распознавание текста ABK/FR

menymiæ formatores. Sed quid inquam ad colloquium? accedant ad sui confutationem, ad sui oris obturamentum, ad sui infamiam. Quid enim respondebunt a sanctis omnibus modum exsistentiæ et hypostaticam Spiritus proprietatem processionem decernentibus, regio, ut dicitur, cubito refutati? Quando etiam si dictio sui non ita patentem haberet significatum, sed vel minimum ostenderet, et correctione expositionis indigeret, abunde satis essent ad eorum ora obturanda, qui a Photio ad hæc nostra tempora adversus Romanam Ecclesiam propriis commentariis decertarunt : ii siquidem omnes processionem ex Filio, ex Filio inferre exsistentiam demonstrare hoc solo moti contenderunt. Opem quoque tulissent ad hoc incundum certamen, ad quos divino correptus Spiritu Maximus respondens, uti qui non reciperent, « ex Filio, » veluti causam notantem processionem. Et quid his opus est? diceret quispiam, cum ad eos confutandos soli sufficiant, eodem fine ac scopo cum illis concurrentes, atque concertantes, qui ut causam a Filio solum adimant, socios se certaminis præbent, ac sollicitudinis in processionis homonymia, quasi illam sic recte pertractent, quo fit ut pro amicis inimici, et pro commilitibus hostes evadant. Idcirco cum necessarium minime sit, cum illis colloquia conserere, erit nihilominus si congressus successerit, ex parte eos Arianismo obnoxios ostendere, pejusque jam dictis omnibus, qui per Filium exsistentiam confitentes, per Filium causam non amplectuntur. Illi siquidem in processione Patris administrum Filium facere deprehensi, Arianismi rei condemnantur : hi vero non hujusce tantum, cum et ipsi processionem per Filium negant, causam denotare, sed Spiritu etiam inferiorem facium, quod per Filium gratias datas, ad quas ipsi processionem attrahunt, non tanquam per Filium Spiritus exsistentiam, haberet, sed tanquam simpliciter in illis Spiritui Filius ministraret, sentire deprehenduntur. Tibi itaque tantumdem nec ultra cum illis esto dissertatio. Nos porro dubii a te propositi solutionibus traditis, viam parantes, uti promisimus, ut eas promptas haberes ad adversariorum ora obturanda conantium ostendere, non propter primarii et principalis ademptionem, sed universæ causæ ad Marinum epistola, illud, « Ex quibus non causam Spiritus Filium facere sese illi ostenderunt, » divinum Maximum dixisse, te scire volumus. Sic quoque divinus Damascenus, ubi Patrem « productorem per Filium manifestantis Spiritus, » decernens, « Spiritum Filii, » addit, « dicimus, non uti ex ipso, sed uti per ipsum ex Patre procedentem. Solus enim causa Pater, » concorditer cum magno Maximo eamdem sententiam indiscriminatim determinat. Sub dictione namque « productor per Filium, » Patris et Filii in Spiritus causa unionem confirmans, et præpositionem *ex*, quæ primarium ac principale plene præ se fert, Patri attribuens,

καὶ τῆς ὁμωνυμίας οἱ πλαστουργοί. Ἀλλὰ τί φημι πρὸς διάλεξιν; παρῆτωσαν πρὸς ἔλεγχον, πρὸς ἐπιστομισμόν, πρὸς αἰσχύνην. Τί γὰρ καὶ ἀπολογήσονται. παρὰ πάντων ἁγίων, οἳ τρόπον ὑπάρξεως καὶ ὑποστατικὴν τοῦ Πνεύματος ἰδιότητα τεθεολογήκασι τὴν ἐκπόρευσιν βασιλικῷ τῷ πήχει ἀνατρεπόμενοι; Ὅπου γε εἰ καὶ μὴ οὕτω εἶχεν ἡ λέξις τὴν σαφήνειαν πρόδηλον, ἀλλὰ ἐμφαντικόν τι ταύτῃ ἐνῆν, καί τινος παραμυθίας τῆς δι' ἐξηγήσεως δεόμενον, ἤρκεσαν ἂν τούτοις πρὸς ἐπιστομισμὸν οἱ ἀπὸ Φωτίου καὶ μέχρις ἡμῶν κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διὰ γραφῶν οἰκείων ἀγωνισάμενοι, πάντες τὴν ἐξ Υἱοῦ ἐκπόρευσιν, τὴν ἐξ Υἱοῦ δύνασθαι ὕπαρξιν ἀποδεικνύειν φιλονεικοῦντες, παρὰ δὴ τοῦτο καὶ ἐκτρεπόμενοι. Εἰ δὲ μή, μόνοι συναντελάβοντο ἂν ἐκείνοις τὴν πρὸς τὴν τούτων καταβολὴν ἀγῶνος καὶ οἱ πρὸς οὓς ἀπολογούμενός ἐστι Μάξιμος ὁ Θεόληπτος, ὡς τὴν « ἐξ Υἱοῦ » μὴ προσιεμένους, ἅτε δηλωτικὴν αἰτίας ἐκπόρευσιν. Καὶ τί ταῦτα; τάχ' ἂν ἡμῖν εἴποι τις, ὅπουγε καὶ μόνοι τούτοις ἀρκοῦσι πρὸς ἔλεγχον οἱ νῦν ἐφ' ἑνὶ σκοπῷ σύνδρομοι τούτοις καὶ συναγωνισταί, οἱ πρὸς μόνον τὸ τὴν ὅλως αἰτίαν ἀφαιρεῖν τὸν Υἱὸν τοῦ ἀγῶνος τούτοις κοινοῦντες, καὶ τῆς σπουδῆς ἐπὶ τῇ ὁμωνυμίᾳ τῆς ἐκπορεύσεως, ὡς ταύτην ὀρθοτομοῦντες αὐτοὶ εἰς ἐχθροὺς ἀντὶ φίλων, καὶ ἀντὶ συμμάχων ἀντιδίκου; καθίστανται. Διὰ δὴ ταῦτα τῆς διαλέξεως τῆς πρὸς τούτους τὸ ἀναγκαῖον μὴ ἐχούσης, ἔσται σοι ὅμως καὶ πρὸς αὐτοὺς ἐκ μέρους πως διαλεγομένῳ ἐνεχομένους αὐτοὺς ἀποδεικνύειν τῷ Ἀρειανισμῷ χεῖρον ἢ τοὺς εἰρημένους πάντας, ὅσοι τὴν δι' Υἱοῦ συνομολογοῦντες ὕπαρξιν, τὴν δι' Υἱοῦ αἰτίαν οὐ καταδέχονται. Ἐκεῖνοι μὲν γὰρ τοῦ Πατρὸς ὑπουργὸν ἐπὶ τῇ ἐκπορεύσει ποιεῖν ἀπελεγχόμενοι τὸν Υἱὸν, τὸν Ἀρειανισμὸν κατακρίνονται· οὗτοι δὲ οὐ τοῦτο μόνον, καθότι καὶ αὐτοὶ οὐχὶ αἰτίας δηλωτικὴν ἐκπόρευσιν ὁμολογοῦσι δι' Υἱοῦ, ἀλλά γε δὴ ἐλάττονα καὶ τοῦ Πνεύματος, καθότι τὰς διὰ τοῦ Υἱοῦ διδομένας χάριτας, εἰς ἃ, αὐτὰ ἀπάγουσι τὴν ἐκπόρευσιν, οὐχ ὡς διὰ τοῦ Υἱοῦ τὴν ὕπαρξιν τοῦ Πνεύματος ἔχοντος, ἀλλ' ὡς ἁπλῶς τῷ Πνεύματι τοῦ Υἱοῦ ἐπὶ ταύταις διακονοῦντος φρονεῖν ἀπελέγχονται. Σοὶ οὖν ἐς τόσον καὶ μέχρι τόσου καὶ ἡ πρὸς τούτους ἔστω διάλεξις. Ἡμεῖς δὲ τὰς λύσεις, ἃς προέτειναν ἀπορίας, ἐντελῶς ἤδη σοι ἀποδόντες, ὡς ἐν ὁδηγίᾳ καθὼς σοι ἐπηγγειλάμεθα τύπῳ, ὡς ἂν τὸ πρὸς ἐπιστομισμὸν τῶν δι' ἐναντίας ἕτοιμον εἴη σοι, πειρωμένων ἴσως ἀποδεικνύειν, μὴ δ' ἀφαίρεσιν τοῦ πρώτου καὶ ἀρχικοῦ, τῆς δὲ ὅλως αἰτίας ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ, τὸ, « Ἐξ ὧν οὐκ αἰτίαν τοῦ Πνεύματος τὸν Υἱὸν ποιοῦντας σφᾶς ἑαυτοὺς ἀπέδειξαν, » Μάξιμον εἰρηκέναι τὸν θεῖον, εἰδέναι σε βουλόμεθα, ὡς καὶ ὁ θεῖος Δαμασκηνὸς, ἐν ᾗ ῥήσει « τὸν Πατέρα, προβολέα διὰ Λόγου τοῦ ἐκφαντορικοῦ » θεολογῶν « Πνεύματος, » — « Πνεῦμα Υἱοῦ » προστίθησι, « λέγομεν, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Μόνος γὰρ αἴτιος ὁ Πατὴρ, » συνῳδὰ τῷ μεγάλῳ Μαξίμῳ καὶ τὴν αὐτὴν ἔννοιαν ἀπαραλλάκτως ὑμολογεῖ. Ὑπὲρ γὰρ τῆς, « προβολεὺς διὰ Λόγου, » φωνῆς τὴν τοῦ

Digitized by Google Распознавание текста ABK/FR

Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ τοῦ Πνεύματος αἰτίᾳ ἐνότητα παριστῶν, καὶ τὴν τὸ πρῶτόν καὶ ἀρχικὸν σαφῶς δυναμένην ἐξ, τῷ Πατρὶ ἀναφέρων, τό, « Μόνος γὰρ αἴτιος ὁ Πατήρ, » ὡς τοῦ Υἱοῦ τὸν Πατέρα ἐπὶ τῷ ἀρχικῷ διαστέλλων ἐπάγει.

ς'. Λεῖπόν ἐστιν ἁπάρτι λοιπὸν καὶ ἧς ἔστιν ὅτε προτείνουσι ῥήσεως τοῦ θεολογίας ἐπωνύμου οἱ ἀντιλέγοντες μνημονεῦσαι, οὐχ ὅτι ἀμεταποιήτως ταύτην προτείνουσι, καὶ τὸ ἀναγκαῖον ἴσως ἐντεῦθεν ἡμῖν αὐτὸν ἑαυτῷ τὸν ἅγιον συμβιβάσαι, ὡς ἐπὶ τῶν προειρημένων ῥήσεων ἔχει· ἀλλ' ὅτι δοθείσης καὶ συγχωρηθείσης παρ' ἡμῶν τῆς μεταποιήσεως, πολλή τις ἐπιγενήσεται πρὸς ἀπόδειξιν ἡ συγκρότησις τοῦ τοιούτου παρὰ τῶν ἁγίων ἐξαιρέτως, τῷ Πατρὶ ἀφορίζεσθαι διὰ τὸ πρῶτον καὶ ἀρχικόν, ὡς ἐντεῦθεν πρὸς ἀνάγκης ἀκολουθεῖν τοῦτο νοεῖν εἶναι, τὸ καὶ ἀφαιρούμενον τοῦ Υἱοῦ. Ἐπεὶ γὰρ ἐν τῷ πρὸς τοὺς ἀπ' Αἰγύπτου ἐπιδημήσαντας λόγῳ τοῦ θεορρήμονος, ἔστι μὲν γὰρ οἷς τῶν ἀντιγράφων, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι πλὴν τῆς ἀγεννησίας· » ἔστι δὲ παρ' οἷς, « Πλὴν τῆς αἰτίας, » εὑρίσκεται, οἱ τὴν ἐναντίαν μετιόντες καὶ τοῦτο δὴ τὸ, « Πλὴν τῆς αἰτίας· » τρίτον ἐπὶ τοῖς προειρημένοις δυσὶ τῆς τῶν οἰκείων λόγων σαθρότητος μέρος ποιοῦνται. Ἡμεῖς δὲ ὅτι αἱ τὸ, « Πλὴν τῆς ἀγεννησίας » ἔχουσαι βίβλοι, τὸ κατὰ τὸ αἷς τὸ, « Πλὴν τῆς αἰτίας, » ἐμφέρεται, ἀποφέροντα κράτος, ἱκανῶς ἐν διαφόροις λόγοις προαποδεδειχότες ἐκ τοῦ πᾶσιν, ἐν οἷς τὰς τῆς Τριάδος ὁ ἅγιος ἀφορίζει ἰδιότητας, τὴν ἀγεννησίαν ἀποκληροῦν τῷ Πατρὶ, καὶ τὸ, « Πλὴν τῆς αἰτίας » νῦν διδόντες καὶ συγχωροῦντες, οὐδέν τι ἀπόνασθαι τῆς μεταποιήσεως ἐῶμεν τοὺς ἀντιλέγοντας. Ἔστω γὰρ τὸ « Πλὴν τῆς αἰτίας » τὸν ἅγιον εἰρηκέναι· ποίαν δὴ τὴν αἰτίαν νοεῖ ταύτην, ἐξεταστέον. Οὐ γὰρ ἀφορισμένως « πλὴν τῆς αἰτίας » ἔφη « τοῦ Πνεύματος· » ὅτι μηδέ τις ἦν αὐτῷ λόγος, εἰ ἄρα ἐκ μόνου τοῦ Πατρὸς, ἢ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ αἰτιατὸν τὸ Πνεῦμά ἐστιν, ὅπερ τῆς νῦν ἀντιλογίας ἐστὶν, ἀλλ' ἀπολύτως, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστιν, » ἔφη, εἶγε καὶ ἔφη, « Πλὴν τῆς αἰτίας. » Αἰτία δὲ ἀπολύτως οὕτω λεγομένη οὐ μόνον τὴν φυσικὴν τοῦ Πνεύματος αἰτίαν δηλοῖ, ἀλλά γε καὶ τὴν τῶν κτισμάτων ποιητικήν. Καὶ δεῖ τὸν τὰς σημασίας τῶν γραφικῶν ἀνιχνεύοντα λέξεων σκέπτεσθαι καὶ ἀνερευνᾷν, πῶς ἂν γένοιτο κατ' ἔννοιαν εὐσεβῆ καὶ φυσικῶς καὶ ποιητικῶς τὸν Υἱὸν ἀφαιρεῖν τὴν αἰτίαν, καὶ μόνῳ ταύτην ἀποκληροῦν τῷ Πατρί. Καὶ πάντως πᾶς τις οὕτως ἀνερευνῶν κατ' οὐδὲν ἕτερον τὸν λόγον εὐοδούμενον γνωριεῖ ὅτι μὴ κατὰ μόνον τὸ τῆς αἰτίας πρῶτον καὶ ἀρχικόν. Εὑρήσει γὰρ ἅμα καὶ Βασίλειον καὶ Ἀθανάσιον τοὺς τὴν θεολογίαν ἰσοκλεεῖς τῇ ἐννοίᾳ ταύτης ἐπισυγκροτοῦντας τὸ εὐσεβές, τὸν μὲν ἐν οἷς, « Μηδεὶς οἰέσθω με, » εἰρηκε, « τρεῖς εἶναι λέγειν ἀρχικὰς ὑποστάσεις· ἀρχὴ γὰρ τῶν ὄντων μία, δι' Υἱοῦ ἐνεργοῦσα, καὶ τελειοῦσα ἐν Πνεύματι· » καὶ αὖ ἐν οἷς ἔφη· « Ἕνα γὰρ οἴδαμεν ἀγέννητον, καὶ μίαν τῶν ὄντων ἀρχὴν, τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· » Ἀθανάσιον δὲ ἐν οἷς, « Τί ἐστι Θεός, » εἰρηκε, καὶ ἐπήγαγε τὸ, « Ἡ πάντων ἀρχὴ κατὰ τὸν Ἀπόστολον· Εἷς Θεὸς

illud, « Solus enim causa Pater, » a Filio Patrem in principali discernens, adducit.

6. Nunc interea reliquum est, ut dictum quoque illius, cui a theologia nomen est, et adversarii proponunt, commemoremus, non quod illud uti est, absque ullâ sui immutatione proponant, sed quod necessarium est, ut inde Sanctum sibi ipsi concordem ostendamus, quemadmodum et in dictis supra laudatis fecimus : sed quod, data etiam atque concessa immutatione, multum valebit ad demonstrandum consensionem, a sanctis nempe Patribus causam præcipue Patri decerni, quod inde primarium et principale, necessario consequitur, et id ipsum esse intelligitur, quod a Filio segregatur. Cum enim oratione divinitoqui Patris ad eos qui ex Ægypto accesserant, in nonnullis exemplaribus habeatur, « Quæcumque habet Pater, Filii sunt, si unum ingenitum esse si excipias, » in aliis vero, « unam si excipias causam, » inveniatur, qui contra nos faciunt, hoc item, « unam si excipias causam, » tertiam post duo primum allata, sermonum suorum imbecillitatis partem apponunt. Nos porro cum ostenderimus volumina, quæ, « unum ingenitum esse si excipias, » continent, præ illis, quæ, « si excipias causam, » habent, potioris roboris esse, abunde sane in diversis orationibus, propterea quod in reliquis omnibus, in quibus sanctus proprietates Triadis præscribit, ingenitum esse Patri attribuit, et, « unam si excipias causam, » nunc dantes concedentesque, nulli commodo esse contradicentibus similem immutationem, dignoscamus. Esto si quidem, « unam, si excipias causam, » Sanctus enuntiaverit, quam causam ipse intellexerit, examinandum est. Neque enim separando dixit, « si causam Spiritus excipias. » Neque enim illi curæ erat, ab ex solo Patre, vel ex Patre per Filium Spiritus causaretur, quod præsentis contentionis est, sed indeterminate, « Quæcumque habet Pater, Filii sunt, » dixit, si tamen dixit, « si excipias causam. » Causa vero sic absolute enuntiata, non tantum naturalem spiritus causam, sed etiam creaturarum effectricem indicat. Oportetque scriptarum dictionum significatus investigantem considerare, et inquirere, quomodo pie intelligendo, et naturali et effectrice causa Filium spoliet, et soli eam Patri ascribat. Et plane quicunque simili modo pervestigat, sententiam rectam illam esse intelliget, nisi secundum causæ primarium et principale. Reperiet quippe simul et Basilium et Athanasium in rebus theologicis paris nominis, intelligentiam similem uti piam rectamque approbantes, hunc quidem illis : « Et nemo existimet me, tres esse affirmare primarias hypostases. Principium siquidem omnium unum est, per Filium operans, et in Spiritu perficiens; » nec non et illis : « Unum enim scimus ingenitum, et unum omnium principium, Patrem Domini nostri

Digitized by Google Распознавание текста ABK/FR

Jesu Christi. » Athanasium vero in illis, quæ subjungit ad interrogationem, « Quid Deus est? Omnium principium, ut Apostolus ait, Unus Deus Pater, ex quo omnia. Namque Verbum ex eo est generatus, et Spiritus ex eodem procedens. Postmodum universa creatura per Verbum in Spiritu fabrefacta consistit. » Hæc est pietatis summa, hic est sinceræ veræque confessionis vertex. Et tu jam tandem dubiorum a te propositorum exquisitam notitiam habens, a sanctis Patribus causam Patri potissimum ascribi propter primarium ac principale; indeque necessario sequi, hoc ipsum esse quod adimitur Filio intelliges. Percontare rursus, rursus addubita.

A ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα. » Καὶ γὰρ ὁ Λόγος ἐξ αὐτοῦ γεννητῶς, καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς. Εἶτα πᾶσα ἡ κτίσις διὰ τοῦ Λόγου ἐν Πνεύματι συνέστη δημιουργικῶς. » Τοῦτο τῆς εὐσεβείας ἐστὶ τὸ τελεώτατον· τοῦτο τῆς εἰλικρινοῦς ὁμολογίας τὸ κορυφαιότατον. Καὶ σὺ τέλος ὢν διηπόρηκας τὴν ἀκριβῆ γνῶσιν τοῦ παρὰ τῶν ἁγίων τὸ οἰκεῖον ἐξαιρέτως τῷ Πατρὶ ἀφορίζεσθαι διὰ τὸ πρῶτον καὶ ἀρχικὸν ἐσχηκώς, καὶ τοῦ ἐντεῦθεν πρὸς ἀνάγκης ἀκολουθεῖν τοῦτο νοεῖν εἶναι τὸ καὶ ἀφαιρούμενον τοῦ Υἱοῦ, ἐρώτα καὶ πάλιν, ἀπόρει καὶ πάλιν.

ΤΟΥ ΑΥΤΟΥ

ΑΝΤΙΡΡΗΤΙΚΑ

ΤΩΝ ΕΠΙ ΤΑΙΣ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΓΡΑΦΙΚΑΙΣ ΧΡΗΣΕΣΙΝ ΕΠΙΣΤΑΣΙΩΝ

ΚΥΡΙΟΥ ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ

ΑΡΧΙΤΤΑΡΙΟΥ ΤΗΣ ΒΙΓΛΑΣ.

EJUSDEM

REFUTATIONES

ADVERSUS D. ANDRONICI CAMATERI

VIGLÆ DRUNGARII

SUPER SCRIPTO TRADITIS TESTIMONIIS DE SPIRITU SANCTO ANIMADVERSIONES.

I. Cum in animo nostro insederit, pacem ecclesiasticam continuo promovere, et magis ac magis constabilire, nescio an quispiam nobis ineptiæ vel rusticitatis crimen inurat. Namque cum semel B rebus propositis probe manus admoverimus, secundum et tertium ad ea firmanda figendaque conatus ac studia convertenda necessarium ducimus. Et qua ratione ex iis, qui ista legunt, eos merito veluti ineptos et rusticos criminabuntur, qui totis viribus confirmare contendunt, quorum aggressio bene semel cœpta est? Verumtamen primum bene cœptis secunda studia, et tertia ad eorum firmitatem stabiliendam conferre, hoc modo ineptiæ rusticitatisque crimen repellitur, si illa ex divinis sibi litteris firmitatem assumunt. Cum enim de ecclesiastica pace pertractant, necesse ea ex solis scripto petitis testimoniis absque fallaciis, et captiunculis pondus accipere, quod et procedente scriptione patebit

Α'. Βουλομένους ἡμᾶς τὴν ἐκκλησιαστικὴν εἰρήνην ἀεὶ προάγειν ἐπὶ τὸ βεβαιότερον, οὐκ οἶδα εἴ τις ἂν ἀπειροκαλίας κατηγορήσειε. Τοῖς γὰρ ἅπαξ ἐγχειρηθεῖσι καλῶς ἐγχειρήσαντες, καὶ δεύτερα καὶ τρίτα πρὸς σύστασιν ἐπιστοιβάζειν αὐτῶν ἀναγκαῖον ἡγούμεθα. Καὶ πῶς ἂν τις τῶν τούτοις ἐντυγχανόντων δίκαιος εἴη γράψασθαι ἀπειροκαλίας τοὺς παντὶ σθένει σπεύδοντας βεβαιοῦν ἐκεῖνα, ὧν ἡ ἐγχείρησις ἅπαξ ἐγεγόνει καλῶς; Πλὴν τὸ τοῖς ἐγχειρηθεῖσι τὰ πρῶτα καλῶς δεύτερα προσεπάγειν, καὶ τρίτα πρὸς βεβαιοτέραν τὴν σύστασιν, οὕτως ἂν τὸ τῆς ἀπειροκαλίας ἔγκλημα διαφύγοι, εἰ πάντα ταῦτα τὴν ἀπὸ τῶν θείων Γραφῶν πλουτοῦσιν ἰσχύν. Περὶ γὰρ ἐκκλησιαστικῆς ὄντα εἰρήνης, ἀπὸ μόνων συγκροτεῖσθαι χρήσεων ἀναγκάζονται γραφικῶν δίχα σοφισμάτων καὶ παραλογισμῶν, ὅπερ δὴ καὶ ἀναφανήσεται τοῦ λόγου προϊόντος ἡμῖν. Ἐφ' οἷς γὰρ περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐν ἄλλοις ἠγωνισάμεθα συγ-

Digitized by Google Распознавание текста ABK/FR

γράμμασι πρότερον, ἔδοξε καὶ πάλιν ἡμῖν ἐπὶ πλέον κρατῦναι τὸν ἔλεγχον τῶν πρὸς τὴν τοιαύτην εἰρήνην ἀντιλεγόντων κακῶς καὶ ἐπισφαλῶς. Ἔδοξε δὲ τοῦτο ποιῆσαι ἡμᾶς, ἄλλην τινὰ καινοτέραν μετελθόντας ὁδόν, δι' ἧς ἂν τὸ τῶν ἐλέγχων κράτος ἐκδηλότερον κατασταίη τοῖς ἀπροσπαθῶς διαγινώσκειν ἐθέλουσι. Καὶ ἡ ὁδὸς τὴν βίβλον μετὰ χεῖρας λαβεῖν, ἣν ἐν ταῖς τῆς αὐτοκρατορίας ἡμέραις Μανουὴλ τοῦ ἀειδίμου ἐν βασιλεῦσι καὶ αὐτοκράτορσιν ὡς ἐκ προσώπου ἐκείνου Ἀνδρόνικος, ὁ τὴν τοῦ δρουγγαρίου τῆς Βίγλας ἀνεζωσμένος τότε ἀρχὴν Καματηρὸς τοὐπίκλην, ἀνὴρ τὴν σοφίαν οὐκ ἀγεννής, συνεγράψατο· καὶ τὸ μὲν ἐπὶ κάλλει λόγου καὶ φράσει ταύτης θαυμάσιον ἐπαινέσαι, καὶ ἀποδέξασθαι, πρὸς ἓν δὲ μόνον μέρος ἁπαντῆσαι αὐτῇ πρὸς ὅπερ οὐ καλῶς ὁ σοφὸς ἐκεῖνος ἀνὴρ ἠγωνίσατο, οὐδὲ τῆς ἑαυτοῦ σοφίας ἀξίως, διὰ τὸ τοῦ θελήματος ἰδιόρρυθμον, ἢ τὴν προσταγὴν τοῦ κρατοῦντος ἢ τὴν ῥοπὴν τοῦ καιροῦ, ἢ οὐκ οἶδ' ἂν ὅ τι καὶ εἴποιμι ἕτερον· οὐ γὰρ ἀγνοεῖν ἐκεῖνον τὸ ἀληθὲς πείθομαι· καὶ ὑπαντῆσαι οὐκ ἐν σοφιστείᾳ λόγου εἰς πλάτος ῥητορευομένου, καὶ ἐπεκτάδην, ἀλλ' ἐν γυμναῖς παντὸς τοῦ ἐν λογογραφίᾳ κάλλους τῶν θείων Γραφῶν μαρτυρίαις, καὶ οὕτως ἐπὶ πλέον κρατῦναι τῶν ἀντιλεγόντων τὸν ἔλεγχον, διὰ τὸ κατὰ τὴν ἐντεῦθεν ἐπινενοημένην μέθοδον τοῦ ψεύδους εὐέλεγκτον. Τί δὲ τὸ τῆς βίβλου μέρος, πρὸς ὃ καὶ ἀπαντῆσαι διέγνωμεν; Ἡ τοῦ, Ἀνδρὸς ἐκείνου σπουδὴ, ἣν ὅτι πολλὴν ποιούμενος φαίνεται ἀποδεῖξαι μὴ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν τὸ Πνεῦμα τὸ ἅγιον. Τίς δὲ ὁ τῆς ἀπαντήσεως τρόπος, καὶ τίς ἡ δυναμένη τὸν σαφῆ τοῦ ψεύδους ἔλεγχον μέθοδος; ἐροῦμεν ἤδη σαφῶς. Ὁ τὴν ῥηθεῖσαν βίβλον ἐκθέμενος θαυμαστὸς ἐκεῖνος ἀνὴρ, ἰσχὺν περιβεβλημένος λόγων οὔτι μικράν, πᾶσαν μὲν γραφικὴν ῥῆσιν, ἐξ ἧς τὸ Πνεῦμα ὑπάρχον ἐκ Πατρὸς, καὶ Υἱοῦ ἀναφαίνεται, συνελέξατο, καὶ κατὰ τὴν τάξιν συνέθετο· ἑκάστῃ δὲ τῶν ῥήσεων τὴν ἑαυτοῦ προσάπτων ἐπιστασίαν, ταύτην ἀεὶ διηυθέτει, οἷς αὐτὸς νοήμασιν ἐνησμένιζε, καὶ πρὸς τὰ δοκοῦντά οἱ τὴν ἀνάπτυξιν τῶν λόγων παρεβιάζετο. Ἡμεῖ, δὲ νῦν, πρὸς τὸ ἐλέγχειν γινόμενοι τὸ τῶν ἐπιστασιῶν τούτων βεβηλωμένον, οὐκ ἴδιον μέρος, ὥσπερ μοι καὶ προείρηται, λογοειδοῦς γραφῆς ἐκθήσομεν εἰς ἀντίῤῥησιν ταύτην λογογραφήσομεν, ἀλλ' ἑκάστην περικοπὴν γραφικῆς ῥήσεως, ὡς αὐτὸς ἐκεῖνος ἐξέθετο, ἐκτιθέμενοι, ἔστι δ' ὅποι διὰ βραχυλογίαν καὶ τῶν περικοπῶν τινας ἐπιτέμνοντες, ἐν οἷς δηλονότι μέρεσιν αὗται περίεχουσί τι μετὸν τῆς προκειμένης ἡμῖν σπουδῆς οὐδαμοῦ, καὶ τὰς ἐφ' ἑκάστῃ αὐτῶν ἐπιστασίας, ὡς αὐτὸς ἐκεῖνος αὐταῖς προσῆψε, ταύτα, προσάπτοντες, τὰς ἐφ' ἑκάστῃ τῶν ἐπιστασιῶν εἰδικὰς ἀντιῤῥήσεις ἡμῶν ἀντιπαρατιθήσομεν, ὡς ἂν τοῖ, ἐντυγχάνουσι καθαρὰ καὶ ἀνεπιθόλωτα ἐντεῦθεν ἐγγίνοιντο τὰ τῆς διαγνώσεως. Ὡς γὰρ ἐπὶ τῶν ἀντιστρατευόμενοι ἀλλήλοις σωματικῶς ἡ ἐν στενῷ τῶν ἀμφοτέρων περιοχὴ τῷ ἑνὶ κράτος ἐπιταχύνει, οὕτω καὶ ἡ ἐφ' ἑκάστῃ ἐπιστασίᾳ τοῦ σοφοῦ ἀνδρὸς ἐκείνου ἡμετέρα ἀντίῤῥησις, ἁπλῆ καὶ ἀμέθοδος προϊοῦσα, καὶ γυμναῖς μόναις γραφικαῖς μαρτυρίαις;

apertissime. Præter enim alia, quæ de ecclesiastica pace in aliis nostris Commentariis antea digessimus, nunc denuo visum est nobis magis ac magis refutationi eorum insistere, qui temere et non absque discrimine se præfatæ paci opponunt. Visum est autem nobis hoc facere, nova quadam via pertentata, per quam refutationum vis patentior esset illis, qui eas sine ullo affectu dignoscere cupiunt. Via porro est, librum præ manibus accipere, quem sub imperio Manuelis regis, imperatoris celeberrimi, Manuelis personam induens, Andronicus Drungarii Viglæ tum temporis munere fungens, cognomento Camaterus, vir sapientia non ignobilis composuit, et illius quidem sermonis, dictionisque præstantiam admirandam laudare, probareque, uni vero illius parti occurrere, in qua catus ille vir non prudenter certamen iniit, neque pro suæ sapientiæ dignitate, quod vel proprium sit secutus arbitrium, vel dominantis jussa, vel temporis opportunitatem, vel aliquid aliud, quod mihi non dum liquet, neque enim suaderi possum, illum veritatem ignorasse, et occurrere quidem non in sapientia sermonis, res diffuse et per extensum pertractantis, sed in nudis ab omni oratorio splendore divinarum Scripturarum testimoniis, et ita magis contradicentium refutationem corroborare : quod facilius hac ratione mendacium deprehendatur. Quænam autem pars libri fuerit, cui occurrere constituimus? Viri illius studium, quo ille summa animi contentione non ex Patre et Filio esse Spiritum sanctum demonstrare conatur. Quis vero responsionis modus, et quæ methodus, quæ aperte mendacii refutationem convellere potis sit, dicemus jam plane. Illius libri auctor, admirandus sane vir, robore sermonum nec invalido stipatus, omnibus scripto traditis, quibus esse ex Patre et Filio videtur Spiritus innui, dictis collectis, et ordine dispositis, suam animadversionem annectens, sententiis, quibus ipse acquiescebat, ad eam quæ sibi videbatur expositionem per vim etiam trahens applicavit : nos vero, qui nunc ad illa refutanda accessimus, harum animadversionum non propriam partem, ut jam prædiximus, quæ nempe oratoriæ artis esse censemus, præteribimus, et unamquamque pericopem ex scriptura desumptæ sententiæ, ut ille exposuit, digeremus, aliquando brevitatis causa sententiarum aliquas abscindentes, ad hos nostros scilicet conatus nihil attinentes; et ipsius ad singula dicta animadversiones, ut ipse illas dictis appendit, nos quoque appendentes, nostras unicuique animadversioni refutationes contra opponemus, ut lectoribus pura claraque accedant nostra judicia. Quemadmodum enim corpore mutuo decertantium in angusto amborum conclusio victoriam uni accelerat; sic et in unaquaque animadversione docti illius viri nostra contradictio pura et absque methodo procedens, et nudis solummodo scripto traditis testimoniis instructa, commodiorem dignotionis discussionem lectoribus ingeret. Ut hæc est, quam

Digitized by Google Распознавание текста ABK/FR

nos diximus ad refellendam facilius falsitatem methodum invenisse, cui tantum est adversus mendacium roboris, ut nos excitet non solum Camateri voluminis refutationem aggredi, sed et in alia quoque commentaria continuare, quæ alii alio atque alio tempore ad schisma corroborandum, quæcunque illa fuerint, conscripserunt. Cum enim auctores schismatis dogmatum propria principia commenti, ea a diviniloquis Ecclesiæ luminibus absque ulla hæsitatione asserta supposuerint, qui eos subsecuti sunt, non super aliis, sed super iisdem quæ adversus Romanam Ecclesiam scripto tradiderunt, fundarunt, contentiosa simultas atque inopportuna nobis visa est, adversus similes sententias variis scriptionum generibus decertare. Sunt vero conflicta dogmatum principia, primum asserens : « Proprium Patris esse Spiritum producere. » Secundum : « Quidquid de Trinitate asseritur, aut est unius, aut trium. » Tertium : « Quidquid de divinis personis asseritur aut est personale, aut naturale. » Quartum quod insinuat : « Patrem, quæ ex se veluti causa producit, ratione ea personæ, non autem naturæ producere. » Quintum denique, quod decernit : « Spiritum ex Patre esse contigue et immediate. » Horum nullum, licet quispiam divinorum Patrum commentaria evolvendo delassetur, a quoquam usquam assertum reperiet. Hæc porro confinxerunt, qui schisma promoverunt, et qui superficie tenus et per transennam divinas Scripturas percurrunt, similibus uti verissimis attendentes, nullum unquam absurdum consequi, adversus eos, qui Spiritum ex Patre et Filio esse asseverant, nisi uno ex his tanquam Patrum theologico dicto syllogisticis suis laqueis supposito, oratione demonstrare potuerunt. Et rationes quidem, quibus hæ propositiones falsæ esse ac commentitiæ deprehendentur, rerum harum lector curiosus intelliget, cum procedente oratione de his fusiorem sermonem instituemus. Nunc ad Camateri voluminis refutationes manus admovendæ sunt. Cum vero ante scripto traditorum dictorum expositiones, et de iisdem animadversiones voluminis parens Camaterus, imperatoris personam induens, colloquium inter eumdem, et ob ecclesiasticam pacem tum Constantinopoli commorantes cardinales confinxit, negligendum est et illud a nobis, sufficientem mendacii refutationem esse rati, si ejusdem ad scripto tradita testimonia animadversiones, nihil opportunum in se continere demonstrabimus. Licet enim et in aliis nostris voluminibus, eorum etiam, quæ in hoc colloquio continentur, refutationem non negleximus, et potissimum ubi in eo suæ sapientiæ specimen ac vires ostendit, in quibus nempe voluminibus neque quod nunc scripto traditorum dictorum compendium præponimus, opus fuit. Verumtamen cum alii nunc recens veritatis hostes eruperint, et dogmatibus de novo compositis in apertam et indubitatam hæresim prolapsi sint, certamen, quod adversus eosdem

A συγκροτουμένη, ῥᾷον τὸ τῆς διαγνώσεως ἀκριβὲς ἐμποιήσει τοῖς ἐντυγχάνουσι. Καὶ τοῦτό ἐστιν, ἣν εἰρήκαμεν ἐπινοήσασθαι μέθοδον πρὸς τὸ τοῦ ψεύδους εὐέλεγκτον, ἥτις δὴ μέθοδος τοσοῦτον τὴν κατὰ τοῦ ψεύδους ἰσχὺν ἀναζώννυται, ὡς ἐρεθίζειν ἡμᾶς μὴ μέχρι τῆς τοῦ Καματηροῦ βίβλου τῆσδε τὴν ἀντίῤῥησιν περιστῆσαι, ἀλλὰ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασιν ἐπεκτεῖναι ταύτην συγγράμμασιν, ἅπερ ἄλλοτε ἄλλοι ἐπὶ συγκρυτήσει τοῦ σχίσματος συνεγράψαντο, ὅσα δῆτα καὶ συνεγράψαντο. Ὅτι γὰρ, τῶν πρώτως ἀπαρξαμένων τοῦ σχίσματος, ἰδίας δογμάτων πλασαμένων ἀρχὰς, καὶ ταύτας ὡς ὁμολογουμένως παρὰ τῶν θεηγόρων τῆς Ἐκκλησίας φωστήρων ῥηθείσας ὑποθεμένων, οἱ ἐφεξῆς οὐκ ἐπ' ἄλλαις, ἀλλ' ἐπ' αὐταῖς ταύταις τὰ κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας

B ἐλογογράφησαν· φιλοτιμία τις ἄκαιρος ἡμῖν ἔδοξε κατὰ τῶν αὐτῶν ἐννοιῶν διαφόροις λογογραφίαις εἰδέσιν ἀγωνίζεσθαι. Εἴεν δ' ἂν πεπλασμέναι δογμάτων ἀρχαὶ, ἡ λέγουσα πρότασις, « Ἴδιον τοῦ Πατρὸς εἶναι τὸ προβάλλειν τὸ Πνεῦμα. » Ἑτέρα ἡ λέγουσα, « Πᾶν τὸ ἐπὶ τῆς Τριάδος λεγόμενον, ἢ ἑνός ἐστιν, ἢ τῶν τριῶν. » Τρίτη ἐπ' αὐταῖς ἡ λέγουσα, « Πᾶν τὸ ἐπὶ τῶν θεαρχικῶν λεγόμενον ὑποστάσεων ἢ ὑποστατικόν ἐστιν, ἢ φυσικόν. » Καὶ τετάρτη, ἡ « τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ » φάσκουσα, « τῷ λόγῳ τῆς ὑποστάσεως, οὐχὶ τῷ λόγῳ τῆς φύσεως. » Ἔτι δὲ πέμπτη ἡ « προσεχῶς καὶ ἀμέσως εἶναι » λέγουσα « τὸ Πνεῦμα ἐκ τοῦ Πατρός· » τούτων γὰρ οὐδεμίαν, κἂν εἰ μυρία κάμῃ τις τὰς τῶν θεηγόρων Πατέρων βίβλους ἀνερευνῶν, εὑρήσει παρά τινος

C τούτων ῥηθεῖσάν ποτε. Οἱ δὲ τοῦ σχίσματος ζηλωταὶ, ταύτας ἐπλάσαντο· καὶ οἱ παροδικῶς τὰς θείας ἐπιόντες Γραφὰς, ὡς ἀληθέσι ταύταις πιστεύοντες, οὐδέ ποτέ τι ἔσχον ἄτοπον ἀποδεῖξαι τῷ λόγῳ ἐπόμενον τῶν ἐκ Πατρὸς καὶ Υἱοῦ λεγόντων εἶναι τὸ Πνεῦμα, εἰ μὴ μίαν τινὰ τούτων ὡς πατρικὴν θεολογίαν ταῖς συλλογιστικαῖς ἑαυτῶν πλεκτάναις ὑπέθεντο. Καὶ τοὺς μὲν λόγους, καθ' οὓς αἱ προτάσεις αὗται πεπλασμέναι καὶ ψευδεῖς ἀπελέγχονται, εἴσεται ὁ ζητητικὸς ἐν οἷς προϊόντες ἐροῦμεν τὰ περὶ τούτων πλατύτερον· τὸ δέ γε νῦν ἔχον ἐπιβαλεῖν ἡμᾶς δεῖ ταῖς τῆς βίβλου τοῦ Καματηροῦ ἀντιῤῥήσεσιν. Ἐπεὶ δὲ πρὸ τῶν τῶν γραφικῶν ἐκθέσεων ῥήσεων, καὶ τῶν ἐπ' αὐταῖς ἐπιστασιῶν ὁ τῆς βίβλου πατὴρ, τὸ τοῦ

D αὐτοκράτορος ὑποδυσάμενος πρόσωπον, διάλεξιν ὡς μέσον δῆθεν προβᾶσαν αὐτοῦ τε ἐκείνου τοῦ αὐτοκράτορος καὶ τῶν περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐπιδημούντων τότε τῇ Κωνσταντίνου καρδηναλίων ἐπλάσατο, παραιτητέον, καὶ ταύτην ἡμᾶς ἀρκοῦντά οἱ τοῦ ψεύδους κρίνοντας ἔλεγχον, τὸ τὰς ἐπὶ ταῖς γραφικαῖς ῥήσεσιν ἐπιστασίας αὐτοῦ πρὸς μηδὲν προενηνεγμένας καίριον ἀποδεῖξαι. Εἰ γὰρ καὶ ἐν ἄλλαις ἡμῶν βίβλοις, καὶ τῶν ἐπὶ τῇ διαλέξει ταύτῃ ἐμέλησεν ἡμῖν ἀντιῤῥήσεων, καὶ μάλισθ' ὅτι ἐν ταύτῃ τῆς ἑαυτοῦ σοφίας ὁ τοιοῦτος τὴν δύναμιν ἐπεδείξατο· ἐν αἷς δὴ βίβλοις οὐδὲ τῆς ἦν ἄρτι προκρίνομεν, ἐπιτομῆς τῶν γραφικῶν ἡμῖν ἐδέησε ῥήσεων. Ἀλλ' ἐπεὶ, ἄλλων ἐκ νέου πολεμίων τῆς ἀληθείας ἀναφανέντων, καὶ καινοτέροις ἔτι δόγμασιν εἰς

προφανῆ καταστάντων καὶ ἀναμφίβολον αἴρεσιν, ὁ κατ' αὐτῶν ἀγὼν ἡμᾶς δικαίως ἀπήτησε διὰ πολυστίχων καὶ αὐτοὺς ἀνατρέψαι τῶν ἀντιρρήσεων. Διὰ δὴ τὸν τοῦ λόγου ταῖς ἀκοαῖς πολέμιον κόρον συντελεῖ, ὡς εἴρηταί μοι, τῶν τινων ἐπιτομὴ ῥήσεων. Παραιτητέον οὖν μοι καὶ τὴν διάλεξιν, καὶ ἀπό γε δὴ τῶν γραφικῶν αὐτῶν ῥήσεων, καὶ τῶν ἐπὶ ταῖς ῥήσεσιν ἐπιστασιῶν, ἐνταῦθά μοι ἀρκτέον. A suscipimus, a nobis juremerito postulat, eosdem prolixioribus refutationibus refellere. Propter vero sermonis auribus adversam satietatem operæ pretium fuerit, ut jam dixi, nonnullorum dictorum compendio uti. Prætereundum itaque colloquium, et ab ipsis scripto traditis auctoritatibus, et animadversionibus de iisdem ducendum principium est.

EX NOVO TESTAMENTO SENTENTIÆ.

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου

Β'. « Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς « τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ « ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' « ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας. » B

Ἐπιστασία.

« Ἐπίστησον, ἀκροατά, τῇ τοῦ εὐαγγελικοῦ ῥητοῦ διανοίᾳ. Πῶς ὁ Σωτὴρ ἐρωτῆσαι λέγει τὸν « Πατέρα, ἵν' ἐκεῖνος δώσῃ τὸν Παράκλητον; Τοίνυν ἐκ τούτου μάνθανε τὸν Πατέρα διὰ τοῦ ὁμοφυοῦς Μονογενοῦς διδόντα τὸν ὁμοφυῆ Παράκλητον. »

Ex Evangelio Joannis, cap. XIV, *vers.* 15.

II. « Si diligitis me, mandata mea servate. Et « ego rogabo Patrem, et alium Paracletum dabit « vobis, ut maneat vobiscum in æternum, Spiritum « veritatis. »

Animadversio.

« Adesto animo, auditor, recogitatoque dicti « evangelici mentem. Quanam ratione Salvator « rogaturum se dicit Patrem, ut ille Paracletum det? « Hinc ergo discito, Patrem per consubstantialem « sibi Unigenitum consubstantialem Paracletum « exhibere. »

Ἀντίρρησις.

Σὺ μὲν ἐν τῇ ἐπιστασίᾳ ταύτῃ προτρέπῃ τὸν ἀκροατὴν ἐπιστῆσαι, πῶς τὸν Πατέρα περὶ τῆς τοῦ Παρακλήτου δόσεως ὁ Σωτὴρ ἐρωτᾷ, καὶ μαθεῖν ἐκ τούτου ὡς ὁ Πατὴρ διὰ τοῦ ὁμοφυοῦς Μονογενοῦς τὸν ὁμοφυῆ Παράκλητον δίδωσιν. Ἐγὼ δ' ἐντεῦθεν ξυνίημι ἐκ τοῦ Πατρὸς διὰ τοῦ ὁμοφυοῦς Μονογενοῦς τὸν ὁμοφυῆ Παράκλητον εἶναι, ἢ πηγάζειν, ἢ ἐκπορεύεσθαι, ἢ ὅ τι περ ἂν βούλῃ ἕτερον λέγειν τὴν τοῦ Παρακλήτου δηλοῦν ὕπαρξιν. Πῶς γὰρ ἂν καὶ δοθείη ἄλλως τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, εἰ μὴ ὡς ἐκ Πατρὸς ὑπάρχον διὰ τοῦ Υἱοῦ; Εἰ γὰρ ἐκ μὲν τοῦ Πατρὸς ὡς ἐξ αὐτοῦ ὑπάρχον δοθείη, διὰ τοῦ Υἱοῦ δὲ οὐχ ὡς δι' αὐτοῦ ὑπάρχον, τίς ἂν λοιπὸν οὐκ οἰήσαιτο διακονικῶς καὶ ὑπηρετικῶς δίδοσθαι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ; Καὶ ἵνα μὴ τοῖς εἰς κατασκευὴν τοῦ νοήματος τούτου λόγοις ἐμπλατυνόμενος, δόξαιμι λογισμοῖς οἰκείοις χαρίζεσθαι, μάρτυς ταύτης τῆς διανοίας ἐξαίρετος ὁ μέγας μοι παραχθήσεται Κύριλλος. Οὗτος γὰρ τὸ κατὰ Ἰωάννην ἐξηγούμενος Εὐαγγέλιον, ἐν ἐκείνῳ τῷ μέρει γενόμενος, ὅπου ὁ Σωτὴρ ἔφη, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας. » πρὸς ἐκείνους σχηματίζων τὸν λόγον, οἵτινες ἑτεροούσιον τοῦ Πατρὸς τὸν Υἱὸν δυσσεβῶς ἐδογμάτιζον, οὕτω φησί· « Μὴ γὰρ δή τινες ἡμᾶς τῶν δυσσεβεῖν εἰωθότων τοῖς ἐξ ἀμαθείας ἀποκομιζόντων λόγοις, εἰς ἃ μὴ θέμις ἐννοεῖν ὡς ὑπουργικήν τινα χρείαν ἀποπληρῶν ὁ Υἱὸς τὸ παρὰ τοῦ Πατρὸς Πνεῦμα τῇ κτίσει διακονεῖ· καὶ τοῦτο γὰρ ἀσυνέτως τινὲς οὐ κατέδεισαν εἰπεῖν. Πιστεύειν δὲ μᾶλλον ἀκόλουθον ὡς, ἐπείπερ ἴδιόν ἐστιν αὐτοῦ καθάπερ ἀμέλει καὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀποστέλλει τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς πρὸς ἁγιασμόν. » C

Refutatio.

In hac animadversione tu quidem auditorem hortaris, mentem figere, quanam ratione de Paracleti exhibitione Patrem rogat Salvator, ex eoque discere, Patrem per consubstantialem Unigenitum consubstantialem Paracletum exhibere. Ego vero ex illis percipio, ex Patre per consubstantialem Unigenitum consubstantialem Paracletum esse, sive effluere, sive procedere, vel quidquid aliud tibi in animo est, dicere, quod Paracleti exsistentiam notet. Qua enim alia ratione Spiritus a Patre per Filium dari dicetur, nisi uti ex Patre per Filium exsistens? Etenim si a Patre, uti ex eo persistens datur, per Filium non uti ex eo exsistens, quis demum non existimaverit uti a servo, et administro Filio Spiritum exhiberi. Et ne ad ejusmodi sententiam comprobandam, sermone prolixiore utens, videar propriis cogitationibus ac placitis asservire, testis omni exceptione major magnus adducatur Cyrillus, qui Joannis Evangelium explanans, cum ad eam partem pervenisset, in qua Salvator inquit: « Cum Paracletus venerit, quem ego mittam vobis a Patre, Spiritum veritatis, » ad eos convertens orationem, qui Filium alienæ a Patre substantiæ impie decernebant, hunc in modum edisserit: « Nemo enim nos ad eorum, qui impietatem amplecti consueverunt ad ea quæ ex ignorantia oriuntur et quæ intelligere nefas est, verbis suis impellat; Spiritum scilicet qui ex Patre est, per Filium uti per ministrum mitti ad creaturas: nam etiam id nonnulli dicere ausi sunt. Sed potius credamus, quoniam Spiritus ita proprius Filii, sicut sane ipsius quoque Dei Patris est, idcirco ad sanctificationem suorum discipulorum ab eo mitti. » Et paucis annexis: « Præterea quæ D

Digitized by Google Распознавание текста АВК/FR

« dicta sunt, illud quoque necessario consequetur. « Si enim ministerium servile explere Filium existimatis illud, quod non est, suæ naturæ exhibentem quod nempe est a Patre et Deo, sanctusque est natura sua Spiritus, equidem non natura sanctus Filius erit, sed participatione ut nos. » Vides uti consequenter admirabilis Cyrillus colligit : Si Filius Spiritum sanctum, qui a Deo et Patre exsistit suppeditat non tanquam sui proprium, quemadmodum Dei et Patris proprius est, alienum a sua natura Spiritum suppeditat : sicque Spiritus a Filio alienam naturam non aliunde collegit, sed ab eorum dictis, qui asserere non verebantur a Filio Spiritum non ab eo exsistentem suppeditari, sed ex solo Deo et Patre procedentem. Simile circa fidem discrimen subeunt et circa eam labuntur, qui ex Patre quidem uti ex eo exsistentem Spiritum exhiberi, suppeditari, et mitti, intelligunt, per Filium vero non uti per eum exsistentem ex Patre. Itaque, o auditor, quem præsentis voluminis parens advocavit ad suas animadversiones dijudicandas, si a recta veritatis sententia aberrare non vis, ex Patre per Filium credito Spiritum dari, suppeditari, et mitti tanquam qui ex Patre per Filium exsistit, ne exhibitionis, suppeditationis, et missionis servus atque minister tibi Filius reputetur, quod est impium, et plane blasphemum.

Ex eodem Evangelio. Cap. XIV, *vers.* 25.

III. « Hæc locutus sum vobis, apud vos manens. « Cum autem venerit Spiritus sanctus, quem mittet Pater meus in nomine meo, ille vos docebit « omnia. »

Animadversio.

« Prudenter animadvertito, Patrem dici in nomine Filii, sive per Filium Paracletum mittere. »

Refutatio.

Et tu quoque prudenter animum advertito, quemadmodum hic Salvator enuntiavit, Quem mittet Pater meus in nomine meo, et non se disjunxit a Patre, quia Spiritus per ipsum mittitur a Patre : pari modo cum dixit, Qui ex Patre procedit, non sese a Patre distinxisse, quia Spiritus per ipsum a Patre procedit.

Ex eod. evangelio c. XV, *v.* 26.

IV. « Cum autem venerit Paracletus, quem ego « mittam vobis a Patre, Spiritum veritatis qui a « Patre procedit, ipse testimonium perhibebit de « me. »

Animadversio.

« Attentius animadvertito, quomodo ipse Paracletum se missurum promittit, sed a Patre : hocque prorsus concordat cum præcedentibus. Processionem vero illius, modum nempe naturalis exsistentiæ, ex Patre apertissime te docet. Quem igitur alium tibi quæris veritatis, et sapientiæ veraciorem ac sapientiorem magistrum ?

A Καὶ μετ' ὀλίγα· « Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λοιπὸν ἐξ ἀνάγκης εἰσβήσεται. Εἰ γὰρ ὑπουργίαν διακονικὴν ἀποπληροῦν οἴεσθε τὸν Υἱὸν τὸ ἀλλότριον ἡμῖν κεχορηγηκότα, τουτέστι τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἅγιον ὂν κατὰ φύσιν Πνεῦμα, οὐ κατὰ φύσιν ἅγιος ὁ Υἱὸς, κατὰ μέθεξιν δὲ ὥσπερ ἡμεῖς. » Ὁρᾷς ὅπως ὁ θαυμαστὸς συνήγαγε Κύριλλος ὡς, εἴπερ ὁ Υἱὸς τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχον ἅγιον Πνεῦμα χορηγεῖ μὴ ὡς ἴδιον αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ἴδιον, ἀλλότριον χορηγῶν ἐστι Πνεῦμα, τὴν τοῦ Πνεύματος πάντως ἀπὸ τοῦ Υἱοῦ ἀλλοτριότητα οὐκ ἄλλοθεν συνῆξεν, ἀλλ' ἀπὸ τοῦ λόγου τῶν λέγειν ἀποτολμώντων ὡς χορηγεῖ ὁ Υἱὸς τὸ Πνεῦμα μὴ δι' αὐτοῦ ὑπάρχον, ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς προϊόν. Τοιοῦτον B ἐπὶ τῇ πίστει διακινδυνεύουσιν ὀλισθον οἱ ἐκ τοῦ Πατρὸς μὲν, ὡς ἐξ αὐτοῦ ὑπάρχον, δίδοσθαι καὶ χορηγεῖσθαι καὶ ἀποστέλλεσθαι τὸ Πνεῦμα νοοῦντες, διὰ τοῦ Υἱοῦ δὲ, οὐχ ὡς δι' αὐτοῦ ὑπάρχον ἐκ τοῦ Πατρός. Εἴπερ γοῦν, ὦ ἀκροατὰ, ὃν ὁ τῆς παρούσης προσεκαλέσατο βίβλου Πατὴρ εἰς διάγνωσιν τῶν οἰκείων ἐπιστασιῶν, βούλει τῆς ἀληθοῦς ἐννοίας μὴ ἀποπλανᾶσθαι, ἐκ Πατρὸς διὰ Υἱοῦ πίστευε τὸ Πνεῦμα διδόμενον καὶ χορηγούμενον καὶ ἀποστελλόμενον, ὡς ἐκ Πατρὸς ὑπάρχον διὰ τοῦ Υἱοῦ, ἵνα μὴ διάκονος καὶ ὑπηρέτης τῆς δόσεως καὶ χορηγίας καὶ ἀποστολῆς νοοῖτό σοι ὁ Υἱὸς, ὅπερ ἐστὶ δυσσεβές τε καὶ βλάσφημον.

Ἐκ τοῦ αὐτοῦ Εὐαγγελίου.

« Γ. Ταῦτα λελάληκα ὑμῖν, παρ' ἡμῖν μένων. C « Ὅταν δὲ ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατήρ μου ἐν τῷ ὀνόματί μου, ἐκεῖνο διδάξει ὑμᾶς « πάντα. »

Ἐπιστασία.

« Συνετῶς ἄκουσον ὡς ὁ Πατὴρ ἐν τῷ ὀνόματι « τοῦ Υἱοῦ, ἤτοι διὰ τοῦ Υἱοῦ ἀποστέλλειν λέγεται « τὸν Παράκλητον. »

Ἀντίρρησις.

Ἀλλὰ καὶ συνετῶς πρόσσχε; ὅτι ὥσπερ ἔφη ὁ Σωτὴρ ἐνταῦθα, « Ὃ πέμψει ὁ Πατήρ μου ἐν τῷ ὀνόματί μου, καὶ οὐ διεῖλεν ἑαυτὸν τοῦ Πατρὸς, διὰ τὸ πέμπεσθαι τὸ Πνεῦμα δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς, οὕτω καὶ ὅταν ἔφη, Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » οὐ διεῖλεν ἑαυτὸν τοῦ Πατρὸς, διὰ τὸ D ἐκπορεύεσθαι τὸ Πνεῦμα δι' αὐτοῦ παρὰ τοῦ Πατρός.

Ἐκ τοῦ αὐτοῦ Εὐαγγελίου.

« Δ. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ « πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς « ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖ« νος μαρτυρήσει περὶ ἐμοῦ. »

Ἐπιστασία.

« Ἐπίστησον, πῶς; αὐτὸς μὲν πέμψαι τὸν Πα« ράκλητον ὁ Μονογενὴς ὑπισχνεῖται, παρὰ τοῦ « Πατρὸς δέ· συνᾴδει δὲ τοῦτο πάντως τοῖς προλα« βοῦσι. Τὴν δὲ ἐκπόρευσιν τούτου, δηλονότι τὸν « τρόπον τῆς φυσικῆς ὑπάρξεως, ἐκ τοῦ Πατρὸς « σαφῶς ἐκδιδάσκει σε. Τίνα γοῦν ἕτερον ζητεῖς « τῆς ἀληθείας καὶ τῆς σοφίας ἀληθέστερον διδά« σκαλον καὶ σοφώτερον; »

Digitized by Google Распознавание текста ABK/FR

Ἀντίρρησις.

Μὴ τοῦτο σκόπει, ὅτι αὐτὸς μὲν πέμψειν τὸν Παράκλητον ὁ Μονογενὴς ὑπισχνεῖται, παρὰ τοῦ Πατρὸς δὲ, ἀλλ' ὅτι τὸ ἐξ ἀμφοῖν εἶναι τὸν Παράκλητον ἐντεῦθεν ἐμφαίνεται. Τὸ γὰρ παρὰ τοῦ Πατρὸς πεμπόμενον καὶ Υἱοῦ, ἐπεὶ παρ' οὐδενὸς διακονικῶς, πάντως φυσικῶς, ὡς ἐκ τῆς οὐσίας ὑπάρχον ἀμφοῖν. Τὸ δὲ λέγειν σε ὡς τὴν ἐκπόρευσιν δηλονότι τὸν τρόπον τῆς φυσικῆς ὑπάρξεως, τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς σαφῶς ἐκδιδάσκει ὁ Κύριος, καλῶς σοι εἰρημένον ἐστίν. Ἔδει δέ σε τὸ σύμπαν τῆς ἐννοίας τῶν εὐαγγελικῶν κατανοῆσαι φωνῶν, καὶ γνῶναι ὡς, καθάπερ ἐκ τοῦ Πατρὸς ἡ φυσικὴ δηλοῦται τοῦ Πνεύματος ὕπαρξις ἀπὸ τῆς τοῦ Κυρίου φωνῆς τῆς, « ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » ἣν ὁ Κύριος ἔφη πάντα τὰ αὐτοῦ εἰς τὸν Πατέρα ὡς εἰς ἄναρχον ἀναφέρων αἰτίαν, οὕτω δηλοῦται καὶ ἀπὸ τῆς ἄλλης τοῦ Κυρίου φωνῆς τῆς, Πνεῦμα ἀληθείας; λεγούσης τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τοῦ Υἱοῦ τὴν τοιαύτην φυσικὴν εἶναι τοῦ Πνεύματος ὕπαρξιν. Εὔδηλον γὰρ ὡς ἡ εὐαγγελικὴ ῥῆσις ἡ λέγουσα Πνεῦμα τῆς ἀληθείας τὸ Πνεῦμα τὸ ἅγιον, ἐκεῖνο δύναται, ὅπερ ἡ λέγουσα παρὰ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι. Καὶ μαρτυρήσει μοι τὸν λόγον ἡ τῆς ἀληθείας στάθμη, ὁ πολὺς τὰ θεῖα Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου καὶ Ἀρείου λόγοις φάσκων οὕτω ῥητῶς· « Τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω, Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, » Ὁρᾷς καὶ συνίης, ὡς οἰκεῖον μὲν Πατρὶ τὸ Πνεῦμα, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, οἰκεῖον δὲ τῷ Υἱῷ, ὅτι Πνεῦμά ἐστιν αὐτοῦ; Ὅρα καὶ σύνες, ὡς ὁ τὰς λέξεις ταύτας εἰρηκὼς Κύριος, αὐτὸς ἐκείνος ἐξ αὐτῶν τούτων τῶν λέξεων παρέστησεν ἐξ ἀμφοῖν εἶναι τὸ τοῦ Πατρὸς καὶ Υἱοῦ Πνεῦμα. Εἰ δὲ καὶ ἔτι χρῄζεις τοῦ προσεπιβεβαιώσοντος καὶ προσεπιμαρτυρήσοντός σοι τὴν ἔννοιαν ταύτην, ἴσθι καὶ τὸν ἅγιον Κύριλλον ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φάσκοντα οὕτως· « Ἰδοὺ γὰρ, ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαί φησιν. Ὥσπερ γάρ ἐστι Πνεῦμα ἴδιον τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊόν, οὕτω καὶ τοῦ Πατρός. Οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. » Ἰδοὺ καὶ ὁ ἐν ἁγίοις Κύριλλος, ἴδιον Υἱοῦ καὶ Πατρὸς, καὶ κοινὸν Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον καὶ τῶν εὐαγγελικῶν τούτων ῥήσεων ἰσοδύναμον. Καὶ δεῖ εἰδέναι τὸν τῆς ἀληθείας ἐφιέμενον ὡς οὐδέν τι παραχαράττει τὸ Εὐαγγέλιον ὁ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ εἶναι λέγων τὸ Πνεῦμα, ὡς οἱ διαβάλλοντες τὴν ἀλήθειαν λέγουσι, διὰ τὸ ἐξ αὐτῶν τοῦ Κυρίου φωνῶν ἀναφαίνεσθαι τὸ ἐξ αὐτοῦ τε καὶ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

Refutatio.

Ne id consideres, ipsum Unigenitum se missurum Paracletum promittere, verum a Patre : sed ex utroque Paracletum esse, apertissime inde demonstrari. Quod enim a Patre et Filio mittitur, cum a neutro ad modum servi, prorsus naturaliter, veluti ex essentia utriusque exsistit. Quod vero dicis processionem, modum nempe naturalis exsistentiæ Spiritus ex Patre, palam a Domino doceri, apposite probeque dicis. Verumtamen sententia tota dictionum evangelicarum capienda erat, tum demum intelligendum, quemadmodum ex Patre, naturalis Spiritus exsistentia manifestatur, voce Domini, qua asseritur, « qui a Patre procedit, » et Dominus protulit, omnia sua ad Patrem, veluti ad causam absque principio referens, ita et manifestari ab alio Domini dicto, quo Spiritus veritatis Spiritus sanctus dicitur, per Filium similem naturalem exsistentiam Spiritus esse. Manifesto namque apparet, evangelicum dictum asseverans, Spiritum veritatis Spiritum sanctum, illud ipsum innuere, quod et aliud asserit, eum a Patre procedere. Suoque testimonio pondus addet dicto meo veritatis regula divinissimus Basilius in iis, quæ contra Eunomium, Ariumque scripsit, cujus hæc sunt ipsissima verba : « Erga Patrem affinitatem intelligo, cum a Patre procedit, erga Filium cum audio, Qui Spiritum Christi non habet, hic illius non est. » Videsne et intelligis Spiritum Patri esse affinem, quod procedit ex Patre, affinem vero Filio, quod ipsius Spiritus est? Vide rursus et intelligito, qui hæc dictavit Dominus, eumdem ipsum his iisdem dictionibus comprobasse, ex utroque esse Patris et Filii Spiritum. Quod si alium quoque postulas, qui hæc eadem affirmet, et suo testimonio sententiam hanc constabiliat, audi et sanctum Cyrillum in interpretatione Joannis ad illa verba, « Cum itaque venerit Paracletus, » enuntiantem : « Ecce enim, ecce Spiritum veritatis, hoc est suimet ipsius Paracletum appellans, ex Patre eum procedere ait. Nam sicut Filii Spiritus est, naturaliter in ipso manens, et per ipsum progrediens, sic Patris quoque Spiritus est. Quibus autem Spiritus communis est, ii profecto secundum substantiam disseparari non possunt. En sanctum item Cyrillum asserentem, proprium Filii et Patris, et communem Patri et Filio Spiritum sanctum, et easdem horum dictorum vires colligentem. Et veritatis amatori sciendum est, nullam vim inferre Evangelio, qui ex Patre, et Filio Spiritum astruit, ut qui veritatem criminantur, contendunt, cum ex iisdem Domini vocibus plane appareat, ex eodem et Patre Spiritum sanctum esse.

DICTA APOSTOLICA.

Τοῦ ἁγίου Πέτρου ἐκ τῶν Πράξεων τῶν ἀποστόλων.

S. Petri ex Actis apostolorum. Cap. II, *vers.* 32.

Λ'. « Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, οὗ

5. « Hunc Jesum resuscitavit Deus, cujus omnes

Digitized by Google Распознавание текста ABK/FR

« nos testes sumus. Dextera igitur Dei exaltatus, A « et promissione Spiritus sancti accepta, a Patre « effudit hunc, quem vos videtis et auditis. »

« πάντες ἡμεῖς ἐσμεν μάρτυρες. Τῇ δεξιᾷ οὖν τοῦ « Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου Πνεύ- « ματος λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο, « ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. »

Animadversio.

« Præbe aures magno apostolo Petro, eadem cum « Magistro suo decernenti. Nam cum ille dixerit, « se missurum Spiritum a Patre, hic eum accepisse « a Patre docet promissionem Spiritus, et illum « in nos effudisse, non vero emisisse. »

Ἐπιστασία.

« Πρόσσχες τῷ μεγάλῳ ἀποστόλῳ Πέτρῳ, τῷ οἱ- « κείῳ διδασκάλῳ συνῳδὰ δογματίζοντι. Ἐκείνου « γὰρ εἰπόντος πέμψαι τὸ Πνεῦμα παρὰ τοῦ Πα- « τρὸς, οὗτος λαβεῖν αὐτὸν διδάσκει παρὰ τοῦ Πα- « τρὸς τὴν ἐπαγγελίαν τοῦ Πνεύματος, καὶ ἐκχέαι « τοῦτο ἐφ' ἡμᾶς, οὐ μὴν προβαλέσθαι. »

Refutatio.

Si eadem tibi videntur esse, misisse Salvatorem a Patre Spiritum sanctum, et accepisse a Patre promissionem Spiritus, et effundere illum in nos, neque nobis alia refutatione opus fuerit, B præter eam, qua astruitur, nunquam mittendum fuisse Spiritum ex Patre per Filium nisi ex Patre per Filium exsisteret. Etenim si mittendus non erat per Filium, nisi uti exsistens per Filium, neque effundendus erat per Filium, nisi ut exsistens per Filium. Et si id est, frustra nobis evangelica hæc et apostolica dicta congeris ad halum opprimendum, qui ex Patre per Filium, et consequenter ex utroque Spiritum esse existimat.

Ἀντίῤῥησις.

Εἴπερ συνῳδά σοι δοκοῦσι τὸ πέμψαι τε τὸν Σω- τῆρα παρὰ τοῦ Πατρὸς τὸ ἅγιον Πνεῦμα, καὶ τὸ λα- βεῖν αὐτὸν παρὰ τοῦ Πατρὸς τὴν ἐπαγγελίαν τοῦ Πνεύματος, καὶ ἐκχέαι τοῦτο ἐφ' ἡμᾶς, οὐδὲ ἡμῖν ἄλλης δεήσει τῆς ἀντιῤῥήσεως παρ' ἐκείνην τὴν λέγουσαν ὡς οὐκ ἂν πεμφθείη ἄλλως τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, εἰ μὴ ὡς ἐκ Πατρὸς ὑπάρχον διὰ τοῦ Υἱοῦ. Εἰ γὰρ οὐκ ἂν πεμφθείη ἄλ- λως διὰ τοῦ Υἱοῦ, εἰ μὴ ὡς ὑπάρχαν διὰ τοῦ Υἱοῦ, οὐδὲ ἐκχυθείη ἄλλως διὰ τοῦ Υἱοῦ, εἰ μὴ ὡς ὑπάρχον διὰ τοῦ Υἱοῦ. Καὶ εἰ τοῦτο, μάτην τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς ταύτας ῥήσεις προβάλλῃ εἰς ἀνα- τίωσιν τοῦ Ἰταλοῦ, ἐκ Πατρὸς διὰ Υἱοῦ, καὶ κατὰ τοῦτο καὶ ἐξ ἀμφοῖν, τὸ Πνεῦμα εἶναι δοξάζοντος.

S. Pauli Apostoli ex Epistola ad Galatas cap. IV, *v.* 6.

6. « Misit Deus Spiritum Filii sui in corda no- « stra, clamantem, Abba pater. »

Τοῦ ἁγίου ἀποστόλου Παύλου ἐκ τῆς πρὸς Γα- λάτας Ἐπιστολῆς.

ς'. « Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ « αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον, Ἀββᾶ ὁ C « Πατήρ. »

Animadversio.

« Audi quoque vas electionis Paulum, qui Spiri- « tum Filii esse propter eamdem naturam denun- « tiat, a Patre vero illum mitti. »

Ἐπιστασία.

« Ἄκουε καὶ τοῦ τῆς ἐκλογῆς σκεύους, τοῦ Υἱοῦ « μὲν εἶναι τὸ Πνεῦμα κηρύσσοντος διὰ τὸ ὁμοού- « σιον, παρὰ τοῦ Πατρὸς δὲ τοῦτο ἐξαποστέλ- « λεσθαι. »

Refutatio.

Tu quidem Filii esse Spiritum asseris propter eamdem essentiam, quod et multi alii ante divulgarunt. Verumtamen magnus Basilius, in capite, cujus inscriptio est : « Quare non et Spiritus Filius Filii, » aperte hæc habet : « Spiritum ex Deo esse palam, et præconis instar enuntiavit Apostolus, cum dicit, « Spiritum ex Deo accepimus [19], » et per Filium apparere manifesto indicavit, dum Filii Spiritum quemadmodum et Dei ipsum appellans, et mentem Christi nuncupans, quemadmodum et Dei Spiritum, veluti et hominis. » Si itaque Spiritus Filii, ut cum magno loquar Basilio, quod per Filium, peropportunum fuerit, præsentem hanc animadversionem refutantes dicere, qui mittitur a Patre Filii Spiritus, tanquam per ipsum exsistens a Patre mittitur per ipsum.

Ἀντίῤῥησις.

Σὺ μὲν τοῦ Υἱοῦ εἶναι λέγεις τὸ Πνεῦμα διὰ τὸ ὁμοούσιον, ὡς καὶ πολλοὶ ἄλλοι τῶν πρὸ σοῦ τοῦτο εἰρήκασιν· ὁ δὲ μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφα- λαίων, οὗ ἡ ἐπιγραφή, « Διατί μὴ καὶ τὸ Πνεῦμα Υἱὸς τοῦ Υἱοῦ, » σαφῶς οὕτω λέγει· « Τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων· « Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν· » D καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα, ὡς τοῦ ἀνθρώπου. » Εἰ γοῦν Πνεῦμα Υἱοῦ κατὰ τὸν μέγαν εἰπεῖν Βασίλειον, ὅτι διὰ τοῦ Υἱοῦ, εὔκαιρον κἂν τῇ παρούσῃ ἐπιστασίᾳ εἰπεῖν ἡμᾶς ἀντιλέγον- τας ὡς τὸ ἀποστελλόμενον παρὰ Πατρὸς Πνεῦμα τοῦ Υἱοῦ, ὡς δι' αὐτοῦ ὑπάρχον παρὰ Πατρὸς ἀπο- στέλλεται δι' αὐτοῦ.

Ejusdem ex Epistola ad Titum cap. III, *vers.* 5.

7. « Salvos nos fecit per lavacrum regenerationis « et renovationis Spiritus sancti, quem effudit in

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Τίτον.

ζ'. « Ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ « ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ'

[19] I Cor. II, 12.

Digitized by Google Распознавание текста ABK/FR

« ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος A « ἡμῶν. »

Ἐπιστασία.

« Ὁρᾷς, πῶς σαφῶς καὶ καθαρῶς ἐνταῦθα παρὰ « τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐκχεῖσθαι τὸ Πνεῦμα « διδάσκει ὁ μέγας Ἀπόστολος ; Εἰ τοίνυν ἀσαφῶς « ἀλλαχοῦ τὸν Υἱὸν προχέειν, καὶ διδόναι τὸ Πνεῦμα « ἀκούεις, πρὸς τὰς τοῦ Πέτρου καὶ τοῦ Παύλου « διδασκαλίας ἐκεῖνα συμβίβαζε. »

Ἀντίῤῥησις.

Οὐδεμιᾶς ἄλλης ἀντιῤῥήσεως ἐνταῦθα χρεία παρὰ τὰς εἰρημένας.

« nos abunde per Jesum Christum Salvatorem « nostrum. »

Animadversio.

« Vides hic satis patenter et sine ulla tergiver- « satione a Patre per Filium Spiritum effundi ma- « gnum Apostolum docere? Si itaque locis in aliis « obscure Filium effundere, et elargiri Spiritum « audis, cum Petri Paulique doctrina illa commit- « tito. »

Refutatio.

Præter eas, quæ supra digestæ sunt refutationes, nulla alia hic opus est

JOANNIS CHRYSOSTOMI DICTA.

Ἐκ τῆς εἰς τὸν ἐνενηκοστὸν ἕκτον ψαλμὸν ἑρμηνείας. B

Η'. « Ἀλλ' ἐπεὶ πηγὴ ὁ Πατὴρ, ὕδωρ ζῶν ἐκάλεσε « τὸ Πνεῦμα τὸ ἅγιον. Διατί φησιν ὕδωρ ζῶν ; ἵνα « μάθῃς αὐτὸ ἐκ τῆς πηγῆς τοῦ Θεοῦ ὄν, ὕδωρ ζῶν « τὸ Πνεῦμα. Πηγὴ ὕδατος ζῶντος ὁ Θεὸς, ἵνα ὅταν « μάθῃς τὴν πηγὴν, νοήσῃς πόθεν τὸ ὕδωρ τὸ ζῶν. « Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος « ζῶντος. Τοῦτο δὲ ἔλεγε τὸ ὕδωρ περὶ τοῦ Πνεύ- « ματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. Εἰ « ὕδωρ ζῶν τὸ Πνεῦμα, ζητήσωμεν αὐτοῦ τὴν πη- « γήν. Τίς ἡ πηγή ; λεγέτω Ἱερεμίας. Τάδε λέγει « Κύριος· Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν « ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. « Ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζῶντος. Ὁρᾷς « πηγὴν ὕδατος τὸν Θεόν ; ζῶν δὲ ὕδωρ τὸ Πνεῦμα « τὸ ἅγιον. Πηγὴ ὕδατος ζῶντος ὁ Πατήρ. Ποταμὸς C « πηγῆς προερχόμενος ὁ Υἱὸς, ὕδωρ τοῦ ποταμοῦ « τὸ Πνεῦμα τὸ ἅγιον. Ἐμὲ ἐγκατέλιπον πηγὴν « ὕδατος ζῶντος. Λεγέτω ταῦτα περὶ τοῦ Υἱοῦ ὁ προ- « φήτης Ἡσαΐας. Καὶ ἥξει Κύριος ὡς ποταμὸς « ἔνδοξος γῇ διψώσῃ. Ὁρᾷς πηγήν ; ποταμόν ; ὕδωρ « ζῶν ; Καὶ ὥσπερ οὐ δύνῃ τὴν πηγὴν καλέσαι πο- « ταμὸν ἕως τὴν ῥίζαν ὁρᾷς, οὕτε πάλιν τὸν ποταμὸν « καλέσαι πηγὴν, οὐδὲ πάλιν τὸ ὕδωρ τὸ ἀπὸ τοῦ « ποταμοῦ σχιζόμενον καλεῖς ποταμὸν, ἀλλ' ὕδωρ « ἀρδείας. Καὶ τὰ μὲν ὀνόματα τέμνεται, ἡ δὲ « φύσις ἀμέριστος. Οὕτω τὸν μὲν Πατέρα Υἱὸν « καλέσαι οὐ δυνατὸν, οὐδὲ τὸν Υἱὸν Πατέρα, ἵνα « μὴ εἰς τὴν Σαβελλίου δόξαν ἐκπέσωμεν.

Ἐπιστασία.

« Ὅρα καὶ τὸν μέγαν τῆς οἰκουμένης φωστῆρα D « καὶ διδάσκαλον, πῶς πηγὴν τοῦ Πνεύματος τὸν « Πατέρα διδάξας, ποταμὸν δὲ τῆς πηγῆς προερ- « χόμενον τὸν Υἱὸν, ὕδωρ δὲ τοῦ ποταμοῦ τὸ Πνεῦμα, « ῥητῶς ἀπαγορεύει τὸν ποταμὸν πηγὴν ὀνομάζε- « σθαι. Εἰ γοῦν μὴ πηγὴ ὁ Υἱὸς, πῶς ἐκπορεύεται « τούτου τὸ Πνεῦμα τὸ ἅγιον ; »

Ἀντίῤῥησις.

Σὺ μὲν τὸ παραληφθὲν τῷ Χρυσολόγῳ Πατρὶ παράδειγμα τῆς πηγῆς τοῦ ποταμοῦ καὶ τοῦ ὕδατος, εἰς εἰκόνα τῆς ἀνεικονίστου Τριάδος, εἰς ἀπόδειξιν τάχα προβάλλῃ τοῦ μὴ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ· τοῦτο γάρ σοι τὸ σκοπιμώτατον. Τὸ δὲ κάλ-

Ex Interpretatione Psalmi nonagesimi sexti.

VIII. « Sed cum fons sit Pater, aquam vivam voca- « vit Spiritum sanctum. Quare vero inquit, *aquam* « *vivam* ? ut addiscas ipsum ex fonte Dei esse. Aqua « viva Spiritus est, fons aquæ vivæ Deus, ut cum « fontem didiceris, unde aqua illa viva emanat, in- « telligas. Flumina ex ventre illius fluent aquæ « vivæ. Hanc vero aquam enuntiabat, de Spiritu, « quem accepturi erant fideles. Si aqua viva Spi- « ritus est, quæramus ipsius fontem. Quis vero est « fons ? dicat Jeremias. Hæc dicit Dominus : Ob- « stupuit cœlum super hoc, et inhorruit terra, « quod duo et mala fecit populus meus, me dereli- « quit fontem aquæ vivæ [30]. Vides fontem aquæ « Deum esse ; aquam vero vivam Spiritum sanc- « tum. Fons aquæ vivæ Pater est, fluvius ex fonte « emanans Filius, aqua fluvii Spiritus sanctus. Me « dereliquerunt fontem aquæ vivæ. Enuntiet hæc « eadem de Filio Isaias propheta. Et veniet Domi- « nus ut fluvius gloriosus terræ sitienti [31]. Vides « fontem, fluvium, aquam vivam. Et quemadmo- « dum non vales fontem vocare fluvium, donec « radicem conspicis ; neque rursus fluvium fon- « tem ; neque aquam quæ a fluvio exscinditur flu- « vium appellas, sed aquam adaquationis. Et no- « mina quidem scinduntur, natura vero individua. « Sic Pater vocari Filius nequit, neque Filius « Pater, ne in Sabellii sententiam incidamus. »

Animadversio.

« Vide orbis terrarum lumen et magistrum, qua- « nam ratione, cum Spiritus fontem Patrem indi- « casset, fluvium ex fonte exsilientem Filium, flu- « vii aquam Spiritum, expresse prohibeat fluvium « fontem appellari. Si itaque Filius fons non est, « qua ratione ex eo Spiritus sanctus procedit ? »

Refutatio.

Tu quidem exemplum fontis fluvii, et aquæ ab aurei sermonis doctore in Trinitatis, quæ nulli similitudini obnoxia est, similitudinem desumptam ad demonstrandum nobis objicis, Spiritum non esse etiam ex Filio, quod tibi scopus potissimus

[30] Jerem. II, 12, 13. [31] Isa. LXVI, 12.

Digitized by Google Распознавание текста ABK/FR

est. Verumtamen hoc accommodatius adaptatur dictis eorum theologicis, qui asserunt Spiritum ex Patre per Filium esse, unde nullo obstante sequitur, ex utroque Spiritum decerni. Quemadmodum enim aquam per fluvium ex fonte emanantem, ex utroque effundi, nullus est, qui negat, sic et Spiritus per Filium promanans ab utroque exsilit. Quod si ex eo quod Chrysostomus vetat, fluvium fontem vocari, tu quoque nobis prohibes, ne fontem esse Spiritus Filium asseveremus, scito te a regula et præscriptione veritatis aberrantem, hæc prohibere, et magno Athanasio, necnon Chrysostomo ipsi contradicere. Licet enim hic aureus Pater clare rationem reddens, ob quam quispiam fluvium vocare fontem non valeat, neque rursus fontem fluvium : Et ratio est, quod inter se nomina non permutantur, ne in Sabellii sententiam incidamus, hæc ille de dictis nominibus fontis, fluvii, et aquæ protulit quæcunque illa sint; verumtamen in oratione sua de sacramento baptismatis, cujus illud principium est : « Rursus nobis beati Davidis spiritalis cithara, » hunc in modum, nec hæsitanter locutus est : « Propterea Salvator ostendit semetipsum fontem vitæ, et aquam vivam Spiritum sanctum. » Et in rebus theologicis pertractandis magnus Athanasius oratione de Unigeniti Verbi incarnatione, et de S. Triade, cujus principium est, « Qui malitiose divinas Scripturas intelligere volunt, » sic ait : « Propterea David canens Domino effatur : Apud te fons vitæ, in lumine tuo videbimus lumen. Novit siquidem apud Patrem Filium esse fontem Spiritus sancti. » Quæ cum agnoveris Patres nostros Chrysostomum et Athanasium effari, cave ne in posterum impudenter, et parum considerate dicas, Filium non esse fontem Spiritus, attenteque considera, qua ratione opprobrium effugias, si, cum tu dixeris, Si ergo non est fons Filius, quomodo procedit ex hoc Spiritus sanctus? Italus inducat illud : Quodsi fons Spiritus Filius est, quomodo non procedit ex eo Spiritus sanctus?

λιστα μᾶλλον τῇ θεολογίᾳ ἐφαρμόζει τῶν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα εἶναι τεθεολογηκότων, ὁπόθεν ἀκολουθεῖ τὸ ἀκώλυτον τοῦ ἐξ ἀμφοῖν τὸ Πνεῦμα θεολογεῖσθαι· ὡς γὰρ τὸ ὕδωρ διὰ τοῦ ποταμοῦ ἐκ τῆς πηγῆς προχεόμενον καὶ ἐξ ἀμφοῖν προχεῖσθαι ἀνωμολόγηται· οὕτω καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ προερχόμενον, ἐξ ἀμφοῖν ἐστι προερχόμενον. Εἰ δὲ διότι ὁ Χρυσορρήμων ἀπαγορεύει τὸν ποταμὸν πηγὴν ὀνομάζεσθαι, ἀπαγορεύεις καὶ σὺ πηγὴν εἶναι τοῦ Πνεύματος τὸν Υἱόν· ἀλλ' ἴσθι, ὡς ἐπισφαλῶς ἀπαγορεύεις τοῦτο· καὶ τῷ μεγάλῳ Ἀθανασίῳ, καὶ αὐτῷ δὲ τῷ Χρυσορρήμονι τοῦδ' ἕνεκα ἀντιλέγεις. Εἰ γὰρ καὶ ἐνταῦθα ὁ Χρυσορρήμων Πατὴρ, σαφῶς τὸν λόγον διδοὺς, καθ' ὃν τις οὐ δύναται καλέσαι ποταμὸν τὴν πηγήν, οὔτε πάλιν τὸν ποταμὸν καλέσαι πηγήν· ὁ δὲ λόγος τὸ μὴ μεταβάλλεσθαι εἰς ἄλληλα τὰ ὀνόματα, ἵνα μὴ εἰς τὴν Σαβελλίου δόξαν ἐκπέσωμεν, τοιαῦτα εἴρηκε περὶ τῶν ὀνομάτων τῆς πηγῆς, τοῦ ποταμοῦ, καὶ τοῦ ὕδατος, οἵάπερ καὶ εἴρηκεν· ἀλλ' ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος, οὗ ἡ ἀρχή· « Πάλιν ἡμῖν ἡ τοῦ μακαρίου Δαυὶδ πνευματικὴ κιθάρα, » σαφῶς εἴρηκεν οὕτω· « Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ ὁ τὴν θεολογίαν δὲ πολὺς Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ Λόγου, καὶ περὶ τῆς ἁγίας Τριάδος λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή· « Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, » οὕτω φησίν· « Διὰ τοῦτο ὁ Δαυὶδ ψάλλων τῷ Θεῷ φησιν ὅτι « Παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » Οἶδε γὰρ παρὰ τῷ Πατρὶ ὄντα τὸν Υἱὸν, τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος. » Ταῦτ' οὖν ἐγνωκὼς τοὺς Πατέρας ἡμῶν λέγοντας Χρυσόστομόν τε καὶ Ἀθανάσιον, μηκέτ' ἀνέδην καὶ ἀπερισκέπτως ἐρεῖς ὡς οὐκ ἔστι πηγὴ τοῦ Πνεύματος ὁ Υἱός. Σκόπησον δὲ, πῶς ἂν σοι ἐξέσται τὴν αἰσχύνην φυγεῖν, ἐὰν λέγοντός σου τὸ, Εἰ γοῦν μὴ πηγὴ ὁ Υἱὸς, πῶς ἐκπορεύεται τούτου τὸ Πνεῦμα τὸ ἅγιον ἀντεπαγάγῃ σοι ὁ Ἰταλὸς, τὸ, Εἰ δὲ πηγὴ τοῦ Πνεύματος ὁ Υἱὸς, πῶς οὐκ ἐκπορεύεται τούτου τὸ Πνεῦμα τὸ ἅγιον;

Ejusdem ex homilia de Spiritu sancto.

Τοῦ αὐτοῦ ἐκ τῆς περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίας.

IX « Itaque dicitur Spiritus sanctus. Ista enim est « prima et propria appellatio, et ut evidentiorem « habens intelligentiam Spiritus sancti naturam « demonstrat, Spiritus sanctus spiritus Dei. Quis « enim vocat Spiritum Dei? Audi Salvatorem dicentem : Quod si ego in spiritu Dei ejicio Dæmonia. « Ut igitur, sicut dicebam, ne quis audiens Spiritum « Dei, putet proprium quiddam significari et non « commune naturæ, Paulus dicit : Nobis autem non « datus est spiritus mundi, sed spiritus qui ex « Deo est. Iterum dicitur spiritus Patris, sicut Sal- « vator apostolis dicit : Ne solliciti sitis, quomodo « vel quid loquamini : non enim vos estis, qui « loquimini, sed, spiritus Patris nostri, qui loquitur « in vobis. Sicut autem dixit spiritus Dei, et subdit « Scriptura, qui ex Deo est : sic iterum dictus est

Θ'. « Λέγεται τοίνυν Πνεῦμα ἅγιον. Αὕτη γάρ « ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἐκφαντικω- « τέραν ἔχουσα τὴν διάνοιαν, καὶ παριστῶσα τοῦ « ἁγίου Πνεύματος τὴν φύσιν, Πνεῦμα ἅγιον, Πνεῦμα « τοῦ Θεοῦ. Τίς αὐτὸ καλεῖ Πνεῦμα Θεοῦ; Ἄκουε « τοῦ Σωτῆρος· « Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκ- « βάλλω τὰ δαιμόνια. » Ἵνα τοίνυν, ὡς ἔφθην εἰ- « πὼν, μή τις ἀκούσας Πνεῦμα, νομίσῃ οἰκειότητα « σημαίνεσθαι καὶ μὴ φύσεως κοινωνίαν, ὁ Παῦλος « λέγει· « Ὑμῖν δὲ οὐκ ἐδόθη τὸ πνεῦμα τοῦ κόσ- « μου, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. Πάλιν λέγε- « ται πνεῦμα Πατρὸς, ὡς ὁ Σωτὴρ τοῖς ἁγίοις « ἀποστόλοις λέγει· « Μὴ μεριμνήσετε πῶς ἢ τί « λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ « τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. » « Ὥσπερ δὲ εἶπε πνεῦμα Θεοῦ, καὶ ἐπήγαγεν ἡ

Digitized by Google Распознавание текста ABBYY FR

« Γραφὴ τὸ, ἐκ Θεοῦ, οὕτω πάλιν εἴρηται πνεῦμα A « spiritus Patris. Et ne putetis hoc secundum pro-
« Πατρός. Καὶ ἵνα μὴ νομίσῃς τοῦτο κατ' οἰκείω- « prietatem dici, Salvator confirmat : Quando ve-
« σιν λέγεσθαι, ὁ Σωτὴρ βεβαιοῖ, « Ὅταν δὲ ἔλθῃ ὁ « nerit Paracletus Spiritus veritatis, qui a Patre
« Παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ « procedit. Illic ex Deo, hic a Patre dicitur, id
« τοῦ Πατρὸς ἐκπορεύεται. » Ἐκεῖ ἐκ Θεοῦ, ὧδε « quod sibi ipsi tribuerat dicens : Ego a Patre exivi;
« παρὰ τοῦ Πατρός· ὅπερ ἐπήγαγεν ἑαυτῷ, τὸ, « hoc et Spiritui sancto ascribit dicens : Qui a Patre
« Ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον, » τοῦτο καὶ τῷ « procedit. Dicitur igitur spiritus Dei, et spiritus
« ἁγίῳ Πνεύματι, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. « qui ex Deo; spiritus Patris et spiritus qui a Pa-
« Οὐκοῦν Θεοῦ Πνεῦμα, καὶ ἐκ Θεοῦ καὶ Πατρὸς « tre procedit. Non dixit, gignitur. Quod enim non
« Πνεῦμα, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Οὐκ « est scriptum, tenendum non est. Filius a Patre
« εἴρηται γεννᾶται. Ἃ γὰρ οὐ γέγραπται, οὐ δεῖ φρο- « genitus est : Spiritus a Patre procedit. Quæris a
« νεῖν. Υἱὸς ἐκ Πατρὸς γεννηθείς, Πνεῦμα ἐκ Πα- « me varietatem, quomodo genitus ille, et quomodo
« τρὸς ἐκπορευόμενον. Ζητεῖς παρ' ἐμοῦ τὴν δια- « procedit iste? Cum didiceris quod genitus est,
« φορὰν πάντως; Πῶς ἐγεννήθη μαθών, ἔμαθες καὶ « didicisti et modum, et comprehendisti utique ge-
« τὸν τρόπον, καὶ κατέλαβες γεννήσεως τὸν τρόπον. « nerationis modum. Nomina sunt, quæ pia fide
« Ὀνόματά ἐστι πίστει τιμώμενα, εὐσεβεῖ λογισμῷ B « honorantur, et pia ratione tenentur. Quæ autem
« τηρούμενα. Τί δὲ ἡ δύναμις τοῦ Ἐκπορεύεται; « vis nominis, Procedit? ut nomen generationis
« ἵνα τὸ τῆς γεννήσεως ὄνομα παρέλθῃ ἡ Γραφὴ, « prætereat Scriptura, ne Filium ipsum nuncupet,
« ἵνα μὴ Υἱὸν αὐτὸ καλέσῃ, λέγει Πνεῦμα ἅγιον, « dicit, Spiritus sanctus, qui a Patre procedit. In-
« ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Εἰσάγει αὐτὸ « ducit eum procedentem, ut aquam de fonte sca-
« ἐκπορευόμενον ὡς ὕδωρ ἀπὸ πηγῆς, κατὰ τὸ εἰ- « turientem, sicutet de paradiso dictum est : « Fluvius
« ρημένον περὶ τοῦ παραδείσου. « Ποταμὸς δὲ ἐκ- « autem procedit ex Edem, procedit et scaturit. » Pa-
« πορεύεται ἐξ Ἐδὲμ, ἐκπορεύεται καὶ πηγάζει. « ter fons aquæ viventis dicitur, ut Jeremias pro-
« Ὁ Πατὴρ πηγὴ ὕδατος ζῶντος λέγεται, κατὰ τὸν « pheta : « Obstupuit cœlum super hoc, et inhorruit
« προφήτην Ἱερεμίαν τὸν λέγοντα· « Ἐξέστη ὁ « valde terra. Quoniam duo et mala fecit populus
« οὐρανὸ ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπιπλέον ἡ γῆ, « meus, me dereliquit fontem aquæ viventis. » Divi-
« ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ « nus sermo definiens Patrem fontem aquæ, induxit
« ἐγκατέλιπε πηγὴν ὕδατος ζῶντος. » Ὁριζόμενος « ex fonte vitæ aquam vivam, quæ procedit. Quid
« πηγὴν ὕδατος ζῶντος, τὸν Πατέρα ὁ θεῖος λόγος « porro est, quod procedit? Spiritus sanctus. Quo
« εἰσήγαγεν ἐκ τῆς πηγῆς τῆς ζωῆς τὸ ὕδωρ τὸ C « vero modo? sicut a fonte aqua. Unde hoc, quo
« ζῶν ἐκπορευόμενον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπο- « Spiritus sanctus aqua vocetur? Dicit Salvator :
« ρεύεται. Τί ἐκπορεύεται; Τὸ Πνεῦμα τὸ ἅγιον. « Qui credit in me, sicut dixit Scriptura, flumina
« Πῶς; ὡς, ἀπὸ πηγῆς ὕδωρ. Πόθεν τοῦτο, ὅτι τὸ « ex ventre ejus fluent aquæ vivæ. Et interpretans
« Πνεῦμα τὸ ἅγιον ὕδωρ καλεῖται; Λέγει ὁ Σωτὴρ, « Evangelista hanc aquam subdit; hoc autem dice-
« Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποτα- « bat de Spiritu, quem accepturi erant credentes in
« μοὶ ὑδάτων ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶν- « eum. » Si igitur evangelista Joannes declarans
« τος. » Καὶ ἑρμηνεύων ὁ Εὐαγγελιστὴς τοῦτο τὸ « Spiritum sanctum, dixit aquam vivam, Pater au-
« ὕδωρ ἐπάγει· « Τοῦτο δὲ ἔλεγε περὶ τοῦ ἁγίου « tem dicit : « Me dereliquerunt fontem aquæ vivæ, »
« Πνεύματος, ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύον- « fons spiritus Pater, propterea que etiam ex Patre
« τες. » Εἰ τοίνυν ὁ εὐαγγελιστὴς Ἰωάννης σαφη- « procedit. Dicit igitur, repeto siquidem, spiritus
« νίζων τὸ Πνεῦμα τὸ ἅγιον εἶπε· « Τὸ ὕδωρ τὸ « Dei, et spiritus qui ex Deo, spiritus Patris et
« ζῶν, » ὁ δὲ Πατὴρ λέγει· « Ἐμὲ ἐγκατέλιπον « spiritus qui ex Patre. Spiritum Domini testatur
« πηγὴν ὕδατος ζῶντος, » πηγὴ τοῦ Πνεύματος ὁ « Esaias ex persona Christi : « Spiritus Domini super
« Πατὴρ, διὰ τοῦτο καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. « me eo quod unxerit me, » et Paulus : « Dominus
« Λέγει τοίνυν, ἐπαναλαμβάνω γὰρ, πνεῦμα Θεοῦ, D « autem spiritus est. »
« καὶ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, καὶ πνεῦμα Πατρὸς, καὶ πνεῦμα τὸ παρὰ τοῦ Πατρός. Πνεῦμα Κυρίου
« μαρτυρεῖ Ἡσαΐας ἐκ προσώπου τοῦ Χριστοῦ· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με,
« Καὶ Παῦλος· « Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. »

Ἐπιστασία.

« Τί τῆς τοιαύτης διδασκαλίας καθαρώτερον καὶ
« σαφέστερον; Πολλαχῶς γὰρ καὶ ἐκ διαφόρων μαρ-
« τυριῶν τὴν τοῦ Πνεύματος καταγγέλλει ἐκπόρευ-
« σιν, ἓν καὶ ταυτὸν εἶναι διδάσκων, τὸ ἐκ τοῦ Θεοῦ
« καὶ τὸ παρὰ τοῦ Πατρὸς, ἵνα μὴ ἔνθα τις τὸ ἐκ
« τοῦ Θεοῦ μόνον ἀναγινώσκῃ, καὶ ἐκ τοῦ Υἱοῦ νο-
« μίζῃ διὰ τὴν ὁμοτιμίαν τῆς φύσεως. »

Ἀντίρρησις.

Πολλαχῶς καὶ ἐκ διαφόρων μαρτυριῶν ὁ Χρυσορ-
ῥήμων Πατὴρ τὴν τοῦ Πνεύματος καταγγέλλων ἐκ-

Animadversio.

« Estne aliquid hac doctrina purius, aut magis
« perspicuum? Variis siquidem modis, et diversis,
« multisque testimoniis Spiritus process onem enun-
« tiat unum idemque esse insinuans, et ex Deo et
« ex Patre esse : ne quis ubi, ex Deo, tantummodo
« legerit, et ex Filio esse propter naturæ eamdem
« dignitatem suspicetur. »

Refutatio.

Frequentibus variisque testimoniis ore aureus
Pater Spiritus processionem explanans, unum idem-

Digitized by Google Распознавание текста АВК/FR

que esse insinuat, et ex Deo, et ex Patre esse. Et rem ita se habere, nemo ambigit. Ex Deo enim, et ex Patre idem hoc in loco est. Tu porro animum figens illis, quæ sanctus enuntiavit, significans, undenam Spiritus sanctus sui principia fontesque habeat, qua ratione illud absque animadversione præteriisti, ex quo apparet, Spiritum etiam ex Filio esse? Neque enim, licet radix et absque principio causa spiritus Pater est, ideo jam et Filius in processione Spiritus a Patre sejungitur. Verum cum per Filium ex Patre ipse procedat, est Spiritus etiam ex Filio, non tanquam ex alia præter Patrem causa et principio, sed tanquam qui ex Patre per Filium procedat. Quodnam vero est, quod illum etiam ex Filio esse manifestat? Attende et intelliges. Sanctus hic Spiritum Dei vocat Spiritum, et Salvatorem testem adducit, illum dici Spiritum Dei, tum subdit: « Ne quis audiens spiritum, proprietatem significari existimet, et non naturæ communionem, Paulus dicit: Nobis vero non est datus spiritus mundi, sed Spiritus qui ex Deo est. » Attento sis animo, quæso. Chrysostomus, quod idem est dicere, ex auro ducta Spiritus tuba, dicit: « Propterea Paulum ex Deo dixisse Spiritum, ne quis audiens quod Salvator in Evangelio dixerat, spiritus Dei, existimet proprietatem significari, et non naturæ communionem. » Quare quæ inter Patrem et Spiritum communio naturæ est, inde est, quod ipse ex Deo est, et Patre. Ex hoc enim solo, quod ille dicitur Spiritus Dei, forte etiam existimabitur, proprietatem innui a communione naturæ diversam, et procedente oratione Chrysostomus repetit: « Sic rursus dicitur Spiritus Patris, et ne existimes id secundum proprietatem dici, Salvator confirmat. Cum venerit Paracletus, Spiritus veritatis, qui ex Patre procedit. » Si itaque ex Deo esse, et ex Patre Spiritum sanctum procedere, communionem naturæ cum Patre manifesto indicant, ne ex eo quod simpliciter dicatur ille Spiritus Dei et Spiritus Patris alia proprietas ab ea, quæ est naturæ communio introducatur, qua ratione qui asserunt illum Spiritum Filii et Spiritum veritatis secundum aliam simpliciter proprietatem, præter eam, quæ est naturæ communio, non manifeste dividunt a Filio Spiritum secundum ipsam essentialem naturalemque ipsius existentiam? vel enim et ex Filio erit, veluti Spiritus Filii, sicuti est ex Deo, uti Spiritus Dei. Et si ex veritate fuerit, uti Spiritus veritatis, quemadmodum est ex Patre uti Spiritus Patris. Et hac ratione habebit erga Filium naturæ communionem, si communionem naturæ erga Patrem habebit, veluti ex Deo et ex Patre exsistens; erga vero Filium illam habebit proprietatem, uti simpliciter Spiritus Filii, et Spiritus veritatis, quæ ipsum nudum ab ea quæ est erga Filium naturalis communio, deserat. Quod si novi isti theologi magni Basilii enuntiatum reprobantes, quod asserit, « Spiritum quidem Patris Spiritum, quod ex Patre: Spiritum vero Filii, quod

πόρευσιν, καὶ ἓν ταυτὸν εἶναι διδάσκει τὸ ἐκ τοῦ Θεοῦ καὶ τὸ παρὰ τοῦ Πατρός. Καὶ ἔχει γε οὕτω. Τὸ γὰρ ἐκ Θεοῦ καὶ ἐκ τοῦ Πατρὸς ταυτὸν ἐνταῦθά ἐστι. Σὺ δὲ τούτοις ἐπιστήσας, ἅπερ ὁ ἅγιος ἔφη δηλῶν, ὅθεν τὸ Πνεῦμα τὸ ἅγιον τὰς τοῦ εἶναι ἀρχὰς καὶ πηγὰς ἔχει, πῶς ἐκεῖνο ἐπιστασίας παρέδραμες; ἄμοιρον, ἐξ οὗπερ ἐμφαίνεται εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ; Οὐδὲ γὰρ ἐὰν ῥίζα καὶ ἄναρχος αἰτία τοῦ Πνεύματος ὁ Πατήρ, ἤδη ὁ Υἱὸς διῄρηται τοῦ Πατρὸς ἐν τῇ προόδῳ τοῦ Πνεύματος. Ἀλλ' ἐπεὶ διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεται, ἔστι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, οὐρανοῦν ὡς ἐξ ἄλλης παρὰ τὸν Πατέρα αἰτίας καὶ ἀρχῆς, ἀλλ' ὡς ἐκ Πατρὸς ἐκπορευόμενον διὰ Υἱοῦ. Τί δὲ τὸ ἐμφαῖνον καὶ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό; Πρόσσχες ἤδη καὶ γνώσῃ. Πνεῦμα Θεοῦ λέγει τὸ Πνεῦμα ὁ ἅγιος· καὶ τὸν Σωτῆρα μάρτυρα παράγει τοῦ λέγεσθαι αὐτὸ Πνεῦμα Θεοῦ. Εἶτα ἐπάγει· « Ἵνα μή τις ἀκούσας Πνεῦμα οἰκειότητα νομίσῃ σημαίνεσθαι καὶ μὴ φύσεως κοινωνίαν, ὁ Παῦλος λέγει· « Ὑμῖν δὲ οὐκ ἐδόθη τὸ πνεῦμα τοῦ κόσμου, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. » Πρόσεχε, παρακαλῶ. Ὁ Χρυσορρήμων, ταὐτὸν δ' εἰπεῖν, ἡ χρυσήλατος σάλπιγξ τοῦ Πνεύματος, λέγει, « Διὰ τοῦτο ὁ Παῦλος ἐκ τοῦ Θεοῦ εἶπε τὸ Πνεῦμα, ἵνα μή τις ἀκούσας τοῦ Σωτῆρος εἰπόντος αὐτὸ ἐν Εὐαγγελίοις Πνεῦμα Θεοῦ, νομίσῃ οἰκειότητα σημαίνεσθαι καὶ μὴ φύσεως κοινωνίαν. » Ὥστε ἡ μέσον Πατρὸς καὶ Πνεύματος κοινωνία τῆς φύσεως ἐντεῦθέν ἐστιν ἐκ τοῦ εἶναι αὐτὸ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. Ἐκ γὰρ μόνου τοῦ λέγεσθαι αὐτὸ Πνεῦμα Θεοῦ τάχ' ἂν τις καὶ νομισθείη οἰκειότης σημαίνεσθαι, ἄλλη παρὰ τὴν κοινωνίαν τῆς φύσεως. » Καὶ πάλιν παρακατιὼν ὁ Χρυσορρήμων φησίν· « Οὕτω πάλιν εἴρηται Πνεῦμα Πατρός· καὶ ἵνα μὴ νομίσῃς τοῦτο κατ' οἰκείωσιν λέγεσθαι, ὁ Σωτὴρ βεβαιοῖ· Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητο τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Εἰ γοῦν καὶ τὸ ἐκ Θεοῦ εἶναι καὶ τὸ παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι τὴν πρὸς τὸν Πατέρα κοινωνίαν τῆς φύσεως αὐτοῦ παριστῶσιν, ἵνα μὴ ἀπὸ τοῦ λέγεσθαι ἁπλῶς αὐτὸ Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Πατρὸς ἄλλη τις οἰκειότης νομισθείη τινὶ παρὰ τὴν κοινωνίαν τῆς φύσεως· πῶς οἱ λέγοντες αὐτὸ Πνεῦμα Υἱοῦ καὶ Πνεῦμα ἀληθείας κατά τινα ἄλλην ἁπλῶς οἰκειότητα παρὰ τὴν κοινωνίαν τῆς φύσεως οὐ προδήλως διαιροῦσι ἀπὸ τοῦ Υἱοῦ τὸ Πνεῦμα κατ' αὐτὴν τὴν οὐσιώδη καὶ φυσικὴν αὐτοῦ ὕπαρξιν; ἢ γὰρ καὶ ἐκ τοῦ Υἱοῦ ἔσται ὡς Πνεῦμα Υἱοῦ, καθάπερ ἐστὶν ἐκ τοῦ Θεοῦ, ὡς Πνεῦμα Θεοῦ· ἢ καὶ ἐκ τῆς ἀληθείας ἔσται ὡς Πνεῦμα ἀληθείας, καθάπερ ἐστὶν ἐκ τοῦ Πατρός, ὡς Πνεῦμα Πατρός· καὶ οὕτως ἕξει καὶ τὴν πρὸς τὸν Υἱὸν κοινωνίαν τῆς φύσεως· ἢ τὴν μὲν πρὸς τὸν Πατέρα κοινωνίαν τῆς φύσεως ἕξει, ὡς ἐκ τοῦ Θεοῦ καὶ παρὰ τοῦ Πατρὸς ὄν, πρὸς δὲ τὸν Υἱὸν ἐκείνην ἕξει τὴν οἰκειότητα ὡς ἁπλῶς Πνεῦμα Υἱοῦ, καὶ Πνεῦμα ἀληθείας, ἥτις ἀλλότριον τῆς πρὸς τὸν Υἱὸν φυσικῆς κοινωνίας ἐάσει αὐτό. Εἰ δὲ θέλουσιν οἱ νέοι θεολόγοι καὶ τὴν θεολογίαν τοῦ μεγάλου Βα-

Digitized by Google Распознавание текста ABK/FR

σιλείου ἀποδοκιμάζοντες τὴν λέγουσαν, « Πνεῦμα μὲν Πατρὸς τὸ Πνεῦμα, ὅτι ἐκ τοῦ Πατρός· Πνεῦμα δὲ Υἱοῦ, ὅτι διὰ τοῦ Υἱοῦ, » τὴν μὲν πρὸς τὸν Υἱὸν οἰκειότητα τοῦ Πνεύματος κατὰ φυσικὴν κοινωνίαν ὁμολογεῖν τὸ προδήλως δυσσεβὲς καὶ βλάσφημον εὐλαβούμενοι, τὸ δὲ καὶ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτὸ ἀπαρνεῖσθαι· ἀλλ' ἴστωσαν μὴ ἂν ἄλλως δύνασθαι τὴν κοινωνίαν τῆς φύσεως μέσον Πατρὸς τηρεῖσθαι καὶ Πνεύματος, εἰ μὴ ἐκ Πατρὸς τὸ Πνεῦμά ἐστιι καὶ μὴ ἂν ἄλλως μέσον Υἱοῦ καὶ Πνεύματος τὴν τοιαύτην κοινωνίαν τηρεῖσθαι τῆς φύσεως, εἰ μὴ διὰ Υἱοῦ καὶ ἐξ Υἱοῦ τὸ Πνεῦμά ἐστιν.

A per Filium, » Spiritus quidem erga Filium proprietatem secundum naturalem communionem profitentur, quod manifeste impium est, atque blasphemum, vitantes, illud vero ex Filio illum esse inficias eunt, sciant se, non alio modo naturæ communionem inter Patrem et Spiritum conservare, nisi ex Patre spiritus est; neque etiam alio modo similem communionem naturæ inter Spiritum et Filium servare, ni per Filium; et ex Filio Spiritus est.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ὁμιλίας.

ι'. « Πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ Θεοῦ· πνεῦμα « Πατρὸς καὶ Πνεῦμα, ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, « Πνεῦμα Κυρίου, πνεῦμα Υἱοῦ. Λέγει ὁ Ἀπόστολος, « « Ὅτι δὲ ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα « τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον, « Ἀββᾶ ὁ Πατήρ. » Ἰδοὺ αὐτὸ τὸ πνεῦμα τοῦ Υἱοῦ, « Ἀλλαχοῦ πάλιν « πνεῦμα Χριστοῦ, » λέγει Παῦλος· « Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴ- « περ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν. » Παρακαλῶ, « πρόσεχε τῇ πλοκῇ ταύτῃ τῇ ἁγίᾳ, πῶς ὥσπερ « σχοινόν τινα ἁγίαν καὶ ζῶσαν ἐκ τριπλόκου δυνά- « μεως εἰσήγαγεν ὁ Παῦλος, τὴν φύσιν συνάπτων « τὴν ἀδιαίρετον καὶ ἐν διαφόροις ὀνόμασι μίαν τὴν « ζύναμιν ἐνδεικνύμενος. « Ὑμεῖς δὲ, » φησὶν, « οὐκ « ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. » Ἰδοὺ πνεῦμα. « Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. » Εἶδες πνεῦμα; « Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει. » Καὶ μὴν ἐχρῆν « εἰπεῖν, Εἰ δέ τις πνεῦμα Θεοῦ οὐκ ἔχει, ἀλλ' εἶπε « πνεῦμα Χριστοῦ. Εἶπε Θεοῦ πνεῦμα, καὶ ἐπήγαγε τὸ « πνεῦμα Χριστοῦ. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει· « οὗτος οὐκ ἔστιν αὐτοῦ. Ἀλλὰ τοῦτο εἶπεν, ἵνα δείξῃ « ὅτι, εἰ πνεῦμα, καὶ Χριστός· καὶ ἴσον ἐστὶ Χρι- « στὸν παρεῖναι, καὶ πνεῦμα παρεῖναι. Καὶ ἴσον « ἐστὶν εἰπεῖν, πνεῦμα Θεοῦ καὶ πνεῦμα Χριστοῦ. « Ἔστι τοίνυν Πνεῦμα ἅγιον πνεῦμα τὸ τῆς ἀλη- « θείας, ὡς ἂν τις εἴποι, πνεῦμα τοῦ Υἱοῦ. Ἐπεὶ λέ- « γει ὁ Σωτὴρ, « Ἐγώ εἰμι ἡ ἀλήθεια, » Λέγεται τὸ « πνεῦμα τῆς ἀληθείας, ὅ ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ, « ὡς φησιν ὁ Παῦλος· « Ἐξαπέστειλεν ὁ Θεὸς τὸ « πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ. » Ἔστιν οὖν καὶ πνεῦμα « Υἱοῦ, καὶ πνεῦμα ἐγείραντος Ἰησοῦν Χριστόν. « Καὶ ἄκουε αὐτοῦ τοῦ Παύλου· « Εἰ δὲ τὸ πνεῦμα « τοῦ ἐγείραντος τὸν Χριστὸν οἰκεῖ ἐν ὑμῖν. » Ταῦτα « τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ « ἁγίου ἐστὶ καὶ προσκυνητοῦ Πνεύματος. Ἔστι « δὲ καὶ ἄλλα ὀνόματα, οὐ τῇ φύσει προσήκοντα, « ἀλλὰ τῇ ἐνεργείᾳ. Βαθὺς ὁ λόγος καὶ χρῄζει ἀκοῆς « προσεχούσης καὶ ἀσφαλοῦς πίστεως. Λέγεται δὲ « πάλιν τὸ πνεῦμα ζωῆς πνεῦμα, ἐπεὶ καὶ ὁ Σωτὴρ « λέγει, Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. Λέγεται οὖν « πνεῦμα ζωῆς καθὼς καὶ ὁ Παῦλος λέγει· Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς. » Ταῦτα τὰ ὀνόματα ἃ « οὐ προσγράφεται τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ. »

Ejusdem ex eadem homilia.

10. « Spiritus Dei, spiritus qui ex Deo. Spiritus « Patris, spiritus qui ex Patre procedit. Spiritus Do- « mini, spiritus Filii. Dicit Apostolus : Quod autem « Filii estis, emisit Deus spiritum Filii sui in corda « vestra, clamantem, Abba pater. » Ecce ipse spiritus « Filii. Alio loco iterum spiritum Christi dicit « Paulus : « Vos autem non estis in carne, sed in spi- « ritu, siquidem spiritus Dei habitat in vobis. » « Obsecro, animadvertite sanctam hanc connexio- « nem, quomodo quasi catenam quamdam sanctam « et vivam ex triplici potentia inducit Paulus, « naturam conjungens inseparabilem, et in di- « versis nominibus unam naturam indicans. « Vos « autem, inquit, non estis in carne, sed in spi- « ritu. » Ecce spiritum : « Siquidem spiritus Dei « habitat in vobis. » Vidisti spiritum ? Siquis au- « tem Spiritum Christi non habet ; et sane opor- « tebat dicere. Si quis spiritum Dei non habet, « sed dixit spiritum Christi non habet, hic non est « ejus, verum hoc dixit, ut ostendat, si spiritus et « Christus, et idem est Christum adesse, et spi- « ritum adesse, et idem est spiritum Dei dicere et « spiritum Christi. Est igitur Spiritus sanctus « Spiritus veritatis, quasi quis dicat, spiritus Fi- « lii. Quia dicit Salvator : Ego sum veritas. Dici- « tur Spiritus veritatis, qui est spiritus Filii, sicut « dicit Paulus : Emisit Deus spiritum Filii sui. Est « igitur et spiritus Filii, et spiritus ejus, qui excitavit « Jesum Christum. Et audi Paulum dicentem : Si au- « tem spiritus ejus, qui excitavit Jesum Christum, « habitat in vobis. Hæc omnia sanctæ et immacu- « latæ potestatis sancti et adorandi spiritus sunt. « Sunt et alia nomina non naturæ convenientia, « sed operationi. Profundus sermo et opus habet « auribus attentis, munitis, et fidelibus. Dicitur « autem iterum spiritus spiritus vitæ, quia Salvator « dicit : Ego sum veritas et vita. Dicitur itaque spiritus « vitæ sicut et Paulus dicit : Lex enim spiritus vitæ. « Hæc nomina non ascribuntur Spiritui sancto, sed « virtuti, et operationi ejus, ut sunt dona ejus. »

Ἐπιστασία.

« Σημείωσαι ἀπό τε τῆς προλαβούσης χρήσεως « καὶ ἀπὸ ταύτης τὴν τοῦ ἁγίου Πατρὸς Χρυσορ- « ῥήμονος μετὰ πολλῆς ἀκριβείας λεπτολογίαν. « Ἐκεῖ μὲν γὰρ, περὶ τῆς τοῦ Πνεύματος ἐκπορεύ-

Animadversio.

« Nota ex supra posito dicto, et ex hoc etiam « sancti Patris Chrysostomi cum multa ac exacta « discussione subtilem disputationem. Ubi enim de « Spiritus processione sermonem habet, præposi-

Digitized by Google Распознавание текста ABK/FR

« tionibus *ex*, et *ab*, per totum utitur, et ex Deo et a Patre illum insinuat. Hic vero Spiritus et Filii idem naturæ et essentiæ tantum exponens, non vero processionem, nullam ex his præpositionibus usurpat, sed simpliciter et sine illis Dei et Christi Spiritum nuncupat, divinum præconem Paulum similis doctrinæ testem omni exceptione majorem adducens.

Refutatio.

Si ex eo quod aurea eloquentia præditus Pater Spiritus processionem exponens, *ex* et *ab* præpositionibus per totum utitur, in jam vero digesta suorum sermonum pericope, nullam ex dictis præpositionibus usurpat, sed simpliciter et absque illis spiritum Dei et spiritum Christi nuncupat, abnuis dicere spiritum etiam ex Filio esse, haud justa facis, dum refugis spiritum ex Filio profiteri, si eumdem ipsum tibi constituam decernentem, ex Filio esse Spiritum sanctum. Hic enim oratione de Incarnatione Domini nostri Jesu Christi, cujus principium est : « Vere apparuit nobis divina gratia, » inquit ; « Accessit Christus ad nos, dedit nobis, qui ex eo est, spiritum, et corpus nostrum assumpsit. » Et sanctum quidem in digesta pericope dictis præpositionibus usum non fuisse, accurata tua ista animadversione adnotasti : at vero illum asseruisse, idem esse dicere spiritum Dei, et spiritum Christi, tanquam tua animadversione minime dignum neglexisti. Et tamen illud maximi videtur esse momenti ad demonstrandum, Spiritum esse etiam ex Filio. Namque si idem est dicere, spiritum Dei, et spiritum Christi, quemadmodum ex Deo est, quia spiritus Dei est ; pari ratione et ex Filio est, quia spiritus Filii est.

Ex eadem homilia.

IX. « Si autem audieris dicentem : « Mittam vobis Spiritum sanctum, [84] » ne secundum Deitatem accipias. Deus enim non mittitur. Nomina sunt « hæc operationem significantia, eo quod omnis « qui mittit, in illa mittit loca, in quibus non est. « Finge quod ego loquar alicui in hac sede. Non « possum dicere cuipiam. Veni, mittam te huc ; « hoc non est mittere, sed collocare et adstare sibi « facere. Quod cum Deus ubique est : « Cœlum « enim, inquit, et terram impleo, dicit Dominus. » « Quo mittit qui ubique est ? « Si ascendero in cœlum, tu illic es : si descendero in infernum, ades : « si sumpsero pennas meas diluculo, et habitavero « in extremis maris : etenim manus tua illuc deducet me [85]. » Quorsam igitur Deus mittit ? An « forte quia ipse quidem ubique, is autem qui « mittitur, non ubique ? Misit Deus Filium suum in « mundum : num ut non præsentem in mundo ?

« σεως ἑρμηνεύων, ταῖς προθέσεσι τῇ τε ἐκ καὶ τῇ « παρὰ διόλου χρῆται ἐκ τοῦ Θεοῦ, καὶ παρὰ τοῦ « Πατρὸς ταύτην διδάσκων· ἐνταῦθα δὲ τὴν τοῦ « Υἱοῦ καὶ τοῦ Πνεύματος παριστῶν ὁμοουσιότητα, « καὶ τὴν τῆς φύσεως ταυτότητα μόνην, οὐ μὴν « καὶ τὴν ἐκπόρευσιν, οὐδεμιᾷ τῶν τοιούτων χρῆται « προθέσεων, ἀλλ' ἁπλῶς οὕτως ἄνευ αὐτῶν τοῦ Θεοῦ « καὶ τοῦ Χριστοῦ λέγει τὸ Πνεῦμα, τὸν θεοκή- « ρυκα Παῦλον παράγων τῆς τοιαύτης διδασκαλίας « ἀπαράγραπτον μάρτυρα. »

Ἀντίρρησις.

Εἴπερ οὖν διὰ τὸ, τὸν Χρυσορρήμονα Πατέρα ἡμῶν, περὶ μὲν τῆς τοῦ Πνεύματος ἐκπορεύσεως ἑρμηνεύοντα ταῖς προθέσεσι τῇ τε ἐκ, καὶ τῇ *παρὰ*, χρῆσθαι διόλου, ἐν δὲ τῇ ἤδη ῥηθείσῃ τῶν αὐτοῦ λόγων περικοπῇ οὐδε ἑνὶ τῶν τοιούτων προθέσεων χρήσασθαι, ἀλλ' ἁπλῶς οὕτω ἄνευ τῶν προθέσεων τούτων λέγειν τὸ πνεῦμα τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ πνεῦμα, οὐ δέχῃ εἶναι τὸ πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, οὐκέτ' ἂν εἴης δίκαιος ἀπορνήσασθαι τὸ ἐκ τοῦ Υἱοῦ λέγειν τὸ πνεῦμα, ἐὰν αὐτὸν ἐκεῖνόν σοι παραστήσω θεολογοῦντα ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Οὗτος γὰρ ἐν τῷ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή. « Ὄντως ἐπεφάνη ἡμῖν ἡ τοῦ Θεοῦ χάρις, » φησίν· « Ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ πνεῦμα, καὶ ἀνελάβετο τὸ ἡμέτερον σῶμα. » Καὶ ὅτι μὲν ἐν τῇ τοιαύτῃ περικοπῇ ὁ ἅγιος ταῖς ῥηθείσαις προθέσεσιν οὐκ ἐχρήσατο, πάνυγε ἀκριβοῦς τῆς ἐπιστασίας ἠξίωσας· ὅτι δὲ ἔφη· Ἴσον ἐστὶν εἰπεῖν πνεῦμα Θεοῦ καὶ πνεῦμα Χριστοῦ, ἀλλὰ τοῦτό γε ἄμοιρον ἐπιστασίας παρεῖδες. Τὸ δὲ πολλὴν τὴν ἰσχὺν ἔχει πρὸς ἀπόδειξιν τοῦ εἶναι τὸ πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Εἰ γὰρ ἴσον ἐστὶν εἰπεῖν πνεῦμα Θεοῦ καὶ πνεῦμα Χριστοῦ, ὥσπερ ἐκ τοῦ Θεοῦ ἐστι διὰ τὸ εἶναι πνεῦμα Θεοῦ, οὕτω καὶ ἐκ τοῦ Υἱοῦ ἐστὶ διὰ τὸ εἶναι Πνεῦμα Υἱοῦ.

Ἐκ τῆς αὐτῆς ὁμιλίας.

ΙΑ'. « Ἐὰν δὲ ἀκούσῃς λέγοντος « Ἀποστελῶ ὑμῖν « τὸ Πνεῦμα τὸ ἅγιον, » μὴ τὴν Θεότητα ἐκλάβῃ. « Θεὸς γὰρ οὐκ ἀποστέλλεται. Ὀνόματά ἐστι ταῦτα « τὴν ἐνέργειαν σημαίνοντα, οἷον πᾶς ὁ ἀποστέλλων « εἰς ἐκεῖνον ἀποστέλλει τοὺς τόπους, ἐν οἷς μὴ πάρ- « εστιν. Ὑπόθου ἐμὲ εἶναι τὸν λαλοῦντα ἐν τῷ « καθίσματι τούτῳ· οὐ δύναμαι εἰπεῖν τινι, Δεῦρο, « ἀποστελῶ σε ὧδε. Τοῦτο οὐκ ἔστι πέμψαι, ἀλλα « συγκαθίσαι, ἢ παραστῆναι. Εἰ δὲ ὁ Θεὸς πανταχοῦ, « Τὸν οὐρανὸν γὰρ καὶ τὴν γῆν ἐγὼ πληρῶ, » « ποῦ πέμπει ὁ πανταχοῦ ὤν. « Ἐὰν ἀναβῶ εἰς τὸν « οὐρανόν, σὺ ἐκεῖ εἶ· Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, « πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου καὶ ὀρ- « θρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσ- « σης· καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με. » Πῶς οὖν ὁ Θεὸς ἀποστέλλει; Ἀλλ' ἆρα μὴ αὐτὸς μὲν « πανταχοῦ, ὁ δὲ ἀποστελλόμενος οὐ πανταχοῦ; « Ἀπε- « στειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κοσμον· » ἆρ' ὡς

[84] Joan. XVI, 7. [85] Jerem. XXIII, 24. [86] Psal. CXXXVIII, 8 sqq.

Digitized by Google Распознавание текста АВК/FR

« μὴ παρόντα ἐν τῷ κόσμῳ ; Πῶς οὖν Ἰωάννης ὁ A « Quomodo igitur Joannes evangelista dicit : « Om-
« εὐαγγελιστὴς λέγει · « Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ « nia per ipsum facta sunt. In mundo erat, et
« κόσμος δι' αὐτοῦ ἐγένετο. » Πῶς οὖν ἀπεστάλη εἰς « mundus per ipsum factus est [36] ? » Quomodo
« τὸν κόσμον ; πάλιν ἀπεστάλη ὁ ἀποσταλείς, καὶ « igitur iterum in mundum missus est ? Num ite-
« ἐμεινεν ὁ ἀποστείλας ἄνω καὶ ὁ ἀποσταλεὶς κάτω ; « rum missus est, qui alias missus est, et mansit
« Πῶς ἔλεγε, « Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστι ; » « qui misit, supra, et qui missus est, infra ? Quo-
« Ἀσφάλισαι τὸν λόγον. Δύναται γὰρ εἰπεῖν ὁ αἱρε- « modo dicebat : « Et qui misit me mecum est ? »
« τικὸς, Μετ' ἐμοῦ ἐστι τῇ βοηθείᾳ · ὡς λέγω κἀγὼ « Obsecro, diligenter attendas, secure serva ser-
« Ὁ θεὸς μετ' ἐμοῦ ἐστιν. Οὐκ εἶπεν ἁπλῶς · ἀλλὰ « monem. Potest enim dicere Hæreticus : Mecum
« τί ; « Ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων. » Εἰ μετ' αὐ- « est suo auxilio, sicut et ego dico : Deus mecum
« τοῦ ἦν καὶ ἐν αὐτῷ ἔμενε, πῶς ἐκεῖνος ἀπέστει- « est. Non dixit simpliciter : sed quid ? Pater in
« λεν ; ἢ πῶς οὗτος ἀπεστάλη ; Εἴτε γὰρ ἦλθον, « me manens, si mecum erat, et mecum mansit,
« οἱ δύο ἦλθον, καὶ οὐδεὶς ἀπεστάλη · εἴτε ἔμεινεν « quomodo ille misit, vel quomodo hic missus est ?
« ὁ Πατὴρ ἄνω, πῶς λέγει ὁ Υἱὸς, « Ὁ πατήρ μετ' « Si enim venerunt, duo venerunt, et neuter missus
« ἐμοῦ ἐστιν, » εἰ ἄνω ἔμεινεν ὁ ἀποστείλας ; Πῶς « est. Et si mansit supra Pater, quomodo dicit
« ἔχει μετ' αὐτοῦ ὁ ἀποσταλεὶς τὸν ἀποστείλαντα ; B « Filius, « Pater meus mecum est [38] ? » si supra
« Ἐγὼ γὰρ », εἶπεν, « ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ « mansit qui misit : quomodo secum habet mis-
« μετ' ἐμοῦ ἐστι. » Πῶς οὖν ὁ ἀποσταλεὶς λέγει, « Ὁ « sus mittentem ? « Ego enim, dixit, in Patre, et
« πατὴρ ἐν ἐμοί ; » Πῶς δὲ πάλιν ἀπέστειλεν ; « Pater mecum est [39]. » Quomodo igitur missus
« Ὅταν οὖν λέγῃ « Πέμψω ὑμῖν τὸ Πνεῦμα τὸ « dicit : Pater in me est ? Et quomodo iterum mi-
« ἅγιον, » τὴν δωρεὰν λέγει τοῦ Πνεύματος, καὶ « sit ? Igitur cum dicit, « Mittam vobis Spiritum
« ἵνα μάθητε ὅτι ἡ δωρεὰ πέμπεται, τὸ δὲ Πνεῦμα « sanctum, » donum dicit Spiritus, et ut discatis
« οὐκ ἀποστέλλεται, ὁ Σωτὴρ λέγει τοῖς ἀποστό- « donum mitti, Spiritum autem non mitti, Salva-
« λοις· « Μείνατε ἐν Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε « tor dicit apostolis : « Manete in Hierusalem, do-
« δύναμιν ἐξ ὕψους. Λήψεσθε γὰρ δύναμιν ἐπελ- « nec induamini virtute ex alto, et sumatis virtu-
« θόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς. » Κἂν « tem supervenientis Spiritus sancti in vos [40]. »
« ἡ δύναμις ἦν χορηγουμένη, ἀλλὰ τὸ Πνεῦμα τὸ « Licet virtus suppeditabatur, Spiritus tamen erat,
« χορηγοῦν. Πάντως γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ « qui suppeditabat Omnia enim operatur unus, et
« Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. « idem Spiritus, dividens unicuique, ut vult. Tu
« Σὺ μὲν οὖν οὐ δύνῃ δεῖξαι πεμπόμενον τὸ Πνεῦμα « ergo non potes ostendere mitti Spiritum sanctum
« τὸ ἅγιον ἀπὸ γυμνῆς τῆς θεότητος. Ἐὰν δέ σοι C « a pura Deitate : ego autem si ostendero tibi
« δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμε- « factorem cœli et terræ mitti a Spiritu sancto,
« νον ἀπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, τί ποιήσεις ; « quid facies ? vel nega Christum, vel expunge
« ἢ ἀρνησαι τὸν Χριστὸν καὶ ἀπάλειψον τὰς Γραφὰς, « Scripturas, vel cum sis servus Scripturarum,
« ἢ δοῦλος ὢν τοῦ Χριστοῦ, ὑποτάττου ταῖς Γραφαῖς. « obedi Scripturis. Et ubi, inquit, dictum est hoc ?
« Καὶ ποῦ, φησὶν, εἴρηται τοῦτο ; Ἄκουε τοῦ Θεοῦ « Audi Deum dicentem per prophetam Esaiam,
« λέγοντος διὰ τοῦ προφήτου Ἡσαΐου τοῦ κήρυκος τῆς « pietatis præconem : « Audi me, dicit, Jacob, et
« εὐσεβείας · « Ἄκουέ μου, » φησὶν, « Ἰακὼβ καὶ « Israel, quem ego accerso : Ego Deus primus, et
« Ἰσραὴλ, ὃν ἐγὼ καλῶ. Ἐγὼ Θεὸς πρῶτος καὶ ἐγὼ « Deus posthac, et præter me Deus non est [41]. »
« μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ θεὸς οὐκ ἔστι. » « Attendite oro, : restat enim hic quod quæritur.
« Προσέχετε, λοιπὸν γὰρ ἐνταῦθα τὸ ζητούμενον. « Quis hæc dicit, Paterne an Filius ? Vide quo-
« Τίς ὁ εἰπὼν ταῦτα, ὁ Πατὴρ ἢ ὁ Υἱός ; Ὅρα πῶς « modo in figura monarchiæ Trinitatem obscure
« ἐν μοναρχίας τύπῳ τὴν Τριάδα κηρύττει συγκε- « prædicat. « Ego deus primus, et ego posthac et
« καλυμμένως, « Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ « præter me non est Deus. » Quis est, qui hæc di-
« ταῦτα, καὶ πλὴν ἐμοῦ θεὸς οὐκ ἔστι. » Τίς ὁ ταῦτα D « cit ? mundi Conditor, subdit enim : « Ego manu
« λέγων ; ὁ Δημιουργός. Ἐπάργει γάρ · « Ἐγὼ τῇ « mea fundavi terram [42]. » Vides opificem loqui ?
« χειρί μου ἐθεμελίωσα τὴν γῆν. » Βλέπε πῶς ὁ « Et Spiritus meus firmavit cœlum. Ego omnibus
« Δημιουργὸς λαλεῖ. « Καὶ τὸ Πνεῦμά μου ἐστε- « stellis mandavi. Ego excitavi cum justitia regem,
« ρέωσε τὸν οὐρανόν. Ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετει- « et omnes viæ meæ rectæ. » Cum seipsum dixisset
« λάμην. Ἐγὼ ἤγειρα μετὰ δικαιοσύνης βασιλέα, « factorem cœli et terræ, subnectit : « Non ab ini-
« καὶ πᾶσαι αἱ ὁδοί μου εὐθεῖαι. « Εἰπὼν ἑαυτὸν δη- « tio in occulto locutus sum vobis hæc, neque in
« μιουργὸν καὶ ποιητὴν οὐρανοῦ καὶ γῆς, λέγει « loco tenebroso [43]. » Dicens : « Fundavi terram,
« λοιπὸν ταῦτα · « Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ ἐλάλησα « et creavi cœlum [44] ; quando facti sunt illi,
« ὑμῖν ταῦτα, οὐδὲ ἐν τόπῳ σκοτεινῷ. » Εἰπὼν ὅτι « aderam, » et nunc, « Dominus misit me, et Spiritus
« Ἐθεμελίωσα τὴν γῆν, καὶ ἐποίησα τὸν οὐρανόν· ὅτε « illius. » Te scilicet, qui fecisti cœlum et terram
« ἐγένοντο, ἐκεῖ ἦμην· » καὶ νῦν, « Κύριος ἀπέστει- « Dominus misit secundum carnem. Factor cœli in-

[36] Joan. I, 3, 10. [37] ibid. VIII, 29. [38] ibid. XVI, 32. [39] ibid. XIV, 11. [40] Luc. XXIV, 49 [41] Isa. XLV III, 12. [42] ibid. 13, [43] Psal. XXXIII, 6. [44] Joan. XVIII, 20. [45] Jerem. XLVIII, 13.

Digitized by Google Распознавание текста ABK/FR

« tonat : « Dominus misit me et Spiritus illius. » Mis- A « λέ με καὶ τὸ Πνεῦμα αὐτοῦ. » Σὲ τὸν ποιήσαντα
« sionem Spiritus Hæretici capiunt in contumeliam. « τὸν οὐρανὸν καὶ τὴν γῆν Κύριος ἀπέστειλε κατὰ
« Misit Pater, non locum deserens, nec loco trans- « τὴν σάρκα. Ὁ ποιητὴς οὐρανοῦ λέγει· « Κύριος
« latus. Misit Filius Spiritum non divisus. Et id- « ἀπέστειλέ με καὶ τὸ Πνεῦμα αὐτοῦ. » Τὴν ἀπο-
« circo Scriptura dicit [46] : « Deus effudit donum Spi- « στολὴν οἱ αἱρετικοὶ τοῦ Πνεύματος εἰς ὕβριν
« ritus sancti, » Divinitas non effunditur sed do- « λαμβάνουσιν. Ἀπέστειλε Πατὴρ, οὐ μεταστάς.
« num, propter hoc, ut demonstraretur, quia hoc, « Ἀπέστειλεν ὁ Υἱὸς τὸ Πνεῦμα, οὐ διαιρεθείς.
« quod effunditur, non est Spiritus sanctus, sed « Διὰ τοῦτο ἡ Γραφὴ, « Ὁ Θεὸς, » φησὶν, « ἐξ-
« Spiritus Dei gratia, dicit David Christo : « Effusa « έχεε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. » Θεότης
« est gratia in labiis tuis [47]. » Gratia effunditur, « οὐκ ἐκχεῖται, ἀλλ' ἡ δωρεά. Διὰ τοῦτο, ἵνα δει-
« non qui largitur gratiam. Si æqualis honor præ- « χθῇ, ὅτι τὸ ἐκχυνόμενον οὐ Πνεῦμα ἅγιον, ἀλλὰ
« dicatur, et illud, a sè ipso, manifestatum est, nec- « Πνεύματος Θεοῦ χάρις, λέγει Δαυὶδ τῷ Χριστῷ·
« non et illud, De meo accipiet, quasi a puteo in- « Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. » Χάρις ἐκχεῖ-
« terpretari quis potest. « ται, οὐχ ὁ δωρούμενος τὴν χάριν. Ἐὰν ἡ ὁμοτι-
« μία κηρύττηται, καὶ τὸ, ἀφ' ἑαυτοῦ, σεσαφήνισται, καὶ τὸ, ἀπ' ἐμοῦ λήψεται, ὡς ἀπὸ δεξαμενῆς ἑρ-
« μηνεύεται. »

Animadversio. B *Ἐπισκόπησις.*

« Curiosus mentem fige, consideraque, qua ra- « Ἐπίστησον ἀκριβῶς, πῶς ὁ θεοφόρος οὗτος
« tione divinus iste Pater effusionem missionemque « τὴν τοῦ ἁγίου Πνεύματος ἔκχυσιν καὶ ἀποστολὴν
« Spiritus intelligat, exponatque, ut, cum audis, a « καὶ νοεῖ καὶ διδάσκει, ἵν' « ὅτε ἀκούεις παρὰ τοῦ
« Domino Spiritum effundi, mittique, ad præsen- « Κυρίου τὸ Πνεῦμα προχεόμενον καὶ ἀποστελλόμε-
« tem hanc expositionem similes dictiones confe- « νον, πρὸς τὴν παροῦσαν ἑρμηνείαν καὶ τὰ; τοιαύ-
« ras componasque. « τας συμβιβάζῃς φωνάς. »

Refutatio. *Ἀντίῤῥησις.*

Asserente Chrysostomo, Deum non mitti, rur- Τοῦ Χρυσορῥήμονος εἰπόντος, Θεὸς οὐκ ἀπόστελ-
sumque donum mitti ; Spiritum vero non mitti, λεται, καὶ πάλιν, Ἡ δωρεὰ πέμπεται, τὸ δὲ Πνεῦμα
cum Filius dicit, « Mittam vobis Spiritum sanc- οὐκ ἀποστέλλεται, ὅταν ὁ Υἱὸς λέγῃ, « Πέμψω ὑμῖν
tum : » necnon, Deitatem non effundi, sed donum ; τὸ Πνεῦμα τὸ ἅγιον· » καὶ πάλιν, Θεότης οὐκ ἐκ-
item, quod effunditur non esse Spiritum sanctum, χεῖται, ἀλλ' ἡ δωρεά· καὶ πάλιν, Τὸ ἐκχυνόμενον
sed Dei gratiam, propterea non eum ipsum Para- οὐ πνεῦμά ἐστιν ἅγιον, ἀλλὰ Πνεύματος Θεοῦ χά-
cletum indicari existimas, sed gratiam quamdam, ρις, μὴ διὰ ταῦτα οὐχὶ αὐτὸν ἐκεῖνον δηλοῦσθαι
veluti ab eo avulsam. Cum Scriptura asserit, Spi- C τὸν Παράκλητον οἴῃ, ἀλλὰ χάριν τινὰ ἀποδιεσχοι-
ritum sanctum a Domino effundi, mittique ; si hæc, νισμένην ὥσπερ ἐκείνου. Ὅταν ἡ Γραφὴ λέγῃ,
inquam, opinaris de Spiritu sancto, qui a Domino « Τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Κυρίου προχεῖται καὶ
effunditur, et mittitur, plane a vera rectaque sen- ἀποστέλλεται, » πόῤῥω βάλλειν ἴσθι τῆς τοῦ ἁγίου
tentia longe omnium evagaris. Et meorum dictorum διανοίας. Καὶ μάρτυς τῶν ἐμῶν λόγων αὐτὸς ὁ τοῦ
testis fuerit Spiritus dator, et suppeditator, qui, Πνεύματος δοτήρ τε καὶ χορηγός. Λέγων γὰρ ἐν Εὐ-
cum in Evangelio dicit, « Cum venerit Paracletus, αγγελίοις, « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ
quem ego mittam vobis ex Patre [48], » non gratiam πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, » οὐχὶ χάριν τινὰ
quamdam spiritalem, veluti ab essentia Spiritus πέμπειν ἐμφαίνει πνευματικὴν, οἱονεὶ τῆς οὐσίας
divisam ac sejunctam insinuat, sed Paracletum ip- ἀποδιῃρημένην τοῦ Πνεύματος, ἀλλ' αὐτὸν τὸν
sum, qui est Deus perfectus, et verus, uti Pater Παράκλητον, ὅτις Θεός ἐστι τέλειος, καὶ ἀληθὴς, ὡς
et Filius est. Si itaque Deus est, qui a Domino ὁ Πατὴρ καὶ ὁ Υἱός. Εἰ γοῦν Θεός ἐστι τὸ παρὰ
effunditur, mittiturque Spiritus, scito, cum Chry- τοῦ Κυρίου προχεόμενον καὶ ἀποστελλόμενον πνεῦμα,
sostomum audis dicentem, Deus non mittitur, et γνῶθι ἀκούων τοῦ Χρυσορῥήμενος λέγοντος τὸ,
quod effunditur non est Spiritus sanctus, sed Dei D Θεὸς οὐκ ἀποστέλλεται, καὶ, Τὸ ἐκχυνόμενον οὐ
Spiritus gratia, hanc tantum ob causam enuntiasse, Πνεῦμά ἐστιν ἅγιον, ἀλλὰ Πνεύματος Θεοῦ χάρις,
ne quis separationem aliquam, atque divisionem ὡς διὰ τοῦτο ταῦτ' εἴρηκεν, ἵνα μή τις διάστασίν
localem sibi animo fingat, cum Deum intelligit, τινα φαντάσηται τοπικὴν, Θεὸν ἀκούων πεμπόμενον
mitti atque effundi. Quandoquidem si in eam sen- καὶ ἀποστελλόμενον. Ἐπεὶ, εἰ μὴ εἰς τοιαύτην ἔν-
tentiam non accipiatur illud, Deus non mittitur, νοιαν ἐκληφθείη τὸ, « Θεὸς οὐκ ἀποστέλλεται, »
quomodo Deum asseremus Filium missum a Patre? πῶς ἂν Θεὸς ὁμολογηθείη ὁ ἀποστελλόμενος Υἱὸς
Et si hæc tibi vera videntur esse, discito, licet παρὰ τοῦ Πατρός ; Καὶ εἴπερ ὀληθῆ σοι ταῦτα δο-
missio, et demissio, quæ in nobis sit, Spiritus, κεῖ, μάνθανε ὡς κἂν καὶ ἡ πέμψις καὶ ἡ ἀποστολὴ
habitualem habitationem significet, ex ipsa nihi- τὴν εἰς ἡμᾶς γενομένην παρὰ τοῦ Κυρίου σχετικὴν
lominus missione, atque dimissione clarum rema- ἐνοίκησιν δηλῶσι τοῦ Πνεύματος, ἀλλ' ἐξ αὐτῆς
nere. Spiritum ex mittente, et dimittente Domino τῆς πέμψεώς τε καὶ ἀποστολῆς ἀναφαίνεται ὑπάρ-

[46] Act. II, 38. [47] Psal. XLIV, 3. [48] Joan. XV, 26.

Digitized by Google Распознавание текста ABK/FR

χειν τὸ Πνεῦμα ἐκ τοῦ πέμποντος καὶ ἀποστέλλοντος αὐτὸ Κυρίου δι' οὓς ἐν ταῖς προλαβούσαις ἀντιῤῥήσεσι λόγους εἰρήκαμεν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν Πεντηκοστὴν λόγου.

« ιβ'. Πρὸ δέκα ἡμερῶν εἰς τὸν θρόνον ὁ Χριστὸς « ἀνέβη τὸν βασιλικὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατ- « έβη σήμερον πρὸς τὴν φύσιν τὴν ἡμετέραν, καὶ « ἀνήνεγκεν ὁ Χριστὸς τὴν ἀπαρχὴν τὴν ἡμετέραν, « καὶ κατήνεγκε τὸ Πνεῦμα τὸ ἅγιον· ἕτερος Κύριος « διανέμων τὰ δῶρα ταῦτα. Καὶ γὰρ τὸ Πνεῦμα « Κύριός ἐστι, καὶ διενείμαντο τὴν ὑπὲρ ἡμῶν οἰκο- « νομίαν, Πατὴρ, Υἱὸς, καὶ ἅγιον Πνεῦμα. Οὕπω « δέκα ἡμέρας εἶχεν ἀνελθὼν ὁ Χριστὸς, καὶ χαρί- « σματα ἡμῖν ἐπεμψε πνευματικὰ, δῶρα τῆς καταλ- « λαγῆς ἐκείνης. Ἵνα γὰρ μηδεὶς ἀμφιβάλλῃ καὶ B « διαπορῇ, τί ποτε ἄρα ἀνελθὼν ὁ Χριστὸς ἐποίη- « σεν; Ἆρα κατήλλαξε τὸν Πατέρα; ἆρα πλεων « αὐτὸν εἰργάσατο; βουλόμενος ἡμῖν δηλῶσαι ὅτι « κατήλλαξεν αὐτὸν τῇ φύσει τῇ ἡμετέρᾳ, καὶ τὰ « δῶρα τῆς καταλλαγῆς ἐπεμψεν. »

Ἐπιστασία.

« Ὁμοίως πρόσχες καὶ τῇ τοιαύτῃ περικοπῇ, « συνᾳδούσῃ τῇ ἀνωτέρω, καὶ σαφῶς διδασκούσῃ καὶ « αὐτῇ χαρίσματα καὶ δωρεὰς τοῦ Πνεύματος πέμ- « ποντα τὸν Υἱὸν, οὐ μὴν αὐτὸ τὸ Πνεῦμα. »

Ἀντίῤῥησις.

Οἷόν σε ἔπος φύγεν ἕρκος ὀδόντων! Χαρίσματα καὶ δωρεὰς τοῦ Πνεύματος πέμποντα τὸν Υἱὸν ἔφης, C οὐ μὴν αὐτὸ τὸ Πνεῦμα, καὶ ἔοικας φρονεῖν οὕτω παρὰ τοῦ Υἱοῦ πέμπεσθαι τοῦ Πνεύματος τὰ χαρίσματα, ὥσπερ ἀποδιεσπασμένα καὶ διεσχοινισμένα τοῦ Πνεύματος. Ἀλλ' ὁ ἅγιος Κύριλλος ἐν τῷ ἑβδόμῳ τῶν πρὸς Ἑρμείαν οὕτως ἔφη· « Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν. Ἔνοικον γὰρ ἐνηυλισμένον καταπλουτοίη τις αὐτὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, οὐκ ἀλλότριόν τι καὶ διεσπασμένον οὐσιωδῶς αὐτοῦ τὸ Πνεῦμα λαβὼν, ἀλλὰ τὸ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἴδιον αὐτοῦ, καὶ τὴν ἴσην ὡς πρὸς αὐτὸν κυριότητα φοροῦν. » Καὶ πάλιν ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην· « Θεός ἐστι καὶ ἐκ Θεοῦ κατὰ φύσιν τὸ Πνεῦμα, οὗ δὴ καὶ μετίσχειν διὰ πίστεως τῆς εἰς Χριστὸν ἀξιούμεθα· ἐπεὶ κατά τινα D τρόπον ναοὶ Θεοῦ ἐσμεν, εἰ μὴ Θεὸς κατὰ φύσιν τὸ Πνεῦμά ἐστι. » Καὶ πάλιν ἐν τῷ ἑβδόμῳ τῶν πρὸς Ἑρμείαν πρὸς τοὺς λέγοντας ὡς οὐκ αὐτὸ τὸ Πνεῦμα, ἀλλ' ἡ δι' αὐτοῦ χάρις ἐνσημαίνεται ἡμῖν, ὁποῖόν τι λέγεις καὶ σὺ νῦν, οὕτως ἔφη· « Εἴπερ τὸ τὴν θείαν ἡμῖν ἐγχαράττον εἰκόνα καὶ σημάντρου δίκην ἐμποιοῦν τὸ ὑπερκόσμιον οὐχὶ τὸ Πνεῦμά ἐστιν, ἀλλ' ἡ δι' αὐτοῦ χάρις, ἀναγκαῖον ἦν εἰκόνα τῆς χάριτος καὶ οὐχὶ μᾶλλον Θεοῦ διακεκλῆσθαι τὸν ἄνθρωπον· » καὶ πάλιν· « Ἀλλ' εἰ τῆς οὐσίας τοῦ Πνεύματος διεσχοινισμένη τις ἦν δι' αὐτοῦ χάρις τί μὴ ἔχη σαφῶς ὁ μὲν μακάριος Μωϋσῆς ὅτι παρενηνεγμένῳ τῷ ζώῳ πρὸς τὸ εἶναι λοιπὸν ἐνεφύσησε χάρις ὁ πάντων Δημιουργὸς, τὴν διὰ πνοῆς τῆς ζωῆς, ὁ

esse, propter eas, quas in suprà jam digestis refutationibus rationes adduximus.

Ejusdem ex oratione in Pentecosten.

12. « Ante dies decem Christus ad regium « thronum ascendit, et hodierno die Spiritus san- « ctus ad naturam nostram descendit : nostras « primitias Dominus in cœlum evexit, et Spiritum « sanctum demisit : alius est Dominus, qui hæc « dona distribuit. Nam Spiritus sanctus est Domi- « nus, et dispensationem nostra causa susceptam « Pater et Filius et Spiritus sanctus inter se di- « viserunt. Nondum decem elapsi dies erant, ex « quo Christus ascenderat, et spiritalia nobis dona « misit, reconciliationis illius munera. Ne quis « ambigeret, et quæreret, quid tandem in cœlum « ascendens Christus egisset? num Patri nos re- « conciliasset? num propitium ipsum reddidis- « set? ut nobis ostenderet se naturæ illum nostræ « placatum reddidisse, confestim nobis reconci- « liationis illius dona misit. »

Animadversio.

« Hæc item pericope, si animo attendas, cum « superiori concordat, et plane te docet, dona et « munera Spiritus Filium mittere, non autem Spi- « ritum ipsum.

Refutatio.

Quale tibi verbum fugit a septo dentium! Dona et munera Spiritus mitti a Filio dixisti, non autem ipsum Spiritum, et illius esse opinionis videris, quæ asserit, a Filio mitti Spiritus dona, veluti sejuncta ac separata ab eodem Spiritu. Sed divus Cyrillus libro octavo ad Hermiam [scripit : « Hoc unum scimus, in nobis Christum esse ex Spiritu, quem elargitus est nobis : domesticum enim atque incolam abunde possidebit eum, qui natura vereque Deus est, non externum aut disjunctum ab ipso essentialiter Spiritum accipiens, sed illum qui ex ipso, et in ipso, et proprius est illius, et æqualem, si cum eo conferatur, dignitatem habet. » Et rursus in expositione Evangelii secundum Joannem : « Deus est, et ex Deo secundum naturam Spiritus, cujus participes fieri per fidem, quam habemus in Christo, digni efficimur, cum alias quodammodo templa Dei sumus, si Deus secundum naturam Spiritus non est. » Et iterum libro septimo ad Hermiam adversus eos, qui asserebant non ipsum Spiritum, sed illius gratiam in nobis signari, quale nunc tu quoque intonas, sic ait : « Si quod nobis divinam imaginem imprimit, et notæ instar pulchritudinem cœlestem ingerit, non est Spiritus ipse, sed gratia per ipsum, necessario homo gratiæ imago, et non Dei vocandus esset. » *Rursumque*, « Quodsi ab essentia Spiritus, quam per ipsum consequimur, gratia disjuncta, ac avulsa est, quare non palam beatus Moyses dixit, cum animal ad id quod est productum fuisset, postmodum insufflavit gratiam rerum omnium

Digitized by Google Распознавание текста ABBYY FR

Conditor, per flatum vitæ : et Christus nobis, Accipite gratiam per ministerium Spiritus sancti : sed in creatione hominis flatus vitæ vocatus est, quod insufflatum est : vita namque vera est deitatis natura, si modo verum est, nos in illa vivere, moveri et esse. Voce vero Salvatoris Spiritus sanctus dictus est, idem ipse ejusdem Spiritus, quem animabus fidelium inhabitare facit atque intromittit, et per ipsum et in ipso immutat in formam, quam in ipso sui initio possedit ! » Iis a divo Cyrillo una cum aliis plerisque Patribus, quorum dicta ob brevitatem derelinquuntur, decretis, scito magnæ culpæ fieri obnoxium, asserentem, non ipsum Spiritum, sed Spiritus dona Filium mittere. Licet enim et habitualem inhabitationem Spiritus missio notet, sed ipse rebus omnibus præsens Paracletus est, qui habitat, modo et ratione, quæ verbis exprimi nequeunt.

A Χριστὸς δὲ ἡμῖν, Λάβετε χάριν τὴν δι' ὑπουργίας τοῦ ἁγίου Πνεύματος, ἀλλ' ἐν μὲν τῇ τοῦ ἀνθρώπου δημιουργίᾳ πνοὴ ζωῆς ὠνόμασται τὸ ἐμφυσηθὲν, ζωὴ γὰρ ἀληθὴς ἡ τῆς θεότητος φύσις· εἴπερ ἐστὶν ἀληθὲς ὡς ἐν αὐτῇ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. Διὰ δὲ τῆς τοῦ Σωτῆρος φωνῆς Πνεῦμα ἅγιόν εἴρηται αὐτό που κατὰ τὸ ἀληθὲς ταῖς τῶν Πιστευόντων ψυχαῖς ἐγκατοικίζοντός τε καὶ ἐνιέντος τὸ Πνεῦμα, καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ μεταπλάττοντος εἰς εἶδος τὸ ἐν ἀρχαῖς. » Τοιαῦτα τοῦ ἁγίου Κυρίλλου θεολογοῦντος σὺν ἄλλοις τῶν Πατέρων πολλοῖς, ὧν αἱ ῥήσεις διὰ τὴν μακρηγορίαν παρεῖσθήσαν, ἴσθι οὐ μετρίῳ ὑποκεῖσθαι τῷ κρίματι τὸν λέγοντα, ὡς οὐκ αὐτὸ τὸ Πνεῦμα, ἀλλὰ τὰ τοῦ Πνεύματος χαρίσματα πέμπων ἐστὶν ὁ Υἱός. Εἰ γὰρ καὶ τὴν εἰς τοὺς ἀξίους B σχετικὴν ἐνοίκησιν τοῦ Πνεύματος ἡ πέμψις δήλοῖ, ἀλλ' αὐτὸς ὁ πανταχοῦ πάρων Παράκλητός ἐστιν ὁ ἐνοικῶν ἀῤῥήτως καὶ ὑπὲρ λόγον.

Ejusdem ex eadem oratione.

15. « Quoniam vero nondum fuerat crucifixus, « non erat, ait, Spiritus sanctus hominibus datus. « Vox quippe glorificatus, idem valet, quod crucifixus. Nam etsi res est natura sua ignominiosa, « quia tamen eorum causa fiebat, quos amabat, « gloriam illam Christus appellat. Quare vero, dic, « quæso, ante resurrectionem non est Spiritus « datus ? Quoniam in peccatis erat orbis terrarum, « in offensionibus, odio, et ignominia ; cum nondum oblatus Agnus esset, qui mundi tollit peccatum. Quoniam igitur nondum crucifixus fuerat C « Christus, reconciliatio nondum facta erat : cum vero nondum esset facta reconciliatio, merito « neque Spiritus mittebatur. Quare reconciliationis indicium est, Spiritus missio. Propterea dicit « etiam Christus : « Expedit vobis, ut ego vadam : « si enim non abiero, ille non veniet : si enim non « abiero, et Patrem reconciliavero, inquit, Paracletum vobis non mittet [49]. »

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

ιγ'. « Ἐπεὶ γὰρ οὔπω ἐσταυρώθη, οὐκ ἦν, φησὶ, « Πνεῦμα ἅγιον τοῖς ἀνθρώποις δοθέν. Τὸ γὰρ ἐσταυρώθη ἐστὶν ἐδοξάσθη. Εἰ γὰρ καὶ φύσει τὸ πρᾶγμα ἐπονείδιστον, ἀλλ' ἐπειδὴ ὑπὲρ τῶν φιλουμένων « ἐγίνετο, δόξαν αὐτὸ καλεῖ ὁ Χριστός. Καὶ τίνος ἕνεκεν, εἰπέ μοι, πρὸ τοῦ σταυροῦ οὐκ ἐδόθη τὸ Πνεῦμα; « Ὅτι ἐν ἁμαρτίαις ἦν ἡ οἰκουμένη, ἐν προσκρόμασιν, ἐν ἔχθρᾳ καὶ ἀτιμίᾳ, οὐδέπω τοῦ Ἀμνοῦ προσενεχθέντος, τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου. « Ἐπεὶ οὖν οὐδέπω ἦν ὁ Χριστὸς σταυρωθεὶς, οὐδέπω « ἦν καταλλαγὴ γενομένη· τῆς δὲ καταλλαγῆς « μήπω γενομένης, εἰκότως οὐδὲ τὸ Πνεῦμα ἐπέμπετο. Ὥστε καταλλαγῆς τεκμήριον τὸ, τὸ Πνεῦμα « ἀποσταλῆναι. Διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· « « Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ ἐγὼ « μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ. Ἂν μὴ ἀπέλθω « ἐκεῖ, καὶ καταλλάξω τὸν Πατέρα, φησὶν, οὐ « πέμπει ὑμῖν τὸν Παράκλητον. »

Animadversio.

« Audisne, quomodo hic orbis terrarum Magister palam edicit, Patrem per Filium reconciliatum misisse Spiritum ? »

Refutatio

Annon tu quoque audis Spiritum missum, non vero simplicem gratiam, tanquam avulsam a Spiritu, sed ipsum Paracletum ? Si itaque Paracletus mittitur a Patre, et Filius in hac missione non sejungitur a Patre, dum mittitur Paracletus per Filium una missione, et una datione, plane apertum remanet, Paracletum ex Patre procedere, et Filium in processione hac non segregari a Patre, cum Paracletus per Filium procedat processione unica, et existentia unica, non alia quidem a Patre, alia per Filium, ut veritatis calumniatores suspicantur.

Ἐπιστασία.

« Ἀκούεις, πῶς ἐνταῦθα φανερῶς διδάσκει ὁ τῆς « οἰκουμένης Διδάσκαλος τὸν Πατέρα διὰ τοῦ Υἱοῦ « καταλλαγέντα πέμψαι τὸ Πνεῦμα; »

Ἀντίῤῥησις.

Ἀλλ' ἀκούεις καὶ σὺ, πῶς τὸ πεμπόμενον Πνεῦμα οὐχ ἁπλῶς ἐστι πεμπομένη χάρις, οἱονεὶ ἀποδιεσπασμένη τοῦ Πνεύματος, ἀλλ' αὐτὸς ὁ Παράκλητος; Εἰ γοῦν ὁ Παράκλητος πέμπεται παρὰ τοῦ Πατρὸς, καὶ ὁ Υἱὸς ἐν τῇ πέμψει ταύτῃ οὐ διῄρηται τοῦ Πατρὸς, καθότι πέμπεται ὁ Παράκλητος διὰ Υἱοῦ πέμψει μιᾷ καὶ δόσει μιᾷ, εὔδηλον ὡς ὁ αὐτὸς Παράκλητος ἐκπορεύεται παρὰ τοῦ Πατρὸς, καὶ ὁ Υἱὸς ἐν τῇ ἐκπορεύσει ταύτῃ οὐ διῄρηται τοῦ Πατρὸς, καθότι ἐκπορεύεται ὁ Παράκλητος διὰ Υἱοῦ ἐκπορεύσει μιᾷ καὶ ὑπάρξει μιᾷ, οὐκ ἄλλῃ μὲν παρὰ Πατρὸς, ἑτέρᾳ δὲ διὰ Υἱοῦ, ὡς οἱ τῆς ἀληθείας συκοφάνται φασίν.

[49] Joan. XVI, 7.

Digitized by Google Распознавание текста ABK/FR

ΡΗΣΕΙΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ.

DICTA MAGNI BASILII.

Ἐκ τῆς πρὸς Εὐστάθιον τὸν Ἀρμένιον ἐπιστολῆς.

Ex Epistola ad Eustathium Armenum.

ιδ'. « Τὸ δὲ Πνεῦμα τῆς ἀληθείας ἐκ τοῦ Πατρὸς « ἐκπορεύεσθαι διδαχθέντες, ἐκ τοῦ Θεοῦ εἶναι ὁμο- « λογοῦμεν ἀκτίστως. »

14. « Cum Spiritum veritatis ex Patre procedere « didicerimus, ex Deo esse profitemur increate. »

Ἐπίστασις.

« Ὅρα καὶ τὸν οὐρανοφάντορα τοῦτον Πατέρα « τὴν τοῦ Πνεύματος ἐκπόρευσιν ἐκ τοῦ Πατρὸς « δογματίζοντα. »

Animadversio.

« Vide et rerum cœlestium revelatorem hunc « Patrem, Spiritus processionem ex Patre decer- « nentem. »

Ἀντίῤῥησις.

Ἀλλ' ὅρα καὶ σὺ τὸν οὐρανοφάντορα τοῦτον Πατέρα ἐν τῷ τρίτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν δογματίζοντα « παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἔχον τὸ εἶναι, καὶ παρ' αὐτοῦ λαμβάνειν, καὶ ἀναγγέλλον ἡμῖν, » καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον καὶ γνῶθι ὡς ὁ ἅγιος οὗτος λέγων, « Τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι διδαχθέντες, ἐκ τοῦ Θεοῦ εἶναι ὁμολογοῦμεν ἀκτίστως, » οὐ πρὸς ἀναίρεσιν τούτου λέγει τοῦ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ τὴν μαρτυρίαν ἐκ τῶν τοῦ Εὐαγγελίου παράγει ῥητῶν, ὁπόθεν ἀποδέδεικται εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Ἐπεὶ γὰρ ἐπὶ πᾶσιν, εἰς ἀθεολόγει τὴν κατ' Εὐνομίου σπουδὴν ἐπεδείκνυτο, λέγοντος ἐκ τοῦ Υἱοῦ μόνου εἶναι τὸ Πνεῦμα κτιστόν τε καὶ ποιητόν, πολλὴν τὴν ἐπιμέλειαν εἶχε διηνεκῶς, ὡς εἰς πρώτην καὶ ἄναρχον αἰτίαν τὸν Πατέρα ἀναφέρειν τὸ Πνεῦμα, καὶ εἰς τὴν τούτου ἀπόδειξιν τὴν Εὐαγγελικὴν ῥῆσιν προέτεινεν, ἐξ ἧς τῇ Ἐκκλησίᾳ ἐπεγένετο ἀκτίστως ἐκ τοῦ Θεοῦ εἶναι τὸ Πνεῦμα ὁμολογεῖν.

Refutatio.

Sed vide tu quoque, rerum cœlestium revelatorem hunc Patrem tertio adversus Eunomium Antirrhetico decernentem, « a Filio Spiritum habere quod sit, et ab eodem accipere et annuntiare nobis, et prorsus ex ea causa pendere : » tum intelligito, sanctum hunc cum asserit, « Spiritum ex Patre procedere, edocti, ex Deo esse confitemur increate, » non ad denegandum etiam ex Filio Spiritum esse, similia dicere, sed ex evangelicis dictis testimonium proferre, quibus demonstratur Spiritum esse ex Patre. Cum enim in omnibus suis de theologia tractatibus, conatus Eunomii asserentis ex Filio solo Spiritum esse creatum factumque proponeret, ad id unice et continuo incumbebat, tanquam ad primam et absque principio causam Patrem referre Spiritum, ad quod demonstrandum dictum evangelicum in medium attulit, quo Ecclesiæ suæ, increate ex Deo esse Spiritum profitetur.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν λόγων.

Ejusdem ex Antirrheticis adversum Eunomium.

ιε'. « Τί οὖν αὐτὸ χρὴ λέγειν Πνεῦμα ἅγιον, καὶ « Πνεῦμα Θεοῦ, Πνεῦμα ἀληθείας, ἀποστελλόμενον « παρὰ Θεοῦ, δι' Υἱοῦ χορηγούμενον, οὐ δοῦλον, « ἀλλ' αὐθέντην, ἀγαθόν, ἡγεμονικόν, Πνεῦμα ζωο- « ποιοῦν, Πνεῦμα υἱοθεσίας, ἐπιστάμενον πάντα « τὰ τοῦ Θεοῦ. Οὕτω δὴ καὶ ἐν τῇ Τριάδι ὁ τῆς μο- « νάδος διασωθήσεται λόγος, [εἴπερ] ἕνα μὲν Πατέρα « ὁμολογοῦμεν καὶ ἕνα Υἱόν, καὶ ἓν Πνεῦμα ἅγιον. »

15. « Quo igitur nomine ipsum compellabimus? « Spiritum sanctum, et Spiritum Dei, Spiritum ve- « ritatis, qui mittitur a Deo, et per Filium suppe- « ditatur, non servum, sed bonum, sempiternum, « principalem, Spiritum vivificantem, Spiritum « adoptionis, Dei universa scientem. Hoc siquidem « modo in Trinitate unitatis ratio conservabitur, « cum unum Patrem profitemur, et unum Filium, « et unum Spiritum sanctum. »

Ἐπίστασις.

« Ἄκουε ὅτι ἀποστέλλεται τὸ Πνεῦμα παρὰ Θεοῦ, « ἤτοι τοῦ Πατρός, καθὼς ἀπὸ τῆς ἀνωτέρω χρή- « σεως συμβιβάσαι ἔχεις· δι' Υἱοῦ δὲ χορηγεῖται, οὐ « μὴν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται. »

Animadversio.

« Audi Spiritum a Deo mitti, sive Patre, ut ex « supra laudato dicto percipere poteris : per Filium « vero suppeditari, non vero ex Filio procedere. »

Ἀντίῤῥησις.

Ὦ πῶς τὸ ἰθελόγνωμον ἄνδρα παρατρέπει φοφόν! Τί γὰρ συμβάλλον ἦν πρὸς τὸν προκείμενόν σοι ἀγῶνα, ὅτι τὸ ἀποστέλλεσθαι τοῦ χορηγεῖσθαι διεῖλες, καὶ τὸ μὲν δέδωκας τῷ Πατρὶ μετὰ τῆς *παρὰ*, τὸ δὲ τῷ Υἱῷ μετὰ τῆς *διά*; Ὅμως, ἐπεὶ τὸ παρὰ τοῦ Πατρὸς ἀποστέλλεσθαι, καὶ δι' Υἱοῦ χορηγεῖσθαι, ὡς διαφοράν τινα ἔχοντα διαιρεῖς, καὶ οὐ λογίζῃ δηλοῦν ἐνταῦθα τὸν ἅγιον κοινὸν εἶναι Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ παρὰ τοῦ Πατρὸς ἀποστέλλεσθαι, καὶ δι' Υἱοῦ χορηγεῖσθαι, ἴσεσι τῷ εὐθεῖ διαγνώμονι συνιδεῖν ἐντεῦθεν, ὡς

Refutatio.

Heu! quantum proprie sententiæ amor, et in ea defendenda obstinatio hominem sapientem a recta via abductum in prava compellit! Quid enim ad propositum tibi certamen conferebat divisio illa, qua missionem a suppeditatione sejungis; et unum quidem Patri præpositione addita, *a*, alterum Filio cum præpositione, *per*, attribuis. Nihilominus cum a Patre mitti, et per Filium suppeditari uti diversa discriminas; nec opinaris his verbis sanctum innuere, Spiritum sanctum Patri et Filio communem esse, quod mittatur a Patre, et per Filium suppe-

Digitized by Google Распознавание текста АВК/FR

ditetur, datur facultas recto cogitori inde intelligere, te neque Italo contradicere, qui bene asserit, Spiritum ex utroque procedere, quoniam ex Patre per Filium procedit.

In alio adversus eumdem Antirrhetico.

16. « Quomodo enim quæ separari nequeunt « separabuntur, Verbum Dei, et Spiritus ex Deo « per Filium ? »

Animadversio.

« Non dissimilia sunt quæ hic sanctus docet, ex « Deo asserens Spiritum, sive ex Patre : sic enim « illo, per Filium, datur intelligi.

Refutatio.

Non hoc quod tu dicis datur intelligi illo, per Filium, ex Patre scilicet : namque illud *ex Deo*, ut palam aperteque modis omnibus innotescit, propriam sententiam suspensam habet. Datur porro intelligi, Spiritum non continue et immediate, sed per Filium esse ex Patre.

Ejusdem ex oratione de Spiritu.

17. « Spiritus sanctus nihil in seipso adscititium « habet, sed ab æterno omnia possidet, ut Spiritus « Dei, et ex ipso apparens, sui causam eum ha- « bens, ut sui ipsius fontem, indeque emanans, « fons vero ipse prædictorum bonorum. Sed ipse « quidem ex Deo effluens in hypostasi, quæ vero « ex eo effluunt operationes ipsius sunt. Hinc Spi- « ritum sanctum Deus in nos abunde effudit per « Filium ; effudit, non creavit : elargitus est, non « condidit : dedit, non fabrefecit. »

Animadversio.

« Illud, ex Deo, semper cum supradictis conneete, « ex Patre scilicet illum intelligens, ut ex præsente « pericope manifesto comprobatur. Namque cum « sæpius sanctus dixisset, Spiritus Dei et ex Deo, « quod postmodum subjunxerit, Effudit Deus per « Jesum Christum, aperte indicavit de Patre, etiam « reliqua asseruisse.

Refutatio.

Intelligere explanareque semper illud, ex Deo, tanquam « ex Patre, » optime satisque pie animadversum est. Verumtamen illud quoque animadvertendum erat, magnum in divinis Basilium in prædicta pericope, ex Deo fluxum Spiritus, in hypostasi dixisse. Qui enim id annotat, facili negotio dignosceet, Spiritum etiam ex Filio effluentem in sua hypostasi effluere, tanquam qui per ipsum est ex Patre. Namque quid aliud erit efluxus in hypostasi, quam naturalis quædam et essentialis exsistentia ?

Ejusdem, ex Interpretatione Psalmi 32 in dictum, « Verbo Domini cœli firmati sunt. »

18. « Ut igitur Verbum creator cœlum firmavit, « pari modo et Spiritus Dei, qui a Patre procedit, « ex ore nempe ipsius, ne quid ipsum extraneum,

A οὐδὲ τῷ Ἰταλῷ ἀντιλέγεις καλῶς λέγοντι τὸ Πνεῦμα ἐξ ἀμφοῖν ἐκπορεύεσθαι διὰ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι.

Καὶ ἐν ἑτέρῳ λόγῳ τῶν αὐτῶν Ἀντιῤῥητικῶν.

ις'. « Πῶς ἂν οὖν χωρίζοιτο τὰ ἀχώριστα, Λόγος « Θεοῦ, καὶ Πνεῦμα ἐκ Θεοῦ δι' Υἱοῦ ;

Ἔκστασις.

« Τὰ αὐτὰ κἀνταῦθα διδάσκει ὁ ἅγιος, ἐκ Θεοῦ « λέγων τὸ Πνεῦμα, ἤτοι τοῦ Πατρός. Οὕτω γὰρ « τὸ, δι' Υἱοῦ, νοεῖν δίδωσι. »

Ἀντίῤῥησις.

Οὐ τοῦτο ὃ φῂς δίδωσι νοεῖν τὸ, δι' Υἱοῦ, ἤγουν τὸ, ἐκ τοῦ Πατρός. Τὸ γὰρ « ἐκ τοῦ Θεοῦ » κατὰ τὸ πάντη σαφὲς ἀπηρτισμένην τὴν οἰκείαν ἔννοιαν ἔχει. Δίδωσι δὲ νοεῖν τὸ μὴ τὸ Πνεῦμα προσεχῶς καὶ ἀμέσως, ἀλλὰ διὰ τοῦ Υἱοῦ εἶναι ἐκ τοῦ Πατρός.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ περὶ Πνεύματος Λόγου.

ιζ'. « Οὐδὲν ἔχον ἐν ἑαυτῷ ἐπίκτητον, ἀΐδίως « πάντα ἔχον ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πεφη- « νὸς, αἴτιον αὐτὸν ἔχον ὡς πηγὴν ἑαυτοῦ, κἀκεῖ- « θεν πηγάζον, πηγὴ δὲ αὐτὸ τῶν προειρημένων « ἀγαθῶν, ἀλλ' αὐτὸ μὲν ἐκ Θεοῦ πηγάζον, ἐνυπό- « στατόν ἐστι, τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαί « εἰσιν αὐτοῦ. Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον ἐξέχεεν « ἐφ' ἡμᾶς πλουσίως ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ· « ἐξέχεεν, οὐκ ἔκτισεν· ἐχαρίσατο, οὐκ ἐποίησεν, « ἔδωκεν, οὐκ ἐδημιούργησεν. »

Ἔκστασις.

« Τὸ, ἐκ Θεοῦ, ἀεὶ πρὸς τὰ εἰρημένα συμβίβαζε· « ἐκ τοῦ Πατρὸς δηλονότι νοῶν καὶ ἑρμηνεύων αὐτὸ « καθὼς καὶ ἀπὸ τῆς παρούσης περικοπῆς σαφῶς « παρίσταται. Πολλάκις γὰρ εἰπὼν ὁ ἅγιος Πνεῦμα « Θεοῦ καὶ ἐκ Θεοῦ, διὰ τοῦ ἐπαγαγεῖν, Ἐξέχεεν « ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, σαφῶς ἐδίδαξεν ὡς περὶ « τοῦ Πατρὸς κἀκεῖνα λέγει. »

Ἀντίῤῥησις.

Τὸ μὲν νοεῖν καὶ ἑρμηνεύειν ἀεὶ τὸ, ἐκ Θεοῦ ὡς « ἐκ τοῦ Πατρὸς, » κάλλιστόν ἐστι καὶ πάνυ εὐσεβές· σημειωτέον δὲ καὶ ὅπως ὁ πόλυς τὰ θεῖα Βασίλειος ἐν τῇ ἤδη ῥηθείσῃ περικοπῇ τὸν ἐκ Θεοῦ πηγασμὸν τοῦ Πνεύματος ἐνυπόστατον εἴρηκεν. Ὁ γὰρ τοῦτο σημειωσάμενος εὐχερῶς διαγνώσεται ὡς τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ πηγάζον ἐνυποστάτως πηγάζει, ὡς δι' αὐτοῦ ὑπάρχον ἐκ τοῦ Πατρός. Τί γὰρ ἂν ἄλλο εἴη πηγασμὸς ἐνυπόστατος ὅτι μὴ φυσική τις ὕπαρξις καὶ οὐσιώδης ;

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας λβ' Ψαλμοῦ εἰς τὸ ῥητὸν τὸ φάσκον, « Τῷ Λόγῳ τοῦ Θεοῦ οἱ οὐ- « ρανοὶ ἐστερεώθησαν. »

ιη'. « Ὡς οὖν ὁ δημιουργὸς Λόγος ἐστερέωσε τὸν « οὐρανὸν, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, ὃ παρὰ « τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τοῦ στό-

Digitized by Google Распознавание текста ABK/FR

« ματος αὐτοῦ ἵνα μὴ τῶν ἔξωθέν τι καὶ τῶν κτι- A
« σμάτων αὐτὸ κρίνῃς, ἀλλ' ὡς ἐκ Θεοῦ ἔχον τὴν
« ὑπόστασιν δοξάζῃς. »

Ἐπιστασία.

« Ὁρᾷς κἀνταῦθα, πῶς ἐκ τοῦ Πατρὸς εἰπὼν
« ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἐκ τοῦ Θεοῦ ἔχειν αὐτὸ
« τὴν ὑπόστασιν διδάσκει ὁ πολὺς οὗτος τὰ θεῖα
« Πατήρ; Τούτῳ τοίνυν ἀκολουθῶν, ἔνθα ἐκ Θεοῦ
« τὸ Πνεῦμα ἀκούεις, ἐκ τοῦ Πατρὸς νόει. »

Ἀντίῤῥησις.

Δεῖ μὲν ὁρᾷν ὅτι παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι
τὸ Πνεῦμα ὁ ἅγιος ἔφη· δεῖ δὲ ὁρᾷν καὶ ὅτι ἐπήγαγε,
« τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ. » Τοῦ γὰρ
Μονογενοῦς στόματος ὄντος τοῦ Πατρὸς, ὡς πολ- B
λοὶ τῶν ἁγίων διετράνωσαν, ὁ λέγων παρὰ τοῦ
Πατρὸς, τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ ἐκπο-
ρεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, τί ἄλλο ἢ ὅτι ἐξ ἀμ-
φοῖν εἶναι τὸ Πνεῦμα ὁμολογεῖ; Καὶ τὸ ἐκ Θεοῦ δὲ
ἔχειν αὐτὸ τὴν ὑπόστασιν ὡς ἐκ πρώτης αἰτίας καὶ
ἀρχῆς, καὶ ἐκ τοῦ Υἱοῦ δὲ πηγάζειν ἐνυποστάτως,
ὡς διὰ τοῦ Υἱοῦ πηγάζον ἐκ τῆς πρώτης αἰτίας καὶ
ἀρχῆς, οὐδέν τι διαφέρον ἐστίν.

Τοῦ αὐτοῦ ἐκ τῆς μ' ὁμιλίας τῶν Ἠθικῶν.

ιθ'. « Οὔτε οὖν ἀλλότριον τῆς Θεοῦ δόξης τὸ
« Πνεῦμα, ἐκ τοῦ ἀῤῥήτου στόματος ἀῤῥήτως πε-
« φηνὸς, οὔτε αὐτὸς ὁ Θεὸς, ἀλλὰ Θεοῦ Πνεῦμα καὶ
« παρὰ Θεῷ, ἀποστελλόμενον δὲ παρὰ Θεοῦ, καὶ
« δι' Υἱοῦ χορηγούμενον, ὡς λέγεται μὲν ἐκ τοῦ
« Πατρικοῦ προσώπου, « Τὸ Πνεῦμα τὸ ἐμὸν, ὅ C
« ἐστιν ἐπὶ σοί· » λέγεται δὲ ὑπὸ τοῦ Κυρίου ὅτι
« Παράκλητον πέμψω ὑμῖν, » ὄντινα καὶ καλεῖ τὸ
« Πνεῦμα τῆς ἀληθείας. »

Ἐπιστασία.

« Τὰ αὐτὰ τῇ προλαβούσῃ περικοπῇ καὶ ἡ παρ-
« οῦσα διδάσκει σε. Ὡς γὰρ ἐκείνη ἐκ τοῦ Πα-
« τρὸς, ἤτοι ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεσθαι
« τὸ Πνεῦμα ἐδίδαξεν, οὕτω καὶ αὕτη, ἐκ τοῦ ἀῤῥήτου
« στόματος, ἀῤῥήτως αὐτὸ πεφηνέναι δογματίζει.
« Μάνθανε δὲ καὶ διὰ ταύτης τὸ, παρὰ Θεοῦ, ἀντὶ
« τοῦ, παρὰ τοῦ Πατρὸς, ἐκλαμβανόμενον. »

Ἀντίῤῥησις.

Ἀληθές. Ὡς γὰρ ἡ προλαβοῦσα περικοπὴ παρα
τοῦ Πατρὸς ἐκπορεύεσθαι, τουτέστιν ἐκ τοῦ στόμα-
τος αὐτοῦ, τὸ Πνεῦμα διδάσκουσα, ἐξ ἀμφοῖν εἶναι
αὐτὸ προδήλως παρέστησεν, ἅτε τοῦ Μονογενοῦς
στόματος ὄντος τοῦ Πατρός· οὕτω καὶ ἡ μετ' ἐκείνην
τὸ οὐκ ἀλλότριον τοῦ Θεοῦ Πνεῦμα ἀῤῥήτως πεφη-
νὸς ἐκ τοῦ ἀῤῥήτου στόματος λέγουσα, τὰ αὐτὰ
ἐκείνῃ διατετράνωκεν. Πλὴν ἐπισκοπεῖν δεῖ, καὶ
ὅπως ἐν τῇ ἤδη ῥηθείσῃ περικοπῇ, κοινὸν Πατρὶ
καὶ Υἱῷ ὁ ἅγιος τὸ Πνεῦμα δεδήλωκε κατὰ τὸ ἀπο-
στέλλεσθαι μὲν αὐτὸ παρὰ τοῦ Πατρὸς, χορηγεῖσθαι
δὲ διὰ Υἱοῦ. Τοῦτο γὰρ προδήλως παρίστησιν ἐν τῷ
ἐπάγειν, « Ὡς λέγεται μὲν ἐκ τοῦ πατρικοῦ προσ-
ώπου, Τὸ Πνεῦμα τὸ ἐμὸν, ὅ ἐστιν ἐπὶ σοί, λέγεται
καὶ ὑπὸ τοῦ Κυρίου ὅτι Παράκλητον πέμψω ὑμῖν. »

« aut creaturam esse reputes, sed uti ex Deo suam
« habentem hypostasim glorifices. »

Animadversio.

« Videsne hic etiam, cum dixisset, Spiritum ex
« Patre procedere, ex Deo illum habere hyposta-
lium, non ut comprobet, non exsistere ex Filio Spiritum in posita pericope dixisse: « Ex Patre procedere edocti, illum ex Deo esse confitemur, » sed ut declararet, undenam et ex quo evangelico dicto Patribus theologis in mentem venerit dicere, ex Patre Spiritum habere exsistentiam.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὰς Κανονικὰς ἐπιστολῆς.

κθ'. « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον Πατρὶ μὲν καὶ « Υἱῷ συναριθμεῖται, διότι καὶ ὑπὲρ τὴν κτίσιν « ἐστὶν, τέτακται δὲ τρίτον, ὡς καὶ ἐν Εὐαγγελίοις « δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος, « Πορευ- « θέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ « τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. « Ὃς δὲ προτι- « θεὶς Υἱοῦ, ἢ πρεσβύτερον λέγων Πατρὸς, οὗτος « ἀνθίσταται μὲν τῇ τοῦ Θεοῦ διαταγῇ, ἀλλότριος « δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὢν παράλογος δόξο- « λογίας τρόπον φυλάττων, ἀλλ' ἑαυτῷ κένοφωνίας « εἰς ἀρέσκειαν ἀνθρώπων ἐπινοῶν. Εἰ γὰρ ἀνώτε- « ρον Θεοῦ, οὐκ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερόν ἐστι « τοῦ ἐξ οὗ ἐστι ; Τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος « τοῦ ἀγεννήτου, ἄλλο τι λέγειν τοῦ ἀγεννήτου ἀνώ- « τερον; ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον. Οὐδὲν « γὰρ μέσον Υἱοῦ καὶ Πατρός. Εἰ δὲ μή ἐστιν ἐκ « Θεοῦ, διὰ Χριστοῦ δέ ἐστιν, οὐδ' ἔστι τὸ παράπαν « ὅπως ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς « ὑπάρξεως ἀθετήσιν ἔχει, καὶ ὅλης τῆς πίστεως « ἐστιν ἄρνησις.

Ejusdem ex epistola ad Canonicas.

29. « Spiritus autem sanctus cum Patre et Filio « annumeratus, supra omnem consistit creaturam, « locum vero tertium obtinet, quemadmodum nos « docet in Evangelio Dominus, « Euntes baptizate « in nomine Patris, et Filii et Spiritus sancti [n], » « Qui præposuerit illum Filio, vel Patre dixerit an- « tiquiorem esse, resistit iste Dei ordinationi, et a « sana fide alienus aberrat, dum non inviolatum « conservat illum ordinem glorificationis, quem « accepit traditum, sed ut placere possit homini- « bus, verborum sibi adinvenit novitates. Nam si « Deo subsistat superior, nequaquam potest ex « Deo esse. Scriptum est enim : Spiritus autem ex « Deo est; quod si ex Deo sit, antiquior esse Deo, « qui potest, ex quo est? Quæ est autem et illa in- « sania, cum unus omnino sit ingenitus, alium affir- « mare ingenito superiorem esse? imo nec priorem « quidem Unigenito, cum inter Filium sit et Pa- « trem nihil intermedium : quodsi ex Deo non « consistit, per Christum autem est, certe omnino « non est : usque adeo hæc de ordine innovatio, « ipsius exsistentiæ annihilationem, et fidei totius « abnegationem habet. »

Ἐπιστασία.

« Ἀκούεις πῶς πανταχοῦ ὁ ἅγιος τὸ, ἐκ τοῦ Θεοῦ, « ἐπὶ τοῦ Πατρὸς ἐκλαμβάνεται ; Τοῦτο γὰρ κἀν- « ταῦθα σαφῶς παρίστησιν εἰπών· Ἀλλ' οὐδὲ τοῦ « Μονογενοῦς πρότερον· κατὰ ταὐτὸν δὲ διὰ τῶν « τοιούτων καὶ τὴν ἐκ τοῦ Πατρὸς ὕπαρξιν τοῦ « Πνεύματος, οὐ μὴν ἐκ τοῦ Μονογενοῦς διδά- « σκει. »

Animadversio.

« Audisne locis in omnibus sanctum illud, ex « Deo, de Patre assumere? Hoc etiam hic quoque « confirmat, cum dicit : Sed neque Unigenito prio- « rem, et eodem ipso tempore per hæc et Spiritus « exsistentiam ex Patre, non autem ex Unigenito « edocet. »

Ἀντίῤῥησις.

Κακῶς κἀνταῦθα τὴν σὴν ἐσοφίσω ἐπιστασίαν. Λέγεις γὰρ ὡς ὁ ἅγιος εἰπὼν, ἀλλὰ οὐδὲ τοῦ Μονογενοῦς πρότερον, σαφῶς παρίστησι τὸ ἐκ τοῦ Θεοῦ ἐπὶ τοῦ Πατρὸς λαμβάνεσθαι. Κατὰ ταυτὸν δὲ διὰ τῶν τοιούτων διδάσκει καὶ τὴν ἐκ τοῦ Πατρὸς ὕπαρξιν τοῦ Πνεύματος, οὐ μὴν ἐκ τοῦ Μονογενοῦς. Καὶ σὺ μὴν ταῦτα. Ἀληθῶς δὲ τὸ, Ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον καὶ τὸ, Οὐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρὸς, καὶ τὸ, Τετάχθαι τρίτον τὸ Πνεῦμα, σύστασιν φέρουσιν ἀκριβῆ, τοῦ θεολογικωτάτου Νύσσης τεθεολογηκότος, « Προεπινοεῖσθαι μὲν τὸν Πατέρα τοῦ Υἱοῦ τῷ τῆς αἰτίας λόγῳ, προθεωρεῖσθαι δὲ τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν τῆς αἰτίας λόγον, » ἅπερ πάντα ἐμφαίνουσι, τὸ διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Τοῦτο γοῦν ἐκ τὸ, Ἀπὸ τῶν διειλημένων τῇ ῥηθείσῃ περικοπῇ ἐμφαινόμενον, οὐ μὴν, ὡς αὐτὸς ἔφης, ὅτι διὰ

Refutatio.

Malè hic quoque tuam animadversionem comminisceris. Namque dicis, cum sanctus dicat, Sed neque Unigenito priorem, aperte confirmare illud, ex Deo, de Patre assumi; et eodem ipso tempore per hæc edocere ex Patre Spiritus exsistentiam, non autem ex Unigenito. Et tu quidem hæc. Verumtamen illud vere, Sed neque Unigenito priorem, et illud, Nullum enim inter Filium et Patrem medium est, et Spiritum tertio loco collocari, apprime confirmant sententiam in rebus theologicis tradendis maximi Nysseni, decernentis, « Filium Patre præintelligi, ratione causæ, et præconsiderari Spiritus hypostasi Filium secundum rationem causæ, » quæ omnia demonstrant, per Filium ex Patre esse Spiritum. Et hoc quidem est, quod ex his, quæ in prædicta pericope comprehenduntur, demonstratur, non ut tu asseris, per hæc Sanctum ex Patre Spiri-

[n] Matth. xxviii, 19.

Digitized by Google Распознавание текста ABK/FR

tus exsistentiam, non autem ex Unigenito edocere.

τῶν τοιούτων ὁ ἅγιος τὴν ἐκ τοῦ Πατρὸς ὑπαρξιν τοῦ Πνεύματος, οὐ μὴν ἐκ τοῦ Μονογενοῦς; διδάσκει.

DICTA THEOLOGI GREGORII.

S. Gregorii Theologi ex secunda Oratione de Pace.

ΡΗΣΕΙΣ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΓΡΗΓΟΡΙΟΥ.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ δευτέρου εἰρηνικοῦ λόγου.

30. « Etenim si Filii, et Spiritus sancti dignitatem confitentes, eos vel principii expertes induceremus, vel ad alterum principium referremus, timendum revera esset, ne Deus contemptu afficeretur, aut Deo contrarium aliquid inveheretur. Cum autem, quantumlibet Filium aut Spiritum extuleris, nunquam tamen eos supra Patrem ponas, nec a causa removeas : verum illuc præclaram generationem et admirabilem processionem referas, percontabor ex te, qui Unigeniti et principii expertis amorem tantopere præ te fers, uter tandem Deum magis contemnat, ipse qui ipsum talium, quales tu inducis, principium constituat, an qui non talium, sed natura et gloria æqualium, et quales doctrina nostra profitetur? An vero tibi ad honorem amplum, atque adeo amplissimum erit, quod filium habeas, idque eo magis si patrem in omnibus rebus referat, verumque genitoris sui simulacrum gerat, tibique sexcentis servis imperare minus jucundum futurum est, quam unius filii parentem esse : Deo autem quidpiam majus ac præstabilius erit, quam Filii Patrem esse, quod quidem gloriæ accessio est, non decessio, quemadmodum et Spiritus productorem esse? An te illud fugit, cum Deum, Filii, ac Spiritus, velut creaturarum principium statuis, nec principium abs te honorari, et quæ ex eo manant, ignominia affici, illud quia vilium et exiguorum, ac deitate indignorum principium constituis, hæc quia parva, nec creata tantum, sed omnium etiam quæ creata sunt, contemptissima et abjectissima facis : siquidem horum causa, et aliquando condita sunt, non secus ac instrumenta ab artifice, quæ ante artifices non erant, nec alias exstitissent, nisi quid eorum opera Deus creare voluisset, perinde videlicet ac voluntas ipsa nequaquam sufficeret? Quidquid enim alicujus rei gratia factum est, abjectius est eo, propter quod factum est. At ego deitatis principium temporis expers, inseparabile atque infinitum statuens, et principium et ea, quæ a principio manant, pari honore prosequor : illud quia talium est principium, hæc quia tali modo, et talia, et ex tali, nec tempore, nec natura, nec cultu, et veneratione distincta, unum divisim exsistentia, et conjunctim divisa, dictu licet mirum, non minus ob relationem, quam inter se habent, laudanda, quam unumquodque per se acceptum, et intellectum, perfectam ex tribus perfectis Trinitatem, unitate nimirum ob divitas deitas supra materiam et formam sit, ex quibus mota, binario autem superato, propterea quod corpora constant : Trinitate vero propter perfectionem definita. »

Α'. Εἰ μὲν γὰρ ἐμέλλομεν Υἱοῦ καὶ Πνεύματος τὴν ἀξίαν ὁμολογοῦντες, ἢ ἄναρχα ταῦτα εἰσάγειν, ἢ εἰς ἑτέραν ἀρχὴν ἀνάγειν, δέος ἂν ἦν ὄντως μὴ ἀτιμασθῇ Θεὸς, ἢ κινδυνεύσῃ παρ' ἡμῶν τὸ ἀντίθεον· εἰ δὲ ὅσον ἂν ἐξάρῃς τὸν Υἱὸν ἢ τὸ Πνευμα, οὐχ ὑπὲρ τὸν Πατέρα θήσεις, οὐδὲ τῆς αἰτίας ἀποξενώσεις, ἀλλ' ἐκεῖσε ἀνοίσεις τὸ καλὸν γέννημα καὶ τὴν θαυμασίαν πρόοδον, προσερήσομαί σε, ὦ λίαν φιλαγέννητε σὺ καὶ φιλάναρχε, πότερος ἀτιμάζει Θεὸν μᾶλλον, ὁ τοιούτων τιθεὶς ἀρχὴν, οἵων αὐτὸς εἰσάγεις, ἢ ὁ μὴ τοιούτων, ἀλλ' ὁμοίων τὴν φύσιν καὶ ὁμοδόξων, καὶ οἷων ὁ ἡμέτερος βούλεται λόγος; Ἀλλὰ σοὶ μὲν εἰς τιμὴν μέγα, καὶ μέγιστον ὁ σὸς υἱὸς, καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν τὰ πάντα πατρώζῃ, καὶ χαρακτὴρ ᾖ γνήσιος τοῦ γεννήσαντος, καὶ οὐκ ἂν δέξαιο μυρίων ἀνδραπόδων εἶναι μᾶλλον δεσπότης ἢ ἑνὸς γεννήτωρ παιδός· τῷ Θεῷ δὲ ἄλλο τι μεῖζον, ἢ Υἱοῦ τυγχάνειν Πατέρα, ὃ προσθήκη δόξης ἐστὶν, οὐχ ὑφαίρεσις, ὡς δὲ καὶ προβολέα Πνεύματος; Ἢ ἀγνοεῖς ὅτι σὺ μὲν κτισμάτων τιθεὶς ἀρχὴν τὴν ἀρχὴν, λέγω δὲ Υἱοῦ καὶ Πνεύματος, οὔτε τὴν ἀρχὴν τιμᾷς, καὶ ἀτιμάζεις τὰ ἐξ αὐτῆς, τὴν μὲν, ὅτι μικρῶν εἰσάγεις ἀρχὴν καὶ ἀναξίων θεότητος, τὰ δὲ, ὅτι μικρὰ καὶ μὴ κτίσματα μόνον, ἀλλὰ καὶ πάντων κτισμάτων ποιεῖς ἀτιμότερα, εἴγε τούτων ἕνεκεν ὑπέστη καὶ ποτε ὥσπερ ὄργανα τεχνίτῃ πρὸ τῶν τεχνητῶν πρότερον οὐκ ὄντα, οὐδ' ἂν ἄλλως γενόμενα, εἰ μή τι κτίσαι δι' αὐτῶν ἠβουλήθη Θεὸς, ὡς οὐκ ἀρκοῦντος τοῦ βούλεσθαι; Πᾶν γὰρ, ὅ τινος ἕνεκεν, ἀτιμότερον δι' ὃ γεγένηται. Ἐγὼ δὲ θεότητος, ἀρχὴν εἰσάγων ἄχρονον, καὶ ἀχώριστον, καὶ ἀόριστον, τήν τε ἀρχὴν τιμῶ, καὶ τὰ ἐκ τῆς ἀρχῆς ἐπίσης· τὴν μὲν, ὅτι τοιοῦτων ἀρχὴν, τὰ δὲ, ὅτι οὕτω καὶ τοιαῦτα ἐκ τοῦ τοιούτου, μήτε τῷ ποτὲ, μήτε τῇ φύσει, μήτε τῷ σεπτῷ διειργόμενα, ἓν ὄντα διῃρημένως, καὶ διαιρούμενα συνημμένως, εἰ καὶ παράδοξον τοῦτο εἰπεῖν οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἢ καθ' ἑαυτὸ ἕκαστον νοούμενόν τε καὶ λαμβανόμενον, Τριάδα τελείαν ἐκ τελείων τριῶν μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης. Ὑπὲρ γὰρ τὴν ὕλην καὶ τὸ εἶδος ἐξ ὧν τὰ σώματα, Τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον. »

Animadversio.

« Videsne etiam, qui profunda Spiritus investigavit, et post dilectum illum, et qui in pectus

Ἐπίστασις

« Ὁρᾷς καὶ τὸν τὰ βάθη τοῦ Πνεύματος ἐρευνήσαντα, καὶ μετὰ τὸν ἐπιστήθιον καὶ ἠγαπημένον

Digitized by Google Распознавание текста ABBYY FR

« μαθητὴν τὸν Θεολόγος ἐπωνυμίαν κληρωσάμενον A « recubuit discipulum, ex theologia sibi nomen
« ἅγιον, πῶς διὰ τῆς ὅλης περικοπῆς ταύτης διδάσ- « ascivit, Patrem, uti per universam hanc perico-
« κει, τὴν ἐκ τοῦ Πατρὸς τοῦ ἁγίου Πνεύματος « pem docet ex Patre Spiritus sancti exsisten-
« ὑπαρξιν, ἐν οἷς ποτὲ μὲν λέγει περὶ τοῦ Υἱοῦ καὶ « tiam, dum nunc dicit de Filio et Spiritu; super
« τοῦ Πνεύματος ὡς Οὐχ ὑπὲρ τὸν Πατέρα θήσεις, « Patrem ne ponas, neque a causa removeas, ve-
« οὐδὲ τῆς αἰτίας ἀποξενώσεις, ἀλλ' ἐκεῖσε ἀνοίσεις τὸ « rum illuc præclaram generationem, et admira-
« καλὸν γέννημα, καὶ τὴν θαυμασίαν πρόοδον ἐντεῦθεν « bilem processionem referas, quibus Patrem
« τὸν Πατέρα καὶ ἀμφοτέρων τοῦ τε Υἱοῦ, καὶ τοῦ « utriusque, Filii nempe et Spiritus pal.m aperte-
« Πνεύματος κηρύττων φανερῶς αἴτιον, καὶ τοῦ « que causam, et hujus quidem productorem, il-
« μὲν γεννήτορα, τοῦ δὲ προβολέα· ποτὲ δὲ, ἐν οἷς « lius parentem publicat; nunc vero, cum Pa-
« ἀρχὴν τὸν Πατέρα δοξάζει, ὁμοτίμων καὶ ὁμοδόξων· « trem principium constituit eorum, qui pari ho-
« πάλιν ἐν οἷς προσθήκην δόξης εἶναι λέγει τῷ Πατρὶ τὸ « nore et gloria prædita sunt : necnon etiam,
« Πατέρα τοῦτον εἶναι Υἱοῦ, καὶ προβολέα « cum accessionem gloriæ Filii Patrem esse et
« Πνεύματος· καὶ αὖθις ἐν οἷς καὶ ἀμφοτέρων « productorem Spiritus nuncupat : tandemque
« ἀρχὴν τὸν Πατέρα καλεῖ; » « cum utriusque principium Patrem fatetur? »

B

Ἀντίῤῥησις.

Ἡ παροῦσα ἐπιστασία οὐδέν τι συντείνον ἔχει πρὸς τὸν σκοπὸν, δι' ὃν ὁ κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐσπούδασταί σοι ἀγών. Τί; γὰρ τῶν ταύτης τροφίμων οὐ πλατεῖ κηρύττει τῷ στόματι ὡς ἀμφοτέρων, Υἱοῦ τε καὶ Πνεύματος δηλαδὴ, αἴτιος ὁ Πατήρ; Ἀλλ' οὐκ ἐντεῦθεν τὸ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα, τοῦτο δὴ τὸ τοῦ ἀγῶνός σοι σκοπιμώτατον, διαγνωσθήσεται. Εἰ μὲν γὰρ ἀδιάφορον αἴτιον Υἱοῦ καὶ Πνεύματος ἦν ὁ Πατὴρ ἦν ἂν τὸ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα παντάπασιν ἀναμφίβολον· ἐπεὶ δὲ διάφορόν ἐστιν αἴτιον ὁ Πατὴρ, ἡ δὲ διαφορὰ τῆς αἰτίας ἐκ τῆς διαφόρου προόδου τῶν ἐκεῖθεν αἰτιατῶν κατὰ τὴν τοῦ Νύσσης ἐπιλογίαν διασάφησιν· « Τὸ μὲν γάρ ἐστι προσεχῶς C ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· » ἀληθέστατόν ἐστι καὶ τὸν Πατέρα αἴτιον εἶναι Υἱοῦ τε καὶ Πνεύματος, καὶ τὸ Πνεῦμα μὴ ἐκ μόνου τοῦ Πατρὸς εἶναι, τὸ διὰ τὸ τὸν μὲν Υἱὸν προσεχῶς ἐκ τοῦ αἰτίου Πατρὸς εἶναι, τὸ δὲ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκ τοῦ αἰτίου ἐκπορεύεσθαι προβολέως. »

Refutatio.

Hæc plane animadversio nihil facit ad rem, de qua agimus, et ob quam tibi adversus Romanam Ecclesiam certamen susceptum est. Quis enim ex illius alumnis non aperto ore prædicat, utriusque, Filii nempe et Spiritus, esse causam Patrem? Non tamen inde ex solo Patre spiritum esse, quod certaminis per te initi potissimus scopus est quispiam colliget. Namque si indifferens causa Pater esset Filii et Spiritus, esset utique absque ullo dubio ex solo Patre Spiritus : at cum diversa ac differens causa sit Pater, et causæ differentia ex modo productionis eorum, quæ inde manant, secundum Gregorii Nysseni theologicam explanationem pendeat, « Quod hoc quidem sit continue ex primo, hoc vero per id quod continue est, ex primo, » verissimum est Patrem causam esse et Filii et Spiritus, et Spiritum non ex solo Patre esse, quod Filius continue ex Patre causa est Spiritus vero per Filium ex causa productrice procedit.

Τοῦ αὐτοῦ, ἀπὸ τοῦ « Πάλιν Ἰησοῦς ὁ ἐμός. »

ΛΑ'. « Πατὴρ ὁ Πατὴρ καὶ ἄναρχος. Οὐ γὰρ ἔκ τι- « νος, Υἱὸς ὁ Υἱὸς καὶ οὐκ ἄναρχος. Ἐκ τοῦ Πα- « τρὸς γάρ. Εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνεις ἀρχὴν, « καὶ ἄναρχος. Ποιητὴς γὰρ χρόνων. Πνεῦμα ἅγιον « ἀληθῶς τὸ Πνεῦμα, προῖὸν μὲν ἐκ τοῦ Πατρὸς, D « οὐχ υἱϊκῶς δέ· οὐ γὰρ γεννητῶς, ἀλλ' ἐκπο- « ρευτῶς. »

Ejusdem ex oratione, quæ incipit : « Rursus Jesus meus. »

XXXI. « Pater Pater est, et principii expers : « neque enim ex alio est. Filius Filius est, et non « principii expers : ex Patre siquidem est. Quod si « temporis principium accipis, principio etiam ca- « ret. Neque enim temporum effector tempori « subest. Spiritus sanctus vere Spiritus est, pro- « manans quidem ex Patre, non tamen filiationis, « ut nec generationis modo, sed processionis. »

Ἐπίστασις.

« Ὁ ἐν τῇ ἀνωτέρω περισκοπῇ ποικίλως δι' ἄλ- « λων καὶ ἄλλων λέξεων διδάσκει ὁ ἅγιος, φανερῶς « ἐνταῦθα τοῦτο παρίστησιν. »

Animadversio.

« Quod superiori pericope aliis atque aliis ver- « bis varie sanctus edocet, hac apertissime ante « oculos ponit. »

Ἀντίῤῥησις.

Ἔτι σαφέστερον ὁ ἅγιος ἐνταῦθα παρίστησι τὸ μὴ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα. Εἰπὼν γὰρ Πνεῦμα ἅγιον ἀληθῶς τὸ Πνεῦμα, προῖὸν μὲν ἐκ τοῦ Πατρὸς, οὐχ υἱϊκῶς δὲ, οὐ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς, ἐδίδαξε καθαρῶς ὡς τὸ προΐναι τὴν ὕπαρξιν καὶ ἀμφοτέρων τῶν προερχομένων

Refutatio.

Planius certe hic sanctus ante oculos ponit, non ex solo Patre spiritum esse. Nam cum dixisset Spiritum sanctum esse vere spiritum, promanantem quidem ex Patre, non filiationis; ut nec generationis modo, sed processionis, manifesto docuit, simili processione eorum, qui procedunt, exsisten-

Digitized by Google Распознавание текста АВК/FR

tiam indicari, cum familiari utriusque proprietate, adeo ut ubicunque de Spiritu promanare enuntiatur, detur audienti intelligi, modo processionis illum promanare : et ubicunque de Filio, statim audiens addiscat, eum modo filiationis promanare. Et quisnam ex hac sola doctrina non percipiet, nullo modo a Romana Ecclesia pietatem vulneratam fuisse, innumeris in locis audiens, Spiritum sanctum ex Patre, et Filio promanare? Neque enim dicet quispiam ex Patre modo processionis illum promanare, ex Filio vero, amissa processionis proprietate promanare filiationis, et generationis modo. Namque nomen Spiritus appositum, proprietatem nomini præscriptam prorsus præ se tulerit, nec unquam amiserit. Nam ut cum ipso Theologo loquar : « Quomodo proprietas manebit si movetur et decidit? »

A δηλοῖ μετὰ τῆς οἰκείας ἑκάστῳ αὐτῶν ἰδιότητος· ὡς ὅπου ἂν τὸ προϊέναι ἐπὶ τοῦ Πνεύματος λέγοιτο, ἐπίστασθαι τὸν ἀκούοντα παρευθὺς ὡς ἐκπορευτῶς ἐστιν αὐτὸ προϊόν· καὶ ὅπου ἂν τὸ πρoϊέναι ἐπὶ τοῦ Υἱοῦ λέγοιτο, ἐπίστασθαι τὸν ἀκούοντα παρευθὺς ὡς γεννητῶς ἐστιν αὐτὸς προϊών. Καὶ τίς οὐκ ἂν ἐκ μόνης τῆς παρούσης θεολογίας διαγνοίη μηδέν τι τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν προσκεκρουκέναι τῇ εὐσεβείᾳ, μυριαχοῦ τῶν θείων Γραφῶν, ἐκ Πατρὸς καὶ Υἱοῦ προϊὸν ἀκούων τὸ Πνεῦμα τὸ ἅγιον ; Οὐκ ἂν γάρ τις ἐρεῖ ὡς ἐκ μὲν τοῦ Πατρὸς ἐκπορευτῶς αὐτὸ πρόεισιν, ἐκ δὲ τοῦ Υἱοῦ τὴν ἐκπορευτικὴν αὐτοῦ ἀποβαλλόμενον ἰδιότητα, πρόεισιν υἱϊκῶς τε καὶ γεννητῶς. Τὸ γὰρ τοῦ Πνεύματος λαχὸν ὄνομα τὴν ἀφορισθεῖσαν ἰδιότητα τῷ ὀνόματι πάντως ἀναπόβλητον ἕξει · ἐπεί, κατὰ τὸν αὐτὸν Θεολόγον εἰπεῖν « Πῶς ἂν ἰδιότης μείνῃ κινουμένη καὶ μεταπίπτουσα ; »

B

Ejusdem ex oratione, cujus principium est : « Quoniam heri splendidum luminum diem. »

XXXII. « Cupio Patrem majorem dicere, ex quo « id æquales habent, quod æquales sunt : hoc « enim ab omnibus mihi concedetur. Verum prin- « cipium vereor, ne minorum principium illud fa- « ciam ac per hujusmodi prælationem contumelia « afficiam. Neque enim Patri gloria est, eorum quæ « ex ipso sunt depressio. »

Τοῦ αὐτοῦ ἀπὸ τοῦ, « Χθὲς τῇ λαμπρᾷ τῶν φώτων. »

ΛΒ'. « Θέλω τὸν Πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ « τὸ ἴσοις εἶναι τοῖς ἴσοις ἐστὶ καὶ τὸ εἶναι · τοῦτο « γὰρ παρὰ πάντων δοθήσεται. Καὶ δέδοικα τὴν « ἀρχὴν, μὴ ἐλαττόνων ἀρχὴν ποιήσω, καὶ καθ- « υβρίσω διὰ τῆς προτιμήσεως. Οὐ γὰρ δόξα τῷ ἐξ « οὗ ἡ τῶν ἐξ αὐτοῦ ταπείνωσις. »

Animadversio.

« Hæc quoque pericope primæ prorsus similis « est, eadem et ipsa docens, Patrem scilicet « utriusque esse et Filii et Spiritus causam. »

C

Ἐπίστασις.

« Καὶ αὕτη ἡ περικοπὴ τῇ πρώτῃ σχεδὸν ἀπαραλλάκτως τὸ αὐτὸ ἐκείνῃ διδάσκουσα, τὸ τὸν « Πατέρα δηλονότι καὶ ἀμφοτέρων εἶναι τοῦ Υἱοῦ καὶ « τοῦ Πνεύματος αἴτιον. »

Refutatio.

Quando hanc pericopem primæ prorsus similem existimas, quod nec ipse abnuo, satisfuerint ad refutandam dictam animadversionem, quæ pro primæ animadversionis refutatione in superiori adduximus.

Ἀντίῤῥησις.

Ἐπεὶ τὴν ῥηθεῖσαν περικοπὴν τῇ πρώτῃ σχεδὸν ἀπαράλλακτον οἶει, ὅπερ σοι καὶ αὐτὸς σύμφημι, ἀρκέσει λοιπὸν εἰς ἀντίῤῥησιν τῆς ἐπὶ ταύτῃ ἐπιστασίας ἡ προηγησαμένη ἐπὶ τῇ ἐκείνης ἐπιστασίᾳ ἀντίῤῥησις.

Ejusdem ex oratione in Pentecosten.

XXXIII. « Spiritus sanctus semper quidem erat, « et est, et erit, nec ullo ortu generatus, nec « finem habiturus, sed semper cum Patre et Filio « conjunctus, atque connumeratus : nec enim con- « veniebat, ut vel Pater Filio, vel Filius Spiritu « sancto unquam careret. Nam alioqui maximum « divinitati dedecus conflaretur, ut quæ ad perfe- « ctionem tanquam ex pœnitentia venisset. Erat « igitur semper perceptibilis, non participans, per- « ficiens, non ab alio perfectus, explens non « expletus, sanctificans non sanctificatus, deificans « non deificatus, ipse semper, et secum et cum « iis, quibus adjunctus est, idem et æqualis, invi- « sibilis, temporis expers, nullo loco inclusus, « immutabilis qualitate, quantitate, forma et tactu « carens, seipsum movens, ac sempiternum mo- « tum habens, arbitrii liber, per se potens, omnipotens, tametsi ad primam causam, ut omnia « ea, quæ Unigeniti sunt, ita etiam, quæ Spiritus sancti sunt, referantur. »

D

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν Πεντηκοστὴν Λόγου.

ΛΓ'. « Τὸ Πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεὶ, καὶ ἔστι, « καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ « ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον τε καὶ συν- « αριθμούμενον. Οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ « ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. Τῷ μεγίστῳ γὰρ « ἂν ἦν ἀδοξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλ- « θοῦσα εἰς συμπλήρωσιν τελειότητος. Ἦν οὖν « ἀεὶ μεταληπτὸν, οὐ μεταληπτικὸν, πληροῦν, οὐ « πληρούμενον, ἁγιάζον, οὐχ ἁγιαζόμενον, θεοῦν, οὐ « θεούμενον. Αὐτὸ ἑαυτῷ ταυτὸν ἀεὶ, καὶ οἷς συντέ- « ταχται, ἀόρατον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, « ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφὲς, αὐτοκίνητον, αὐτ- « εξούσιον, αὐτοδύναμον, παντοδύναμον, καὶ πρὸς « τὴν πρώτην αἰτίαν, ὥσπερ τὰ τοῦ Μονογενοῦς « ἅπαντα, οὕτω δὴ καὶ τὰ τοῦ Πνεύματος ἀναπέμ- « πεται. »

Digitized by Google Распознавание текста ABK/FR

Ἐπιστασία.

A

« Πρόσχες κἀνταῦθα τῷ ἁγίῳ, αἴτιον τοῦ τε « Υἱοῦ καὶ τοῦ Πνεύματος τὸν Πατέρα διδάσκοντι. »

Ἀντίρρησις.

Ἀλλὰ πρόσχες καὶ τῷ· « Οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. » Διὰ τοῦ Υἱοῦ γὰρ ὁ Θεολόγος συνάπτων τὸ Πνεῦμα, τοὺς δι' Υἱοῦ θεολογοῦντας ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα συνίστησιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας.

ΛΓ'. « Δέον ἕνα Θεὸν Πατέρα γινώσκειν, ἄναρχον « καὶ ἀγέννητον, καὶ ἕνα Υἱὸν γεγεννημένον ἐκ τοῦ « Πατρὸς, καὶ Πνεῦμα ἕν, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, « πραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱῷ δὲ γεννή- « στως· τὰ δ' ἄλλα καὶ συμφυὲς, καὶ σύνθρονον, B « καὶ ὁμόδοξον, καὶ ὁμότιμον. »

Ἐπιστασία.

« Ἀκούων κἀνταῦθα περὶ τοῦ Πνεύματος ὅτι ἐκ « Θεοῦ τὴν ὕπαρξιν ἔχει, τὸ, ἐκ Θεοῦ, πρὸς τὰς « προλαβούσας χρήσεις τῶν λοιπῶν ἁγίων συμβί- « βαζε, καθὼς ἐν πολλαῖς ἐκείνων σαφέστερον ἐπ- « εσημειωσάμεθα. »

Ἀντίρρησις.

Οὐδεὶς ἀκούων περὶ τοῦ Πνεύματος ὅτι ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχει, οὐχὶ ἐκ Πατρὸς νοεῖ, τὸ, ἐκ Θεοῦ. Ἀλλ' οὐδεὶς πάλιν τὴν ἀλήθειαν παντὸς προτιθέμε- νος τοῖς λέγουσι, δι' Υἱοῦ ἐκ Πατρὸς αὐτὸ τὴν τοιαύ- C τὴν ὕπαρξιν ἔχειν, ἀντιλέξειεν ἄν. Οὐδὲ γὰρ ἐναντία ταῦτα καὶ ἀλλήλοις μαχόμενα, διὰ τὸ πᾶν τὸ δι' Υἱοῦ καὶ παρὰ Υἱοῦ, καὶ ἐξ Υἱοῦ λεγόμενον εἶναι εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα τὴν ἀναφορὰν ἔχειν.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Υἱοῦ πρώτου λόγου.

ΛΔ'. « Ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον. Μοναρ- « χία δὲ, οὐχ ἣν ἐν περιγράφει πρόσωπον. Ἔστι γὰρ « καὶ τὸ ἕν, στασιάζον πρὸς ἑαυτὸ, πολλὰ καθίστα- « σθαι, ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι, καὶ « γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως, καὶ « πρὸς τὸ ἕν τῶν ἐξ αὐτοῦ σύννευσις, ὅπερ ἀμή- « χανον ἐπὶ τῆς γεννητῆς φύσεως, ὥστε κἂν ἀριθμῷ « διαφέρῃ, τῇ γε οὐσίᾳ μὴ τέμνεσθαι. Διὰ τοῦτο « μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριά- D « δος ἔστη. Καὶ τοῦτό ἐστιν ἡμῖν, ὁ Πατὴρ, ὁ Υἱὸς, « καὶ τὸ ἅγιον Πνεῦμα, ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, « λέγω δὲ ἀπαθῶς καὶ ἀχρόνως καὶ ἀσωμάτως, τῶν « δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα, ἢ οὐκ οἶδ' ὅπως « ἄν τις ταῦτα καλέσειεν, ἀφελὼν πάντη τῶν ὁρω- « μένων. Οὐ γὰρ δὴ ὑπάρχουσιν ἀγαθότητος εἰπεῖν « θαρρήσομεν, ὃ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων « εἰπεῖν τις ἐτόλμησεν, οἷον κρατήρ τις ὑπερρύη « σαφῶς οὕτωσι λέγων, ἐν οἷς περὶ πρώτου αἰτίου « καὶ δευτέρου φιλοσοφεῖ. Μήποτε ἀκούσιον τὴν « γέννησιν εἰσαγάγωμεν, καὶ οἷον περίττωμά τι « φυσικὸν καὶ δυσκάθεκτον, ἥκιστα ταῖς περὶ « θείότητος ὑπονοίαις πρέπον. Διὰ τοῦτο ἐπὶ τῶν « ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσ-

Animadversio.

« Nota ex his quoque, sanctum Filii et Spiritus « causam Patrem profiteri. »

Refutatio.

Verum nota tu illa : « Nec enim conveniebat, ut vel Pater Filio, vel Filius Spiritu sancto careret. » Per Filium enim Theologus Patri Spiritum conjungens, eos qui per Filium ex Patre Spiritum esse decernunt, confirmat.

Ejusdem ex orat. de moderatione in disputationibus servanda.

XXXIII. « At qui unum Deum Patrem agnoscere « oportet, principii expertem, et ingenitum, et « unum Filium ex Patre genitum, et unum Spiri- « tum ex Deo substantiam habentem, hoc solo no- « mine Patri cedentem, quod non ingenitus sit, « hoc item Filio, quod non genitus sit, cætera au- « tem ejusdem omnino naturæ, dignitatis, hono- « ris, gloriæ. »

Animadversio.

« Hic etiam audiens de Spiritu, eum ex Deo « substantiam habere, illud ex Deo cum præce- « dentibus reliquorum sanctorum verbis conferto, « ut in multis explanatius adnotavimus. »

Refutatio.

Nemo de Spiritu audiens ex Deo substantiam habere, illud ex Deo de Patre non intelligat. Sed nemo rursus, qui veritatem rebus aliis præponit, asserentibus, per Filium ex Patre eum similem substantiam habere, contradicet : neque enim hæc contraria sunt, nec sibi invicem pugnant, quod, qui per Filium, et a Filio, et ex Filio dicitur esse, in primam causam Patrem relationem habet.

Ejusdem ex oratione prima de Filio.

XXXIV. « At nos unius Dei principatum coli- « mus. Unius autem principatum dico, non quem « persona una circumscribit, fieri enim potest, ut « quod unum est, si a seipso dissideat, secumque « discordet, multa fiat, sed quem æqualis naturæ « dignitas constituit, et voluntatis consensio, « motusque identitas, atque ad unam, et eamdem « rem, eorum quæ ex ipso sunt conjuncta pro- « pensio, id quod in rebus procreatis fieri nequit, « ita ut etiam si numero differant, potentia tamen « minime inter se dissideant. Quo circa unitas « principio in binarium mota, in trinitate consti- « tit. Atque hoc nobis est Pater, et Filius, et Spi- « ritus sanctus; Pater quidem genitor, et pro- « ductor, citra tamen ullam passionem ac tempus, « atque incorporeo modo : horum autem alter so- « boles, alter processio, aut quibus verbis hæc « quispiam vocare queat, nescio, ab iis, quæ « sub oculorum sensum cadunt, prorsus abstra- « cta. Neque enim bonitatis superfusionem di- « cere audebimus, tametsi quispiam eorum, qui « apud etnicos philosophiæ laude floruerunt, hoc « vocabulo uti non dubitarit, cum de prima et so-

Digitized by Google Распознавание текста АВК/FR

« cunda causa discereret, perspicuis verbis ita « loquens. Velut poculum quoddam superfluxit. « Verendum enim esset, ne coactam quamdam « generationem inveheremus, ac velut naturale « quoddam excrementum retentuque difficile, in « divinitatem minime quadrans. Proinde finibus « nostris nosmet continentes, ingenitum et geni- « tum inducimus, et ex Patre procedentem, ut « quodam loco Deus ipse ac Verbum prænun- « tiavit. Sed quando hæc? inquient. Nimirum hæc « supra quando sunt. Quod si etiam audaciuscule « aliquid dicendum est, tum hæc erant, cum Pater « erat. Quando autem Pater? Nunquam non fuit. « Idem de Filio, idem de Spiritu sancto promptum est dicere. Quod si rursus me interroges, « rursus tibi respondebo. Quando Filius genitus « est? Cum Pater genitus non est. Quando Spiritus processit? Tunc cum Filius non processit, « sed citra tempus ullum, ac supra omnem ratio- « nis humanæ captum genitus est, etiamsi id « quod supra tempus est, declarare cupientes, « temporalem speciem ac significationem fugere « nequeamus. Etenim hæ voces, quando, antehac, « posthac, a principio, temporis neutiquam expertes sunt, quamcunque vim illis inferamus. Nisi « forte ævum accipiamus, hoc est intervallum « nec ullo motu, aut solis cursu, quæ temporis « et Spiritus sanctus Patri æterni sunt, quid « dum et ille sint expertes? Quia ab ipso sunt, « caret, æternum quoque est, quod autem æternum « quandiu ad Patrem velut ad principium et « principio minime carent. Perspicuum est autem « rum causa: neque enim sol lucem tempore « expertes sunt, quamlibet tu verborum larvis « pori subsunt, ea, ex quibus tempus originem

A « ἀγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ Πατρὸς « ἐκπορευόμενον, ὡς πού φησιν αὐτὸς ὁ Θεὸς καὶ « Λόγος. Πότε οὖν ταῦτα; Εἰ δὲ δεῖ τι καὶ νεανικῶς « εἰπεῖν, ὅτε ὁ Πατήρ. Πότε ὁ Πατήρ; Οὐκ ἦν ὅτε « οὐκ ἦν. Τοῦτο οὖν καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ « ἅγιον. Πάλιν ἐρώτα με, καὶ πάλιν ἀποκρινοῦμαί « σοι. Πότε δὲ ὁ Υἱὸς γεγέννηται; Ὅτε ὁ Πατὴρ « οὐ γεγέννηται. Πότε δὲ τὸ Πνεῦμα ἐκπορεύεται; « Ὅτε ὁ Υἱὸς οὐκ ἐκπορεύεται, ἀλλὰ γεγέννηται « ἀχρόνως καὶ ὑπὲρ λόγον, εἰ καὶ μὴ δυνάμεθα τὸ « ὑπὲρ χρόνον παραστῆσαι, θέλοντες χρονικὴν ἐκ- « φυγεῖν ἔμφασιν. Τὸ γὰρ ὅτε, καὶ πρὸ τοῦδε, καὶ « μετὰ ταῦτα, καὶ ἀπ' ἀρχῆς, οὐκ ἄχρονα, κἂν ὅτι « μάλιστα βιαζώμεθα. Πλὴν εἰ τὸ παρεκτεινόμενον « τοῖς ἀϊδίοις διάστημα, τὸν αἰῶνα, λαμβάνοιμεν, « τὸ μὴ κινήσει τινὶ, μήδὲ ἡλίου φορᾷ μεριζόμενον « καὶ μετρούμενον, ὅπερ ὁ χρόνος. Πῶς οὖν οὐ συν- « άναρχα, εἰ συναΐδια; Ὅτι ἐκεῖθεν, εἰ καὶ μὴ μετ' « ἐκεῖνον. Τὸ μὲν γὰρ ἄναρχον καὶ ἀΐδιον, τὸ ἀΐδιον B « δὲ οὐ πάντως ἄναρχον, ἕως ἂν εἰς ἀρχὴν ἀναφέρη- « ται τὸν Πατέρα. Οὐκ ἄναρχα γοῦν τῷ αἰτίῳ. Δῆλον « δὲ τὸ αἴτιον ὡς; οὐ πάντως πρεσβύτερον τῶν ὧν « ἐστιν αἴτιον· οὐδὲ γὰρ τοῦ φωτὸς ὁ ἥλιος· καὶ ἀν- « αρχά πως τῷ χρόνῳ, κἂν σὺ μυρμολύττῃ τοὺς ἁπλου- « στέρους· οὐ γὰρ ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος. »

illud, quod simul cum rebus æternis extenditur, nec ullo motu, aut solis cursu, quæ temporis natura est, definitur. Quid ergo, inquies, si Filius et Spiritus sanctus Patri coæterni sunt, quid afferri potest, quin principii quoque, quemadmodum et ille sint expertes? Quia ab ipso sunt, licet non post ipsum. Quod enim principio caret, æternum quoque est, quod autem æternum est, non protinus quoque, principio vacat, quandiu ad Patrem velut ad principium et originem refertur. Ergo illi quantum ad causam principio minime carent. Perspicuum est autem causam non omnino antiquiorem esse iis, quorum causa: neque enim sol lucem tempore antecedit; quantum autem ad tempus principii expertes sunt, quamlibet tu verborum larvis simpliciores animos territes: nec enim tempori subsunt, ea, ex quibus tempus originem sumpsit. »

Animadversio.

« Considerato diligenter dictiones in hac pericope « comprehensas, et earum sententiam. Quid nempe « colligatur ex illo, atque ad unam et eamdem rem « eorum, quæ ex ipso sunt, conjuncta propensio, « et modis omnibus, ambo Filium et Spiritum ex « uno esse Patre, non autem unum ex duobus: « neque minus et ex illo. Alter quidem genitor et « productor, horum autem alter soboles, alter pro- « cessio: uti et ex illo, ingenitum inducimus, Patrem scilicet, et ex Patre procedentem, Spiri- « tum nempe, necnon et ex illo; ergo illi, quantum « ad causam principio non carent, quod aperte in- « nuit causam. His enim manifesto unum amborum « esse causam, non vero duos unius comprobat. »

Refutatio.

Licet ex supralaudato dicto: « Ad unam et eamdem rem eorum, quæ ex ipso sunt, conjuncta propensio, » colligatur ex uno Patre ambo esse et Filium et Spiritum, attamen ex dicto, « Alter quidem genitor, et productor, horum autem alter soboles, alter processio, » non unam esse simpliciter causam, sed unam eamdemque causam alio atque alio modo causam esse Filii et Spiritus, nemine id ne-

C *Ἐπιστασία.*

« Πρόσεχε συνετῶς καὶ ταῖς ἐν τῇ παρούσῃ περικοπῇ τοῦ ἁγίου λέξεσι καὶ τῇ τούτων ἐννοίᾳ. Τί « δηλονότι συνάγεται ἐκ τοῦ, καὶ πρὸς τὸ ἓν τῶν ἐξ « αὐτοῦ σύνευσις, καὶ πάντως τὸ, καὶ ἄμφω, τόν τε « Υἱὸν καὶ τὸ Πνεῦμα, ἐξ ἑνὸς εἶναι τοῦ Πατρὸς, « οὐ μὴν τὸ ἓν ἐκ τῶν δύο. Τὸ αὐτὸ δὲ πάντως καὶ « ἐκ τοῦ, ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, τῶν δὲ τὸ « μὲν γέννημα, τὸ δὲ πρόβλημα· ὥσπερ καὶ ἐκ τοῦ, « τὸ ἀγέννητον εἰσάγομεν, ἤγουν, τὸν Πατέρα. Τὸ « γεννητὸν, δηλονότι τὸν Υἱὸν, καὶ τὸ ἐκ τοῦ Πατρὸς « ἐκπορευτὸν, τὸ Πνεῦμα δηλαδὴ, καὶ ἐκ τοῦ· οὐκ « ἄναρχα γοῦν τῷ αἰτίῳ, δῆλον δὲ τὸ αἴτιον. Σαφῶς « γὰρ ἐντεῦθεν παρίστησι τὸν ἕνα καὶ ἀμφοτέρων « εἶναι αἴτιον, οὐ μὴν τοὺς δύο τοῦ ἑνός. »

D *Ἀντίρρησις.*

Εἰ καὶ ἐκ τῆς λεγούσης ῥήσεως, « Πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύνευσις » συνάγεται τὸ ἐξ ἑνὸς τοῦ Πατρὸς εἶναι ἄμφω, τόν τε Υἱὸν καὶ τὸ Πνεῦμα, ἀλλ' ἐκ τῆς λεγούσης ῥήσεως, « Ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, τῶν δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα, » οὐχ ὅτι ἓν ἁπλῶς τὸ αἴτιον, ἀλλ' ὅτι αὐτὸ τὸ ἓν αἴτιον διαφόρῳ τρόπῳ ἐστὶν αἴτιον Υἱοῦ καὶ Πνεύματος, ὁμολογουμένως συνάγεται. Αἱ γὰρ λέξεις αὗται

Digitized by Google Распознавание текста ABK/FR

τὸν διάφορον τρόπον μᾶλλον δηλοῦσι τοῦ τε αἰτίου τοῦ τε αἰτιατοῦ. Τὸ γὰρ αἴτιον διὰ τοῦτο τὸ τοῦ γεννήτορος καὶ προβολέως ἔσχηκεν ὄνομα, ὅτι διαφόρῳ τρόπῳ ἐστὶν αἴτιον. Καὶ τὸ αἰτιατὸν διὰ τοῦτο τοῦ γεννήματος καὶ προβλήματος ἔσχηκεν ὄνομα, ὅτι διαφόρως πρόεισιν ἐκ τοῦ αἰτίου. Καὶ ἡ μὲν τῶν λέξεων διαφορὰ τὸ διάφορον τῆς προόδου δεδήλωκε· « Τὸ δὲ τῆς προόδου διάφορον ὑπὸ μάρτυρι τῷ Νύσσης, τὸ προσεχῶς ἐστι, καὶ διὰ τοῦ προσεχῶς. » Ἐκ δὲ τοῦ προσεχῶς καὶ διὰ τοῦ προσεχῶς, ἀναφαίνεται διὰ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Τοῦτο γοῦν ἐστι, τὸ ἐκ τοῦ· « Ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, τῶν δὲ, τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα » συναγόμενον· ἡ δήλωσις δηλαδὴ τοῦ διαφόρου τῆς αἰτίας τρόπου, καὶ τῆς τῶν αἰτιατῶν διαφόρου προόδου, οὕμενουν ἁπλῶς οὕτω τὸ ἐξ ἑνὸς αἰτίου εἶναι αὐτὰ, ὡς ἐπίστησας σύ. Τὸ γὰρ ἐξ ἑνὸς αἰτίου ἐκ μόνης τῆς ῥήσεως ἐδηλώθη τῆς, « Πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύνευσις, » ἐκ δὲ τοῦ διαφόρως εἶναι ἄμφω τὰ αἰτιατὰ τὸ μὲν ἐκ μόνου δηλαδὴ τοῦ πρώτου, ὡς προσεχῶς ἐξ αὐτοῦ, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, τοῖς θεολόγοις Πατράσιν ἡμῶν ἐπεγένετο, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα εἰπεῖν.

A gante, concluditur. Namque dictiones hæ diversum modo potius indicant causæ et causati. Causa siquidem propterea sibi et genitoris et productoris nomen vindicavit, quod diverso modo causa est; et causatum propterea sobolis et processionis nomen ascivit, quod diverso modo ex causa promanat. Et plane dictionum diversitas diversitatem promanationis ostendit. Promanationis vero diversitas, teste Nysseno, « Quod continuum est, et per illud quod continuum est, » eo vero, quod continuum est, et per illud quod continuum est, apparet per Filium promanare Spiritum ex Patre. Hoc itaque ex illo, « Genitor vero et productor horum, alter soboles est, alter processio, » colligitur, manifestatio nempe diversi causæ modi, et causatorum diversæ promanationis: non autem simpliciter ita ex una causa illa esse, ut tu animadvertisti. Quod enim ex una causa est, ex dictione illa sola manifestatur, quæ dicit, « Et ad unum, quæ ex ipso sunt, conjuncta propensio: » ex eo vero quod diverso modo causata se habeant, hoc quidem ex solo Patre, uti continue ex ipso, alterum vero per illud continuum est ex primo, theologis nostris Patribus arrisit, ex Patre et Filio Spiritum dicere.

B

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου.

ΛϚ'. « Ἴδιον δὲ τοῦ μὲν ἀνάρχου Πατὴρ, τοῦ δ' « ἀνάρχως γεννηθέντος Υἱὸς, τοῦ δὲ ἀγεννήτως « προελθόντος, ἢ προϊόντος, τὸ Πνεῦμα τὸ ἅγιον. »

Ejusdem ex Oratione secunda de Filio.

XXXVI. « Proprium autem ejus, qui principii expers « est, nomen est Pater; ejus qui citra ullum princi- « pium genitus est, Filius; illius qui citra generatio- « nem processit, aut progreditur, Spiritus sanctus. »

C

Ἐπίστασις.

« Μὴ τὸ ἄνευ προσθήκης τινὸς ἐνταῦθα γραφῆναι « περὶ τοῦ Πνεύματος ὡς προϊόντος, ἢ καὶ προελ- « θόντος θρασείτω σε, ἀλλὰ πρὸς τὰ προγραφέντα « καὶ τοῦτο συμβίβαζε. Μᾶλλον μὲν οὖν ἐκ τῶν ἐν τῇ « ἑφεξῆς περικοπῇ προσθηκῶν, τὴν τούτου δέχευ « σαφήνειαν. »

Animadversio.

« Ne te obturbet aliquo ulla additione hic scribi « de Spiritu, processit, aut progreditur, sed illud « ad supra jam scripta computa et confer. Imo ex « additionibus, quæ in subsequenti pericope legun- « tur, illius declarationem petito. »

Ἀντίῤῥησις.

Ἡ τοῦ ῥητοῦ σαφήνεια περιφανής. Παρίστησι γὰρ ὡς ἡ κυρίως ἰδιότης τοῦ Πνεύματος αὐτὴ ἡ κλῆσις ἐστι τοῦ Πνεύματος· καὶ ὅθεν ἂν ἐστι προελθὸν, ἢ προϊὸν τὸ Πνεῦμα ὡς Πνεῦμα ἐκπορευτὸν, οὕμενουν ὡς γεννητὸς πρόεισιν Υἱός.

Refutatio.

Dicti hujusce declaratio aperta est. Ostendit enim ipsissimam proprietatem Spiritus appellationem ipsam Spiritus esse; et unde processit, aut progreditur Spiritus, tanquam Spiritum procedentem progredi, non vero genitum, uti Filium.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος λόγου.

ΛΖ'. « Καὶ πάλιν ἥλιον ἐνεθυμήθην καὶ ἀκτῖνα D « καὶ φῶς. Ἀλλὰ κἀνταῦθα δέος πρῶτα μὲν μὴ « σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσ- « περ ἡλίου καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δὲ, μὴ τὸν « Πατέρα οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν, « ἀλλὰ δυνάμεις Θεοῦ ποιήσωμεν, ἐνυπαρχούσας, « οὐχ ὑφεστώσας. Οὔτε γὰρ ἀκτὶς, οὔτε φῶς ἄλλος « ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι, καὶ ποιότη- « τες οὐσιώδεις. Καὶ ἅμα τὸ εἶναι, καὶ τὸ μὴ εἶναι « τῷ Θεῷ δῶμεν ἐν τούτοις ὅσον ἐκ τοῦ ὑποδείγμα- « τος, ὃ καὶ τῶν εἰρημένων ἀτοπώτερον. »

Ejusdem ex oratione de Spiritu sancto.

XXXVII. « Solem rursus in radium, ac lucem co- « gitavi. Verum hic quoque metuendum est, primum « ne incompositæ naturæ incompositio quædam « excogitetur, quemadmodum solis et eorum, quæ « soli insunt. Deinde ne Patri quidem essentiam « tribuamus, sed reliquos subsistere negemus, ve- « rum facultates quasdam Dei constituamus, quæ « ipsi quidem insint, non autem per se subsistant. « Neque enim radius aut lux alii soles sunt, sed « solis velut defluxus quidam, et substantiales quali- « tates. Ac præterea ne simul et esse et non esse, Deo « in his demus, quantum ex hoc exemplo colligi po- « test, id quod superioribus etiam absurdius fuerit. »

Ἐπίστασις.

« Ὅρα πάνυ θαυμαστὸν, πῶς, εἰ καὶ μὴ ἀρέσκει

Animadversio.

« Valde admirabile est hoc quod audis. Licet

Digitized by Google Распознавание текста ABK/FR

« enim præsens exemplum sancto non perplaceat, propter timorem, non utique a ratione alienum; attamen ex hoc quoque probat apertissime, ex Patre utrumque, Filium scilicet et Spiritum veluti ex sole lumen et radius est, esse. »

Refutatio.

Verum est, exemplum palam ostendere, utrumque esse ex Patre : sed illud quoque modis omnibus ostendit, per Filium esse Spiritum, uti ex sole per radium lumen.

Ejusdem ex Oratione de Spiritu sancto.

XXXVIII. « Quoniam porro divisionem tuam primam, qua inter ingenitum et genitum nihil medium esse arbitraris, haud quaquam admittimus, protinus tibi cum præclara tua divisione fratres illi et nepotes peribunt, ut qui primo illo disputationis tuæ capite, quasi multiplicis cujusdam nexus initio primo soluto, simul quoque soluti ac dilapsi sint, atque a divinitatis doctrina sese subduxerint. Ubi enim, quæso, pones id quod procedit, quod quidem inter duas divisionis tuæ partes interjectum esse constat, atque a Theologo multo te præstantiore, nimirum a Christo, introducitur? Nisi fortasse vocem illam propter tertium tuum testamentum ex Evangeliis sustulisti, Spiritus sanctus qui a Patre procedit. Qui quatenus ab illo procedit, creatura non est, quatenus rursus genitus non est, Filius non est, quatenus autem inter ingenitum et genitum medius est, Deus est. Atque ita vitatis syllogismorum tuorum laqueis, Deus manifeste apparuit, divisionibus tuis firmior, ac valentior. Quæ ergo est hæc processio, inquies? Dic tu quæ Patris ingenitura sit, et ego Filii generationem, et Spiritus processionem explicare agamur, in Dei mysteria oculos injicientes : idque qui tandem? Nempe qui ne ea quidem, quæ ante pedes sunt scire possumus. »

Animadversio.

« Hanc pericopem, quæ planissima est, explanatione indigere non puto. Cum enim sanctus dixerit, fratres et nepotes perituros, hoc prorsus innuit, ingenitum Spiritum esse, et ex solo Patre, non autem ex Filio procedere. »

Refutatio.

Næ tu quidem vera non loqueris, quod sanctus dixit, « fratres et nepotes perituros, » prorsus innuisse, ex solo Patre, non autem ex Filio Spiritum procedere : sed tantummodo illum procedere non tamen ingenitum uti Patrem, neque genitum uti Filium. Hoc enim notat illud, « Ubi pones id quod procedit, quod quidem inter duas divisionis tuæ partes interjicitur? »

Ejusdem ex eadem oratione.

XXXIX. « Nobis Deus unus est, quoniam una deitas, atque ad unum ea, quæ ex eo sunt, referuntur, etiamsi tres personas credimus. Neque enim hoc magis, illud minus est Deus, nec hoc prius illud

« τῷ ἁγίῳ τὸ παρὸν ὑπόδειγμα διὰ δέος εὔλογον, « ὅμως κἀκ τούτου παρίστησι σαφῶς ὡς ἐκ τοῦ Πατρὸς καὶ ἄμφω, ὅ τε Υἱὸς δηλαδὴ καὶ τὸ Πνεῦμα, « ὡς ἐξ ἡλίου φῶς καὶ ἀκτίς. »

Ἀντίῤῥησις.

Ἀληθῶς τὸ ὑπόδειγμα ἐκ τοῦ Πατρὸς εἶναι καὶ ἄμφω παρίστησιν· ἀλλ' ὅμως πάντη σαφῶς τὸ δι' Υἱοῦ ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα, ὡς ἐξ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος λόγου.

ΑΗ'. « Ἐπεὶ δέ σου τὴν πρώτην διαίρεσιν οὐ δεχόμεθα, τὴν μηδὲν ἀγεννήτου καὶ γεννητοῦ μέσον « ὑπολαμβάνουσαν, αὐτίκα οἰχήσονταί σοι μετὰ τῆς « σεμνῆς διαιρέσεως οἱ ἀδελφοὶ καὶ οἱ υἱωνοί, ὥσπερ « τινὸς δεσμοῦ πολυπλόκου τῆς πρώτης ἀρχῆς συν« διαλυθείσης, συνδιαλυθέντες καὶ τῆς θεολογίας « ὑποχωρήσαντες. Ποῦ γὰρ θήσεις τὸ ἐκπορευτόν, « εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ « παρὰ κρεῖσσονος ἢ κατὰ σὲ θεολόγου, τοῦ Σωτῆ« ρος ἡμῶν, εἰσαγόμενον; εἰ μὴ τὴν φωνὴν ἐκείνην « τῶν σῶν ἐξείλες Εὐαγγελίων. Διὰ τὴν τρίτην σου « διαθήκην, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς « ἐκπορεύεται· ὃ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται, « οὐ κτίσμα, καθόσον δὲ οὐ γεννητόν, οὐχ Υἱός, κα« θόσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. Καὶ « οὕτω σου τὰς τῶν συλλογισμῶν ἄρκυς διαφυγόν, « Θεὸς ἀνεπέφηνε τῶν σῶν διαιρέσεων ἰσχυρότερος. « Τίς οὖν ἡ ἐκπόρευσις; Εἰπὲ σὺ τὴν ἀγγεννησίαν « τοῦ Πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολο« γήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ πα« ραπληκτίσομεν ἀμφότεροι, εἰς Θεοῦ μυστήρια « παρακύπτοντες· καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν « ποσὶν εἰδέναι δυνάμενοι. »

Ἐπιστασία.

« Ταύτην τὴν περικοπὴν σαφεστάτην οὖσαν οἶ« μαι μὴ δεῖσθαί τινος ἐπεργασίας. Ἐκ γὰρ τοῦ τὸν « ἅγιον εἰπεῖν τοὺς ἀδελφοὺς καὶ τοὺς υἱωνοὺς οἰχή« σεσθαι τοῦτο πάντως παρίσταται τό τε ἀγέννητον « τοῦ Πνεύματος, καὶ τὸ ἐκ μόνου τοῦ Πατρὸς, οὐ « μὴν καὶ τοῦ Υἱοῦ ἐκπορευτόν; »

Ἀντίῤῥησις.

Οὐκ ἀληθῶς ἔφης, ἐκ τοῦ τὸν ἅγιον εἰπεῖν, « τοὺς ἀδελφοὺς καὶ τοὺς υἱωνοὺς οἰχήσεσθαι, » πάντως παρίστασθαι τὸ ἐκ μόνου τοῦ Πατρὸς, οὐ μὴν καὶ τοῦ Υἱοῦ ἐκπορευτὸν τοῦ Πνεύματος, ἀλλὰ τὸ, μόνως ἐκπορευτὸν αὐτὸ εἶναι. Οὔμενουν ἀγέννητον, ὡς ὁ Πατὴρ, ἢ γεννητὸν, ὡς ὁ Υἱός. Τοῦτο γὰρ δηλοῖ τὸ, « Ποῦ θήσεις τὸ ἐκπορευτὸν, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως; »

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

ΛΘ'. « Ἡμῖν εἷς Θεὸς, ὅτι μία θεότης, καὶ πρὸς « ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πι« στεύηται. Οὐ γὰρ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον « Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον. Οὐδὲ

Digitized by Google Распознавание текста АВК/FR

« βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται. οὐδέ A
« τι τῶν ὅσα τοῖς μεριστοῖς ὑπάρχει, κἀνταῦθα λα-
« θεῖν ἔστιν, ἀλλ' ἀμερίστως ἐν μεμερισμένοις, εἰ
« δεῖ συντόμως εἰπεῖν, ἡ θεότης, καὶ οἷον ἐν ἡλίοις
« τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρα-
« σις. Ὅταν μὲν οὖν πρὸς τὴν θεότητα βλέψωμεν.
« Καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν
« ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ, ἐν οἷς
« ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως
« ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνού-
« μενα. »

posterius. Nec voluntate scinduntur, aut potentiæ
dividuntur, aut denique quidquam eorum, quæ
dividuis rebus contingunt, hic quoque reperitur.
Sed individua in dividuis, et uno verbo dicam,
est divinitas, ac velut in tribus solibus inter se
cohærentibus una lucis commistio et temperatio.
Cum ergo ad divinitatem primamque illam cau-
sam, uniusque principatum et imperium re-
spexerimus, unum est, quod mentis nostræ oculis
obversatur. Cum rursus ad ea, in quibus est di-
vinitas et quæ ex prima illa causa, citra ullam
temporis intercapedinem, ae pari gloria sunt,
tria sunt quæ adorantur. »

Ἐπιστασία.

« Νουνεχῶς ἄκουε τοῦ, Ἡμῖν εἷς Θεὸς, ὅτι μία B
« θεότης· καὶ πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν
« ἔχει, κἂν τρία πιστεύηται· καὶ τοῦ, Ὅταν πρὸς
« τὰ ἐν οἷς ἡ θεότης· καὶ, Τὰ ἐκ τῆς πρώτης αἰ-
« τίας ἀχρόνως ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ
« προσκυνούμενα· καὶ ἐκ τούτων γὰρ· ἀριδήλως
« παρίσταται τὸ, τὸν Πατέρα εἶναι καὶ ἀμφοτέρων
« αἴτιον. »

Animadversio.

« Diligenter illa observato, Nobis Deus unus est,
« quod una Deitas, et ad unum ea, quæ ex eo sunt,
« referuntur, etiamsi tres personas credimus:
« Item: Cum rursus ad ea, in quibus divinitas est,
« et, quæ ex prima illa causa, citra ullam temporis
« intercapedinem et pari gloria sunt, tria sunt
« quæ adorantur. His siquidem aperte comproba-
« tur, Patrem esse utriusque causam. »

Ἀντίῤῥησις.

Εἰ καὶ ἐκ τῶν εἰρημένων παρίσταται τὸ τὸν Πα-
τέρα εἶναι καὶ ἀμφοτέρων αἴτιον, ἀλλὰ καὶ ἐξ αὐ-
τῶν παρίσταται ὡς ἡ μία τοῦ φωτὸς σύγκρασις, ἡ ἐν
ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων φανταζομένη, τὸ
ἀδιαίρετον τῶν τριῶν ἐστιν ὑποστάσεων. Τὸ δὲ τού-
των ἀδιαίρετον πάντως οὐκ ἄλλοθεν ἀλλ' ἢ ἐκ τοῦ C
Υἱοῦ τὸ Πνεῦμα ὑπάρχειν ἐκ τοῦ Πατρός.

Refutatio.

Ex jam allatis comprobatur, Patrem esse utrius-
que causam nec minus ex iisdem stabilitur, unam
luminis commistionem, quæ in tribus solibus in-
ter se cohærentibus mente concipitur, individuum
trium hypostaseon connotari. Horum vero indivi-
duum non aliunde originem habet, quam ex eo,
quod per Filium Spiritus exsistit a Patre.

*Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου περὶ δόγματος, καὶ κατα-
στάσεως ἐπισκόπων.*

Μ'. « Δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας,
« ὡς καὶ τὸ εἶναι Πατέρα περιαιρεῖν· τίνος γὰρ ἂν
« καὶ εἴη Πατήρ, τοῦ Υἱοῦ τὴν φύσιν ἀπεξενωμέ-
« νου καὶ ἀπηλλοτριωμένου μετὰ τῆς κτίσεως;
« μήθ' οὕτω φιλοχρίστους, ὡς μήτε τούτῳ φυλάτ-
« τειν τὸ εἶναι Υἱόν. Τίνος γὰρ ἂν καὶ εἴη Υἱός, μὴ
« πρὸς αἴτιον ἀναφερόμενος τὸν Πατέρα, μήτε τῷ
« Πατρὶ τὸ τῆς ἀρχῆς κατασμικρύνειν ἀξίωμα, τῆς
« ὡς Πατρὶ καὶ γεννήτορι; μικρῶν γὰρ ἂν εἴη καὶ
« ἀναξίων ἀρχή, μὴ θεότητος ὢν αἴτιος τῆς ἐν Υἱῷ
« καὶ Πνεύματι θεωρουμένης. Ἐπειδὴ χρὴ καὶ τὸν
« ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολο- D
« γεῖν, εἴτουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς
« ἰδιότητος. Τηροῖτο δ' ἂν, ὡς ὁ ἐμὸς λόγος, εἷς
« μὲν Θεὸς, εἷς ἓν αἴτιον καὶ Υἱοῦ καὶ Πνεύματος
« ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφο-
« μένων, καὶ κατὰ τὸ ἓν καὶ ταυτὸν τῆς θεότητος,
« ἵν' οὕτως ὀνομάσω. κίνημά τε καὶ βούλημα, καὶ
« τὴν τῆς οὐσίας ταυτότητα. »

XL. « Profecto nec quosdam ita Patris amantes
« esse oportet, ut illi Patris nomen adimant, cujus
« enim Pater fuerit, si Filius ab eo natura diversus
« esse dicatur, atque una cum reliquis creaturis
« abalienetur? nec rursus ita Christi amantes, ut
« ne Filii quidem nomen ei integrum servent, cujus
« enim quæso Filius fuerit, nisi ad Patrem tanquam
« ad principium referatur? nec denique Patri prin-
« cipii dignitatem imminuere, quam ut Pater et ge-
« nitor habet: parvorum etenim certe, ipsoque in-
« dignorum principium fuerit, nisi Deitatis ejus,
« quæ in Filio et Spiritu sancto consideratur, causa
« sit. Quandoquidem et unus Deus retinendus est,
« et tres hypostases, sive tres personæ confitendæ,
« et quidem unaquæque cum sua proprietate. Porro
« hac ratione mea quidem sententia, Deus unus
« retinebitur, si Filium et Spiritum sanctum ad
« unam causam referemus, non autem compona-
« mus nec commisceamus, etsi unam atque eam-
« dem divinitatis, ut ita loquar, motionem, et voluntatem, essentiæque identitatem intelliga-
« mus. »

Ἐπιστασία.

« Συνετῶς πρόσεχε καὶ ταῖς τῆς παρούσης περι-
« κοπῆς συλλαβαῖς, ἤγουν ταῖς, μικρῶν γὰρ ἂν εἴη
« καὶ ἀναξίων ἀρχή, μὴ θεότητος ὢν αἴτιος τῆς ἐν
« Υἱῷ καὶ Πνεύματι θεωρουμένης· καὶ ταῖς, εἷς

Animadversio.

« Prudenter attendito et hujusce pericopes syl-
« labis, nempe, Parvorum enim certe, atque indi-
« gnorum principium, nisi Deitatis, quæ in Filio
« et Spiritu sancto consideratur, principium fuerit:

Digitized by Google Распознавание текста ABK/FR

« nec non et illis, Deus unus, si in unam causam « Filium et Spiritum referemus. »

Refutatio.

Illis præmissæ pericopes syllabis attendere adhortaris, nempe, « Parvorum enim certe atque indignorum principium, nisi Deitatis, quæ in Filio et Spiritu sancto consideratur, principium fuerit. » nec non et illis, « Deus unus, si in unam causam Filium et Spiritum referamus. » Amplector ego equidem quod suggeris : verumtamen ipse quoque auditori suggero, attentius considerare, in unam causam referri Filium et Spiritum, non esse impedimento, quin statim intelligatur, alio atque alio modo hæc eadem ad unam causam referri. Et cum nullum aliud sit discrimen, nisi illud « continue et per illud quod continue est, » nihil plane adductæ syllabæ conducent ad demonstrandum ex solo Patre esse Spiritum sanctum. Imo illud insuper considerandum est, quod sanctus insinuat, « Patrem causam esse Deitatis, quæ in Filio et Spiritu consideratur; » verumtamen Spiritus essentia ac divinitas, ex essentia et divinitate Filii dicitur, quod quidem nulla ratione dici poterit, nisi Spiritus esset ex Patre per Filium. Etenim si forte immediate ex Patre exsisteret, nunquam profecto dictus fuisset : « Ex essentia et Deitate Filii progredi. »

Ejusdem ex eadem oratione.

XLI. « Audis generationem modum ne curiosius « inquiras. Audis Spiritum ex Patre progredi? id « quomodo fiat, ne anxio studio perscruteris. Quod « si in Filii generatione et Spiritus progressione « pervestiganda curiosum te præbes, ego quoque « pari curiositate tuam animæ corporisque conjunctionem et temperamentum inquiram. »

Animadversio.

« Quod hic asseritur planissimum est, et supradictis haud dissimile. Namque hic etiam ex Patre « et Filius et Spiritus aperte insinuantur. »

Refutatio.

Aperte profecto, quod hic astruitur, ex Patre esse et Filium et Spiritum corroborat. At planum quoque est intelligere, eamdem pericopem maxime illis conducere, qui ex Patre et Filio esse Spiritum sanctum autumant. Cum enim sanctus dixisset Spiritum progredi ex Patre, et dictionem illam loco processionis usurpasset, plane manifestavit eum, qui ex Patre et Filio Spiritum progredi asserit, ex utroque illius exsistentiam indicare.

Ejusdem ex oratione in laudem Heronis Philosophi.

XLII. « Quin pietatis nostræ doctrinam præscribe, « sic nos instituens, ut Deum unum ingenitum « agnoscamus, hoc est Patrem, unum item genitum « Dominum, Filium videlicet, qui Deus quidem appellatur, cum de eo separatim sermo habetur, « Dominus autem quando cum Patre nominatur, « illud propter naturam, hoc propter unicum divinitatis principatum, unum denique Spiritum « sanctum, a Patre procedentem, aut etiam prodeun-

« μὲν Θεὸς, εἰς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων. »

Ἀντίῤῥησις.

Ταῖς τῆς ῥηθείσης περικοπῆς συλλαβαῖς ὑποτίθη προσέχειν, ταῖς, « Μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μὴ θεότητος ὧν αἴτιος τῆς ἐν Υἱῷ καὶ Πνεύματι θεωρουμένης, καὶ ταῖς, εἰς μὲν Θεὸς εἰς ἓν αἴτιον καὶ Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, καὶ δέχομαί σου τὴν ὑποθήκην. Ἀλλὰ τῷ αὐτῷ ἀκροατῇ ὑποτίθημι καὶ αὐτὸς σκοπεῖν ἀκριβέστερον, ὡς τὸ εἰς ἓν αἴτιον ἀναφέρεσθαι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, οὐδέν τί ἐστιν ἐμποδὼν πρὸς τὸ νοεῖν παραυτίκα, ὡς διαφόρως ταῦτα πρὸς τὸ τοιοῦτο ἓν ἀναφέρονται αἴτιον. Καὶ ἐπεὶ οὐδὲν ἄλλο ἡ διαφορὰ εἰ μὴ τὸ « προσεχῶς, καὶ διὰ τοῦ προσεχῶς, » οὐδέν τι αἱ ῥηθεῖσαι συντελέσουσι συλλαβαὶ πρὸς ἀπόδειξιν τοῦ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Δεῖ δὲ προσεπισκοπεῖν καὶ ὅτι « τὸν Πατέρα αἴτιον, » ἔχῃ ὁ ἅγιος, « τῆς ἐν Υἱῷ καὶ Πνεύματι θεωρουμένης θεότητος. Ἀλλὰ ἡ τοῦ Πνεύματος οὐσία καὶ θεότης, καὶ ἐκ τῆς οὐσίας καὶ θεότητος λέγεται τοῦ Υἱοῦ. Ὅπερ πῶς ἂν ἐῤῥέθη, εἰ μὴ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἦν ἐκ Πατρός; Ἀμέσως γὰρ ἴσως ὑπάρχον ἐκ τοῦ Πατρὸς, οὐκ ἂν ποτε ἐῤῥέθη. Ἐκ τῆς οὐσίας καὶ θεότητος τοῦ Υἱοῦ προϊόν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

ΜΑ'. « Ἀκούεις γέννησιν; Τὸ πῶς μὴ περιεργάζου. Ἀκούεις ὅτι Πνεῦμα τὸ προϊὸν ἐκ τοῦ Πατρός; Τὸ ὅπως μὴ πολυπραγμόνει. Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν, καὶ Πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. »

Ἐπίστασις.

« Σαφέστατον τὸ ἐνταῦθα λεγόμενον, καὶ τοῖς προλαβοῦσι παρόμοιον. Ἐκ τοῦ Πατρὸς γὰρ κἀνταῦθα ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα κηρύσσεται. »

Ἀντίῤῥησις.

Σαφὲς μὲν τὸ ἐνταῦθα λεγόμενον, καὶ ἐκ τοῦ Πατρὸς εἶναι δηλοῖ καὶ αὐτὸν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. Σαφὲς δέ ἐστι συνιδεῖν καὶ ὡς ἡ περικοπὴ αὕτη συμβάλλει κατὰ πολὺ τοῖς λέγουσιν ἐκ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Εἰπὼν γὰρ ὁ ἅγιος τὸ Πνεῦμα προϊὸν ἐκ Πατρὸς, καὶ χρησάμενος τῇ λέξει ἀντὶ τῆς ἐκπορεύσεως, σαφῶς δεδήλωκεν ὡς ὁ ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα προϊέναι λέγων τὴν ἐξ ἀμφοῖν σημαίνει αὐτοῦ ὕπαρξιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον λόγου.

ΜΒ'. « Ὁρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν, « δ.δάσκων ἕνα μὲν εἶναι Θεὸν ἀγέννητον τὸν Πατέρα, ἕνα δὲ γεννητὸν Κύριον τὸν Υἱόν· Θεὸν μὲν, « ὅταν καθ' ἑαυτὸν λέγηται προσαγορευόμενον, Κύριον δὲ, ὅταν μετὰ Πατρὸς ὀνομάζηται· τὸ μὲν « διὰ τὴν φύσιν, τὸ δὲ διὰ τὴν μοναρχίαν. Ἓν δὲ « Πνεῦμα ἅγιον, προελθὸν ἐκ τοῦ Πατρὸς, ἢ καὶ « προϊὸν, Θεὸς τοῖς νοητῶς νοοῦσι τὰ παρακείμενα, « τοῖς μὲν ἀσεβέσι καὶ πολεμουμένοις, τοῖς δὲ ὑπὲρ

Digitized by Google Распознавание текста ABK/FR

« τούτους, νοούμενον, τοῖς πνευματικωτέροις δὲ καὶ λεγόμενον· μήτε ὑπὸ ἀρχὴν ποιεῖν τὸν Πατέρα. Ἵνα μὴ τοῦ πρώτου τι πρῶτον εἰσαγάγωμεν, ἐξ οὗ καὶ τὸ εἶναι πρώτῳ περιτραπήσεται, μήτε ἄναρχον τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα μὴ τὸ τοῦ Πατρὸς ἴδιον περιέλωμεν. Οὐκ ἄναρχα γὰρ, καὶ ἀναρχά πως· ὃ καὶ παράδοξον. Οὐκ ἄναρχα μὲν γὰρ τῷ αἰτίῳ, ἐκ Θεοῦ γὰρ, εἰ καὶ μὴ μετ' αὐτὸν, ὡς ἐξ ἡλίου φῶς· ἄναρχα δὲ τῷ χρόνῳ· οὐ γὰρ ὑπὸ χρόνον, ἵνα μὴ τὸ ῥέον ᾖ τῶν ἑστώτων πρεσβύτερον. »

A « tem, Deum quoque ipsum apud eos; qui ea, quæ « apponuntur, apprime intelligunt, qui ab impiis « quidem etiam oppugnatur, ab iis autem qui supra « eos assurgunt, animo et mente concipitur; ab iis « vero, qui magis spiritales sunt, etiam prælicatur. Illud item præscribe, ut nec Patri principium tribuamus, ne quid primo prius inducamus, « ex quo id, quod primum est, originem traxisse « necesse sit; nec Filium et Spiritum sanctum « principii expertes esse astruamus, ne Patri id « quod ipsi proprium est, adimamus. Illi quippe et quod sane dictu mirum est. Non enim quantum licet non post ipsum quemadmodum ex sole expertes. Nec enim tempori subjecti sunt. Nam et quod non est iis, quæ sunt, prius atque anti-

« principio minime carent, et quodammodo carent; « ad causam principio carent, ex Deo enim sunt, « lumen, sed quantum ad tempus principii sunt « alioqui quod fluxum est iis, quæ stabilia sunt, « quius esset. »

Ἐπίστασις.

« Ὁρᾷς κἀνταῦθα ἐκ τοῦ Πατρὸς προελθὸν, ἢ « καὶ προερχόμενον τὸ Πνεῦμα; »

Ἀντίῤῥησις.

Ὁρᾶν δεῖ ὡς κἀνταῦθα ἐκ τοῦ Πατρὸς προελθὸν, ἢ καὶ προϊὸν ὁ ἅγιος ἔφη τὸ Πνεῦμα· ἀλλ' ὁρᾶν δεῖ καὶ ὅτι πᾶν ἐντεῦθεν πέφρακται στόμα τῶν λεγόντων διαφέρειν ἐπὶ τῆς προόδου τοῦ Πνεύματος τὸ προϊέναι τοῦ ἐκπορεύεσθαι.

B *Animadversio.*

« Vides hic quoque ex Patre progredi, procedere Spiritum sanctum? »

Refutatio.

Neque minus hic animadvertendum est, sanctum ex Patre promanare, aut procedere Spiritum dixisse: verumtamen et illud quoque observandum, hinc eorum os obstrui, qui contendunt in promanatione Spiritus, aliud esse progredi, aliud procedere.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

ΜΓ. « Ἀληθῶς ἅγιον τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ γὰρ ἄλλο τοιοῦτον, οὐδὲ οὕτως ὡς ἐκ προσθήκης ὁ ἁγιασμὸς, ἀλλ' αὐτὸ ἁγιότης· οὐδὲ μᾶλλον καὶ ἧττον· οὐδὲ ἀρξάμενον χρονικῶς, ἢ παυσόμενον. Κοινὸν γὰρ Πατρὶ μὲν καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι τὸ μὴ γεγονέναι, καὶ ἡ θεότης, Υἱῷ δὲ καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπόρευσις. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλείψεις τοῖς μόνοις γινώσκειν ἀλλήλα καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρουμένοις, »

XLIII. « Spiritum sanctum vere sanctum: neque « enim alius talis est, nec eodem modo, neque ex « accessione sanctitatem habet, sed est ipsamet « sanctitas, nec magis et minus, nec quo ad tem- C « pus originem unquam habuit, nec finem habitu- « rus est. Hoc enim Patri et Filio et Spiritui sancto « commune est, quod minime creati sunt; atque « ipsa divinitas. Hoc autem Filio et Spiritui sancto « quod uterque eorum ex Patre est. At vero Patris « proprietas hæc est, quod ingenitus sit: Filii, « quod genitus; Spiritus sancti, quod emittatur. « Quod si modum quæris, quid iis relicturus es, quos solos mutuo se cognoscere, atque a se mutuo « cognosci Scriptura testatur? »

Ἐπίστασις.

« Ἀκούεις καὶ πάλιν κοινὸν Υἱῷ καὶ Πνεύματι τὸ ἐκ τοῦ Πατρὸς εἶναι καὶ ἄμφω; »

Animadversio.

« Audis hic quoque commune esse Filio et Spiritui sancto, ex Patre esse utrumque? »

Ἀντίῤῥησις.

Ἀληθῶς· κοινὸν Υἱῷ καὶ Πνεύματι τὸ ἐκ τοῦ Πατρὸς εἶναι καὶ ἄμφω· ἀληθῶς δὲ καὶ ὅτι διαφόρως ταῦτα ἐκ τοῦ Πατρός. Σὺ δὲ διατί, τοῦ ἁγίου ἐν τῇ ἀπαριθμήσει τῶν ἰδιοτήτων λέγοντος, « Ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπεμψις, » ἀντὶ τοῦ εἰπεῖν, ἡ ἐκπεμψις, ἡ ἐκπόρευσις εἶπας; Τί σοι τάχα συμβάλλον ἦν τοῦτο; Πάντως δι' οὐδὲν ἕτερον ἡ παραποίησις ἐπενοήθη σοι αὕτη, ἀλλ' ἢ διότι καὶ παρὰ τοῦ Υἱοῦ εἰρῆσθαι που τῶν θείων Γραφῶν ἐκπεμπόμενον τὸ Πνεῦμα τὸ ἅγιον.

D Vere, quis id negat? commune est Filio et Spiritui ex Patre esse utrumque, nihilominus verum etiam est, eosdem alia atque alia ratione ex Patre esse. Quare vero tu, cum sanctus in proprietatum enumeratione dicat, « Proprietatem esse Patris, « quod ingenitus sit, Filii, quod genitus, Spiritus « sancti, quod emittatur, » loco emissionis, processionem usurpasti? Quid hoc tibi conferebat? Plane hæc tibi immutatio excogitata est, propterea quod in nonnullis locis divinarum Scripturarum repetitur emitti a Filio Spiritum sanctum.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ Συντακτηρίου.

ΜΔ'. « Ὄνομα δὲ τῷ μὲν ἀνάρχῳ Πατὴρ, τῇ δὲ ἀρχῇ Υἱὸς, τῷ δὲ μετὰ τῆς ἀρχῆς Πνεῦμα ἅγιον.

Ejusdem ex oratione habita in præsentia CL episcoporum.

XLIV. « Nomen autem principii experti, Pater, « principio, Filius, ei autem quod cum principio est,

Digitized by Google Распознавание текста ABK/FR

« Spiritus sanctus. Una autem his tribus natura A « Deus est. Unio vero est Pater, ex quo et ad « quem ea, quæ deinceps sequuntur referuntur. »

Animadversio.

« Eadem est in omnibus doctrina. Namque in his « quoque audis, Ex quo et ad quem ea, quæ dein- « ceps sequuntur, referuntur. »

Refutatio.

Diversitatem eorum, quæ referuntur ad primam causam si sciveris, probe quidem intellexeris illud, « Ex quo et ad quem, quæ deinceps sequun- « tur, referuntur. »

Ejusdem ex oratione ad Evagrium.

XLV. « Ut enim inter mentem et cogitationem et « animam nulla divisio aut sectio excogitari po- « test : sic neque inter Spiritum sanctum, et Salva- B « torem, et Patrem ulla unquam sectio aut divisio « intercessisse cogitanda est : quoniam spiritua- « lium et divinorum, ut diximus, divisionis expers « natura est, aut etiam quemadmodum inter orbem « et radium propter impassibilitatem corporisque « vacuitatem, et simplicitatem, atque individuita- « tem nulla divisio reperiri potest, verum ut ra- « dius orbi conjunctus est, ita rursus orbis, oculi « cujusdam instar, universitati radios suos flumi- « nis in morem infundit, lucis nobis velut inunda- « tiones quasdam efficiens, mundumque repente « obruens. Haud secus etiam Patris velut radii « quidem ad nos dimissi sunt, tum splendidus Je- « sus, tum Spiritus sanctus. Ut enim lucis radii C « mutuam relationem natura individuam habentes, « nec a luce disjunguntur, nec a se invicem discin- « duntur, lucisque beneficium ad nos usque traji- « ciunt : eodem modo Salvator quoque noster, et « Spiritus sanctus, geminus ille Patris radius « simul et ad nos usque veritatis lucem ministrant, « et Patri uniti sunt. Quemadmodum præterea ab « uno aquarum fonte nectaream aquam summa « copia egerente, fluxum quemdam permagnum, « et profluvium, effrenato quodam impetu currens « ipso fluxu in duo flumina scindi contingit, quod « ab uno quidem fontis oculo primum manaverat, « verum fluviis specie ita conformatis, duplici fluxu « decurrit, nec tamen ex hujusmodi divisione in- « commodi quidquam et detrimenti, quantum ad D « essentiam accipit, etenim fluminum situ ita pro- « fluvium dividitur, ut unam tamen atque eamdem « humoris qualitatem obtineat, quamvis enim uter- « que supradictorum fluviorum procul extra termi- « nos ferri, longoque intervallo a fonte distare « videatur, principium tamen ad fontis perpetuita- « tem cum parente sua conjunctum, atque unitum « habent : haud dissimili modo bonorum quoque « omnium Deus, ille veritatis rector, et Salvatoris « Pater, prima illa vitæ causa, et stirps immorta- « litatis, illæ sempiternæ vitæ fons, biflua quadam, « et bifida Filii et Spiritus sancti intellectuali ad « nos missa gratia, nec ipse essentiam suam quid- « quam læsit, nec enim ob illorum ad nos adven-

« Φύσις δὲ τοῖς τρισὶ μία. Ἕνωσις δὲ ὁ Πατὴρ, ἐξ « οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς. »

Ἐπιστασία.

« Ἡ αὐτὴ διὰ πάντων διδασκαλία. Ἄκουε γὰρ « κἀνταῦθα τὸ ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς. »

Ἀντίρρησις.

Τὸ διάφορον τῶν ἀναγομένων πρὸς τὸ πρῶτον αἴτιον εἰδὼς, καλῶς ἂν ἀκούσειας, τὸ « Ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς. »

Τοῦ αὐτοῦ ἀπὸ τοῦ πρὸς Εὐάγριον Λόγου.

ΜΕ'. « Ὡς γὰρ οὐκ ἔστι μεταξὺ νοῦ καὶ ἐνθυμή- « σεως καὶ ψυχῆς διαίρεσιν ἐπινοηθῆναί τινα κα- « τομὴν, οὕτως οὐδὲ τοῦ ἁγίου Πνεύματος καὶ τοῦ « Σωτῆρος καὶ τοῦ Πατρὸς ἐν μέσῳ τομὴν ἡ διαίρε- « σιν ἐπινοηθῆναί ποτε· διότι τῶν νοητῶν, ὡς ἔφη- « μεν, καὶ θείων ἀδιαίρετος ἡ φύσις. Ἢ καὶ ὃν τρό- « πον οὐχ οἷόν τε πάλιν ὁμοίως ἐν μέσῳ κύκλου καὶ « τῆς ἀκτῖνος διαίρεσιν εὑρέσθαι διὰ τὸ ἀπαθὲς καὶ « ἀσώματον, ἁπλοῦν τε καὶ ἀμερές· ἀλλ' ἡ μὲν ἀκτὶς « συνῆπται τῷ κύκλῳ, τοὔμπαλιν δὲ ὁ κύκλος οἷόν « τις ὀφθαλμὸς ποταμηδὸν ἐπιχεῖ τῷ παντὶ τὰς « ἀκτῖνας, κατακλυσμοὺς ὥσπερ τινὰς φωτὸς ἡμῖν « ἐργαζόμενος, καὶ πελαγίζων ἀθρόως τὴν διακό- « σμησιν οὕτω δὴ καὶ οἱονεί τινες τοῦ Πατρὸς ἀκτῖ- « νες ἀπεστάλησαν εἰς ἡμᾶς ὅ τε φεγγώδης Ἰησοῦς « καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ὥσπερ γὰρ αἱ τοῦ φω- « τὸς ἀκτῖνες, ἀμέριστον ἔχουσαι τὴν κατὰ φύσιν « πρὸς ἄλληλα σχέσιν, οὔτε τοῦ φωτὸς χωρίζονται, « οὔτε ἀλλήλων ἀποτέμνονται, καὶ μέχρις ἡμῶν τὴν « χάριν τοῦ φωτὸς ἀποστέλλουσι· τὸν αὐτὸν τρόπον « καὶ ὁ Σωτὴρ ὁ ἡμέτερος καὶ τὸ Πνεῦμα τὸ ἅγιον, « ἡ δίδυμος τοῦ Πατρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν διά- « κονεῖται τῆς ἀληθείας τὸ φῶς, καὶ τῷ Πατρὶ συν- « ήνωται. Ὃν δὲ τρόπον κἀπί τινος ὑδάτων πηγῆς, « νεκταρώδες ἀφθόνως προϊεμένης ὕδωρ, συμβαίνει « ῥεῦμά τι παμπληθὲς καὶ ῥεῖθρον ἀκατάσχετον εἰς « ποταμοὺς δύο τῷ ῥεύματι τέμνεσθαι, μίαν ἐξ ἑνὸς « ὀφθαλμοῦ τῆς πηγῆς τὴν ῥοὴν ἐξ ἀρχῆς ἐσχηκὸς· « διῤῥύτων δὲ τῶν ποταμῶν σχηματισθέντων τοῖς « ὕδασιν, ἐβλάβη ὅμως οὐδὲν εἰς τὴν οὐσίαν ἐκ τῆς « διαιρέσεως· τῇ μὲν γὰρ τῶν ποταμῶν θέσει τὸ « ῥεῖθρον διῄρηται, τὴν δὲ τοῦ χυμοῦ ποιότητα μίαν « καὶ τὴν αὐτὴν κέκτηται· κἂν γὰρ ἀποτερματίζε- « σθαι πόῤῥω που τῶν ποταμῶν ἕκαστος τῶν προ- « ειρημένων δοκῇ, καὶ τῆς πηγῆς ἀφεστάναι μα- « κρὰν, τὴν γοῦν ἀρχὴν τῇ μητρὶ πρὸς τὸ διηνεκὲς « τῆς πηγῆς συνηνωμένην ἔχει· παραπλησίως καὶ « ὁ τῶν ἀγαθῶν ἁπάντων Θεὸς, ὁ τῆς ἀληθείας πρύ- « τανις, καὶ τοῦ Σωτῆρος Πατὴρ, τὸ πρῶτον αἴτιον « τῆς ζωῆς, καὶ τὸ τῆς ἀθανασίας φυτὸν, ἡ τῆς ἀει- « ζωΐας πηγὴ, διῤῥυτόν τινα τοῦ τε Υἱοῦ καὶ τοῦ « ἁγίου Πνεύματος τὴν νοητὴν εἰς ἡμᾶς ἀποστείλας « χάριν, οὔτ' αὐτός τι πέπονθεν, εἰς τὴν οὐσίαν « βλαβείς· εὖ γὰρ μείωσιν ὑπέστη τινὰ διὰ τὴν εἰς « ἡμᾶς ἐκείνων ἄφιξιν, καὶ μέχρις ἡμῶν προεχώ- « ρησαν, καὶ τοῦ Πατρὸς οὐδὲν ἧττον ἀχώριστοι καθ-

Digitized by Google Распознавание текста ABK/FR

« ἐστήκασιν. Ἀμερὴς γὰρ, ὡς ἔφημεν, ἐξ ἀρχῆς A « τῶν κρειττόνων ἡ φύσις. »

« tum imminutionem ullam subiit, et hi ad nos « usque processerunt, nec tamen a Patre ullo modo « separantur. Individua enim, ut diximus, summi « numinis natura est. »

Ἐπιστασία.

« Πάνυ θαυμαστὴ καὶ αὕτη ἡ περικοπὴ, ποικίλως διὰ διαφόρων παραδειγμάτων, τοῦ τε κατὰ « τὸν ἥλιον δηλονότι καὶ τὰς ἀκτῖνας καὶ τοῦ κατὰ « τὴν πηγὴν καὶ τοὺς ποταμοὺς, τὰ αὐτὰ ταῖς προλα« βούσαις δογματίζουσα, καὶ διδάσκουσα, ὡς ἐξ « ἑνὸς δηλαδὴ τοῦ Πατρὸς, ὅ τε μονογενὴς Υἱὸς καὶ « τὸ Πνεῦμα τὸ ἅγιον. »

Animadversio.

« Et hæc quoque pericope valde admirabilis est, « multis modis per diversa exempla tum solis et ra« diorum, tum fontis, et fluminum eadem, quæ et « suprapositæ pericopæ definiens, docensque ex « uno scilicet Patre tam Filium unigenitum, quam « Spiritum sanctum esse. »

Ἀντίῤῥησις.

Ἀληθῶς τὸ κατὰ τὸν ἥλιον καὶ τὰς ἀκτῖνας παράδειγμα, καὶ τὸ κατὰ τὴν πηγὴν καὶ τοὺς ποταμοὺς, ἐξ ἑνὸς τοῦ Πατρὸς ἐμφαίνουσιν εἶναι, τόν τε μονογενῆ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Πλὴν ἀλλ' οὐδέτερον τῶν παραδειγμάτων τῷ ἁγίῳ ἐξελήφθη εἰς ἀναίρεσιν τάχα τοῦ μὴ εἶναι διὰ τοῦ ἑτέρου τὸ ἕτερον. Ἅπαγε. Τῆς ἀληθείας πεπλάνηται ὁ οὕτω φρονῶν. Εἰ γὰρ διὰ τοῦτο δίδυμον τοῦ Πατρὸς ἀκτῖνα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὁ ἅγιος ἀπεκάλεσεν, ἵνα παραστήσῃ μὴ εἶναι διὰ τοῦ ἑτέρου τὸ ἕτερον· οὐκ ἂν ἐν ἄλλοις τὰ δύο αἰτιατὰ ταῦτα, ὡς ἐξ ἡλίου ἀκτῖνα καὶ φῶς, ὧν ὁμολογουμένως διὰ θατέρου τὸ ἕτερον, ἐδογμάτιζε. Τὰ αὐτὰ φημὶ καὶ εἰς τὸ κατὰ τὴν πηγὴν καὶ τοὺς ποταμοὺς παράδειγμα. Εἰ γὰρ διὰ τοῦτο « δίῤῥυτον ποταμὸν » τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἐκάλεσεν, ἵνα δηλώσῃ τάχα, μὴ εἶναι διὰ τοῦ ἑτέρου τὸ ἕτερον· οὐκ ἂν ἐν ἄλλοις διὰ τοῦ κατὰ τὸν ὀφθαλμὸν καὶ τὴν πηγὴν καὶ τὸν ποταμὸν παραδείγματος, ἐφ' ὧν ὁμολογουμένως ὁ ποταμὸς διὰ τῆς πηγῆς τὸ πρὸς ἄλληλα διάφορον τῶν αἰτιατῶν ὑπηνίξατο. Ἀλλὰ δίδυμον μὲν ἀκτῖνα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὁ ἅγιος ἀπεκάλεσε διὰ τὸ τῶν δύο αἰτιατῶν προσώπων ἰδιοϋπόστατον· ἐπεὶ καὶ τρισάκτινος ἡ ὅλη καλεῖται θεότης, ὥσπερ οὖν καὶ τρισήλιος διὰ τὸ τρισυπόστατον, διῤῥύτους δὲ ποταμοὺς τὰ αὐτὰ πρόσωπα πάλιν διὰ τὴν αὐτὴν αἰτίαν ἐκάλεσε. Καὶ μαθήσῃ τοῦτο παρακατιὼν, ἐν οἷς εὑρήσεις τὸν ἅγιον, τὴν ἀνεικόνιστον καὶ ἀκατανόητον Τριάδα εἰς μέγαν ποταμὸν εἰκονίζοντα, καὶ ῥέθρον ἕν, ἐν τρισσοῖσι τύποισιν ἐλαυνόμενον κατὰ γαίης. Ὁ γὰρ τὸ ἐν τρισσοῖσι τύποισιν ἐλαυνόμενον ῥέθρον ἓν τρίῤῥυτον ποταμὸν ὀνομάσας οὐκ ἂν ἁμάρτῃ τοῦ δέοντος. Τί δ' ἂν ἄλλο δηλώσειε ποταμὸς τρίῤῥυτος ἢ τὸ τῆς θεότητος τρισυπόστατον, ὅπερ ἐδήλου καὶ τὸ τρισάκτινον καὶ τρισήλιον;

Refutatio.

Vere solis et radiorum, nec non fontis et fluviorum exemplo ex uno Patre demonstrant esse tam unigenitum Filium quam Spiritum sanctum. Verumtamen nullum ex his duobus exemplis assumptum est a sancto ad refellendum unum ex alio non esse : nihil minus. Qui ita tenet longe a veritate aberrat. Etenim si propterea duplicem Patris radium Filium et Spiritum sanctum appellavit, ut id confirmaret, unum ex alio non esse, nunquam locis in aliis duo hæc causata veluti ex sole radium et lumen, unum ex alio firmiter esse decrevisset, quod itidem assero de fonte et fluminibus exemplo. Etenim si propterea « bifluum flumen » Filium et Spiritum nuncupavit, ut ostenderet unum ex altero non esse, nunquam equidem in aliis oculi, fontis et fluvii exemplo, in quibus nemine discrepante fluvius per fontem, diversitatem inter se causatorum indicasset. Verumtamen sanctus duplicem radium Filium et Spiritum appellavit propter propriam uniuscujusque personæ causatæ subsistentiam, cum et triradius tota vocetur Deitas, quemadmodum ob tres personas triplex sol, bifluus vero flumina easdem rursus personas ob eamdem causam appellavit. Et hoc ex his quæ sequuntur addisces, in quibus sanctum repereris, Trinitatem, quæ neque imagine exprimi, neque intellectu capi potest, magni fluvii effigie exprimentem, quam vocat, et rivum unum tribus modis super terram compulsum. Tribus vero modis rivum super terram compulsum, unum trifluvium fluvium appellans, a recto aberrabit. Quid porro aliud significabit fluvius trifluvius, quam tres Deitatis personas, quod et tres radii, et tres soles significabant?

« *Τοῦ αὐτοῦ ἐκ τῶν ἐπῶν, τῶν περὶ τῆς ἁγίας Τριάδος.*

« ΜΖ'. Ἓν Πνεῦμα ἐξ ἀγαθοῖο Θεοῦ, Θεὸς.

Ejusdem ex carminibus de sancta Trinitate.

XLVI. « Unus Spiritus ex bono Deo, Deus. »

Ἐπιστασία.

« Τὸ ἐξ ἀγαθοῖο Θεοῦ, πρὸς τὰ προσεσημειωμένα « συμβίβαζε. »

Animadversio.

« Cum illis quæ prænotata sunt et hoc conferto, « ex bono Deo. »

Ἀντίῤῥησις.

Ἀλλὰ καὶ τὰ προσεσημειωμένα περὶ τῆς διαφορᾶς τῶν αἰτιατῶν, μὴ παράχρηχε.

Refutatio.

Quæ supra prænotata sunt de differentia causatorum, nec oscitanter legito.

« *Ἐκ τῶν περὶ Πνεύματος ἐπῶν*

« ΜΖ'. Ἐκ μονάδος Τριὰς ἐστὶ, καὶ ἐκ Τριάδος

Ex iisdem carminibus de Spiritu sancto.

XLVII. « Ex monade Trias est, et ex Triade monas

« rursum, uti cursus fontis ingens fluvius, unusque A « rivus, qui tribus modis super terram compel- « litur. »

Animadversio.

« Audisne ex monade Triadem. Quod si ex Filio « quoque Spiritus, ex binario ergo Trias, non ex « monade. »

Refutatio.

Triadem ex monade, et monadem ex Triade sanctus dixit, indicans idem esse monadem et triadem : in animadversione vero tua articulum apposuisti, suggerens auditori audire ex monade τὴν triadem esse. Si itaque id reris sanctum dicere, ex Patre esse triadem, quaternitas igitur et non trias fuerit. Tum deinceps advertito, quam male articulum apposueris, et dictum pejus invertisti. B Cum ex simili additione, quæ Trias est divinitas, quaternitas orietur. Ex eo porro quod asseris, Si ex Filio Spiritus est, ergo ex binario numero trias, non autem ex monade, in quinarium numerum quispiam divinitatem collocaverit.

DICTA MAGNI ATHANASII.

Sancti Athanasii, ex oratione prima contra Arianos.

XLVIII « Quomodo enim verum enuntiaverit de « Patre, Filium denegans, qui de seipso revelat, « aut quomodo recte sentiet de Spiritu, qui in- « jurius est in Verbum, illum suppeditans. »

Animadversio.

« Attende quomodo divinorum dogmatum fons, C « doctrinæ rectæ sanæque columna, præclarus Ale- « xandriæ, imo orbis universi lumen, Spiritum a « Filio suppeditari, non vero produci asserat. Plane « aliud est suppeditatio, et aliud productio. »

Refutatio.

Didicisti ex nostris jam supraposítis refutationibus, licet suppeditatio Spiritus in nos Domini habitualem inhabitationem Spiritus sancti denotet : ex ipsa suppeditatione apparere, Spiritum exsistere ex suppeditante illum Filio, quod non uti minister aut servus, sed naturaliter et essentialiter Dominus illum suppeditat. Quod enim neque ut administer, neque ut servus sed naturaliter ab ipso suppeditatur, manifestum est omnibus, propterea D quod ab ipso exsistit, ab eodem suppeditari.

Ejusdem ex eadem.

XLIX. « Quodsi, ut ipse Dominus dixit; suus est « Spiritus et ex suo accipit, eumque et ab se mitti, « non igitur Verbum est, qua Verbum, et sapien- « tia est, quod ab se dato Spiritu inungitur, sed « assumpta ab eodem caro ab illo inungitur. »

Animadversio.

« Nota hic quoque a Domino Spiritum exhiberi « dici, non vero procedere, maximum vero discri- « men est inter exhibitionem et processionem. »

« μονὰς αὕθις, ἅτε πόρος πηγῆς ποταμὸς μέγας, ἓν « τε ῥέεθρον, ἐν τρισσοῖσι τύποισιν ἐλαυνόμενον « κατὰ γαῖης. »

Ἐπιστασία.

« Ἀκούεις ἐκ μονάδος τὴν Τριάδα. Εἰ δὲ καὶ ἐκ « τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἐκ δυάδος ἄρα ἡ Τριάς, οὐκ « ἐκ μονάδος.

Ἀντίῤῥησις.

Τριάδα ἐκ μονάδος, καὶ ἐκ Τριάδος μονάδα ὁ ἅγιος ἔφη, δηλῶν αὐτὸν εἶναι μονάδα τε καὶ τριάδα· τῇ ἐπιστασίᾳ σου τὸ *τὴν* προστέθεικας ἄρθρον ὑποτιθέμενος τῷ ἀκροατῇ ἀκούειν ἐκ μονάδος τὴν τριάδα εἶναι. Εἴπερ γοῦν τοῦτό σοι δοκεῖ λέγειν ὁ ἅγιος, ὅτι ἐκ τοῦ Πατρός ἐστιν ἡ τριάς, τετρὰς ἄρα ἡ θεότης ἐστὶ καὶ οὐχὶ τριάς. Καὶ σκόπει λοιπὸν ὡς καλῶς; καὶ τὸ ἄρθρον προστέθεικας, καὶ τὸ ῥητὸν κάκιον ἐσφαλισω. Ἐκ μὲν γὰρ τῆς τοιαύτης προσθήκης τετρὰς, ὡς εἴρηται, ἡ θεότης ἔσται καὶ οὐχὶ τριάς· ἐκ δὲ τοῦ λέγειν σε ὡς, εἴπερ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἐκ δυάδος ἄρα ἡ τριὰς οὐκ ἐκ μονάδος, εἰς πεντάδα τὴν θεότητα ἀπαριθμήσειεν ἄν τις.

ΡΗΣΕΙΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ.

Τοῦ μεγάλου Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν πρώτου λόγου.

ΜΗ'. « Πῶς γὰρ ἀληθεύσει περὶ τοῦ Πατρὸς, ὁ « τὸν Υἱὸν ἀρνούμενος, τὸν ἀποκαλύπτοντα περὶ « αὐτοῦ ; ἢ πῶς περὶ τοῦ Πνεύματος ὀρθὰ φρονήσει « ὁ δυσφημῶν εἰς τὸν τοῦτο χορηγοῦντα Λόγον ; »

Ἐπιστασία.

« Πρόσεχε πῶς καὶ ἡ τῶν θείων δογμάτων πηγὴ « ὁ τῆς ὀρθοδοξίας στῦλος, ὁ λαμπρὸς τῆς Ἀλεξαν- « δρείας, μᾶλλον δὲ τῆς οἰκουμένης φωστὴρ, τὸν « Υἱὸν χορηγὸν, οὐ μὴν προβολέα λέγει τοῦ Πνεύ- « ματος. Ἕτερον δὲ πάντως ἐστὶν ἡ χορηγία, καὶ « ἕτερον ἡ προβολή.

Ἀντίῤῥησις.

Ἔμαθες ἐν ταῖς προλαβούσαις ἡμῶν ἀντιῤῥήσεσιν ὡς, κἂν καὶ ἡ χορηγία τοῦ Πνεύματος τὴν εἰς ἡμᾶς γινομένην δηλοῖ παρὰ τοῦ Κυρίου σχετικὴν τοῦ ἁγίου ἐνοίκησιν Πνεύματος, ἀλλὰ καὶ ἐκ αὐτῆς τῆς χορηγίας ἀναφαίνεται ὑπάρχειν τὸ Πνεῦμα ἐκ τοῦ χορηγοῦντος αὐτὸ Υἱοῦ, διὰ τὸ μὴ λειτουργικῶς, ἀλλὰ φυσικῶς καὶ οὐσιωδῶς παρὰ τοῦ Κυρίου χορηγεῖσθαι αὐτό. Τὸ γὰρ μὴ ὑπηρετικῶς παρ' αὐτοῦ χορηγούμενον, παντί που δῆλον ὡς παρ' αὐτοῦ ὑπάρχον κεχορήγηται παρ' αὐτοῦ.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

« ΜΘ'. Εἰ δὲ, καὶ ὡς αὐτὸς ὁ Κύριος εἴρηκεν, « αὐτοῦ ἐστι τὸ Πνεῦμα, καὶ ἐκ τοῦ αὐτοῦ λαμβάνει, « αὐτός τε αὐτὸ ἀποστέλλει, οὐκ ἄρα ὁ λόγος ἐστὶν « ἡ Λόγος ἐστὶ καὶ σοφία, ὁ τῷ παρ' αὐτοῦ δεδο- « μένῳ Πνεύματι χριόμενος, ἀλλ' ἡ προσληφθεῖσα « παρ' αὐτοῦ σάρξ ἐστιν ἐν αὐτῷ καὶ παρ' αὐτοῦ « χριομένη. »

Ἐπιστασία.

« Ὅρα, κἀνταῦθα δεδόμενον παρὰ τοῦ Κυρίου « λέγει τὸ Πνεῦμα, οὐ μὴν ἐκπορευόμενον· πολλὴ « δὲ ἡ διαφορὰ τῆς δόσεως πρὸς τὴν ἐκπόρευσιν. »

Digitized by Google Распознавание текста АВК/FR

Ἀντίῤῥησις.

Ἀλλ' ὅρα καὶ ὅτι τὸ διδόμενον ἐκ τοῦ διδόντος, ὡς ἐξ αὐτοῦ ὑπάρχον ἐστίν.

Τοῦ αὐτοῦ.

« Ν'. Καὶ ἄνθρωπος δὲ γενόμενος ἔλεγεν· « Ἀ-« ποστελῶ ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς « ἀληθείας. » Καὶ ἔπεμψεν ἀψευδὴς ὢν ὁ τοῦ Θεοῦ « Λόγος. Οὐκοῦν Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον « ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας ἄτρεπτος μένων· « καὶ ὁ αὐτός ἐστι διδοὺς καὶ λαμβάνων διδοὺς μὲν ὡς « θεὸς λόγος, λαμβάνων δὲ ὡς ἄνθρωπος. »

Ἐπίστασις.

« Κἀνταῦθα πάλιν πέμπειν λέγεται ὁ Υἱὸς τὸ Πνεῦ-« μα καὶ διδόναι, οὐ μὴν προβάλλειν καὶ ἐκπο-« ρεύειν. »

Ἀντίῤῥησις.

Ἀλλὰ κἀνταῦθα πάλιν ὡς παρὰ τοῦ Υἱοῦ ὑπάρχον τὸ παρ' αὐτοῦ πεμπόμενον καὶ διδόμενον νοηθήσεται Πνεῦμα.

Ἐκ τοῦ αὐτοῦ.

« ΝΑ'. Τί δὲ θαυμαστὸν, ἢ τί ἄπιστον, εἰ ὁ τὸ « Πνεῦμα διδοὺς Κύριος λέγεται νῦν αὐτὸς τῷ Πνεύ-« ματι χρίεσθαι, ὅπουγε χρείας πάλιν ἀπαιτούσης « οὐ παρητήσατο διὰ τὸ ἀνθρώπινον αὐτοῦ εἰπεῖν « ἑαυτὸν ἐλάττονα τοῦ Πνεύματος, τῶν γὰρ Ἰουδαίων « λεγόντων ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαι-« μόνια, ἀπεκρίθη καὶ εἶπεν αὐτοῖς, μετὰ τὸ ἐλέγ-« ξαι βλασφημοῦντας αὐτούς. Εἰ ἐγὼ ἐν Πνεύματι « θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ἰδοὺ γὰρ ὁ τοῦ « Πνεύματος δοτὴρ ἐν Πνεύματι νῦν λέγει ἑαυτὸν « ἐκβάλλειν τὰ δαιμόνια. Τοῦτο δὲ οὐκ ἔστιν ἄλλως « εἰρημένον ἢ διὰ τὴν σάρκα. »

Ἐπίστασις.

« Καὶ πάλιν ἐνταῦθα δοτὴρ τοῦ Πνεύματος ὁ Υἱὸς, « οὐ μὴν προβολεὺς τῷ ἁγίῳ δογματίζεται. »

Ἀντίῤῥησις.

Ἀλλὰ καὶ πάλιν κἀνταῦθα δοτὴρ τοῦ Πνεύματος ὁ Υἱὸς, διὰ τὸ ἐξ αὐτοῦ ὑπάρχειν τοῦτο ῥηθήσεται.

Ἐκ τοῦ αὐτοῦ.

ΝΒ'. « Τοιαῦτα μὲν οὖν τοῖς Ἰουδαίοις ὡς ἄνθρω-« πος ἔλεγεν ὁ Κύριος. Τοῖς δὲ μαθηταῖς τὴν θεότητα « καὶ τὴν μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάτ-« τονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ « ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ « ἔλεγεν· « Ἐγὼ αὐτὸ ἀποστέλλω, κἀκεῖνος ἐμὲ « δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει, » Ὥσπερ οὖν « ἐνταῦθα, τοῦ Πνεύματος δοτὴρ ὢν ὁ Υἱὸς, οὐ πα-« ραιτεῖται εἰπεῖν ἐν Πνεύματι ἐκβάλλειν τὰ δαιμό-« νια, ὡς ἄνθρωπος τὸν αὐτὸν τρόπον ὁ αὐτὸς ὢν « τοῦ Πνεύματος δοτὴρ, οὐ παρητήσατο λέγειν « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. »

Ἐπίστασις.

« Πανταχοῦ ἔνθα τοῦ μεγάλου τούτου Πατρὸς « ἀκούεις δοτῆρα τοῦ Πνεύματος τὸν Υἱὸν εἶναι δι-« δάσκοντος πρὸς τὰ ἄλλα· τούτου διδασκαλίας καὶ

A

Refutatio.

Sed adverte, exhibitum ab exhibente, veluti ab eo exsistentiam habere.

Ejusdem ex eadem.

L. « Et homo factus dicebat : « Mittam vobis « Paracletum, Spiritum veritatis [84], » misitque, « cum longe a mendacio sit Dei Verbum. Quare « Jesus Christus heri et hodie idem ipse et in sæ-« cula, immutabilis manens, et ipse est, qui dat et « accipit, dans ut Deus Verbum, accipiens ut « homo. »

Animadversio.

« Hic rursus mitti dicitur Spiritus, exhiberique, « non produci, aut procedere. »

B

Refutatio.

Sed hic rursus uti a Filio exsistens, qui ab ipso mittitur et suppeditatur Spiritus intelligetur.

Ejusdem ex eadem oratione.

LI. « Quid vero admirabile est aut incredibile, « si qui Spiritum donat Filius, dicitur nunc ipse « Spiritui inungi : cum dum necessitas urget, pro-« pter suam humanitatem non renuit dicere semet-« ipsum minorem Spiritu. Nam cum Judæi dicerent « in Beelzebub ejicere illum dæmonia [85], respondit et « dixit illis, postquam eos blasphemantes reprehen-« disset. « Si ego in Spiritu Dei ejicio dæmonia [86], » « Ecce enim Spiritus dator, quomodo nunc asserat « semetipsum in Spiritu ejicere dæmonia. Hoc vero C « non alia ratione, quam carnis enuntiavit. »

Animadversio.

« Et rursus hic Filius dator Spiritus sancti, non « productor a sancto decernitur. »

Refutatio.

Sed rursus hic quoque Spiritus dator Filius, quod ex ipso ille exsistat, dicetur.

Ejusdem ex eadem oratione.

LII. « Hæc itaque Judæis, uti homo dicebat. Ve-« rumtamen discipulis divinitatem, ac magnitudi-« nem suam ostendens, non amplius semetipsum « minorem Spiritu, sed majorem, et æqualem de-D « monstrans, exhibebat Spiritum dicebatque. Ego « ipsum mitto, et ille me glorificabit, et quæcunque « audiet dicet [87]. Quemadmodum itaque hic, dum « Spiritus dator Filius est non refugit dicere in « Spiritu ejicere dæmonia tanquam homo : pari « modo idem ipse cum exhibet Spiritum non renuit « dicere, « Spiritus Domini super me, propterea que « unxit me [88]. »

Animadversio.

« Ubicunque magnum hunc Patrem deprehendis « docentem Spiritus datorem esse Filium, tum re-« quis illius pronuntiatis effatisque confer to. Hoc

[84] Joan. xv, 26. [85] Luc. xi, 18. [86] Ibid. 20. [87] Joan. xvi, 14. [88] Isa. lxi, 1.

Digitized by Google Распознавание текста ABK/FR

« enim modo Filium datorem Spiritus vocat, tan- A « quam qui per ipsum a Patre exhibetur. »

Refutatio.

n digestis supra animadversionibus studiose auditorem adhortabaris, ut animadverteret, quomodo sanctus datorem Spiritus Filium, non productorem nuncuparet. Ubi vero deprehendisti sanctum palam ostendere causam, ob quam dator Spiritus Filius est, ibi hanc præ se ferens sententiam dictum, nulla animadversione dignum esse reputasti. Ego vero simili dicto mentem applicans, aio, maximum Athanasium, cum asserit Dominum « non amplius semetipsum minorem Spiritu, sed majorem et æqualem esse demonstrantem, exhibere Spiritum, et dicere, Ego illum mitto, » palam commonstrasse ob nullam aliam causam datorem esse Spiritus Servatorem, quam quod ille exipso exsistat. Ob quam enim aliam rationem Dominus Spiritu major dicetur, nisi quia ille ex ipso exsistit ? Prope est de hoc scripto traditum testimonium. Namque sermonem hunc meum confirmabit, in dogmatibus decernendis quam optimus, et rebus divinis exponendis præcellentissimus Anastasius, cum dicit : « Sic itaque Dominus ex semetipso Spiritum exsistere commonstrans, insufflans discipulis dicebat : « Accipite Spiritum sanctum [a]. » Et considera quomodo hic sanctus Athanasii dictum interpretatur. Quod enim terrarum orbis lumen Athanasius innuens dicebat : « Dominus majorem semetipsum Spiritu ostendens, dabat illum, » hic apertius interpretatus, hac explanatione sua orationem digessit : « Sic itaque Dominus ex semetipso ostendens Spiritum exsistere, insufflans discipulis dicebat, « Accipite Spiritum sanctum. »

Ex eadem oratione.

LIII. « Per quem vero et a quo Spiritu dandus « erat, nisi per Filium, cujus et Spiritus est ? »

Animadversio.

« Diligenter animadvertito, quid notet illud, Spi- « ritum dari per Filium, et a quo dari colligatur, « quod a Filio datur. »

Refutatio.

Tu quidem in hac animadversione per quem et a quo differre insinuas. Sed ego de Filio utrumque dici contendo, cum manifeste sanctus inculcet nihil differre, sive dixeris per Filium, sive ex Filio Spiritum sanctum.

Ejusdem ex oratione tertia contra Arianos.

LIV. « Itaque cum Salvator de nobis dicat : Quem- « admodum tu Pater in me, ita et ego in te [b], ut « et ipsi in nobis unum sint, non eamdem cum illo « identitatem nos habituros significavit : ostensum « est enim illud satis claro Jonæ exemplo, sed quod « intercessu gratiæ et dignitatis acceptæ Patri con- « ciliemur, sic Joannes inquit, ut Spiritum per « ταύτας συμβίβαζε. Οὕτω γὰρ δοτῆρα τοῦ Πνεύμα- « τος τὸν Υἱὸν λέγει, ὡς δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς « διδομένου τοῦ Πνεύματος. »

Ἀντίρρησις.

Ἐν μὲν ταῖς ἤδη προηγησαμέναις ἐπιστασίαις οὐκ ὤκνεις ἀξιοῦν τὸν ἀκροατὴν κατανοεῖν, ὅπως ὁ ἅγιος δοτῆρα τοῦ Πνεύματος, οὐ μὴν προβολέα καλεῖ τὸν Υἱόν· ἔνθα δὲ κατανόησας δεικνύντα τὸν ἅγιον προφανῶς τὴν αἰτίαν καθ' ἣν δοτὴρ τοῦ Πνεύματός ἐστιν ὁ Υἱός, ἐκεῖσε τὸ τὴν τοιαύτην δηλοῦν ἔννοιαν ῥητὸν οὐδεμιᾶς ἠξίωσας τῆς ἐπιστασίας. Ἐγὼ δὲ τῇ τοιαύτῃ ῥήσει ἐπιστήσας, φημὶ ὡς ὁ μέγιστος Ἀθανάσιος λέγων, ὅτι ὁ Κύριος « οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα, καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου τὸ Πνεῦμα καὶ ἔλεγεν, ἐγὼ αὐτὸ ἀποστέλλω, » δεδήλωκε προφανῶς, ὡς δι' οὐδὲν ἄλλο δοτὴρ ἐστι τοῦ Πνεύματος ὁ Σωτὴρ, ἀλλ' ἢ διὰ τὸ ἐξ αὐτοῦ ὑπάρχειν αὐτό. Κατὰ τί γὰρ ἂν ἄλλο καὶ ῥηθείη τοῦ Πνεύματος μείζων ὁ Κύριος, εἰ μὴ κατὰ τὸ ἐξ αὐτοῦ ὑπαρχειν αὐτό ; Καὶ ἡ γραφική μοι μαρτυρία ἐγγύς. Συστήσει γάρ μοι τὸν λόγον ὁ ἐν ἁγίοις δογματικώτατος καὶ τὰ θεῖα πολὺς Ἀναστάσιος, λέγων οὕτω· « Καὶ γοῦν ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς ὑπάρχειν τὸ Πνεῦμα, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε, « Λάβετε Πνεῦμα ἅγιον. » Ὅρα ὅπως ὁ ἅγιος οὗτος τὸ τοῦ μεγάλου Ἀθανασίου διερμηνεύει ῥητόν. Ὑπὲρ γὰρ ὁ τῆς οἰκουμένης φωστὴρ Ἀθανάσιος ἐδήλου λέγων, ὅτι ὁ Κύριος, μείζονα δεικνὺς ἑαυτὸν τοῦ Πνεύματος, ἐδίδου αὐτό. » τοῦτο καθαρώτερον διεσάφησεν οὗτος, ἐφερμηνευτικῶς τὸν λόγον προαγαγών, ἐν τῷ εἰπεῖν, « Καὶ γοῦν ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς τὸ Πνεῦμα ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· « Λάβετε Πνεῦμα ἅγιον. »

Ἐκ τοῦ αὐτοῦ.

ΝΓ. « Διὰ τίνος δὲ, καὶ παρὰ τίνος ἔδει τὸ Πνεῦ- « μα δίδοσθαι ἢ διὰ τοῦ Υἱοῦ, οὗ καὶ τὸ Πνεῦμά « ἐστιν ; »

Ἐπιστασία.

« Ἐπίστησον ἀκριβῶς τί δηλοῖ τὸ, διὰ τοῦ Υἱοῦ « τὸ Πνεῦμα δίδοσθαι. Καὶ παρὰ τίνος συνάγεται « δίδοσθαι τὸ διὰ τοῦ Υἱοῦ διδόμενον. »

Ἀντίρρησις.

Σὺ μὲν ἐν τῇ παρούσῃ ἐπιστασίᾳ διαιρεῖσθαι ἐμφαίνεις τὸ διά τινος, καὶ παρὰ τίνος· ἐγὼ καὶ ἀμφότερα εἰς τὸν Υἱὸν φημι ἐκλαμβάνεσθαι, τοῦ ἁγίου δηλοῦντος μηδέν τι διαφέρειν διὰ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα τὸ ἅγιον.

Τοῦ αὐτοῦ ἐκ τοῦ Τρίτου τῶν κατὰ Ἀρειανῶν.

ΝΔ'. « Οὐκοῦν ὁ Σωτὴρ λέγων περὶ ἡμῶν τό, « Κα- « θὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐ- « τοὶ ἐν ἡμῖν ἓν ὦσιν, » οὐ τὴν ταυτότητα ἡμῖς « μέλλοντας αὐτῷ ἕξειν σημαίνει. Ἐδείχθη γὰρ ἐκ « τοῦ κατὰ Ἰωνᾶν παραδείγματος καὶ τοῦτο, ἀλλ' « ὀξίωσίς ἐστι πρὸς τὸν Πατέρα, καὶ ὡς Ἰωάννης « ἔγραψεν, ἵνα τὸ Πνεῦμα χαρίσηται δι' αὐτοῦ τοῖς

[a] Joan. xx, 22. [b] Joan. xiv, 10.

Digitized by Google Распознавание текста АВК/FR

« πιστεύουσι, δι' οὗ καὶ δοκοῦν μὲν ἐν τῷ Θεῷ γί- A
« νεσθαι καὶ κατὰ τοῦτο συνάπτεσθαι ἐν αὐτῷ. Ἐπειδὴ
« γὰρ ὁ Λόγος ἐστὶν ἐν τῷ Πατρὶ, τὸ δὲ Πνεῦμα ἐκ
« τοῦ Λόγου δίδοται, θέλει λαβεῖν ἡμᾶς τὸ Πνεῦμα. »

Ἐπιστασία.

« Τὸ αὐτὸ κἀκ τῆς ἐν τῇ παρούσῃ περικοπῇ θαυ-
« μασίας πλοκῆς, καὶ τοῦ οἷον συλλογισμοῦ ἀναφαί-
« νεται, εἰ καὶ μὴ διὰ τοῦ Λόγου, ἀλλ' ἐκ τοῦ Λόγου
« εἶπεν ἐνταῦθα τὸ Πνεῦμα δίδοσθαι. »

Ἀντίῤῥησις.

Οὐ πάνυ σου ἡ ἐνταῦθα ἐπιστασία, δυσαπολόγη-
τος. Ἐκ γὰρ τῆς ἐν τῇ ῥηθείσῃ περικοπῇ θαυμασίας
πλοκῆς καὶ τοῦ οἷον, ἵνα κατὰ σὲ εἴποιμι, συλλογι-
σμοῦ οὐ τὸ αὐτὸ τοῖς προλαβοῦσιν, ὡς σὺ φῂς, ἀνα- B
φαίνεται· ἀλλ' ἐκεῖνα ἅπερ ὡς προϊόντες εἰσόμεθα
ἐν τῇ πρὸς Σεραπίωνα Ἐπιστολῇ ὁ ἅγιος ἐρεῖ, ἐν οἷς
αὐτὸν εὑρήσομεν λέγοντα, « Ἐκ Πατρὸς τὸ Πνεῦμα
ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς
ὁμολογουμένου ἐκλάμπει καὶ ἀποστέλλεται καὶ
δίδοται.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ πρὸς Μελέτιον καὶ Εὐσέβιον τὸν Σαμοσατέα ἐλέγχου.

ΝΓ'. « Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ
« Πνεῦμα δοξάζεσθαι, μὴ προσδικῶς ὂν ἐκ Θεοῦ
« δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς
« λέγουσιν. »

Ἐπιστασία.

« Πρόσχες ἀκριβῶς τῇ τοῦ ἁγίου γραφῇ, πῶς
« ἔνθα πρόοδον λέγει τοῦ Πνεύματος, εὐθὺς ἐκ τοῦ C
« Πατρὸς αὐτὴν δογματίζει. Τοῦτο γὰρ πάντως
« δηλοῖ τὸ, ἐκ Θεοῦ δι' Υἱοῦ. »

Ἀντίῤῥησις.

Εὖ σοι γένοιτο, ἄνθρωπε, ὅτι ἐκ Θεοῦ δι' Υἱοῦ τὴν
τοῦ Πνεύματος πρόοδον ὡμολόγησας. Ὅσον γὰρ οὔπω
ἀλώσῃ ὁμολογήσας καὶ τὸ τῆς ἐξ καὶ διὰ ἰσοδύναμον
ἐπὶ τοῦ Υἱοῦ. Καὶ οὐ πόῤῥω λοιπὸν εἶ τῶν λεγόντων
ἐξ ἀμφοῖν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς Σεραπίωνα ἐπιστολῆς.

ΝΖ'. « Οὐκοῦν κακῶς φρονοῦντες περὶ τοῦ Πνεύ-
« ματος τοῦ ἁγίου, οὐδὲ περὶ τοῦ Υἱοῦ καλῶς φρο-
« νοῦσιν. Εἰ γὰρ ἐφρόνουν ὀρθῶς περὶ τοῦ Λόγου,
« ἐφρόνουν ὑγιῶς καὶ περὶ τοῦ Πνεύματος. Ὃ παρὰ
« τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον ὂν D
« παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς καὶ πᾶσι τοῖς
« πιστεύουσιν εἰς αὐτόν. »

Ἐπιστασία.

« Ἐπίστησον ἀκριβῶς τῇ περικοπῇ ταύτῃ, καὶ
« θαύμασον, τὴν τοῦ ἁγίου ἀκρίβειαν, πῶς ἐκπορεύ-
« σεως μνησθεὶς τοῦ ἁγίου Πνεύματος καὶ δόσεως,
« τὴν μὲν ἐκπόρευσιν τούτου τῷ Πατρὶ ἀπένειμε,
« τὴν δὲ δόσιν τῷ Υἱῷ. »

Ἀντίῤῥησις.

Σὺ μὲν καὶ πάλιν τὴν ἐκπόρευσιν καὶ δόσιν διαι-
ρεῖς· ἐγὼ δὲ τὸν ἀκροατὴν ὑπομνήσω ὡς τὸ διδόμε-
νον παρὰ Υἱοῦ Πνεῦμα, ὡς ἐξ αὐτοῦ ὑπάρχον, ἔστι
διδόμενον παρ' αὐτοῦ.

« eum credentibus largiatur, per quem videmur in
« Deo exsistere, eaque ratione in illo coaptari. Nam
« quoniam Verbum est in Patre, et Spiritus a
« Verbo donatur, ideo voluntas ejus est, ut nos ac-
« cipiamus Spiritum. »

Animadversio.

« Hoc idem ex admirabili, quæ in ista pericope
« continetur implicatione, et tantum non syllogismo
« apparet, licet non per Verbum, sed a Verbo Spi-
« ritum exhiberi dixerat. »

Refutatio.

Animadversio tua, quam hic complicas, non ita facile responsionem admittit. Namque ex admirabili implicatione et tantum non syllogismo in jam allata pericope, ut tecum loquar, contentis, non idem cum supra positis exprimit, sed ea ipsa, quæ progressu orationis in Epistola ad Serapionem sanctus dicet, deprehendemus, in quibus eum aperte dicentem reperiemus, « Ex Patre Spiritum procedere, cum a Verbo quod ex Patre asseritur, eluceat, et mittatur, et detur. »

Ejusdem ex refutatione hypocriseos Meletii, et Eusebii Samosateni.

LV. « Erat vero impossibile in Trinitatis gloria
« Spiritum glorificari, nisi ex Deo per Filium pro-
« gredieretur, sed æqua atque aliæ creaturæ ex Deo
« productus fuisset, ut asserunt. »

Animadversio.

« Attende diligenter et scriptum Patris examina:
« statim enim atque progressionem Spiritus insi-
« nuat, illico ex Patre eam decernit. Hoc enim pror-
« sus innuit, ex Deo per Filium. »

Refutatio

Fausta tibi obveniant, mi homo, quod ex Deo per Filium Spiritus progressionem fateris, nec multo post deprehenderis confiteri præpositionum *ex* et *per* de Filio vires æquales, et sic non multum abes ab iis, qui ex utroque Spiritum esse decernunt.

Ejusdem ex epistola ad Serapionem.

LVI. « Male itaque sentientes de Spiritu sancto,
« haud recte de Filio sentiunt. Etenim si recte de
« Filio sentirent, sane utique recteque de Spiritu
« sentirent qui ex Patre procedit, et Filii cum pro-
« prius sit, ab eodem datur discipulis, et universis
« in illum credentibus. »

Animadversio.

« Animadvertito diligenter hanc pericopem, et
« exquisitum sancti acumen admirare; dum enim
« processionis Spiritus sancti, et dationis mentio-
« nem inducit, hujus quidem processionem Patri,
« dationem Filio attribuit. »

Refutatatio.

Tu rursus inter processionem et dationem discrimina comminisceris. Verum ego in memoriam auditoris revocavero, qui datur a Filio Spiritus, eum tanquam ex ipso exsistentem aliis exhiberi.

Digitized by Google Распознавание текста АВК/FR

Ejusdem ex eadem epistola.

LVII. « Dicite igitur, si in aliquo divinæ Scri-
« pturæ loco reperitur Spiritus sanctus simplici
« nomine Spiritus vocatus absque adjectione, Dei
« scilicet, sive Patris, aut mei ipsius Christi et
« Filii, aut ex meo, quod est a Deo : aut cum ar-
« ticulo, ne simpliciter Spiritus nuncuparetur, sed
« hic Spiritus, aut Spiritus sanctus, aut Paracle-
« tus, aut veritatis, quod est Filii, qui dicit, « Ego
« sum veritas [61], ut audientes simpliciter prola-
« tum Spiritum intelligeretis, esse Spiritum san-
« ctum. »

Animadversio.

« Figito altius mentem allato Athanasii scripto,
« ex illum præpositionem in Spiritus exsistentia
« soli Patri attribuere. »

Refutatio.

Præpositionem *ex* de Spiritus exsistentia accipiens tu recte in sancti Patris scriptum allatum mentem figis : verumtamen soli Patri illam attribuens, maximum in modum a vera illius intelligentia aberras, namque, cum multæ scripto traditæ auctoritates ex Patre et Filio Spiritum esse stabiliant, nescio an ulla alia, quæ ex utroque apertius comprobet, assignari poterit. Cum enim in jam positis sanctus ostendere sibi proposuerit, ubicunque Spiritus cum additione pronuntiatus reperitur, nempe Dei, sive Patris, sive Christi, sive Filii, ipsum insinuare Spiritum, ex Triade unum, ipsiusque Triadis completivum, inter alia quibus adjectio id indicat, superaddit et illud, veluti a Filio dictum, aut a me ipso, quod a Deo est ; idque asserens, ex utroque Spiritum esse commonstravit, modumque quo ex utroque est. Cum etiam asserat veluti ex Filio dici tanquam ex meipso, quod est a Deo, in duorum horum nominum complicatione illud ex utroque explicuit. Sic prius mentionem Filii inducens, illicoque adnectens, quod est a Deo, demonstravit, veluti ex uno Patre et Filio, non veluti ex duabus causis et principiis Spiritum sanctum esse : qua enim ratione duæ esse Spiritus sancti causæ poterunt Pater et Filius, cum Filius dicat, Spiritus ex me, quod est ex Deo, tantumque non inclamante, licet ex me Spiritus est, verum in Patrem primariam et absque principio causam, unde et ego quod sim habeo, refertur. Quemadmodum enim in aliis dixi, quidquid a Filio et ex Filio, et per Filium esse dicitur, in Patrem refertur. Propterea quique ex Patre, per Filium, et ex utroque exsistit, veluti ex uno est. Nec parum ad id idem conducit, quod etiam a magno Basilio in quadragesima homilia Moralium dicitur cum scribit : « Non alienus, est a gloria Patris Dei Spiritus ex ineffabili ore, ineffabiliter apparens, sed Dei Spiritus, et apud Deum, et a Deo missus, et per Filium suppeditatus, ut dicitur a paterna persona, spiritus meus, qui est in te.

[61] Joan. XIV, 6.

A *Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.*

ΝΖ'. « Εἴπατε γοῦν, εἴ που τῆς θείας Γραφῆς εὑ-
« ρίσκεται τὸ Πνεῦμα τὸ ἅγιον εἰρημένον ἁπλῶς
« Πνεῦμα χωρὶς προσθήκης τοῦ λέγεσθαι ἢ τοῦ
« Θεοῦ ἢ τοῦ Πατρὸς, ἢ ὅτι ἐμοῦ αὐτοῦ τοῦ Χριστοῦ
« καὶ Υἱοῦ, ἢ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἢ
« μετὰ τοῦ ἄρθρου, ἵνα μὴ ἁπλῶς λέγηται Πνεῦμα,
« ἀλλὰ τὸ Πνεῦμα ἢ αὐτὸ τοῦτο Πνεῦμα ἅγιον, ἢ
« παράκλητον, ἢ ἀληθείας, ὅ ἐστι τοῦ Υἱοῦ τοῦ λέ-
« γοντος, « Ἐγώ εἰμι ἡ ἀλήθεια, ἵνα ἀκούοντες ἁπλῶς
« Πνεῦμα, ὑπονοήσητε εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. »

Ἐπιστασία.

« Ἐμβαθυνον τῇ τοιαύτῃ τοῦ ἁγίου συγγραφῇ,
« πῶς τὴν παρὰ πρόθεσιν εἰς τὴν τοῦ Πνεύματος
B « ὕπαρξιν μόνῳ τῷ Πατρὶ ἀφορίζει. »

Ἀντίρρησις.

Τὴν μὲν παρὰ πρόθεσιν εἰς τὴν τοῦ Πνεύματος ὕπαρξιν ἐκλαμβάνων, καλῶς τῇ τοῦ ἁγίου συγγραφῇ ἐμβαθύνεις· μόνῳ δὲ τῷ Πατρὶ ἀφορίζων αὐτὴν, πολὺ τῆς ἀληθοῦς διανοίας ἀφέστηκας· πολλῶν γὰρ χρήσεων γραφικῶν ἐκ Πατρὸς καὶ Υἱοῦ δηλουσῶν εἶναι τὸ Πνεῦμα, οὐκ οἶδα εἴ τις ἑτέρα τῆς χρήσεως ταύτης ἐκδηλότερον δηλώσει τὸ ἐξ ἀμφοῖν. Ἐν γὰρ τοῖς ἤδη ῥηθεῖσιν ὁ ἅγιος, θέλων παραστῆσαι, ὡς, ὅποι ἂν εὑρίσκηται τὸ Πνεῦμα εἰρημένον μετὰ προσθήκης τυχὸν τοῦ Θεοῦ, ἢ τοῦ Πατρὸς, ἢ τοῦ Χριστοῦ, ἢ τοῦ Υἱοῦ αὐτὸ δηλοῖ τὸ Πνεῦμα τὸ τῆς Τριάδος ἓν καὶ συμπληρωτικὸν τῆς Τριάδος, πρὸς τοῖς C ἄλλοις ὧν ἡ προσθήκη τοῦτο δηλοῖ, προσενείρει· καὶ τὸ ὡς ἀπὸ τοῦ Υἱοῦ εἰρημένον τὸ, ἢ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ. Καὶ τοῦτο εἰπὼν ὁ ἅγιος, ὅτε ἐξ' ἀμφοῖν τὸ Πνεῦμα ἐνεφηνε, καὶ ὅπως ἐξ ἀμφοῖν. Ἐν γὰρ τῷ εἰπεῖν ὡς ἀπὸ τοῦ Υἱοῦ τὸ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἐν μὲν τῇ τῶν δύο ὀνομάτων ἐπιπλοκῇ ἐνέφηνε τὸ ἐξ ἀμφοῖν· ἐν δὲ τῷ μνησθῆναι πρότερον τοῦ Υἱοῦ, καὶ συντόμως ἐπαγαγεῖν, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἐνέφηνε τὸ ὡς παρ' ἐνὸς τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, οὐμενοῦν ὡς παρὰ δύο αἰτίων καὶ ἀρχῶν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Πῶς γὰρ ἂν εἶεν δύο τοῦ Πνεύματος αἴτια Πατὴρ καὶ ὁ Υἱὸς, τοῦ Υἱοῦ λέγοντος, τὸ Πνεῦμα παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, καὶ μόνον οὐχὶ βοῶντος ὡς εἰ καὶ παρ' ἐμοῦ τὸ Πνεῦμά ἐστιν, ἀλλ' εἰς τὸν Πατέρα τὴν πρώ- D την καὶ ἀναρχον αἰτίαν ἐστὶν ἀναφερόμενον, ὅθεν καὶ ἐμοὶ τὸ εἶναί ἐστιν. Ὡς γὰρ καὶ ἐν ἄλλοις εἰρήκειμεν, εἴ τε παρὰ Υἱοῦ, καὶ ἐξ Υἱοῦ, καὶ δι' Υἱοῦ λέγεται εἶναι, εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει, καὶ διὰ τοῦτο τὸ ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ ἐξ ἀμφοῖν ὑπάρχον, ὡς ἐξ ἑνός ἐστιν. Οὐκ ὀλίγα δὲ πρὸς τοῦτο συμβάλλει καὶ τὸ παρὰ τοῦ μεγάλου Βασιλείου ἐν τῇ τεσσαρακοστῇ ὁμιλίᾳ ῥηθὲν τῶν αὐτοῦ Ἠθικῶν, ἐν οἷς ἔφη, « Οὐκ ἀλλότριον τῆς τοῦ Θεοῦ δόξης τὸ Πνεῦμα ἐκ τοῦ ἀῤῥήτου στόματος ἀῤῥήτως πεφηνὸς, ἀλλὰ Θεοῦ Πνεῦμα καὶ παρὰ Θεῷ, ἀποστελλόμενον παρὰ Θεοῦ, καὶ δι' Υἱοῦ χορηγούμενον, ὡς λέγεται μὲν ἐκ τοῦ πατρικοῦ προσώπου, τὸ Πνεῦμα τὸ ἐμὸν, ὅ

Digitized by Google Распознавание текста ABBYY FR

ἐστιν ἐπὶ σοί. Λέγεται δὲ ὑπὸ τοῦ Κυρίου ὅτι, « Παράκλητον πέμψω ὑμῖν, » ὃν τινα καὶ καλεῖ τὸ Πνεῦμα τῆς ἀληθείας. » Εἰ γοῦν ὁ μὲν μέγας Βασίλειος διατρανοῖ ἐκ τοῦ πατρικοῦ προσώπου λέγεσθαι τὸ Πνεῦμα τὸ ἐμὸν, ὅ ἐστιν ἐπὶ σοὶ, ὁ δὲ μέγας Ἀθανάσιος ὡς ἀπὸ τοῦ Υἱοῦ λέγει τὸ Πνεῦμα παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, πῶς οὐ προδήλως ἐντεῦθεν ἐκ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἀναφαίνεται, καὶ οὐχ ὡς ἐκ δύο αἰτίων καὶ ἀρχῶν, ἀλλ' ὡς ἐξ ἑνός; Ἀλλὰ καὶ ὁ ἅγιος Κύριλλος τοῖς μεγάλοις τούτοις Πατράσιν εἰς τὴν αὐτὴν ἔννοιαν συγκρατήσει ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην, νῦν μὲν ὡς ἀφ' ἑαυτοῦ λέγων· « Ὥσπερ γάρ ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊόν, οὕτω καὶ τοῦ Πατρός· οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ φύσεως οὐ διωρισμένα· » νῦν δὲ λέγων ὡς ἀπὸ τοῦ Υἱοῦ πρὸς τοὺς μαθητάς· « Ἐμὸν γὰρ Πνεῦμα τὸ ἐνεργοῦν ἐν ὑμῖν. Ὥσπερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ θεοῦ καὶ Πατρός. »

A Dicitur quoque a Christo : « Paracletum mittam vobis, quem et vocat Spiritum veritatis [66]. » Si igitur magnus Basilius aperte exponit, ex persona Patris dici, Spiritus meus, qui est in te : et magnus Athanasius, uti ex Filio dicit Spiritum, ex me, quod est ex Deo, quomodo hic non apertissime ostenditur inde colligi, ex Patre et Filio esse Spiritum, et non tanquam ex duabus causis et principiis, sed tanquam ex uno ? Sed et sanctus Cyrillus cum magnis hisce Patribus in eadem sententia concordabit in interpretatione Evangelii secundum Joannem, nunc quidem veluti ex seipso dicens : « Quemadmodum enim proprius est Spiritus Filii, naturaliter in ipso exsistens, et per ipsum progrediens, ita et Patris. Quibus vero B Spiritus communis est, illis prorsus fuerint, et quæ essentiæ sunt, non separata : » nunc vero, uti a Filio ad discipulos : « Meus enim Spiritus, qui operatur in vobis. Quemadmodum enim meus ita et Dei et Patris est. »

Ἐκ τῆς αὐτῆς.

ΝΗ'. « Οὐ γὰρ ἄγγελον συνέτασσε τῇ θεότητι, « οὐδὲ ἐν κτίσματι συνῆπτεν ἡμᾶς ἑαυτῷ καὶ τῷ « Πατρὶ, ἀλλ' ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ὅπερ αὐτὸς « ἐπαγγειλάμενος, οὐκ εἴρηκεν ἄγγελον ἀποστέλλειν, ἀλλὰ τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ « Πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ Υἱοῦ λαμβάνει, « καὶ δίδοται. »

Ex eadem Epistola.

LVIII. « Neque enim angelum una cum Divinitate collocabat, neque in creatura sibimetipsi et « Patri nos conjungebat, sed in Spiritu sancto, « quem ipse promittens, non dixit angelum mittere, « sed Spiritum veritatis, qui a Patre procedit, et « ex Filio accipit et datur. »

Ἐπιστασία.

C « Καὶ τοῦτο τοῖς προειρημένοις ἀκόλουθον· παρὰ « μὲν γὰρ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἐκ « τοῦ Υἱοῦ δὲ λαμβάνειν, καὶ δίδοσθαι, διδάσκει ὁ « ἅγιος. »

Animadversio.

« Hoc quoque cum jam dictis concordat, a Patre quidem Spiritum procedere, ex Filio vero accipere, et dari sanctus edocet. »

Ἀντίρρησις.

Ἀληθῶς παρὰ μὲν τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἐκ τοῦ Υἱοῦ δὲ λαμβάνειν διδάσκει ὁ ἅγιος. Σκόπει δὲ καὶ ὅτι ἀληθῶς ἐκ τῶν εὐαγγελικῶν τούτων ῥήσεων δείκνυται τὸ ἐξ ἀμφοῖν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον· ὅπερ καὶ δηλῶσαι βουλόμενος ἐνταῦθα ὁ ἅγιος, ἀλλήλαις τὰς εὐαγγελικὰς ταύτας προσέπλεξε ῥήσεις. Ὅστις γὰρ ἂν τῶν ἁγίων θελήσειε θεολογῶν ἐκ Πατρὸς καὶ Υἱοῦ δηλῶσαι εἶναι τὸ Πνεῦμα, δηλοῖ τοῦτο μάρτυσι ταῖς εὐαγγελικαῖς D ταύταις φωναῖς χρώμενος· Καὶ συστήσει μοι τὸν λόγον ὁ πολὺς τὰ θεῖα Ἐπιφάνιος ἐν οἷς λέγει· « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστός· « Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ, « οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Τέως ὁ τοῖς παροῦσιν ἐντυγχάνων ἐπίστησον, πῶς ὁ ἐν ταῖς πρὸς τοὺς καθδηναλίου; διαλέξεσιν ἑνστατικῶς πάνυ λέγων ὅτι φῂ, Ἐκ τοῦ ἐμοῦ λήψεται, πρὸς τὸ πατρικὸν ἔχει πρόσωπον τὴν ἀναφορὰν, καὶ οὐχὶ ἑαυτὸ-

Refutatio.

Vere quidem a Patre procedere Spiritum, a Filio vero accipere sanctus docet. Considera porro tu ex his evangelicis dictis vere ostendi, Spiritum sanctum ex utroque esse : quod cum hic insinuare vellet sanctus, hæc evangelica dicta inter sese complicavit. Quicunque enim ex Patribus, Spiritum ex Patre et Filio esse commonstrare voluerit, non aliis quam hisce evangelicis testimoniis usus demonstraverit. Et sermonem hunc meum in rebus divinis pertractandis eximius Epiphanius comprobaverit, cum scribit : « Utraque in homine justo habitant Christus et Spiritus ipsius. Quod si Christus ex Patre creditur esse, Deus ex Deo, et Spiritus ex Christo, sive ex utroque, ut Christus insinuat : « Qui a Patre procedit [65], » et hic « de meo accipiet [66]. » Tandem qui hæc percurris animum advertito, eum qui cum cardinalibus instanter nimis contendens, illud, Ex meo accipiet, a Patris personam relationem habere et non ad semetipsum ostendere, dictiones similes pronuntiat, hic ex Filio Spiritum accipere fateri ; agnoscito.

[65] Joan xv, 26. [66] ibid. [66] ibid. xvi, 14, 15.

Digitized by Google Распознавание текста ABK/FR

que eum non veritatem exquirere, sed contentionem propagare.

Ejusdem ex eadem.

LIX. « Sancta enim et beata Trinitas indivisa, « et in semetipsa conjuncta est, et cum enuntiatur « Pater, adest etiam illius Verbum, et qui in Filio « est Spiritus. Cum vero nominatur Filius, in Filio « Pater est, et Spiritus extra Verbum non est. « Una siquidem est Patris gratia, quæ per Filium « in Spiritu sancto completur. »

Animadversio.

« Advertito hic dici, in Filio Spiritum, non autem ex Filio. »

Refutatio.

In jam posita pericope Spiritum in Filio, non autem ex Filio dici Spiritum animadversione tua notas, quæ vero in ea est admirabilis complexio, et tantum non, ut tuis utar verbis, syllogismus, apparere per Filium Spiritum Patri conjunctum, tanquam qui per Filium ex Patre exsistit, unde et beatæ Trinitatis naturam indivisam sanctus colligit, tanquam nulla animadversione digna præteris.

Ex eadem Epistola.

LX. « Quemadmodum enim Filius, qui in Patre « est, et in quo Pater est, non est creatura, sed « paternæ essentiæ proprius, hoc enim vos quo- « que affirmare dissimulatis ; pari modo et Spiritus, « qui in Filio est, et in quo Filius est, non est fas « cum creaturis collocari. »

Animadversio.

« Prudenter hanc pericopem considerato, verbo- « rum enim ansam tibi sanctus exhibere nolens « cum scribit Spiritum etiam in Filio esse per « ipsum, et ex ipso esse dicendi, subjunxit etiam « de Filio, in quo est, in Spiritu nempe, nihil aliud « ibidem ostendens nisi essentiam, naturamque in- « divisam. Hoc enim ipsum et de Patre et Filio « antea insinuaverat. »

Refutatio.

Mutuam inter se hypostaseon circummigrationem, et quod inde sequitur indivisum essentiæ ac naturæ sanctum indicasse ex iis, quæ in dicta pericope continentur, manifestum est. Verumtamen non eo quo tu dicis scopo dicta enuntiavit, ne quis suspicaretur ex Filio esse Spiritum, quod in Filio Spiritus esset. Quæ enim ex Filio Spiritum esse rationes demonstrant, non in præpositione *ex* subsistunt, sed inde robur accipient, unde nos palam aperteque sæpius demonstravimus.

Ejusdem ex eadem.

LXI. « Spiritus sanctus semper idem est : ne- « que enim est ex participantibus, sed illius uni- « versa participant. Quod si is semper idem est et « participatum, creaturæ vero illius participant, non « erit Spiritus sanctus, neque angelus, neque Ver-

A παραδεικνύει ὁ τὴν λέξιν ταύτην εἰπών, ἐνταῦθα ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα ὁμολογεῖ. Καὶ γνῶθι μὴ ἀλήθειαν αὐτὸν ἐκζητεῖν, ἀλλὰ πεισμονὴν συνιστᾷν.

Ἐκ τῆς αὐτῆς.

Νθ'. « Ἡ γὰρ ἁγία καὶ μακαρία Τριὰς ἀδιαίρετος « καὶ ἡνωμένη πρὸς ἑαυτὴν ἐστι, καὶ λεγομένου τοῦ « Πατρὸς, πρόεστι καὶ ὁ τούτου Λόγος, καὶ τὸ ἐν « τῷ Υἱῷ Πνεῦμα. Ἐὰν δὲ καὶ ὁ Υἱὸς ὀνομάζηται, « ἐν τῷ Υἱῷ ἐστιν ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα οὐκ ἔστιν « ἐκτὸς τοῦ Λόγου. Μία γάρ ἐστιν ἡ ἐκ τοῦ Πατρὸς « χάρις δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ πληρουμένη. »

Ἐπίστασις.

« Ὅρα, πῶς τὸ ἐν τῷ Υἱῷ λέγει Πνεῦμα, οὐ μὴν « τὸ ἐκ τοῦ Υἱοῦ. »

B

Ἀντίῤῥησις.

Ὅτι μὲν ἐν τῷ Υἱῷ, οὐ μὴν ἐκ τοῦ Υἱοῦ ἐν τῇ ῥηθείσῃ περικοπῇ λέγει ὁ ἅγιος τὸ Πνεῦμα, ἐπιστασίας ἀξιοῖς· ὅτι δὲ ἐκ τῆς ἐν αὐτῇ θαυμασίας πλοκῆς, καὶ τοῦ, οἷον κατὰ σὲ, καὶ πάλιν εἰπεῖν συλλογισμοῦ, ἀναφαίνεται διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα συναπτόμενον τῷ Πατρὶ, ὡς διὰ τοῦ Υἱοῦ ὑπάρχον ἐκ τοῦ Πατρὸς, ὁπόθεν καὶ τὸ τῆς μακαρίας Τριάδος ἀδιαίρετον ὁ ἅγιος εἶναι δεδήλωκε, τοῦτο οὐδεμιᾶς ἐπιστασίας ἀξιοῖς.

Ἐκ τῆς αὐτῆς.

Ξ'. « Ὥσπερ γὰρ ὁ Υἱὸς, ὁ ἐν τῷ Πατρὶ ὢν, ἐν ᾧ « καὶ ὁ Πατήρ ἐστιν, οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιος τῆς « τοῦ Πατρὸς οὐσίας· τοῦτο γὰρ καὶ ὑμεῖς προσποι- « εῖσθε λέγειν· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἐν τῷ Υἱῷ, C « ἐν ᾧ καὶ ὁ Υἱός ἐστιν, οὐ θέμις τοῖς κτίσμασι συν- « τάσσειν. »

Ἐπίστασις.

« Συνετῶς ἐπίστησον τῇ περικοπῇ ταύτῃ. Ἵνα γὰρ « μὴ λόγων λαβὰς ὁ ἅγιος δώσαι σοι εἰπὼν τὸ Πνεῦμα « καὶ ἐν τῷ Υἱῷ εἶναι, ὡς διὰ τοῦτο καὶ ἐξ αὐτοῦ « εἶναι λέγειν σε, ἐπήγαγε καὶ περὶ τοῦ Υἱοῦ τὸ, « ἐν ᾧ ἐστιν, ἤγουν ἐν τῷ Πνεύματι, οὐδὲν ἕτερον « ἐντεῦθεν δεικνὺς ἢ τὸ τῆς οὐσίας καὶ φύσεως « ἀδιαίρετον. Τὸ αὐτὸ γὰρ καὶ περὶ Πατρὸς καὶ « Υἱοῦ εἴρηκεν. »

Ἀντίῤῥησις.

Ὅτι μὲν τὴν ἐν ἀλλήλαις τῶν ὑποστάσεων περιχώρησιν, καὶ τὸ ἐντεῦθεν ἀδιαίρετον τῆς οὐσίας καὶ φύσεως ὁ ἅγιος παρεδήλωσεν, ἀπὸ τῶν ἐμπεριειλημμένων τῇ ῥηθείσῃ περικοπῇ πρόδηλόν ἐστιν· οὐ μὴν δὲ τὰ ῥηθέντα ὁ ἅγιος ἔφη, ἵνα, ὡς σὺ φῂς, μή τις οἰήσαιτο ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα διὰ τὸ ἐν τῷ Υἱῷ εἶναι αὐτό· οἱ γὰρ ἐκ τοῦ Υἱοῦ δεικνύντες ὑπάρχειν αὐτὸ λόγοι οὐκ εἰς τὴν ἐκ περιέστησαν πρόθεσιν, ἀλλ' ἐκεῖθεν τὴν ἰσχὺν ἔχουσιν, ὅθεν πολλάκις καθαρῶς ἀπεδείξαμεν.

D

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

ΞΑ'. « Τὸ Πνεῦμα τὸ ἅγιον ἀεὶ τὸ αὐτό ἐστιν· οὐ « γὰρ τῶν μετεχόντων ἐστὶν, ἀλλ' αὐτοῦ τὰ πάντα « μετέχει. Εἰ δὲ τοῦτο μὲν, ἀεὶ τὸ αὐτὸ ἐστι καὶ « μεθεκτὸν, τὰ δὲ κτίσματα μετέχοντά ἐστιν αὐτοῦ, « οὐκ ἂν εἴη τὸ Πνεῦμα τὸ ἅγιον οὔτε ἄγγελος οὔτε

Digitized by Google Распознавание текста ABK/FR

« Λόγος, ἀλλ' ἴδιον τοῦ Λόγου, παρ' οὗ διδόμενον A « bum, sed proprius Verbi, a quo datus a creaturis
« μετέχεται παρὰ τῶν κτισμάτων. » « participatur. »

Ἐπιστασία.

« Πρόσσχες τῇ θαυμαστῇ τοῦ ἁγίου ἀκριβείᾳ, πῶς « ἔνθα τὴν *παρὰ* πρόθεσιν ἐπὶ τοῦ Υἱοῦ τέθεικε, « διδόμενον εἶπε τὸ Πνεῦμα. »

Animadversio.

« Attendito admirabilem exquisitamque hujusce « sancti in hac re exprimenda diligentiam. Ubi « enim præpositionem *ex* apposuit, dari Spiritum « dixit. »

Ἀντίῤῥησις.

Ἡ θαυμαστὴ τοῦ ἁγίου ἀκρίβεια εἰδέναι σε θέλει ὡς τὸ παρὰ τοῦ Υἱοῦ διδόμενον Πνεῦμα ὡς παρὰ τοῦ Υἱοῦ ὑπάρχον δίδοται παρ' αὐτοῦ.

Refutatio.

Admirabilis atque accurata sancti in re exprimenda diligentia, id a te non ignorari vult, Spiritum, qui a Filio datur, veluti ex Filio exsistentem exhiberi.

Ἐκ τῆς αὐτῆς.

ΞΒ'. « Ἃ γὰρ τὸ Πνεῦμα ἑκάστῳ διαιρεῖ, ταῦτα « παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται. « Πάντα γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι· διὸ καὶ B « τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ « Πατρός ἐστι χαρίσματα. Καὶ τοῦ Πνεύματος δὲ « ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδούς ἐστιν « ἐν ἡμῖν· ἐν τῷ Λόγῳ δέ ἐστιν ὁ Πατήρ. »

Ex eadem.

LXII. « Quæ enim Spiritus unicuique distri- « buit, ea a Patre per Filium suppeditantur : « omnia siquidem Patris Filii sunt. Quare et quæ « a Filio in Spiritu donantur, Patris sunt munera. « Et Spiritus cum est in nobis, et Verbum illum « exhibens in nobis, in Verbo autem Pater est. »

Ἐπιστασία.

« Πρόσσχες πῶς τὰς τοῦ Πνεύματος δωρεὰς παρὰ « τοῦ Πατρὸς δι' Υἱοῦ λέγει χορηγεῖσθαι. »

Animadversio.

« Attendito Spiritus munera a Patre per Filium « suppeditari. »

Ἀντίῤῥησις.

Ἐὰν ἀληθείᾳ προσσχεῖν ἐθέλῃς, ἀκροατά, πῶς τὰς τοῦ Πνεύματος δωρεὰς παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ λέγει ὁ ἅγιος χορηγεῖσθαι, δεῖ σε προσσχεῖν, πῶς τὰ διαιρούμενα παρὰ τοῦ Πνεύματος ἑκάστῳ χαρίσματα παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου εἰσὶ χορηγούμενα. Εἰ μὲν γὰρ παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου νοήσεις τὰ χαρίσματα χορηγούμενα, ὡς τοῦ χορηγοῦντος C αὐτὰ Πνεύματος παρὰ Πατρὸς ὑπάρχοντος διὰ Υἱοῦ, καλῶς καὶ νουνεχῶς ὄντος τῇ τοῦ ἁγίου προσέσχες ἐννοίᾳ. Εἰ δὲ παρὰ τοῦτον τὸν λόγον ἄλλως νοήσεις παρὰ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ τὰ τοῦ Πνεύματος χορηγεῖσθαι χαρίσματα, καὶ ἀμφοτέρους τόν τε Πατέρα καὶ τὸν Υἱὸν ὑπηρέτας τῆς τῶν πνευματικῶν χαρισμάτων νοήσεις διανομῆς· κατὰ γὰρ πᾶσαν ἀνάγκην τῷ λόγῳ χορηγοῦνται ταῦτα παρὰ Πατρὸς· τῷ αὐτῷ χορηγηθήσονται καὶ διὰ τοῦ Υἱοῦ. Καὶ εἰ μὲν παρὰ Πατρὸς, ὡς τοῦ Πνεύματος ὑπάρχοντος παρὰ τοῦ Πατρὸς, εὔδηλον ὅτι καὶ διὰ τοῦ Υἱοῦ, ὡς τοῦ Πνεύματος ὑπάρχοντος διὰ Υἱοῦ· εἰ δὲ διὰ Υἱοῦ χορηγεῖσθαι λέγεις αὐτὰ, μὴ ὑπάρχοντος τοῦ Πνεύματος διὰ Υἱοῦ, πάντως χορηγηθήσονται καὶ παρὰ D τοῦ Πατρὸς, μὴ τοῦ Πνεύματος ὑπάρχοντος παρὰ τοῦ Πατρός. Καὶ τίς ἔτι λείπεται λόγος; μὴ συνάγεσθαι ἐντεῦθεν ὑπηρετικῶς παρὰ Πατρὸς καὶ Υἱοῦ τὰ πνευματικὰ χορηγεῖσθαι χαρίσματα;

Si cum veritate attendere vis, o auditor, qua ratione Spiritus munera a Patre per Filium sanctus hic doceat suppeditari, attendendum est, quomodo a Spiritu singulis munera distributa, a Patre per Filium suppeditantur. Etenim si a Patre per Verbum munera suppedita intellexeris, tanquam qui ea suppeditans Spiritus, Patre per Filium sit, bene quidem ac prudenter veram sancti sententiam assecutus es. Quod si præter hanc rationem aliter intellexeris, a Patre per Filium Spiritus munera suppeditari, et utrumque Patrem nempe et Filium, spiritalium munerum suppeditationis ministros apprehendes : namque prorsus necessario, ea ipsa ratione qua suppeditantur a Patre, eadem per Filium suppeditabuntur, et si a Patre, uti Spiritu exsistente a Patre, manifestum est etiam per Filium, uti Spiritu exsistente per Filium. Quod si per Filium asseris ea suppeditari, non exsistente Spiritu per Filium, modis omnibus suppeditabuntur et a Patre, Spiritu non exsistente a Patre. Et quænam hæc ratio assignari poterit, non colligi inde servili modo a Patre et Filio spiritalia munera suppeditari?

Ἐκ τῆς αὐτῆς.

ΞΓ'. « Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι « δίδοται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. « Ὥσπερ γὰρ ἐκ τοῦ Πατρός ἐστι διὰ Υἱοῦ ἡ διδο- « μένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς « δόσεως ἐν ἡμῖν εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. »

Ex eadem.

LXIII. « Gratia siquidem et munus quod datur « in Trinitate, datur a Patre per Filium in Spiritu « sancto. Quemadmodum enim est ex Patre per « Filium gratia data, ita nulla fuerit dationis gra- « tia in nobis nisi in Spiritu sancto. »

Ἐπιστασία.

« Ὁρᾷς πανταχοῦ καὶ αὐτὰς τὰς χάριτας καὶ « δωρεὰς τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ « γίνεσθαι διδάσκοντά σε τὸν ἅγιον; Εἰ γοῦν αἱ χά-

Animadversio.

« Videsne locis in omnibus ipsas gratias et mu- « nera Spiritus ex Patre per Filium fieri docentem « te sanctum? Si ergo gratiæ et munera non ex Fi-

Digitized by Google Распознавание текста ABK/FR

« lio, sed per Filium, quomodo exsistentiæ sanctis- A « simi Spiritus modus, non ex Patre solo per Fi- « lium, sed ex utrisque fuerit? »

Refutatio.

Ego vero paululum immutato sermone dixerim : Si ex Patre per Filium sanctissimi Spiritus exsistentia non est, qua ratione gratiæ et munera Spiritus ex Patre essent per Filium? Tandem rerum harum cognitor considera, quomodo sapientium mentem propriæ sententiæ amor aberrare faciat, etiam ex eo, quod sapiens hic vir gratias et munera Spiritus ex Filio esse dicere renuat; et sanctissimi Spiritus exsistentiæ modum ex Patre esse solo per Filium contendat. Neque enim novi quemquam, dummodo sit intellectus oculis integer ad res di- B gnoscendas, qui absurdissimum in hisce non agnoscat. Quod enim ex Patre solo est, quomodo per Filium fuerit? et quod per Filium exsistit, quomodo ex solo Patre fuerit? Cum multa sæpius aliorum scripta percurrerim, quæ nulla sequelæ ratione dictata sunt, modo quidem in mentem non venit, an aliquod uspiam offenderim, quod dictis absurdius atque magis inconsequens fuerit.

Ex eadem.

LXIV. « Veri itaque adoratores adorant quidem « Patrem, sed in spiritu et veritate, confitentes « Filium et in ipso Spiritum. Non enim dividitur « a Filio Spiritus, quemadmodum a Patre Filius « non dividitur. Ipsa veritas est quæ dicit : « Mit- « tam vobis Paracletum Spiritum veritatis, qui a C « Patre procedit, quem mundus non potest acci- « pere [48], » illi scilicet, qui negant eum ex Patre « in Filio. »

Animadversio.

« Planissime apertissimeque hic conspicito, ex « Patre dici Spiritum, verumtamen in Filio. »

Refutatio.

Attamen tu quoque conspicito, planissime apertissimeque inseparabilem a Filio Spiritum dici, quemadmodum Filius non separatur a Patre. Hinc que demonstrari, unam communemque Trinitatis naturam, ex eo quod Spiritus per Filium ex Patre est.

Ejusdem ex alia Epistola ad eumdem.

LXV. « Satis abunde que hæc suadere poterunt « quemcumque, dummodo contentionis studio non « abripitur, ne in posterum asserat, creaturam « Dei Spiritum, qui in Deo est, et profunda Dei « consilia exquirit, et ex Patre per Filium exhibe- « tur et datur. »

Animadversio.

« Attendito, quomodo sanctus hic in omnibus « suis scriptis, ex Patre per Filium sanctissimi « Spiritus dationem te doceat. »

Refutatio.

Verumtamen tu quoque attendito, quomodo ex

[48] Joan. xv, 26; xiv, 17.

« ρετες καὶ δωρεαὶ οὐκ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ διὰ τοῦ « Υἱοῦ, πῶς ὁ τῆς ὑπάρξεως τοῦ παναγίου Πνεύμα- « τος τρόπος οὐκ ἐκ τοῦ Πατρὸς μόνου δι' Υἱοῦ, « ἀλλὰ καὶ ἐξ ἀμφοτέρων ;

Ἀντίῤῥησις.

Ἐγὼ δὲ μικρὸν τὸν λόγον ὑπαλλάξας ἐρῶ. Εἰ μὴ ἐκ Πατρὸς διὰ Υἱοῦ ἡ τοῦ παναγίου Πνεύματος ὕπαρ- ξις ἦν, πῶς ἂν αἱ χάριτες καὶ δωρεαὶ τοῦ Πνεύμα- τος ἐκ τοῦ Πατρὸς ἦσαν διὰ τοῦ Υἱοῦ ; Τέως ὁ τῶν παρόντων ἐξεταστὴς σκόπει, ὅπως τὰς τῶν σοφῶν ἀνδρῶν φρένας σφάλλει τὸ ἐθελόγνωμον καὶ ἀπὸ τοῦ τὸν σοφὸν τοῦτον ἄνδρα οὐδὲ τὰς πνευματικὰς δωρεάς τε καὶ χάριτας λέγειν ἐκ τοῦ Υἱοῦ, ἀλλὰ καὶ ἀπὸ τοῦ τὸν πῆς ὑπάρξεως τοῦ παναγίου Πνεύ- ματος τρόπον ἐκ τοῦ Πατρὸς μόνου εἶναι λέγειν διὰ τοῦ Υἱοῦ. Οὐκ οἶδα γὰρ τίς ὢν καθαρὸς τὰ τῆς διανοίας ὄμματα πρὸς διάγνωσιν οὐ συνήσει τὸ ἐν τούτοις παραλογώτατον. Τὸ γὰρ ἐκ τοῦ Πατρὸς μόνου πῶς διὰ Υἱοῦ ; καὶ τὸ διὰ τοῦ Υἱοῦ ὑπάρχον πῶς ἐκ μόνου τοῦ Πατρὸς ἔσται, Πολλοῖς πολλάκις ἐντυ- χὼν γράμμασι κατὰ διάνοιαν ἀνακόλουθον προεν- εγμένοις, οὐκ οἶδα εἴ ποτέ τινι ἑτέρῳ ἐνέτυχον χεί- ρον ἢ κατὰ τὰ εἰρημένα τὸ ἀνακόλουθον ἔχοντι.

Ἐκ τῆς αὐτῆς.

ΞΔ'. « Οἱ ἀληθινοὶ τοίνυν προσκυνηταὶ προσκυ- « νοῦσι μὲν τῷ Πατρί, ἀλλ' ἐν Πνεύματι καὶ ἀλη- « θείᾳ, ὁμολογοῦντες Υἱὸν καὶ ἐν αὐτῷ τὸ Πνεῦμα. « Ἀχώριστον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς ἀχώρι- « στος ὁ Υἱὸς τοῦ Πατρός. Αὐτὴ ἡ ἀλήθεια ἡ λέγουσα, « Πέμψω ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς « ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὃ ὁ « κόσμος οὐ δύναται λαβεῖν, » τουτέστιν οἱ ἀρνούμε- « νοι αὐτὸ ἐκ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ.

Ἐπιστασία.

« Ὅρα σαφέστατα γὰρ καὶ καθαρῶς ἐνταῦθα ἐκ « τοῦ Πατρὸς μὲν λέγει τὸ Πνεῦμα, ἐν τῷ Υἱῷ. »

Ἀντίῤῥησις.

Ἀλλ' ὅρα καὶ ὅτι σαφέστατα καὶ καθαρῶς ἀχώ- ριστον τοῦ Υἱοῦ εἶπε τὸ Πνεῦμα, ὡς ὁ Υἱός ἐστιν ἀχώριστος τοῦ Πατρός. Καὶ ἐντεῦθεν ἐνέφηνε τὸ τῆς Τριάδος συμφυὲς εἶναι ἐκ τοῦ ὑπάρχειν τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκ Πατρός.

D *Τοῦ αὐτοῦ ἐξ ἑτέρας πρὸς τὸν αὐτὸν ἐπιστολῆς.*

ΞΕ'. « Ἱκανὰ μὲν καὶ ταῦτα πεῖσαι καὶ πάντα « ὀντιναοῦν φιλόνεικον μηκέτι λέγειν κτίσμα τὸ « Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν τῷ Θεῷ, καὶ τὰ βάθη ἐρευ- « νῶν τοῦ Θεοῦ, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ νεμόμενον « καὶ διδόμενον. »

Ἐπιστασία.

« Ἄκουε πῶς ὁ Ἅγιος ἐν παντὶ σχεδὸν οἰκείῳ συγ- « γράμματι ἐκ Πατρὸς δι' Υἱοῦ τὴν τοῦ παναγίου « Πνεύματος δόσιν διδάσκει σε. »

Ἀντίῤῥησις.

Ἀλλὰ πρόσεχε καὶ πῶς ἡ ἐκ Πατρὸς δι' Υἱοῦ δό-

Digitized by Google Распознавание текста ABK/FR

σις τοῦ Πνεύματος τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν αὐτοῦ συνίστησιν.

Ἐκ τῆς αὐτῆς.

ΞϚ'. « Ὁ γὰρ πιστεύων εἰς τὸν Πατέρα οἶδεν ἐν « τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα οὐκ ἐκτὸς τοῦ « Υἱοῦ, καὶ διὰ τοῦτο πιστεύει καὶ εἰς τὸν Υἱὸν, « καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Ἐπειδὴ καὶ μία τῆς « Τριάδος ἡ θεότης, ὡς ἐξ ἑνὸς τοῦ Πατρὸς γινω- « σκομένη. »

Ἐπιστασία.

« Τοῦτο σαφῶς διδάσκει καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα « ἐκ τοῦ Πατρός. »

Ἀντίρρησις.

Ὅσπερ ἐξ ἑνὸς τοῦ Πατρὸς γινώσκεσθαι τὴν τῆς Τριάδος θεότητα ἐνταῦθα διδάσκει ὁ ἅγιος, ἀλλ' οὐδεὶς ἐστιν ὁ κωλύων λέγειν τὸ Πνεῦμα καὶ ἐκ τῆς θεότητος τοῦ Υἱοῦ· οὕτως ἐξ ἑνὸς τοῦ Πατρὸς τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ὑπαρχόντων, οὐδεὶς τῶν Πατέρων ἐκώλυσε καὶ ἐκ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα. Καὶ τὸν λόγον ζητήσας οὐδὲν ἕτερον αἴτιον τῶν εἰρημένων εὑρήσει, ἀλλ' ἢ τὸ τὴν ὕπαρξιν καὶ θεότητα τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ εἶναι ἐκ τοῦ Πατρός.

Ἐξ ἑτέρας πρὸς αὐτὸν ἐπιστολῆς.

ΞΖ'. « Ἀμέλει τοῦ Πατρὸς πέμποντος τὸ Πνεῦμα, « ὁ Υἱὸς ἐμφυσῶν δίδωσιν αὐτὸ τοῖς μαθηταῖς· ἐπεὶ « πάντως ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστιν. »

Ἐπιστασία.

« Ταῦτα κοινὰ Πατρὸς καὶ Υἱοῦ, ἡ πομπὴ καὶ ἡ « δόσις τοῦ Πνεύματος, οὐ μὴν καὶ ἡ ἐκπόρευσις. »

Ἀντίρρησις.

Ἀλλ' ὥσπερ ἡ ἐκ τοῦ Πατρὸς πομπή τε καὶ δόσις τοῦ Πνεύματος δίδωσιν νοεῖν ἐκ Πατρὸς εἶναι αὐτό, οὕτω καὶ ἡ ἐκ τοῦ Υἱοῦ πομπή τε καὶ δόσις δίδωσι νοεῖν ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό. Μία γὰρ ἡ ἐκ Πατρὸς καὶ Υἱοῦ δόσις καὶ πέμψις τοῦ Πνεύματος, καὶ ᾧ λόγῳ πέμπεται ἐκ Πατρὸς, τῷ αὐτῷ πάντως πέμπεται καὶ ἐξ Υἱοῦ.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

ΞΗ'. « Εἰ δὲ ἀδύνατον τοῦτό γε τοῖς ἄφροσι, μέ- « νει γὰρ ἕκαστον ὡς γέγονε, πολλῷ μᾶλλον τὰ « ἄνω τῆς κτίσεως ἀΐδιον ἔχει τὴν διαμονὴν, καὶ οὐκ « ἔστιν ἄλλως, ἢ ὡς ἔστιν ὁ Πατὴρ Πατὴρ καὶ οὐ « πάππος, καὶ ὁ Υἱὸς Υἱός ἐστι τοῦ Θεοῦ, καὶ οὐ « Πατὴρ τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον « Πνεῦμα ἅγιον, καὶ οὐκ ἔκγονον τοῦ Πατρὸς, οὐδὲ « ἀδελφὸς τοῦ Υἱοῦ. »

Ἐπιστασία.

« Εἰ γοῦν οὐκ ἔκγονος τοῦ Πατρὸς τὸ Πνεῦμα, « πῶς ἐκ τοῦ Υἱοῦ; Εἰ μὴ Πατὴρ τοῦ Πνεύματος « ὁ Υἱὸς, πῶς ἐξ αὐτοῦ τὸ Πνεῦμα; »

Ἀντίρρησις.

Οὐκ ἔκγονος τοῦ Πατρὸς τὸ Πνεῦμα, ὅτι οὐ Πατὴρ τοῦ Πνεύματος ὁ Υἱὸς. Ἐπεὶ δὲ λέγεις, Εἰ μὴ Πατὴρ τοῦ Πνεύματος ὁ Υἱὸς, πῶς ἐξ αὐτοῦ τὸ Πνεῦμα; ἴσθι ἀρνούμενος καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα. Πατὴρ μὲν γὰρ οὐκ ἔστι τοῦ Πνεύματος ὁ Πατὴρ, ἀλλ' ὅμως ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι· καὶ μαρτυρήσει μοι τὸν λόγον ὁ τὰ θεῖα μέγιστος Μάξιμος ἐν ᾗ ἐκτίθεται διαλέξει Ὀρθοδόξου καὶ

A Patre per Filium Spiritus datio, ejusdem ex Patre per Filium exsistentiam stabiliat.

Ex eadem.

LXVI. « Qui enim credit in Patrem, agnoscit in « Patre Filium, et Spiritum non extra Filium, « propterea etiam in Filium credit, et in Spiri- « tum sanctum. Quandoquidem una est Trinitatis « divinitas, quæ veluti ex uno Patre agnosci- « tur. »

Animadversio.

« Hoc item aperte insinuat, et Filium et Spiri- « tum ex Patre. »

Refutatio.

Uti ex uno Patre Trinitatis deitatem agnoscit sanctus edocet, sed nullus est qui impediat, Spiritum etiam ex divinitate Filii asserere : sic ex uno Patre cum Filius et Spiritus sint, nullus ex Patribus vetuit, ex Filio etiam Spiritum dici. Et rationem dictorum sedulo exquirens, nullam aliam inveniet, quam quod exsistentia et deitas Spiritus per Filium est ex Patre.

Ex alia ad eumdem Epistola.

LXVII. « Patre siquidem mittente Spiritum, Filius « insufflans exhibet illum discipulis, cum quæcum- « que Pater habet, Filii sint. »

Animadversio.

« Hæc communia Patris et Filii sunt, missio et « datio Spiritus, non item processio. »

Refutatio.

Sed quemadmodum ex Patre missio et datio Spiritus dat nobis intelligere ex Patre Spiritum esse, ita et ex Filio missio et datio dat intelligere ex Filio illum esse. Una siquidem est ex Patre et Filio datio et missio Spiritus, et qua ratione mittitur ex Patre, eadem prorsus mittitur etiam ex Filio.

Ejusdem ex eadem.

LXVIII. « Quod si id est impossibile imprudentibus. Manet enim unumquodque uti factum est, « multo magis quæ supra creationem sunt, sempiternam possident persistentiam, nec alio modo « est, quam quo Pater Pater, et non avus, et Filius Filius est Dei, et non Pater Spiritus, et sanctus Spiritus Spiritus sanctus, et non Patris nepos, neque Filii frater? »

Animadversio.

« Si itaque non est nepos Patris Spiritus, quomodo ex Filio? Si non est Filius Pater Spiritus, quomodo ex ipso Spiritus. »

Refutatio.

Non est nepos Patris Spiritus, quod Filius Pater Spiritus non est. Cum vero addis : Si non est Filius Pater Spiritus, quomodo ex ipso Spiritus fuerit? profecto tu inficias is, et ex Patre esse Spiritum. Pater enim non est Spiritus Pater, et nihilominus ex ipso Spiritus est : testisque mei dicti aderit in rebus divinis pertractandis absolutissimus Maximus in colloquio a se edito Ortho-

Digitized by Google Распознавание текста АВК/FR

doxi et Anomœi, cum dicit : « Spiritus enim Patrem non habet, neque enim genitus est. »

Ex eadem.

LXIX. « Discipuli itaque cum audissent : « Baptizantes eos in nomine Patris et Filii, et Spiritus « sancti, » non curiosius perquirunt, quare secundus « est Filius, et tertius Spiritus, et quare prorsus « Trinitas ? sed uti audiverunt, crediderunt, et non « sicuti vos interrogarunt : Filius igitur est Spiritus ? neque quod post Filium Dominus Spiritum nominasset, interrogarunt, avus igitur Pater est ? non enim audierunt in nomine avi, sed in nomine Patris, et hanc fidem omnibus divulgarunt. »

Animadversio.

« Eamdem hic quoque sententiam continet, palam decernens,' non esse ex Filio Spiritum. »

Refutatio.

Verum est, eamdem sententiam in hac pericope contineri, non vero eo scopo, quem tu affers, sed eo, quo ostenditur Spiritus erga Patrem per Filium conjunctio. Hoc etenim sanctus explicuit, secundum locum non refutans in Filio, neque tertium in Spiritu sancto.

Ejusdem ex eadem.

LXX. « Unde in deitate sola Pater proprie et « solus Pater cum sit, est, et fuit, et semper erit, et « Filius proprie et solus Filius est, et de istis est, « et Patrem semper esse, et dici Patrem, et Filium « Filium semper ; et Spiritus item sanctus semper « Spiritus sanctus est, et hunc a Deo esse, et a « Patre per Filium dari credimus. Hac enim « ratione sancta Trinitas imminutabilis manet in « una deitate agnita. »

Animadversio.

« Hic sanctus declarat, dationem Spiritus a Patre per Filium fieri, quare aliis etiam in locis in « quibus docet, Spiritum mitti darique a Filio, « secundum hanc declarationem illa esse intelligenda. Attendito etiam, quomodo magnus iste « Pater, nonnullorum, tantum non prævaticinans, « ab hisce sententiam diversam reprimens, non dixit : Dicimus, aut dicemus, sed : Credimus. »

Refutatio.

Cum sanctus declaret Spiritus dationem a Patre per Filium fieri, inquis, secundum hanc declarationem alia quoque esse intelligenda, ubi docet mitti, aut dari a Filio Spiritum, nempe ab eo qui audit, Spiritum a Filio mitti, intelligendum esse mitti a Filio Spiritum, quod mittatur per Filium. Agnoscendum profecto a te quoque est, Italum, cum dicit promanare, et procedere Spiritum ex Filio, ideo isthæc dicere, quod promanat, proceditque Spiritus per Filium, et hanc

[a] Matth. xxviii, 19.

Ἀνομοίου λέγων· « Τὸ γὰρ Πνεῦμα Πατέρα οὐκ ἔχει· οὐδὲ γὰρ ἐγεννήθη. »

Ἐκ τῆς αὐτῆς.

ΞΘ'. « Οἱ γοῦν μαθηταὶ ἀκούσαντες, « Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ « Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, » οὐ περιειργάσαντο, διατί δεύτερος ὁ Υἱὸς, καὶ τρίτον τὸ « Πνεῦμα, ἢ διατί ὅλως Τριάς; ἀλλ' ὡς ἤκουσαν, « ἐπίστευσαν, καὶ οὐχ ὥσπερ ὑμεῖς, ἠρώτησαν· Υἱὸς « οὖν ἐστι τὸ Πνεῦμα; οὐδὲ εἰπόντος τοῦ Κυρίου « μετὰ τὸν Υἱὸν τὸ Πνεῦμα, ἠρώτησαν, πάππος « οὖν ὁ Πατήρ; οὐ γὰρ ἤκουσαν, εἰς ὄνομα πάπου, ἀλλ' εἰς ὄνομα Πατρὸς, καὶ ταύτην τὴν πίστιν ἐκήρυξαν πάντως. »

Ἐπίστασις.

« Τῆς αὐτῆς ἐννοίας καὶ τοῦτο, σαφῶς δογματίζον, μὴ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα. »

Ἀντίῤῥησις.

Ἀληθῶς τῆς αὐτῆς ἐννοίας· καὶ ἡ ῥηθεῖσα περικοπὴ, οὐ μὴν γε καθ' ὃν σὺ λέγεις σκοπὸν, ἀλλὰ κατὰ τὸ δηλοῦν τὴν τοῦ Πνεύματος συνάφειαν πρὸς τὸν Πατέρα διὰ τοῦ Υἱοῦ. Τοῦτο γὰρ ὁ ἅγιος ἐνέφηνε, τὸ δεύτερον δεχόμενος ἐπὶ τοῦ Υἱοῦ, καὶ τὸ τρίτον ἐπὶ τοῦ Πνεύματος.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Ο'. « Ὅθεν ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως καὶ μόνος Πατὴρ ὢν ἐστι, καὶ ἦν, καὶ ἀεί « ἐστι, καὶ ὁ Υἱὸς κυρίως καὶ μόνος Υἱός ἐστι, καὶ « ἐπὶ τούτων ἐστὶ, καὶ τὸ, ὁ Πατὴρ ἀεὶ Πατὴρ, καὶ « τὸ, ὁ Υἱὸς ἀεὶ Υἱὸς εἶναί τε καὶ λέγεσθαι· καὶ τὸ, « Πνεῦμα δὲ τὸ ἅγιον ἀεὶ Πνεῦμα ἅγιόν ἐστι, καὶ « τοῦτο τοῦ Θεοῦ εἶναι, καὶ παρὰ τοῦ Πατρὸς δι' « Υἱοῦ δίδοσθαι πεπιστεύκαμεν. Οὕτω γὰρ ἡ ἁγία « Τριὰς ἀναλλοίωτος μένει ἐν μιᾷ θεάτητι γινωσκομένη. »

Ἐπίστασις.

« Σαφηνίζει ἐνταῦθα ὁ ἅγιος ὅτι καὶ ἡ δόσις « τοῦ Πνεύματος παρὰ Πατρὸς δι' Υἱοῦ γίνεται, « ὥστε καὶ ἔνθα διδάσκει πέμπειν ἢ διδόναι τὸν « Υἱὸν τὸ Πνεῦμα, κατὰ ταύτην τὴν σαφήνειαν κἀκεῖνα νοεῖν ὀφείλομεν. Πρόσσχες δὲ καὶ πῶς ὁ « μέγας οὗτος Πατὴρ, τό τινων οἷον προαναστέλλων « προφητικῶς περὶ τῆς τοῦ παναγίου Πνεύματος « ἐκπορεύσεως ἑτερόγνωμον, οὐκ εἶπε, Λέγομεν, ἢ, « Διδάσκομεν, ἀλλὰ, Πεπιστεύκαμεν. »

Ἀντίῤῥησις.

Ἐπειδὴ, διὰ τὸ σαφηνίζειν τὸν ἅγιον τὴν τοῦ Πνεύματος δόσιν παρὰ Πατρὸς δι' Υἱοῦ γίνεσθαι, λέγεις ὀφείλειν κατὰ ταύτην νοεῖν τὴν σαφήνειαν κἀκεῖνα ἅπερ λέγει, ἔνθα διδάσκει πέμπειν ἢ δίδόναι τὸν Υἱὸν τὸ Πνεῦμα, τουτέστι τὸν ἀκούοντα πέμπειν τὸν Υἱὸν τὸ Πνεῦμα νοεῖν πέμπεσθαι παρὰ Υἱοῦ τὸ Πνεῦμα, ὅτι δίδοται διὰ Υἱοῦ· δεῖ σε διαγινώσκειν ὡς καὶ ὁ λέγων Ἰταλὸς προβεβλῆσθαι καὶ ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐξ Υἱοῦ, διὰ τοῦτο ταῦτά φησιν, ὅτι προβέβληται καὶ ἐκπορεύεται τὸ Πνεῦμα δι' Υἱοῦ, καὶ

Digitized by Google Распознавание текста ABK/FR

ἀκολουθήσει τῇ διαγνώσει ταύτῃ μὴ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον διαφέρειν τοῦ ἐκ Πατρὸς διὰ Υἱοῦ, ὥσπερ οὐδὲ τὸ ἐκ Πατρὸς τοῦ Υἱοῦ πέμπεσθαι αὐτὸ διαφέρει τοῦ ἐκ Πατρὸς δι' Υἱοῦ αὐτὸ πέμπεσθαι.

A tuam cognitionem sequetur, nullo modo differre, ex Patre et Filio Spiritum procedere, et, ex Patre per Filium, quemadmodum neque differt illum ex Patre et Filio, et ex Patre per Filium mitti.

Ἐκ τῆς πρὸς Σεραπίωνα ἑτέρας ἐπιστολῆς.

ΟΑ'. « Καὶ γὰρ ὥσπερ γέννημα μονογενὲς ὁ « Υἱός ἐστι, οὕτω καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ « διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἓν ἐστι καὶ « οὐ πολλά, οὐδὲ ἐκ πολλῶν ἕν, ἀλλὰ μόνον αὐτὸ « Πνεῦμα. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λό- « γου μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν « ζωήν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν, ἥτις « ἐκ τοῦ Πατρὸς λέγεται ἐκπορεύεσθαι· ἐπεὶ παρὰ « τοῦ Λόγου τοῦ ἐκ Πατρὸς ὁμολογουμένου ἐκλάμ- « πει, καὶ ἀποστέλλεται, καὶ δίδοται. »

Ex alia ad Serapionem epistola.

LXXI. « Namque sicuti fœtus unigenitus Filius « est, ita et Spiritus, qui a Filio datur et mitti- « tur, unus est et non multa, neque ex multis « unum, sed solus ipse Spiritus. Cum enim unum « sit Filius, vivens Verbum, oportet unam quoque « esse perfectam et plenam vitam sanctificantem, « quæ ipsius est operatio et donum, quæ ex Patre « dicitur procedere : cum ex Verbo, quod ex Patre « esse asseritur, elucet, emittitur et donatur. »

Ἐπίστασις.

« Ὅρα τὴν τοῦ ἁγίου ἀκρίβειαν, πῶς ἔνθα τὴν « *παρὰ* πρόθεσιν καὶ ἐπὶ τοῦ Πατρὸς καὶ ἐπὶ τοῦ Υἱοῦ « τέθεικε, διέστειλε τὰς φωνάς· καὶ ἐπὶ μὲν τοῦ Πα- « τρὸς εἴρηκε τὴν ἐκπόρευσιν, ἐπὶ δὲ τοῦ Υἱοῦ « τὴν ἔκλαμψιν, καὶ ἀποστολήν, καὶ δόσιν. »

Animadversio.

« Notato sancti exactum rei discussionem, quo- « modo ubi præpositionem *ex* de Patre, et de Fi- « lio enuntiavit, dictiones distinxit; et de Patre « processionem, de Filio vero fulgorem, missio- « nem, et dationem asseruit. »

Ἀντίῤῥησις.

Ἐγὼ δέ φημι, ὡς οὐχὶ τὰς φωνὰς ἐνταῦθα ὁ ἁγιος διέστειλε, τὴν ἐκπόρευσίν φημι ἀπὸ τῆς ἐκλάμψεως, καὶ τὸ ἀνάπαλιν· ἀλλ' ἐπειδὴ πάντα ὅσα τὸ Πνεῦμα ἐξ Υἱοῦ λέγεται ἔχειν, οὐχ ὡς ἐξ ἰδίας παρὰ τὸν Πατέρα αἰτίας ἔχον ἐστίν· ἀναβλύζον γὰρ τοῦ Υἱοῦ, καὶ προχεόμενον ἐξ Υἱοῦ, οὐχ ὡς ἐξ ἰδίας ἀναβλύζει καὶ προχεῖται παρὰ τὸν Πατέρα πηγῆς· ἀλλ' ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ ἀναβλύζει τε καὶ προχεῖται, καὶ ἐξ Υἱοῦ ἀναβλύζειν λέγεται καὶ προχεῖσθαι· οὕτως οἶονεὶ ὁ ἅγιος συλλογίζεται. Ἐπειδὴ τὸ Πνεῦμα παρὰ τοῦ Λόγου, τουτέστι διὰ τοῦ Λόγου πρόεισιν ἐκ Πατρὸς, ὥσπερ ἐξ ἡλίου διὰ τοῦ φωτὸς, φωτιστικὴ λαμπηδὼν, ὁ δὲ Λόγος ἐκ τοῦ Πατρὸς ὡμολόγηται, διὰ τοῦτο καὶ αὐτὸ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγεται.

Sed ipse, aio, sanctum hic non dictiones distinxisse, processionem, inquam, et fulgorem et contra. Sed cum quæcunque Spiritus ex Filio dicitur habere, non uti ex propria, secluso Patre, causa possidet. Exsiliens enim ex Filio, et effusus a Filio, non uti ex proprio exsilit effunditurque, secluso Patre, fonte, sed quod ex Filio exsilire dicatur, et profundi, hunc in modum sanctus ratiocinatur. Cum Spiritus a Verbo, hoc est per Filium progreditur ex Patre, tanquam ex sole per lumen illuminans radius, et Verbum ex Patre esse apud omnes in confesso est, propterea et hic a Patre procedere dicitur.

Ἐκ τῶν περὶ τοῦ ὁμοίους εἶναι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μαρτυριῶν τῆς Γραφῆς κεφαλαίων τεσσαράκοντα ὀκτώ.

Ex capitibus quadraginta octo de simili essentia inter Patrem et Filium et Spiritum sanctum.

ΟΒ'. « Τί ἐστι Θεός; Ἡ πάντων ἀρχὴ κατὰ τὸν Ἀπό- « στολον· « Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα. » Καὶ « γὰρ ὁ Λόγος ἐξ αὐτοῦ γεννητῶς, καὶ τὸ Πνεῦμα « ἐξ αὐτοῦ ἐκπορευτῶς, εἶτα πᾶσα ἡ κτίσις διὰ τοῦ « Λόγου ἐν Πνεύματι συνέστη δημιουργικῶς. »

LXXII. « Quid est Deus? Omnium principium se- « cundum Apostolum dicentem : « Unus Deus Pa- « ter, ex quo omnia [67] : » Verbum autem ejus ex « ipso nascendi ratione, et Spiritus progrediendi « modo exsistit, deinde universa rerum natura « per Verbum et Spiritum creandi ratione consti- « tuta est. »

Ἐπίστασις.

« Ὅρα τίνος ἐκπορευτὸν τὸ Πνεῦμα λέγεις ὁ « ἅγιος. »

Animadversio.

« Attendito, a quo Spiritum procedere sanctus « asserat. »

Ἀντίῤῥησις.

Ἐκ τοῦ Πατρὸς πάντως ἐκπορευτὸν λέγει τὸ Πνεῦμα. Ἀλλὰ εἰ καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρχει αὐτὸ, οὐκ ἐρεῖς πάντως ὡς ἀποβάλοιτο ἂν τὸ ἐκπορευτὸν, καὶ προσλήψαιτο ἴσως τὸ γεννητόν.

Refutatio.

Ex Patre prorsus dicit procedere Spiritum. Verum etsi ex Filio etiam est, non ideo contendes, eum amisisse procedendi modum, forteque suscepisse nascendi rationem.

[67] I Cor. VIII, 6

Digitized by Google Распознавание текста ABK/FR

Ejusdem ex oratione in forma Dialogi Macedoniani et Orthodoxi.

LXXIII. « Si itaque demonstratum fuerit, ejusdem « esse naturæ et deitatis cum Patre et Filio Spi- « ritum, qui ex ipso Patre per Filium effusus « est, et adorandum et colendum esse demonstra- « bitur. »

Animadversio.

« Ne temere et absque diligenti attentione hanc « percurras pericopen. Namque, ut reor, admira- « bilem in ipsa comperies claritatem. Illud enim, « ex ipso, præpositum, non ab alio esse manifesto « indicat : ex quo modis omnibus illum ex solo « Patre esse apparet. Sed et *per* præpositio de « Filio dicta, non ex ipso effusum esse Spiritum « docet. »

Refutatio.

Fieri nequit, ut tu præpositionum *ex* et *per* vires æquales deneges, quare, ut jam diximus, ista confessione, quam effugere nequeas, propriis tuis labiis comprehenderis. Verumtamen etiam si hisce viribus præpositionum æqualibus Spiritus ex utroque esse non apparet, quæ est ista consequentiæ series, ex solo Patre te dicere, cum, qui ex Patre per Filium exsistit? Et tuam in disserendo pertinaciam animadvertimus cum negas Spiritum, qui per Filium effunditur, a Filio effundi. Etenim si ubi aperta, ac palam omnibus est indifferentia, tu similia audes enuntiare, quomodo præbebis assensum dicentibus nihil differre ex Patre per Filium, et ex utroque Spiritum procedere?

Ejusdem.

LXXIV. « Et quodnam adeo impium fuerit, Spiritum creaturam asserere, cum Filius dicat : « Non estis vos qui loquimini, sed Spiritus Patris, qui loquitur in vobis [68]? » Cum hic dicat, Spiritum Patris esse, tu quomodo audes illum creaturam vocare? Quare non audis Patrem dicentem : « In diebus extremis effundam ex Spiritu meo in omnem carnem [69]; » et rursum : « Ecce Filius meus dilectus, in quo sibi complacuit anima mea [70], effundam Spiritum meum super ipsum? »

Animadversio.

« Observato diligenter hanc pericopem, quæ non « tantum Salvatorem testem adducit, Patris esse « Spiritum, et ab eo procedere, sed ipsum etiam « Patrem. »

Refutatio.

Præsens pericopé et Salvatorem et illius Patrem testes adducit, Spiritum esse Patris Spiritum. Itaque si ex ipsa colligis ex Patre illum procedere, hoc vero modo, nec alio veritas se habet. Quoniam enim Spiritus Patris est, ex Patre exsistit. Quid facies, cum in Scripturis innumeris in locis Spiritum Filii audis Spiritum sanctum?

Τοῦ αὐτοῦ ἀπὸ τοῦ λόγου τοῦ ἐν εἴδει διαλέξεως Μακεδονιαρτοῦ καὶ Ὀρθοδόξου.

ΟΓ'. « Ἐὰν οὖν δειχθῇ τῆς αὐτῆς εἶναι φύσεως καὶ « θεότητος τῷ Υἱῷ καὶ Πατρὶ τὸ Πνεῦμα, τὸ « ἐξ αὐτοῦ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐκχυθὲν, καὶ « προσκυνητὸν καὶ λατρευτὸν ἀποδειχθήσεται. »

Ἐπιστασία

« Μὴ ἀπερισκέπτως τὴν παρουσαν διέλθῃς περι- « κοπήν. Ὡς οἶμαι καὶ γὰρ θαυμαστὴν εὑρήσεις ἐν « αὐτῇ γλαφυρότητα. Τὸ γὰρ ἐξ αὐτοῦ προστεθὲν τὸ « μὴ παρ' ἑτέρου δηλοῖ. Ἐκ τούτου δὲ πάντως καὶ « τὸ παρὰ μόνου τοῦ Πατρὸς ἀναφαίνεται. Ἀλλὰ « καὶ ἡ *διὰ* πρόθεσις ἐπὶ τοῦ Υἱοῦ τεθεῖσα, μὴ « ἐξ αὐτοῦ χυθῆναι τὸ Πνεῦμα ἐδίδαξεν. »

Ἀντίρρησις.

Ἀδύνατόν ἐστι τὸ τῆς *ἐξ* καὶ *διὰ* ἰσοδύναμον ἀπαρνήσασθαί σε, ὅσον οὔπω, ὡς ἔφημεν, πρὸς τὸ τῆς ὁμολογίας ταύτης ἄφυκτον χείλεσιν ἰδίοις ἰσάμενον ἁλωτόν. Τέως εἰ μὴ καὶ κατὰ τὸ τῶν προθέσεων ἰσοδύναμον ἀναφανῇ τὸ ἐξ ἀμφοῖν εἶναι τὸ Πνεῦμα, ποίαν ἔχει τὴν ἀκολουθίαν ἐκ μόνου τοῦ Πατρὸς λέγειν σε τὸ ἐκ τοῦ Πατρὸς ὑπάρχον διὰ τοῦ Υἱοῦ; Οὐ μικρῶς δὲ παρίστησι τὸ εἰς πεισμονὴν διαλέγεσθαί σε καὶ ὅτι ἀπαρνῇ τὸ διὰ τοῦ Υἱοῦ χεόμενον Πνεῦμα ἐκ τοῦ Υἱοῦ χεῖσθαι. Εἰ γὰρ ὅπου πρόδηλον τὸ ἀδιάφορον λέγεις τοιαῦτα, πῶς ἂν σύνθοιο τοῖς λέγουσι μηδὲν διαφέρειν ἐκ Πατρὸς δι' Υἱοῦ καὶ ἐξ ἀμφοῖν λέγειν τὸ Πνεῦμα ἐκπορευόμενον;

Τοῦ αὐτοῦ.

ΟΔ'. « Καὶ τί ἐστιν ἀσεβέστερον τοῦ εἰπεῖν κτίσμα « τὸ Πνεῦμα τὸ ἅγιον, λέγοντος τοῦ Υἱοῦ ὅτι « Οὐκ « ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πα- « τρὸς τὸ λαλοῦν ἐν ὑμῖν; » Αὐτοῦ λέγοντος τὸ « Πνεῦμα τοῦ Πατρὸς εἶναι, σὺ πῶς λέγεις κτίσμα « αὐτό; Πῶς δὲ οὐκ ἀκούεις τοῦ Πατρὸς λέγοντος, « Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύ- « ματός μου ἐπὶ πᾶσαν σάρκα, » καὶ ἔτι, « Ἰδοὺ ὁ « Παῖς μου ὁ ἐκλεκτὸς, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου, « θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν; »

Ἐπιστασία.

« Πρόσσχες ἀκριβῶς τῇ περικοπῇ ταύτῃ, μὴ μό- « νον τὸν Σωτῆρα παραγούσῃ σοι μάρτυρα τοῦ Πα- « τρὸς εἶναι τὸ Πνεῦμα καὶ παρ' αὐτοῦ ἐκπορεύ- « εσθαι, ἀλλὰ καὶ αὐτὸν τὸν Πατέρα. »

Ἀντίρρησις.

Ἡ ῥηθεῖσα περικοπὴ καὶ τὸν Σωτῆρα καὶ τὸν αὐτοῦ Πατέρα μάρτυρας παράγει τοῦ λέγεσθαι καὶ εἶναι τὸ Πνεῦμα τοῦ Πατρὸς Πνεῦμα. Εἰ γοῦν ἐντεῦθεν συνῆξας σὺ τὸ παρὰ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, οὕτω δὲ πάντως καὶ οὐκ ἄλλως ἔχει τὸ ἀληθές. Διὰ γὰρ τὸ εἶναι Πνεῦμα Πατρὸς, ὑπάρχει ἐκ τοῦ Πατρός· τί ποιήσεις μυριαχοῦ τῶν θείων Γραφῶν Πνεῦμα Υἱοῦ ἀκούων τὸ Πνεῦμα τὸ ἅγιον;

[68] Marc. XIII, 11. [69] Act. II, 17. [70] Matth. XII, 18.

Digitized by Google Распознавание текста АВК/FR

Τοῦ αὐτοῦ.

ΟΕ'. « Καὶ πρὸς τούτοις ὁ Πέτρος λέγει· « Ὑμεῖς « ἐπίστασθε γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, « ἀρξάμενον μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάν- « νης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν « ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει. Ἆρα τῷ ἑαυ- « τοῦ κτίσματι χρίεται ὁ Υἱός; Καὶ πῶς οὐκ ἀνό- « ητον εἰπεῖν τοῦτο; Καὶ αὐτὸς δὲ λέγει· « Πνεῦμα « Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. » Καὶ ὁ Πέ- « τρος δὲ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων λέγει οὕ- « τως· « Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγ- « γελίαν τοῦ ἁγίου Πνεύματος λαβὼν, ὃ παρὰ τοῦ « Πατρὸς, ἐξέχεε τοῦτο, ὃ ὑμεῖς βλέπετε καὶ « ἀκούετε. »

Ἐπίστασις.

« Συνετῶς καὶ ταύτης τῆς περικοπῆς ἄκουσον. « Καὶ γὰρ αὕτη οὐ μόνον τὸν τῶν ἀποστόλων κορυ- « φαιότατον Πέτρον ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα « παράγει διδάσκοντα, ἀλλὰ καὶ τὸν τούτου διδά- « σκαλον τὸν Σωτῆρα Χριστόν. »

Ἀντίῤῥησις.

Διὰ τὸ τὸν Πέτρον εἰπεῖν λαβεῖν παρὰ τοῦ Πατρὸς τὸν Σωτῆρα τὴν ἐπαγγελίαν τοῦ ἁγίου Πνεύματος συνάγεις ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα; Καὶ εἰ τοῦτο, πάντως δὲ τοῦτο· πῶς γὰρ ἂν ἔλαβε τὴν ἐπαγγελίαν τοῦ Πνεύματος παρὰ τοῦ Πατρὸς ὁ Σωτὴρ, εἰ μὴ τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ἦν; ἔσται καὶ παρὰ τοῦ Υἱοῦ, ἐκ τοῦ παρ' αὐτοῦ τούτου τοῦ λαβόντος οὐκ ἄλλο, ἀλλ' αὐτὸ τὸ ἐπαγγελθὲν ἐκχυθῆναι. Εἰ γὰρ μὴ διακονικῶς, ἀλλὰ φυσικῶς παρὰ τοῦ Υἱοῦ ἐκχεῖται, πάντως ὡς παρ' αὐτοῦ ὑπάρχον ἐκχεῖται. Εἰ δὲ καὶ ἐκ τοῦ εἰπεῖν τὸν Σωτῆρα, « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, » συνάγεις πάλιν, ὡς ἡ σὴ ἐπιστασία δηλοῖ, τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα, καλῶς δὲ συνάγεις, καὶ τοῦτο ἔσται πάντως καὶ ἐκ τοῦ Υἱοῦ. ὡς ἀληθείας Πνεῦμα καὶ Χριστοῦ Πνεῦμα.

Καὶ μετά τινα.

ΟΖ'. « Τῶν μὲν ἀνθρώπων Παύλου καὶ Πέτρου « καὶ Τιμοθέου προϋπάρχουσιν ἄνθρωποι, καὶ τῶν « πρὸ αὐτῶν ἄλλοι· τοῦ δὲ Ἀδὰμ οὐ προϋπάρχει « ἄλλος, ἀλλ' αὐτὸς ὁ Θεός. Πατρὸς δὲ καὶ Υἱοῦ « καὶ ἁγίου Πνεύματος οὐδὲν προϋπάρχει, ἀλλ' ἐκ « τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται καὶ τὸ Πνεῦμα ἐκ- « πορεύεται. »

Ἐπίστασις.

« Εἰ δὲ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεται, πῶς « οὐκ ἐδίδαξε καὶ τοῦτο ὁ ἅγιος, ἀλλ' ἐκ τοῦ Πα- « τρὸς καὶ ἄμφω, τήν τε τοῦ Υἱοῦ γέννησιν καὶ τὴν « τοῦ Πνεύματος ἐκπόρευσιν, ἐδογμάτισεν; »

Ἐπιστασία.

Ἐκεῖνο τοῦτο, ὃ καὶ πολλοὶ περὶ τῆς εὐαγγελικῆς φασι ῥήσεως, λέγοντες, Εἰ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, πῶς οὐχ ὁ Κύριος ἔφη, Ὃ παρὰ τοῦ Πατρὸς καὶ ἐμοῦ ἐκπορεύεται; Ἀλλ' ἴστωσαν οἱ τοιοῦτοι ὅτι, ὥσπερ λέγων ὁ Κύριος· « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐχὶ ἄγνοιαν τοῦ Πνεύματος κατη-

Ejusdem.

LXXV. « Ad hæc Petrus dicit : « Vos scitis quod « factum est Verbum per universam Judæam, in- « cipiens a Galilæa post baptismum, quod prædica- « vit Joannes. Jesum a Nazareth, quomodo unxit « eum Deus Spiritu sancto et virtute [71]. » Igitur « suilpsius unctione Filius perungitur? Et quo- « modo id asserere, non fuerit abalienatio mentis? « Ipse quoque dicit : Spiritus Domini super me, « cujus causa unxit me [72]. » Et Petrus in Actis apo- « stolorum hæc habet : « Dextera itaque Dei exaltatus, « et promissione Spiritus sancti accepta a Patre, « effudit hoc, quod vos videtis et intelligitis [73]. »

Animadversio.

« Prudenter etiam hanc pericopem observato. « Ipsa enim non tantum Apostolorum summum « verticem Petrum, ex Patre Spiritum esse docen- « tem profert, sed illius etiam præceptorem Chri- « stum Salvatorem. »

Refutatio.

Quoniam Petrus dixit Salvatorem a Patre accepisse promissionem Spiritus sancti, subiafers ex Patre Spiritum esse? Et si id, quod tamen prorsus est, quomodo enim accepit promissionem Spiritus a Patre Salvator, si Spiritus a Patre non erat? erit et ex Filio, quod ex hoc ipso qui accipit, non alius quam promissus Spiritus effusus est. Etenim si non servili modo, sed naturali a Filio effunditur, prorsus uti ab illo exsistens effunditur. Item si ex eo quod Salvator dixerit, « Spiritus Domini super me, » colligis rursus, ut tua Animadversio indicat, ex Patre Spiritum esse, et probe hoc etiam colligis, erit omnino et ex Filio, tanquam qui est veritatis Spiritus, et Christi Spiritus.

Et post pauca.

LXXVI. « Hominum quidem Pauli et Petri, et Timo- « thei præexsistunt homines et eorum qui ante fue- « runt alii; Adamo vero alius non præexsistit, sed « Deus ipse; Patris vero et Filii et Spiritus sancti « nihil est, quod præexsistat, sed ex Patre Filius « generatus est, et Spiritus procedit. »

Animadversio.

« Si ex Filio Spiritus procedit, quare non et « illud sanctus edocuit, verum ex Patre utriusque « Filii generationem, et Spiritus processionem « decrevit? »

Refutatio.

Illud ipsum, quod et plerique alii de evangelico dicto pronuntiant, Si ex Filio spiritus est, quare Dominus non dixit : Qui ex Patre et me procedit. Sed quemadmodum dicens Dominus : « Nemo novit Filium nisi Pater [74], » non ignorantiam Spiritus connotavit, sed primam Patri cognitionem suæ na-

[71] Act. x, 37. [72] Isa. i, 61; Luc. iv, 18. [73] Act. ii, 33. [74] Matth. xi, 27.

Digitized by Google Распознавание текста АВК/FR

turæ attribuit, et quemadmodum dicens : « Nemo bonus nisi unus solus Deus [78], » non extra seipsum ponens bonitatis naturam hoc dixit, sed primum bonum esse Patrem notans : ita et ex Patre procedere Spiritum dicens, primam causam Patrem esse indicavit : nihilominus tanquam ex prima causa Patre exsistens Spiritus, non tanquam ex secunda Filio est, sed ex Patre per Filium, quod est tanquam ex uno Deo Patre et Filio.

γορεῖ, ἀλλὰ πρώτῳ τῷ Πατρὶ ἐνυπάρχειν τὴν γνῶσιν τῆς ἑαυτοῦ φύσεως μαρτυρεῖ, καὶ ὥσπερ λέγων, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός, » οὐχὶ ἔξω τιθεὶς ἑαυτὸν τῆς τοῦ ἀγαθοῦ φύσεως τοῦτο λέγει, ἀλλὰ πρῶτον ἀγαθὸν εἶναι τὸν Πατέρα δηλῶν, οὕτω καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγων τὸ Πνεῦμα, πρώτην αἰτίαν τὸν Πατέρα εἶναι δηλοῖ· πλὴν ὡς ἐκ πρώτης αἰτίας τοῦ Πατρὸς ὑπάρχον τὸ Πνεῦμα, οὐχ ὡς ἐκ δευτέρας ἐστὶ τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ Πατρός ἐστι δι' Υἱοῦ, ὅπερ ἐστὶν ὡς ἐξ ἑνὸς Θεοῦ τοῦ Πατρὸς καὶ Υἱοῦ.

Et aliis annexis.

LXXVII. « Ne tu opineris cœpisse processionem, et « quievisse, propterea dictum est ; qui a Patre pro- « cedit, ne principium, et finem processionis cu- « riosius investiges. »

Καὶ μεθ' ἕτερα.

ΟΖ'. « Ἵνα μὴ νομίσῃς ἤρξατο τοῦ ἐκπορεύεσθαι « καὶ πέπαυται, διὰ τοῦτο εἴρηται, Ὁ παρὰ τοῦ Πα- « τρὸς ἐκπορεύεται, ἵνα μήτε ἀρχὴν, μήτε τέλος « ἐπιζητήσῃς τῆς ἐκπορεύσεως. »

Animadversio.

« Notate per omnia nos doceri ex Patre Spiritus « processionem. »

Ἀντίρρησις.

« Ἐπιστημειοῦ πανταχοῦ διδασκόμενος ἐκ τοῦ « Πατρὸς τὴν τοῦ Πνεύματος ἐκπόρευσιν. »

Refutatio.

« Sed insuper tu quoque notato, non ex solo « Patre. »

Ἀντίρρησις.

Ἀλλ' ἐπισημειοῦ καὶ ὅπως οὐκ ἐκ μόνου τοῦ Πατρός.

Et nonnullis adjectis.

LXXVIII. « Differentiam ne perquirito : neque enim « apprehendi potest, sed quæ tibi præcepta sunt, « mente revolve : et ultra nihil horum examina. « Quid porro tibi præceptum est ? Credere Filium « generari, et Spiritum procedere. »

Καὶ μετά τινα.

ΟΗ'. « Τὴν διαφορὰν μὴ περιεργάζου· οὐ γὰρ κα- « ταληπτή, ἀλλὰ ἃ προστάγη σοι, ταῦτα διανοοῦ· « καὶ περαιτέρω τούτων μὴ ἐξέταζε. Προστάγη « σοι δὲ τί; Πιστεύειν ὅτι Υἱὸς γεννᾶται, καὶ τὸ « Πνεῦμα ἐκπορεύεται. »

Animadversio.

« Ex Patre scilicet, ex quo Filius generatur. »

Ἐπίστασία.

« Δηλονότι ἐκ τοῦ Πατρὸς, ἐξ οὗ ὁ Υἱὸς γεγέν- « νηται. »

Refutatio.

Non erat profecto sancto hic sermo de principio, sed de modo quo causata exsistunt. Filius nempe generationis modo, Spiritus processionis. Est vero prorsus Spiritus exsistens etiam ex Filio, Spiritus procedens, qui non est Filius genitus.

Ἀντίρρησις.

Οὐκ ἦν ὁ λόγος τῷ ἁγίῳ ἐνταῦθα περὶ τοῦ ὅθεν, ἀλλὰ πῶς ἕκαστον τῶν αἰτιατῶν· ὅτι ὁ μὲν Υἱὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἐκπορευτῶς. Ἔστι δὲ πάντως τὸ Πνεῦμα ὑπάρχον καὶ ἐκ τοῦ Υἱοῦ Πνεῦμα ἐκπορευτὸν, οὔμενουν Υἱὸς γεννητός.

Ex eadem.

LXXIX. « Namque ingenitus Spiritus est, sed non « absque causa habet, siquidem sui causam Deum, « cujus Spiritus est. »

Ἐκ τῆς αὐτῆς.

ΟΘ'. « Καὶ γὰρ ἀγέννητον τὸ Πνεῦμα, ἀλλ' οὐχὶ « καὶ ἀναίτιον· ἔχει γὰρ αἴτιον τὸν Θεὸν, οὗ « Πνεῦμά ἐστιν. »

Animadversio.

« Aut Patrem, uti in variis pericopis antea adnotavimus. »

Ἐπίστασία.

« Ἤτοι τὸν Πατέρα, καθὼς ἐν διαφόροις περικο- « παῖς περὶ τούτου προεπεσημειωσάμεθα. »

Refutatio.

Sed per Filium, uti etiam nos sæpius antea adnotavimus. »

Ἀντίρρησις.

Ἀλλὰ διὰ τοῦ Υἱοῦ, καθὼς καὶ ἡμεῖς περὶ τούτου πολλάκις προεπεσημειωσάμεθα.

Ejusdem ex oratione in forma colloquii Apollinarii et Orthodoxi.

Τοῦ αὐτοῦ ἐκ τοῦ ἐν εἴδει διαλέξεως Ἀπολλιναρίου καὶ Ὀρθοδόξου.

LXXX. « Deus est Verbum, qui formam servi acce- « pit, et Christus nuncupatur, et est et creditur, et « ungitur ut homo Spiritu sancto, sed veluti Deus « elargitur ipsum dignis. »

Π'. « Θεός ἐστι Λόγος, μορφὴν δούλου λαβὼν, Χρι- « στὸς ὀνομαζόμενος, καὶ ὢν καὶ πιστευόμενος, καὶ « χριόμενος μὲν ὡς ἄνθρωπος τῷ Πνεύματι τῷ ἁγίῳ, « ὡς δὲ Θεὸς παρέχων αὐτὸ τοῖς ἀξίοις. »

Animadversio.

« Elargitur dicit, non producit. »

Ἐπίστασία.

« Παρέχων λέγει, οὐ προσβάλλων. »

Refutatio.

Et quis unquam ex Patribus dixit verbo activo

Ἀντίρρησις.

Καὶ τίς τῶν ἁγίων ἐπ' αὐτοῦ τοῦ Πατρὸς εἰρηκέ

[78] Luc. XVIII, 19.

Digitized by Google Распознавание текста ABK/FR

ποτε ἐν ῥήματι ἐνεργητικῷ προβάλλειν, ἢ ἐκπορεύειν τὸν Πατέρα τὸ Πνεῦμα, ἵν' εἰη καὶ τοῦτο εἰς ἀφορμὴν σκανδάλου ὑμῖν τοῖς νέοις δογματισταῖς, λέγουσιν ὡς ὁ Υἱὸς οὐχὶ προβάλλει, οὐδὲ ἐκπορεύει τὸ Πνεῦμα, εἰ καὶ ὁ Πατὴρ λέγεται τοῦ Πνεύματος προβολεὺς, εἰ καὶ τὸ Πνεῦμα λέγεται ἐκπορεύεσθαι ἐκ Πατρός; Ἀλλ' οἱ θεολόγοι πάντες Πατέρες ἐνεργητικὸν ῥῆμα ἐπὶ τοῦ Πατρὸς οὐκ εἶπον, τὸ προβάλλειν καὶ ἐκπορεύειν, ἀλλὰ τὸ προσχέειν, πηγάζειν τε, καὶ ἐκπέμπειν, ὅπερ πάντα καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγεται ἔχειν.

A Patrem ipsum ἐκπορεύειν, aut προβάλλειν Spiritum, ut hic quoque causa scandali esset vobis novis dogmatistis, asserentibus Filium neque producere, neque emittere Spiritum, licet Pater dicatur Spiritus productor; licet Spiritus asseratur ex Patre procedere? Sed omnes Patres theologi nunquam in Patre verbum activum usurparunt ἐκπορεύειν, et προβάλλειν; sed effundere, effluere et emittere, quæ omnia ex Filio dicitur Spiritus habere.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ ἐν εἴδει διαλέξεως Μοντανιστοῦ καὶ Ὀρθοδόξου.

ΠΑ'. « Ὥσπερ οὐδέν ἐστι μέσον νοῦ καὶ λόγου « καὶ πνοῆς, οὕτως οὐδὲν μέσον Πατρὸς καὶ Υἱοῦ « καὶ ἁγίου Πνεύματος. Νοῆσαι δὲ δεῖ τὸ Πνεῦμα « τέλειον ἐν τελείᾳ ὑποστάσει παρὰ Πατρὸς ἐκπο- « ρευόμενον. »

B

Ejusdem ex oratione in forma colloquii, Montanistæ et Orthodoxi.

LXXXI. « Quemadmodum nihil est medium inter « mentem et sermonem, et statum, ita nihil est me- « dium inter Patrem et Filium et Spiritum sanctum. « Verum considerandus est Spiritus perfectus in « perfecta hypostasi a Patre procedens. »

Ἐπίστασις.

« Ἄκουε παρὰ τίνος τὸ Πνεῦμα ἐκπορεύεται. »

Animadversio.

« Audisne, a quonam Spiritus procedat? »

Ἀντίῤῥησις.

Ἀλλὰ πρόσεχε καὶ δὸς τὸ παράδειγμα ὡς παρὰ πρώτης αἰτίας καὶ ἀρχῆς τοῦ Πατρὸς δηλοῖ περὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον, ὡς διὰ τοῦ λόγου ἐστὶν ἡ πνοὴ ἐκ τοῦ νοῦ.

Refutatio.

Sed attendito tu mentemque figito exemplo accurate, quod veluti a prima causa et principio Patre insinuat per Filium procedere Spiritum, uti per sermonem flatus est ex mente.

ΡΗΣΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ.

S. CYRILLI DICTA.

Ἐκ τῶν Θησαυρῶν.

Ex Thesauris.

ΠΒ'. « Ἐπειδὴ δὲ ἀμαθῶς καὶ ταῦτα προτείνουσιν « οἱ δι' ἐναντίας, ἀνάγκη δὴ λοιπὸν ἐπ' ἐκεῖνα χω- « ρεῖν, δι' ὧν τὰ ἐξ ὧν δυσφημοῦσιν ἀμαθῶς ἀπο- « κρουσθήσεται βλάβος. Οὐχ οὕτως, ὦ βέλτιστοι, « τὰ πάντα φαμὲν ἐκ τοῦ Θεοῦ, καθάπερ καὶ τὸ « Πνεῦμα· τὸ μὲν γάρ ἐστι φυσικῶς ἐνυπάρχον « αὐτῷ, καὶ οὐσιωδῶς ἐμπεφυκὸς, ἵν' οὕτως εἴπω- « μεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προϊόν· τὰ δὲ, τῆς « ἐνεργείας ἔργα καὶ ποιήματα δι' Υἱοῦ ἐν Πνεύ- « ματι γεγονότα, καὶ οὕτως ἐκ Θεοῦ νοούμενα. « Εἰ δὲ τούτοις ἡμῶν οὐ πείθεσθε τοῖς λόγοις, ἐν « ἴσῃ δὲ τάξει τοῖς πεποιημένοις καὶ τὸ Πνεῦμα « θήσετε, διὰ τὸ ἐκ Θεοῦ καὶ αὐτὸ λέγεσθαι, καθά- « περ ἐκεῖνα, τί τὸ κωλῦον ἡμᾶς ἀνθυπενεγκόντας « εἰπεῖν. Εἰ ἐκ Θεοῦ τὰ πάντα ἐστὶν ὥσπερ καὶ τὸ « Πνεῦμα, καὶ τὸ ἐξαίρετον οὐδὲν ἐν αὐτῷ παρὰ τὰ « ποιήματα, διατί μὴ καὶ ἕκαστον τῶν γεγονότων, « ἐπειδήπερ ἐκ τοῦ Θεοῦ εἶναι λέγεται, οἶδε τὰ τοῦ « Θεοῦ, καὶ ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ; διατί δὲ μὴ « διὰ πάντων ἀποκαλύπτει Θεὸς, ἀλλὰ διὰ μόνου « τοῦ Πνεύματος; Ὅτε τοίνυν τὰ μὲν ἄλλα ποιή- « ματα διὰ τοῦ Πνεύματος τὴν ἀποκάλυψιν ἔχει, « αὐτὸ δὲ τὸ Πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, « ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, ὥσπερ « καὶ ἐν τῷ ἀνθρώπῳ τὸ ἀνθρώπινον, πρόδηλον δή- « που θεν ὡς Θεὸς μὲν τὸ Πνεῦμα, τὸ ἐξ οὗ κυρίως « ἔχον καὶ φυσικῶς ὡς Θεὸς, τὰ δὲ ἄλλα ποιήματα « καταχρηστικώτερον, ὡς ἐκ ποιητοῦ καὶ δημιουρ- « γοῦ πεφηνότα, ἐξ οὗ λεγόμενα. »

C

D

LXXXII. « Cum autem imperite admodum hæc « opponant adversarii, necesse est ad illa gradum « facere, per quæ noxa ab eisdem imprudenter, « blasphemeque inferri tentata, repellitur. Non ita, « o optimi, omnia ex Deo dicimus, quemadmodum « et Spiritum: hic enim naturaliter in eo exsi- « stens, et essentialiter adhærens, ut ita dicamus, « indivise ex eo progreditur: opera vero, et crea- « turæ actionis sunt per Filium in Spiritu produ- « ctæ, et hac ratione ex Deo intellectæ. Quodsi « hisce sermonibus non suademini, sed in eodem « loco, et creaturas et Spiritum reponitis, quod « ex Deo et ipse dicatur, quemadmodum et illæ, « quid impediet, ne contra opponentes asseramus: « Si ex Deo omnia sunt, quemadmodum et Spiri- « tus, et nihil in eo singulare est, quod in creaturis « etiam non eluceat, quare non et unaquæque ex « creaturis, cum ex Deo esse dicatur, quæ Dei « sunt novit, et Dei profunda perscrutatur? Quare « non etiam per omnes Deus revelat, sed tan- « tum per Spiritum sanctum? Cum igitur aliæ « creaturæ per Spiritum revelationem obtineant, « ipse vero Spiritus perscrutetur Dei profunda, « tanquam qui in ipso naturaliter exsistit, uti et « in homine humanus, manifestum plane rema- « net, Spiritum esse Deum, proprie illud, ex alio « esse obtinentem, et naturaliter uti Deus, reliquæ « vero creaturas magis abusive tanquam quæ ex « factore et opifice producantur, ideoque ex eo esse « dicantur. »

Digitized by Google Распознавание текста ABK/FR

Animadversio.

« Considera mirabilem horum omnium sanctorum Patrum, veluti una tessera, concordiam, attenditoque ab omnibus illud ex Deo de Patre assumi, quemadmodum et hic in rebus divinis exponendis quam maximus Cyrillus in hac pericope, ex Deo progredi Spiritum decernens, et ex eo, et in eo naturaliter exsistere. »

Refutatio.

In rebus divinis exponendis, quam maximum Cyrillum in hac pericope illud « ex Deo » de Patre assumere, sapienter admodum animadvertisti. Verumtamen iisdem verbis ibidem ex Deo Spiritum esse eumdem manifestasse, quibus locis in aliis eumdem ex Filio esse enuntiaverat non adnotasti, neque animadvertisti. Sanctus enim in hac ex Deo progredi Spiritum decernens, et ex eo, et in eo naturaliter esse, locis in aliis ex Filio progredi et ex ipso et in ipso naturaliter esse affirmat, non alias dictiones, cum de Deo sermo fit, et alias, cum de Filio, usurpans. Annon manifeste inculcat unam et eamdem Spiritus exsistentiam esse ex Patre et Filio?

Ex iisdem.

LXXXIII. « Ex Deo Spiritum sanctum esse dicimus, « et ita credimus. Verum qui ad blasphemandum « tantummodo maxime propensi sunt, et reliqua « omnia ex Deo producta esse asserunt, scribente « Paulo : « Unus Deus Pater, ex quo omnia [76]. » « Et sic existimant se posse refellere, ex essentia « Patris Spiritum esse, quod et de creaturis dica- « tur illud ex quo, quod de Spiritu assertum, ex « essentia illum naturaliter exsistere demonstrat. « Quibus facile responderi poterit, etiam cum de « Filio sermo habetur, proprie Filii nomen dici, « quod de hominibus abusive tamen enuntiatur : « non enim quod per additionem, et per gratiam « applicatur, subvertet eum qui illud naturaliter « possidet. Pari modo illud ex alio, cum de crea- « turis prædicatur, non attrahet ad propriam hu- « militatem et consubstantialitatem, sublimitatem « ac deitatem Spiritus : sed manebit quidem in illo « proprie illud ex alio, quod ex essentia Patris est, « progredietur vero in illa, quod ex Deo, quæ antea « non erant, ut sint producta sunt, per Filium « scilicet. »

Animadversio.

« Habeto tibi antea digestæ pericopes ex hac « declarationem. Obscure enim in illa insinuatum, « ex Deo Spiritum progredi, et ex eo et in eo « esse, ista declarans, ex essentia Patris esse « docet. »

Refutatio.

Si exquisitam supra digestæ pericopes declarationem habere tibi in animo est, attendito sanctum, cum rursus ex Patre Spiritus exsistentiam hic manifestat, ex essentia Patris eum esse docere, innumeris vero prope in locis suorum Commenta-

[76] I Cor. VIII, 4.

Ἐπίστασις.

« Ὅρα τὴν θαυμαστὴν τῶν θεοφόρων τούτων ἁγίων Πατέρων οἷον ὡς ἐκ συνθήματος συμφωνίαν, καὶ « πρόσσχες πῶς πάντες τὸ ἐκ Θεοῦ ἐπὶ τοῦ Πατρὸς « ἐκλαμβάνονται, καθὰ καὶ οὗτος ὁ πολὺς τὰ θεῖα « Κύριλλος ἐν τῇ περικοπῇ ταύτῃ, ἐκ Θεοῦ προϊὸν « δογματίζων τὸ Πνεῦμα, καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ « φυσικῶς ὑπάρχον. »

Ἀντίρρησις.

Ὅτι μὲν ὁ πολὺς τὰ θεῖα Κύριλλος ἐν τῇ περικοπῇ ταύτῃ τὸ « ἐκ Θεοῦ ἐπὶ τοῦ Πατρὸς ἐκλαμβάνεται, ἐπιστημόνως ἐπέστησας· ὅτι δὲ δι' ἐκείνων τῶν λέξεων, ἐκ Θεοῦ εἶναι τὸ Πνεῦμα ἐνταῦθα ἐδήλωσε, δι' ὧν ἐν ἄλλοις δεδήλωκε τό, ἐξ Υἱοῦ εἶναι αὐτό, οὐ προσέσχες, οὐδὲ ἐπέστησας. Ὁ γὰρ ἅγιος ἐνταῦθα ἐκ Θεοῦ προϊὸν δογματίζων τὸ Πνεῦμα, καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, προϊὸν αὐτὸ δογματίζει ἐν ἄλλοις ἐκ τοῦ Υἱοῦ, καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον. Οὐκ ἄλλαις γοῦν εἰς τὸ ἐκ Θεοῦ χρώμενος λέξεσι, καὶ ἄλλαις εἰς τὸ ἐξ Υἱοῦ, πῶς οὐ προδήλως μίαν καὶ τὴν αὐτὴν τοῦ Πνεύματος παρίστησιν ὑπαρξιν ἐκ Πατρὸς καὶ Υἱοῦ;

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

ΠΓ'. « Ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναί φαμεν, « καὶ οὕτω πιστεύομεν. Ἀλλ' οἱ πρὸς μόνον τὸ δυσφημεῖν ἑτοιμότατοι, καὶ τἆλλα πάντα ἐκ Θεοῦ γενέσθαι φασὶ, τοῦ Παύλου γράφοντος· « Εἷς Θεὸς ὁ « Πατὴρ, ἐξ οὗ τὰ πάντα. » Εἶτα νομίζουσι δύνασθαι « ἀνατρέπειν τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς τὸ « Πνεῦμα, διὰ τὸ φέρεσθαι καὶ κατὰ τῶν ποιημάτων « τὸ, ἐξ οὗ, ὅπερ ἐπὶ τοῦ Πνεύματος κείμενον, ἐκ « τῆς οὐσίας αὐτὸ φυσικῶς ὑπάρχον ἀποδεικνύει. « Ἀλλ' ἔστι πρὸς τοῦτο λέγειν ὅτι καὶ ἐφ' Υἱοῦ κυ- « ρίως μὲν κεῖται τὸ Υἱὸς ὄνομα, κεῖται δὲ καὶ ἐπ' « ἀνθρώπων καταχρηστικῶς, καὶ οὐ δήπου τὸ θέσει « τινὶ καὶ κατὰ χάριν προσκείμενον ἀνατρέψει τὸν « ἔχοντα φυσικῶς. Οὕτω καὶ τὸ ἐξ οὗ τῶν ποιημά- « των κατηγορούμενον οὐ κατοίσει πρὸς τὴν οἰκείαν « ταπείνωσίν τε καὶ ὁμοουσιότητα τὸ τοῦ Πνεύματος « ὑψηλόν τε καὶ θεϊκόν· ἀλλὰ μενεῖ μὲν αὐτῷ κυ- « ρίως τὸ ἐξ οὗ, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πα- « τρὸς, χωρήσει δὲ καὶ ἐπ' ἐκεῖνα, διὰ τὸ ἐκ Θεοῦ « πρὸς τὸ εἶναι τὰ οὐκ ὄντα δραμεῖν, δι' Υἱοῦ δη- « λαδή. »

Ἐπίστασις.

« Δέχου τὴν τῆς προλαβούσης περικοπῆς σαφήνειαν ἀπὸ ταύτης. Ὁ γὰρ ἀσαφῶς ἐκείνη ἐδίδαξεν, « ἐκ Θεοῦ προϊὸν τὸ Πνεῦμα λέγουσα, καὶ ἐξ αὐτοῦ « καὶ ἐν αὐτῷ ὑπάρχον, τοῦτο σαφηνίζουσα αὕτη, « ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς διδάσκει. »

Ἀντίρρησις.

Εἴπερ ἀκριβῶς βούλει τὴν τῆς προλαβούσης περικοπῆς σαφήνειαν δέξασθαι, πρόσσχες ὅτι τὴν ἐκ τοῦ Πατρὸς καὶ πάλιν δηλῶν ὕπαρξιν τοῦ Πνεύματος ἐνταῦθα ὁ ἅγιος, ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς διδάσκει αὐτό. Μυριαχοῦ δὲ τῶν ἄλλων συγγραμμά-

Digitized by Google Распознавание текста ABK/FR

τον αὐτοῦ καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ αὐτὸ ὑπάρχον θεολογεῖ. Ὁ γὰρ τούτοις προσσχὼν οὐκ ἂν εἴη δίκαιος ἑκτοτε ἀντιλέγειν τῷ ἐξ ἀμφοῖν.

Ἐκ τῶν αὐτῶν.

ΠΔ'. « Οὐκοῦν εἰ τὸ Πνεῦμα τὸ ἅγιον υἱοὺς ἀποδεικνύει Θεοῦ τοὺς ἐν οἷς κατοικεῖ, καὶ θείας ἐργάζεται φύσεως κοινωνούς, ὡς ἐντεῦθεν ἡμᾶς ἡνωμένους τῷ ὑπὲρ πάντας ὄντι Θεῷ μετὰ παῤῥησίας ἀναβοᾶν, « Ἀββᾶ ὁ Πατήρ, » οὐκ ἐν δούλοις οὐδ' ἐν τοῖς ποιήμασι τετάξεται, φορέσει δὲ μᾶλλον φυσικῶς τὸ τῆς θείας οὐσίας ἀξίωμα, ἐξ αὐτῆς τε ὑπάρχον καὶ παρ' αὐτῆς τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον. »

Ἐπισταsία.

« Ὁρᾷς πῶς, ἀσαφῶς ἐνταῦθα εἰπὼν ἐκ τῆς θείας « οὐσίας ὑπάρχειν τὸ Πνεῦμα, ἵνα μὴ προφάσεις « λόγων δώσῃ τοῖς καὶ ἐκ τοῦ Υἱοῦ αὐτὸ εἶναι λέγειν ἐθέλουσι διὰ τὸ ὁμοούσιον, ἐπήγαγε τὸ καὶ παρ' αὐτῆς τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον; « Τοῦτο φανερῶς τὴν μὲν ὕπαρξιν τοῦ Πνεύματος « ἐκ τοῦ Πατρὸς, τὴν δὲ χορηγίαν διὰ τοῦ Υἱοῦ « ἐδογμάτισεν. »

Ἀντίῤῥησις.

Οὐκ ἀσαφῶς ἐνταῦθα τὸ ἐκ τῆς θείας οὐσίας ὑπάρχειν τὸ Πνεῦμα ὁ ἅγιος εἴρηκεν, ἀλλὰ μᾶλλον εἰπὼν τὸ ἐξ αὐτῆς τε ὑπάρχον καὶ παρ' αὐτῆς τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον διεδήλωσε φανερῶς, ὅτι, ὥσπερ διὰ τὸ ἐκ τῆς θείας ὑπάρχον οὐσίας, ἔστι καὶ χορηγούμενον παρ' αὐτῆς, οὕτω καὶ διὰ τοῦ Υἱοῦ χορηγεῖται, ὡς ὑπάρχον διὰ τοῦ Υἱοῦ. Εἰ γὰρ μία ἡ τοῦ Πνεύματος χορηγία, οὐκ ἂν παρὰ μὲν τῆς θείας οὐσίας ἔσται, ὡς ὑπάρχοντος τοῦ Πνεύματος παρ' αὐτῆς, διὰ τοῦ Υἱοῦ δὲ ἄλλως, ἀλλὰ πάντως ὡς τοῦ Πνεύματος ὑπάρχοντος διὰ Υἱοῦ.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

« ΠΕ'. Γέγραπται πάλιν· Αὐτὸ γὰρ τὸ Πνεῦμα « συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα « Θεοῦ. Ὡς γὰρ ἐκ τῆς οὐσίας ὑπάρχοντος τοῦ χορηγοῦντος αὐτὸ τοῖς ἁγίοις, Χριστοῦ δηλαδὴ, καὶ ὡς « τοῦ Θεοῦ Λόγου διὰ Πνεύματος ἡμῖν ἐνοικιζομένου, καὶ ἐν ἡμῖν γινομένου, πρὸς τὸ τῆς υἱοθεσίας ἀναβαίνομεν ἀξίωμα, αὐτὸν ἔχοντες ἐν ἑαυτοῖς τὸν Υἱὸν, πρὸς ὃν καὶ ἀναμορφούμεθα τῇ τοῦ « Πνεύματος αὐτοῦ μετοχῇ, καὶ εἰς τὸ ἴσον τῆς παῤῥησίας ἀναβαίνοντες σχῆμα, τολμῶμεν λέγειν, « Ἀββᾶ ὁ Πατήρ. » Οὐκοῦν τὸ Πνεῦμα Θεὸς, εἴπερ « ἐργάζεται Θεοὺς τοὺς δεχομένους αὐτό. »

Ἐκστασία.

« Νουνεχῶς ἄκουε, πῶς ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ « εἰπὼν τὸ Πνεῦμα διὰ τὴν ὁμοουσιότητα, ὡς ἄνωθεν « εἴπομεν, ἵνα μὴ τὴν ἐκπόρευσιν τοῦ, καὶ ἐκ τοῦ « Υἱοῦ νομίσῃ τις, χορηγὸν αὐτοῦ, καὶ οὐχὶ προβολέα τοῦτον ὠνόμασε, τὴν δὲ ὁμοτιμίαν διδάσκων, « καὶ τὸν Υἱὸν ἡμῖν ἐνοικίζεσθαι διὰ Πνεύματος « εἴρηκεν. »

Ἀντίῤῥησις.

Ἐν τῇ προλαβούσῃ ἐπιστασίᾳ, ἐν ᾗ διεσάφεις τὸ, « Ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ ἐξ οὗ, » διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγοντος τοῦ ἁγίου εἶναι τὸ

A riorum decernere, eumdem et ex essentia Filii esse. Qui enim hæc attente considerat, non utique juste illis sese opposuerit, qui ex utroque affirmant.

Ex iisdem.

LXXXIV. « Itaque si Spiritus sanctus filios Dei « ostendit illos, in quibus habitat, et divinæ naturæ « participes efficit, ut sic nos Deo, qui super omnia « est, conjuncti, maxima cum confidentia clame- « mus, Abba Pater, næ ille neque inter servos, « neque inter creaturas collocabitur, sed potius « portabit naturaliter divinæ essentiæ dignitatem, « ex ipsa exsistens, et ab ipsa per Filium sanctis « suppeditatus. »

Animadversio.

A venerit Paracletus, quem ego mittam vobis a Patre. Spiritum veritatis, qui a Patre procedit, » subnectit illico interrogans : « Intelligis igitur quomodo proprium promittat se missurum nobis ex Patre, et Spiritum, quidem veritatis vocet, emanare vero ex ipso definiat Patre? » Et nihilominus in Evangelio Dominus procedere dixit. Sed sanctus sermonem Domini repetens, dictione *emanare* usus est, loco illius *procedere*. Quod demonstratio satis evidens est, idem esse in Spiritu profundi, emanare, et procedere. Illud porro, ex ipso Patre, non ex alio quopiam alterius substantiæ principio illum esse ostendit. Namque si, ut tu existimas, ad discernendum Filium appositum est, quomodo Spiritum proprium utriusque esse collegisset? Verum ex eo quod

B ipse esset unus ex Patre per Filium.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς πραγματείας.

ΙϚ'. « Ἡ τῆς μιᾶς θεότητος φύσις ἐν ἁγίᾳ τε καὶ « ὁμοουσίῳ Τριάδι γινώσκεται πρός τε ἡμῶν αὐ« τῶν καὶ τῶν ἁγίων ἀγγέλων· καὶ ἔστι μὲν καθ' « ὑπόστασιν ἰδικὴν παντέλειος ὁ Πατὴρ, ὁμοίως δὲ « καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα. Ἀλλ' ἡ ἐνὸς τῶν « ὠνομασμένων δημιουργικὴ θέλησις, ἐφ' ὅτῳπερ « ἂν λέγοιτο γενέσθαι τυχὸν, ἐνέργημα μὲν αὐτοῦ, « πλὴν διὰ πάσης ἔρχεται τῆς θεότητος, καὶ τῆς « ὑπὲρ κτίσιν ἐστὶν οὐσίας ἀποτέλεσμα· κοινὸν μὲν « ὥσπερ τι, πλὴν καὶ ἰδικῶς ἑκάστῳ προσώπῳ « πρέπον. Τὸ τοίνυν ἐκ μιᾶς φύσεως ἐνεργούμενον « διὰ τριῶν ὑποστάσεων πρέποι ἂν ἰδικῶς ἑκάστῃ, « παντελείως ἐχούσῃ καθ' ἑαυτήν. Ἐνεργεῖ τοιγαροῦν C « ὁ Πατὴρ, ἀλλὰ δι' Υἱοῦ ἐν Πνεύματι· ἐνεργεῖ καὶ « ὁ Υἱὸς, ἀλλ' ὡς δύναμις τοῦ Πατρὸς, ἐξ αὐτοῦ τε « καὶ ἐν αὐτῷ νοούμενος καθ' ὕπαρξιν ἰδικήν· « ἐνεργεῖ καὶ τὸ Πνεῦμα. Πνεῦμα γάρ ἐστι τοῦ « Πατρὸς καὶ τοῦ Υἱοῦ παντουργικόν. »

Ejusdem ex eodem tractatu.

XCV. « Unius Deitatis natura in sancta et consub« stantiali Trinitate tum a nobis, tum a sanctis an« gelis agnoscitur, estque secundum propriam « hypostasim perfectissimus Pater, similiter et Fi« lius et Spiritus, sed unius ex jam dictis effectrix « voluntas de quocunque illa quoquo modo asserа« tur, operatio quidem illius est, attamen per uni« versam divinitatem excurrit, effectusque illius, « quæ super omnem creaturam est, essentiæ, tan« quam omnibus communis, nec non et speciatim « unicuique personæ. Quod igitur ex una natura « efficitur per tres hypostases, propria unicuique « tanquam quæ per se perfectissima subsistit, at« tribuitur. Operatur itaque Pater, sed per Filium « in Spiritu, operatur et Filius, sed ut virtus Pa« tris ex ipso et in ipso intellectus secundum exsi« stentiam propriam : operatur et Spiritus, namque « est Patris et Filii Spiritus omnium effector.

Ἐπιστασία.

« Ἐνταῦθα οὐχ ἕτερόν τι ἀλλ' ἢ τὴν πρὸς τὸν « Πατέρα καὶ τὸν Υἱὸν ὁμοουσιότητα διδάσκει, οἶμαι, « ὁ ἅγιος. »

Animadversio.

« Hic non aliud, quam erga Patrem et Filium « consubstantiale sanctus doctor edocet, ut ipse « opinor. »

Ἀντίῤῥησις.

Αὐτὴ ἡ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοουσιότης τοῦ Πνεύματος, ἣν διδάσκειν ἐνταῦθα λέγεις τὸν ἅγιον, οὐκ ἀλλοθέν ἐστιν, ἀλλ' ἐκ τοῦ εἶναι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός. Καὶ ἡ μαρτυρία οὐ πόῤῥω, ἀλλ' ἐν τῇ προηγησαμένῃ περικοπῇ, ὅπου τὸ Πνεῦμα ὁ ἅγιος ἀμφοῖν εἶπεν εἶναι, ὡς ἐν ἐκ Πατρὸς δι' Υἱοῦ· καὶ ἐντεῦθεν εἶναι τὸ ὁμοούσιον συνιστῶν, προσέθετο διὰ τὴν ταυτότητα τῆς οὐσίας. Ἐντεῦθεν γὰρ ἡ Τριὰς εἰς τὸ συνεχές τι καὶ συμφυὲς, κατὰ τὸν αὐτὸν καὶ πάλιν εἰπεῖν, ἀνασφίγγεται, καὶ ἐντεῦθεν, κατὰ τὸν αὐτὸν καὶ ἔτι εἰπεῖν, ἡ πρὸς ἄλληλα τούτων ἀντεμβολὴ, ἣν ἕτεροι τῶν ἁγίων περιχώρησιν ὠνομάκασιν.

Reſutatio.

Ipsum erga Patrem et Filium Spiritus consubstantiale, quod edocere hic sanctum opinaris, non aliunde provenit, quam quod Spiritus ex Patre per Filium est. Neque hinc longe testimonium petendum est, sed ex præcedenti pericopa, in qua sanctus D utriusque esse Spiritum dixit, tanquam qui unus est ex Patre per Filium ; indeque consubstantiale ortum ducere comprobans, adnexuit, propter identitatem essentiæ. Hinc enim Trinitas secundum continuitatem et naturalem conjunctionem, ut eum eodem rursus loquar, colligatur, et hic, ut iterum illius verbis utar, mutua eorum inter ipsos introductio, quam alii sanctorum, mutuam circumitionem vocaverunt.

Ἐκ τῆς αὐτῆς.

ΙϚ'. « Οἶδεν οὖν ἄρα τὸ Πνεῦμα τοῦ Θεοῦ τὰ ἐν « αὐτῷ, καὶ οὐδὲν αὐτῷ κεκρυμμένον ἢ ἀσυμφανές. « Οἶδε· πῶς γὰρ οὔ; Εἴπερ οὖν ἐστι τὸ πάντα εἰδὸς « τὰ ἐν τῷ Πατρὶ, καίτοι λέγοντος ἀκούω σαφῶς

Ex eadem.

XCVI. « Scit itaque Spiritus Dei, quæ in Deo sunt, « et nihil ipsi occulitur, aut obscuratur. Scit ; qua « enim ratione aliter fieri poterit? Si itaque est, « qui omnia novit, quæ sunt in Patre, et plane in-

Digitized by Google Распознавание текста ABK/FR

« telligo ad sanctos apostolos proferri. « Adhuc A « multa habeo vobis dicere, sed non potestis portare modo [95] : » — « cum vero venerit ille Paracletus, Spiritus veritatis [96], » conducet vos in « omnem veritatem : « non enim ex se loquetur, « sed quæcunque audiet loquetur, et quæ ventura « sunt, annuntiabit vobis. Ille me glorificabit, quia « de meo accipiet, et annuntiabit vobis [97]. » Annon tibi jam patet quod antea allatum est eloquium? Vides Spiritum veritatis Paracletum « nuncupasse? Id vero insinuat, eum ex Patre progredi, quæcunque Patris sunt, sibi propria esse « manifestans. »

Animadversio.

« Hic rursus Spiritus progressionem ex Patre « docet : proprium vero illum et Filii asserit, quod B « unius ejusdemque cum illo naturæ est. »

Refutatio.

Quemadmodum antea digesta pericope propter identitatem effusionis et processionis ostendebat ex Patre et Filio esse Spiritum : etenim si idem est in Patre effundi et procedere, quare non erit ex utroque quod ex utroque effunditur? Pari modo et, quæ nunc allata est, hoc idem monstrat, cum enim sanctus interrogans dicat : Num vidisti Spiritum veritatis Paracletum nuncupasse? Id vero insinuat, cum ait eum ex Patre progredi. Quod enim Salvator *procedere*, *progredi* sanctus nominavit, nullum inter hasce dictiones discrimen agnoscens. C

Ex eodem ad Hermiam tractatu de Spiritu sancto.

XCVII. « Ita est, ait : Deum agnovimus Patrem et « Filium, at non item Spiritum. Verum nos non « illos, qui mente excæcati sunt, in medium affe- « remus. Non enim spiritibus erronibus, ut Scri- « ptura ait, attendemus, inesse vero potius, et in « Deo exsistere essentialiter Spiritum sanctum cre- « demus, quemadmodum et in homine humanum. « Et quemadmodum si quis nobis aut Petrum, « aut Joannem forte nominaverit, una simul cum « ipsis et spiritum eorum proprium, qui in illis « est, indicavit, et integrum animal commonstrat, D « eadem opinor ratione de Patre et Filio dissere- « dum est : simul enim cum unoquoque ex ipsis « et spiritus indicatur, non tanquam illius pars, juti « in hominibus concipimus. Subsistit enim pro- « prie, et progreditur ex propria natura, suppedi- « tat vero dignis et ipse Filius. »

Animadversio.

« Discito ex his quoque a Patre quidem Spiritum « progredi, a Filio vero suppeditari. »

Refutatio.

Si non invenires innumeris prope Scripturarum locis a Filio Spiritum progredi, apte quidem di-

« τοῖς ἁγίοις ἀποστόλοις · « Ἔτι πολλὰ ἔχω ὑμῖν « λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ « ἔλθῃ ἐκεῖνος ὁ Παράκλητος τὸ Πνεῦμα τῆς ἀλη- « θείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. « Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ « λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖ- « νος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ « ἀναγγελεῖ ὑμῖν, » Ἆρά σοι σαφὲς τὸ παρεισθέν σοι « λόγιον ; Καὶ προσδέδορκας ὅτι Πνεῦμα μὲν ἀλη- « θείας κατωνόμασε τὸν Παράκλητον ; Ἔφη γε μὴν « ὡς πρόσεισιν ἐκ Πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυ- « τοῦ τὰ τοῦ Πατρός. »

Ἐπιστασία.

« Ἐνταῦθα δὲ πάλιν τὴν πρόοδον μὲν τοῦ Πνεύμα- « τος διδάσκει ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ αὐτὸ λέγει « καὶ τοῦ Υἱοῦ διὰ τὸ μιᾶς καὶ τῆς αὐτῆς εἶναι « φύσεως. »

Ἀντίῤῥησις.

Ὥσπερ ἡ προῤῥηθεῖσα περικοπὴ διὰ τῆς ταυτό- τητος τοῦ προχεῖσθαι καὶ ἐκπορεύεσθαι ἐδείκνυε τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα· εἰ γὰρ ταυτὸν ἐπὶ τοῦ Πνεύματος τὸ προχεῖσθαι καὶ ἐκ- πορεύεσθαι, πῶς; οὐκ ἐξ ἀμφοῖν τὸ προχεόμενον ἐξ ἀμφοῖν ; οὕτω καὶ ἡ νῦν ῥηθεῖσα περικοπὴ ἀπο- δεικνύει τὸ αὐτὸ, τοῦ ἁγίου κατ' ἐρώτησιν λέγοντος, Ἆρα προσδέδορκας, ὅτι Πνεῦμα μὲν ἀληθείας κατω- νόμασε τὸν Παράκλητον ; Ἔφη γε μὴν ὡς πρόεισιν ἐκ Πατρός. Ὁ γὰρ ἐκπορεύεται, ὁ Σωτὴρ ἔφη, πρό- εισιν ὁ ἅγιος εἶπε, μηδὲν οἰόμενος διαφέρειν ἀλλή- λων ταῦτα τὰ ῥήματα.

Τοῦ αὐτοῦ ἐκ τοῦ ἐν τῇ πρὸς Ἑρμείαν πραγμα- τείᾳ περὶ τοῦ ἁγίου Πνεύματος λόγου.

ιζ'. « Ναὶ, φησὶ, Θεὸν ἐγνώκαμεν τὸν Πατέρα « καὶ τὸν Υἱόν· οὐχὶ δὲ δὴ καὶ τὸ Πνεῦμα. Ἀλλ' « οὐ τοῖς διεφθορόσι τὸν ἴδιον νοῦν μυσταγωγοῖς « χρησόμεθα. Προσέξομεν δὲ οὐχὶ πνεύμασι πλάνοις « κατὰ τὰς Γραφὰς· ἐνεῖναι δὲ μᾶλλον καὶ ἐνυ- « πάρχειν οὐσιωδῶς πιστεύσομεν τῷ Θεῷ τὸ Πνεῦμα « τὸ ἅγιον, καθὰ καὶ ἀνθρώπῳ τὸ ἀνθρώπινον. « Καὶ ὥσπερ εἴ τις ἡμῖν ἢ Πέτρον ἢ Ἰωάννην ὀνο- « μάσοι τυχὸν, συνεσήμανέ που αὐτοῖς καὶ τὸ « ἴδιον αὐτῶν, καὶ ἐν αὐτοῖς πνεῦμα, καὶ τοῦ παν- « τὸς ζώου ποιεῖται τὴν δήλωσιν, καὶ τὸν αὐτὸν « οἶμαι τρόπον ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Συγ- « κατασημαίνεται γὰρ ἑκατέρῳ τὸ Πνεῦμα, καὶ « οὐχ ὡς μέρος ὂν αὐτοῦ, καθὰ καὶ ἐπ' ἀνθρώπων « νοοῦμεν. Ὑφέστηκε γὰρ ἰδικῶς, καὶ προῆσι « μὲν ἐξ ἰδίας αὐτὸ φύσεως ὁ Πατὴρ, χορηγεῖ δὲ « τοῖς ἀξίοις καὶ αὐτὸς ὁ Υἱός. »

Ἐπιστασία.

« Μάνθανε κἀνταῦθα προϊέντα μὲν τὸ Πνεῦμα « τὸν Πατέρα, χορηγοῦντα δὲ τὸν Υἱόν. »

Ἀντίῤῥησις.

Εἰ μὲν μὴ εὗρες μυριαχοῦ τῆς Γραφῆς καὶ τὸν Υἱὸν προϊέντα τὸ Πνεῦμα, καλῶς ἂν ἐποιοῦ διαστο-

[95] Joan. xvi, 12. [96] ibid. xv, 26. [97] ibid. xvi, 13 sqq.

Digitized by Google Распознавание текста ABK/FR

λὰς τοῦ προϊέναι καὶ χορηγεῖν· ἐπεὶ δὲ πῇ μὲν γέγραπται, ὡς ἐκ τῆς ἰδίας φύσεως τὸ Πνεῦμα προῆσιν ὁ Πατήρ, πῇ δὲ ὡς ἐκ τῆς ἰδίας προῆσι φύσεως αὐτὸ καὶ ὁ Υἱός, τί τὰς τοῦ προϊέναι καὶ χορηγεῖν ἀναπλάττῃ διαστολάς;

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

ϞΗ'. « Οὐδὲν οὖν ἄρα τὸ παρωθοῦν καὶ ἐξεῖργον « ἔτι τοῦ τῆς θείας φύσεως εἶναι πιστεύειν ἴδιον « τὸ ἐξ αὐτῆς τε καὶ ἐν αὐτῇ φυσικῶς ἅγιον « Πνεῦμα, κἂν εἰ μήτε Πατὴρ, μήτε μὴν Υἱὸς εἴη « ἂν ἀλλ' ἥτις ποτέ ἐστιν ἡ τοῦ Πνεύματος φύσις, « πολυπραγμονεῖν ἀναγκαῖον, τὴν τῶν ὀνομάτων « ἰδιότητα μεθέντας εἰς τὸ παρὸν, οὐχὶ τῆς θεότη- « τος οὖσαν δεικτικὴν, ἀλλ' ἑκάστου τῶν ὠνομα- « σμένων, τίς ἂν νοοῖτο πρὸς ἡμῶν ὁ τῆς ὑπάρξεως « τρόπος εὖ μάλα κατασημαίνουσαν. Ὅτι γὰρ τέ- « τοκε δηλοῖ τὸ, Πατὴρ, καὶ ὅτι γεγέννηται διεσά- « φησε τὸ, Υἱός. Καὶ μὴν ὅτι τὸ Πνεῦμά ἐστιν ἐκ « θεοῦ καὶ Πατρὸς, ἴδιον δὲ καὶ αὐτοῦ τοῦ Υἱοῦ, « δίκην τοῦ καθ' ἡμᾶς, καὶ ἀνθρωπίνου πνεύματος, « εἰ καὶ ἐν ὑποστάσει νοεῖτο καὶ ὑπάρχον ἀληθῶς, « διαμεμήνυκεν ἡ κλῆσις. »

Ἐπιστασία.

« Μετ' ἐπιστασίας ἐμβάθυνον τῇ παρούσῃ περι- « κοπῇ. Γλαφυρόν τι γὰρ καὶ ἐξ αὐτῆς δυνηθῇς « ἀναλέξασθαι, καὶ θαυμάσεις τὴν τοῦ ἁγίου ἀκρί- « βειαν. Τῆς γὰρ θείας φύσεως; εἰπὼν εἶναι τὸ « Πνεῦμα τὸ ἅγιον, καὶ οὕτως ἐπαγαγὼν τὸ *ἐξ αὐ-* « *τῆς* καὶ *ἐν αὐτῇ*, καὶ διὰ μὲν τοῦ *ἐξ αὐτῆς* τὸ ἐκ « τοῦ Πατρὸς, διὰ δὲ τοῦ *ἐν αὐτῇ*, τὸ ἐν τῷ Υἱῷ, « ὡς ἐμοὶ τέως νομίζεται, μὴ θέλων εἰς ἄλλας καὶ « ἄλλας ἐννοίας ἐπαγαγεῖν τὸν ἀναγινώσκοντα διὰ « τὴν ἀσάφειαν, ἐκ τῶν ἑφεξῆς τὸ τοιοῦτον ἀσα- « φὲς διηυκρίνησεν, εἰπὼν φανερῶς ὅτι « τὸ Πνεῦμά « ἐστιν ἐκ Θεοῦ καὶ Πατρὸς, ἴδιον δὲ καὶ αὐτοῦ τοῦ « Υἱοῦ. »

Ἀντίρρησις.

Οὐκ εὐστόχως τὸ τῆς ῥηθείσης περικοπῆς γλα- φυρὸν ἀναλέξασθαι ἐδυνήθης. Τὸ γὰρ ἀληθῶς γλα- φυρὸν τοῦτό ἐστιν ἐν τῇ προῤῥηθείσῃ περικοπῇ ἐνεῖναι τῷ Θεῷ τὸ Πνεῦμα ὁ ἅγιος ἔφη, καθὰ καὶ ἀνθρώπῳ τὸ ἀνθρώπινον. Ἐν δὲ τῇ ἤδη ῥηθείσῃ περικοπῇ ἴδιον καὶ τοῦ Υἱοῦ ἔφη αὐτὸ δίκην τοῦ καθ' ἡμᾶς καὶ ἀνθρωπίνου Πνεύματος. Καὶ συνάγεται ἐντεῦθεν τῷ ἀληθῶς ταύταις ταῖς περικοπαῖς ἐμ- βαθύνοντι ὅτι καὶ Πνεῦμα Πατρός ἐστιν, ὅτι ἐκ τοῦ Πατρὸς, καὶ Πνεῦμα Υἱοῦ, ὅτι διὰ τοῦ Υἱοῦ τε καὶ ἐκ τοῦ Υἱοῦ. Ἐπεὶ κατὰ τὸ παράδειγμα καὶ πᾶν ἀνθρώπινον πνεῦμα, διὰ τοῦ ἀνθρωπείου ἢ ἐκ τοῦ ἀνθρωπείου ἐστὶ προερχόμενον στόματος.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

ϞΘ'. « Περὶ δέ γε τοῦ Πνεύματος ταῖς ἁγίοις μαθη- « ταῖς φησιν· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν « ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα « τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, « ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Ἆρ' οὐχὶ Θεὸς « ἐναργῶς τὸ ὡς Θεὸς ἐγνωσμένον, καὶ ἐνοικοῦν

A scrimina progressionis commentareris : cum vero aliquando scribatur ex propria natura Patris Spiritum progredi, aliquando ex propria natura Filii progredi, quid nobis progressionis atque processionis discrimina confingis?

Ex eodem.

XCVIII. « Nihil itaque est quod nos submoveat, at- « que impediat, divinæ naturæ proprium esse cre- « dere, qui ex ipsa est, et in ipsa, naturaliter Spiritum « sanctum, licet neque Pater, neque Filius sit, sed « quæcunque illa sit Spiritus natura, disquirendum « est, nominum proprietate in præsentia neglecta, « quæ non deitatem ostendit, sed singulorum no- « minatorum, qualis exsistentiæ ratio a nobis con- « cipiatur apprime denotat. Generasse enim nomen « Patris indicat, generatum esse Filii manifestat : « sic etiam Spiritum esse ex Deo et Patre, pro- « prium vero Filii, instar nostri humanique Spiri- « tus, licet in hypostasi intelligatur, et vere exsi- « stat, nuncupatio ipsa Spiritus denotat. »

Animadversio.

« Attente, accurateque huic pericopæ mentem « figito. Namque ex ipsa concinnum quidpiam col- « ligere poteris, et exactam sancti diligentiam ad- « miraberis. Cum enim dixisset divinæ esse naturæ « Spiritum sanctum, et sic addidisset, illud *ex ipsa* « et *in ipsa*, et per illud *ex ipsa* ex Patre, per il- « lud vero *in ipsa* in Filio, ut ipse plane reor, « nolens in alias atque alias sententias legentem « attrahere propter obscuritatem, ex subsequenti- « bus, quod obscurum fuerat explanavit, aperte « dicens Spiritum esse ex Deo et Patre, proprium « vero etiam ipsius Filii. »

Refutatio.

Haud scite dictæ pericopes concinnum colligere potuisti. Quod enim vere concinnum in dicta pericope continetur, est, Spiritum sanctum, sic enim sanctus astruit, esse in Deo, quemadmodum et in homine humanus, in qua etiam proprium illum esse Filii asseruit instar humani spiritus. Et inde colligitur ab eo, qui vere hisce pericopis mentem figit, Spiritum Patris esse, quia ex Patre est, et Spiritum Filii, quia per Filium et ex Filio est. Cum, ut exemplum evincit, omnis humanus spiritus per humanum, sive ex humano egreditur ore.

Ex eadem.

XCIX. « De Spiritu vero sanctis discipulis ait : « « Cum vero venerit Paracletus, quem ego mittam « vobis, Spiritum veritatis, qui a Patre procedit, ipse « testimonium perhibebit de me [98]. » Annon eviden- « ter Deus est, qui uti Deus agnoscitur, et in nobis « inhabitat, non uti creatura, et factus, et servituti,

[98] Joan. xv, 26.

Digitized by Google Распознавание текста ABK/FR

« qua nos premimur, obnoxius, sed uti natura liber A « et ipsius veritatis Spiritus exsistens, quinimo ipsa « secundum unitatem cum Filio veritas, ut Scriptu- « ræ tradunt, veritas vero Christus est? Erga Fi- « lium igitur naturalis identitas, Spiritum Deum « esse ad nostram certitudinem et demonstratio- « nem satis superque est. »

Animadversio.

« Præsens pericope insinuat, Spiritum quidem « procedere ex Patre, esse vero et veritatis Spiri- « tum, sive Filii propter eamdem naturam. »

Refutatio.

Non hic a sancto quæritur, Quare Spiritus veritatis Spiritus dicatur, ut tibi facultas fiat dicendi, præsentem docere pericopem, illum Spiritum esse veritatis, propter eamdem naturam. Sed totum sancti studium in id nititur, Deum esse Spiritum, quod ille est veritatis Spiritus, et a Patre procedit, quod et syllogismo concludit, illius medium, consubstantialitatem cum Filio usurpans. Hunc enim in modum sanctus syllogismum connectit. Quandoquidem Spiritus veritatis, erga Filium naturalem identitatem obtinet, erga vero Filium naturalis identitas ad nostram certitudinem et demonstrationem satis superque est, Spiritum esse Deum. Aliud porro est in dicta pericope, cui mentem figere attentius debueras. Quodnam? Animadvertere, quando quidem Deum dicit Spiritum sanctum, quia ille est Spiritus veritatis, et a Patre procedit, dictum evangelicum asserens, ex Patre illum procedere, æquipollere alteri asserenti, eum Spiritum veritatis. Nec non considerare per illa eadem dicta, esse Spiritum consubstantialem Filio, quia Spiritus Filii est, non autem quia consubstantialis est Filio, ideo Spiritum Filii esse.

Ex duodecim capitibus caput nonum.

C. « Si quis dicit unum Dominum Jesum Chri- « stum glorificatum esse a Spiritu, tanquam « aliena virtute per illum usum, et accepisse fa- « cultatem ab ipso, ut operari posset contra im- « mundos spiritus, et adimplere in hominibus D « divina signa, et non magis proprium ejus spiri- « tum dicat, per quem et divina signa efficaciter « operatus est. Anathema sit. »

Animadversio.

« Videsne locis in omnibus hunc sanctum docere « Spiritum esse proprium Filii, procedere vero ex « ipso nusquam? »

Refutatio.

Si attentius dictæ pericopæ mentem fixisses, agnovisses utique et vere rationem ob quam sanctus proprium Filii vocaverit Spiritum. Cum enim impius Nestorius blaspheme contenderet, Dominum nostrum Jesum Christum, divina signa adimplesse, uti externa virtute ea quæ erat Spiri-

« ὑμῖν, οὐχ ὡς κτίσμα καὶ γενητὸν, καὶ δουλείᾳ « τῇ καθ' ἡμᾶς ἐνεχόμενον, ἀλλ' ὡς ἐλεύθερον κατὰ « φύσιν, καὶ αὐτῆς ὑπάρχον τῆς ἀληθείας τὸ « Πνεῦμα, μᾶλλον δὲ καὶ αὐτὴ καθ' ἕνωσιν τὴν πρὸς « τὸν Υἱὸν ἀλήθεια κατὰ τὰς Γραφὰς, ἀλήθεια δὲ « ὁ Χριστός; Ἡ πρὸς τὸν Υἱὸν ἄρα φυσικὴ ταυτό- « της, ὡς εἴη τὸ Πνεῦμα Θεὸς, ἀπόχρη πρὸς ἀπό- « δειξιν καὶ πληροφορίαν ἡμῖν. »

Ἐπιστασία.

« Ἡ παροῦσα διδάσκει περικοπὴ, ἐκ τοῦ Πατρὸς « μὲν ἐκπορεύεσθαι τὸ Πνεῦμα, εἶναι δὲ καὶ τῆς « ἀληθείας Πνεῦμα, ἤτοι τοῦ Υἱοῦ, διὰ τὸ ὁμοού- « σιον. »

Ἀντίῤῥησις.

Οὐκ ἔστιν ἐνταῦθα τῷ ἁγίῳ ἡ ζήτησις, διατί B Πνεῦμα τῆς ἀληθείας λέγεται τὸ Πνεῦμα, ἵνα σοι ἐπ' ἀδείας ἔσται εἰπεῖν ὡς ἡ παροῦσα διδάσκει περικοπὴ, εἶναι αὐτὸ Πνεῦμα τῆς ἀληθείας διὰ τὸ ὁμοούσιον. Ἀλλ' ἔστιν ἡ πᾶσα σπουδὴ τῷ ἁγίῳ θεὸν ἀποδεῖξαι τὸ Πνεῦμα, ἀπὸ τοῦ ὑπάρχειν αὐτὸ Πνεῦμα τῆς ἀληθείας, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ ἀποδεικνύει συλλογιστικῶς τοῦτο, ὡς διὰ μέσου ὅρου, τῆς πρὸς τὸν Υἱὸν ὁμοουσιότητος αὐτοῦ. Οἱονεὶ γάρ τινα τοιοῦτον συλλογισμὸν ὁ ἅγιος πλέκει, ἐπείπερ Πνεῦμα τῆς ἀληθείας τὴν πρὸς τὸν Υἱὸν φυσικὴν ταυτότητα ἔχει, ἡ δὲ πρὸς τὸν Υἱὸν φυσικὴ ταυτότης ἀπόχρη ἡμῖν πρὸς ἀπόδειξιν καὶ πληροφορίαν τοῦ Θεὸν εἶναι τὸ Πνεῦμα. Ἄλλο δέ τί ἐστιν ἐν τῇ ῥηθείσῃ περικοπῇ ᾧ ἐμβαθῦναί σε ἔδει. Τί τοῦτο; Συνεωράκεναι· ὡς ἐπειδὴ Θεὸν λέγει τὸ Πνεῦμα C τὸ ἅγιον, ἀπὸ τοῦ εἶναι αὐτὸ Πνεῦμα τῆς ἀληθείας, καὶ παρὰ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, ἐκεῖνο δύναται ἡ εὐαγγελικὴ ῥῆσις ἡ λέγουσα ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, ὅπερ καὶ ἡ λέγουσα αὐτὸ Πνεῦμα τῆς ἀληθείας. Καὶ ἔτι δὲ σκοπῆσαί σε ἔδει διὰ μέσων τῶν εἰρημένων, ὡς ἀπὸ τοῦ εἶναι Πνεῦμα Υἱοῦ, ἔστιν ὁμοούσιον Υἱῷ, οὗμενουν ἀπὸ τοῦ εἶναι ὁμοούσιον Υἱῷ ἔστι Πνεῦμα Υἱοῦ.

Τοῦ αὐτοῦ ἐκ τῶν δώδεκα κεφαλαίων κεφάλαιον θ'.

Θ' « Εἴ τις τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δεδο- « ξάσθαι λέγει παρὰ τοῦ Πνεύματος, ὡς ἀλλοτρίᾳ « δυνάμει, τῇ δι' αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ « λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων « ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεο- « σημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ « Πνεῦμα φησὶ, δι' οὗ καὶ ἐνήργει τὰς θεοσημείας « ἀνάθεμα. »

Ἐπιστασία.

« Ὁρᾷς; ἴδιον μὲν πανταχοῦ τοῦ Υἱοῦ διδάσκει « τὸ Πνεῦμα ὁ ἅγιος, ἐξ αὐτοῦ δὲ ἐκπορευόμενον « οὐδαμῶς; »

Ἀντίῤῥησις.

Εἰ τῷ σκοπῷ τῆς ῥηθείσης περικοπῆς ἐνεβάθυνας, ἔγνως ἂν ἀληθῶς καὶ τὸν λόγον, καθ' ὃν ὁ ἅγιος ἴδιον Υἱοῦ λέγει τὸ Πνεῦμα. Ἐπεὶ γὰρ ὁ θεομάχος ἐβλασφήμει Νεστόριος, ὡς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰς θεοσημείας εἰργάζετο ὡς ἀλλοτρίᾳ δυνάμει τῇ διὰ τοῦ Πνεύματος χρώμενος, ὁ ἅγιος κατὰ τῆς δυσ-

Digitized by Google Распознавание текста АВК/FR

φημίας; ταύτης μαχόμενος, ἀναθέματι ὑποτάλλει τὸν λέγοντα κεχρῆσθαι τὸν Υἱὸν, ὡς ἀλλοτρίᾳ τῇ διὰ τοῦ Πνεύματος δυνάμει. Σκοπητέον γοῦν μήποτε τῇ τοιαύτῃ βλασφημίᾳ συνεμπίπτῃ τὸ νόημα τῶν λεγόντων μὴ εἶναι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ τε καὶ ἐκ τοῦ Υἱοῦ. Πόθεν γὰρ ἂν ἄλλοθεν διαγνωσθείη ἀλλοτρία τοῦ Υἱοῦ ἡ διὰ τοῦ Πνεύματος δύναμις, εἰ μὴ ἀπὸ ἑνὸς μόνου, τοῦ μὴ ὑπάρχειν αὐτὸ ἐκ τοῦ Υἱοῦ; Ἀλλοτρίωσις γὰρ ἄλλη οὐκ ἔσται τοῦ Πνεύματος ἐξ Υἱοῦ, εἰ μὴ τὸ ὑπάρχειν αὐτὸ ἐκ τοῦ Πατρὸς μόνου, καὶ οὐχὶ διὰ τοῦ Υἱοῦ. Καὶ τοῦτο ὁ αὐτὸς μέγας διασαφεῖ Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην ῥητοῦ, τοῦ, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φάσκων οὕτω ῥητῶς· « Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λοιπὸν ὡς ἐξ ἀνάγκης εἰσβήσεται. Εἰ γὰρ ὑπουργίαν διακονικὴν ἀποπληροῦν οἴεσθε τὸν Υἱὸν, τὸ ἀλλότριον ἡμῖν, τουτέστι τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς κεχορηγηκότα ἅγιον ὂν κατὰ φύσιν Πνεῦμα, οὐ κατὰ φύσιν ἅγιος ὁ Θεὸς, κατὰ μέθεξιν δὲ ὥσπερ ἡμεῖς. » Ὁρᾷς πόθεν ὁ ἅγιος συνάγει τὴν τοῦ Πνεύματος ἀπὸ τοῦ Υἱοῦ ἀλλοτριότητα; Ἐάν τις, φησὶν, λέγῃ τὸ ὁμολογουμένως παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχον Πνεῦμα διακονικῶς παρὰ τοῦ Υἱοῦ χορηγεῖσθαι, ἀλλότριον ἔσται τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ἀκολουθήσει μηδὲ κατὰ φύσιν ἅγιον εἶναι αὐτὸν, κατὰ μέθεξιν δὲ ὥσπερ ἡμεῖς. Τοιαῦται μοι δοκοῦσιν ἐμπίπτειν ταῖς ἀτοπίαις οἱ μὴ λέγοντες ὑπάρχειν τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ.

tus, utentem, sanctus contra similem blasphemiam depugnans, anathemate ferit dicentem usum fuisse Christum uti aliena Spiritus facultate. Considerandum ergo est ne in similem blasphemiam irrepat eorum opinio, qui asserunt, Spiritum non esse per Filium, et ex Filio. Undenam enim aliunde agnoscetur aliena Filii, quæ per Spiritum est, virtus, nisi ab uno et solo, ipsum scilicet ex Filio non exsistere? Alia siquidem Spiritus a Filio alienatio nulla fuerit, nisi quia ipse ex solo Patre procedit, et non a Filio. Quod idem ipse Cyrillus apertissime declarat expositione in Evangelium Joannis, in dictum, « Cum itaque venerit Paracletus [2], » his ipsissimis verbis : « Præter jam dicta, illud quoque necessario consequetur. Nam si servile ministerium opinamini exerceri a Filio, cum alienum nobis, hoc est a Deo et Patre suppeditat, dum Spiritus natura sua sanctus est, non natura Deus sanctus est, participatione vero sicuti nos. » Videsne undenam sanctus colligat Spiritus a Filio alienationem? Si quis, ait, dicit Spiritum, qui absque dubio a Deo et Patre exsistit, servili modo a Filio suppeditari, alienum dicit a Filio Spiritum : et sequetur, neque natura eum sanctum esse, sed, tantum participatione sicuti nos. In has absurdas opiniones videntur mihi prolabi, qui non fatentur exsistere Spiritum per Filium.

Ἑρμηνεία τοῦ αὐτοῦ ἐννάτου κεφαλαίου.

ΡΑ'. « Φθάσας ἔφην ὅτι τοῖς Νεστορίου βατταρισμασιν, ἤγουν δυσφημίαις καὶ τοῖς ἁγαν ἀτημελῶς εἰρημένοις ἡ τῶν κεφαλαίων μάχεται δύναμις. Ἐκείνου γὰρ λέγοντος περὶ τοῦ ἁγίου Πνεύματος. Τοῦτο δὴ τηλικαύτην αὐτῷ χαρισάμενος δύναμιν, τὸ δαίμοσιν αὐτὸ φοβερὸν ἐργασάμενος τὸ τὴν ἀνάληψιν αὐτῷ τὴν εἰς οὐρανὸν χαρισάμενον, καὶ ὡς περί τινος τῶν καθ' ἡμᾶς, ἀνθρώπου κοινοῦ τοιαῦτα πεφλυαρηκότος, γέγονεν ἀναγκαίως ὁ ἀναθεματισμὸς οὐ κατά γε τῶν λεγόντων δεδοξάσθαι παρὰ τοῦ ἁγίου Πνεύματος τὸν Υἱὸν, τουτέστιν ἐνανθρωπήσαντα, κατ' ἐκείνων δὲ μᾶλλον, οἳ καὶ ἀνέδην αὐτὸν, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ διὰ τοῦ Πνεύματος κεχρῆσθαί φασιν. « Μεμνήμεθα δὲ εἰπόντος περὶ τοῦ ἁγίου Πνεύματος, « Ἐκεῖνος ἐμὲ δοξάσει, ἴσμεν τε πρὸς τοῦτο τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ τὰς πονηράς τε καὶ ἀκαθάρτους δυνάμεις συντρίβοντα· ἀλλ' οὐχ οὕτως φαμὲν αὐτὸν, καθάπερ καὶ τῶν ἁγίων ἕκαστον, ὡς ἀλλοτρίᾳ δυνάμει κεχρῆσθαι τῇ τοῦ ἁγίου Πνεύματος. Ἦν γὰρ καὶ ἔστιν αὐτοῦ τὸ Πνεῦμα, καθάπερ ἁμέλει καὶ τοῦ Πατρός. Καὶ τοῦτο ἡμῖν εὖ μάλα σαφηνιεῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος· « Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἴ τις δὲ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Ἐκπορεύεται μὲν γὰρ « ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ

Expositio hujusce noni capitis.

Cl. « Item dixi, quod Nestorii nugis, seu blasphemiis, et ejus dictis admodum temerariis virtus capitulorum repugnat : illo namque dicente de Spiritu sancto : Is qui tantam Christo gloriam contulit, eum dæmonibus fecit terribilem, donavitque ei ad cœlos ascensionem, et tanquam de aliquo secundum nos homine communi hæc deblaterante, factus est necessario anathematismus, non adversus eos, qui dicunt, clarificatum a Spiritu sancto Jesum, hoc est inhumanatum Dei Verbum ; sed potius contra illos, qui impudenter enim virtute per Spiritum tanquam aliena usum esse dicunt. Meminimus enim eum aperte dixisse de sancto Spiritu, « Ille me clarificabit [1]. » Novimus ad hoc sancti Spiritus operatione conterentem nequissimas immundasque virtutes ; sed non ita dicimus eum sicut unumquemque scilicet sanctorum, virtute Spiritus sancti tanquam aliena usum : erat enim et est ejus Spiritus sicuti certe et Patris. Et hoc nobis bene satis explanat divinus Paulus scribens : « Qui autem in carne sunt, Deo placere non possunt [2]. Vos autem non estis in carne, sed in Spiritu, si tamen spiritus Dei habitat in vobis. Si quis autem spiritum Christi non habet, hic non est ejus. » Procedit enim ex Deo et Patre Spiritus sanctus secundum Salvatoris vocem, sed non est alienus a Filio. Omnia enim

[1] Joan. xv, 26. [2] Joan. xvi, 14. [3] Rom. viii, 8.

Digitized by Google Распознавание текста ABK/FR

« habet cum Patre et hoc ipse edocuit dicens de A
« Spiritu sancto : « Omnia quæcunque habet Pa-
« ter, mea sunt. Propterea dixi vobis, quia de
« meo accipiet, et annuntiabit vobis [a]. » Ergo cla-
« rificavit quidem Jesum Spiritus sanctus admira-
« bilia operans, verumtamen ut Spiritus ejus, et
« non ut aliena virtus et eo præstantior, secundum
« quod intelligitur Deus. Non blasphemavimus
« igitur in sanctos angelos, nec in prophetas sicut
« dicere præsumpsit, qui solummodo accusare no-
« vit. Quia vero propositum ejus et sociorum est,
« ut unum in duos Christos dividant, et illum
« quidem clarificari, et ad operandum promoveri,
« hunc vero et clarificare et operari dicant : ideo
« carpunt insipienter omnem sermonem pium,
« et qui ipsos a tali perversa sententia dimovet. B
« Proinde et de beato Gabriele faciens sermonem
« calumniator iste : etenim secundum carnem,
« inquit, Christum ex Spiritu sancto natum esse,
« primus ille, et ante formationem prædicavit.
« Alius igitur est Christus ille, qui secundum car-
« nem, et alius seorsim Christus rursus Verbum,
« quod ex Deo Patre est. Ubi igitur unio? et quæ
« inde utilitas si duo Christi et seorsim ac divisim,
« ut uterque intelligatur, ac prædicetur? Eapro-
« pter licet pietatis persona se induant, et unum
« dicant esse Christum, vere tamen duos esse
« putantes, audiant a nobis : Usquequo claudicatis
« in ambobus poplitibus. Satius enim fuerit recte
« incedere, fidem habentes puram et firmam, et C
« non stultis opinionibus claudicantem. »

« τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ
« Υἱοῦ. Πάντα γὰρ ἔχει μετὰ τοῦ Πατρὸς, καὶ τοῦτο
« αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου Πνεύματος·
« « Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι. Διὰ τοῦτο εἶπον
« ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. »
« Οὐκοῦν ἐδόξασε μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἐνεργοῦν
« τὰ παράδοξα, πλὴν ὡς Πνεῦμα αὐτοῦ, καὶ οὐκ
« ἀλλοτρία δύναμις, καὶ κρείττων αὐτοῦ, καθὸ
« νοεῖται Θεός. Οὐ δεδυσφημήκαμεν τοίνυν εἰς
« ἁγίους ἀγγέλους, οὔτε μὴν εἰς προφήτας, καθὰ
« τετόλμηκεν εἰπεῖν ὁ μόνον, εἰδὼς τὸ κακηγορεῖν.
« Ἐπεὶ δέ ἐστι σκοπὸς αὐτῷ τε καὶ τοῖς κατ' αὐτὸν
« τὸ διαιρεῖν εἰς δύο Χριστοὺς τὸν ἕνα, καὶ τὸν
« μὲν δοξαζόμενόν τε καὶ ἐνεργούμενον, τὸν δὲ
« δοξάζοντά τε καὶ ἐνεργοῦντα λέγειν· κατασκώ-
« πτουσιν ἀτυνέτως πάντα λόγον εὐσεβῆ, καὶ
« τῆς τοιαύτης αὐτοὺς ἀφιστῶντα κακοδοξίας.
« Καὶ γοῦν περὶ τοῦ μακαρίου Γαβριὴλ τὸν λόγον
« ποιούμενος ὁ φιλαίτιος οὗτος, Τὸν γὰρ κατὰ
« σάρκα, φησὶ, Χριστὸν ἐκ Πνεύματος ἁγίου γε-
« γενῆσθαι πρῶτος ἐκεῖνος, καὶ πρὸ τῆς διαπλά-
« σεως ἐκήρυξεν. Ἕτερος οὖν ἄρα ἐστὶ Χριστὸς
« καὶ ἕτερος ἰδικῶς Χριστὸς ὁ κατὰ σάρκα, καὶ δὴ
« πάλιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος. Ποῦ τοίνυν ἡ ἕ-
« νωσις, καὶ τί τὸ ἐντεῦθεν ὄφελος, εἰ δύο Χρι-
« στοὶ ἰδικῶς καὶ ἀνὰ μέρος ἕκαστος νοεῖται καὶ
« λέγεται; Οὐκοῦν κἂν εἰ, τὸ τῆς εὐσεβείας προσω-
« πεῖον ἑαυτοῖς περιπλάττοντες, ἕνα λέγωσι Χρι-
« τὸν, δύο φρονοῦντες κατὰ ἀλήθειαν, ἀκουέτωσαν
« πρὸς ἡμῶν, Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις
« ταῖς ἰγνύαις ὑμῶν; Ὀρθοποδεῖν γὰρ ἄμεινον,
« πίστιν ἔχοντας τὴν ἀδέβηλον καὶ ἐρηρεισμένην,
« καὶ οὐκ ἀσυνέτοις σκάζουσαν λογισμοῖς. »

Animadversio.

« Perspicua admodum est et hic quoque sancti
« doctrina. Rursus enim ibidem asserit, ex Patre
« Spiritum procedere, et dogmatis magistrum
« Salvatorem ipsum adducit, proprium vero Filii, et
« non alienum tanquam consubstantialem. »

Refutatio.

Proprium Filii dicis Spiritum et non alienum, quia consubstantialis. Ego vero dixerim consubstantialem Filio Spiritum, quia Filii proprius, ne sequatur, Filium proprium quidem Spiritus dici, D tanquam qui consubstantialis Spiritui est. Cum vero dicis sanctum Cyrillum Salvatorem adducere magistrum dicentem Spiritum procedere ex Patre, sciendum est tibi, ut et in aliis insinuavimus, Dominicam vocem sumi a sancto ad confirmandum Spiritum ex Patre esse quemadmodum locis in aliis ab ipso sancto Cyrillo, et ab aliis multis theologis Patribus aliæ Dominicæ dictiones, inter quas, et quæ asserit, Spiritum veritatis Spiritum sanctum esse, et quæ ex Filio illum accipere declarat, ad comprobandum ex Filio quoque eumdem esse.

Ἐπιστασία.

« Σαφὴς πάνυ κάνταῦθα ἡμῖν τοῦ ἁγίου διδασκαλία·
« Λέγει γὰρ καὶ πάλιν ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐκ
« Πατρὸς διδάσκαλον τοῦ τοιούτου δόγματος αὐτὸν
« τὸν Σωτῆρα παράγων, ἴδιον δὲ εἶναι τοῦ Υἱοῦ καὶ
« οὐκ ἀλλότριον, ὡς ὁμοούσιον. »

Ἀντίρρησις.

Ἴδιον τοῦ Υἱοῦ λέγεις τὸ Πνεῦμα καὶ οὐκ ἀλλότριον, ὅτι ὁμοούσιον Υἱῷ. Ἐγὼ δέ φημι ὁμοούσιον Υἱῷ τὸ Πνεῦμα, ὅτι ἴδιον Υἱοῦ, ἵνα μὴ ἀκολουθήσῃ καὶ τὸν Υἱὸν ἴδιον τοῦ Πνεύματος λέγεσθαι, ὡς τῷ Πνεύματι ὁμοούσιον. Ἐν δὲ τῷ λέγειν ὡς ὁ ἅγιος Κύριλλος διδάσκαλον τὸν Σωτῆρα παράγει τοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι ἐκ Πατρὸς, εἰδέναι σε δεῖ καθὰ καὶ ἐν ἄλλοις εἰρήκειμεν ὡς ἡ Κυριακὴ φωνὴ τῷ ἁγίῳ παραλαμβάνεται εἰς μαρτυρίαν τοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Ὥσπερ οὖν ἐν ἄλλοις αὐτῷ τε τῷ ἁγίῳ Κυρίλλῳ, καὶ πολλοῖς ἄλλοις τῶν θεολόγων Πατέρων αἱ ἄλλαι Κυριακαὶ φωναὶ, ἡ Πνεῦμα ἀληθείας δηλαδὴ λέγουσα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἡ ἐκ τοῦ Υἱοῦ λαμβάνειν δηλοῦσα αὐτὸ, εἰς μαρτυρίαν παραλαμβάνονται τοῦ καὶ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό.

[a] Joan. XVI, 15.

Digitized by Google Распознавание текста ABK/FR

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Νεστόριον γ' ἐπιστολῆς. A

ΡΒ'. « Ὅταν δὲ λέγῃ περὶ τοῦ Πνεύματος, « Ἐκεῖνος ἐμὲ δοξάσει, » νοοῦντες ὀρθῶς, οὐχ ὡς δόξης « ἐπιδεᾶ τῆς παρ' ἑτέρου φαμὲν τὸν ἕνα Χριστὸν « καὶ Υἱὸν, τὴν παρὰ τοῦ ἁγίου Πνεύματος δόξαν « ἔχειν ὅτι μηδὲ κρεῖττον ὑπὲρ αὐτὸν τὸ Πνεῦμα « αὐτοῦ. Ἐπεὶ δὲ εἰς ἔνδειξιν τῆς αὐτοῦ θεότητος « ἐχρῆτο τῷ ἰδίῳ | Πνεύματι πρὸς μεγαλουργίαν, « δεδοξάσθαι παρ' αὐτοῦ φησιν, ὥσπερ ἂν εἴ καί « τις λέγῃ τῶν καθ' ἡμᾶς περὶ τῆς ἐνούσης ἰσχύος « αὐτῷ τυχὸν, ἢ γοῦν ἐπιστήμης τῆς ἐφ' ὁτῳοῦν. « ὅτι Δοξάσουσιν ἐμέ. Εἰ γὰρ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ « Πνεῦμά ἐστι καὶ οὐχ Υἱὸς, ἀλλ' οὖν, οὐκ ἀλλότριόν « ἐστιν αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, « καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. B « Ἐνεργῆσαν τοιγαροῦν τὸ Πνεῦμα καὶ διὰ χειρῶν « τῶν ἁγίων ἀποστόλων τὰ παράδοξα, μετὰ τὸ ἀνελεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὸν « οὐρανὸν, ἐδόξασεν αὐτόν. Ἐπιστεύθη γὰρ ὅτι « Θεὸς κατὰ φύσιν ἐστί. Πάλιν αὐτὸς ἐνεργῶν διὰ « τοῦ ἁγίου Πνεύματος ἔφασκεν ὅτι « Ἐκ τοῦ ἐμοῦ « λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. » Καὶ οὕτι πού φαμεν ὡς ἐκ μετοχῆς τὸ Πνεῦμά ἐστι, σοφόν τε καὶ « δυνατόν· παντέλειον γὰρ καὶ ἀπροσδεές ἐστι παντὸς ἀγαθοῦ. Ἐπεὶ δὲ τῆς τοῦ Πατρὸς δυνάμεως « καὶ σοφίας, τουτέστι τοῦ Υἱοῦ Πνεῦμά ἐστιν, αὐτόχρημα σοφία ἐστὶ καὶ δύναμις. »

Ejusdem ex epistola tertia ad Nestorium.

CII. « Cum de Spiritu sancto ait : « Ille me « glorificabit [a], » nisi errare velimus, Christum « Dei Filium veluti gloriæ, quæ aliunde proficiscitur, indigum a Spiritu sancto glorificatum ne- « quaquam dicemus. Siquidem Spiritus illius ne- « que illo melior, neque illo rursum sublimior « est. Verum quod ad divinitatis suæ significatio- « nem suo subinde Spiritu in insignium operum « perpetratione uteretur, ob id se ab illo glorifi- « cari profitebatur, perinde ac si quis nostrum de « sua fortitudine, aut cujusvis rei scientia dicat : « Mea me virtus, aut scientia glorificabit. Nam et « si Spiritus in propria persona subsistat, eatenus- « que in se ipso consideretur, quatenus Spiritus « est et non Filius, non est tamen ab eo alienus : « quandoquidem Spiritus veritatis nominatur. Chri- « stus autem veritas est ; sed et perinde quoque ab « illo atque a Deo Patre profunditur. Cum itaque « Domino nostro ad cœlum assumpto Spiritus « sanctus stupenda prodigia per sanctorum apo- « stolorum manus ederet, tunc vere illum glorifi- « cavit. Creditum est enim quod Deus secundum « naturam esset, per Spiritum suum illum denuo « operari. Propterea quoque Dominus aiebat : « Quoniam de meo accipiet, et annuntiabit vo- « bis [b]. » Hoc tamen non ita accipiendum est, « quasi Spiritus sanctus per quamdam participationem sapiens aut potens sit : est enim ille numeris omnibus perfectus, nulliusque penitus « indigus : verum quia potentiæ, et sapientiæ Patris, hoc est Filii Spiritus est, hinc et ipse « quoque re ipsa potentia et sapientia est. »

Ἐπιστασία. C

« Συνετῶς τῆς περικοπῆς ταύτης ἄκουε, καὶ μὴ « θροείτω σε τὸ λέγειν τὸν ἅγιον ἐν ταύτῃ προχεῖσθαι τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ, καθάπερ καὶ παρὰ « τοῦ Πατρός· ἀλλὰ τὰς ὅλας εὐθὺς ἀναλογίζου τοῦ « αὐτοῦ καὶ ἑνὸς ἁγίου περικοπὰς, τὰς ἀνωτέρω « καταστρωθείσας, καὶ εὑρίσκων ἐν ἐκείναις πάσαις, « ἐκ τοῦ Πατρὸς μαρτυρουμένην τὴν τοῦ Πνεύματος « ἐκπόρευσιν, τὴν δὲ δόσιν, ἢ τὴν χορηγίαν, ἢ τὴν « ἀποστολὴν, καὶ τὰ τούτοις ὅμοια παρὰ τοῦ Υἱοῦ, « νόει κάνταῦθα τὴν πρόχυσιν ἀδιαστίκτως οὕτω « τεθεῖσαν, ἄλλο τι παρὰ τὴν ἐκπόρευσιν, δόσιν « τυχὸν, ἢ ἀποστολὴν, ἢ ἕτερον ὅμοιον. »

Animadversio.

« Prudenter hanc pericopem intelligito, neque te « turbet, cum in ea sanctus dicit profundi Spiri- « tum a Filio, perinde atque a Deo Patre. Sed « omnes statim ejusdem uniusque sancti pericopas « in mentem revoca supra digestas, et cum in « illis omnibus reperies Spiritus processionem ex « Patre contestatam, dationem autem, vel suppe- « ditationem, vel missionem et similia a Filio, « intelligito hic quoque profusionem, sic absque « ulla distinctione appositam aliud quidpiam ab « ipsa processione innuere, dationem forte, aut « missionem, aut aliud simile. »

Ἀντίῤῥησις.

Ὁ ἅγιος ἐνταῦθα προχεῖσθαι λέγει τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. Εἰ γοῦν, ὡς σὺ φῂς, τὴν δόσιν τυχὸν, ἢ τὴν ἀποστολὴν ἐμφαίνει ἡ πρόχυσις, τὸ ἐξ ἀμφοῖν προχεόμενον ἐξ ἀμφοῖν διδόμενον, ἢ ἀποστελλόμενον ἔσται. Καὶ εἰ μὲν νοηθείη τὸ Πνεῦμα διδόμενον ἢ ἀποστελλόμενον ἐξ ἀμφοῖν, ὡς ἐξ ἀμφοῖν ὑπάρχον, τὸ, ζητούμενον ἡμῖν ἐντεῦθεν συνίσταται, ὅπερ ἐστὶ τὸ τὴν ἐξ ἀμφοῖν δόσιν τε καὶ ἀποστολὴν τῇ ἐξ ἀμφοῖν ὑπάρξει τοῦ Πνεύματος ἀκολουθεῖν· εἰ δὲ δόμενον καὶ ἀποστελλόμενον νοηθείη ἐξ ἀμφοῖν ὡς ὑπάρχον, οὕμενουν ἐξ ἀμφοῖν, ἄλλο παρὰ τὰ τρία D

Refutatio.

Sanctus hic astruit Spiritum profundi a Filio perinde atque a Deo Patre. Si itaque, ut tu ais, dationem forte, aut missionem profusio denotat, quod ex utroque profunditur, ex utroque datum, aut missum fuerit : et si Spiritus intelligatur datus, missus, aut datus ab utroque, tanquam ab utroque exsistens, quod quærimus inde etiam comprobabitur, quod est, ex utroque dationem et missionem, ex utroque exsistentiam Spiritus sequi. Quod si datus et missus ab utroque intelligatur non tanquam ab utroque exsistens, præ tribus hisce divinitatis personis alia quæretur, ex qua

[a] Joan. xvi, 14. [b] Ibid.

Digitized by Google Распознавание текста АВК/FR

Spiritus exsistat, quod impium est, et blasphemum.

A ταῦτα πρόσωπα τῆς θεότητος ζητηθήσετ' ἂν, ἐξ οὗ ὑπάρχον ἔσται τὸ Πνεῦμα, ὅπερ ἀσεβές τε καὶ βλάσφημον.

Ejusdem ex interpretatione in sanctum Symbolum.

CIII. « Profunditur enim, nempe procedit veluti « a fonte Deo et Patre, suppeditatur vero creaturæ « per Filium. »

Animadversio.

« Compendio redditum est tibi superioris adno- « tationis testimonium per præsentem pericopem. « Considerato enim hic sancti accuratam diligen- « tiam : profusionem enim cum dixisset, eamque « processionem esset interpretatus, ex Patre solo « eam edocuit : suppeditationem vero Filio vindi- B « cavit. Quare profundi simpliciter sic positum a « sancto in superiori pericope, aliud quidpiam in- « dicat, et non processionem. »

Refutatio.

Tu quidem uti et supra diversam profusionis significationem comminisceris, unde colligis, aliud quidpiam dictionem notare, cum ex Patre dicitur Spiritus profundi, et aliud cum ex Filio. Verumtamen Alexandrinorum ac orbis lumen divinissimus Cyrillus in supra allata pericope, « profundi » dixit « a Filio Spiritum, perinde atque a Deo et Patre. » Et quemnam hoc fide digniorem testem conquiremus, in utriusque dictionis significatione nullo uspiam modo variari? Quod si quia sanctus profundere Patri attribuit, suppeditare C vero Filio in dicta pericope, propterea ex Patre quidem vis esse Spiritum, ex Filio vero nequaquam, jam tandem a te concedendum est, ex Filio illum exsistere, tanquam qui a Filio profunditur veluti a fonte, ex Patre vero eum minime exsistere, tanquam qui ab ipso creaturis suppeditatur.

Ejusdem ex epistola ad Joannem Antiochenum de pace.

CIV. « Nullo autem modo patimur, ut ab aliquo « fides illa, sive fidei Symbolum concutiatur, quod « a sanctis quondam Patribus editum est. Neque « enim aut nobis aut ulli omnino alteri, vel unam D « vocalem ibi positam immutare, aut unam etiam « syllabam præterire permittimus; memores ejus « qui dixit : Ne transferas terminos antiquos, quos « posuerunt Patres tui. Non enim ipsi locuti sunt, « sed ipse Spiritus Dei ac Patris, qui procedit qui- « dem ex ipso; nec ob id tamen secundum essentiæ « rationem, alienus est a Filio. »

Animadversio.

« Videsne doctrinam clarissimam, Spiritum qui- « dem ex Patre procedere; secundum vero essen- « tiæ rationem proprium esse Filii? Cum itaque « locis in aliis inveneris scriptum, quod non ita « facile perceptu est, ad clarissima hæc illa con- « ferto. »

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸ ἅγιον Σύμβολον ἑρμηνείας.

ΡΓ'. « Προχεῖται μὲν γάρ, ἤγουν ἐκπορεύεται, « καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρός, χορη- « γεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ.

Ἐπιστασία.

« Συντόμως ἀποδέδοταί σοι ἡ τῆς ἄνωθεν παρα- « σημειώσεως μαρτυρία διὰ τῆς παρούσης περικο- « πῆς. Ὅρα γὰρ ἐνταῦθα τὴν τοῦ ἁγίου ἀκρίβειαν· « πρόχυσιν γὰρ εἰπὼν καὶ ἐκπόρευσιν ταύτην « ἑρμηνεύσας, ἐκ τοῦ Πατρὸς μόνου ταύτην ἐδί- « δαξε· τὴν δὲ χορηγίαν τῷ Υἱῷ ἀπένειμεν. Ὥστε « τὸ προχεῖσθαι, ψιλῶς οὕτω τεθὲν παρὰ τοῦ ἁγίου « ἐν τῇ ἄνω περικοπῇ, ἄλλο τι ἐνοήθη τοῦτο, καὶ « οὐχὶ ἐκπόρευσις. »

Ἀντίρρησις.

Σὺ μὲν, ὡς καὶ ἀνωτέρω, διάφορόν τινα τῆς προχεῖσθαι λέξεως τὴν σημασίαν διδάσκεις, συνάγων ἐντεῦθεν ἄλλο μέν τι σημαίνειν τὴν λέξιν, ὅταν ἐκ Πατρὸς λέγηται προχεῖσθαι τὸ Πνεῦμα, ἄλλο δέ τι σημαίνειν, ὅταν ἐκ τοῦ Υἱοῦ λέγηται προχεῖσθαι αὐτό· ὁ δὲ τῶν Ἀλεξανδρέων καὶ τῆς οἰκουμένης φωστὴρ Κύριλλος ὁ θειότατος ἐν τῇ προῤῥηθείσῃ περικοπῇ « προχεῖσθαι » ἔφη « παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, καθάπερ ἀμέλει καὶ παρὰ τοῦ Θεοῦ καὶ Πατρός. » Καὶ τίνα λοιπὸν ἀξιοπιστότερον ζητήσομεν μάρτυρα τοῦ ἀδιάφορον ἐπ' ἀμφοῖν εἶναι τὴν σημασίαν τῆς λέξεως; Εἰ δὲ ὅτι ὁ ἅγιος τὸ μὲν προχεῖται δέδωκε τῷ Πατρὶ, τὸ δὲ χορηγεῖται τῷ Υἱῷ ἐν τῇ ἤδη ῥηθείσῃ περικοπῇ, διὰ τοῦτο ἐκ μὲν τοῦ Πατρὸς θέλεις εἶναι τὸ Πνεῦμα, ἐκ δὲ τοῦ Υἱοῦ μὴ εἶναι αὐτὸ, ὥρα σοι καὶ ἐκ μὲν τοῦ Υἱοῦ λέγειν ὑπάρχειν αὐτὸ, ὡς προχεόμενον παρ' αὐτοῦ καθάπερ ἀπὸ πηγῆς, ἐκ δὲ τοῦ Πατρὸς μὴ λέγειν ὑπάρχειν αὐτὸ, ὡς τῇ κτίσει χορηγούμενον παρ' αὐτοῦ.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἰωάννην Ἀντιοχείας περὶ εἰρήνης ἐπιστολῆς.

ΡΑ'. « Κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινος « ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν ἢ τὸ τῆς πί- « στεως Σύμβολον παρὰ τῶν ἁγίων Πατέρων· οὔτε « μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεί- « ψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παρα- « βῆναι συλλαβὴν, μεμνημένοις τοῦ λέγοντος, Μὴ « μεταίρειν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. « Οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦματος « Θεοῦ καὶ Πατρὸς, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ· « ἔστι δὲ οὐκ ἀλλότριον καὶ τοῦ Υἱοῦ, κατὰ τὸν τῆς « οὐσίας λόγον. »

Ἐπιστασία.

« Ὁρᾷς σαφεστάτην διδασκαλίαν περὶ τοῦ ἐκπο- « ρεύεσθαι μὲν τοῦ Πατρὸς τὸ Πνεῦμα, ἴδιον δὲ « εἶναι κατὰ τὸν τῆς οὐσίας λόγον καὶ τοῦ Υἱοῦ; « Ἔνθα τοίνυν εὑρήσεις ἀλλαχοῦ δυσλήπτως τι γρα- « φὲν, πρὸς τὰ σαφῆ ταῦτα κἀκεῖνα συμβίβαζε. »

Digitized by Google Распознавание текста ABK/FR

Ἀντίῤῥησις.

Οὐκ ἀλλότριον τοῦ Υἱοῦ λέγει τὸ Πνεῦμα ὁ ἅγιος κατὰ τὸν τῆς οὐσίας λόγον, οὐ τοῦτο δηλῶν, ὅπερ ἡ σὴ ἐμφαίνει ἐπιστασία, ἴδιον δηλαδὴ τοῦ Υἱοῦ εἶναι αὐτό, ἐπειδὴ ὁμοούσιόν ἐστι τῷ Υἱῷ. Ἦ γὰρ ἂν, ὡς καὶ πολλάκις ἡμῖν ἐῤῥέθη, ἴδιος καὶ ὁ Υἱὸς τοῦ Πνεύματος ἦν, ὅτι ὁμοούσιός ἐστι τῷ Πνεύματι. Ἀλλὰ ἐκπορεύεσθαι μὲν ἐκ τοῦ Πατρὸς λέγει τὸ Πνεῦμα, ἐκ τῆς τοῦ Πατρὸς οὐσίας αὐτὸ εἶναι δηλῶν, οὐκ ἀλλότριον δὲ διδάσκει καὶ τοῦ Υἱοῦ, διὰ τὸ καὶ ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι αὐτό. Τοῦτο γὰρ δηλοῖ, λέγων, Ἔστι δὲ οὐκ ἀλλότριον καὶ τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον.

A

Refutatio.

Cum non alienum a Filio sanctus Spiritus dicit, secundum essentiæ rationem, non id indicat, quod tua Animadversio insinuat, proprium scilicet illum Filii esse, quandoquidem consubstantialis est Filio. Sic enim, ut sæpius inculcatum est, proprius et Filius Spiritus esset, quia Spiritui consubstantialis est. Sed procedere quidem ait ex Patre Spiritum, ex Patris essentia illum esse significans, non alienum vero et a Filio docet, quod ex essentia illius est. Hoc enim innuit cum dicit : Non est enim alienus a Filio secundum essentiæ rationem.

Τοῦ αὐτοῦ ἐκ τῶν κατὰ Ἰουλιανοῦ Ἀντιῤῥητικῶν.

Ejusdem ex Antirrheticis adversus Julianum.

ΡΕ'. « Ὡς ἀῤῥήτως μὲν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖται τῇ κτίσει. »

B

CV. « Ineffabiliter quidem Spiritus ex Patre procedit, per Filium vero creaturis suppeditatur. »

Ἐπιστασία.

« Καὶ αὕτη ταῖς προλαβούσαις ὁμοία, ἐκ τοῦ Πατρὸς μὲν διδάσκουσα τὴν ἐκπόρευσιν, διὰ τοῦ Υἱοῦ δὲ τὴν χορηγίαν τοῦ Πνεύματος. »

Animadversio.

« Et hæc quidem supra allatis pericopis haud dissimilis est, quæ ex Patre quidem processionem insinuat, per Filium vero Spiritus suppeditationem. »

Ἀντίῤῥησις.

Ἀληθῶς μὲν καὶ αὕτη ἡ περικοπὴ διδάσκει τὴν ἐκπόρευσιν ἐκ Πατρὸς, διὰ τοῦ Υἱοῦ δὲ τὴν χορηγίαν τοῦ Πνεύματος. Ἀλλ' ἐντεῦθεν ἐμφαίνει τὸ μὴ ἐκ μόνου τοῦ Πατρὸς εἶναι αὐτό. Ἵνα γὰρ μή τις ἀκούσας τὴν ἐκ τῆς εὐαγγελικῆς μαρτυρίας φωνὴν, « Ἐκπορεύεται τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, » οἰήσαιτο ἐκ μόνου αὐτοῦ εἶναι τὸ Πνεῦμα, ᾗτινι δόξῃ ἀκολουθεῖ καὶ τὸ εἶναι τὸ Πνεῦμα διῃρημένον Υἱοῦ, παρὰ δὴ τοῦτο καὶ ἀλλότριον Υἱοῦ, ὁ μὲν τῶν ἁγίων ἐκπορεύεται εἰπὼν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, παρευθὺς ἐπάγει, « Ἔστι δὲ οὐκ ἀλλότριον καὶ τοῦ Υἱοῦ · » ὁ δὲ ὡσαύτως τὸ, Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται εἰπὼν, προσεπιφέρει, « Ἔστι δὲ ἴδιον καὶ τοῦ Υἱοῦ, » ὡς καὶ ὁ ἅγιος οὗτος ἐνταῦθα προσέθηκε τῇ ἐκ τοῦ Πατρὸς ἐκπορεύσει καὶ τὸ « Χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. » Ἅπερ ἅπαντα ἐμφαίνει τὸ μὴ ἐκ μόνου τοῦ Πατρὸς εἶναι αὐτό. Εἰ γὰρ ἐκ μόνου τοῦ Πατρὸς ἦν καὶ μὴ ἐκ τοῦ Υἱοῦ φυσικῶς καὶ οὐσιωδῶς, οὐδὲ δι' Υἱοῦ χορηγούμενον καὶ ἀποστελλόμενον ἦν, εἰ μή πως λειτουργικῶς τε καὶ ὑπηρετικῶς, ὅπερ ἀσεβές τε καὶ βλάσφημον.

C

Refutatio.

Vere quidem hæc quoque pericope ex Patre processionem, per Filium vero Spiritus suppeditationem insinuat. Sed hinc ostendit non ex solo Patre illum esse. Ne enim quispiam audiens evangelici testimonii vocem, « Spiritus qui a Patre procedit[a], » suspicaretur ex solo Patre Spiritum esse, cujus opinionis comes est et illa, Spiritum esse divisum a Filio, et consequenter alienum a Filio, ex Patribus nonnemo, cum dixisset, ex Patre Spiritum procedere, statim subintulit, « est vero non alienus a Filio : » alius cum dixisset similiter, ex Patre Spiritum procedere, adnexuit, « est vero proprius Filii. » Sed sanctus hic processioni ex Patre superaddidit, « et suppeditatur creaturis per Filium. » Quæ omnia plane ostendunt eum non ex solo Patre. Etenim si esset ex solo Patre, et non ex Filio naturaliter et essentialiter, neque per Filium creaturis suppeditaretur et mitteretur, nisi tantum modo servili et ministeriali, quod impium ac blasphemum fuerit.

D

ΡΗΣΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΥΣΣΗΣ.

DICTA GREGORII NYSSENI.

Ἀπὸ τῆς Θεογνωσίας.

Ex libro, cui Theognosiæ nomen est.

« ΡϚ'. Πνεῦμα δὲ τὸ τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως. Τοῦδ' ἕνεκα γὰρ καὶ Πνεῦμα στόματος, ἀλλ' οὐχὶ καὶ Λόγον στόματος εἰρήκαμεν, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται. »

CVI. « Spiritus ex paterna hypostasi proceuens. Hanc etiam ob causam et Spiritum oris, non autem Verbum oris David appellavit, ut producendi facultatem Patri soli confirmaret. »

Ἐπιστασία.

« Ἐπίστησον ἀκριβῶς, πῶς καὶ ὁ ὑψίνους οὗτος Γρηγόριος, τὰ αὐτὰ τοῖς λοιποῖς Πατράσι διδά-

Animadversio.

« Attente mentem figito consideraque quomodo sublimi mente hic Gregorius eadem cum aliis

[a] Joan. xiv, 26.

Digitized by Google Распознавание текста ABK/FR

« Patribus docens, soli Patri palam, manifesteque, « Spiritus processionem ascribit. »

Refutatio.

Huic animadversioni nihil de nostris contra opponemus, sed quæ alius ante hanc nostram ætatem, corruptione dictionis in hac pericope optime observata, evulgavit. Nyssenorum enim lumen Gregorius cum sibi proposuisset ostendere Spiritum secundum suam hypostaticam proprietatem procedere, ita digessit orationem : Hanc enim ob causam et spiritum oris, et non verbum oris David appellavit, ut procedendi proprietatem Spiritui soli inhærentem astrueret. Qui vero omnia invertunt, cum dictionem Spiritus tribus elementis exaratam, abbreviatamque comperissent, πνί, parique modo dictionem Patris, πρὶ, mediam litteram immutantes, namque ν in ρ immutatio facilis est, eos qui non considerate, sed quasi aliud agentes Scripturas percurrunt, fefellerunt, adaptantes Patri, quod erat Spiritus proprium. Quare inquirendum est, si necessario dictum hoc ita efferendum est. Namque esto, dixisset David et verbum oris Verbum, uti et spiritum oris Spiritum dixerat : num propterea et hanc processionis proprietatem ascripturus, et alteri cum Patre communem facturus erat ? Et quæ necessitas rationis hoc urget ? Sed si dixit verbum oris esse Verbum, quemadmodum dixerat, Spiritum esse spiritum oris, prorsus processionis proprietatem et Verbo et Spiritui communicaturus erat. Namque cum verba oris procedentia nuncupentur : « Quæ » enim « procedunt, » ait, « per labia mea non irritabo, » si spiritum oris Spiritum, et verbum oris Verbum David dixisset, prorsus necessario processionis proprietas utriusque deberet esse communis. Hoc sanctus cum amoliri conaretur, ad demonstrandum procedendi proprietatem soli inesse Spiritui, assumpsit, Davidem non dixisse, Et verbum oris. Quæ cum ita vere se habeant, hinc colligere licet, quantum ecclesiasticam pacem propriæ sententiæ amatorum hominum pertinacia læserit. Illud præterea notato, pro eo quod dicendum erat, *dixit*, qui dictionem vulneraverat, *diximus* scripsit, consideratoque, constructionis seriem inversam, cum dicat : *diximus* ut *astrueret*, vel *confirmaret*.

Ejusdem ex eodem libro.

CVII. « Ut dicens, Verbum, Filii uti ex intellectu « Dei et Patris prorsus ab omni passione liberam, « et ineffabilem generationem exciperemus : dicens « vero, spiritum oris, sanctificantem, et essentialem potentiam, ac vitæ datricem Spiritus hypostasim intelligeremus, procedendi proprietatis « nomine designatam. »

Animadversio.

« Hic quoque licet forte perobscure, Patri rursus « Spiritus processionem attribuit uti et Filii generationem. »

« σκων, μόνῳ καὶ οὗτος τῷ Πατρὶ σαφῶς καὶ ἀρι- « δήλως τὴν τοῦ Πνεύματος ἀπονέμει ἐκπόρευσιν. »

Ἀντίῤῥησις.

Ἐν ταύτῃ τῇ ἐπιστασίᾳ γενόμενοι οὐδὲν πρὸς ἀντίῤῥησιν ταύτης οἰκεῖον ἐροῦμεν, ἀλλ' ἅπερ ἕτερός τις εἰρήκει τῶν πρὸ ἡμῶν, τὴν παραφθορὰν τῆς ἐν τῇ περικοπῇ ταύτῃ λέξεως κάλλιστα ἐξετάσας. Ὁ μὲν γὰρ τῶν Νυσσαέων φωστὴρ, παραστῆσαι θέλων τὸ Πνεῦμα μόνον εἶναι ἐκπορευτὸν κατὰ τὴν ὑποστατικὴν ἑαυτοῦ ἰδιότητα, οὕτω τὸν λόγον προήνεγκε· Τοῦδ' ἕνεκα γὰρ καὶ Πνεῦμα στόματος, ἀλλ' οὐχὶ καὶ λόγον στόματος εἴρηκεν ὁ Δαυΐδ, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πνεύματι μόνῳ προσοῦσαν πιστώσηται. Οἱ δὲ πάντα διαστρέβλοῦντες τὴν Πνεύματι λέξιν τρισὶ στοιχείοις εὑρόντες διαχαραττομένην συγκοπτικῶς, κατὰ ταυτὰ δὲ καὶ τὴν Πατρὶ λέξιν, τὸ μέσον στοιχεῖον μεταποιήσαντές τε καὶ παραφθείραντες, καὶ γὰρ ἡ τοῦ ν πρὸς τὸ ρ μεταποίησις εὐχερής, τοὺς μὴ ἐπεσκεμμένως, ἀλλὰ παροδικῶς τὰς Γραφὰς ἐπιόντας ἠπάτησαν, τὸ τοῦ Πνεύματος ἴδιον τῷ Πατρὶ προσαρμόσαντες. Ζητητέον οὐκοῦν εἴπερ ἀνάγκην τινὰ ὁ λόγος ἔχει οὕτω προάγεσθαι. Ἔστω γὰρ εἰπεῖν τὸν Δαυΐδ καὶ τὸν λόγον στόματος Λόγον, ὥσπερ οὖν καὶ τὸ πνεῦμα στόματος εἴρηκε Πνεῦμα· ἆρ' ἔμελλε διὰ τοῦτο τὴν τοιαύτην ἐκπορευτικὴν ἰδιότητα καί τινι μετὰ τοῦ Πατρὸς ἑτέρῳ κοινώσασθαι ; Καὶ ποίαν ἔχει τὴν ἀνάγκην ὁ λόγος ; Ἀλλ' ἐ.ν εἶπε λόγον στόματος εἶναι τὸν Λόγον, ὥσπερ οὖν καὶ Πνεῦμα στόματος εἶπε τὸ Πνεῦμα, πάντως τὴν ἐκπορευτικὴν ἰδιότητα καὶ τῷ λόγῳ καὶ τῷ Πνεύματι κοινώσασθαι ἔμελλε· καὶ γὰρ ἐπεὶ τὰ τοῦ στόματος ῥήματα ἐκπορευόμενα λέγεται, « Τὰ γὰρ ἐκπορευόμενα, » φησὶ, « διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω, » ἐὰν τὸ Πνεῦμα στόματος Πνεῦμα, καὶ τὸν λόγον στόματος Λόγον εἴρηκεν ὁ Δαυΐδ, κατὰ πᾶσαν ἀνάγκην ἡ ἐκπορευτικὴ ἰδιότης ἔμελλεν ἀμφοτέροις κοινοῦσθαι. Τοῦτο γοῦν ὁ ἅγιος ἀναιρῶν, εἰς ἀπόδειξιν τοῦ τὴν ἐκπορευτικὴν ἰδιότητα μόνῳ προσεῖναι τῷ Πνεύματι, παρέλαβε τὸ μὴ εἰπεῖν τὸν Δαυΐδ καὶ τὸν λόγον στόματος Λόγον. Οὕτω γοῦν τῆς ἀληθείας ἐχούσης, συνιδεῖν ἐντεῦθεν ἔστιν, ὁπόσα τὴν ἐκκλησιαστικὴν εἰρήνην ἡ τῶν ἰδιορρύθμων ἀνδρῶν ἐλυμήνατο πεισμονή. Σημείωσαι δὲ καὶ ὅτι ἀντὶ τοῦ εἰπεῖν, *εἰρήκει* ὁ Δαυΐδ, *εἰρήκαμεν*, εἶπεν ὁ παραφθείρας τὴν ῥῆσιν, καὶ σκόπει καὶ τὸ τῆς συντάξεως ἀνακόλουθον. Λέγει γάρ· *εἰρήκαμεν, ἵνα πιστώσηται.*

Ἐκ τῆς αὐτῆς.

ΡΖ'. « Ἵνα διὰ μὲν τοῦ Λόγον εἰπεῖν τὴν ὡς ἐκ « τοῦ Θεοῦ καὶ Πατρὸς ἀπαθεστάτην καὶ ἄῤῥητον « τοῦ Υἱοῦ παραδεχώμεθα γέννησιν, διὰ δὲ τοῦ εἰ- « ρηκέναι Πνεῦμα στόματος τὴν ἁγιαστικὴν καὶ οὐ- « σιώδη δύναμιν καὶ ζωαρχικὴν τοῦ Πνεύματος « ὑπόστασιν ὑπολάβωμεν, τῷ ἐκπορευτικῆς ἰδιότη- « τος ὀνόματι δηλονότι χαρακτηριζομένην »

Ἐπιστασία.

« Κάνταῦθα, κἂν ἀσαφῶς τάχα, τέως τῷ Πατρὶ « καὶ πάλιν ἀποκληροῖ τὴν ἐκπόρευσιν τοῦ Πνεύμα- « τος, ὡς καὶ τὴν τοῦ Υἱοῦ γέννησιν. »

Digitized by Google Распознавание текста ABK/FR

Ἀντίῤῥησις.

Καὶ πάνυ σαφῶς ἡ ῥηθεῖσα περικοπὴ τὴν παραφθορὰν τῆς προηγησαμένης διαλευκαίνει. Ὅρα γὰρ ὅτι τὴν τοῦ Πνεύματος ὑπόστασιν τῷ τῆς ἐκπορευτικῆς ἰδιότητος ὀνόματι ἔφη χαρακτηριζομένην. Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Πατὴρ Ἀναστάσιος ἐν τῷ κεφαλαίῳ τῆς αὐτοῦ βίβλου τῆς Ὁδηγοῦ κεκλημένης οὕτω φησίν· « Οὐ γὰρ τὸ ἀγέννητον τοῦ Πατρὸς πρόσωπον ἐσαρκώθη, οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου Πνεύματος ὑπόστασις. » Ἔχει δέ τι καὶ ἄλλο γλαφυρὸν ἡ περικοπὴ, καὶ ὁ τῇ τοιαύτῃ γλαφυρότητι ἐμβαθύνας, οὐκ οἶδα πῶς ἂν ἀπαρνήσηται μὴ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Αὐτὴν γὰρ τὴν ἁγιαστικὴν καὶ οὐσιώδη δύναμιν καὶ ζωαρχικὴν τοῦ Πνεύματος ὑπόστασιν ὁ ἅγιος δηλοῦσθαι παρίστησι διὰ τοῦ τὸν Δαυὶδ εἰρηκέναι « Πνεῦμα στόματος. » Εἴπερ [1]γοῦν ὁ μὲν Υἱὸς ἐστι κατὰ τὰς τῶν Πατέρων γραφὰς τὸ τοῦ Πατρὸς στόμα, τὸ δὲ τοῦ στόματος πνεῦμα ἡ τοῦ πνεύματος ζωαρχικὴ καὶ οὐσιώδης ἐστὶν ὑπόστασις, πῶς ἂν μὴ εἴη τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ τε καὶ ἐκ τοῦ Υἱοῦ, ὡς διὰ στόματος καὶ ἐκ στόματος τοῦ Πατρός; Ἐπὶ μάλιστα καὶ ὁ μέγας Βασίλειος ἐκπορεύεσθαι αὐτὸ ἔφη ἐκ στόματος τοῦ Πατρός.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος λόγου κατὰ Μακεδονιαν῀ων.

ΡΗ'. « Ἡμῖν γὰρ συντετάχθαι τῷ Πατρὶ καὶ τῷ « Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον ὁμολογοῦντων, ὡς μηδε« μίαν εἶναι παραλλαγὴν ἐν μηδενὶ τῶν περὶ τὴν « θείαν φύσιν νοουμένων τε καὶ ὀνομαζομένων ἐκ« τὸς τοῦ καθ' ὑπόστασιν ἰδιαζόντως, θεωρεῖται τὸ « Πνεῦμα τὸ ἅγιον ὅτι ἐκ τοῦ Θεοῦ ἐστι, καὶ τοῦ « Χριστοῦ ἐστι, καθὼς γέγραπται· οὔτε κατὰ τὸ « ἀγέννητον τῷ Πατρὶ, οὔτε κατὰ τὸ ὁμογενὲς τῷ Υἱῷ « συναναχεόμενον, ἀλλά τισιν ἐξαιρέτοις ἰδιώμασιν ἐφ' « ἑαυτοῦ θεωρούμενον, ἐν τοῖς ἄλλοις ἅπασι, καθάπερ « ἔφην, τὸ συνημμένον καὶ ἀπαράλλακτον ἔχειν ὁμο« λογούντων, οἱ ὑπεναντίοι φασὶν ἀπεξενῶσθαι αὐτὸ « τῆς πρὸς τὸν Πατέρα οἱονεὶ φυσικῆς κοινωνίας. »

Ἐπίστασις.

« Νόει κἀνταῦθα τὸ ἐκ τοῦ Θεοῦ, καθὼς ἐν πολ« λαῖς τῶν προλαβουσῶν περικοπῶν ἐπεσημειωσά« μεθα, καὶ πρόσσχες τῇ τοῦ ἁγίου ἀκριβείᾳ, πῶς « ἐπὶ τοῦ Θεοῦ τὴν ἐκ πρόθεσιν, ἐπὶ δὲ τοῦ Υἱοῦ « ταύτην παρεσιώπησεν. »

Ἀντίῤῥησις.

Τὸ παρασιωπηθῆναι τὴν ἐκ ἐπὶ τοῦ Υἱοῦ, οὕτω περὶ πολλοῦ ποιῇ ὥσπερ ἐὰν οὐκ ἦν ἡ ἐπὶ τοῦ Υἱοῦ μυριαχοῦ τῆς γραφῆς.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

Ρθ'. « Ἐφ' ὧν γὰρ ἡ κατὰ τὸ ἀγαθὸν ἐν« έργεια οὐδεμίαν ἐλάττωσιν ἢ παραλλαγὴν « ἔχει, πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν « τάξιν ἐλαττώσεώς τινος τῆς κατὰ φύσιν παραλ« λαγῆς οἴεσθαι σημεῖον εἶναι; ὥσπερ ἂν εἴ τις ἐν

[1] Psal. xxxii, 6.

Refutatio.

Apertissime hæc pericope præcedentis corruptionem manifestat. Namque advertito Spiritus hypostasim eum dixisse, procedendi proprietatis nomine designari. Sic etiam sanctus Pater noster Anastasius decimo sexto capite sui libri, Hodegi dicti, ait: « Neque enim ingenita Patris persona carnem assumpsit, neque quæ procedit Spiritus hypostasis. » Continet vero in se hæc pericope, quod a nemine in controversiam vertitur, et qui in simile dictum adeo scitum mentem attentius fixerit, nescio qua ratione ille Spiritum etiam ex Filio denegaverit. Ipsam enim sanctificantem, et essentialem potentiam, et vitæ auctricem Spiritus hypostasim sanctus insinuari probat, quod David dixerit, « Spiritus oris [1]. » Si itaque Filius est, ut Patres scriptis tradunt, Patris os, oris vero spiritus, spiritus vitæ auctrix et essentialis est hypostasis, qua ratione non erit Spiritus per Filium et ex Filio veluti per os, et ex ore Patris? Et potissimum cum magnus Basilius asserat, illum procedere ex ore Patris.

Ejusdem ex oratione de Spiritu sancto contra Macedonianos.

CVIII. « Nobis vero una cum Patre et Filio collo« cari Spiritum sanctum profitentibus, ita ut nulla « sit differentia in iis, quæ de divina natura con« cipiuntur, et dicuntur, ea si excipias, quæ propria « hypostasis sunt, et de eo considerantur; illum « nempe ex Deo et Christo esse, ut scriptum est; « neque secundum ingeniti rationem cum Patre, « neque secundum geniti cum Filio confusum: « sed quibusdam propriis suis proprietatibus ex se« ipso consideratum, sed in omnibus aliis, ut dixi, « conjunctum, et in nullo naturam differentem pos« sidere confitentibus, qui contrariam sententiam « sectantur a naturali erga Patrem communione « alienum esse contendunt. »

Animadversio.

« Considera hic etiam illud ex Patre, uti in mul« tis suprascriptis pericopis animadvertimus, et « attendito sancti diligentiam accuratam, quomodo « de Deo loquens, præpositionem *ex* apposuit; « cum de Filio sermonem haberet, illam præ« teriit. »

Refutatio.

Magni momenti esse ducis, cum de Filio sermo esset, præpositionem *ex* silentio præteritam fuisse. Quasi vero præpositio *ex* de Filio scriptis Patrum innumeris non insinuaretur.

Ejusdem ex eadem.

CIX. « Quæ enim secundum bonum operantur, « nullam imminutionem, aut immutationem admit« tunt, et quomodo rationi consentaneum fuerit in « illis, ordinem, qui ex numero oritur immutationis « alicujus, aut secundum naturam immutationis si-

Digitized by Google Распознавание текста АВК/FR

« gnum esse existimare? Quemadmodum si quis in « tribus lampadibus subdivisam flammam conspi- « ciens; causam vero tertii luminis supponamus « esse primam flammam, ex communicatione cum « medio extremum inflammantem, postmodum as- « trueret in prima flamma abundare calorem; in « ea vero, quæ subsequitur, immutari, et paulatim « imminui; tertiam nec ignem amplius censendam « esse, licet æqua ratione adurat, et splendeat, « omniaque ignis operetur. »

Animadversio.

« Audisne, causam tantummodo primam lampa- « dem? Id enim sanctus subindicavit, cum addidit « per medium. Collige itaque prudenter, quod inde « exoritur. »

Refutatio.

Si prudenter, quod ex jam apposita pericope oritur, colligere voluisses, nunquam asseruisses solam primam lampadem causam subindicari, ex eo, quod sanctus dixit, per medium, sed fassus fuisses, Spiritum ex Patre per Filium esse, quemadmodum tertium lumen per secundum ex prima flamma.

Ejusdem ex eadem.

CX. « Spiritus sanctus omnia in omnibus ope- « ratur, ut sibi placuerit, causa, principalis, rec- « tus, justus, verus, profunda Dei perscrutans, ex « Patre procedens, ex Filio accipiens. »

Animadversio.

« Attendito, ex quonam est Spiritus processio, et « ex quo acceptio, et quomodo magnus iste minime « diversa ab aliis sanctis Patribus insinuat. Nam- « que cum illi dixissent, Salvatorem datorem Spi- « ritus, concorditer et ipse, ex eodem Spiritum « accipi docet. Dationi siquidem omnino acceptio- « nem succedere didicimus. »

Refutatio.

Verum attendito tu, quomodo ex Patre processio et ex Filio acceptio idem significant, Spiritum scilicet esse ex utroque ut magnus Epiphanius testatur, cum dicit. « Quod si Christus ex Patre creditur, Deus ex Deo. Et Spiritus ex Christo, sive ab utroque, ut Christus ait; « Qui a Patre procedit, » et, « Hic ex meo accipiet [8]. »

Ejusdem ex primo contra Eunomium Antirrhetico.

CXI. « Patri secundum quod increatus est con- « jungitur, rursusque ab eo, quod uti ille Pater non « est, separatur: conjungitur et Filio secundum « quod increatus est, et quod causam exsistentiæ « ex omnium Deo habeat: sejungitur rursus pro- « prietate, quod non tanquam unigenitus ex Patre « substiterit, et quod per ipsum Filium apparuit: « rursus cum creatura per Filium substitisset, « ne eum ea communionem Spiritus habere existi-

[8] Joan. xv, 26; xvi, 14.

A « τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα, « αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν « πρώτην φλόγα, ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ « ἄκρον ἐξάψασαν, ἔπειτα κατασκευάζει πλεονάζειν « ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἑφεξῆς « ὑποβεβηκέναι, καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν πα- « ραλλαγὴν τὴν τρίτην μηδὲ πῦρ ἔτι λέγεσθαι, κἂν « παραπλησίως καίῃ καὶ φαίνῃ καὶ πάντα τὰ τοῦ « πυρὸς ἐργάζηται. »

Ἐπιστασία.

« Ἀκούεις αἰτίαν μόνην τὴν πρώτην λαμπάδα; « Τοῦτο γὰρ ὁ ἅγιος ὑπεσήμανεν ἐκ τοῦ εἰπεῖν, « διὰ τοῦ μέσου. Συλλογίζου γοῦν νουνεχῶς τὸ « ἐντεῦθεν ἀναφαινόμενον. »

B *Ἀντίῤῥησις.*

Ἐὰν νουνεχῶς τὸ ἐκ τῆς ῥηθείσης περικοπῆς ἀναφαινόμενον συλλογίζεσθαι ἤθελες, οὐκ ἂν εἰρήκεις μόνην τὴν πρώτην λαμπάδα αἰτίαν ὑποσημαίνεσθαι ἐκ τοῦ εἰπεῖν τὸν ἅγιον, διὰ τοῦ μέσου, ἀλλ' ὡμολόγησας ἂν τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ, ἐκ τοῦ Πατρὸς εἶναι, ὡς τὸ τρίτον φῶς διὰ τοῦ μέσου ἐκ τῆς πρώτης, φλογός.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

PΓ'. « Τὸ Πνεῦμα τὸ ἅγιον πάντα ἐν πᾶσιν « ἐνεργεῖ, καθὼς βούλεται, αἴτιον, ἡγεμονικὸν, « εὐθὲς, δίκαιον, ἀληθινὸν, τὰ βάθη ἐρευνῶν τοῦ « Θεοῦ, ἐκ Πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ Υἱοῦ « λαμβάνον. »

Ἐπιστασία.

C « Πρόσσχες ἐκ τίνος ἡ τοῦ Πνεύματος ἐκπόρευσις, « καὶ ἐκ τίνος ἡ λῆψις, καὶ πῶς σύμφωνα τοῖς « προγραφεῖσι θείοις Πατράσι, καὶ ὁ μέγας οὗτος « διδάσκει. Σωτῆρα γὰρ ἐκείνων εἰπόντων τοῦ Πνεύ- « ματος τὸν Σωτῆρα, συμφώνως καὶ οὗτος ἐξ αὐτοῦ « τὸ Πνεῦμα διδάσκει λαμβάνεσθαι. Τῇ γὰρ δόσει, « καὶ τὴν λῆψιν πάντως ἑπομένην ἐμάθομεν. »

Ἀντίῤῥησις.

Ἀλλὰ πρόσσχες καὶ ὅπως ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις καὶ ἐκ τοῦ Υἱοῦ λῆψις σημαίνουσι τὸ αὐτὸ, τὸ τὸ Πνεῦμα εἶναι δηλαδὴ ἐξ ἀμφοῖν, ὡς ὁ μέγας Ἐπιφάνιος μαρτυρεῖ ἐν οἷς λέγει· Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, D καὶ, « Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. »

Τοῦ ἀπὸ τοῦ πρώτου τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν.

PIA'. « Τῷ γὰρ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτό- « μενον, πάλιν αὐτοῦ, τῷ μὴ Πατὴρ εἶναι καθάπερ « ἐκεῖνος, διαχωρίζεται, τῇ δὲ πρὸς τὸν Υἱὸν κατὰ « τὸ ἄκτιστον συναφείᾳ, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς « ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται « πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ « Πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ « πεφηνέναι. Πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Μονογε- « νοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα τὸ

Digitized by Google Распознавание текста ABK/FR

« Πνεῦμα νομισθῇ πρὸς ταύτην ἔχειν, ἐκ τοῦ διὰ A
« τοῦ Υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ, καὶ ἀναλ-
« λοιώτῳ, καὶ ἀπροσδεεῖ τῆς ἐτέρωθεν ἀγαθότητος,
« διακρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως. »

Ἐπιστασία.

« Ἐπίστησον ἀκριβῶς, κατὰ τί τὸ Πνεῦμα συνό-
« πτεται τῷ Υἱῷ, καὶ κατὰ τί τοῦτου ἀφίσταται·
« καὶ ὅτι συναπτόμενον τούτῳ κατά τε τὸ ἄκτιστον,
« καὶ τὸ τὸν αὐτὸν τούτῳ καὶ ἕνα ἔχειν τῆς ὑπάρ-
« ξεως αἴτιον ἀφίσταται κατά τε τὸ μὴ γεννηθῆναι
« ὡς οὗτος, καὶ τὸ μὴ ἐξ αὐτοῦ δι' αὐτοῦ δὲ πεφη-
« νέναι. Μεγάλη δὲ πάντως ἡ τοῦ ἐξ αὐτοῦ πρὸς τὸ
« δι' αὐτοῦ διαφορά. »

Ἀντίῤῥησις.

B

Χάρις σοι, ὅτι διωμολόγησας ἰδιότητα τοῦ Πνεύ-
ματος εἶναι τὸ μὴ γεννηθῆναι, ὡς ὁ Υἱὸς, καὶ διὰ τοῦ
Υἱοῦ πεφηνέναι αὐτό. Αὕτη γὰρ ἡ ὁμολογία, παρι-
στησιν ἐναργῶς μὴ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς
μόνου· ἦν γὰρ ἂν γεννητὸς Υἱὸς καὶ αὐτό. Τὸ δὲ
ἐκ Πατρὸς διὰ Υἱοῦ πεφηνὸς ἐξ ἀμφοῖν, ὡς ἐξ ἑνός
ἐστι πάντως Θεοῦ. »

Ἐκ τοῦ αὐτοῦ.

PIB'. « Εἰ οὖν ἐν τῇ ἀκτίστῳ φύσει νοεῖται τὰ
« θαυμαστὰ πράγματά τε καὶ ὀνόματα, ὁ Πατὴρ
» ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ἔσται δυνατὸν
« ὅπερ ἐπὶ τῶν κάτω περιεργαζομένη καὶ πολυπραγ-
« μονοῦσα καταλαμβάνει ἡ ἔννοια, ἕτερον ἑτέρου συγ-
« κριτικῶς ὑπερτιθεῖσα, διά τινος χρονικοῦ δια-
« στήματος, τοῦτο καὶ ἐπὶ τῆς ἀκτίστου καὶ προ- C
« αιωνίου νομίζειν οὐσίας εἶναι, ἐν ᾗ Πατὴρ μὲν
« ἦ Πατὴρ ἄναρχος καὶ ἀγέννητος καὶ ἀεὶ Πατὴρ
« νοεῖται, ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστά-
« τως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται. Δι'
« αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυ-
« πόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς
« τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμ-
« βάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ
« τὸν Υἱόν· ὥστε ποτὲ τὸν μονογενῆ δίχα τοῦ
« Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ
« τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι,
« ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀλη-
« θινοῦ φωτὸς ἐκλάμψαν. »

Ἐπιστασία.

D

« Τὴν αὐτὴν κἀνταῦθα δέχου διδασκαλίαν, αἴτιον
« μὲν καὶ ἀμφοτέρων τοῦ τε Υἱοῦ καὶ Πνεύματος
« τὸν Πατέρα κηρύττουσαν, καὶ ἐκ τοῦ Θεοῦ μὲν,
« οὐ μὴν ἐκ τοῦ Υἱοῦ, διὰ δὲ τοῦ Υἱοῦ ἐκλάμψαν τὸ
« Πνεῦμα δοξάζουσαν. »

Ἀντίῤῥησις.

Αἴτιον μὲν ἀμφοτέρων κἀνταῦθα τοῦ Υἱοῦ καὶ τοῦ
Πνεύματος τὸν Πατέρα ἡ ῥηθεῖσα κηρύττει περι-
κοπὴ, πλὴν ἀλλὰ διάφορον αἴτιον, τῷ μὲν Υἱοῦ κατὰ
τὸ προσεχὲς, τοῦ δὲ Πνεύματος διὰ τοῦ Υἱοῦ. Καὶ
ἡ τοιαύτη διαφορὰ τὸ μὲν τῶν αἰτιατῶν ἐκ μόνου
δείκνυσι τοῦ Πατρὸς, τὸ δὲ ἐξ ἀμφοῖν. Εἰ γὰρ ἐκ
μόνου ἦσαν ἄμφω τὰ αἰτιατὰ, οὐδὲ διαφόρῳ ἂν
τρόπῳ ἦν αἴτιον τὸ αἴτιον.

« maretur, quod per Filium appareat, immutabili-
« tate, firmitate, ac bonitatis, quæ extranea sit,
« nulla indigentia a creatura Spiritus secerni-
« tur. »

Animadversio.

« Accurate animadvertito, secundum quid Spi-
« ritus conjungatur Deo, et secundum quid secer-
« natur : et conjungitur quidem illi secundum in-
« creatum, et eumdem unam cum alio habere suæ
« exsistentiæ causam. Secernitur porro, quod non
« sit genitus ut ille, et quod non ex ipso sed per
« ipsum apparuerit. Magnum vero discrimen est
« inter hæc duo ex ipso, et per ipsum. »

Refutatio.

Gratiæ quidem tibi habendæ sunt, quod fassus
es, Spiritus proprietatem esse, non esse genitum
uti est Filius, et per Filium apparere. Hæc enim
assertio aperte ostendit, Spiritum non esse ex Patre
solo, esset enim et ipse generatus Filius. Quod vero
ex Patre per Filium apparet, ex utroque veluti ex
uno est omnino Deo.

Ex eodem.

CXII. « Si itaque in increata natura intelliguntur
« res admirabiles et nomina Pater, Filius et Spiri-
« tus sanctus, quomodo fieri potest, ut quæ de his
« inferioribus curiose perscrutans, et exquirens
« meus intelligit, aliud cum alio conferens, illique
« præponens propter aliquod temporis intervallum,
« de increata, et quæ ante sæcula fuit natura con-
« cipiet, in qua est Pater absque principio, et in-
« genitus, et semper intelligitur esse Pater, ex
« eodem vero continue absque ulla segregatione
« unigenitus Filius una cum Patre intelligitur.
« per ipsum et cum ipso antequam inane et absque
« ulla subsistentia intellectio intermediet, statim
« Spiritus sanctus conjuncte concipitur, non post
« Filium secundum exsistentiam posterior tem-
« pore. Ut aliquo tempore Unigenitus ante Spiri-
« tum præintelligatur. Sed ex rerum omnium
« causa Deo et ipse principium sui habens, unde
« et unigenitum lumen est, qui per verum lumen
« eluxit. »

Animadversio.

« Eamdem hic quoque accipite doctrinam, cau-
« sam utriusque Filii nempe et Spiritus Patrem hic
« evulgat : et ex Deo, non ex Filio, sed per Filium
« Spiritum eluxisse insinuat. »

Refutatio.

Causam utique utriusque Filii nempe et Spiri-
tus apposita pericope Patrem prædicat, sed alio
atque alio modo, Filii ob continuitatem, Spiritus
per Filium. Et hoc discrimen causatorum alterum
ex solo Patre insinuat, alterum ex utroque. Etenim
si ambo causata ex solo Patre essent, causa non
esset diverso modo causa.

Digitized by Google Распознавание текста ABBYY FR

Ex eodem.

CXIII. « Non oportet imagini servientes præbere « calumniatoribus ansam in exempli imbecillitate. « Non radium ex sole intelligemus, sed ex ingenito « sole alium solem, Filium scilicet simul prima « intellectione per generationem una cum ipso ef- « fulgentem, eidemque per omnia æqualem pul- « chritudine, virtute, splendore, magnitudine, « claritate, et uno verbo omnibus quæ soli inesse « cernuntur : et rursus aliud simile lumen Spiri- « tum eodem modo, non temporis aliquo intervallo « a genito lumine dissectum ; sed per illud splen- « dens, ac hypostaseos causam habens ex primo « illo ac exemplari lumine. »

Animadversio.

« Agnoscis ne hanc eamdem pericopem eadem « ipsa docere, quæ et antea posita docuit, per Fi- « lium quidem elucere Spiritum, ex primo lumine « Patre scilicet causam habere decernens? »

Refutatio.

Vere jam adducta pericope, ex primo lumine, Patre scilicet, Spiritum causam sui habere decernit, verumtamen per Filium, non ex solo Patre ipsum esse manifestat.

Ex oratione ad Ablabium.

CXIV. « Nam hoc quidem continenter et sine « medio ex primo est : hoc vero per id, quod im- « mediate, et continenter est ex primo. »

Animadversio.

« Diligenter hanc pericopem percurrens consi- « dera, ex dictionibus in ea positis nihil aliud, « quam non ex Filio esse Spiritum sanctum do- « cere, continenter ex Patre Filium dicens, per « ipsum autem Spiritum ex Patre. Nihil enim aliud « significare mihi videtur, hoc quidem continen- « ter ex primo, quam non ex continente esse. »

Refutatio.

Significat quidem præsens pericope, non esse ex continente Spiritum ; sed quia ipse non est ex continente, veluti ex prima causa et principio. Verumtamen per continentem ex primo ipsum esse declarans, manifeste ostendit, non ex solo primo ipsum esse.

Ejusdem ex laudatione in protomartyrem Stephanum.

CXV. « Stephanus autem, cum esset plenus « Spiritu sancto, vidit gloriam Dei, et unigenitum « Dei Filium. Non enim fieri potest, ut inquit Pro- « pheta, ut lumen videatur, nisi in lumine con- « spiciatur : « In lumine enim, inquit, tuo videbi- « mus lumen [9]. » Si igitur non nisi per lumen fieri « luminis contemplatio potest, quomodo si quis « extra radios versetur, solem contueri potest? « Quoniam igitur in lumine Patris, hoc est in Spi- « ritu sancto illinc procedente unigenitum conspi-

[9] Psal. xxxv, 10

A

Ἐκ τοῦ αὐτοῦ.

ΡΙΓ'. « Οὐ γὰρ ἀνάγκη πάσῃ τῇ εἰκόνι δουλεύ- « οντας δοῦναι τοῖς συκοφάνταις λαβὴν ἐν τῇ τοῦ « ὑποδείγματος ἀτονίᾳ. Οὐχὶ ἀκτῖνα ἐξ ἡλίου νοή- « σομεν, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον, ὁμοῦ « τῇ πρώτῃ ἐπινοίᾳ γεννητῶς συνεκλάμποντα, καὶ « κατὰ πάντα ὡσαύτως ἔχοντα κάλλει, δυνάμει, « λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς; « τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις, καὶ πάλιν ἕτερον « τοιοῦτον φῶς, κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ « τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμε- « νον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς « ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φω- « τός. »

B

Ἐπιστασία.

« Συνίης πῶς καὶ ἡ παροῦσα περικοπὴ, τὰ αὐτὰ « τῇ προλαβούσῃ διδάσκει σε, διὰ τοῦ Υἱοῦ μὲν ἐκ- « λάμπειν τὸ Πνεῦμα, ἐκ δὲ τοῦ πρώτου φωτὸς τοῦ « Πατρὸς; δηλονότι, τὴν αἰτίαν ἔχειν αὐτὸ λέ- « γουσα; »

Ἀντίρρησις.

Ἀληθῶς καὶ ἡ ῥηθεῖσα περικοπὴ ἐκ τοῦ πρώτου φωτὸς, τοῦ Πατρὸς δηλονότι τὸ Πνεῦμα τὴν αἰτίαν λέγουσα ἔχειν, διὰ τοῦ Υἱοῦ δὲ, οὐκ ἐκ μόνου εἶναι αὐτὸ δηλοῖ τοῦ Πατρός.

Ἐκ τοῦ πρὸς Ἀβλάβιον.

ΡΙΔ'. « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ « δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. »

C

Ἐπιστασία.

« Ἐπιμελῶς τὴν παροῦσαν περικοπὴν ἀναγνούς, « ἀναλόγισαι, πῶς διὰ τῶν ἐν ταύτῃ λέξεων οὐδὲν « ἕτερον ἢ τὸ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα διδάσκει « ὁ ἅγιος, προσεχῶς εἰπὼν ἐκ τοῦ Πατρὸς τὸν Υἱὸν, « δι' αὐτοῦ δὲ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Οὐδὲν « γὰρ ἄλλο σημαίνειν δοκεῖ μοι τὸ, τὸ δὲ διὰ τοῦ « προσεχῶς ἐκ τοῦ πρώτου, ἀλλ' ἢ τὸ μὴ ἐκ τ ῦ « προσεχῶς εἶναι. »

Ἀντίρρησις.

Σημαινει μὲν ἡ παροῦσα περικοπὴ μὴ εἶναι ἐκ τοῦ προσεχῶς τὸ Πνεῦμα, ἀλλὰ διὰ τὸ μὴ εἶναι αὐτὸ ἐκ τοῦ προσεχῶς, ὡς ἐκ πρώτης αἰτίας καὶ ἀρχῆς· διὰ δὲ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου αὐτὸ εἶναι σημαίνουσα, δηλοῖ μὴ ἐκ μόνου τοῦ πρώτου εἶναι αὐτό.

D

Ἐκ τοῦ εἰς τὸν πρωτομάρτυρα ἅγιον Στέφανον ἐγκωμίου.

ΡΙΕ'. « Στέφανος δὲ, πλήρης Πνεύματος ἁγίου, « εἶδε δόξαν Θεοῦ, καὶ τὸν Μονογενῆ τοῦ Θεοῦ. Οὐ « γάρ ἐστι, καθὼς φησιν ὁ Προφήτης, φῶς ὀφθῆναι, « μὴ ἐν τῷ φωτὶ καθορώμενον. « Ἐν γὰρ τῷ φωτί « σου, » φησὶν, « ὀψόμεθα φῶς. » Οὐκ ἐνδέχε- « ται, εἰ μὴ ἐν τῷ φωτὶ γενέσθαι τὴν τοῦ φωτὸς « θεωρίαν. Πῶς ἐστιν ἀπιδεῖν εἰς τὸν ἥλιον, ἔξω « τῶν ἀκτίνων γενόμενον; Ἐπεὶ οὖν ἐν τῷ φωτὶ « τοῦ Πατρὸς, τουτέστιν ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, « τῷ ἐκεῖθεν ἐκπορευομένῳ, τὸ μονογενὲς καθορᾷ-

Digitized by Google Распознавание текста АВК/FR

« ται· διὰ τοῦτο προκαταυγασθεὶς τῇ δόξῃ τοῦ A
« Πνεύματος ἐν περινοίᾳ τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ
« δόξης ἐγένετο. Ἐπεὶ πῶς τὴν Εὐαγγελικὴν φωνὴν
« ἀληθεύειν φήσομεν, ὅτι « Θεὸν οὐδεὶς ἑώρακε
« πώποτε; »

Ἔπιστασία.

« Σημείωσαι κἀνταῦθα τοῦ Πατρὸς τὸ Πνεῦμα
« ἐκπορευόμενον. »

Ἀντίῤῥησις.

Ἐκ τοῦ Πατρὸς μὲν τὸ Πνεῦμα λέγει ἐκπορευόμενον καὶ ἡ ῥηθεῖσα περικοπή. Ἐπεὶ δὲ ἐν τῷ Πνεύματι τῷ ἐκεῖθεν ἐκπορευομένῳ δηλοῖ τὸ μονογενὲς φῶς καθοράσθαι, πῶς ἂν εἴη ἐν τῷ Πνεύματι καθορώμενον ὁ Μονογενής, εἴπερ ἐκ μόνου τοῦ Πατρὸς φῶς ἐκ φωτὸς, καὶ οὐχὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμά B
ἐστιν ἐκ Πατρός;

ΡΗΣΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ.

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἀπὸ τῆς περὶ θείων ὀνομάτων πρὸς Τιμόθεον ἐπιστολῆς β' κεφαλαίου.

ΡΙϚ'. « Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον, ὅτι κατ' αὐτὴν τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται, καὶ ἀσυγχύτως « ἑκάστη τῶν θεαρχικῶν ὑποστάσεων, ἀλλ' ὅτι καὶ « τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει « πρὸς ἄλληλα. Μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατὴρ, οὐκ ὄντος Υἱοῦ τοῦ Πατρὸς, οὐδὲ « Πατρὸς τοῦ Υἱοῦ, φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν « ὑμῖν εὐαγῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστά- C
« σεων. »

Ἔπιστασία.

« Ἄκουσον καὶ τοῦ πολλοῦ τὰ θεῖα Διονυσίου, « μόνον τὸν Πατέρα ῥητῶς πηγὴν τῆς ὑπερουσίου « θεότητος, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος δηλαδὴ, δαγ- « ματίζοντος. »

Ἀντίῤῥησις.

Εἰ μὴ πρὸς πεισμονὴν ἰδιόῤῥυθμον ἐκλαμβάνειν τὰ γραφικὰ ἠβούλου ῥητὰ, εἶχες ἂν ἐκ μόνης τῆς ἤδη ῥηθείσης περικοπῆς διαγνῶναι ὡς οὐδέν τι τὴν ἀναρχον αἰτίαν λυμαίνεται τοῦ Πατρὸς ὁ λέγων τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Ὡς γὰρ ἐνταῦθα μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, τοῦτο δ' οὐκ ἄλλοθεν πάντως, ἀλλὰ D
διὰ τοῦ ἀμέσως, ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα πηγάζεσθαι ἐκ Πατρός· οὕτω καὶ ἔνθα ἂν τῆς Γραφῆς εὑρίσκηται λεγόμενος ὁ Πατὴρ αἴτιος τοῦ Υἱοῦ τε καὶ Πνεύματος, καὶ ἀρχὴ καὶ ῥίζα Υἱοῦ τε καὶ Πνεύματος, οὐδέν τι ἐκεῖσε προσίσταται λέγεσθαι, τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, τῆς μὲν ἀνάρχου αἰτίας τῷ Πατρὶ τηρουμένης, τοῦ Υἱοῦ δὲ καθόσον ἥκει εἰς τὴν διὰ, παραλαμβανομένου ἐπὶ τῇ προόδῳ τοῦ Πνεύματος.

Ἐκ τῆς αὐτῆς.

ΡΙΖ'. « Πάλιν ὅτι μέν ἐστι πηγαῖα θεότης ὁ Πα- « τὴρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότη- « τος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ « οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν

« citur lumen, ideirco gloria Spiritus prius illumi- « natus plena mentis comprehensione, et Patris et « Filii gloriam percipit. Nam quomodo alioquin « dictum evangelicum: « Deum nemo vidit unquam, » « verum esse dicemus? »

Animadversio.

« Nota hic quoque ex Patre Spiritum proce- « dentem. »

Refutatio.

Ex Patre dicit Spiritum procedere etiam adducta pericope. Cum vero in Spiritu inde procedente manifestet lumen unigenitum conspici, quanam ratione in Spiritu Unigenitus conspici poterit, si ex solo Patre lumen ex lumine, et non per Filium Spiritus esset ex Patre?

DICTA SANCTI DIONYSII.

S. Dionysii Areopagitæ de divinis nominibus epistolæ ad Timotheum cap. 2.

CXVI. « Quin etiam est in superessentialibus « Dei nominibus distinctio, qua non tantum, ut « dixi, secundum ipsam unionem quælibet præci- « puarum personarum impermista, atque incon- « fusa ponitur, verum etiam ea, quæ supersub- « stantialis illius divinæ generationis sunt, inter se « minime reciprocantur. Adeo ut solus Pater fons « sit in supersubstantiali deitate, atque ita Pater « non sit Filius, neque Filius sit Pater, sed cui- « cunque divinarum personarum propriæ suæ lau- « des inviolatæ conserventur. »

Animadversio.

« Audis in rebus divinis exponendis acutissi- « mum Dionysium ipsissimis verbis solum Patrem « superessentialis deitatis, Filii nempe et Spiritus, « fontem decernere? »

Refutatio.

Nisi voluntate obstinatiore, et consilio affirmatiore scripto tradita Patrum dicta intelligere contenderes, vel ex sola hac producta auctoritate percipere poteras, nihil Patris absque principio causam lædere, qui dicit Spiritum etiam ex Filio. Quemadmodum enim hic solus fons superessentialis deitatis Filii Pater asseritur, et hoc prorsus non aliunde, sed ex eo quod non immediate, sed per Filium Spiritus dicitur ex Patre emanare: pari modo ubi scriptum invenitur, Patrem esse causam Filii et Spiritus, et principium et radicem Filii et Spiritus, nihil aliud datur intelligi, nisi Spiritum esse etiam ex Filio; causa absque principio Patri reservata, Filioque quantum ad præpositionem *per* pertinet assumpto, in processione Spiritus.

Ex eadem.

CXVII. « Rursum a Scripturis sacris accepimus « Patrem quidem esse originem in divinis, Filium « vero et Spiritum sanctum, quasi Dei prolem, vel « si dictu fas sit, quasi germina divina ac lumina

Digitized by Google Распознавание текста ABK/FR

« supersubstantialia exsistere : quonam autem pa- A « cto sese habeant, neque eloqui neque intelligere « valemus. »

Animadversio.

« Vides hanc quoque auctoritatem cum præce- « dente doctrina concordare? et Patrem deitatis « fontem, Filium et Spiritum illius germina, vel « flores, vel lumina, tanquam qui ambo ex una « illa, prorsus asserentem?-»

Refutatio.

Ex uno quidem fonte ambo causata jam adducta deprædicat doctrina. Verumtamen illa alio atque alio modo ex uno illo fonte provenire intelligere, exemplum hoc nec obstat nec impedit. Neque enim hic, ut multi contendunt, germina a Deo sata Filius et Spiritus nuncupantur, quod inde divisim discreta enascuntur, et tantum non invicem separata, ut in rebus creatis, et sensui subjacentibus cernitur, sed quod solum enascantur. Neque enim simpliciter causati, et modi causati sententiam dictio similis exprimit. Quod plane intelligent, qui attentius mentem fixerint, quod hic originem Patrem non vocaverit, licet ab hoc dicendi modo in aliis non abstinuit. Fontem vero deitatis Patrem sanctus nuncupans, germinum, et florum et luminum nomine, quæ inde oriuntur causata manifestavit : quorum nihil admodum in se continet, quod fonti proportione respondeat. Et hic etiam palam fit, simpliciter causatum, non vero causati modum hoc in loco sanctum exprimere, cum alia scripto tradita dicta non reprobentur, quæ uti sese habeant causata inter se, et erga causam demonstrant, asserentia nunc quidem : « Hoc quidem contigue ex primo, hoc vero per illud, quod contigue est ex primo : » nunc : « Imago Patris Filius, imago vero Filii Spiritus. » Et iterum : « Filius quidem operatio Patris est, Spiritus vero operatio Filii : » et : « Filius quidem facies Patris, Spiritus vero facies Filii : » et alia, quibus manifesto concluditur, non immediate, sed per Filium esse Spiritum ex Patre.

Ejusdem ex Epistola ad Timotheum de mystica theologia, cap. 3.

CXVIII. « In theologicis quidem informationibus D « ea, quæ affirmantis theologiæ propria sunt cele- « bravimus; quomodo divina bonaque natura una « dicatur, quomodo trina; quænam secundum « illam Paternitas dicatur, et quænam Filiatio, « quidve velit sibi illa divina Spiritus denomina- « tio : quomodo ex immateriali, et individuo modo « cordialia ista bonitatis lumina pullularint, et in « ipso, et in se ipsis, et in se mutuo coæterna « propagationi mansione nusquam digrediendo « permanserint. »

Animadversio.

« Nota etiam hic ex immateriali et individuo « bono ambo cordialia lumina pullulasse, non vero « unum ex duobus. »

« λογίων παρειλήφαμεν · ὅπως δὲ ταῦτά ἐστιν, οὔτε « εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν. »

Ἐπιστασία.

« Ὁρᾷς τῇ προλαβούσῃ διδασκαλίᾳ καὶ ταύτην « συνᾴδουσαν, καὶ τὸν μὲν Πατέρα πηγαίαν θεότητα, « τὸν δὲ Υἱὸν καὶ τὸ Πνεῦμα βλαστοὺς ἐκείνης, ἢ « ἄνθη, ἢ φῶτα, ὡς ἐκ μιᾶς πάντως ἐκείνης καὶ « ἄμφω κηρύττουσαν; »

Ἀντίρρησις.

Ἐκ μιᾶς μὲν πηγῆς καὶ ἄμφω τὰ αἰτιατὰ καὶ ἡ ῥηθεῖσα κηρύττει διδασκαλία. Πλὴν ἀλλὰ τοῦ νοεῖσθαι διαφόρως αὐτὰ ἐκ τῆς μιᾶς ἐκείνης πηγῆς προερχόμενα οὐδέν τι γέγονεν ἐμποδὼν τὸ παράδειγμα. Οὐ γὰρ ὡς οἱ πολλοί βούλονται βλαστοὶ θεόφυτοι ἐνταῦθα ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τῷ εἰπόντι B ἁγίῳ ὠνομάσθησαν, διὰ τὸ διεχῶς ἐκεῖθεν ἐκφῦναι, καὶ οἷον διῃρημένως, ὡς ἐνταῦθά ἐστιν ὅτε ἐν τοῖς κάτω τούτοις καὶ φαινομένοις εὑρίσκεται, ἀλλὰ διὰ μόνον αὐτὸ τὸ ἐκφῦναι. Τοῦ γὰρ ἁπλῶς αἰτιατοῦ, καὶ οὐ τοῦ πῶς αἰτιατοῦ τὴν ἔννοιαν ἡ λέξις αὕτη παρίστησι. Καὶ συνιδεῖν ἔστι τοῦτο τοῖς προσεκτικώτερον διασκοπουμένοις ἐκ τοῦ μὴ ῥίζαν ἐνταῦθα τὸν Πατέρα καλεῖν, καίτοι γε εἰρημένον οὕτως ἐν ἄλλοις. Πηγαίαν γὰρ θεότητα ὁ ἅγιος τὸν Πατέρα εἰπών, τῷ τῶν βλαστῶν καὶ ἀνθέων καὶ φώτων ὀνόματι τὰ ἐκεῖθεν ὄντα αἰτιατὰ παρεδήλωσεν · ὧν οὐδὲν ὡς πρὸς τὴν πηγὴν ἔχει σχέσιν ἀνάλογον. Καὶ ἔστι δῆλον ἐντεῦθεν τὸ ἁπλῶς αἰτιατὸν, καὶ οὐ τὸ πῶς αἰτιατὸν ἐμφαίνειν ἐνταῦθα τὸν ἅγιον, μηδέν τι C τῶν ἄλλων ἀποδοκιμαζομένων γραφικῶν χρήσεων, αἵτινες, ὅπως ἔχουσι τὰ αἰτιατὰ πρός τε ἄλληλα καὶ πρὸς τὸ αἴτιον ἐμφαίνουσαι, νῦν μὲν ἔλεγον « Τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· νῦν δὲ ὡς « Εἰκὼν μὲν τοῦ Πατρὸς ὁ Υἱός, εἰκὼν δὲ τοῦ Υἱοῦ τὸ Πνεῦμα. » Καὶ πάλιν ὁ μὲν Υἱὸς ἐνέργεια τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα ἐνέργεια τοῦ Υἱοῦ, καὶ ὁ μὲν Υἱὸς πρόσωπον τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα πρόσωπον τοῦ Υἱοῦ, καὶ τὰ ἄλλα, ἐξ ὧν ἀναφαίνεται τὸ μὴ ἀμέσως, ἀλλὰ διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ τῆς περὶ μυστικῆς θεολογίας πρὸς τὸν αὐτὸν Τιμόθεον ἐπιστολῆς, τρίτου κεφαλαίου.

ΡΙΗ'. « Ἐν μὲν οὖν ταῖς θεολογικαῖς ὑποτυπώσεσι D « τὰ κυριώτατα τῆς καταφατικῆς θεολογίας ὑμνήσα- « μεν· πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις ἑνικὴ λέγεται, « πῶς τριαδική, τίς ἡ κατ' αὐτὴν λεγομένη Πατρό- « της τε καὶ Υἱότης, τί βούλεται δηλοῦν ἡ τοῦ Πνεύ- « ματος; θεολογία, πῶς ἐκ τοῦ ἀΰλου καὶ ἀμερῶς « ἀγαθοῦ τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ φῶτα, « καὶ τῆς ἐν αὐτῷ τε καὶ ἐν αὐτοῖς καὶ ἐν ἀλλήλοις « συναϊδίου τῇ ἀναβλαστήσει μονῆς ἀπομεμένηκεν « ἀνεκφοίτητα. »

Ἐπιστασία.

« Σημείωσαι κἀνταῦθα ὅτι ἐκ τοῦ ἀΰλου καὶ ἀμε- « ροῦς ἀγαθοῦ, καὶ ἄμφω τὰ ἐγκάρδια ἐξέφυ φῶτα, « οὐ μὴν τὸ ἓν ἐκ τῶν δύο. »

Digitized by Google Распознавание текста ABK/FR

Ἀντίῤῥησις.

Ὥσπερ ἐστὶν ἀληθὲς, καὶ τὴν ἧδη ῥηθεῖσαν περικοπὴν δηλοῦν ἐκ τοῦ ἀΰλου καὶ ἀμεροῦς ἀγαθοῦ καὶ ἄμφω τὰ ἐγκάρδια ἐκφῦναι φῶτα, οὕτως ἐστὶν ἀληθὲς δηλοῦσθαι καὶ ἐξ αὐτῆς, ὥσπερ οὖν κἀκ τῆς προῤῥηθείσης, ὡς ὁ ἅγιος τὸ ἁπλῶς αἰτιατὸν ἐκ τοῦ πρώτου τὸ πρῶτον αἴτιον, ταῦτα τὰ αἰτιατὰ, ἐγκάρδια τῆς ἀγαθότητος ταῦτα φῶτα ὠνόμασε. Καὶ τοῦτο ἐντεῦθεν διαγνωσθήσεται· ἐπειδὴ τὴν προφητικὴν ἐκείνην ῥῆσιν, τὴν λέγουσαν, « Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν » εἰς μόνην τὴν τοῦ Υἱοῦ γέννησιν ἁπαξάπαντες ἐξελάβοντο οἱ ἐξηγηταί· ὥσπερ οὖν καὶ τὴν λέγουσαν « Πνεῦμα στόματος τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον » εἰς τὴν τοῦ Πνεύματος ὕπαρξιν. Εἴπερ κυριολεκτῆσαι ὁ ἅγιος τὴν ἑκάστου ἠβούλετο ὕπαρξιν, οὐκ ἂν κοινῷ καὶ ἀδιορίστῳ ὀνόματι ἐγκάρδια τῆς ἀγαθότητος φῶτα καὶ ἄμφω τὰ αἰτιατὰ κατωνόμασεν. Ἀλλὰ καὶ αὐτὸ τὸ ἓν αἴτιον, τὸν Πατέρα φημὶ, εἰ κυριολεκτικῶς ἠβούλετο τὴν ἐξ αὐτοῦ θεολογῆσαι αἰτίαν, οὐκ ἂν ἁπλῶς οὕτω θεογόνον ἔφη θεότητα. Θεογόνος γὰρ ὁ Πατὴρ κυρίως, ὅτι Θεὸν γεννᾷ τὸν Υἱόν. Κατὰ δὲ τὸ ἐκπέμπειν Πνεῦμα οὔτε θεογόνος οὔτε πατὴρ ὁ Πατήρ. Ἦ γὰρ ἂν Υἱὸς ἦν καὶ τὸ Πνεῦμα, εἰ καὶ τοῦ Πνεύματος Πατὴρ ἦν ὁ Θεὸς, καὶ, εἴγε καὶ κατὰ τὴν αἰτίαν τοῦ Πνεύματος, θεογόνος ἐλέγετο. Καὶ ταῦτα μὲν βούλεται ἡ ἀκρίβεια. Σὺ δὲ τὸ διαφόρως αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ τὸν Πατέρα, καὶ διαφόρως ἐκ τοῦ πρώτου αἰτίου εἶναι τὰ αἰτιατὰ παρορῶν, ἄνω καὶ κάτω τὸν λόγον ὑποτίθη· τῷ ἀκροατῇ σημειοῦσθαι, ὡς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ὁ Πατήρ.

Refutatio.

Quemadmodum verum est, adductam pericopem manifestare ex immateriali et individuo bono ambo hæc lumina cordialia pullulasse, ita verum quoque est ex hac eadem, uti et ex præcedente auctoritate indicari, sanctum simpliciter causatum ex primo, quæ est prima causa, hæc causata cordialia bonitatis lumina nuncupasse. Et hoc inde dignoscetur : cum propheticum illud dictum : « Eructavit cor meum verbum bonum, [10] » de sola Filii generatione omnes interpretes exposuere : quemadmodum et illud « Spiritus oris Patris Spiritum sanctum » de Spiritus exsistentia. Si sanctus voluisset proprio nomine utriusque exsistentiam compellare, nunquam communi, et indefinito nomine cordialia bonitatis lumina, et ambo causata vocasset. Sed ipsam unam causam, Patrem, inquam, si proprio nomine compellare voluisset, ex eo nempe causam decernere, nunquam sic simpliciter Deitatem divinorum genitricem appellasset. Namque divinorum genitor tantum Pater est, quod Deum Filium generat. In eo vero quod emittit Spiritum, neque divinorum genitor, neque Pater pater est. Tum siquidem vere Spiritus esset Filius, si Spiritus Pater Deus esset, et, si ex eo quod causa Spiritus est, divinorum genitor vocaretur. Et hæc quidem exquisita theologiæ ratio poscit. Tu vero illud alio atque alio modo Patrem causam esse eorum, quæ ex eo sunt, necnon et diverso modo ex prima causa causata esse non intelligens, sed confundens susque deque, auditori suggeris, ut notet unam esse causam Filii et Spiritus Patrem.

ΡΗΣΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ.

Τοῦ ἁγίου Μαξίμου ἀπὸ τῶν ἑπτακοσίων γνωστικῶν καὶ θεολογικῶν κεφαλαίων κεφάλαιον γ' τῆς ἑκατοντάδος.

ΡΙΘ'. « Εἰ λόγος προκαθηγεῖται τῆς τῶν ὄντων « γενέσεως, οὔτε ἦν, οὔτε ἔσται τοῦ Λόγου Λόγος « ἀνώτερος. Λόγος δὲ οὐκ ἄνους ἢ ζωῆς ἄμοιρος, « ἀλλ' ἔννους καὶ ζῶν, ὡς γεννῶντα νοῦν ἔχων « οὐσιωδῶς ἐνυπάρχοντα, τὸ Πνεῦμα τὸ ἅγιον. »

Ἐπιστασία.

« Ὅρα καὶ τὸν τῆς εὐσεβείας ὁμολογητὴν τοῦτον « ἅγιον, ἐνυπάρχον τῷ Υἱῷ τὸ Πνεῦμα, οὐ μὴν « τούτου ἐκπαρευόμενον δογματίζοντα, »

Ἀντίῤῥησις.

Ἀλλ' ἐνυπάρχον τῷ Υἱῷ τὸ Πνεῦμα, οὐ δοτὸν, οὐδ' ἐπακτὸν κατὰ τὴν θεότητα, φυσικῶς δὲ καὶ οὐσιωδῶς ἐνυπάρχει αὐτῷ. Τὸ δὲ φυσικῶς, καὶ οὐχὶ δοτὸν, οὐδὲ ἐπακτὸν ἐνυπάρχον τῷ Υἱῷ τὸ Πνεῦμα, ὡς δι' αὐτοῦ ὑπάρχον ἐνυπάρχει αὐτῷ.

Τῆς αὐτῆς ἑκατοντάδος κεφάλαιον ε'.

ΡΚ'. « Εἷς Θεὸς ἑνὸς Υἱοῦ γεννήτωρ, Πατὴρ, « καὶ Πνεύματος ἑνὸς ἁγίου πηγὴ, μονὰς ἀσύγ-

SANCTI MAXIMI DICTA.

S. Maximi ex septingentis gnostiris et theologicis capitibus. Tertiæ centuriæ cap. 3.

CXIX. « Si verbum præcedit eorum, quæ sunt, « generationem, plane neque erat, neque erit « Verbo Verbum superius. Verbum vero absque « mente non est, neque vitæ expers, sed intelligens « et vivens, tanquam quod mentem sibi innatam « possidet Spiritum sanctum. »

Animadversio.

« Vide etiam pietatis hunc homologetam Maximum, Spiritum inesse Filio, non vero ex eo « procedere decernentem. »

Refutatio.

Sed Spiritus, qui inest Filio, non deditus, neque adventitius est secundum divinitatem, sed naturaliter et essentialiter illi inest. Qui vero naturaliter, et non deditus neque adventitius Filio inest Spiritus, uti per ipsum exsistens illi inest.

Ejusdem centuriæ cap. 4.

CXX. « Unus Deus unius Filii genitor Pater, et « Spiritus unius sancti fons, unitas inconfusa, et

[10] Psal. LXIV. 2.

Digitized by Google Распознавание текста ABK/FR

« trinitas indivisa; mens absque principio, solius A « sola essentialiter absque principio, Verbi genitrix, et solius perpetuæ vitæ, et Spiritus sancti « fons. »

Animadversio.

« Discito ab hoc quoque divino Patre, amborum « causam et Filii et Spiritus Patrem, illius ut genitorem, hujus uti fontem assertum fuisse. »

Refutatio.

Diversam tandem causam Filii et Spiritus Patrem fateris, illius ut genitorem, hujus ut fontem. Si itaque et Filii et Spiritus contigua causa est, ubinam est in Patre causæ discrimen? Quare adnotandum tibi est qua ratione sanctus ex Patre Spiritus exsistentiam, cum Patrem fontem vocaverit aperuit; ut cum inveneris et Filium fontem Spiritus sancti dictum, ne in aliud tempus protrahas fateri, Spiritum esse etiam ex utroque. Etenim si, uti sanctus Cyrillus refert: « Omnium naturalium bonorum Patris particeps est Filius, « unam si excipias paternitatem, » Pater autem Spiritus non est. Quomodo vero cum Patre non communicabit in emanatione Spiritus, si duo fontes non sunt, sed unus fons Spiritus Pater et Filius?

Ex colloquio Orthodoxi et Macedoniani.

CXXI. « A. Potesne mihi ostendere quonam in « loco scriptum est, Deum esse Spiritum? Quid me C « multis hac atque illa circumfers? B. Si primum « quidem sancti apostoli agnoverunt Spiritum tum « postea Filium, recte et tu quoque cognitioni « Filii cognitionem Spiritus præponis. Quod si « prius ipsis innotuit Filius, deinceps Spiritus, « prius tu quoque agnosce Filii deitatem, et tum « assequeris et Spiritus cognitionem. A. Scio et « credo Deum esse Filium, ex Deo et Patre genitum, totum ex toto. B. Igitur ex essentia. A. Minime genitum. B. Qua ergo ratione dicis ipsum « totum ex toto, sicuti angelorum quemlibet, et « aliarum creaturarum? A. Sed Filius unigenitus « est. B. Propterea eum dicis unigenitum, quod « nullus alius talis est; vel quod solus ex essen- « tia genitus est. A. Quod nullus alius talis est. D « B. Dicito igitur Spiritum sanctum unigenitum « Filium, neque enim est aliud simile. A. Absit « hoc. B. Non igitur quod solus talis est unigenitus dicitur, sed quod solus ex essentia natus « est. Non est ex essentia Dei Spiritus? B. Quis « negat? A. Ergo et ipse Filius est. B. Sed Filius « ex essentia genitus est, propterea unigenitus « Filius est, Spiritus vero ex essentia procedit: « Spiritus enim ex me procedit scriptum est, non « vero natus est. A. Et quænam est differentia generationis et processionis? B. Qui differentiam « novit, et modum generationis et processionis « novit. Neminem vero generationis modum agnoscere Propheta clamat; « Generationem ejus quis

« χυτος, καὶ τριὰς ἀδιαίρετος, νοῦς ἄναρχος, μόνου « μόνος; οὐσιωδῶς ἀνάρχου Λόγου γεννήτωρ, καὶ « μόνης ἀϊδίου ζωῆς καὶ Πνεύματος ἁγίου πηγή. »

Ἐπίστασις.

« Ἄκουε καὶ παρὰ τούτου τοῦ θείου Πατρὸς αἴ- « τιον καὶ ἀμφοῖν, τοῦ τε Υἱοῦ καὶ τοῦ Πνεύματος, « τὸν Πατέρα, τοῦ μὲν ὡς γεννήτορα, τοῦ δὲ ὡς « πηγὴν κηρυττόμενον. »

Ἀντίρρησις.

Διάφορον τέως αἴτιον Υἱοῦ καὶ τοῦ Πνεύματος τὸν Πατέρα ὁμολογεῖς, τοῦ μὲν, ὡς γεννήτορα, τοῦ δὲ, ὡς πηγήν. Εἰ γοῦν καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος κατὰ τὸ προσεχές ἐστιν αἴτιος, ποῦ τὸ ἐν τῷ Πατρὶ διάφορον τῆς αἰτίας; Δεῖ δὲ σημειώσασθαί σε, ὅπως ὁ ἅγιος τὴν ἐκ τοῦ Πατρὸς ὕπαρξιν τοῦ B Πνεύματος ἐν τῷ τὸν Πατέρα πηγὴν καλέσαι δεδήλωκεν, ἵν' ὅταν εὑρίσκῃς καὶ τὸν Υἱὸν πηγὴν τοῦ ἁγίου λεγόμενον Πνεύματος, μὴ ἀναβάλλῃ ὁμολογεῖν εἶναι τὸ Πνεῦμα καὶ ἐξ ἀμφοῖν. Εἰ γὰρ κατὰ τὸν ἅγιον Κύριλλον « Πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνός ἐστιν ὁ Υἱὸς ἄνευ τοῦ Πατὴρ εἶναι, Πατὴρ μὲν οὐκ ἔστι τοῦ Πνεύματος· τῷ δὲ Πατρὶ πῶς ἂν εἰς τὸν τοῦ Πνεύματος οὐ κοινωνήσειε πηγασμόν, εἴ γε μὴ δύο πηγαί, ἀλλὰ μία πηγὴ τοῦ Πνεύματος ὁ Πατήρ εἰστι καὶ ὁ Υἱός;

Ἀπὸ τῆς ἐκ προσώπου Ὀρθοδόξου, καὶ Μακεδονιαροῦ συντεθείσης διαλέξεως.

ΡΚΑ'. « Α. Ἔχεις μοι δεῖξαι, ποῦ γέγραπται « Θεὸς τὸ Πνεῦμα; Τί με περιάγεις πολλά; Β. Εἰ « μὲν πρῶτον ἔγνωσαν οἱ ἅγιοι ἀπόστολοι τὸ Πνεῦμα « καὶ τότε τὸν Υἱὸν, καλῶς καὶ σὺ ἐπιζητεῖς τὴν « τοῦ Πνεύματος γνῶσιν πρὸ τῆς τοῦ Υἱοῦ γνώ- « σεως· εἰ δὲ πρότερον ἐγνώσθη αὐτοῖς ὁ Υἱὸς, καὶ « τότε τὸ Πνεῦμα, πρότερον καὶ αὐτὸς ἐπίγνωθι « τὴν τοῦ Υἱοῦ θεότητα, καὶ οὕτω μαθήσῃ καὶ τὴν « τοῦ Πνεύματος γνῶσιν. Α. Οἶδα καὶ πιστεύω ὅτι « Θεός ἐστιν ὁ Υἱὸς, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γεν- « νηθεὶς ὅλος ἐξ ὅλου. Β. Οὐκοῦν ἐκ τῆς οὐσίας. « Α. Οὔ. Β. Οὕτως οὖν αὐτὸν λέγεις ὅλον ἐξ ὅλου, « ὡς ἕκαστον τῶν ἀγγέλων καὶ τῶν ἄλλων κτισμά- « των; Α. Ἀλλ' ὁ Υἱὸς μονογενής ἐστιν. Β. Διὰ « τοῦτο αὐτὸν λέγεις Μονογενῆ, ἐπεὶ ἄλλος τοιοῦτος « οὐκ ἔστιν· ἢ ἐπεὶ μόνος ἐκ τῆς οὐσίας γεγέννηται· « Α. Ἐπεὶ ἄλλος τοιοῦτος οὐκ ἔστιν. Β. Εἰπὲ οὖν « τὸ Πνεῦμα τὸ ἅγιον μονογενῆ Υἱόν· ἄλλο γὰρ « τοιοῦτον οὐκ ἔστι. Α. Μὴ γένοιτο. Β. Οὐκ ἄρα « διὰ τὸ μόνον τοιοῦτον αὐτὸν εἶναι Μονογενῆς λέ- « γεται, ἀλλ' ἐπειδὴ μόνος ἐκ τῆς οὐσίας γεγέννηται. « Α. Οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ τὸ Πνεῦμα; « Β. Καὶ πάνυ. Α. Καὶ αὐτὸ ἄρα Υἱός. Β. Ἀλλ' ὁ « μὲν Υἱὸς ἐκ τῆς οὐσίας γεγέννηται, διὰ τοῦτο « μονογενὴς Υἱὸς, τὸ δὲ Πνεῦμα ἐκ τῆς οὐσίας « ἐκπορεύεται. « Πνεῦμα γὰρ παρ' ἐμοῦ ἐκπορεύε- « ται » γέγραπται, οὐ γεγέννηται. Α. Καὶ τίς ἡ « διαφορὰ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως; « Β. Ὁ τὴν διαφορὰν εἰδὼς καὶ τὸν τρόπον τῆς « γεννήσεως καὶ τῆς ἐκπορεύσεως οἶδεν. Ὅτι δὲ « οὐδεὶς οἶδε τὸν τρόπον τῆς γεννήσεως ὁ προφή-

Digitized by Google Распознавание текста ABK/FR

« της βοᾷ « Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; » A « enarrabit [11]! » A. Et qua ratione dicis, Filium
« A. Καὶ πῶς οὖν λέγεις ὅτι ὁ μὲν Υἱὸς ἐκ τῆς οὐ- « ex essentia genitum esse, Spiritum vero proce-
« σίας γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκπορεύεται; B. « dere? B. Quæ scripta sunt, recito. Tu eadem
« Τὰ γεγραμμένα λέγω. Καὶ σὺ λέγε, καὶ οὐ κιν- « dicito, et in vado eris. A. Ubi scriptum est ex
« δυνεύσεις. A. Ποῦ γέγραπται, ἐκ τῆς οὐσίας; B. « essentia? B. Omnia ex Deo esse scriptum, nec
« Ὅτι πάντα ἐκ τοῦ Θεοῦ γέγραπται καὶ σὺ ὁμο- « tu inficias iveris. A. Ita est, fateor. Num igitur
« λογεῖς. A. Καὶ ὁμολογῶ. Μὴ οὖν ἐκ τῆς οὐσίας « ex essentia omnia? B. Minime, absit hoc. Sed
« τὰ πάντα; B. Οὐχί, μὴ γένοιτο. Ἀλλ' ὅτι πάν- « quod cum omnia sint ex Deo, hic unigenitus
« των ὄντων ἐκ τοῦ Θεοῦ, οὗτος μονογενὴς Υἱός, « Filius, licet multi sunt filii, ex essentia esse
« πολλῶν ὄντων υἱῶν, ἦ μὴν ἐκ τῆς οὐσίας δῆλόν « planum est. A. Num et Spiritus unigenitus Filius
« ἐστιν. A. Μὴ καὶ τὸ Πνεῦμα μονογενὴς Υἱός « est? B. Et nunc iterum repeto, absit. Sed quem-
« ἐστιν; B. Καὶ νῦν λέγω, μὴ γένοιτο εἰπεῖν. Ἀλλ' « admodum licet multi filii sunt, hunc ex essentia
« ὥσπερ πολλῶν ὄντων υἱῶν, τοῦτον ἐγνωμεν ἐκ « agnoscimus, quod Pater dicat: « Hic est Filius
« τῆς οὐσίας, διὰ τὸ λέγειν τὸν Πατέρα, « Οὗτός « meus dilectus [12], » sic et Spiritum novimus ex
« ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, » οὕτω καὶ τὸ B « Patre, quod licet sint multi spiritus, Pater dicit:
« Πνεῦμα ἐγνωμεν ἐκ τοῦ Πατρὸς, διὰ τὸ, πολλῶν « Effundam ex Spiritu meo in omnem carnem [13]. »
« ὄντων πνευμάτων, λέγειν τὸν Πατέρα, « Ἐκχεῶ « Neque enim potest alia ratione ab aliis sanctis
« ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. » Ἄλ- « spiritibus separari, et conjungi Patri nisi ra-
« λως γὰρ οὐ δύναται χωρισθῆναι τῶν ἄλλων ἁγίων « tione essentiæ. A. Pater enim est, qui ait:
« Πνευμάτων, καὶ συναφθῆναι τῷ Πατρὶ, εἰ μὴ τῷ « « Effundam ex Spiritu meo? » B. Ne dubites.
« λόγῳ τῆς οὐσίας. A. Ὁ γὰρ Πατὴρ ἐστιν, ὁ λέ- « A. Undenam hoc innotescit? Beatus Paulus apo-
« γων, « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου; » B. « stolus dicit; « Cum enim apparuit gratia Dei et
« Καὶ πάνυ. A. Καὶ πόθεν τοῦτο; B. Παῦλος ὁ « Salvatoris nostri [14], » non ex operibus quæ feci-
« ἀπόστολος; λέγει, « Ὅτε γὰρ ἐπεφάνη ἡ χάρις « mus nos super terram, sed secundum ingentem
« τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν οὐκ ἐξ ἔργων, ὧν « misericordiam suam, regenerans nos lavacro
« ἐποιήσαμεν ἡμεῖς ἐπὶ τῆς γῆς, ἀλλὰ κατὰ τὸ πολὺ « regenerationis, et renovationis Spiritus, quem
« ἔλεος αὐτοῦ ἀναγεννήσας ἡμᾶς διὰ λουτροῦ πα- « effudit super nos per Jesum Christum. Quis ef-
« λιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος, οὗ « fudit per Jesum Christum ille nempe qui dixit:
« ἐξέχεεν ἐφ' ἡμᾶς διὰ Ἰησοῦ Χριστοῦ. » Τίς ἐξέχεε « Postremis diebus effundam ex Spiritu meo. »
« διὰ Ἰησοῦ Χριστοῦ; δηλονότι ὁ εἰπών, « Ἐν ταῖς C « A. Non est itaque Filius, qui Spiritum elargitur.
« ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου. » « B. Audisti, Patrem per Filium dare Spiritum,
« A. Οὐχ ὁ Υἱὸς οὖν δίδωσι τὸ Πνεῦμα; B. Ἤκου- « nam Pater dixit: « Postremis diebus effundam
« σας ὅτι ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ δίδωσι τὸ Πνεῦμα « ex spiritu meo, » Filius resurgens ex mortuis
« ἀμέλει τοῦ Πατρὸς εἰρηκότος, « Ἐν ταῖς ἐσχάταις « dicit: « Accipite Spiritum sanctum [15]. »
« ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, » Ὁ Υἱὸς
« ἀναστὰς ἐκ νεκρῶν λέγειν Λάβετε « Πνεῦμα ἅγιον. »

Ἐπίστασις.

« Καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ τὰ αὐτὰ διδάσκει
« ὁ ἅγιος ἐκ τοῦ Πατρὸς φανερῶς τὴν τοῦ Πνεύμα-
« τος δογματίζων ἐκπόρευσιν, τὴν δὲ τούτου δόσιν
« διὰ τοῦ Υἱοῦ. »

Animadversio.

« In hoc quoque tractatu non alia edocet san-
« ctus, ex Patre palam Spiritus decernens proces-
« sionem, hujus vero donationem per Filium. »

Ἀντίῤῥησις.

Καὶ μὴν ἐνταῦθα τὸ παρὰ τοῦ Πατρὸς ἐκχεόμε-
νον διὰ τοῦ Υἱοῦ διδόμενον ἔφη. Ἢ γοῦν ὡς παρὰ
τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ὑπάρχον ἔσται τὸ Πνεῦμα,
παρὰ τοῦ Πατρὸς ἐκχεόμενον, καὶ διὰ τοῦ Υἱοῦ δι-
δόμενον· ἢ, ἐὰν μὴ ἡ ἔκχυσις καὶ ἡ δόσις ἀκολου-
θοῖεν τῇ ὑπάρξει, ἄλλο ζητηθήσεται πρόσωπον, ἐξ
οὗπερ τὸ Πνεῦμα ὑπάρχον ἐκ τοῦ Πατρὸς διὰ τοῦ
Υἱοῦ ἐκχεῖται διδόμενον.

Refutatio.

Et nihilominus hic quoque quod a Patre effun-
ditur, per Filium dari pronuntiavit. Aut itaque uti
D a Patre per Filium exstiterit Spiritus, a Patre ef-
fusus, et per Filium datus: aut si effusio et dona-
tio non subsequitur exsistentiam, alia persona
quærenda est, ex qua Spiritus exsistens ex Patre
per Filium effunditur et datur.

ΡΗΣΕΙΣ ΣΩΦΡΟΝΙΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

*Τοῦ ἁγίου Σωφρονίου πατριάρχου Ἱεροσολύ-
μων ἐκ τοῦ παρ' αὐτοῦ σταλέντος εἰς Ῥώμην
συνοδικοῦ.*

DICTA SOPHRONII HIEROSOLYMITANI.

*S. Sophronii patriarchæ Hierosolymitani ex tomo
synodico Romam misso.*

ΡΚΒ'. « Πιστεύω τοίνυν, μακάριοι, καθάπερ
« ἀρχῆθεν πεπίστευκα, εἰς ἕνα Θεὸν παντοκράτορα,

CXXII. « Credo igitur, beati, quemadmodum et
« a principio credidi, in unum Deum omnipoten-

[11] Act. VIII, 33. [12] Matth. III, 17. [13] Act. II, 17. [14] Tit. II, 11. [15] Joan. XX, 22

Digitized by Google Распознавание текста ABK/FR

« tem prorsus absque principio et sempiternum, A « omnium visibilium et invisibilium factorem : et « in unum Dominum Jesum Christum Filium Dei « unigenitum, qui ab æterno et sine ulla passione « ab ipso genitus est Deo et Patre, nec aliud prin- « cipium quam Patrem ipsum agnoscentem, nec « aliunde quam ex Patre subsistentiam possiden- « tem, lumen de lumine, consubstantialem, Deum « verum de Deo vero, coæternum : et in unum « Spiritum sanctum, qui ab æterno ex Deo et « Patre procedit, et lumen et Deus ipse agnosci- « tur, estque vere Patri et Filio coæternus, con- « substantialis, et ejusdem cum illis essentiæ. »

Animadversio.

« Audi quoque divinum ac sapientissimum hunc « Patrem consubstantialitatem, et coæternitatem B « Spiritus utriusque Patri scilicet, et Filio ascri- « bentem, soli vero Patri processionem. »

Refutatio.

Ex Deo et Patre Spiritum procedere dicens divinus et sapientissimus iste Pater, non ex solo Patre Spiritum esse indicavit, quod similem processionem ex Patre per Filium habeat. Consubstantialitatem vero, et coæternitatem Spiritus, ut tu ipse ais, ambobus attribuens, Patri scilicet et Filio, aperte declaravit ex amborum essentia illum esse.

DICTA EPIPHANII CYPRII.

Sancti Epiphanii Cyprii ex quarto capite Ancyroti. C

CXXIII. « Quandoquidem Filius ex Patre est, pro- « pterea solus Deus verus est, et non secundum « ementitos Deos, sed solus verus, cum solus ex « solo unigenitus, et solus Spiritus sanctus. »

Animadversio.

« Licet perobscurum videatur hoc caput, est ni- « hilominus præcedentibus consonum, ex Patre « solo utrumque decernens, Filium nempe et Spi- « ritum. Solum vero utrique præponit, Filio pro- « pter adoptione et gratia filios, Spiritui propter « administratorios spiritus : ex solo autem, ut de « Filio ita de Spiritu accipiendum est. »

Refutatio.

Quemadmodum illud *solus* præponens sanctus, Filio propter adoptione et gratia filios, Spiritui propter administratorios spiritus adaptavit, nullam inde prorsus unius erga alterum distinctionem Spiritus declarans, quomodo Spiritus erit ex Patre? Et si solum Spiritus ex Patre : ad distinguendum Filium quomodo Filius ex Patre? sic quoque illud ex solo secundum rectam sententiam et inconcussam, non ad discernendum Filium ex Patre intelligetur in emanatione Spiritus. Quomodo enim discerni potest a Patre ille per quem processio est. Sed ad discernendum quodcunque aliud extraneum principium. Sicuti enim Pater solus dicitur scire, et quæcunque alia cognitio rerum creatarum frus-

« ἀναρχον παντελῶς, καὶ ἀΐδιον, πάντων ὁρατῶν « καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰη- « σοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, « τὸν ἀΐδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντα τοῦ « Θεοῦ καὶ Πατρὸς, καὶ οὐκ ἄλλην ἀρχὴν ἢ τὸν « Πατέρα γινώσκοντα, ἀλλ' οὐδὲ ἄλλοθέν ποθεν ἢ « ἐκ τοῦ Πατρὸς τὴν ὑπόστασιν ἔχοντα, φῶς ἐκ « φωτὸς, ὁμοούσιον, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθι- « νοῦ, συναΐδιον· καὶ εἰς ἓν Πνεῦμα ἅγιον, τὸ ἀΐ- « δίως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, τὸ « φῶς καὶ Θεὸν αὐτὸ γνωριζόμενον, καὶ ὂν ἀλη- « θῶς Πατρὶ καὶ Υἱῷ συναΐδιον, ὁμοούσιόν τε καὶ « ὁμόφυλον. »

Ἐπιστασία.

« Ἄκουε καὶ τοῦ θείου καὶ σοφωτάτου τούτου « Πατρὸς τὴν μὲν ὁμοουσιότητα καὶ συναϊδιότητα « τοῦ Πνεύματος καὶ ἀμφοτέροις, τῷ τε Πατρὶ δη- « λονότι καὶ τῷ Υἱῷ ἀπονέμοντος, μόνῳ δὲ τῷ Πατρὶ « τὴν ἐκπόρευσιν. »

Ἀντίῤῥησις.

Ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον τὸ Πνεῦμα εἰπὼν ὁ θεῖος καὶ σοφώτατος οὗτος Πατὴρ, οὐκ ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα ἐδήλωσε, διὰ τὸ τὴν τοιαύτην ἐκπόρευσιν δι' Υἱοῦ ἐκ Πατρὸς ἔχειν αὐτό. Τὴν δὲ ὁμοουσιότητα καὶ συναϊδιότητα τοῦ Πνεύματος ἀμφοτέροις, ὡς καὶ σὺ φῂς, ἀπονέμας, τῷ τε Πατρὶ δηλονότι καὶ τῷ Υἱῷ, δεδήλωκεν ἐκ τῆς ἀμφοτέρων οὐσίας εἶναι αὐτό.

ΡΗΣΕΙΣ ΕΠΙΦΑΝΙΟΥ ΚΥΠΡΟΥ.

Τοῦ ἁγίου Ἐπιφανίου Κύπρου ἀπὸ τοῦ δ' κεφα- λαίου τῶν κεφαλαίων τοῦ Ἀγκυρωτοῦ.

ΡΚΓ'. « Ἐπειδὴ ὁ Υἱὸς ἐκ Πατρὸς, διὰ τοῦτο μό- « νος ἀληθινὸς Θεὸς, καὶ οὐ κατὰ τοὺς ἐψευσμένους « θεοὺς, ἀλλὰ μόνος ἀληθινὸς, ἐπεὶ μόνος ἐκ μόνου « ὁ μονογενὴς, καὶ μόνον τὸ ἅγιον Πνεῦμα. »

Ἐπιστασία.

« Εἰ καὶ ἀσαφὲς τάχα δοκεῖ τὸ παρὸν κεφάλαιον, « ἀλλ' ἔστι καὶ τοῦτο τοῖς προλαβοῦσι σύμφωνον, « ἐκ τοῦ Πατρὸς μόνον δογματίζον καὶ ἄμφω, τόν τε « Υἱὸν καὶ τὸ Πνεῦμα. Τὸ δὲ μόνον καὶ ἀμφοτέροις « προστιθεὶς, τῷ μὲν, διὰ τοὺς θέσει καὶ χάριτι « υἱοὺς, τῷ δὲ διὰ τὰ λειτουργικὰ πνεύματα· τὸ δὲ « ἐκ μόνου, ὡς ἐπὶ τοῦ Υἱοῦ, οὕτω καὶ τοῦ Πνεύ- « ματος λαμβάνεται. » D

Ἀντίῤῥησις.

Ὥσπερ τὸ *μόνον* προστιθεὶς καὶ ἀμφοτέροις ὁ ἅγιος οὗτος, τῷ μὲν διὰ τοὺς θέσει καὶ χάριτι υἱοὺς, τῷ δὲ διὰ τὰ λειτουργικὰ προσέθετο πνεύματα, οὐδεμίαν πάντως θατέρου πρὸς θάτερον ἐντεῦθεν ἐμφαίνων διαστολὴν τοῦ Πνεύματος, πῶς ἂν καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός; καὶ εἰ μόνον τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, πρὸς διαστολὴν τοῦ Υἱοῦ, πῶς ἂν καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρός; οὕτω καὶ τὸ ἐκ μόνου, κατ' ἔννοιαν εὐθῆ καὶ ἀδιάστροφον οὐ πρὸς διαστο- λὴν τοῦ Υἱοῦ ἐπὶ τοῦ Πατρὸς νοηθήσεται ἐπὶ τῇ προόδῳ τοῦ Πνεύματος, πῶς γὰρ ἂν καὶ διασταλείη τοῦ Πατρὸς ὁ δι' οὗ ἡ ἐκπόρευσις; ἀλλὰ πρὸς δι- στολὴν πάσης ἄλλης ἑτεροουσίου ἀρχῆς. Ὥσπερ γὰρ ὁ Πατὴρ εἰδέναι λέγεται μόνος, καὶ πᾶσά τις ἑτέ-

Digitized by Google Распознавание текста ABK/FR

γνῶσις, τουτέστι τῶν γεννητῶν, ἐξαργεῖ· καὶ οὐχ ὁ Υἱὸς, οὐδὲ τὸ Πνεῦμα διαστέλλονται τοῦ Πατρὸς, ὥστε μὴ εἰδέναι ὡς ὁ Πατήρ· καὶ μόνος ἀληθινὸς μαρτυρεῖται Θεὸς ὁ Πατὴρ, καὶ πᾶς τις ἑτεροφυὴς θεὸς ἀποπέμπεται, καὶ οὐχ ὁ Υἱὸς, οὐδὲ τὸ Πνεῦμα διαστέλλονται τοῦ Πατρὸς, ὥστε μὴ Θεὸς εἶναι ὡς ὁ Πατήρ· οὕτω καὶ εἰ μόνος αὐτὸς αἴτιος ῥηθήσεται Υἱοῦ τε καὶ Πνεύματος, τοῦ μὲν Υἱοῦ κατὰ τὸ προσεχὲς νοηθήσεται, τοῦ δὲ Πνεύματος διὰ τοῦ Υἱοῦ· καὶ μόνος ὅμως, ἐπεὶ ἐξ οὐδεμιᾶς ἄλλης ἑτεροουσίου ἀρχῆς ὁ Υἱὸς ἢ τὸ Πνεῦμα. Καὶ ὅτι ἡ διὰ τοῦ Υἱοῦ ὕπαρξις τοῦ Πνεύματος ἐκ Πατρὸς εἰς τὸ πρῶτον αἴτιον ἀναφέρεται τὸν Πατέρα, ὡς διὰ τῆς ἀκτῖνος τυχὸν ἡ τοῦ φωτὸς εἰς τὸν ἥλιον, τὸ, μόνος ὁ Πατὴρ, οὐ πρὸς διαστολὴν τοῦ Υἱοῦ ἐπὶ τῆς τοῦ Πνεύματος ὑπάρξεως ἐκληφθήσεται.

A

Ἀπὸ τοῦ ζ' κεφαλαίου τῶν αὐτῶν.

ΡΚΔ'. « Μονογενὴς γὰρ ὁ Υἱός. Τὸ δὲ ἅγιον Πνεῦμα « ἅγιον Θεοῦ Πνεῦμα, ἀεὶ ὂν σὺν Πατρὶ καὶ Υἱῷ, « οὐκ ἀλλότριον Θεοῦ, ἀπὸ Θεοῦ δὲ ὄν, ἀπὸ Πατρὸς « ἐκπορευόμενον, καὶ διὰ τοῦ Υἱοῦ λαμβάνον. »

B

Ἐπίστασις.

A Cyrillus, Nyssenus Gregorius, sapiens Joannes nec contra hiscere auderet, sed modis omnibus enuntiaret, pari modo ex Filio esse Spiritum : per Filium enim esse nec ipse negat; cum pares vires habeant præpositiones *ex* et *per*. Quod si veluti ex prima causa Filio quispiam dixerit, quod nullus ex Patribus asseruit, contra sese opponet, magnumque clamabit. Hæc cum in illud, « ex Filio Spiritum non dicimus, » alius quispiam in rebus divinis admodum præstans, et sublimis ingenii vir, ante nos interpretatus fuerit, nos nihil ultra addemus. Quod vero notas, verbis ipsissimis vetare sanctum, ne Filius dicatur causa, suadeant tibi, quæ multis in locis scriptorum dicta inspersa sunt, patefacientia, Patrem omnium causam esse, B omniumque principium, non ad excludendum Filium illa proferri, sed ad manifestandum eumdem ipsum Patrem principium, originem, et causam omnium esse, licet per Filium universa dicantur esse. Et hanc sententiam confirmat idemmet sanctus in eadem pericope dicens; Filium vero non dicimus causam, neque Patrem, id plane nec aliud insinuans : Filius vero uti Pater non est, neque causa uti Pater est : non est nempe ipse causæ origo, et principium.

Ἐκ τοῦ ιγ' κεφαλαίου τοῦ περὶ θείων ὀνομάτων.

Ejusdem ex decimo tertio capite de divinis nominibus.

PMB'. « Ὅταν γὰρ ἐννοήσω μίαν τῶν ὑποστάσεων, « τέλειον Θεὸν αὐτὴν οἶδα, τελείαν οὐσίαν. Ὅταν δὲ « συνάψω καὶ συναριθμήσω τὰ τρία, ἕνα Θεὸν οἶδα « τέλειον. Οὐ σύνθετόν ἐστιν ἡ θεότης, ἀλλ' ἐν τρισὶ « τελείοις ἓν τέλειον, ἁμερὲς καὶ ἀσύνθετον. Ὅταν « δὲ τὴν πρὸς ἄλληλα σχέσιν τῶν ὑποστάσεων ἐννοήσω, οἶδα ὅτι ἐστὶν ὁ Πατὴρ ὑπερούσιος, ἥλιος, « πηγὴ ἀγαθότητος, ἄβυσσος οὐσίας, λόγου, σοφίας, « δυνάμεως, φωτὸς, θεότητος πηγὴ γεννητικὴ καὶ « προβλητικὴ τοῦ ἐν αὐτῇ κρυφίου ἀγαθοῦ. Αὐτὸς « μὲν οὖν ἐστι νοῦς, ἄβυσσος, Λόγου γεννήτωρ, καὶ « διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος, « καὶ ἵνα μὴ πολλὰ λέγω, οὐκ ἔστι τῷ Πατρὶ Λόγος, « σοφία, δύναμις, θέλησις εἰ μὴ ὁ Υἱὸς, ὃς ἐστιν ἡ « μόνη δύναμις τοῦ Πατρὸς, ἡ προκαταρκτικὴ τῆς « τῶν πάντων ποιήσεως. Οὗτος, ὡς τελεία ὑπόστα- « σις γεννώμενος, ὡς οἶδεν αὐτὸς, Υἱός ἐστί τε καὶ « λέγεται. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκφαντορικὴ τοῦ D « κρυφίου τῆς θεότητος δύναμις τοῦ Πατρὸς, ἐκ « Πατρὸς μὲν δι' Υἱοῦ ἐκπορευομένη, ὡς οἶδεν, οὐ « γεννητῶς. Διὸ καὶ Πνεῦμα ἅγιον τὸ τελεσιουργὸν « τῆς τῶν ἁπάντων ποιήσεως. Ὅσα γοῦν ἁρμόζει « αἰτίῳ, πατρὶ, πηγῇ, γεννήτορι, τῷ Πατρὶ μόνῳ « προσαρμοστέα· ὅσα δὲ αἰτιατῷ, γεννητῷ, Υἱῷ, « Λόγῳ, δυνάμει, προκαταρκτικῇ θελήσει, σοφίᾳ, « τῷ Υἱῷ· ὅσα δὲ αἰτιατῷ, ἐκπορευτῷ, ἐκφαντο- « ρικῷ, τελεσιουργικῇ δυνάμει, τῷ ἁγίῳ Πνεύματι. « Ὁ Πατὴρ, πηγὴ, αἰτία Υἱοῦ καὶ Πνεύματος. Ὁ « Υἱὸς Υἱὸς, Λόγος, σοφία, καὶ δύναμις, εἰκὼν, « ἀπαύγασμα, χαρακτὴρ τοῦ Πατρὸς, καὶ ἐκ τοῦ « Πατρὸς, οὐχ Υἱὸς δὲ τοῦ Πνεύματος. Τὸ Πνεῦμα « τὸ ἅγιον Πνεῦμα τοῦ Πατρὸς, ὡς ἐκ Πατρὸς

CXLII. « Nam cum unam ex tribus personis con- « sidero, perfectum Deum ac perfectam substan- « tiam agnosco, rursus cum tres personas connecto, C « simulque recenseo Deum unum perfectum agno- « sco. Neque enim compositum quiddam est divini- « tas : sed in tribus perfectis personis una perfecta, « simplex, ac divisionis expers natura. Cum deni- « que mutuam eam affectionem, quæ inter perso- « nas est, animo contemplor, illud compertum « habeo, Patrem superessentialem, solem esse, « bonitatis fontem, essentiæ, rationis, sapientiæ, « potentiæ, luminis, divinitatis abyssum, delitescen- « tis atque abstrusi in se boni genitricem, ac pro- « ductricem scaturiginem. Ipse quippe mens est, « rationis abyssus, Verbi genitor, explanantisque « Spiritus per Verbum productor. Ac, ne multa « dicam, Patri non aliud est Verbum, non alia « sapientia, vis ac voluntas præter Filium, qui D « sola est Patris potentia, a qua rerum omnium « procreatio initium accepit. Ad hunc modum, ut « perfecta persona ex perfecta persona genita quem- « admodum ipse novit, Filius est, ac dicitur. Ac « postremo Spiritus sanctus, Patris potentia est, « divinitatis latebram declarans, a Patre quidem « per Filium procedens, quo pacto id fiat, novit « ipse, non tamen gignendi modo. Unde etiam « Spiritus sanctus universi procreationem veluti « omnibus suis numeris absolvit. Quocirca ea « omnia, quæ causæ, parenti, fonti, genitori con- « veniunt, ea soli Patri accommodari debent : quæ « autem a causa profecto ac genito Filio, Verbo, « primordiali potentiæ, voluntati, sapientiæ qua-

Digitized by Google Распознавание текста ABK/FR

« drant, ea Filio tribuenda sunt : ea denique omnia quæ a causa per processionem mananti, atque obscura patefacienti et perficienti potentiæ congruunt, Spiritui soli assignare convenit. Ac « Pater quidem fons et auctor est, tum Filii tum Spiritus sancti : solius tamen Filii Pater, ac « Spiritus sancti productor. Filius autem, et Filius et Verbum, et sapientia et potentia, et imago, et « splendor, et character Patris est, et ex Patre. At Spiritus sanctus non Patris Filius, sed Patris « Spiritus est, ut qui ex Patre procedat. Nullus enim ad rem ullam sine Spiritu sancto impetus « esse potest. Qui Filii quoque Spiritus dicitur, non ut ex ipso, sed per ipsum ex Patre proce- « dens. Solus enim Pater causa est. »

Animadversio.

« Considerato diligenter, quæcumque per totam « hanc pericopem obscure forte videtur sanctus « scripsisse, in fine illius et declarasse, et expla- « nasse, et per hanc et prædigestam pericopem. « Quod enim in illa dixit : Ex Filio vero non dici- « mus Spiritum, in hac dilucidius explicavit dicens, « Et Filii Spiritus, non uti ex ipso, sed uti per « ipsum ex Patre procedens. Tandem illa quæ sub- « infert, Solus enim causa Pater, universam, ut « diximus, pericopem elucidarunt. »

Refutatio.

Vere quidem in fine adductæ pericopes apposita a sancto, declarationem eorum continent, quæ per universam dictam pericopem, nec non in præcedenti perobscure videtur scripsisse, non eo tamen modo, quem tua doctrina proponit, sed profundiori et exquisitiori. Nam cum in præcedente sanctus scripsisset, Ex Filio vero Spiritum non dicimus, volensque in dicta pericope exponere, illud, ex Filio, convellere quæ pessimus Eunomius decernebat, ex Filio antecedenter veluti ex prima causa et principio Spiritum asserens, non vero per Filium receptum : neque enim alio modo trium continuum, et commune, quod in natura est, conservatur, nisi Spiritus per Filium ex Patre procederet, pro claritate, et expositione, quæ forte obscure digesta antea fuere, subjunxit in dicta pericope, « non tanquam ex ipso. » Et una simul a te, qui legis, illud consideretur, uti ex prima causa et principio, sed uti per ipsum ex Patre procedens, qui cum addit : « Solus enim causa Pater, » manifestavit, non esse causam primarium Filium, eorum quorum ipse causa Pater est : itemque non esse primam causam, et principium Filium : non vero, ut quidam suspicati sunt, propterea sanctus dixit : « Ex Filio vero Spiritum non dicimus, » ut distingueret Filium a Patre. Nam si id esset, nunquam dixisset, non uti ex ipso, sed ut per ipsum procedens. Separatio enim Filii a Patre nunquam in exsistentia Spiritus a Patre, illud, per Filium, admitteret. Verumtamen illud, « Nemo bonus nisi unus Deus [21], » magnus Basilius, pro eo, nisi solus Pater, exponens, et plane dicens, dictionem denotare, primum bonum esse Patrem, et illud, « Nemo novit Filium nisi Pater [22], » et in illa interpretatione demon-

[21] Luc. XVIII, 19. [22] Matth. XI, 27.

« ἐκπορευόμενον. Οὐδεμία γὰρ ὁρμὴ ἄνευ Πνεύ- « ματος. Καὶ Υἱοῦ δὲ Πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, « ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. « Μόνος γὰρ αἴτιος ὁ Πατήρ. »

Ἐπιστασία.

« Ἐννόησον ἀκριβῶς, πῶς ὅσα δι' ὅλης τῆς πε- « ρικοπῆς ταύτης ἀσαφῶς τάχα φαίνεται γράψας « ὁ ἅγιος, ἐν τῷ τέλει ταύτης καὶ ἐσαφήνισε, καὶ « ἡρμήνευσε· διὰ ταύτης δὲ καὶ τὴν προλαβοῦσαν « περικοπήν. Ὁ γὰρ ἐν ἐκείνῃ εἶπεν, Ἐκ τοῦ Υἱοῦ « δὲ τὸ Πνεῦμα οὐ λέγομεν, ἐν ταύτῃ σαφέστερον « εἰρηκεν εἰπών, Καὶ Υἱοῦ Πνεῦμα οὐχ ὡς ἐξ « αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπο- « ρευόμενον. Ἡ δὲ τοῦ, Μόνος γὰρ αἴτιος ὁ Πα- « τὴρ, ἐπαγωγὴ, τὴν ὅλην, ὡς εἴπομεν, περικοπὴν « ἐσαφήνισεν. »

Ἀντίρρησις.

Ἀληθῶς μὲν τὰ ἐν τῷ τέλει τῆς ῥηθείσης περι- κοπῆς τῷ ἁγίῳ εἰρημένα σαφηνειάν τινα φέρουσι τῶν, ὅσα δι' ὅλης τῆς περικοπῆς ταύτης, ἀλλὰ δὴ καὶ τῆς προλαβούσης ἀσαφῶς τάχα φαίνεται γρά- ψας, πλὴν οὐχ ὡς ἡ σὴ διδάσκει ἐπιστασία, ἀλλὰ βαθύτερον ἄλλως καὶ ἀκριβέστερον. Εἰπὼν γὰρ ὁ ἅγιος ἐν τῇ προλαβούσῃ περικοπῇ, Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, καὶ θέλων ἐν τῇ ῥηθείσῃ περικοπῇ παραστῆσαι ὡς ἐκεῖνο τὸ, ἐκ τοῦ Υἱοῦ, ἀναιρεῖ, ὅπερ ὁ κάκιστος Εὐνόμιος ἐδογμάτιζεν, ἐκ τοῦ Υἱοῦ προηγουμένως ὡς ἐκ πρώτης αἰτίας καὶ ἀρχῆς λέγων τὸ Πνεῦμα, οὔμενουν τὸ ὡς διὰ τοῦ Υἱοῦ παραλαμβανόμενον· οὐδὲ γὰρ ἂν ἄλλως τὸ τῶν τριῶν συνεχὲς τε καὶ συμφυὲς τηρηθείη, εἰ μὴ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευό- μενον εἴη ἐπὶ σαφηνείᾳ καὶ ἑρμηνείᾳ τῶν τάχα ἀσα- φῶς προῤῥηθέντων ἐπήγαγεν ἐν τῇ ῥηθείσῃ περι- κοπῇ τὸ « οὐχ ὡς ἐξ αὐτοῦ. » Καὶ συνεπινοείσθω σοι τῷ ἀναγινώσκοντι τὸ, ὡς ἐκ πρώτης αἰτίας καὶ ἀρχῆς, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευό- μενον· προσθεὶς δὲ καὶ τὸ, « Μόνος γὰρ αἴτιος ὁ Πατήρ, » δεδήλωκεν ὡς οὐκ ἂν εἴη αἴτιον ἀρχικὸν ὁ Υἱὸς, ὧν αὐτοαίτιος ὁ Πατὴρ, καὶ ὡς οὐχὶ πρώτη αἰτία καὶ ἀρχὴ τοῦ Πνεύματός ἐστιν ὁ Υἱός· οὕμενοῦν, ὥς τινες ὑπειλήφασι, διὰ τοῦτο ὁ ἅγιος ἔφη, « ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, » ἵνα διαστείλῃ τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός. Εἰ γὰρ τοῦτ' ἦν, οὐκ ἂν ποτε ἔφη, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον. Ἡ γὰρ ἀπὸ τοῦ Πατρὸς διαστολὴ τοῦ Υἱοῦ, οὐκ ὂν ποτε ἐν τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος, παραδέξαιτο τὸ δι' Υἱοῦ. Ἀλλὰ καὶ τὸ, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεὸς, » ὁ μέγας Βασίλειος ἀντὶ τοῦ, Εἰ μὴ μόνος ὁ Πατὴρ, ἐξηγούμενος, καὶ σαφῶς λέγων, δήλωσιν ἔχειν τὸ

Digitized by Google Распознавание текста ABK/FR

ρῆμε τοῦ πρῶτον ἀγαθὸν εἶναι τὸν Πατέρα, καὶ τὸ, A strans, non ad discernendum Spiritum dictum esse,
« Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, » καὶ παρ- sed ad manifestandum, primo Patri Filii naturæ
ιστῶν ἐν ἐκείνῃ τῇ ἑρμηνείᾳ οὐκ εἰς διαστολὴν τοῦ cognitionem inesse : rursusque exponens illud,
Πνεύματος τοῦτο ῥηθῆναι, ἀλλ' εἰς δήλωσιν τοῦ « Neque Filius novit diem finis nisi Pater [22], » et
πρώτῳ τῷ Πατρὶ τὴν γνῶσιν τῆς τοῦ Υἱοῦ φύσεως in eo aperte enuntians, non Filium distingui a Patre,
ἐνυπάρχειν· καὶ πάλιν διερμηνεύων τὸ, « Οὐδ' ἐν ὁ sed Patri primam cognitionem attribui, quod ex
Υἱὸς ἔγω τὴν ἡμέραν τοῦ τέλους, εἰ μὴ ὁ Πατήρ, » Patre Filius cognoscendi facultatem habeat : hæc
καὶ ἐν τούτῳ διατρανῶν μὴ τὸν Υἱὸν διαστέλλεσθαι omnia magnus Basilius sua interpretatione ador-
ἀπὸ τοῦ Πατρὸς, ἀλλὰ τῷ Πατρὶ τὴν πρώτην γνῶ- nans tum in sua, quam ad Amphilochium scripsit
σιν προσμαρτυρεῖσθαι διὰ τὸ ἐκ Πατρὸς ἔχειν καὶ epistola, cujus illud principium est, A multis jam
τὸν Υἱὸν τὸ εἰδέναι· ταῦτα πάντα ὁ μέγας Βασίλειος quæritur de evangelico dicto, » tum in alia ad
ἐξηγητικῶς διερμηνεύων ἔν τε μιᾷ τῶν πρὸς Ἀμ- Cæsarienses epistola apologetica de sua secessione,
φιλόχιον ἐπιστολῶν, ἧς ἡ ἀρχὴ, « Ἐζητημένον ἤδη cujus principium, « Sæpius admiratus sum, quid
παρὰ πολλοῖς τὸ εὐαγγελικὸν ῥητὸν, » ἔν τε τῇ περὶ ergo nos passi estis, » dat intelligere eum, qui di-
τῆς ὑποχωρήσεως αὐτοῦ πρὸς τοὺς Καισαρεῖς ἀπο- cit, Solus causa Pater, nihil aliud innuere, nisi
λογητικῇ ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Πολλάκις ἐθαύ- B primam causam Patrem esse, veluti principium,
μασα τί ποτε πρὸς ἡμᾶς πεπόνθατε, » δίδωσι νοεῖν originem, et fontem causse eorum omnium quæ
ὡς ὁ λέγων, Μόνος αἴτιος ὁ Πατὴρ, οὐδὲν ἕτερον per Filium, et ex Filio esse dicantur, cum ad eum
δηλοῖ, ἀλλ' ἢ ὅτι πρῶτον αἴτιον ὁ Πατήρ ἐστιν, ὡς referantur. Cum enim ubicunque solus de Patre
ἀρχὴ, καὶ ῥίζα, καὶ πηγὴ τῆς αἰτίας πάντων τῶν διὰ dicitur, ad notandum primum Patrem accipitur,
τοῦ Υἱοῦ καὶ παρὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ λεγο- nihil differt, sola causa, aut prima causa Pater :
μένων, εἰς αὐτὸν ἀναφερομένων. Ἐπειδὴ γὰρ « Solus enim bonus Pater, quod primum bonum
ὑπουδήποτε τὸ μόνος λαμβάνεται ἐπὶ τοῦ Πατρὸς Pater sit. » Nam, ut cum magno Basilio loquamur,
εἰς δήλωσιν τοῦ πρῶτος ὁ Πατὴρ λαμβάνεται, οὐδὲν « dicens Filius, « Nemo bonus nisi unus Deus, »
διαφέρει λέγειν, μόνος αἴτιος ἢ πρῶτον αἴτιον ὁ non semetipsum extra naturam boni collocans,
Πατήρ. « Μόνος γὰρ ἀγαθὸς ὁ Πατὴρ, ὅτι πρῶτον illa profert, sed quoniam primum bonum Pater
ἀγαθὸν ὁ Πατήρ. » Κατὰ γὰρ τὸν μέγαν εἰπεῖν est, cum illi nemini primum subaudiatur, secun-
Βασίλειον, « λέγων ὁ Υἱὸς, « Οὐδεὶς ἀγαθὸς εἰ μὴ dum dici credimus. Rursumque, Solus novit Fi-
εἷς ὁ Θεὸς, » οὐχὶ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγα- lium Pater, quod primus novit Filium Pater. Nam
θοῦ φύσεως ταῦτα λέγει, ἀλλ' ἐπειδὴ τὸ πρῶτον Spiritus licet noverit una cum Patre Filium, atta-
ἀγαθὸν ὁ Πατὴρ, τῷ οὐδεὶς συνεπακουομένου τοῦ C men quia Pater primus novit, ipse quoque Filium
πρώτου, τὸ δεύτερον εἰρῆσθαι πιστεύομεν. Καὶ novit. Solus novit diem finis Pater, quod primus
πάλιν, « Μόνος οἶδε τὸν Υἱὸν ὁ Πατὴρ, ὅτι πρῶτος eum Pater novit; licet enim et Filius eum noverit
οἶδε τὸν Υἱὸν ὁ Πατήρ. Τὸ γὰρ Πνεῦμα, εἰ καὶ οἶδε cum Patre, attamen quia primus Pater novit, novit
σὺν τῷ Πατρὶ τὸν Υἱὸν, ἀλλὰ διὰ τὸ τὸν Πατέρα et ipse diem illum : cognitionem enim Filius ex
πρῶτον εἰδέναι, οἶδε καὶ αὐτὸ τὸν Υἱόν. Μόνος οἶδε Patre possidet. » Hæc verba omnia non mea sunt,
τὴν ἡμέραν τοῦ τέλους ὁ Πατὴρ, ὅτι πρῶτος οἶδεν sed terrarum orbis luminis magni Basilii, et aucto-
αὐτὴν ὁ Πατήρ. Εἰ γὰρ καὶ ὁ Υἱὸς οἶδε ταύτην σὺν ritas tanti Patris lectoribus suadeat fidem dictis
τῷ Πατρὶ, ἀλλὰ διὰ τὸν Πατέρα πρῶτον εἰδέναι, præstare.
οἶδε καὶ αὐτὸς τὴν ἡμέραν ταύτην. Τὸ γὰρ εἰδέναι ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἔχει. » Ταῦτα πάντα τὰ ῥήματα,
οὐκ ἐμὰ, ἀλλὰ τοῦ τῆς οἰκουμένης φωστῆρος Βασιλείου τοῦ πάνυ· καὶ παθέτω τοὺς ἐντυγχάνοντας τὸ
τοῦ Πατρὸς ἀξιόπιστον.

ΡΗΣΕΙΣ ΘΕΟΔΩΡΗΤΟΥ.

Τοῦ μακαρίτου Θεοδωρήτου ἀπὸ τοῦ ε' τῶν περὶ αἱρετικῆς κακομυθίας τόμων κεφάλαιον γ'.

ΡΜΓ'.* « Τὸ Πνεῦμα τοίνυν τὸ ἅγιον ἐκ τοῦ Θεοῦ « καὶ Πατρὸς ἔχειν τὴν ὕπαρξιν μεμαθήκαμεν. Ὁ « δὲ τῆς ὑπάρξεως τρόπος οὔτε τῇ κτίσει προσ- « ὁμοιοῖ, ἄκτιστον γὰρ τὸ πανάγιον Πνεῦμα, οὔτε « τῷ μονογενεῖ Υἱῷ. Οὐδεὶς γὰρ τῶν θεοφόρων γέν- « νησιν προσηγόρευσε τὴν τοῦ θείου Πνεύματος « ὕπαρξιν. Ἐκ μέντοι τοῦ Θεοῦ εἶναι αὐτὸ καὶ « θεῖον εἶναι οἱ ἱεροὶ διδάσκουσι λόγοι. Ὁ μὲν γὰρ « Δεσπότης Χριστὸς ταῦτα περὶ αὐτοῦ φησι· « Συμ- « φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ « ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς

DICTA THEODORETI.

Beati Theodoreti ex tomo quinto hæreticarum fabularum, cap. 3.

CXLIII. « Spiritum ergo sanctum ex Deo et « Patre exsistentiam habere didicimus. Exsistentiæ « autem modus neque creaturæ est similis : in- « creatus est enim Spiritus sanctus, nec unigenito « Filio : nullus enim sanctorum generationem « appellavit exsistentiam Spiritus divini. Ex Deo « quidem ipsum esse, et Deum esse docent sacræ « Scripturæ. Christus autem Dominus hæc de illo « dicit : « Expedit vobis ut vadam : si ego non « abiero, Paracletus non veniet ad vos [23]. » Et rur- « sus : « Cum autem venerit Paracletus, Spiritus

[22] Marc. XIII, 32. [23] Joan. XVI, 7.

Digitized by Google Распознавание текста АВК/FR

« veritatis, qui a Patre procedit, deducet vos in « omnem veritatem [25]. » In eo autem, quod dixit, « Ex Patre procedit, ostendit Patrem esse fontem « Spiritus. Et non dixit, *procedet*, sed *procedit*, « ostendens et naturæ identitatem, et substantiæ « indivisibilitatem, et indifferentiam, et unionem « personarum. Quod enim procedit, non potest ab « eo separari, a quo procedit. Divinus vero Apo- « stolus de Spiritu hæc dicit : « Spiritus enim om- « nia scrutatur, etiam profunda Dei [26]. » Ac ne « quis ignoratione esse scrutationem putaret, « subjunxit : « Nullus hominum novit, quæ sunt « hominis, nisi spiritus hominis, qui in ipso est : « ita et quæ Dei sunt nemo cognovit, nisi Spiritus « Dei [27]. »

Animadversio.

« Audito hunc quoque sapientissimum ac eruditissimum Patrem, non diversa ab aliis divinis « Patribus de processione Spiritus sancti decer- « nentem, docentemque eum ex Deo Patre exsi- « stentiam habere. »

Refutatio.

Eruditissimus ac sapientissimus hic vir, hic nihil habet, quod a veritate absonum sit, cum asserit, ex Deo et Patre Spiritum exsistentiam habere, ex quonam enim ille originem suam ac fontem agnosceret, nisi esset ex Patre? Verumtamen in suis adversus Cyrillum certaminibus, contra eumdem orbis terrarum lumen disputans blasphemiæ, ac impietatis notam inussit, si ille proprium Filii Spiritum dixit, veluti ex Filio, aut per Filium, Spiritum esse definiens. Attamen eruditissimus hic ac sapientissimus Theodoretus tantumdem ex illa sua in sanctum Cyrillum contentione in Ecclesia Dei demeruit, ob quam impietatis sanctum accusavit, si proprium Filii Spiritum dicit, veluti ex Filio aut per Filium exsistentiam haberet, ut et depositioni, et proscriptioni subactus fuerit, licet postea semetipsum, et sermones proprios, quos exsecrandæ contentionis studio effutierat, condemnans, ac ablegans, et anathematis diris devovens vix tandem receptus est.

Ex opere, cujus illa est inscriptio, « Eranista, sive Polymorphus. »

CXLIV. « A. Deum Verbum ex Patre et Deo « esse sacra dicit Scriptura. B. Vera dicis. A. Et « Spiritum sanctum similiter ex Deo esse docet. « B. In confesso est. A. At Deum quidem Verbum « Filium nominat unigenitum. B. Sic nominat. A. « Spiritum autem sanctum nunquam sic appella- « vit. B. Nusquam. A. Et tamen is quoque ex Patre « et Deo suam habet exsistentiam. B. Verum est. « A. Quoniam igitur confitemur ex Deo et Patre esse « et Filium et Spiritum sanctum, audesne unquam « Spiritum sanctum appellare Filium? B. Nequa- « quam. A. Quam ob rem? B. Quia in sacra Scri-

A « ὑμᾶς. » Καὶ πάλιν· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, « τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς « ἐκπορεύεται, ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλή- « θειαν. » Τῷ δὲ εἰπεῖν, ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, « ἔδειξε πηγὴν ὄντα τοῦ Πνεύματος τὸν Πατέρα. « Καὶ οὐκ εἶπεν *ἐκπορεύσεται*, ἀλλ' *ἐκπορεύεται*, « δεικνὺς καὶ τῆς φύσεως τὴν ταυτότητα, καὶ τῆς « οὐσίας τὸ ἄτμητον, καὶ τὸ διάφορον καὶ ἡνωμένον « τῶν ὑποστάσεων. Τὸ γὰρ ἐκπορευόμενον ἀχώρι- « στον ἐξ ἐκείνου, ἐξ οὗ ἐκπορεύεται. Ὁ δὲ θεῖος « Ἀπόστολος ταῦτα περὶ τοῦ Πνεύματος ἔφησε· « Τὸ δὲ Πνεῦμα πάντα ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ. » « Ὡς ἂν δὲ μή τις ἀγνοίᾳ ὑπολάβῃ τὴν ἔρευναν, ἐπή- « γαγεν· « Οὐδεὶς ἀνθρώπων οἶδε τὰ τοῦ ἀνθρώπου « εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου· » οὕτω καὶ τὰ B « τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. »

Ἐπιστασία.

« Ἄκουε καὶ τοῦ πολυμαθεστάτου καὶ σοφωτάτου « Πατρὸς τὰ αὐτὰ τοῖς λοιποῖς θείοις Πατράσι περὶ « τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως δογματί- « ζοντος, καὶ ἐκ Θεοῦ Πατρὸς ἔχειν τὴν ὕπαρξιν « τοῦτο διδάσκοντος. »

Ἀντίῤῥησις.

Ὁ πολυμαθέστατος καὶ σοφώτατος οὗτος ἐνταῦθα μὲν οὐδέν τι λέγει ἀπᾴδον τῇ ἀληθείᾳ, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἔχειν τὴν ὕπαρξιν λέγων τὸ Πνεῦμα. Πόθεν γὰρ ἂν καὶ εἴη ἔχον τὰς τοῦ εἶναι ἀρχὰς καὶ πηγάς εἰ μὴ ἐκ Πατρός; ἐν δὲ τοῖς κατὰ τοῦ μεγάλου Κυρίλλου ἀγῶσιν αὐτοῦ *κατ'* ἐκείνου τοῦ τῆς C οἰκουμένης φωστῆρος ἀγωνιζόμενος βλασφημίας δυσσεβείας γραφὴν τῷ ἁγίῳ προσῆψεν, ἐὰν ἴδιον Υἱοῦ ἐκεῖνος ἔφη τὸ Πνεῦμα, ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὸ Πνεῦμα θεολογῶν. Ὁ δὲ σοφώτατος οὗτος καὶ πολυμαθέστατος Θεοδώρητος τοσοῦτον τῆς κατὰ τοῦ ἁγίου Κυρίλλου ἀπώνατο ἔριδος, δι' ἣν καὶ δυσσεβείας τὸν ἅγιον ἔγραφεν, ἐὰν ἴδιον Υἱοῦ λέγει τὸ Πνεῦμα, ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς καὶ καθαιρεθῆναι καὶ ἀποκηρυχθῆναι, κἂν ὕστερον κατεγνωκὼς καὶ αὐτὸς ἑαυτοῦ, καὶ τοὺς οἰκείους λόγους ὅσοι τῆς θεοστυγοῦς ἔριδος ἀποσκευασάμενος, οὐ μὴν ἀλλὰ καὶ ταῖς τοῦ ἀναθέματος ἀραῖς καθυποβαλὼν, μόλις οὕτω προσδέδεκτο.

Τοῦ αὐτοῦ ἀπὸ τῆς πραγματείας, ἧς ἡ ἐπι- D *γραφή, « Ἐρανιστὴς, ἢ Πολύμορφος. »*

ΡΜΔ'. « Α. Τὸν Λόγον ἐκ τοῦ Πατρὸς εἶναι ἡ θεία « Γραφὴ λέγει. Β. Ἀληθῆ λέγεις. Α. Καὶ μέντοι « καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὡσαύτως ἐκ τοῦ Θεοῦ εἶ- « ναι διδάσκει. Β. Ὁμολόγηται. Α. Ἀλλὰ τὸν μὲν « Θεὸν Λόγον ὀνομάζει Υἱὸν μονογενῆ. Β. Οὕτως « ὀνομάζει. Α. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐδαμοῦ « προσηγόρευσεν. Β. Οὐ δῆτα. Α. Καίτοι ἐκ Θεοῦ « καὶ Πατρὸς καὶ τοῦτο ἔχει τὴν ὕπαρξιν. Β. Ἀλη- « θές. Α. Ἐπεὶ τοίνυν συνομολογοῦμεν ἐκ τοῦ Πα- « τρὸς εἶναι καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱὸν, τολμή- « σῃς ἂν ποτε Υἱὸν ὀνομάσαι τὸ πανάγιον Πνεῦμα; « Β. Οὐδαμῶς. Α. Διατί; Β. Ἐπείπερ οὐχ εὑρίσκω

[25] Joan. XI, 13. [26] I Cor. II, 10. [27] ibid. 11.

Digitized by Google Распознавание текста АВК/FR

« τὸ ὄνομα τόδε παρὰ τῇ θείᾳ Γραφῇ. Α. Ἀλλὰ γε- A « ptura hoc nomen non invenio. A. An vero ge-
« γεννημένον ; Β. Οὐδὲ τοῦτο. Α. Τοῦ δὴ χάριν ; Β. « nitum ? B. Nec hoc quidem. A. Quid ita ? B. Ne-
« Οὐκ ἐδιδάχθην οὐδὲ τοῦτο παρὰ τῆς Γραφῆς. Α. « que hoc a sacra Scriptura didici. A. Quod autem
« Τὸ δὲ μὴ γεγεννημένον μηδὲ ἐκτισμένον ποίας « nec genitum est, nec creatum, quam congruenter
« ἂν εἰκότως τύχοι προσηγορίας ; Β. Ἄκτιστον αὐτὸ « appellationem accipiet ? B. Increatum illud et
« καὶ ἀγέννητον ὀνομάζομεν. Α. Τὸ δὲ πανάγιον « ingenitum appellamus. A. Spiritum porro san-
« Πνεῦμα οὔτε μὴν ἐκτίσθαι οὔτε μὴν γεγεννῆσθαί « ctum nec creatum, nec genitum esse dicimus. B.
« φαμεν. Β. Οὐδαμῶς. Α. Καλέσαι γοῦν ἀγέννητον « Nullo modo. A. Audebis igitur Spiritum sanctum
« θαρρήσῃς ἂν τὸ Πνεῦμα τὸ ἅγιον ; Β. Οὐ δῆτα. « ingenitum appellare ? B. Nequaquam. A. Et cur
« Α. Καὶ τί δή ποτε μὴ καλεῖς ἀγέννητον τὸ ἄκτι- « ingenitum non vocas eum natum increatum, et
« στον, μηδαμῇ δὲ γεγεννημένον ; Β. Ὅτι τοῦτο οὐ « nullo modo genitum ? B. Quia hoc a sacra Scri-
« μεμάθηκα παρὰ τῆς θείας Γραφῆς, καὶ σφόδρα « ptura non didici, et valde reformido ea dicere,
« δειμαίνω λέγειν τὰ παρ' ἐκείνης σεσιγημένα. » « quæ ab illa silentio sunt præterita. »

Ἐπιστασία.

« Τὸ αὐτὸ κἀν τῇ παρούσῃ πραγματείᾳ τοῦ αὐ- B « Eadem in hoc quoque tractatu ejusdem addi-
« τοῦ μάνθανε, ἐκ τοῦ Πατρὸς ἔχειν δηλαδὴ τὸ « scito, ex Patre nempe suam habere exsisten-
« Πνεῦμα τὴν ὕπαρξιν. » « tiam. »

Ἀντίῤῥησις.

Ἀλλὰ καὶ σὺ τὴν αὐτὴν καὶ ἐπὶ τοῖς παροῦσιν ἀντίῤῥησιν δέχου, ἣν ἐπὶ τῇ προηγησαμένῃ ἐπιστασίᾳ ἐποιήσαμεν.

Refutatio.

Et tu quoque eamdem adversus similia refutationem excipito quam in præcedenti tua animadversione apposuimus.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ δευτέρου Λόγου τοῦ βιβλίου, οὗ ἡ ἐπιγραφὴ, Ἑλληνικῶν παθημάτων θεραπευτική.

Ejusdem ex secunda oratione operis, quod ille adversus gentilium affectiones therapeuticam præscripsit.

ΡΜΕ'. « Ἀλλὰ μὴ θορυβεῖσθε, ἐκ τοῦ Πατρὸς « καὶ σὺν τῷ Πατρὶ τὸν Λόγον ἀκούσαντές. Τῶν γὰρ « ἀποπωτάτων Πλάτωνος μὲν ἀνέχεσθε, καὶ αἴτιον « τῆς ὕλης τὸν Θεὸν λέγοντος, καὶ συναΐδιον τοῦ « Θεοῦ τὴν ὕλην ἀποκαλοῦντος, καὶ τὰς ἰδέας ἐκ τοῦ « Θεοῦ καὶ σὺν τῷ Θεῷ φάσκοντος εἶναι· τὸν δὲ τοῦ C « Θεοῦ Λόγον καὶ τὸ πανάγιον Πνεῦμα μὴ πεῖθεσθε « ἐκ τοῦ Θεοῦ φῦναι, καὶ σὺν τῷ Θεῷ εἶναι. Εἰ γὰρ « τὴν ἑτεροφυᾶ καὶ ἑτερογενῆ, καὶ ἀλλόφυλον ὕλην « καὶ ἐκ τοῦ Θεοῦ, καὶ ἐν τῷ Θεῷ εἶναι, ὁ φιλό- « σοφος ἔφη, πολλῷ δήπου εὐλογώτερον καὶ ἀλη- « θέστερον ὑπολειπτέον τὸν ἡμέτερον λόγον. Οὐδὲ « γὰρ ἑτεροφυᾶ τὸν Υἱὸν, οὐδὲ τὸ πανάγιον Πνεῦμά « φαμεν εἶναι, ἀλλὰ μίαν εἶναι τὴν οὐσίαν τῆς « Τριάδος κηρύττομεν. Εἰ δέ τις τῆς ὑπάρξεως τοῦ « Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπιζητεῖ τὸν τρό- « πον μαθεῖν, εἰπάτω δὴ πρότερος τὸν τρόπον τῆς « ἀγεννήτου ὑπάρξεως, πῶς ἐστιν ἔχων τὸ αἴτιον. « Τοῦτο γὰρ δὴ παντελῶς ἄπορον, καὶ μόνῃ γε τῇ « φύσει τῇ καθαρᾷ καὶ ἀκραιφνεῖ χωρητόν. Τὸ μὲν « γὰρ ἐξ αἰτίου γενέσθαι τι, ἢ γεννητὸν ἢ κτιστὸν, D « δέξαιτ' ἂν ῥᾳδίως ὁ λογισμός· τὸ δὲ εἶναί τινα « ἄτερ αἰτίου οὐδὲ προσίεται λογισμὸς, εἰ μὴ ἄρα « φανῇ τῆς πίστεως τὸ ἐχέγγυον. Εἰ δὲ πιστεύομεν « εἶναί τι καὶ ἀγέννητον καὶ ἄναρχον, καὶ ἀναίτιον, « πιστευτέον ἄρα ὡς ἐκ τούτου, νοῦ ὄντος ἐγεννήθη « Λόγος, καὶ προῆλθε τὸ Πνεῦμα τὸ ἅγιον. »

145. « Nulla vos autem, quæso, hic perturbatio « subeat, quod dici auditis, Verbum et ex Patre « gigni, et cum Patre esse. Quæ sunt enim apud « Platonem insulsissima, æquis animis auribus- « que accipitis. Ille enim et Deum materiæ aucto- « rem, et tamen Deo coæternam materiam esse « affirmat. Idemque ideas ex Deo et cum Deo « constituit. Vos autem Verbum Dei, sanctumque « Spiritum neque ex Deo prodire, neque esse cum « Deo creditis. Si enim materiam, quæ alterius est « naturæ quam Deus, generisque alterius, ac, uti « ita dixerim, alienigena et extraria, et ex Deo et « cum Deo esse vult Plato, multo magis rationi « consentaneus, multoque verior sermo noster « putandus est. Neque enim Filium alterius « naturæ, neque sanctum Spiritum esse dicimus, « sed unam Trinitatis substantiam prædicamus. Si « quis autem vestrum scire desiderat, quonam « substantiæ modo sit Filius et Spiritus sanctus, « æquum sane est, ut is prior quærenti mihi re- « spondeat, quem essendi modum habere possit « quod non est genitum. Quo pacto, inquam, est, « quod nullam habet, unde sit, causam. Hæc enim « quæstio prorsus est dubia, solaque fidei puritate « ac sinceritate capienda. Fieri enim ac gigni « præcedente causa quippiam eorum, quæ gigni et « creari possunt, humana ratio facile admittit : « esse vero aliquid quod non emanat a causa, nulla ratio assentitur : nisi forte interventus « fidei ac sponsio intercedat. Quodsi esse aliquid credendum est, nec ullo modo genitum, nec a « causa profectum, nec ab ullo pendens superiore principio ; credendum utique erit ab hoc ipso, « quod intellectus sit, genitum esse Verbum, sanctumque processisse Spiritum. »

Ἐπιστασία.

« Πρόσσχες πῶς καὶ οὗτος ὁ μακάριος τὸ ἐκ τοῦ « Θεοῦ ἀντὶ τοῦ Πατρὸς ἐκλαμβάνεται ἐν οἷς λέγει « καὶ τὸν τοῦ Θεοῦ Λόγον καὶ τὸ πανάγιον Πνεῦμα

Animadversio.

« Attendito quomodo et hic beatus illud ex Deo « pro Patre accipiat, cum dicit, Dei Verbum et « sanctissimum Spiritum, ex Deo prodire, et cum

Digitized by Google Распознавание текста АВК/FR

« Deo esse : cum vero subobscure prodire posue- A « ἐκ τοῦ Θεοῦ φῦναι, καὶ σὺν τῷ Θεῷ εἶναι. Ἀσα-
« rit, in his, quæ sequuntur, manifesto declaravit, « φῶς δὲ τὸ φῦναι τεθειχὼς, παρακατιὼν ἐσαφήνι-
« cum dicit, Ab hoc ipso, quod intellectus est, « σεν, εἰπὼν, « Ἐκ τούτου γε τοῦ ὄντος ἐγεννήθη
« genitum esse Verbum, et Spiritum sanctum « Λόγος, καὶ προσῆλθε τὸ Πνεῦμα τὸ ἅγιον. »
« processisse. »

Refutatio.

Qui ex Patre dicit prodire Spiritum, indeque ex Patre Filius exsistentiam connotat, næsis plane non contradicit, asserenti Spiritum ex Filio quoque prodire, indeque decernenti, etiam ex utroque illum esse. Verum hic adnotanda sunt, quæ tu ipse affirmas, Verbum esse simul cum Patre et ex Patre tanquam quæ plurimum conducunt adversus eos, qui contendunt non posse simul cum Filio et per Filium esse Spiritum sanctum.

Ἀντίῤῥησις.

Ὁ προελθεῖν ἐκ τοῦ Πατρὸς λέγων τὸ Πνεῦμα, καὶ ἐντεῦθεν τὴν ἐκ Πατρὸς αὐτοῦ δηλῶν ὕπαρξιν, ἀντιλέγειν οὐκ ἔχει τῷ προέρχεσθαι λέγοντι τῷ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ἐντεῦθεν δογματίζοντι, καὶ ἐξ ἀμφοῖν εἶναι αὐτό. Δεῖ δὲ σημειοῦσθαι καὶ ὅσα ἐνταῦθα ἔφης περὶ τοῦ εἶναι τὸν Λόγον ἅμα τῷ Πατρὶ, καὶ ἐκ τοῦ Πατρὸς, ὡς ἁρμόζοντα κατὰ τῶν διενισταμένων, μὴ δύνασθαι ἅμα Υἱῷ καὶ διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα.

Ex eodem.

146. « Si itaque esse aliquid affirmamus ingeni- B « tum, nullaque profectum a causa, idque Parme- « nidæ quidem sententia mundum esse ; Platonis « autem, Timæique Locrensis, ac Plutarchi, nostra- « que adeo ipsorum sententia dicimus, Deum esse « opificem rerum omnium jam multo credibilius « loquetur quisquis asserat, ex eo, qui sit inge- « nitus, manare Verbum ac sanctum Spiritum : « Verbum quidem ut genitum ab intellectu, Spiri- « tum vero ut procedentem : ipsi enim Verbo « Spiritus comprogreditur, non tamen ut Verbo « congenitus, sed qui simul cum Verbo sit, conse- « claque sit Verbi, atque procedat. Neque vero « Spiritum sanctum spiramen esse aliquod oris C « dicimus : Deus enim nec compositionem patitur « nec figuram : neque verbum intelligimus quale « nostrum est, quod loquentibus nobis per aerem « diffunditur ; sed Verbum quod inest substantiali- « ter, ac Spiritus qui ad hypostasim pertinet. Quæ « duo in Patre considerantur, et seorsum per se « ipsa singillatimque creduntur : eademque et con- « juncta sunt, et discreta. Unita quidem, eo quod ejusdem naturæ sint : proprietate vero differentia, « singillatim seorsumque intellecta. Hæc autem ipsa nequaquam exacte quisquam percipiet, nisi « in sacrarum Litterarum studiis versatus fuerit, ac nisi scientiæ hujus lumen divina collatum « gratia acceperit. »

Ἐκ τοῦ αὐτοῦ.

PMQ'. « Εἰ τοίνυν φαμὲν εἶναί τι ἀγέννητον καὶ « ἀναίτιον κατὰ μὲν Παρμενίδην τὸν κόσμον, κατὰ « δὲ Πλάτωνα, καὶ Τίμαιον τὸν Λοκρὸν, καὶ Πλού- « ταρχον καὶ ἡμᾶς αὐτοὺς τὸν θεῶν ἁπάντων δη- « μιουργὸν, πολλῷ τούτου πιθανώτερον τὸ φάναι ἐξ « ἐκείνου γε τοῦ ἀγεννήτου καὶ τὸν Λόγον φῦναι καὶ « τὸ πανάγιον Πνεῦμα, τὸ μὲν ὡς Λόγον, ἐκ τοῦ « νοῦ γεννώμενον, τὸ δὲ ὡς Πνεῦμα ἐκπορευόμενον. « Συμπρόεισι γὰρ τῷ Λόγῳ τὸ Πνεῦμα, οὐ ξυγγεν- « νώμενον, ἀλλὰ ξυνὸν καὶ παρομαρτοῦν καὶ ἐκπο- « ρευόμενον. Ἀλλ' οὔτε τὸ Πνεῦμα πνοήν τινα στό- « ματος εἶναί φαμεν· ἀξύνθετον γὰρ τὸ θεῖον καὶ « ἀσχημάτιστον· οὔτε τὸν λόγον τοῦτον τὸν εἰς ἀέρα « χεόμενον, ἀλλ' ἐνούσιον λόγον, καὶ ἐνυπόστατον « Πνεῦμα, καὶ ἐν τῷ Πατρὶ θεωρούμενον, καὶ καθ' « ἑαυτὸν πιστευόμενον· ξυνημμένα τε καὶ διῃρημένα, « τῷ μὲν ταυτῷ τῆς φύσεως ἠνωμένα, τῇ δὲ τῶν « ἰδιοτήτων διαφορᾷ καὶ καθ' ἑαυτὰ νοούμενα. Καὶ « οὐκ ἔστι μαθεῖν ἀκριβῶς τὸν μὴ τοῖς θείοις ἐν- « τετυχηκόσα βιβλίοις, καὶ τὸ τῆς πίστεως φῶς « παρὰ τῆς θείας ἐπιδεξάμενον χάριτος. »

Animadversio.

« Hic item eadem doctrina deprehenditur, ex « uno scilicet Patre Filium et Spiritum progre- « di, et eadem dictionis progredi explicatio. D « Verum in hac pericope est quoque aliquid, ut « ego reor, dilucidius. Hic enim rerum divinarum « scientia præcelebris vir dum præfinit cum Filio « et Verbo provenire sanctissimum Spiritum, pa- « lam os obstruit eorum qui asseverant ipsum ex « Filio quoque procedere. Quomodo enim et « quando cum eo procedet, cum quo pregreditur ? « Addiscito præterea beatum hunc doctorem, non « aliena a divo Damasceno præscribere, vel potius « hunc ab illo cum hic ætate illo posterior sit. Hic « enim cum *comprogreditur* scripsisset, ille pro- « priis scriptis inseruit : Simul Filii generatio, et « Spiritus processio. Quare nos et in illa et hac « pericope idem adnotavimus. »

Ἐπιστασία.

« Κἀνταῦθα ἡ διδασκαλία ἡ αὐτὴ περὶ τοῦ ἐξ « ἑνὸς τοῦ Πατρὸς δηλονότι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα « φῦναι, καὶ ἡ αὐτὴ τοῦ φῦναι σαφήνεια. Ἔστι δ' « ἐν τῇ παρούσῃ περικοπῇ καί τι γλαφυρώτερον, « ὡς ἔμοιγε τέως νομίζεται. Δογματίσας γὰρ οὗτος « ὁ τὰ θεῖα σοφὸς ὅτι τὸ πανάγιον Πνεῦμα τῷ Υἱῷ « καὶ Λόγῳ συμπρόεισι, φανερῶς ἐπιστομίζει τοὺς « καὶ ἐκ τοῦ Υἱοῦ λέγοντας αὐτὸ ἐκπορεύεσθαι· « πῶς γὰρ καὶ πότε τοῦ, ᾧ συμπρόεισιν ἐκπορεύ- « εται; Καταμάνθανε δὲ τὸν μακάριον τοῦτον δι- « δάσκαλον τὰ αὐτὰ τῷ θείῳ Δαμασκηνῷ δογματί- « ζοντα, ἢ μᾶλλον ἐκεῖνον τούτῳ, ὡς προγενεστέρῳ « μετάχρονον. Τούτου γὰρ τὸ συμπρόεισι γράψαν- « τος, ἐκεῖνος ἐν τῇ οἰκείᾳ γραφῇ τέθεικε τὸ, Ἅμα « ἡ τοῦ Υἱοῦ γέννησις καὶ ἡ τοῦ Πνεύματος ἐκπό- « ρευσις. Διὸ καὶ ἡμεῖς τὸ αὐτὸ καὶ ἐν ἐκείνῃ τῇ « περιχωρῇ καὶ ἐν ταύτῃ ἐπεσημειωσάμεθα. »

Digitized by Google Распознавание текста АВК/FR

Ἀντίῤῥησις.

Τὸ δοκοῦν σοι ἐνεῖναι τῇ ῥηθείσῃ περικοπῇ γλαφυρὸν ὑπόψιον ἔχει τὸν ἔλεγχον. Λέγεις γάρ, Εἰ συμπρόεισι τῷ Υἱῷ τὸ Πνεῦμα, πῶς καὶ πότε τοῦ ᾧ συμπρόεισιν ἐκπορεύεται ; καὶ δοκεῖ σοι ἀδύνατον τάχα σὺν τῷ Υἱῷ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ. Ἀλλ' ἐπιστομίσει σε ὁ ἐρωτήσων, Καὶ πῶς καὶ πότε διὰ τοῦ ᾧ συμπρόεισιν ἐκπορεύεται ; Οὐ γὰρ ἀπαρνήσῃ καὶ τὸ διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, καὶ τοῖς εἰς τὸν σὸν ἔλεγχον λόγοις, οὐκ ἄλλοθεν χρήσεται, ἀλλ' ἐξ ὧν ὁ παρὰ σοὶ μακάριος Θεοδώρητος ἐν τοῖς ἤδη προῤῥηθεῖσιν εἰρήκει, μὴ θορυβεῖσθαι ὑποτιθέμενος τοὺς ἐκ τοῦ Πατρὸς καὶ σὺν τῷ Πατρὶ τὸν Λόγον ἀκούοντας. Ὡς γὰρ ἐκεῖ συναΐδιος ἀποδείκνυται ὁ Υἱὸς τῷ Πατρὶ μηδενὸς χρόνου ἐπινοουμένου μέσον τοῦ αἰτίου Πατρὸς καὶ τοῦ αἰτιατοῦ Υἱοῦ, οὕτω καὶ τὸ Πνεῦμα συναΐδιον εἶναι πιστεύεται Υἱῷ καὶ Πατρὶ, μηδενὸς χρόνου ἐπινοουμένου μέσον αὐτοῦ καὶ Υἱοῦ, διὰ τὸ εἶναι αὐτὸ δι' Υἱοῦ ἐκπορευτὸν ἐκ Πατρός.

A

B

Refutatio.

Quod tibi dilucidum videtur in hac pericope, præsente refutatione refellitur. Namque asseris : Si comprogreditur Filio Spiritus, quomodo et quando ex eo, cum quo simul progreditur, procedit? ideoque forte tibi videtur haud fieri posse, ut cum Filio sit Spiritus, et ex Filio ; sed os tibi obstruet, qui interrogaverit, Quomodo et quando per Filium, cum quo progreditur, procedit? Neque enim inficias iveris, eum per Filium procedere, tandem ex tua responsione rationes, nec aliunde petitas usurpabit, et quas beatus Theodoretus, in jam allatis verbis attulit : non turbandos esse, qui audiunt ex Patre, et cum Patre Verbum esse. Quemadmodum enim in illis cœternus ostenditur Filius Patri, et nullum intelligitur tempus, quod mediet inter causam Patrem, et Filium causatum, pari modo, et Spiritus cœternus esse creditur Filio, et Patri, nullumque tempus medium esse inter Ipsum et Filium, cum ipse per Filium ex Patre procedat.

ΡΗΣΕΙΣ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΔΙΑΛΟΓΟΥ.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου, ἀπὸ τῆς εὐχῆς τῆς κατὰ τὴν Πεντηκοστὴν ἀναγινωσκομένης.

DICTA GREGORII DIALOGI.

S. Gregorii Dialogi ex Oratione, quæ in die festo Pentecostes legitur.

ΡΜΖ'. « Τὰ νοήματα ἡμῶν, δεόμεθα, Κύριε, τὸ « Πνεῦμα τὸ ἅγιον, τὸ παρὰ σοῦ ἐκπορευόμενον, « φωτίσαι καὶ ὁδηγῆσαι εἰς πᾶσαν, καθὼς ὁ σὸς « ὑπέσχετο Υἱὸς, τὴν ἀλήθειαν. »

147. « Cogitationes nostras, quæsumus, Domine, « Spiritus sanctus, qui a te procedit, illuminet, et « producat in omnem, ut tuus promisit Filius, « veritatem. »

Ἐπισταστία.

« Εἰ μὴ τοῖς ἄλλοις κἂν τούτῳ τῷ θείῳ Πατρὶ « πίσθητι, μὴ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντι ἐκ- « πορεύεσθαι, ὑμετέρῳ πάντως ὄντι βλαστῷ καὶ ἐγ- « χωρίῳ, καὶ τῆς ἐν τῇ παλαιᾷ Ῥώμῃ ἁγίας Ἐκ- « κλησίας ἀρχιποίμενι. Τοῦτο δὲ φανερῶς παρίστα- « ται ἐκ τοῦ τὸν ἅγιον τὸ, Καθὼς ὁ σὸς Υἱὸς ὑπέ- « σχετο, ἐπαγαγεῖν. Ἵνα γὰρ μὴ λόγων λαβὰς τὸ « Κύριε, ψιλῶς οὕτω κείμενον, δώσει σοι, διὰ τῆς « τοιαύτης ἐπαγωγῆς, ἀριδήλως καὶ σαφῶς τὸ πρὸς « τὸν Πατέρα τὴν εὐχὴν ποιεῖσθαι διδάσκει σε. »

C

Animadversio.

« Et si nullus alius, hic saltem divinus Pater « persuadeat, cum asserit Spiritum ex Filio non « procedere, qui vestrum prorsus germen est, et « indigena, et veteris, quæ Romæ est, sanctæ Ec- « clesiæ archiprælsul. Hoc vero palam inde elicitur, « dum sanctus illud, Uti tuus Filius promisit, sub- « intulit. Ne enim tibi contentionis ansam præberet « illud, Domine, nude prolatum ac positum, hac « adjectione manifesto clareque ad Patrem preca- « tionem dirigere, docet. »

Ἀντίῤῥησις.

Παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα ὁ ἅγιος ἔφη, καὶ σὺ προστίθεις τὸ, « μὴ ἐκ τοῦ Υἱοῦ. » Ἀλλ' ἴσθι ὡς ὁ λέγων ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, οὐκ ἀναιρεῖ τὸ, Δι' Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι, διὰ τὸ μὴ δύνασθαι ἄλλως νοεῖσθαι τὸ τῶν τριῶν συνεχές τε καὶ συμφυές. Εἰ δὲ πᾶν τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐξ ἀμφοῖν ἐστι, σκιαμαχεῖν ἴσθι τοὺς ἀντιλέγοντας τοῖς ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα λέγουσιν ἐκπορεύεσθαι, διὰ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι.

D

Refutatio.

A Patre Spiritum procedere sanctus asseruit, tu vero addis de tuo, « *non ex Filio.* » Verumtamen scito asserentem ex Patre Spiritum procedere, non inficias ire, per Filium ipsum procedere, quod fieri nequit, ut aliter intelligatur trium continuitas, et in natura communitas ac unitas. Quod si quidquid ex Patre est per Filium, ex utroque est, scito cum umbra digladiari ac depugnare eos, qui contradicunt dicentibus ex Patre et Filio Spiritum procedere, dum ille ex Patre per Filium procedit.

Τοῦ αὐτοῦ ἐκ τοῦ τέλους τῆς βίβλου αὐτοῦ.

Ex fine ejusdem libri.

ΡΛΗ'. « Τὸ Παράκλητον Πνεῦμα ἐκ τοῦ Πατρὸς « προέρχεται, καὶ ἐν τῷ Υἱῷ διαμένει. »

148. « Paracletus Spiritus ex Patre progreditur, « et in Filio permanet. »

Ἐπισταστία.

« Ἄκουε πῶς κἀνταῦθα ὁ μέγας τῆς Ῥωμαίων « οὗτος φωστὴρ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι δι- « δάσκει, ἐν δὲ τῷ Υἱῷ διαμένειν τὸ Πνεῦμα τὸ

Animadversio.

« Audi hic quoque magnum hoc Ecclesiæ Ro- « manæ lumen, ex Patre Spiritum sanctum procc- « dere, in Filio vero permanere insinuare. Si ita-

Digitized by Google Распознавание текста АВК/FR

« que, ut tu dicis, etiam ex Filio procedit, quam « ob causam id divinus hic doctor silentio præter- « iit? »

Refutatio.

Ne id consideres, si etiam ex Filio Spiritus procedit, quare id divinus hic doctor silentio præteriit. In diversis siquidem nostris refutationibus hujusce causa assignata est. Sed illud animo aperto volvito, quod, quod hic dicitur *prodire*, te per verbum *procedere* expressisse. Quare tibi in posterum fas non fuerit, discrimen aliquod inter *progredi* et *procedere* in progressione Spiritus constituere.

AUGUSTINI DICTA.

Sancti Augustini ex libro, qui Enchiridion nuncupatur. Cap. 1.

CXLIX. « Satis est Christiano rerum creaturarum « causam, sive cœlestium, sive terrestrium, sive « visibilium, sive invisibilium, nonnisi bonitatem « credere Creatoris, qui unus et verus est Deus : « nullamque esse naturam, quæ non aut ipse sit, « aut ab ipso : eumque esse Trinitatem, Patrem « scilicet et Filium a Patre genitum, et Spiritum « sanctum ab eodem Patre procedentem. »

Animadversio.

« Quid hic ais, qui multas sanctissimo Spiritui « processiones elargiris? Vestræ gregis et hic pror- « sus pastor est. Audi saltem hunc, sodes, precor, « non tantum simpliciter Spiritum ex Patre proce- « dere edocentem, sed adjicientem et illud ab « eodem : hinc ab alio prohibentem, quemadmo- « dum et in aliis quoque adnotavimus. »

Refutatio.

Hic sanctus asserens, Spiritum ab eodem Patre procedere aperte constabilit, Spiritum non esse ex alio principio, quod alienæ essentiæ sit : idque confirmant etiam de Filio asserentes Filium ex solo Patre, nec ab alio esse; neque ex alia essentia, aut hypostasi propriam habere subsistentiam. Cæterum in aliis beati hujusce enuntiatis scito contineri, ex Filio Spiritum procedere.

HIERONYMI DICTA.

Sancti Hieronymi ex expositione Symboli ad Damasum.

CL. « Credimus in Spiritum sanctum, verum « Deum ex Patre procedentem, æqualem in omni- « bus Patri et Filio. »

Animadversio.

« Salvator in Evangelio docuit, in ore duorum « vel trium testium esse omne verbum ; et nos « de sanctissimi Spiritus ex solo Patre processione, « tot tibi testes adduximus, tandemque ex vestris « regionibus tres, qui ante tot sæcula præsulatus « dignitate præfulsere. Tu porro illis fidem adhi- « bens, vel additionem, quæ undenam irrepserit, « ἅγιον. Εἰ γοῦν, ὡς σὺ φῄς, καὶ ἐκ τοῦ Υἱοῦ ἐκπο- « ρεύεται, πῶς τοῦτο παρεσιώπησεν ὁ θεῖος οὗτος « διδάσκαλος ; »

Ἀντίῤῥησις.

Μὴ τοῦτο σκόπει, ὡς εἴπερ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα, πῶς τοῦτο παρεσιώπησεν ὁ θεῖος οὗτος διδάσκαλος. Ἐν γὰρ διαφόροις ἡμῶν ἀντιῤῥήσεσιν ὁ περὶ τούτου λόγος ἐδόθη σοι, ἀλλὰ πρόσεχε ἀκριβῶς ὅτι τὸ *προέρχεται* ἐνταῦθα ἐκπορεύεται εἶπας αὐτός. Καὶ οὐκέτι σοι ἐξέσται διαφορὰν λέγειν τοῦ *ἐκπορεύεσθαι* καὶ *προέρχεσθαι* ἐπὶ τῇ προόδῳ τοῦ Πνεύματος.

ΡΗΣΕΙΣ ΑΥΓΟΥΣΤΙΝΟΥ.

Τοῦ ἁγίου Αὐγουστίνου ἀπὸ τοῦ βιβλίου τοῦ λεγομένου Ἐγχειρίδιον. Κεφάλαιον α'.

ΡΜΘ'. « Ἀρκετόν ἐστι τῷ Χριστιανῷ, τῶν κτι- « στῶν πραγμάτων τὴν αἰτίαν, εἴτε οὐρανίων εἴτε « ἐπιγείων, εἴτε ὁρατῶν εἴτε ἀοράτων, μηδεμίαν « εἶναι, ἀλλ' ἢ τὴν ἀγαθότητα πιστεύειν τοῦ ἀκτί- « στου, ὅς ἐστι Θεὸς ἀληθινὸς εἷς, καὶ οὐδεμίαν « εἶναι φύσιν, ἥτις ἢ αὐτὸς οὐκ ἔστιν, ἢ ἀπ' αὐτοῦ, « αὐτόν τε εἶναι Τριάδα, Πατέρα δηλονότι καὶ Υἱὸν « ἐκ Πατρὸς γεννηθέντα, καὶ Πνεῦμα ἅγιον ἐξ αὐ- « τοῦ τοῦ Πατρὸς ἐκπορευόμενον. »

Ἐπίστασις.

« Τί λέγεις ὁ τὰς πολλὰς ἐκπορεύσεις τῷ πα- « ναγίῳ Πνεύματι θέλων χαρίζεσθαι; Τῆς καθ' « ἡμᾶς ἀγέλης πάντως ποιμὴν καὶ οὗτος. Ἄκουσον « γοῦν κἂν τούτου, παρακαλῶ, μὴ μόνον οὕτως « ἁπλῶς ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα « διδάσκοντος, ἀλλὰ προστιθέντος καὶ τὸ ἐξ αὐτοῦ· « κἀντεῦθεν τὸ ἐξ ἑτέρου ἀπαγορεύοντος, καθὼς « καὶ ἐν ἑτέροις ἐπεσημειωσάμεθα. »

Ἀντίῤῥησις.

Ἐνταῦθα μὲν λέγων ὁ ἅγιος τὸ Πνεῦμα ἐξ αὐτοῦ τοῦ Πατρὸς ἐκπορεύεσθαι, παρίστησιν ἐναργῶς μὴ ἐκ τινος ἑτεροουσίου τὸ Πνεῦμα εἶναι ἀρχῆς, ὅπερ καὶ περὶ τοῦ Υἱοῦ παριστῶσιν οἱ λέγοντες ἐκ μόνου τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι, καὶ οὐκ ἄλλοθεν, οὐδὲ ἐξ ἑτέρας τινὸς οὐσίας ἢ ὑποστάσεως τὴν οἰκείαν αὐτὸν ἔχειν ὑπόστασιν. Ἐν ἄλλαις δὲ τῶν τοῦ μάκαρος τούτου θεολογιῶν ἴσθι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντα αὐτὸν ἐκπορεύεσθαι.

ΡΗΣΕΙΣ ΙΕΡΩΝΥΜΟΥ.

Τοῦ ἁγίου Ἱερωνύμου ἐκ της πρὸς Δάμασον ἐξηγήσεως τοῦ ἁγίου Συμβόλου.

ΡΝ'. « Πιστεύομεν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, θεὸν « ἀληθινὸν, ἐκ Πατρὸς ἐκπορευόμενον, ἴσον κατὰ « πάντα τῷ Πατρὶ καὶ τῷ Υἱῷ. »

Ἐπίστασις.

« Τοῦ Σωτῆρος ἐν Εὐαγγελίοις διδάξαντος ἐνώ- « πιον δύο ἢ τριῶν μαρτύρων ῥῆμα πᾶν ἵστασθαι· « ἡμῶν δὲ τοσούτους παρεισαγόντων σοι μάρτυρας, « περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκ μόνου τοῦ « Πατρὸς ἐκπορεύσεως, τέως δὲ καὶ τρεῖς ὑμετέρων « χωρῶν πρὸ τόσων ἀμνημονεύτων ἐτῶν ἀρχιερα- « τεύσαντας, ἢ τούτοις πειθεῖς, τοῦ ἱεροῦ Συμ-

Digitized by Google Распознавание текста ABK/FR

« δῆλον τὴν οὐκ οἶδα πόθεν ἢ παρὰ τίνος παρεντε- A
« θεῖσαν προσθήκην ὑπέξελε · καὶ δεῦρο στὰς μέθ'
« ἡμῶν σύμψαλλε, καθὼς ἀπὸ τῶν θείων Πατέρων
« αὐτὸ παρελάβομεν · ἢ δεῖξον αὐτὸς ἡμῖν τινὰς
« τῶν τῆς εὐσεβείας κηρύκων, καὶ κοινῶν τῆς οἰκου-
« μένης φωστήρων, καὶ διδασκάλων περὶ τῆς προσ-
« θήκης ταύτης φανερῶς καὶ σαφῶς δογματισαντας καὶ
« διδάξαντας, καὶ τηνικαῦτα τὴν ἧτταν ὁμολογήσο-
« μεν, καὶ φιλαδέλφως σοι συμφρονήσομεν. »

Ἀντίρρησις.

Ἀδικεῖς τὴν ἀλήθειαν, ἄνθρωπε, πολλοὺς λέγων παρεισάγειν τοὺς μάρτυρας περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύσεως. Οὐδεὶς γὰρ τῶν ἁγίων εἴρηκε τὸ, ἐκ μόνου. Ἀλλ' εἰ καὶ μηδεὶς τῶν ἁγίων ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι εἴρηκε, ἐκ μόνου τοῦ Πατρὸς ὑπάρχειν, ἢ πηγάζειν, ἢ ἀναβλύζειν τὸ Πνεῦμα · εἴπερ οἱ προστιθέντες ὑμεῖς κατὰ γνώμην εὐθῆ καὶ ἀδιάστροφον εἰς τὴν ἔννοιαν τοῦτο ἐξελαμβάνεσθε τῆς ῥηθείσης παρὰ τοῦ μεγάλου Βασιλείου ἐξηγήσεως περὶ τῆς, « μόνος ὁ Πατήρ, » φωνῆς, ἥτις ἐξήγησις ἐντράνως διασαφεῖ λέγεσθαι ἐπὶ τοῦ Πατρὸς τὸ μόνος διὰ τὸ πάντα ἐπὶ τὸν Πατέρα ἀνάγεσθαι, καὶ αὐτὸν διὰ πάντων τὴν πρώτην αἰτίαν γινώσκεσθαι ἧτινι ἐννοίᾳ ἀκολουθεῖ μηδὲν διαφέρειν ἐκ μόνου τοῦ Πατρὸς καὶ ἐκ πρώτης αἰτίας τοῦ Πατρὸς λέγειν, οὐκ ἂν ἡμεῖς οἱ διὰ τὸν ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης ζῆλον ταῖς παραλόγοις προσθήκαις καὶ παρεξηγήσεσιν ἀντιλέγοντες, ὑμῖν ἐζυγομαχήσαμεν. Ὅτι δὲ τὸ « ἐκ μόνου » πανταχοῦ τῶν ὑμετέρων παρεξηγήσεων εἰς διαστολὴν λαμβάνετε τοῦ Υἱοῦ, προθύμως ὑμῖν καὶ ζυγομαχοῦμεν καὶ ἀντιλέγομεν. Ὡς γὰρ πολλάκις εἰρήκαμεν, ἡ ἀπὸ τοῦ Πατρὸς διαστολὴ τοῦ Υἱοῦ οὐκ ἂν ποτε ἐν τῇ ἐκ Πατρὸς ὑπάρξει τοῦ Πνεύματος παραδέξαιτο τὸ δι' Υἱοῦ. B C

Refutatio.

Veritatem injuria afficis, mi homo, cum asseveras, de sanctissimi Spiritus ex solo Patre processione multos testes adduxisse. Nemo enim ex Patribus illud, ex solo, prolocutus est. Verumtamen si nullus ex Patribus affirmavit, ex solo Patre procedere, et ex solo Patre esse, aut emanare, aut exsilire, Spiritum : si addentes vos illud exciperetis secundum sententiam rectam, et inconcussam intelligentiam interpretationis a magno Basilio propinatæ de voce illa « solus Pater ; » quæ expositio palam ostendit *solus* de Patre dici, quod omnia ad Patrem referantur, et ille per omnia uti primaria causa agnoscatur, ex qua sententia sequitur nihil differre, ex solo Patre et ex prima causa Patre dicere, nos profecto, qui propter ecclesiasticæ unionis zelum, absurdis additionibus, et falsis interpretationibus contradicimus, cum vobis quidem altercati non fuissemus. Cum vero illud, « ex solo » in vestris falsis interpretationibus perpetuo assumatis ad excludendum Filium alacriter contendimus et contradicimus. Quemadmodum enim sæpius diximus, exclusio a Patre Filii in exsistentia Spiritus ex Patre, nunquam admittit illud, per Filium.

ΘΕΟΦΥΛΑΚΤΟΥ ΒΟΥΛΓΑΡΙΑΣ,

Εἰς τὸ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου ῥητὸν τό · « Ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός. »

« ΡΝΑ'. Τὸ δὲ, « Ὃν ἐγὼ πέμψω, » τὴν ἰσότητα « δηλοῖ τὴν πρὸς τὸν Πατέρα. Ἀλλαχοῦ γὰρ τὸν « Πατέρα εἶπε πέμπειν τὸ Πνεῦμα · ἐνταῦθα δὲ, « ἑαυτὸν πέμψειν τοῦτο εἰπὼν οὐδὲν ἄλλο ἢ τὴν « ἰσότητα δηλοῖ. Ἵνα δὲ μὴ δόξῃ ἀνταγωνιστῶν ἑαυτὸν « τῷ Πατρὶ, ὡς ἀπὸ ἄλλης ἐξουσίας πέμπων τὸ « Πνεῦμα, προσέθηκε παρὰ τοῦ Πατρός. Πέμψω « μὲν γὰρ αὐτὸς, ἀλλὰ παρὰ τοῦ Πατρὸς, τουτέστιν « εὐδοκοῦντος τοῦ Πατρὸς καὶ συναποστέλλοντος. « Οὐ γὰρ ἐξ οἰκείων κόλπων αὐτὸς προΐεμαι τὸ « Πνεῦμα, ἀλλὰ παρὰ τοῦ Πατρὸς δι' ἐμοῦ χορη- « γεῖται. Ὅταν ἀκούσῃς, ἐκπορεύεται, μὴ νόει ἀπο- « στολὴν τὴν ἐκπόρευσιν, οἵαν ἀποστέλλονται τὰ « λειτουργικὰ πνεύματα, ἀλλὰ φυσικὴ ὕπαρξις τοῦ « Πνεύματός ἐστιν ἡ ἐκπόρευσις. »

Ἐπίστασις.

« Ἀκούεις καὶ τοῦ παρὰ τῆς θείας ἐμπνευσθέντος

THEOPHYLACTI BULGARIÆ ARCHIEPISCOPI

in Joannis dictum : « Quem ego mittam vobis a Patre [22]. »

CLI. « Quem ego mittam, » æqualitatem erga Patrem significat. Nam alio loco de Patre dixit, « quod mittet Spiritum ; hoc autem loco, quod « ipse mittet, utique sane æqualitatem significans. « Ne autem videatur obluctari Patri, quasi ab alia « substantia mittat Spiritum, addidit a Patre. « Nam et ipse quidem mittet, sed a Patre, hoc est approbante Patre, et simul mittente. Non enim « ex proprio sinu ipse prius mitto, sed a Patre per « me suppeditatur. Cum autem audieris quod procedit, ne intelligas per processionem missionem, « quali mittuntur ministratorii Spiritus, sed naturalis subsistentia Spiritus est processio. »

Animadversio.

« Audisne et ab eo, qui divina gratia motus,

[22] Joan. xv, 26.

Digitized by Google Распознавание текста ABKAFR

« non tantum varia sacra volumina, sed ipsa quo- A « que Evangelia interpretatus est, non ex Filio sed « ex Patre Paracletum procedere tradere edoce- « reque : æque atque alios divinos Patres proces- « sionem non missionem, sed naturalem subsisten- « tiam Spiritus, decernereque insuper ipsam mis- « sionem non simpliciter a Filio Verboque fieri, « sed approbante Patre et simul mittente. »

Refutatio.

Cum tempore schismatis vir iste inclaruerit, non multa consideratione digna dicta illius existimanda videntur, nihilominus ex his iisdem, quæ ipse pronuntiat, multum addetur virium existimantibus ex Patre, et Filio Spiritum esse. Tum quod ipse processionem interpretatus, naturalem exsistentiam eam esse Spiritus pronuntiavit. Etenim si procedere naturaliter exsistere est, qui naturaliter exsistere Spiritum ex Patre et Filio dicit, nihil ab eo differt, qui ex utroque illum procedere inquit. Tum etiam quod ipse asserat, missionem ipsam erga Patrem Filii æqualitatem notare. Etenim si ex Patre et Filio mittitur propter æqualitatem Filii erga Patrem, non uti ex duobus mittitur. Qua enim ratione Spiritus esset unus et indivisus, si non veluti ex una causa missionis, sed veluti ex duabus causis missionis, Patris scilicet, et Filii mitteretur. Pari quoque ratione naturaliter, et essentialiter exsistens ex Patre et Filio, non uti ex duobus, sed uti ex uno Deo naturaliter et es- C sentialiter exsistit.

ZIGABENI

In dictum Joannis « Hic testimonium perhibebit de me. »

CLII. « Nam cum Pater testimonium varie per- « hibuerit de me : Spiritus sanctus quoque multi- « fariam testimonium omnino perhibebit. Testifi- « cabitur autem lucens in cordibus vestris ad ma- « jorem certitudinem, et miracula operans in no- « mine meo. Vide autem quod mittit eum quidem « et Filius, tanquam ejusdem cum Patre honoris, « verumtamen a Patre tanquam qui a Patre proce- « dit. Procedit vero a Patre tanquam ab ejus es- D « sentia. »

Animadversio.

« Animum etiam adverte piissimo, ac deifero « huic monacho, consona cum aliis sanctis Patri- « bus de Spiritu sancto, illiusque processione « referenti, docentique. »

Refutatio.

Sed quemadmodum a Patre procedit, uti ex essentia illius exsistens, ita et a Filio mittitur, uti ex essentia ipsius exsistens, ne modo servili, et ministratorio ipse a Filio mittatur. Licet enim non eadem ipsam naturalem, et essentialem Spiritus exsistentiam missio notet ; verumtamen cum hanc exsistentiam subsequatur, Spiritum a Filio

« χάριτος οὐ μόνον διαφόρους ἱερὰς βίβλους, ἀλλὰ « καὶ αὐτὰ τὰ ἅγια ἐξηγήσασθαι Εὐαγγέλια, τό τε « μὴ ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ Πατρὸς τὸ Παράκλη- « τον ἐκπορεύεσθαι Πνεῦμα παραδιδόντος σοι, καὶ « τὴν μὲν ἐκπόρευσιν οὐκ ἀποστολήν, ἀλλὰ φυσι- « κὴν ὑπαρξιν συμφώνως τοῖς λοιποῖς θείοις Πα- « τράσι διδάσκοντος, ἀλλὰ καὶ τὴν ἀποστολὴν αὐ- « τὴν, οὐχ ἁπλῶς τὸν Υἱὸν καὶ Λόγον ποιούμενον « δογματίζοντος, ἀλλὰ συνευδοκοῦντος τοῦ Πατρὸς, « καὶ συναποστέλλοντος. »

Ἀντίῤῥησις.

Εἰ καὶ διὰ τὸ κατὰ τὸν καιρὸν τοῦ σχίσματος τὸν ἄνδρα τοῦτον ἀκμάζειν, οὐ πολλῆς ἦσαν ἐπι- σκέψεως ἄξια τὰ παρ' αὐτοῦ τέως, ἀλλὰ καὶ ἀφ' ὧν οὗτος λέγει, συγχρότησις οὐκ ὀλίγη ἐπιγε- B νήσεται τοῖς ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα δοξά- ζουσι. Τοῦτο μὲν, ὅτι τὴν ἐκπόρευσιν ἐξηγούμενος οὗτος, φυσικὴν ὕπαρξιν τοῦ Πνεύματος εἶναι ταύ- την ἐδήλωσεν· εἰ γὰρ τὸ ἐκπορεύεσθαι τὸ φυσικῶς ὑπάρχειν ἐστὶν, ὁ φυσικῶς ὑπάρχειν τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ λέγων, οὐδὲν διαφέρει τοῦ ἐξ ἀμ- φοῖν αὐτὸ λέγοντος ἐκπορεύεσθαι· τοῦτο δὲ καὶ ἀπὸ τὴν ἀποστολὴν αὐτὴν λέγειν αὐτὸν δηλοῦν τὴν πρὸς τὸν Πατέρα ἰσότητα τοῦ Υἱοῦ. Εἰ γὰρ ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα πεμπόμενον διὰ τὴν πρὸς τὸν Πατέρα ἰσότητα τοῦ Υἱοῦ, οὐχ ὡς ἐκ δύο ἐστὶ πεμ- πόμενον, πῶς γὰρ ἂν καὶ εἷς τὸ Πνεῦμα ἦν καὶ ἀδιαίρετον, εἴπερ οὐχ ὡς ἐξ ἑνὸς αἰτίου τῆς πέμ- ψεως, ἀλλ' ὡς ἐκ δύο αἰτίων τῆς πέμψεως τοῦ Πα- τρὸς καὶ τοῦ Υἱοῦ πέμποιτο, οὕτω καὶ φυσικῶς καὶ C οὐσιωδῶς ὑπάρχον ἐκ Πατρὸς καὶ Υἱοῦ, οὐχ ὡς ἐκ δύο, ἀλλ' ὡς ἐξ ἑνός ἐστι Θεοῦ φυσικῶς ὑπάρχον καὶ οὐσιωδῶς.

ΤΟΥ ΖΥΓΑΒΗΝΟΥ

Εἰς τὸ ῥητὸν τοῦ κατὰ Ἰωάννην, τό, « Ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. »

PNB'. « Τοῦ γὰρ Πατρὸς διαφόρως μαρτυρήσαν- « τος περὶ ἐμοῦ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον διαφόρως « μαρτυρήσει πάντως. Μαρτυρήσει δὲ ἐλλάμπον « ταῖς καρδίαις ὑμῶν εἰς πληροφορίαν τελειοτέραν, « καὶ τερατουργοῦν ἐπὶ τῷ ὀνόματί μου. Ὅρα δὲ « ὅτι πέμπει μὲν αὐτὸ καὶ ὁ Υἱὸς, ὡς ὁμότιμος τῷ « Πατρὶ, παρὰ τοῦ Πατρὸς δὲ, ὡς παρὰ τοῦ Πατρὸς « ἐκπορευόμενον, παρὰ τοῦ Πατρὸς δὲ ἐκπορεύεται D « ὡς ἐκ τῆς οὐσίας αὐτοῦ. »

Ἐπιστασία.

« Πρόσσχες, εἰ βούλει, καὶ τῷ ὁσιωτάτῳ τούτῳ « καὶ θεοφόρῳ μοναχῷ σύμφωνα τοῖς θείοις Πατράσι « περὶ τοῦ ἁγίου Πνεύματος καὶ τῆς αὐτοῦ ἐκπο- « ρεύσεως ἐξηγουμένῳ τε καὶ διδάσκοντι. »

Ἀντίῤῥησις.

Ἀλλ' ὥσπερ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὄν, οὕτω καὶ παρὰ τοῦ Υἱοῦ πέμπεται, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὄν, ἵνα μὴ διακονικῶς καὶ ὑπηρετικῶς εἴη πεμπόμενον αὐτὸ παρὰ τοῦ Υἱοῦ. Εἰ γὰρ καὶ μὴ αὐτὴν ταύτην τὴν φυσικὴν καὶ οὐσιώδη τοῦ Πνεύματος ὕπαρξιν ἡ πέμψις δη- λοῖ, ἀλλ' ἐπειδὴ τῇ ὑπάρξει αὐτῇ γε ἀκολουθεῖ, ἐκ

Digitized by Google Распознавание текста ABK/FR

τοῦ Υἱοῦ τὸ Πνεῦμα πεμπόμενον, ὡς ἐξ αὐτοῦ ὑπάρχον πέμπεται παρ' αὐτοῦ.

A mitti, uti ex ipso exsistens ab ipso mittitur.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΓΡΑΦΑΙ

ΕΙΣ ΤΑ ΠΑΡ' ΑΥΤΟΥ ΣΥΝΕΙΛΕΓΜΕΝΑ ΕΚ ΤΩΝ ΑΓΙΩΝ ΡΗΤΑ ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

EJUSDEM EPIGRAPHÆ

SIVE PRÆSCRIPTIONES IN DICTA, AC SENTENTIAS SANCTORUM PATRUM A SE COLLECTAS DE PROCESSIONE SPIRITUS SANCTI.

ΕΠΙΓΡΑΦΗ Α'.

Ῥήσεις διάφοροι γραφικαὶ, συλλεγεῖσαι εἰς ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, μεθ' ἃς ἕτεραι χρήσεις καταστρωννύονται ἐν τῇ παρούσῃ βίβλῳ εἰς ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς, καὶ ἐπειδὴ αἱ μὲν ἐκ τοῦ Υἱοῦ, αἱ δὲ διὰ τοῦ Υἱοῦ ἀποδεικνύουσιν εἶναι αὐτὸ, εἰς παράστασιν τοῦ ἰσοδυνάμου τῆς *διὰ* καὶ τῆς *ἐκ*, ἀκολούθως παρευθὺς ἕτεραι γραφικαὶ χρήσεις καταστρωννύονται, δι' ὧν τὸ τῶν προθέσεων ἰσοδύναμον ἀποδείκνυται.

PRÆSCRIPTIO I.

Varia diversaque scripto tradita dicta, Patrumque sententiæ collectæ, quibus demonstratur, Spiritum etiam ex Filio esse. Subsequuntur ac digeruntur in eodem libro alia dicta, eorumdemque sententiæ, quibus demonstratur Spiritum esse ex Patre per Filium. Et cum illorum pars ex Filio, pars per Filium Spiritum esse demonstret, astruuntur præpositionum *ex* et *per* vires æquales, statimque postmodum adnectuntur alia testimonia, quibus earumdem præpositionum vires æquales ostenduntur.

Ὅτι τοῦ Υἱοῦ τὸ Πνεῦμα.

Ὁ Νύσσης Γρηγόριος ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ὁμιλίᾳ αὐτοῦ, ἧς ἡ ἀρχὴ « Ὁ τὴν σκιὰν τῶν μελλόντων περιέχων νόμος, » οὕτω φησίν· « Ὅτε γὰρ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐξῆλθε, καθὼς φησιν ἡ Γραφὴ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· ἀλλ' ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι μόνου τοῦ Πατρὸς ὄν, τῷ Υἱῷ καὶ τῷ Πατρὶ ἐφαρμοσθῆναι οὐ δύναται, οὕτω καὶ ἔμπαλιν τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιόν ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τῷ Πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. Κοινοῦ δὲ ὄντος τῷ Υἱῷ καὶ τῷ Πνεύματι τὸ μὴ ἀγεννήτως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη, πάλιν ἐστὶν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν, ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη, καὶ τὸ ἴδιον μὴ συγχυθείη. Ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς ἁγίας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα. Τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησὶν, οὗτος οὐκ ἔστιν αὐτοῦ. Οὐκοῦν τὸ μὲν Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ Πνεῦμά ἐστιν, ὁ δὲ Υἱὸς, ἐκ τοῦ Θεοῦ ὢν, οὐκέτι καὶ τοῦ Πνεύματος οὔτε ἐστὶν, οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὐτῇ. »

Quod est ex Filio Spiritus.

Gregorius Nyssenus homilia in Orationem Dominicam, cujus illud principium est : « Lex futurorum umbram continens, » inquit. « Cum enim Filius ex Patre exivit, ut Scriptura tradit, et Spiritus ex Deo et Patre procedit : sed quemadmodum absque causa esse solius Patris est, quod neque Filio, neque Spiritui adaptari potest, sic vice versa ex causa esse, quod est proprium Filii et Spiritus, de Patre intelligi, alienum a natura est. Cum vero Filio et Spiritui commune sit, ingenitos non esse, ne confusio circa subjectum introducatur, rursus potest immista in eorum proprietatibus differentia reperiri, ut et commune conservetur, et proprium non confundatur. Namque unigenitus Filius ex Patre per Scripturam sacram dicitur, nec ultra hoc illius proprietatem oratio extendit. Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse astruitur. Si quis enim Spiritum Christi non habet, inquit, hic non est illius. Itaque Spiritus qui ex Deo est, et Christi Spiritus est ; Filius qui ex Deo est, Spiritus neque est, neque dicitur, neque convertitur relativa ista sequela. »

Ὁ μέγας Βασίλειος ἐν τῷ τρίτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, « Μόλις ποτὲ κορεσθεὶς τῶν εἰς τὸν Μονογενῆ βλασφημιῶν, » φησίν· « Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ Πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ

Magnus Basilius in tertio in Eunomium antirrhetico, cujus principium, « Vix tandem blasphemiis in Unigenitum saturatus, » ait : « Cur enim necesse est, si dignitate, et ordine tertius est Spiritus, natura quoque ipsum tertium esse ? Digni-

Digitized by Google Распознавание текста ABK/FR

tate namque] ipsum secundum esse a Filio, cum ab ipso habeat, quod sit, et ab ipso accipiat, et nobis annuntiet, et prorsus ab illa causa pendeat, pietatis sermo tradit. Natura vero tertia uti, nec a divinis Scripturis didicimus, nec ex antecedentibus fieri potest, ut colligatur. Nam quemadmodum Filius ordine quidem a Patre secundus est, quoniam ab illo est, et dignitate quoniam origo et causa essendi Pater ipsi est, et quoniam per ipsum accessus et adductio ad Deum Patrem, natura vero nullo modo secundus : quoniam in utroque una est deitas; ita videlicet et Spiritus sanctus etsi dignitate et ordine secundus a Filio est, non tamen verisimiliter alienæ ipsum esse naturæ inde consequetur. »

A τῇ φύσει; 'Αξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον, παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων δεδιδάγμεθα Γραφῶν, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν συλλογίζεσθαι. 'Ως γὰρ ὁ Υἱὸς, τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τῷ εἶναι Πατέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα, φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτ' ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως. »

Gregorius Nyssenus primo adversus Eunomium Antirrhetico, cujus principium est, « Fieri, ut videtur, non potest, ut quis de omnibus bene mereri » prope finem hæc habet : « Si temporalem quamdam intercapedinem hypostasi, seu substantiæ Filii anteponeret, qui Patrem sola principii ratione prius Filio concipit, jure censeri posset doctrina de Filii æternitate in periculum vocari. » Et paucis interjectis : « Quemadmodum enim Patri Filius conjungitur, et cum ex illo originem ducat, existentia tamen posterior non est : sic etiam Spiritus sanctus ad Filium se habet, cognitione sola secundum causæ rationem Filius prius, quam Spiritus sancti hypostasis concipitur. »

B Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, « Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν, » φησὶν οὕτω περὶ τὸ τέλος· « Εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερτίθη τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ὁ τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ Υἱοῦ λόγος ἐκινδυνεύετο. » Καὶ μετά τινα, προειπὼν τὸν Πατέρα τοῦ Υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι, προστίθησιν· « Ὁ δὲ αὐτὸς ἡμῖν καὶ περὶ τοῦ Πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν ἔχον. Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν καὶ τοῦ Μονογενοῦς ἕξεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως. Αἱ δὲ χρονικαὶ παρατάσεις χώραν οὐκ ἔχουσιν ἐπὶ τῆς προαιωνίου ζωῆς· ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν. »

In actis Nicænæ primæ synodi, quibus Patres Philosopho per Leontium episcopum responderunt, cujus responsi principium est : « Illud etiam amice Philosophe, considerandum est, » reperitur : « Spiritus sanctus procedens quidem ex Patre, proprius vero Filii, et ex ipso exsiliens. »

C Ἐν τοῖς Πρακτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἐν οἷς εἶπον οἱ Πατέρες πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου, ὧν ῥητῶν ἡ ἀρχὴ, « Κἀκεῖνο δὲ νοητέον, ὦ φίλε, λοιπὸν τῆς ἀληθείας, φιλόσοφε· εὑρηται τὸ Πνεῦμα ἐκπορευόμενον ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ, καὶ ἐξ αὐτοῦ ἀναβλύζον. »

Sanctus Cyrillus oratione ad Nestorium, cujus principium, « Salvatore nostro palam edicente, « Qui amat patrem et matrem super me, non est me dignus [1], » inquit : « Licet sit in hypostasi Spiritus propria, et jam intelligatur, secundum seipsum, qua Spiritus est, et non Filius, verumtamen non est alienus ab eo. Spiritus enim veritatis appellatus est, et est Christus veritas, et effunditur ab ipso qua et a Patre ratione. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ, « Τοῦ Σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος, » φησὶν, « Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ Πνεῦμά ἐστι καὶ οὐχ Υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός. »

In expositione Joelis prophetæ, cum illud, « Effundam e Spiritu meo [2], » interpretatur, ait : « Ratione quidem, qua est Deus, et ex Deo secundum naturam Filius : namque ex Deo et Patre generatus est, proprius ipsius et in ipso, et ex ipso est Spiritus sanctus, quemadmodum scilicet de ipso intelligitur Deo et Patre. »

D Καὶ αὖθις ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ, τῇ « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου » ἐξηγήσει φησὶν· « Ἤ μὲν γάρ ἐστι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱός· γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐξ αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. »

Idem oratione ad imperatorem Theodosium, cujus principium, « Supremum humanæ gloriæ culmen, » ait : « Baptizantem dixit Jesum in igne, non

Ὁ αὐτὸς ἐν τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχὴ, « Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω, » φησὶν· « Βαπτίζοντα ἔφη τὸν Ἰησοῦν ἐν

[1] Matth. x, 37. [2] Joel. II, 28.

Digitized by Google Распознавание текста ABK/FR

πυρὶ καὶ ἁγίῳ Πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ, καὶ ἴδιον αὐτοῦ. » Εὕρηται ἐν παλαιοτάτῳ βιβλίῳ « τὸ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ. » Καὶ μετ' ὀλίγα ἐν τῷ αὐτῷ · « Ἀπολύων ἁμαρτίας τὸν αὐτῷ προσκείμενον τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. »

Ὁ ἅγιος Κύριλλος ἐν τοῖς πρὸς Παλλάδιον κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγοις ἐγγιστα τῆς ἀρχῆς φησιν · « Τρεπτὸν δὲ οὕτι που τὸ Πνεῦμά ἐστιν · ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα. »

Ὁ αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Θησαυρῶν, ἐν τῷ λόγῳ οὗ ἡ ἐπιγραφή, « Ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, » φησίν · « Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν· ὥσπερ οὖν ἀμέλει καὶ ἐξ ἀνθρωπείου στόματος ἐκτρέχον ἐμφύσημα, εἰ καὶ μικρὸν καὶ οὐκ ἄξιον τοῦ λόγου τὸ ὑπόδειγμα. Πάντα γὰρ ὑπερέξει Θεός. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου οἰκονομίας Θεοῦ Λόγου, οὗ ἡ ἀρχὴ, « Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, » φησίν · « Αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν ὡς Θεὸς, καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς Ἀντιοχεῖς τόμῳ, οὗ ἡ ἀρχὴ, « Τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς Εὐσεβίῳ καὶ Λουκιφέρῳ, » φησίν · « Δεῖ δὲ ἀναθεματίζειν καὶ τοὺς λέγοντας κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ διῃρημένον ἐκ τῆς οὐσίας τοῦ Χριστοῦ. »

Ὁ Χρυσόστομος ἐν τῷ λόγῳ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ, « Ἑκάστῳ κλίματι ἐφειστήκεισαν ἄγγελοι, » οὗ ἡ ἀρχὴ, « Οὕτως ἐπεφάνη ἡμῖν ἡ τοῦ Θεοῦ χάρις, » φησίν · « Ἦλθε Χριστὸς πρὸς ἡμᾶς. Ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ Πνεῦμα, καὶ ἀνελάβετο τὸ ἡμέτερον σῶμα. »

Ὁ αὐτὸς ἐν τῷ περὶ τῶν δύο Διαθηκῶν λόγῳ, οὗ ἡ ἀρχὴ, « Θεὸν δὲ ἕνα καὶ τὸν αὐτὸν δεδηλώκασιν ἐξ ἀρχῆς νόμος καὶ προφῆται, » φησιν · « Διὰ γὰρ τὸ γενέσθαι ναὸν τῆς θείας δυνάμεως τὸ σῶμα τοῦ Κυρίου τὸ θεοφόρον, γίνῃ καὶ σὺ ναὸς καθ' ὁμοίωσιν αὐτοῦ. Δέχῃ γὰρ ἐκπεμπόμενον παρ' αὐτοῦ τὸ Πνεῦμα. Ὡς οὖν Χριστὸν ἐπιγνοὺς ἐπέγνως Θεὸν, οὕτω Πνεῦμα Χριστοῦ δεξάμενος, ἐδέξω Θεόν. »

Ὁ αὐτὸς ἐν τῷ πρώτῳ Προφυλακτικῷ, οὗ ἡ ἀρχὴ, « Ἐπειδὴ τῷ ἀγαθῷ προσερχόμεθα, φυλάσσεσθαι δεῖ τὸν ἀντιπράττοντα τῷ ἀγαθῷ διάβολον, »

allenum iis, qui baptizantur, injicientem Spiritum, servi instar et administri, sed ut Deum cum suprema facultate, qui ex ipso est, et suus proprius. » Hæc, « qui ex ipso, et per ipsum, » reperiuntur in antiquissimo volumine. Et post panca in eadem oratione : « Peccata namque iis, qui illi adhærent, condonans, suum mox Spiritum impertit, quem quidem verbum quatenus ex Deo Patre procedit emittit, et ex propria natura in nos quasi ex fonte quodam transfundit. »

Sanctus Cyrillus in illis quas ad Palladium scripsit secundum interrogationem et responsionem orationibus prope principium hæc tradit : « Mutabilis vero nullo modo Spiritus est; quod si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, præterea et Filii essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus. »

Idem in secundo Thesaurorum sermone cujus illa epigraphe est. « Ex essentia Patris et Filii esse Spiritum sanctum, » ait : « Cum itaque Spiritus sanctus ad nos accedens, conformes nos effecit Deo, progreditur vero et ex Patre et Filio, manifestum est, illum divinæ essentiæ esse, essentialiter in ipsa et ex ipsa progredientem. Quemadmodum nempe ex humano ore flatus excurrens, licet pusillum nec tantæ dignitatis exemplum sit. Super enim omnia Deus est.

Magnus Athanasius oratione de unigeniti Dei Verbi incarnatione, quæ incipit, « Qui malitiose divinas Scripturas volunt intelligere, » scribit : « Ipse enim illum desuper mittebat, ut Deus; et ipse illum in imo accipiebat, ut homo, Ex ipso itaque in ipsum descendebat, ex divinitate ipsius in humanitatem ipsius. »

Idem tomo ad Antiochenos, qui incipit : « Dilectis ac desideratissimis fratribus, Eusebio et Lucifero, » ait : « Anathematizandi porro sunt, qui dicunt creaturam esse Spiritum sanctum, et separatum a substantia Christi. »

Chrysostomus oratione in Incarnationem Domini nostri Jesu Christi, et in illud, « In quacunque regione assistebant angeli, » cujus principium est : « Vere apparuit nobis divina gratia, » ait; « Vere venit Christus ad nos, tradidit nobis, qui ex ipso est, Spiritum, et nostrum corpus assumpsit. »

Idem oratione de duobus testamentis, cujus principium, « Deum verum eumdemque a principio manifestarunt lex et prophetæ, » dicit : « Propterea enim quod factum est divinæ virtutis templum corpus Domini deiferum : fis et tu templum secundum illius similitudinem. Accipis enim missum ab ipso Spiritum. Quemadmodum ergo Christum agnoscens, Deum agnovisti, ita et Spiritum Christi accipiens, Deum accepisti. »

Idem in prima Prophylactica, cujus principium, « Quando ad bonum accedimus præcavere oportet, qui bono contra operatur, diabolum, » inquit; « Et

Digitized by Google Распознавание текста ABBYY FR

hac ratione servabit nos Spiritus, qui ex Christo est, in diem futuræ redemptionis. »

Magnus et Thaumaturgus Gregorius Neocæsariensis episcopus oratione, quæ incipit : « Inimicissimi et alieni a confessione apostolica sunt qui dicunt esse Filium ex iis quæ non exstant, » scribit : « Domini Pater principium est ab æterno eum generans, et Dominus est prototypus Spiritus. » Magnus Basilius, « Genitorem et prototypum Filii Patrem » nuncupat oratione quarta adversus Eunomium. »

Sanctus Cyrillus in uno capite libri secundi Thesaurorum ; « Proprium autem est Spiritus essentiæ Filii, nec ab extraneo hypostasim habet. » In alio rursus : « Cum itaque leges dat Christus, tanquam in ipso exsistens Spiritus illius leges dat. » Et in alio : « Necesse est ergo fateri, illum esse ex essentia Filii et Dei, cum omnem illius et operationem et virtutem possideat. » Item in alio : « Uti ex essentia exsistens suppeditantis illum sanctis, Christi videlicet. » Item in alio : « Nullum igitur naturæ discrimen agnoscit Paulus Filii, et Spiritus sancti, sed veluti ex ipso, et in ipso exsistentem, illum dominationis nomine insignit. » Item in alio : « Necesse est fateri Spiritum ex essentia Filii esse. » Item in alio : « Igitur ex essentia Filii Spiritus. »

Idem expositione in Evangelium Joannis, in illud : « Et Deus erat Verbum [a], » inquit : « Non itaque minor est, qui eamdem actionem cum perfecto Patre possidet, et genitoris Spiritum ut proprium bonum non aliter certe, quam ipse genitor habet. »

Idem in expositione Evangelii secundum Joannem, in dictum : « Et ego rogabo Patrem, et alium Paracletum dabit vobis [b], » inquit : « Nam cum una cum Patre naturalibus deitatis bonis substantialiter Filius communicet, eodem modo Spiritum habet, quo Pater habere intelligitur, non adventitium neque deforis. Stultum enim atque furiosum est ita sentire : sed quemadmodum unusquisque nostrum proprium in seipso Spiritum continet, et ab intimis visceribus ad exteriora profundit : propterea corporee Christus insufflavit, ostendens hoc signo, quia quemadmodum ab ore humano corporee humanus spiritus procedit, sic ex divina substantia deitati congruenter Spiritus, qui ab ea est profunditur. »

Idem in sexto ad Hermiam libro ait : « Postmodum quomodo in nobis Filius per Spiritum inhabitat? Quomodo quod natura excellentius est, minus excellentis participationem communicabit? Etsi divinæ naturæ effimur participes, Spiritum accipientes, quomodo secundo loco post Spiritum

[a] Joan. I. 1. [b] Ibid. XIV, 16.

A φησίν· « Καὶ οὕτως ἡμᾶς φυλάξει τὸ παρὰ Χριστοῦ Πνεῦμα εἰς τὴν ἡμέραν τῆς μελλούσης ἀπολυτρώσεως. »

Ὁ μέγας καὶ Θαυματουργὸς Γρηγόριος Νεοκαισαρείας ἐπίσκοπος ἐν τῷ λόγῳ οὗ ἡ ἀρχή, « Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Χριστὸν ἐξ οὐκ ὄντων λέγοντες, » φησίν· « Τοῦ Κυρίου ὁ Πατὴρ ἀρχή, ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος. » Ὁ μέγας Βασίλειος, « Γεννήτορα καὶ πρωτότυπον τὸν Πατέρα » φησὶ « τοῦ Υἱοῦ » ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ. »

Ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν· « Ἴδιον δὲ πάντως τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ οὐκ ἔξωθεν ὑποστατόν. B Ἐν ἄλλῳ πάλιν· « Νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ Πνεῦμα αὐτοῦ νομοθετεῖ. » Καὶ πάλιν ἐν ἄλλῳ· « Ἀνάγκη λοιπὸν ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν αὐτὸ τῆς τοῦ Υἱοῦ καὶ Θεοῦ, πᾶσαν αὐτοῦ τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον. » Καὶ πάλιν ἐν ἄλλῳ· « Ὡς γὰρ ἐκ τῆς οὐσίας ὑπάρχον τῆς τοῦ χορηγοῦντος αὐτὸ τοῖς ἁγίοις, Χριστοῦ δηλαδή. » Καὶ πάλιν ἐν ἄλλῳ· « Οὐδεμίαν ἄρα φύσεως διαφορὰν οἶδεν ὁ Παῦλος τῆς τοῦ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, τῷ τῆς κυριότητος ὀνόματι καλεῖ. » Καὶ πάλιν ἐν ἄλλῳ· « Ἀνάγκη τὸ Πνεῦμα ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν τοῦ Υἱοῦ. » Καὶ πάλιν ἐν ἄλλῳ· C « Οὐκοῦν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα. »

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην, εἰς τὸ ῥητὸν, τὸ, « Καὶ Θεὸς ἦν ὁ Λόγος, » φησίν· « Οὐκ ἄρα ἐλάττων ἐστὶν ὁ τὴν αὐτὴν ἐνέργειαν ἔχων τῷ τελείῳ Πατρὶ, καὶ τὸ τοῦ γεννήσαντος Πνεῦμα φύσεως ἰδίας ἔχων ἀγαθόν. Τῶν ἐνυποστάτων οὖν ὥσπερ ἀμέλει καὶ ὁ Πατήρ. »

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν, τὸ, « Κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, » φησίν· Τῶν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν περ ἂν νοεῖτο καὶ ὁ Πατήρ, οὐκ ἐπακτὸν, οὐδὲ ἔξωθεν. Εὖηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν· ἀλλ' « ὥσπερ καὶ ἡμῶν D ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ Πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει· διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς αὐτὸ ἐνεφύσησεν ὁ Χριστὸς, δεικνὺς ὅτι, καθώσπερ ἐκ στόματος τοῦ ἀνθρωπείου πρόεισι τὸ Πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτῆς. »

Ὁ αὐτὸς, ἐν ς' τῶν πρὸς Ἑρμείαν φησίν· « Εἶτα πῶς ἡμῖν ὁ Υἱὸς διὰ τοῦ Πνεύματος αὐλίζεται; Πῶς δὲ τὸ ἄμεινον κατὰ φύσιν τὴν τοῦ χείρονος ἐμπλήσεται μέθεξιν δι' αὐτοῦ; Καὶ εἰ θείας φύσεως ἀποτελούμεθα κοινωνοὶ τὸ Πνεῦμα δεχόμενοι, πῶς ἐν δευτέροις τοῦ Πνεύματος ὁ Υἱός; ἢ πῶς; ἄμεινον αὐτοῦ

Digitized by Google Распознавание текста ABK/FR

καὶ οὐχὶ δὴ μᾶλλον ὡς αὐτός τε καὶ παρ' αὐτοῦ τὸ Πνεῦμα αὐτοῦ, ὅλην ἔχον αὐτοῦ τὴν ἐνέργειαν, καὶ τὴν αὐτοῦ μέθεξιν ἐμποιοῦν; »

A Filius collocabitur? Et qua ratione Filio præstantior fuerit et non potius ut ipse, et ab ipso Spiritus, qui ipsius actionem universam in se continet, et qui illius participationem communicat? »

Ὁ Μεταφραστὴς ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐξ αὐτῆς τῆς ἀρχῆς τοῦ λόγου φησίν· « Πάλαι μὲν ἐν τύποις ἦν τὰ τῆς πίστεως καὶ αἰνίγμασι, καὶ τὸ τῆς ἀληθείας φέγγος τῷ τῆς σκιᾶς νέφει συνεκαλύπτετο. Ἐπεὶ δὲ τὸ μέγα τῆς ἡμῶν σωτηρίας ἐπραγματεύθη μυστήριον, καὶ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν τῷ τῆς οἰκείας περὶ ἡμᾶς οἰκτρῷ χρηστότητος ἀναμαρτήτως γέγονεν ὡς ἡμεῖς, πάλλα τε ὑπῆλθεν ὅσα τῆς ἀνθρωπίνης ἐστὶν ἀσθενείας, ἵν' ἐγὼ τὴν πρώτην ἀπολαύω εὐγένειαν, καὶ τέλος τὸν διὰ σταυροῦ θάνατον κατακρίνεται· καὶ ἵνα μὴ τὰ καθέκαστα λέγω, πολλὰ γὰρ τὰ ἐν μέσῳ τῆς οἰκονομίας αὐτοῦ μυστήρια, πέρας τὰ τῆς σωματικῆς ἐνδημίας δέχεται, τὰ τοῦ Πνεύματος ἄρχεται, καὶ εἰς οὐρανοὺς ὁ ἐμὸς Χριστὸς ἀναφέρεται, καὶ πρὸς τὸν πατρικὸν ἐπάνεισι θρόνον, καὶ τὸ ἐκπορευόμενον αὐτοῦ Πνεῦμα ἐπὶ τῇ τῶν ἀπίστων ἐθνῶν, Καταπέμπει τοῖς μαθηταῖς ὁδηγίᾳ. Ἐν τισι βιβλίοις ἡ ἐπιγραφὴ τον Ἀναστάσιον ἔχει.

Metaphrastes in martyrio Dionysii Areopagitæ in ipso orationis exordio, ait : « Olim quidem fides sita erat in signis et ænigmatibus, et nubæ umbra tecta erat lux veritatis. Postquam autem nostræ salutis magnum peractum fuit mysterium, et qui finxit singillatim corda nostra suæ benignitatis in nos misericordia, citra peccatum natus est sicut nos, et alia subiit, quæ sunt humanæ imbecillitatis, ut ego primam reciperem nobilitatem, et postremo condemnatus fuit morte crucis, et ne dicam singula : sunt enim multa intermedia œconomiæ carnis susceptæ mysteria, finem accepit corporeus adventus : incipit clara manifestatio veritatis; et in cœlum ascendit meus Christus, et ad sedem paternam revertitur, et qui ex ipso procedit, Spiritum demittit discipulis, ut essent duces gentium infidelium. »

Θεόδωρος ὁ τῆς Ῥαΐθου πρεσβύτερος περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων θεολογῶν, φησίν· « Τοῦ δὲ σώματος τὸ ἴδίωμα λαβόντες παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων ὑποστάσεων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δηλονότι τοῦ Θεοῦ, τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ Μονογενοῦς. Καὶ Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον οὐ μόνον παρὰ τοῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ Υἱοῦ. » Καὶ μετά τινα· « Καὶ μὴν ὁ Κύριος ἐξ αὐτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· « Λάβετε πνεῦμα ἅγιον. »

Theodorus Raythenus presbyter ac rectis nostræ fidei et veritatis dogmatibus decernit : « Corporis vere proprietatem in exemplum accipientes, mutuam divinorum cohærentiam per membrorum proportionem et assimilationem repræsentavimus : hinc et spiritus oris illius, Dei nempe, dicitur, cui Unigenitus os est, Spiritus sanctus dicitur. Et Spiritus rursus ex ipso procedens, et missus non tantum a Patre sed etiam a Filio. » Et post pauca : « Et nihilominus Dominus ex se ipso exsistere docens, discipulis insufflans dixit : « Accipite Spiritum sanctum [5]. »

Ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ ὁμολογίᾳ τῆς αὐτοῦ πίστεως, φησίν· « Τὸ ἅγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐστιν, οὐ ποιητὸν, οὐ κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευόμενον. »

Sanctus Athanasius in professione veræ fidei, dicit : « Spiritus sanctus ex Patre, et ex Filio est, non factus, non creatus, non genitus, sed procedens. »

Ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ λόγῳ τῷ καλουμένῳ Ἀγκυρωτῷ φησίν· « Τὸ Πνεῦμα ἀκατάληπτον, οὐκ ἀλλότριον τοῦ Πατρὸς καὶ Υἱοῦ, οὐδὲ συναλοιφή ἐστι Πατρὸς καὶ Υἱοῦ, » Μετ' ὀλίγα· « Πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει, τὸ Πνεῦμα τοῦ Πατρὸς καὶ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τοῦ ἐμοῦ λήψεται, ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς, μηδὲ Υἱοῦ. » Καὶ μετ' ὀλίγα· « Ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τρίτον τῇ ὀνομασίᾳ. » Καὶ μετὰ πολλὰ πάνυ· « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, « Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Καὶ μετ' ὀλίγα· « Ἀλλ' ἐρεῖ

Epiphanius oratione, cui nomen præfixit Ancyroto, dicit : « Spiritus comprehendi non potest, non alienus est Patris et Filii, neque contractio est Patris et Filii. » Et post pauca : « Spiritus sanctus non frater fratris, non Patris frater, sed ex eadem essentia Patris et Filii. Namque ipse Unigenitus dicit : Spiritum Patris qui ex Patre procedit, et ex meo accipiet [6], » ne alienus a Patre et Filio existimaretur. » Et paucis interjectis : « Ex Patre et Filio tertius appellatione. » Et post plurima annexa : « Utraque inhabitant in homine justo, Christus et Spiritus ipsius : si vero Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus insinuat, qui ex Patre procedit, et hic de meo accipiet. » Et post pauca : « Sed dicet nescio quis : « Igitur dicimus duos esse filios, et quomodo Unigenitus? Atqui tu quis es, qui cum

[5] Joan. xx, 22. [6] ibid. xv, 26; xvi, 14, 15.

Digitized by Google Распознавание текста ABBYY FR

Deo contendis? Etenim si Filium vocat ex se ipso; A τις· « Οὐκοῦν φαμεν δύο εἶναι υἱούς, καὶ πῶς
Spiritum sanctum ex utrisque quæ solummodo fide a sanctis percipiuntur, luminis ipsa plena, lumen aliis impertientia; splendidam habent operationem. » Et paucis annexis : « Spiritus sanctus, Spiritus veritatis est, lumen tertium a Patre et Filio. » Item post multa : « Quo enim modo « nemo novit Patrem nisi Filius, neque Filium nisi Pater[7], » eodem, audeo dicere, neque Spiritum nisi Pater et Filius, ex quo procedit, et ex quo accipit, neque Filium et Patrem nisi Spiritus sanctus, qui vere glorificat, qui omnia edocet, qui ex Patre et Filio. » Et post nonnulla : « Igitur Pater erat semper, et Filius erat semper, et Spiritus ex Patre et Filio spirat. »

Μονογενής; Μενοῦν γε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ; Εἰ γὰρ τὸν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων. Ἃ μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων φωτεινά, φωτοδότα φωτεινὴν τὴν ἐνέργειαν ἔχει. » Καὶ μετ' ὀλίγα· « Πνεῦμα ἅγιον Πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ. » Καὶ μετ' ὀλίγα· « Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει, καὶ οὐδὲ τὸν Υἱὸν καὶ τὸν Πατέρα εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ. » Καὶ μετά τινα· « Τοίνυν Πατὴρ ἦν, καὶ Υἱὸς ἦν ἀεὶ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ πνέει. »

B

Per Filium esse Spiritum.

Magnus Athanasius oratione, quæ inscribitur, Refutatio contra hypocrisim Meletii et Eusebii, et incipit : « Homo ad similitudinem Dei factus est, » scribit : Impossibile in Trinitatis gloria Spiritum conglorificari, nisi ex Deo per Filium progrediendi modo, non autem fiendi ratione, naturam habeat, ut ipsi aiunt. »

In disputatione Orthodoxi et Macedoniani hæc habet. « Itaque si ostensum fuerit ejusdem esse divinitatis Spiritum cum Filio, et Patre, qui ex ipso Patre per Filium effusus est, adorandus, et colendus esse demonstrabitur. »

Gregorius Thaumaturgus oratione quæ incipit : « Inimicissimi, et alieni a confessione apostolica sunt, qui dicunt esse Filium ex iis quæ non exstant, » scribit : « Manente Patre ingenito, genito autem ex Patre Filio, et Spiritu sancto ex substantia Patris per Filium æterne emisso. »

Magnus Basilius in uno ex capitibus cujus illa est epigraphe : « Quare non et Spiritus filius Filii dicitur, » inquit : « Non quia non est ex Deo per Filium, sed ne Trinitas filios ex filiis habere in suspicionem veniens, ut est in hominibus, infinita putetur multitudo. » Et paucis interjectis : « Quamobrem ex Deo quidem esse Spiritum aperte prædicavit Apostolus, dicens : « Spiritum, qui ex Deo est, accepimus[8] : » et per Filium effulsisse clarum fecit, cum Filii Spiritum, sicut Dei ipsum nominavit, et mentem Christi appellavit, sicut et Dei Spiritum, ut hominis. » Et post pauca : « Unus vere et Spiritus, qui vere sanctus est, qui et spiritus oris nominatur. »

Et capite, cui præligitur : « Nisi Spiritum ex Deo quis dicat, nec Verbum, » dicit : « Quomodo igitur separabuntur inseparabilia Verbum scilicet Dei, et Spiritus ex Deo per Filium. »

Gregorius Nyssenus prima adversus Eunomium Antirrhetica, quæ incipit : « Fieri, ut videtur, non potest, ut qui de omnibus bene mereri, » inquit :

[7] Matth. xi, 27. [8] I Cor. II, 12.

Ὅτι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα.

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ λόγῳ ὃς ἐπιγέγραπται, « Ἔλεγχος ὑποκρίσεως τῶν περὶ Μελέτιον καὶ Εὐσέβιον, » οὗ ἡ ἀρχὴ, « Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονε, » φησίν· « Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προοδεικῶς ὂν ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν. »

Ὁ αὐτὸς ἐν ᾗ ἐκτίθεται διαλέξει Ὀρθοδόξου καὶ Μακεδονιανοῦ, φησίν· « Ἐὰν δειχθῇ τῆς αὐτῆς εἶναι φύσεως καὶ θεότητος τῷ Υἱῷ καὶ τῷ Πατρὶ τὸ Πνεῦμα, τὸ ἐξ αὐτοῦ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐκχυθὲν, καὶ προσκυνητὸν καὶ λατρευτὸν ἀποδειχθήσεται. »

C

Ὁ Θαυματουργὸς Γρηγόριος, ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ, « Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, » φησίν· « Ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννηθέντος δὲ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀΐδίως ἐκπεμφθέντος.

Ὁ μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, « Διατὶ μὴ καὶ τὸ Πνεῦμα Υἱὸς τοῦ Υἱοῦ, φησίν· ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον, Υἱοὺς ἐξ Υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευθεῖσα. » Καὶ μετ' ὀλίγα· « Διὰ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων, « Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν, καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ πνεῦμα ὀνομάσας αὐτὸ, καθάπερ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου. » Καὶ μετ' ὀλίγα· « Ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ ἀληθῶς ἅγιον, ὃ δὴ καὶ πνεῦμα στόματος ὀνομάζεται. »

D

Ὁ αὐτὸς ἐν τῷ κεφαλαίῳ οὗ ἡ ἐπιγραφὴ, « Εἰ μὴ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ λέγει τίς, οὐδὲ τὸν Λόγον, » φησίν· « Πῶς οὖν χωρίζοιτο τὰ ἀχώριστα, Λόγος ἐκ Θεοῦ, καὶ Πνεῦμα ἐκ Θεοῦ δι' Υἱοῦ; »

Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιρρητικῶν, οὗ ἡ ἀρχὴ, « Οὐκ ἦν ὡς ἔοικε, τὸ πάντας εὐθέλειν εὐεργετεῖν, » φησίν· « Τὸ

Digitized by Google Распознавание текста АВК/FR

Πνεῦμα, τῷ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ Πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται· τῆς δὲ πρὸς τὸν Υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ πεφηνέναι. Πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Μονογενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ Πνεῦμα, ἐκ τοῦ διὰ τοῦ Υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως. » Καὶ μετὰ πολλὰ ἐν τῷ αὐτῷ· « Ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν νοοῦμεν, ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα· καὶ πάλιν ἕτερον τοιοῦτον φῶς τὸ Πνεῦμα κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός, φῶς μέντοι καὶ αὐτὸ καθ' ὁμοιότητα τοῦ προεπινοηθέντος λάμπον τε καὶ φωτίζον. »

A « Spiritus Patri secundum quod increatus est conjungitur, rursusque ab eo, quod quemadmodum ille Pater non est, separatur : conjungitur et Filio secundum quod increatus est, et quod causam exsistentiæ ex omnium Deo habeat : sejungitur rursus proprietate, quod non tanquam Unigenitus ex Patre subsistit, et quod per ipsum Filium apparuit. Rursus cum creatura per Filium substitisset, ne cum ea communionem Spiritus habere existimaretur, quod per Filium appareat, immutabilitate, firmitate, ac bonitatis quæ extranea sit, nulla indigentia a creatura Spiritus secernitur. » Et multis additis in eadem Antirrhetica : « Ex ingenito sole alium solem, Filium scilicet simul cum primi intellectione per generationem una cum ipso B effulgentem, eidemque per omnia æqualem pulchritudine, virtute, splendore, magnitudine, claritate, et uno verbo, omnibus, quæ soli inesse cernuntur : et rursus aliud simile lumen Spiritum eodem modo, non temporis aliquo intervallo, a genito lumine dissectum, sed per illud splendens, ac hypostaseos causam habens ex primo illo ac exemplari lumine : lumen quidem et ipsum ad similitudinem præconcepti luminis lucens et illuminans. »

Ὁ Θεολόγος Γρηγόριος ἐν οἷς ἠρωΐζει τὰς πρὸς παρθένους, ὑποθήκας αὐτοῦ, φησίν· « Ἵλαος ἵλαος ἁμμιν, ἁγνὴ Τριὰς εἷς ἓν ἰοῦσα, ἐξ ἑνὸς, ὀφθαλμοῖσιν ἐπαυγάζουσα φαεινοῖς· Σήμερον, ὑστατίου δὲ φαάντερος, οἷσιν ἔλαμψας. Εἷς γὰρ Θεὸς ἐκ γενέταο δι' Υἱέος ἐς μέγα Πνεῦμα Ἱσταμένης θεότητος, ἐνὶ τελέοισι τελείης. » Ἡ παράφρασις οὕτως· « Εὐμενὴς ἡμῖν, ὦ καθαρὰ Τριάς, εἰς τὸ αὐτὸ πορευομένη ἐξ ἑνὸς ὀφθαλμοῖς βλέπουσα λαμπροῖς σήμερον, τελευταῖον δὲ λαμπρότερον οἵστισιν ἔλαμψας. Εἷς Θεὸς ἐκ Πατρὸς δι' Υἱοῦ εἰς τὸ μέγα Πνεῦμα ἱσταμένης τῆς θεότητος ἐν τελείοις τελείας. »

Gregorius Theologus carmine heroico, quo documenta virginibus explicat, dicit : « Propitia, propitia nobis, sancta Trinitas in unum concurrens ex uno oculis sublucens splendidis, Hodie, ultimo autem clarius quibus splenduisti. Unus Deus ex genitore per Filium in magnum Spiritum, stante divinitate in perfectis perfecta. » Paraphrasis sic se habet : C « Propitia, propitia nobis, o pura Trinitas, in unum procedens ex uno oculis aspiciens lucidis hodie, postremum vero dilucidius, quibus eluxisti unus Deus ex Patre per Filium in magnum Spiritum, stante divinitate in perfectis perfecta. »

Ὁ Δαμασκηνὸς ἐν τῷ ιγ' τῶν Θεολογικῶν αὐτοῦ κεφαλαίων, οὗ ἡ ἀρχὴ, « Τὸ Θεῖον ἀκατάληπτον, » περὶ τοῦ Πατρός φησιν· « Αὐτὸς μὲν οὖν ἐστι νοῦς, λόγου ἄβυσσος, Λόγου γεννήτωρ, καὶ διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος. »

Damascenus in decimo tertio capite theologico, cujus illud est principium : « Deus incomprehensibilis cum sit ; » de Spiritu sancto dicit : « Ipse quidem mens est, rationis abyssus, Verbi genitor, explanantisque Spiritus per Verbum productor. »

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ· « Τὸ δὲ Πνεῦμα ἅγιον ἡ ἐκφαντορικὴ τῆς θεότητος δύναμις τοῦ Πατρὸς ἐκ Πατρὸς ἐστι δι' Υἱοῦ ἐκπορευομένη. »

Idem ibidem : « Ac postremo Spiritus sanctus Patris potentia est, divinitatis latebram declarans, a Patre quidem per Filium procedens. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν· « Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ Θεοῦ D Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν. Οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων ἐν ὑπάρξεσιν ἰδικαῖς ἰδιότητα τηρῶν, μίαν τε καὶ ὁμοούσιον τὴν πάντων βασιλίδα προσκυνήσεις φύσιν. »

Sanctus Cyrillus lib. II ad Hermiam, ait : « Sanctum porro Spiritum dixeris, qui ex Deo Patre per Filium naturaliter effunditur, et ut exemplo id extricem respirationis, suam nobis exsistentiam indicat. Hac ratione planam et inconfusam trium hypostaseon in exsistentiis propriis proprietatem unam conservans, unam et consubstantialem omnium regiam adorabis naturam. »

Ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος Ἀντιῤῥητικῷ οἷον ἀντιθετικῶς λέγει· « Τί οὖν ὃ λείπει, » φησὶ, « Τῷ Πνεύματι πρὸς τὸ εἶναι Υἱόν; εἰ μὴ γὰρ λεῖπόν τι ἦν, Υἱὸς ἂν ἦν. » Ἐπιφέρει δέ· « Οὐ λεῖπόν φαμεν. Οὐ γὰρ ἐλλιπὴς ὁ Θεός. Τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον καὶ τὴν κλῆσιν αὐτῶν πεποίηκεν. »

Gregorius Theologus in Antirrhetico de Spiritu sancto, quasi sibi opponens, inquit : « Quid igitur est, quod deest Spiritui, ne Filius sit : nisi enim aliquid deesset, utique esset Filius ? » Subdit itaque : « Nihil deesse dicimus, neque enim Deus aliquo deficitur. Verumtamen apparitionis, ut ita dicam, aut mutuæ habitudinis diversitas, diversam et eorum appellationem effecit. »

Digitized by Google Распознавание текста ABBYY FR

Gregorius Nyssenus oratione ad Ablabium, quæ incipit : « Justum est equidem vos, qui viribus polletis in omni robore decertare, » scribit : « Immutabilem et per omnia similem naturam confitentes, discrimen causæ et effectus non inficiamur, in quo solum disjungi alterum ab altero deprehendimus ; cum credamus hoc quidem causam esse, illud ex causa, et illius, quod ex causa est, aliud rursus discrimen comprehendimus. Namque hoc quidem est immediate a primo, hoc vero ex contiguo a primo : adeo ut unigenitum indubitatum maneat in Filio, et ex Patre esse Spiritum, Filii meditatione, sibi ipsi unigenitum conservante, et Spiritum a naturali ad Patrem habitudine non arcente. »

Idem oratione de Spiritu sancto adversus Macedonianos, ait : « In quibus quæ secundum bonum operatio est, nullam imminutionem, aut immutationem habet. Quomodo rationi consentaneum fuerit ordinem secundum numerum imminutionis alicujus, aut secundum naturam immutationis signum esse existimare. Quemadmodum si quis in tribus lampadibus subdivisam flammam conspiciens ; causam vero tertii luminis supponamus esse primam flammam, ex communicatione cum medio extremum inflammantem ; postmodum astrueret in prima flamma abundare calorem ; eam vero, quæ subsequitur, immutari, et paulatim imminui ; tertiam nec ignem amplius censendum esse, licet æqua ratione aduret, et splendeat, omniaque ignis operetur. »

Sanctus Maximus in expositione, « Quomodo intelligi debet aureum candelabrum, et super illud parva lampas, et lucernæ, » tradit : « Spiritus enim sanctus quemadmodum natura secundum essentiam est, Dei et Patris, ita et Filii secundum essentiam est, tanquam qui ex Patre essentialiter per Filium genitum, modo, qui exprimi verbis non potest, procedens. »

Divus Tarasius ad præsules et sacerdotes Antiochiæ, Alexandriæ, et sanctæ civitatis epistola, quæ incipit : « Multa et magna providentia Dominus Deus hominum vitas regens et protrahens, » post multa alia subdit : « Et in Spiritum sanctum Dominum et vivificantem, qui ex Patre per Filium procedit, et Deus esse cognoscitur. »

Magnus Athanasius, ad Serapionem de Spiritu sancto epistola, cujus principium : « Fortasse admiraberis, quomodo præcipiens, » scribit : « Neque enim extra Verbum Spiritus est, sed in Verbo exsistens, in Deo per ipsum est. » Et paucis interjectis : « Spiritus vero cum sit in Verbo, manifestum fuerit in Deo fuisse per Verbum Spiritum. »

Gregorius Nyssenus oratione prima Antirrhetica adversus Eunomium, quæ incipit : « Fieri, u videtur, non potest, ut qui de omnibus bene meneri, » dicit : « Pater quidem sine principio, et ingenitus, et semper Pater intelligitur ; ex eo vero

A Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον, οὗ ἡ ἀρχὴ, « Ὑμᾶς μὲν δίκαιον τοὺς ἀκμάζοντας ἐν πάσῃ δυνάμει διαγωνίζεσθαι, » φησί· « Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου καὶ τοῦ ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. »

B Ὁ αὐτὸς ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος κατὰ Μακεδονιανῶν λόγῳ φησίν· « Ἐφ' ὧν γὰρ ἡ κατὰ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάττωσιν καὶ παραλλαγὴν ἔχει, πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλαττώσεώς τινος ἢ τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον εἶναι· ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν πρώτην φλόγα, αἰτίαν δὲ φωτὸς τοῦ τρίτου ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν· ἔπειτα κατασκευάζει πλεονάζων ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν· τῇ δ' ἐφεξῆς ὑποδεδηκέναι, καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν· τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λογίζεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ, καὶ πάντα τὰ τοῦ πυρὸς C ἐργάζηται. »

Ὁ ἅγιος Μάξιμος ἐν οἷς ἑρμηνεύει, « Τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία καὶ τὸ ἐπ' αὐτῇ λαμπάδιον, καὶ οἱ λύχνοι, » φησίν· « Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον, ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ κατ' οὐσίαν ἐστὶν, ὡς ἐκ τοῦ Πατρὸς οὐσιωδῶς δι' Υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. »

Ὁ θεῖος Ταράσιος ἐν τῇ πρὸς ἀρχιερεῖς καὶ ἱερεῖς τῆς Ἀντιοχείας, Ἀλεξανδρείας, καὶ τῆς ἁγίας πόλεως ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Πολλαῖς καὶ μεγάλαις προνοίαις Κύριος ὁ Θεὸς τοὺς τῶν ἀνθρώπων βίους διευθύνων τε καὶ διεξάγων, » μετὰ πολλὰ ἕτερά φησιν· « Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύομενον, καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον.

Ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ἴσως θαυμάσεις πῶς ἐντειλάμενος, » φησίν· « Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ Λόγῳ ὄν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστιν. » Καὶ μετ' ὀλίγα· « Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. »

Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, « Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας εὖθέλειν εὐεργετεῖν, » φησί· « Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος νοεῖται· ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ

Digitized by Google Распознавание текста ABK/FR

συνεπινοεῖται· δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱόν, ὥστε τὸν Μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων, καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς· διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς ἢ τοῦ Μονογενοῦς ἀποτέμνεται. »

A immediate, et indivise unigenitus Filius cum Patre simul intelligitur; per hunc autem, et cum ipso, antequam inanis, et non subsistens in medio perceptio incidat, statim Spiritus sanctus junctim concipitur, non post Filium exsistentia subsistens, ut aliquando unigenitus absque Spiritu concipiatur, sed ex rerum omnium Deo et ipse suæ essentiæ causam habens, unde et unigenitum lumen oritur, per verum autem lumen elucescens, neque distantiæ, neque naturæ diversitate a Patre sive ab Unigenito dividitur. »

Αἱ προῦσαι γραφικαὶ συνελέγησαν χρήσεις εἰς παράστασιν τοῦ ἰσοδυνάμου τῆς *διὰ* καὶ τῆς *ἐκ*.

Hæc scripto tradita testimonia collecta sunt ad confirmandas præpositionum *per* et *ex* vires æquales.

Ὁ μέγας Βασίλειος ἐν τῷ οὑτωσί πως ἐπιγραφομένῳ περὶ τοῦ ἁγίου Πνεύματος κεφαλαιώδει λόγῳ πέμπτῳ αὐτοῦ πρὸς τὸν μακάριον Ἀμφιλόχιον, οὗ ἡ ἀρχή· « Τὰ μὲν δὴ ἐκείνων τοιαῦτα· ἡμεῖς δὲ δείξομεν ὃ προεθέμεθα, » φησίν· « Ἤδη δὲ καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίσταται ἡ *διὰ* καὶ ἡ *ἐκ*, ὅταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ, οἷον ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, ἴσον λέγων τὸ ἐκ τοῦ Θεοῦ· » καὶ ἑτέρωθι· « Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ προστάγματος Κυρίου. » Καὶ πάλιν· « Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν. Ἀντὶ τοῦ ἐκ τοῦ Θεοῦ εἰπεῖν, διὰ τοῦ Θεοῦ εἴρηκεν. »

B Magnus Basilius in compendiosa oratione de Spiritu sancto quinta ad beatum Amphilochium, quæ incipit : « Ad hunc quidem modum se habent quæ ab istis afferuntur : nos vero demonstrabimus quod proposuimus, » scribit : « Verum enimvero ea quæ ab ipsis significantur sæpenumero invertuntur, quoties altera alterius recipit significationem, veluti possedi hominem per Deum; » et alibi, « Quæ præcepit Moyses Israeli per mandatum Domini; » et rursus, « Nonne per Deum horum manifestatio est? Pro eo quod erat ex Deo, per Deum dixit. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν φησίν· « Οἷδε τοῖς σφῶν αὐτῶν συναθλοῦντων δόγμασι, καὶ πειράσθων ἀναπείθειν ὡς ἀμείνων μὲν ἢ καθ' Υἱὸν ζωοποιὸς ὁ Πατήρ, μείων δὲ ἢ κατ' αὐτὸν, καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱός. Ἀλλ' ἔσονται μὲν οὐχ οἵοί τε τοῦτο δρᾶν. » Καὶ μετ' ὀλίγα, « Εἶτα τιμᾷν οἴονται τὸν Πατέρα τὸν ἐξ αὐτοῦ πεφηνότα κατὰ φύσιν Υἱὸν, ταῖς εἰς τὸ μεῖον καταλυποῦντες ψήφοις, καίτοι λέγοντα σαφῶς· « Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. Τίνα γὰρ τρόπον καταθρήσαιμεν ἂν ζωὴν ὄντα κατὰ φύσιν καὶ τὸν Υἱόν; Τί δὲ οὐχὶ καὶ φάσκοντι πιστευτέον τὸ, « Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἀλήθεια καὶ ἡ ζωή; » Συνάρθρως δὲ καὶ μοναδικῶς ἑαυτὸν εἶναι λέγων τὴν ζωὴν, ἆρ' οὐκ ἐξώσειεν ἂν τοῦ εἶναι ζωὴν τὸν Πατέρα καὶ Θεόν, εἰ μὴ φύσεως μιᾶς ἄμφω τε εἶναι δώσομεν, καὶ δι' ἀμφοῖν εἰς ἡμᾶς ἐν ἴσῳ τὸ χρῆμα ἰέναι, καὶ οὐ τοί που δυοῖν, ἀλλ' ὡς ἐξ ἑνὸς τοῦ τὰ πάντα ζωογονοῦντος Θεοῦ. »

C Sanctus Cyrillus libro v ad Hermiam : « Illi autem sua dogmata adjuvent, et attentent suadere, excellentiori quodam modo, quam non est Filius, Patrem vivificum esse, minoremque esse Filium, quam Pater sit; licet vita natura sua Filius sit, sed scio quod non possunt hoc facere. » Et post pauca : « Postmodum honorare putant Patrem, dum Filium ex eo secundum naturam natum suis calculis, ut minor sit, offendunt, quamvis manifeste dicat : « Qui credit in me, non credit in me, sed in eum qui misit me. Et qui videt me, videt et eum, qui misit me[9]. » Nam quomodo videremus vitam exsistentem, secundum naturam et Filium? Cur autem non et dicenti credendum : « Ego sum via, veritas, et vita[10]? » Cum articulo autem et singulariter se ipsum esse dicens vitam, an non Patrem et Deum suum negaverit esse

D Ὁ αὐτὸς ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν· « Ὃ γὰρ ἂν δρῷτο παρὰ Πατρὸς, τοῦτο δὴ πάντως ἐστὶν ἐνέργημα τοῦ Υἱοῦ, καὶ ὅ τι ἂν λέγοιτο διαπεραίνεσθαι δι' Υἱοῦ, τοῦτο δὴ πάντως ἐστὶ κατόρθωμα τοῦ Πατρός. Πάντα γὰρ δι' ἀμφοῖν ἐν ἴσῳ. »

vitam, nisi unius naturæ ambos dederimus, ut per ambos ad nos æqualiter vitam venire et non ex duobus, sed ex uno Deo nos vivificante. »

Idem libro vi ad Hermiam : « Quidquid etenim a Patre fit, id ipsum prorsus Filii operatio est, et quidquid dicitur per Filium perfici, id ipsum res gesta a Patre est. Omnia enim per utrumque æquo modo procedunt. »

Ὁ ἅγιος Κύριλλος ἐν μιᾷ τῶν πρὸς Νεστόριον ἐπιστολῇ αὐτοῦ, ἧς ἡ ἀρχὴ, « Καταφλυαροῦσι μέν ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας, » φησίν· « Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς, ὦ Νεστόριε, Ἆρ' οὖν, εἰπέ μοι, θεότητος μήτηρ γέγονεν

Sanctus Cyrillus in una ad Nestorium epistola, quæ incipit : « Nugantur quidam coram pietate tua, sicuti cognovimus contra existimationem meam, » scribit : « Sed forte dicis illud, o Nestorie, Dicito mihi, num divinitatis Mater facta est

[9] Joan. xii, 44, 45. [10] Ibid. xiv, 6.

Digitized by Google Распознавание текста ABBYY FR

Virgo? Ad id nos respondemus natum esse, neque de eo quispiam dubitat, ex ipsa essentia Patris et Dei vivens, et in hypostasi sua exsistens Verbum : in extremis porro sæculi temporibus, cum caro factum est, unitus duntaxat carni est, animam possidenti rationis compotem, et secundum carnem dicitur per mulierem natum. » Et post pauca : « Quando accepta carne factus est Filius hominis, necesse est fateri, eum natum esse secundum carnem per mulierem. » Rursusque statim post nonnulla alia : « Ex Deo Patre Verbum ex sancta Virgine est. » Et post pauca : « Factum est secundum nos ex muliere. » Et post tria vel quatuor periodi membra : « Ex Deo Patre Verbum in forma, qui eum genuerat exsistens inhabitavit in homine generato per mulierem. » Et paucis additis : « Sed quispiam dixerit, quæ est differentia Christi et Moysis, si uterque ex muliere natus est? » Et nonnullis interjectis : « Erat quidem Verbum veluti in proprio corpore, quod ex muliere erat : tradebat autem illud morti ad tempus. »

Idem sanctus Cyrillus ad piissimum imperatorem Theodosium Prosphonetico, qui incipit : « Gloriæ, quæ in hominibus est supremum, » inquit : « Ex Deo Patre Verbum manifestavit semetipsum in carne : namque natum est per sanctam et Deiparam Virginem, forma servi accepta. » Et post quædam alia : « At opinari nonnullos Verbum, quod a Patre genitum est, per sanctam Virginem generationem renuisse, equidem hoc de œconomia male sentientium est. » Et multis post modum adjectis in eadem : « Non genitum fuisse ex muliere Emmanuelem dicimus? Verum quomodo ascendit in eum locum, in quo morari ipse dicit? Et tamen corpus illi unitum per sanctam Virginem generatum est. »

Magnus Athanasius oratione prima contra Arianos cujus principium : « Omnes hæreses quæcunque veritatem apprehenderunt, insaniam sibi, » scribit : « Cum igitur eo ætatis homo provenerit, qua virilitatem acquirit, statim nullo impediente, natura sua, homo pater fit Filii, qui per ipsum est. »

Sanctus Cyrillus in dictum Joannis : « Omnia per ipsum facta sunt [11], » dicit : « Quod si putant, quoniam per ipsum scriptum est, per Filium dictum de Filio, a naturali Patris æqualitate decidere, et naturali similitudine, et tum potius administrum esse quam opificem, vesani hi considerent inter sese, accedantque in medio nostri responsuri, quid de ipso Patre cogitabimus, quem eum esse deprehendemus? cum particulam *per*, in Scripturis divinis de se ipso dici non recuset? « Fidelis enim, inquit, Deus per quem vocati estis, in communionem Filii ejus [12]. » Et « Paulus apostolus servus Dei per voluntatem Dei [13]. » Et rursus Paulus ad alios scribens : « Itaque non est servus

[11] Joan. I, 3. [12] I Cor. I, 9. [13] Tit. I, 1.

ἡ Παρθένος ; Καὶ πρός γε τοῦτό φαμεν ὅτι γεγένηται μὲν ὁμολογουμένως ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ὁ ζῶν τε καὶ ἐνυπόστατος αὐτοῦ Λόγος, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, ἐπειδὴ γέγονε σὰρξ, τουτέστιν ἠνώθη σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν, καὶ σαρκικῶς γεγεννῆσθαι λέγεται « διὰ γυναικός. » Καὶ μετά τινα βραχέα· « Ἐπειδὴ σάρκα λαβὼν κεχρημάτικε καὶ Υἱὸς ἀνθρώπου, ἀναγκαῖον ὁμολογεῖν ὅτι γεγέννηται κατὰ σάρκα διὰ γυναικός. » Καὶ πάλιν μετὰ βραχέα τινά· « Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἐκ τῆς ἁγίας Παρθένου ἐστί· » καὶ μετ' ὀλίγα πάλιν· « Γεγέννηται καθ' ἡμᾶς ἐκ γυναικός· καὶ μετὰ τρία ἢ τέσσαρα κῶλά φησιν· « Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἐν μορφῇ τοῦ γεγεννηκότος ὑπάρχων κατῴκησεν ἐν ἀνθρώπῳ γεννηθέντι διὰ γυναικός. » Καὶ μετά τινα· « Ἀλλ' ἴσως φαίη τις ἄν, τίς ἡ διαφορὰ Χριστοῦ καὶ Μωσέως, εἴπερ ἄμφω γεγόνασι διὰ γυναικός, » Ἀλλὰ μετά τινα βραχέα φησίν· « Ἦν μὲν γὰρ ὁ Λόγος ὡς ἐν ἰδίῳ σώματι τῷ ἐκ γυναικὸς, ἐδίδου δὲ αὐτὸ, τῷ θανάτῳ κατὰ καιρόν. »

Ὁ αὐτὸς ἅγιος Κύριλλος, ἐκ τοῦ πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον Προσφωνητικοῦ, οὗ ἡ ἀρχὴ· « Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω, » φησίν· « Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἐφανερώθη ἐν σαρκί. Γεγέννηται γὰρ διὰ τῆς ἁγίας καὶ θεοτόκου Παρθένου, μορφὴν δούλου λαβών. » Καὶ μετά τινα· « Τὸ δὲ οἴεσθαί τινας, τὸν ἐκ Θεοῦ φύντα Λόγον τὴν διὰ τῆς ἁγίας Παρθένου ἀνήνασθαι γέννησιν, δυσχημούντων ἐστὶ τὴν οἰκονομίαν. » Καὶ μετὰ πολλὰ ἐν τῷ αὐτῷ· « Οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; Ἢ πῶς ἀναβέβηκεν ἔνθαπερ εἶναί φησιν αὐτός; καί τοι τεχθέντος διὰ τῆς ἁγίας Παρθένου τοῦ ἑνωθέντος αὐτῷ σώματος.

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, « Αἱ μὲν αἱρέσεις ὅσαι τῆς ἀληθείας ἐπινοήσασαι, μανίαν ἑαυταῖς φανεραὶ τυγχάνουσι, » φησίν· « Ὅταν οὖν εἰς τοῦθ' ἡλικίας ὁ ἄνθρωπος πρόέλθῃ, ᾗ καὶ τὸ δυνατὸν ἡ φύσις παρέχει, εὐθὺς ἀνεμποδίστως τῇ φύσει πατὴρ ὁ ἄνθρωπος γίνεται τοῦ δι' αὐτοῦ Υἱοῦ. »

Ὁ ἅγιος Κύριλλος, εἰς τὸ ῥητὸν τοῦ κατὰ Ἰωάννην, τὸ πάντα δι' αὐτοῦ ἐγένετο, » φησίν· « Εἰ δὲ νομίζουσι δύνασθαι τὸ δι' Υἱοῦ λεγόμενον ἐφ' Υἱοῦ, καταφέρειν αὐτοῦ τὴν οὐσίαν τῆς πρὸς τὸν Πατέρα ἰσότητός τε καὶ φυσικῆς ὁμοιότητος, ὡς ὑπουργὸν εἶναι μᾶλλον, ἢ δημιουργὸν, διασκεπτέσθωσαν οἱ παράφρονες, καὶ εἰς μέσον ἡμῶν ἡκόντων ἀπολογησόμενοι, τί ποτε ἄρα καὶ περὶ αὐτοῦ τοῦ Πατρὸς ἐννοήσομεν; τίνα δὲ εἶναι καὶ αὐτὸν ὑποτυφόμεθα ὅταν φαίνηται δεχόμενος τὸ δι' οὗ παρὰ τῇ Θείᾳ Γραφῇ; Πιστὸς γὰρ, φησίν, ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ. » Καὶ « Παῦλος Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. » Καὶ πάλιν πρός τινας ὁ Παῦ-

Digitized by Google Распознавание текста ABK/FR

λος ἐπιστέλλει· « Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ' Υἱός, εἰδὲ Υἱὸς καὶ κληρονόμος διὰ Θεοῦ, ταῦτα δὴ σύμπαντα τὴν ἀναφορὰν εἰς τὸ τοῦ Θεοῦ καὶ Πατρὸς ἔχει πρόσωπον, καὶ οὐ δήπου πρὸς τοῦτο μανίας ἐλάσειέ τις, εἰ μὴ τύχη τοῖς προειρημένοις τὰ ἴσα φρονῶν, ὡς τὸ τῆς ὑπουργίας ὄνομά τε καὶ πρᾶγμα, καὶ αὐτῆς κατηγορεῖσθαι τῆς τοῦ Πατρὸς δόξης εὐλόγως εἰπεῖν, ἐπείπερ ἠνέχθη καὶ ἐπ' αὐτοῦ τό, δι' οὗ. Ἀδιαφορεῖ γὰρ ἔσθ' ὅτε περὶ τὰς λέξεις ἡ θεία Γραφή, μηδὲν ἀδικοῦσα, τὸ ὑποκείμενον, καταχρηστικώτερον δέ πως ἐπιφέρουσα τοῖς σημαινουμένοις τά τε ῥήματα, καὶ τὰ δι' ὧν ἂν οἴηται καταδηλοῦσθαι καλῶς. »

A sed Filius, et si Filius et hæres per Deum[14]. » Hæc omnia ad personam Dei et Patris referuntur, et nemo adeo insanit, ut non cum jam antea dictis consentiat, ut ministerii nomen et rem ipsi Patri gloriæ cum ratione accommodet, cum etiam de eo particula *per*, prolata est. Indifferenter enim plerumque dictionibus abusionis modo Scriptura ita utitur, ut probe res grandes, quantum possibile homini est, significet. »

Ὁ αὐτὸς ἐν τῷ πρώτῳ τῶν πρὸς Παλλάδιον φησιν· « Τρεπτὸν δὲ οὔ τοί που τὸ Πνεῦμά ἐστιν; ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν· εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρός, καὶ μὴν καὶ τοῦ Υἱοῦ τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἢ ὡς ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα. »

B Idem ad Palladium libro I scribit : « Mutabilis vero nullo modo Spiritus est : quod si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris præterea et Filii essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus. »

Ὁ Δαμασκηνὸς ψάλλων, νῦν μὲν λέγει· « Θεὸν ἐγέννησας, Μῆτερ ἁγνή, σεσαρκωμένον ἐκ σοῦ, θεοπρεπῶς, πανύμνητε· » νῦν δέ· « Διὰ σοῦ, Μῆτερ Παρθένε, φῶς ἀνέτειλε πάσῃ τῇ οἰκουμένῃ φαιδρόν· » καὶ πάλιν· « Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου. »

Damascenus concinens nunc quidem dicit : « Deum peperisti, Mater immaculata, qui divino quodam modo carnem ex te assumpsit, omni præconio digna, » nunc vero : « Per te Mater et Virgo lumen toti terrarum orbi illuxit, » et rursus : « Ex te induit massam meam. »

ΕΠΙΓΡΑΦΗ Β'.

Ἐπειδή εἰσί τινες ἀντιλέγοντες ταῖς γραφικαῖς χρήσεσι, ταῖς δηλούσαις, διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, συνελέγησαν καὶ αἱ παροῦσαι γραφικαὶ χρήσεις, αἱ δηλοῦσαι προσεχῶς καὶ ἀμέσως τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς εἶναι, εἰς συγκρότησιν C τῶν χρήσεων τῶν δηλουσῶν, διὰ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα. Εἰ μὴ γὰρ ἦν τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ, διατί μὴ καὶ αὐτὸ ἀμέσως ἐῤῥέθη εἶναι ἐκ τοῦ Πατρός.

EPIGRAPHE II.

Cum sint plerique, qui scripto mandatis testimoniis, quibus per Filium esse Spiritum ex Patre astruitur, contradicunt, hæc quoque dicta, ac testimonia collecta sunt, quæ continenter et immediate Filium ex Patre esse commonstrant, ad corroboranda dicta, quæ probant, per Filium esse Spiritum. Namque si Spiritus non esset per Filium, quare non et ipse immediate esse ex Patre dictus est ?

Ὁ μέγας Βασίλειος ἐν τῷ δευτέρῳ τῶν πρὸς Εὐνόμιον, οὗ ἡ ἀρχή, « Ἐν τοίνυν τοῖς περὶ Θεοῦ τῶν ὅλων λόγοις, » φησίν· « Ἀρχὴ μὲν τοῦ Πατρὸς οὐδεμία, ἀρχὴ δὲ τοῦ Υἱοῦ ὁ Πατήρ, μέσον τούτων οὐδέν. Πῶς οὖν οὐκ ἦν τὸ ἐξ ἀρχῆς ὁ μηδὲν ἔχων προσπεινοούμενον ἑαυτοῦ, εἰ μὴ τὸν ἐξ οὗ ἔχει τὸ εἶναι, οὐ διαστήματι ὑπερέχοντα, ἀλλὰ τῇ αἰτίᾳ προτεταγμένον ; Εἰ τοίνυν ἀΐδιος ἡ τοῦ Υἱοῦ κοινωνία πρὸς τὸν Πατέρα καὶ Θεὸν ἀναπέφανται, τῆς διανοίας ἡμῶν ἀπὸ τοῦ Υἱοῦ δι' οὐδενὸς κενοῦ πρὸς Πατέρα χωρούσης, ἀλλ' ἀδιαστάτως τῷ Πατρὶ τὸν Υἱὸν συναπτούσης, ὁ μηδενὶ μέσῳ διοριζόμενος τίνα ἔτι παρείσδυσιν καταλίπει τῇ πονηρᾷ αὐτῶν βλασφημίᾳ ; »

D Magnus Basilius in secundo contra Eunomium, qui incipit : « Cum igitur in ea oratione, quam de Deo omnium habuit, » scribit : « Patris igitur origo nulla, origo vero Filii Pater, inter hos autem nihil. Quomodo igitur non erat a principio, nam hoc est illud ante suam subsistentiam, quod per cavillationem ab istis dicitur, is ante quem nihil intelligitur, nisi Pater, a quo et esse habet, non per intervallum superiore, sed pro causa præordinato. Si ergo æterna conjunctio Filii cum Patre et Deo ostenditur : cum nostra cogitatio a Filio haud per ullum vacuum ad Patrem tendat, sed absque intervallo Patri Filium conjungat, qui nullo medio disparatur, quem aditum relinquit perniciosæ blasphemiæ eorum? »

Ὁ αὐτὸς ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ. Ἧς ἡ ἀρχή, « Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ, » φησίν· « Εἰ γὰρ ἀνώτερον Θεοῦ τὸ Πνεῦμα, οὐκ ἐκ τοῦ Θεοῦ. Εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερόν ἐστι τοῦ ἐξ οὗ ἐστιν ; ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον; οὐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρός. »

Idem epistola ad canonicas, quæ incipit : « Quantum nos tristis rumor aures nostras circumtonans. Quod si Spiritus Deo subsistit superior nequaquam potest ex Deo esse. Quod si ex Deo sit antiquior esse Deo qui potest, ex quo est? sed nec Unigenito prior, cum inter Filium sit et Patrem nihil interveniat. »

Ὁ Νύσσης Γρηγόριος, ἐν τῷ πρώτῳ τῶν πρὸς

Gregorius Nyssenus oratione prima Antirrhetica

[14] Galat. IV, 7.

Digitized by Google Распознавание текста ABK/FR

adversus Eunomium, quæ incipit : « Fieri, ut videtur, non potest, ut qui de omnibus bene mereri, » scribit : « Pater quidem sine principio, et ingenitus, et semper Pater intelligitur ; ex eo vero immediate et indivise unigenitus Filius cum Patre simul intelligitur ; per hunc autem et cum ipso, antequam inanis et non subsistens in medio perceptio incidat, statim Spiritus sanctus junctim concipitur, non post Filium exsistentia subsistens ut aliquando Unigenitus absque Spiritu concipiatur, sed ex rerum omnium Deo et ipse suæ essentiæ causam habens, unde et Unigenitum lumen oritur, per verum autem lumen elucescens Spiritus, neque distantiæ, neque naturæ diversitate a Patre, sive ab Unigenito Filio dividitur, vel sejungitur. »

Idem libro quarto adversus Eunomium, cujus principium : « Jam tempus est et generati naturam examinare, » inquit : « Cum apud nos inconfesso sit Filii erga Patrem conjunctum et indivisum, ita ut inter eos nullum medium intersceatur. »

Idem 8 adversus Eunomium, cujus principium : « Valida igitur Eunomii hæc sunt, » inquit : « Neque enim immediata ista contiguitas rejicit voluntatem Patris, quasi iste naturæ quadam necessitate absque libera electione Filium habuerit. » Et nonnullis annexis : « Immediata est Filii erga Patrem conjunctio, nec repellitur ab indivisibili conjunctione consilium, cum illud inhæreat, nec sit extra bonam naturam. »

Sanctus Cyrillus in uno ex capitibus libri primi Thesaurorum, ait : « Generat Pater Filium nullo interposito medio. »

Idem in dictum : « Hic erat in principio apud Deum [15], » in expositione Evangelii secundum Joannem, ait : « Immediate et contigue est Filius in Deo et Patre. »

Idem in illud dictum : « Omnia per ipsum facta sunt [16], » dicit : « Una cum Patre Filium intelligimus propter essentiæ immutabilitatem, et excellentissimo modo continuitatem, et immediationem ipsius cum illo, ex quo naturaliter progreditur. » Et paucis annexis : « Verbum enim et sapientia Filius est, quod ex mente et in mente continue, et inseparabiliter, et inter se ipsa eorum quæ notantur, ut quidam diceret, reciprocam immissionem. »

Sanctus Epiphanius oratione in magnum Sabbatum, cujus principium : « Quid hoc est ? » ait : « In medio duorum viventium agnitus Jesus Christus in medio Patris et Filii duorum viventium, vita ex vita, natura vita cognitus. »

Sanctus Cyrillus libro VI ad Hermiam dicit : « Sequentes igitur sacrarum Scripturarum fidem, et a sapientibus admodum tritam et viam, ut ita dicam, vehicularem calcantes, robur Dei et Patris

[15] Joan. I, 2. [16] ibid. 3.

A Εὐνόμιον Ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, « Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν, » φησίν· « Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος νοεῖται· ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται, δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διαμέσου παρεμπεσεῖν νόημα εὐθὺς καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτὲ τὸν Μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε διαστήματι, οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς, ἢ τοῦ Μονογενοῦς ἀποτέμνεται. »

B Ὁ αὐτὸς ἐν τῷ δ' τῶν κατ' Εὐνομίου, οὗ ἡ ἀρχὴ, « Καιρὸς δ' ἂν εἴη καὶ τὴν περὶ τοῦ γεννήματος ἐξετάσαι φύσιολογίαν, » φησίν· « Ἐπειδὴ καὶ παρ' ἡμῶν ὁμολογεῖται τοῦ Υἱοῦ τὸ πρὸς τὸν Πατέρα συναφές τε καὶ ἀμέριστον, ὡς μηδὲν εἶναι τὸ διὰ μέσου τούτων παρενειρόμενον. »

Ὁ αὐτὸς ἐν τῷ η' τῶν πρὸς Εὐνόμιον λόγῳ, οὗ ἡ ἀρχὴ, « Τὰ μὲν οὖν ἰσχυρὰ τοῦ Εὐνομίου τοιαῦτα, » φησίν· « Οὐδὲ γὰρ ἡ ἄμεσος αὕτη συνάφεια ἐκβάλλει τὴν βούλησιν τοῦ Πατρὸς, ὡς κατά τινα φύσεως ἀνάγκην ἀπροαιρέτως τὸν Υἱὸν ἐσχηκότος. » Καὶ μετά τινα· « Ἄμεσός ἐστιν ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συνάφεια, καὶ οὐκ ἐξωθεῖται ἀπὸ τῆς ἀδιαστάτου συναφείας βούλημα τὸ τῇ ἀγαθῇ φύσει ἐντὸς ἐνυπάρχον. »

C Ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν φησιν· « Γεννᾷ ὁ Πατὴρ τὸν Υἱὸν ἀμεσιτεύτως. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, » ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην φησιν· « Ἀμέσως καὶ προσεχῶς ἐστιν ὁ Υἱὸς ἐν τῷ Θεῷ καὶ Πατρί. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Πάντα δι' αὐτοῦ ἐγένετο, » φησίν· « Συνεῖναι δὲ τῷ Υἱῷ τὸν Πατέρα νοοῦμεν διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας καὶ τὸ ἄκρως προσεχές τε καὶ ἄμεσον αὐτοῦ πρὸς τὸ ἐξ αὐτοῦ φυσικῶς προελθόν· » καὶ μετ' ὀλίγα· « Λόγος μὲν γὰρ καὶ σοφία ὁ Υἱὸς, διὰ τὸ ἐκ νοῦ καὶ ἐν νῷ προσεχῶς καὶ ἀδιαστάτως, καὶ τὴν εἰς ἄλληλα τῶν σημαινομένων, ὡς ἂν εἴποι τις, ἀντεμβολήν. »

D Ὁ ἅγιος Ἐπιφάνιος, ἐν τῷ εἰς τὸ μέγα Σάββατον Λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Τί τοῦτο σήμερον, » φησίν· « Ἐν μέσῳ δύο ζωῶν γνωσθεὶς Ἰησοῦς ὁ Θεόπαις ἐν μέσῳ Πατρὸς καὶ Πνεύματος τῶν δύο ζωῶν, ζωὴ ἐκ ζωῆς, φύσει ζωὴ γινωριζόμενος. »

Ὁ ἁγιος Κύριλλος ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν φησίν· « Ἑπόμενοι τοίνυν τῇ τῶν ἱερῶν πίστει γραμμάτων, καὶ οἱονεὶ τὴν ἀτριβῆ τοῖς σοφοῖς ἀμαξιτὸν διαστειχοντες, δύναμιν τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸν

Digitized by Google Распознавание текста АВК/FR

εἶναι λέγομεν τὸν Υἱὸν ἀμέσως τε ἅμα καὶ προσεχῶς. »

Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή, « Ἄτοπον οἶμαι, καὶ καινῶς γε τοῦτο νενόμικα, » μετὰ πολλὰ πάνυ, φησὶν· Πνεῦμα, καθὰ φθάσας ἔφην, λέγεται ὁ Θεὸς, καὶ ἅγιος ὁ Θεὸς, συντιθέμενα δὲ ἄμφω τὰ ὀνόματα, τῷ ἰδίως καλουμένῳ, Πνεῦμα ἅγιον ἁρμόζει, καθάπερ ἡ τοῦ Πνεύματος ἐπίκλησις τῷ αἰτίῳ, καὶ ἡ τοῦ Υἱοῦ, τῷ ἀμέσως ἐκ τοῦ αἰτίου. »

A ipsum esse Filium dicimus, immediate simul, et continue. »

Theodorus Rhaytenus presbyter in dogmatica sua oratione, quæ incipit : « Absurdum existimo, recteque illud reputo, » quam plurimis antea expositis dicit : « Spiritus, ut jam antea dixi, Deus dicitur, et sanctus Deus ; quæ dictiones simul compositæ, illi, qui proprie Spiritus sanctus vocatur, congruent, quemadmodum Spiritus appellatio causæ, et Filii appellatio illi, qui immediate a causa est. »

ΕΠΙΓΡΑΦΗ ΙΙΙ.

Κατεστρώθησαν καὶ αἱ παροῦσαι γραφικαὶ χρήσεις εἰς συγκρότησιν τῆς ἐννοίας τῶν δηλουσῶν χρήσεων μὴ ἀμέσως, ἀλλὰ διὰ τοῦ Υἱοῦ ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα. Εἰ γὰρ ἀμέσως ἦν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, οὐκ ἂν ἐῤῥέθη ὁ μὲν Υἱὸς εἰκὼν τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ, καὶ ὁ μὲν Υἱὸς ἐνέργεια τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα ἐνέργεια τοῦ Υἱοῦ· καὶ ὁ μὲν Υἱὸς πρόσωπον τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα πρόσωπον τοῦ Υἱοῦ.

B

EPIGRAPHE III.

Præsentia quoque hæc testimonia scripto tradita digesta sunt, quibus mens sententiaque corroboratur asserentium non immediate, sed per Filium ex Patre esse Spiritum. Etenim, si immediate esset Spiritus ex Patre, nunquam appellatus fuisset Filius imago Patris, Spiritus imago Filii : et Filius operatio Patris, Spiritus operatio Filii, et Filius facies Patris, Spiritus facies Filii.

Ὁ ἅγιος Κύριλλος ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν, φησί· « Καὶ γοῦν ὁ θεῖος Δαυὶδ ζῶσάν τε καὶ ὑποστατικὸν ἐνέργειάν τε καὶ δύναμιν τοῦ Πατρὸς, εἰδὼς τὸν Υἱὸν, κατηντιβόλει λέγων « Ἔντειλε ὁ Θεὸς τῇ δυνάμει σου. Δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν » Παῦλος δὲ ὁ σοφώτατος Χριστὸν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν, ἀνακέκραγε σαφῶς. »

Sanctus Cyrillus libro VI ad Herminm scribit : « Unde et divinus David viventem et hypostaticam efficaciam, et virtutem Patris sciens precabatur, dicens : « Manda Deus virtuti tuæ, corrobora Deus hoc, quod operatus es in nobis [17]. » Paulus vero sapientissimus, Christum Dei virtutem et Dei sapientiam manifeste clamabat. »

C

Ὁ αὐτὸς ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ β' τῶν Θησαυρῶν φησί· « Δείκνυται σαφῶς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ, καὶ ὥσπερ ἐνέργειά τις φυσικὴ, πάντα δυναμένη πληροῦν ὅσα καὶ βούλεται. »

Idem in uno ex capitibus II Thesaurorum, scribit : « Ostenditur manifesto Spiritum sanctum non esse alienum a Filio, sed in ipso, et ex ipso, et uti actio quædam naturalis, quæ omnia quæcunque voluerit potest complere. »

Ὁ αὐτὸς ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν φησιν· « Ὁ Υἱός ἐστιν ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις, καὶ σοφία τοῦ Πατρός. »

Idem in uno ex capitibus primi Thesaurorum : « Filius est, vivens, et essentialis operatio et virtus et sapientia Patris. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ « ἐνέργειαν τοῦ Υἱοῦ τὸ Πνεῦμα » ὀνομάζει.

Magnus Athanasius epistola ad Serapionem, « actionem Filii Spiritum » appellat.

Ὁ ἅγιος Κύριλλος, ἐν τῷ ε' τῶν πρὸς Ἑρμείαν φησίν· « Ὅτι γὰρ οἱονεὶ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ἐκπαιδεύσειεν ἂν εὐκόλως ὁ Ψαλμῳδὸς, ποτὲ μὲν λέγων· « Ποῦ πορευθῶ ἀπὸ τοῦ προσώπου σου, καὶ ἀπὸ τοῦ Πνεύματός σου ποῦ φύγω; ποτὲ δὲ αὖ ὡς ἐκ προσώπου τῶν εἰς αὐτὸν πεπιστευκότων· « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » Κατεσφραγίσμεθα γὰρ τῷ ἁγίῳ Πνεύματι πρὸς ἐμφέρειαν καὶ ὁμοίωσιν τοῦ προσώπου τοῦ Πατρὸς, τουτέστι τοῦ Υἱοῦ. »

Idem sanctus Cyrillus libro quinto ad Hermiam inquit : « Nam quasi faciem Dei, ac Patris esse docebit facile Psaltes uno loco dicens : « Quo ibo a Spiritu tuo, et quo a facie tua fugiam [18] ? » Alio autem loco, in persona eorum qui in illum crediderunt : « Signatum est super nos lumen vultus tui, Domine [19]. » Obsignati enim sumus sancto Spiritu ad effigiem et similitudinem faciei Patris, hoc est Filii.

D

Ὁ αὐτὸς ἐν τῇ Ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ, « Ἦν τὸ φῶς τὸ ἀληθινὸν, » φησίν· « Ἀμέλει τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, τουτέστιν ὁ Υἱὸς, χορηγεῖ τῇ κτίσει τὸν φωτισμόν. »

Idem in expositione Evangelii secundum Joannem, in dictum : « Erat lumen verum [20], » inquit : « Profecto facies Dei et Patris, Filius scilicet, suppeditat creaturæ illuminationem. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, » φησίν· « Πρόσωπον γὰρ

Idem in dictum : « Operamini non cibum, qui perit [21], » ait : « Faciem enim Dei et Patris Filium

[17] Psal. LXVII, 29. [18] Psal. CXXXVIII, 7. [19] Psal. IV, 7. [20] Joan. I, 9. [21] ibid. VI, 27.

Digitized by Google Распознавание текста ABK/FR

esse dicunt, qui est rursus character, lumen vero ex ipso gratiam, quæ per Spiritum in creaturas permanat. » Et post pauca : « Cum vero nemine addubitante facies est Dei et Patris Filius, erit etiam modis omnibus ipse et character in quo Deus sigillat. »

τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν εἶναί φασιν, ὅπερ ἐστὶ πάλιν ὁ χαρακτὴρ, φῶς δὲ τὸ ἐξ αὐτοῦ τὴν διὰ τοῦ Πνεύματος ἐπὶ τὴν κτίσιν διήκουσαν χάριν. » Καὶ μετ' ὀλίγα · « Ἐπειδὴ δὲ ὁμολογουμένως πρόσωπόν ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, εἴη δήπου πάντως αὐτὸς καὶ ὁ χαρακτὴρ, ἐν ᾧ σφραγίζει Θεός. »

Idem in dictum : « Alioquin propter opera ipsa credite[21], » dicit : « Etenim si replevit cœlos Filius et extrema terræ, ad infernum nempe pertingens, quomodo non erit a ratione alienissimum continentiæ nomen ipsi attribuere : neque illud considerant, si facies illius, Spiritus nempe, facies enim Filii Spiritus appellatur, omnia replet, quomodo continentiæ terminis alligabitur. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Εἰ δὲ μὴ διὰ τὰ ἔργα αὐτὰ πιστεύετε, » φησίν · « Εἰ γὰρ πεπλήρωκε μὲν οὐρανοὺς ὁ Υἱὸς καὶ τὰ ἔσχατα τῆς γῆς, τουτέστι τὰ εἰς τὸν ἅδην, πῶς οὐ σφόδρα παραλογώτατον τὸ περιοχῆς ὄνομα προσάπτειν αὐτῷ, μηδὲ ἐκεῖνο λογισαμένους ὅτι, εἰ τὸ πρόσωπον αὐτοῦ, τουτέστι τὸ Πνεῦμα, πρόσωπον γὰρ τοῦ Υἱοῦ καλεῖται τὸ Πνεῦμα, τὰ πάντα πληροῖ, πῶς ἂν αὐτὸς εἴσω γένοιτο περιοχῆς ; »

EPIGRAPHE IV.

Cum quidam in Trinitate mediationem Filii non admittant, quæ palam aperteque a sanctis Patribus decernitur, præsentia testimonia dictaque scripto tradita collecta sunt, ad ostendendum Spiritum per Filium Patri conjungi, et ad manifestissime declarandum nemini dubium esse in Trinitate ordinem.

Magnus Athanasius oratione quarta contra Arianos, quæ incipit : « Semel Ariani statuentes, ut ex re apparet, defectores sese prævaricatoresque veritatis exhibere, in se traducere omnino velle videntur, quod scriptum est, » inquit : « Spiritus non conjungit Patri Verbum, sed potius Spiritus a Verbo illi accipit. » Et post pauca : « Cum etenim Verbum in Patre est, Spiritus vero ex Verbo datur, vult a nobis Spiritum accipi, ut cum illum acceperimus, tum habentes Spiritum Verbi quod in Patre est, videamur et nos propter Spiritum, unum cum Verbo fieri, et per ipsum cum Patre. » Et paucis adjectis : « Hac ratione in Filio et in Patre erimus, et reputabimur unum fieri, quod in nobis Spiritus est, qui est in Verbo illius, quod est in Patre. »

ΕΠΙΓΡΑΦΗ Δ'.

Ἐπειδή τινες μὴ καταδεχόμενοι τὴν ἐν τῇ Τριάδι μεσιτείαν τοῦ Υἱοῦ, προδήλως παρὰ τῶν ἁγίων θεολογουμένην, ἀπαρνοῦνται καὶ τὸ ὅλως λέγειν ὄνομα τάξεως ἐν τῇ Τριάδι, συνελέγησαν αἱ παροῦσαι γραφικαὶ χρήσεις εἰς δήλωσίν τε τοῦ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ συνάπτεσθαι τῷ Πατρὶ, καὶ εἰς παράστασιν τοῦ λέγεσθαι ἀριδήλως τάξιν ἐν τῇ Τριάδι.

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν γ' λόγῳ, οὗ ἡ ἀρχὴ. « Οἱ Ἀρειομανῖται, ὡς ἔοικε, κρίναντες ἅπαξ ἀποστάται γενέσθαι καὶ παραβάται τῆς ἀληθείας, φιλονεικοῦσιν εἰς ἑαυτοὺς ἑφελκύσαι τὸ γεγραμμένον, » φησίν · « Οὐ τὸ Πνεῦμα συνάπτει τὸν Λόγον τῷ Πατρὶ, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα παρὰ τοῦ Λόγου τοῦτο λαμβάνει. » Καὶ μετ' ὀλίγα · « Ἐπειδὴ γὰρ ὁ Λόγος ἐστὶν ἐν τῷ Πατρὶ, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Λόγου δίδοται, θέλει λαβεῖν ἡμᾶς τὸ Πνεῦμα, ἵνα, ὅταν ἐκεῖνο λάβωμεν, τότε ἔχοντες τὸ Πνεῦμα, τοῦ Λόγου ὄντος ἐν τῷ Πατρὶ, δόξωμεν καὶ ἡμεῖς διὰ τὸ Πνεῦμα, ἓν γενέσθαι ἐν τῷ Λόγῳ, καὶ δι' αὐτοῦ τῷ Πατρί. » Καὶ μετ' ὀλίγα οὕτως · « Ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ ἐσόμεθα καὶ νομισθησόμεθα ἓν γεγενῆσθαι, διὰ τὸ ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα, ὅπερ ἐστὶν ἐν τῷ Λόγῳ αὐτοῦ τῷ ὄντι ἐν τῷ Πατρί. »

Idem epistola ad Serapionem de Spiritu sancto, quæ incipit : « Litteræ tuæ sanctissimi affectus datæ sunt mihi in eremo. Ob Verbi enim cum Patre unitatem, nolunt Filium in numerum creaturarum recenseri. Cur igitur Spiritum sanctum, qui habet eamdem unitatem cum Filio, quam Filius habet cum Patre, creaturam dicunt ? Neque intelligunt quod quemadmodum, qui Filium dividunt a Patre, nequeunt tueri ut unus sit Deus, ita quoque dividentes Spiritum sanctum a Verbo, non possunt servare unam in Trinitate divinitatem. » Et multis additis in eadem : « In Christo erat Spiritus quemadmodum Filius in Patre. » Et rursum : « Sancta et beata Trinitas indivisibilis et unita cum se ipsa est, et cum enuntiatur Pater, adest una simul et illius Verbum, et Spiritus qui in Filio est; quod si Filius appellatur, in Filio Pater est, et Spiritus non

Ὁ αὐτὸς ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Τὰ γράμματα τῆς σῆς ἱερᾶς διαθέσεως ἀπεδόθη μοι ἐν τῇ ἐρήμῳ, » φησίν · « Καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Λόγου ἑνότητα οὐ θέλουσιν εἶναι τῶν γεννητῶν αὐτὸν τὸν Υἱὸν, διατί τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τὴν αὐτὴν ἔχον ἑνότητα πρὸς τὸν Υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, κτίσμα λέγουσι; Καὶ ἠγνόησαν ὅτι, ὥσπερ μὴ διαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς σώζουσι τὸν ἕνα Θεὸν εἶναι, οὕτω διαιροῦντες ἀπὸ τοῦ Λόγου τὸ Πνεῦμα, οὐκέτι μίαν τὴν ἐν Τριάδι θεότητα σώζουσιν. » Καὶ μετὰ πολλὰ ἐν τῇ αὐτῇ · « Ἐν Χριστῷ ἦν τὸ Πνεῦμα, ὥσπερ ὁ Υἱὸς ἐν τῷ Πατρί. » Καὶ πάλιν · « Ἡ ἁγία καὶ μακαρία Τριὰς ἀδιαίρετος καὶ ἡνωμένη πρὸς ἑαυτήν ἐστι, καὶ λεγομένου Πατρὸς, πρόσεστι καὶ ὁ τούτου Λόγος, καὶ τὸ ἐν τῷ Υἱῷ Πνεῦμα. Ἐὰν δὲ καὶ ὁ Υἱὸς ὀνομάζη-

[21] Joan. xiv, 12.

Digitized by Google Распознавание текста ABBYY FR

ται, ἐν τῷ Υἱῷ ἐστὶν ὁ Πατήρ, καὶ τὸ Πνεῦμα οὐκ ἔστιν ἐκτὸς τοῦ Λόγου· » καὶ μετὰ πολλά· « Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωήν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν, ἥτις γε ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς ὁμολογουμένου ἐκλάμπει, καὶ ἀποστέλλεται, καὶ δίδοται· ἀμέλει ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται· ὁ δὲ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει.

A est extra Verbum. » Et post multa : « Cum enim unus sit Filius vivens sermo, unam oportet esse perfectam et plenam sanctificatricem illam et illuminatricem vitam, vim scilicet, et facultatem ejus, et donationem, quæ a Patre dicitur procedere, quoniam a Verbo Patris desumit, mittitur et donatur : Filius vero Spiritum mittit.

Ὁ αὐτὸς ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχή, « Ἴσως θαυμάσεις πῶς ἐντειλάμενος, » φησίν· « Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ Λόγῳ ὂν ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστιν. » Καὶ μετ' ὀλίγα· « Τοῦ γὰρ Πνεύματος μετέχοντες, ἔχομεν τὴν τοῦ Λόγου χάριν, καὶ ἐν αὐτῇ τὴν τοῦ Πατρὸς ἀγάπην. » Καὶ μετ' ὀλίγα· « Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. »

Idem ad Serapionem epistola de Spiritu sancto quæ incipit : « Admirabere forsitan quid factum sit, » ait : « Non enim extra Verbum est Spiritus, sed cum sit in ipso Verbo, in Deo per illud est. » Et post pauca : « Propterea quod cum participes sumus Spiritus, habemus Verbi gratiam, et in eo B Patris charitatem. » Et post pauca : « Cum autem Spiritus sit in Verbo, palam est quod in Deo quoque sit Spiritus per Verbum. »

Ὁ αὐτὸς ἐν τῇ πρὸς Σεραπίωνα πρώτῃ φησίν· « Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱόν, οἵαν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει; »

Idem in prima ad Serapionem epistola dicit : « Hunc ordinem et hanc naturam cum habeat Spiritus erga Filium, quam habet Filius erga Patrem, quomodo qui illum creaturam appellat, id ipsum et de Filio, necessario non affirmabit? »

Ὁ ἅγιος Βασίλειος ἐν ἐνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή, » Ὅτι συνδοξαζόμενον Θεῷ τὸ Πνεῦμα δείκνυται » φησίν· « Τὸ δὲ ἐπὶ τῶν αὐτῶν θεϊκῶν ἔργων τὴν Τριάδα δοξάζεσθαι τῆς μιᾶς θεότητος μαρτύριον ὅτι μήτε χωρὶς Υἱοῦ ποιοῖ Πατήρ, μήτε Υἱὸς χωρὶς Πνεύματος. »

Sanctus Basilius in capite in quo ostenditur, glorificari cum Deo Spiritum scribit : « In eisdem autem deitatis operibus Trinitatem glorificari, quoniam nec sine Filio Pater operatur, nec Filius sine Spiritu, cujus deitatis testimonium est. »

Ὁ αὐτὸς ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή, « Ὅτι ἀπὸ τῆς θείας φύσεως ἡ ἑνότης τῆς Τριάδος γνωρίζεται, » φησί· « Καὶ οὐκ ἐνέλιπεν Υἱὸς Πατρί ποτε, οὐδὲ τῷ Υἱῷ τὸ Πνεῦμα. » C

Idem in capite cujus inscriptio : « Quod a divina natura unitas Trinitatis agnoscitur, » ait : « Et non defuit unquam Filius Patri, neque Filio Spiritus. »

Ὁ αὐτὸς ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ τῶν πρὸς Ἀμφιλόχιόν φησιν· « Ὡς τοίνυν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, οὕτω καὶ πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα, κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ Λόγου σύνταξιν. Εἰ δὲ τὸ Πνεῦμα τῷ Υἱῷ συντέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρί, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι. »

Idem in decimo septimo capite ad Amphilochium : « Quemadmodum itaque se habet Filius erga Patrem, ita se habet Filius erga Filium secundum ordinem traditum a Verbo in baptismate. Quod si Spiritus cum Filio una collocatur, et Filius cum Patre, collocabitur et Spiritus cum Patre. »

Ὁ αὐτὸς ἐν τῷ ιη' τῶν αὐτῶν κεφαλαίων φησιν· « Ἓν δὲ καὶ τὸ ἅγιον Πνεῦμα, δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον. » Καὶ μετά τινα· « Ἡ τοίνυν ὁδὸς τῆς θεογνωσίας ἐστὶν, ἀπὸ ἑνὸς Πνεύματος διὰ τοῦ ἑνὸς Υἱοῦ ἐπὶ τὸν ἕνα Πατέρα· καὶ ἀνάπαλιν ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ βασιλικὸν ἀξίωμα, ἐκ τοῦ Πατρὸς διὰ τοῦ Μονογενοῦς ἐπὶ τὸ Πνεῦμα διήκει· οὕτω καὶ αἱ ὑποστάσεις ὁμολογοῦνται, καὶ τὸ εὐσεβὲς δόγμα τῆς μοναρχίας οὐ διαπίπτει. »

Item in octavo decimo capite eorumdem : « Unus vero et Spiritus sanctus, qui per unum Filium Patri conjungitur. » Et post nonnulla : « Proinde via ad D Dei cognitionem est ab uno Spiritu per unum Filium ad unum Patrem, ac rursus nativa bonitas, et naturalis sanctimonia, et regalis dignitas a Patre per Unigenitum ad Spiritum sanctum permanat : ad hunc modum et personas profitemur, nec pium monarchiæ dogma labefactatur. »

Ὁ αὐτὸς ἐν τῇ πρὸς Γρηγόριον τὸν ἀδελφὸν ἐπιστολῇ φησιν· « Τὸ Πνεῦμα τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν καὶ σὺν τῷ Υἱῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. »

Idem epistola ad Gregorium Fratrem : « Hic Spiritus hanc notionem, ac cognoscibile signum ejus, quæ secundum hypostasim est, proprietatis habet, quo cum Filio simul et ipse se facit internosci, et ex Patre subsistit. »

Ὁ αὐτὸς ἐν τῷ τρίτῳ τῶν Ἀντιῤῥητικῶν φησιν· « Ὡς γὰρ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία

Idem in tertio Antirhetico : « Nam quemadmodum Filius ordine quidem a Patre secundus est, quoniam ab illo est, et dignitate, quoniam origo

Digitized by Google Распознавание текста ABK/FR

atque causa essendi Pater ipsi est, et quoniam per ipsum accessus et adductio ad Patrem : natura vero nullo modo secundus, quoniam in utroque una est deitas : ita videlicet et Spiritus sanctus, et si dignitate et ordine secundus a Filio est, non tamen verisimiliter alienæ ipsum esse naturæ consequetur. »

Idem adversus eumdem Eunomium Antirrhetico primo, cujus principium : « Si omnes super quos Dei ac Salvatoris nostri nomen invocatum est; Sed ordo alter naturalis est, alter artificiosus, naturalis qui creaturarum juxta creandi rationes dispositus est, et positio numeri, et causarum ad effectus relatio, ante omnia cum illud in confessis sit, ipsius naturæ Deum et creatorem et opificem esse : artificiosus vero et industria hominum excogitatus, qui in structuris et disciplinis, et dignitatibus, et numero, et similibus. Horum primum occultans Eunomius secundæ speciei ordinis mentionem fecit, aitque non esse opus asserere ordinem in Deo, cum ordo ordinante posterior sit. Illud autem vel non animadvertit, vel volens prudensque occultavit, esse genus aliquod ordinis, non nostra industria constitutum, sed secundum naturæ seriem contingens, veluti ignis ad lumen, quod ex eo est. In his etenim prius causam dicimus, posterius quod ab eo est, non intervallo ea ab invicem dirimentes; sed ante effectum causam intelligentes. Quomodo itaque rationi consentaneum fuerit ordinem denegare, in quibus est prius et posterius, non nostra industria, sed ex naturali in ipsis exsistente consecutione? Qua ergo de causa ordinem assumere in Deo respuit? Opinatur, si ostenderit nequaquam aliter prius in Deo intelligi, reliquum se habiturum, in ipsa scilicet substantia eminentiam demonstrari. Nos vero secundum causarum ad ea, quæ ex ipsis sunt, relationem præponi Filium Patri fatemur, naturæ vero diversitate nullo modo, neque secundum exsuperantiam. Sic enim et Patrem esse Deum rejiceremus, cum essentialis diversitas naturalem conjunctionem respuat. »

Idem epist. ad canonicas, quæ incipit : « Quantum nos tristis rumor aures nostras circumsonans primum afflixerat. Cum vero e substantia Patris Filium subsistere docti simus, et quidem genitum, non autem factum, ne descendamus ad corporales passionum intelligentias. Non est enim a Patre divisa in Filium essentia, neque per effluxum genuit; sed modus divinæ generationis inexplicabilis omnino. Spiritus autem sanctus cum Patri et Filio annumeretur, supra omnem consistit creaturam : locum vero obtinet illumpse quem dixi, quemadmodum nos docet in Evangelio Dominus dicens : « Euntes baptizate in nomine Patris et Filii et Spiritus sancti [22]. » Qui præponit Filio, vel Patre

[22] Matth. xxviii, 19.

τῷ εἶναι αὐτοῦ Πατέρα, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα· φύσει δὲ οὐκέτι δεύτερος, διότι θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποβέβηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως. »

Ὁ αὐτὸς ἐν τῷ α' τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν λόγῳ, οὗ ἡ ἀρχή· « Εἰ μὲν ἐβούλοντο πάντες, ἐφ' οὓς τὸ ὄνομα τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικέκληται, » φησίν· « Ἀλλὰ τάξις ἡ μὲν φυσικὴ τίς ἐστιν, ἡ δὲ κατ' ἐπιτήδευσιν· φυσικὴ μὲν, ὡς ἡ τῶν κτισμάτων κατὰ τοὺς δημιουργικοὺς λόγους ταχθεῖσα, καὶ ἡ τοῦ ἀριθμοῦ θέσις, καὶ ἡ τῶν αἰτίων πρὸς τὰ αἰτιατὰ σχέσις, ἐκείνου προδιομολογημένου, τοῦ καὶ τῆς φύσεως αὐτῆς ποιητὴν εἶναι καὶ δημιουργὸν τὸν Θεόν· ἐπιτετηδευμένη δὲ καὶ τεχνικὴ, ὡς ἡ ἐν τοῖς κατασκευάσμασι, καὶ μαθήμασι, καὶ ἀξιώμασι, καὶ ἀριθμῷ, καὶ τοῖς τοιούτοις. Τούτων τοίνυν τὸ πρότερον ἀποκρυψάμενο, ὁ Εὐνόμιος, τοῦ δευτέρου εἴδους τῆς τάξεως ἐπεμνήσθη, καί φησι μὴ χρῆναι λέγειν ἐπὶ Θεοῦ τάξιν, ἐπείπερ ἡ τάξις δευτέρα τοῦ τάττοντος. Ἐκεῖνο δὲ ἢ οὐ σύνοιδεν, ἢ ἑκὼν ἀπεκρύψατο, ὅτι ἔστι τι τάξεως εἶδος οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀπ' ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Πῶς οὖν ἐστιν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Τίνος οὖν ἕνεκεν ἀθετεῖ τὴν τάξιν λαμβάνεσθαι ἐπὶ Θεοῦ; Ἡγεῖται, εἰ ἐπιδείξειε μηδαμῶς ἄλλως τὸ πρότερον ἐπὶ Θεοῦ νοεῖσθαι, λειπόμενον ἔξειν κατ' αὐτὴν τὴν οὐσίαν τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν προτετάχθαι τοῦ Υἱοῦ τὸν Πατέρα φαμὲν, κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν οὐκέτι, οὐδὲ κατὰ τὴν τοῦ χρόνου ὑπεροχήν. Ἤ οὕτω γε καὶ αὐτὸ τὸ Πατέρα εἶναι τὸν Θεὸν ἀθετήσομεν, τῆς κατὰ τὴν οὐσίαν ἀλλοτριότητος τὴν φυσικὴν συνάφειαν ἀθετούσης. »

Ὁ αὐτὸς ἐν τῇ πρὸς τας κανονικὰς ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ, τὰς ἀκοὰς ἡμῶν περιηχήσασα, » φησίν· Ὅταν δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι διδασκώμεθα, μὴ καταπίπτωμεν ἐπὶ τας σωματικὰς τῶν παθῶν ἐννοίας. Οὐ γὰρ ἐμερίσθη ἡ οὐσία ἀπὸ τοῦ Πατρὸς εἰς Υἱὸν, οὐδὲ ῥυεῖσα ἐγέννησεν· ἀλλ' ἄῤῥητος τῆς θείας γεννήσεως ὁ τρόπος. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον Πατρὶ μὲν καὶ Υἱῷ συναριθμεῖται, διότι καὶ ὑπὲρ τὴν κτίσιν ἐστί· τέτακται δὲ τρίτον, ὡς ἐν Εὐαγγελίῳ δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος· « Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Ὁ δὲ προτιθεὶς τοῦ

Digitized by Google Распознавание текста АВК/FR

Υἱοῦ, ἢ πρεσβύτερον λέγων Πατρὸς, οὗτος ἀνθίσταται μὲν τῇ τοῦ Θεοῦ διαταγῇ, ἀλλότριος δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὃν παρέλαβε τρόπον δοξολογίας φυλάττων, ἀλλ' ἑαυτῷ κενοφωνίαν εἰς ἀρέσκειαν ἀνθρώπων ἐπινοῶν. » Καὶ μετ' ὀλίγα· « Ὥστε ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει, καὶ ὅλης τῆς πίστεώς ἐστιν ἄρνησις. Ὁμοίως οὖν ἐστιν ἀσεβὲς καὶ ἐπὶ τὴν κτίσιν καταγαγεῖν, καὶ ὑπερτιθέναι αὐτὸ ἢ Υἱοῦ ἢ Πατρὸς ἢ κατὰ τὸν χρόνον ἢ κατὰ τὴν τάξιν. »

Ὁ αὐτὸς ἐν τῇ πρὸς Γρηγόριον τὸν ἀδελφὸν ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ἐπειδὴ πολλοὶ τὸ κοινὸν τῆς οὐσίας ἐπὶ τῶν μυστικῶν δογμάτων μὴ διακρίνοντες, » φησίν· « Ὁ τὸ Πνεῦμα νοήσας αὐτό τε ἐφ' ἑαυτοῦ ἑνόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. Ὁ δὲ τοῦτον λαβὼν τοῦ Υἱοῦ τὸν Πατέρα οὐκ ἀπεμέρισεν· ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν κατὰ ταυτὸ συγκεκραμμένως ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο. Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ καὶ τὸν, οὗ ἐστι τὸ Πνεῦμα. Καὶ ἐπειδὴ τοῦ Χριστοῦ ἐστι τὸ Πνεῦμα, καὶ ἐκ τοῦ Θεοῦ, καθὼς φησιν ὁ Ἀπόστολος, ὥσπερ ἐξ ἁλύσεως ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος, καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας δι' αὐτοῦ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἑφειλκύσατο. Καὶ τὸν Υἱὸν ἀληθῶς εἴ τις λάβῃ, ἕξει αὐτοῦ ἑκατέρωθεν πῇ μὲν τὸν αὐτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὐ γὰρ ἔστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν, ὡς ἢ Υἱὸν χωρὶς Πατρὸς νοηθῆναι, ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ διαζευχθῆναι. »

Ὁ αὐτὸς μέγας Βασίλειος ἐν τῇ πρὸς Εὐστάθιον ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Τοὺς ἢ προληφθέντας ἑτέρᾳ πίστεως ὁμολογίᾳ, » φησὶν ὅτι « Φεύγειν δεῖ καὶ τοὺς τὴν ἀκολουθίαν, ἣν παρέδωκεν ἡμῖν ὁ Κύριος ἐναμείβοντας ὡς φανερῶς μαχομένους τῇ εὐσεβείᾳ, καὶ Υἱὸν μὲν προτάσσοντας τοῦ Πατρὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον προτιθέντας. »

Ὁ Δαμασκηνὸς ἐν τῷ ιδ' τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων φησί· « Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον μέσον ἀγεννήτου καὶ γεννητοῦ, καὶ δι' Υἱοῦ τῷ Πατρὶ συναπτόμενον. »

Ὁ Θεολόγος Γρηγόριος ἐν τῷ β' τῶν Εἰρηνικῶν οὕτω φησίν· « Οὕτω φρονοῦμεν, καὶ οὕτως ἔχομεν, ὥστε, ὅπως μὲν ἔχει ταῦτα πρὸς ἄλληλα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι, καὶ οἷς ἂν ἡ Τριὰς ἀποκαλύψαι κεκαθαρμένοις ἢ νῦν ἢ ὕστερον. »

Ὁ Νύσσης Γρηγόριος ἐν τῷ α' τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, « Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν, » φησίν· « Ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ πρὸς τὸ Πνεῦμα ἀναχωροῦμεν. »

Ὁ Χρυσόστομος ἐν μιᾷ τῶν ὁμιλιῶν αὐτοῦ τῇ εἰς τὸ ῥητὸν τοῦ Ἀβραὰμ τὸ λέγον, « Θὲς τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου, » φησίν· « Λέγεται γὰρ μὴ ἔχειν τάξιν ἡ Τριὰς, οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τάξιν

A dixerit antiquiorem esse, resistit iste divinæ præceptioni, et a sana fide alienus aberrat, dum non inviolatum conservat illum ordinem glorificationis, quem accepit traditum, sed ut placere possit hominibus, verborum sibi adinvenit novitates. » Et paucis annexis : « Usque adeo hæc de ordine innovatio, ipsius substantiæ annihilationem, et fidei totius abnegationem habet. Æque ergo impium est, et ad creaturas Spiritum deducere, et superiorem Patre et Filio statuere, sive sit secundum tempus, sive ratione ordinis superioritas illa. »

Idem epistola ad Gregorium fratrem, cujus principium : « Cum in mysticis dogmatibus enarrandis plerique sint, qui quod nullo discerniculo distinguunt. Sed qui Patrem intellexit, et Filium simul
B ea intelligentia complexus est. Qui vero hunc acceperit, Spiritum a Filio non divisit : sed juxta ordinem quidem personarum consequenter, juxta vero naturam conjunctim trium personarum fidem eadem ratione contemperatam in se ipso expressit. Et qui de Spiritu solo loquitur, simul ista confessione, et eam quæ illum concurrit, cujus Spiritus est conjunxit. Et quoniam Christi Spiritus est, teste Paulo, et ex Deo est, fit ut quemadmodum in catena, qui unius annuli summitatem apprehendit, hoc ipso simul et alterum insertum attrahit ; ita et hic qui Spiritum trahit, per ipsum et Filium et Patrem una simul attraxerit. Et si quis vere Filium apprehenderit, habebit et ipsum utrinque hinc Patrem illius,
C illinc Spiritum sanctum una compactum. Non enim potest aliqua ullo pacto excogitari vel sectio vel divisio, ut sive Filius absque Patre cogitari, sive Spiritus a Filio sejungi queat. »

Idem magnus Basilius epistola ad Eustathium, quæ incipit : « Tam illi qui alia hactenus fidei confessione præoccupati. Vitandi sunt et ii, qui ordinem a Domino datum invertunt, tanquam aperte veritati repugnantes, et Filium Patri, et Spiritum sanctum vero Filio præponunt. »

Damascenus in quarto decimo capite theologico scribit : « Deus Spiritus sanctus inter genitum et ingenitum medius, et per Filium Patri cohæreus. »

D Gregorius Theologus oratione secunda de Pace, sic ait : « Ita sentimus, ita credimus, ut, quomodo hæc se habeant inter sese relatione et ordine, ipsi soli Triadi cognoscere permittamus, et quibus Trinitas expurgatis sive nunc, sive postmodum revelaverit. »

Gregorius Nyssenus prima adversus Eunomium Antirrhetica, quæ incipit : « Fieri, ut videtur, non potest, ut qui omnibus bene mereri, » inquit : « Ex Patre per Filium ad Spiritum procedimus. »

Chrysostomus in homilia ad Abrahami dictum : « Pone manum tuam sub femore meo, » ait « Dicitur enim non habere ordinem Trinitas, non quod inordinata sit, sed quod ordinem superat. » Et

Digitized by Google Распознавание текста ABK/FR

paucis annexis : « Igitur divinarum personarum ordo discretus a sanctis agnoscitur, sed qui naturas discernat in sancta Triade prorsus rejicitur. »

EPIGRAPHE V.

Cum nonnulli contradicant asserentibus sanctos, qui decreverunt Spiritum sanctum esse ex Patre per Filium, et ex Patre et Filio, ex ipsius Servatoris nostri vocibus occasionem arripuisse, eumque tum ex Patre esse præscripsisse, quod Servator in Evangeliis dixerit : « Qui ex Patre procedit [24], » tum per Filium et ex Filio, quod Servator, nunc quidem Spiritum veritatis eum compellat : nunc corporee illum discipulis insufflat : nunc ad ipsos discipulos dicit : « De meo accipiet, et annuntiabit vobis [25] : » nunc ad Patrem : « Omnia mea tua sunt, et tua mea [26]. » Præterea quod separatim Pater dat Spiritum, separatim vero Filius, et quod suppeditatur ille a Patre per Filium una donatione et una suppeditatione : nec non quod Filius omnia bona Patris communia sibi habet, et quod non ministri aut servi modo, sed potius naturaliter et divina auctoritate suppeditatur nobis a Filio, præsentes hæ pericopæ collectæ sunt, ex sancti Cyrilli in Joannem evangelistam expositione, ut eas percurrens dignoscat, ex hisce dictis evangelicis occasionem arripuisse eos, qui ex Patre per Filium, et ex Patre et Filio esse Spiritum sanctum decreverunt.

ἐκ τῶν τοιούτων εὐαγγελικῶν ῥήσεων ἔχειν τὸς καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

Sanctus Cyrillus expositione in Joannis Evangelium, in dictum : « Et ego rogabo Patrem et alium Paracletum dabit vobis [27], » inquit : « Alium ergo Paracletum vocat Filius, in propria subsistentia volens illum intelligi, tantamque similitudinem cum eo habet, ut non aliter operetur quam ipse Filius operaretur; adeo ut ipse Filius esse appareat, et nihil aliud : Spiritus enim illius est. Hinc veritatis illum Spiritum nuncupavit, et per jam ante exposita semetipsum veritatem esse affirmaverat. Sed non absone quispiam dixerit illis, qui Filium a Dei et Patris essentia alienum opinantur. Et quomodo, quæso, veritatis Spiritus, hoc est Filii Pater impertitur non uti peregrinum, et alienum, sed uti proprium Spiritum? Et tamen secundum nos determinatam habet essentiæ rationem erga Filium : non enim in dubio vertitur Filii quoque Spiritum esse. Quomodo rursus si alienus a substantia Patris Filius est, Patris Spiritum ut sui proprium elargitur? Scriptum est enim : « Insufflavit discipulis dicens : Accipite Spiritum sanctum [28]. » Nonne igitur quispiam existimaverit, et jure merito, imo magis firmiter disponetur ad credendum, cum naturalium Dei, et Patris donorum particeps sit Filius, habere Spiritum illo eodem modo, quo eum habere Pater intelligitur, non adventitium neque extraneum, stultum enim est, atque furiosum ita sen-

ὑπερβαίνουσα. » Καὶ μετ' ὀλίγα· « Οὐκοῦν ἡ μὲν τῶν θείων ὑποστάσεων διακριτικὴ τάξις τοῖς ἁγίοις καθέστηκε γνώριμος, ἡ δὲ φύσεων διακριτικὴ ἐπὶ τῆς ἁγίας Τριάδος ἀπόβλητος. »

ΕΠΙΓΡΑΦΗ Ε'.

Ἐπειδή εἰσί τινες ἀντιλέγοντες τοῖς λέγουσιν ὡς οἱ Θεολογήσαντες ἅγιοι εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς διὰ Υἱοῦ, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐξ αὐτῶν τῶν τοῦ Σωτῆρος φωνῶν ἔσχον τὰς ἀφορμάς, τὸ μὲν ἐκ Πατρὸς ὑπάρχειν αὐτὸ Θεολογήσαντες, διὰ τὸ τὸν Σωτῆρα ἐν Εὐαγγελίοις εἰπεῖν, « Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » τὸ δὲ διὰ Υἱοῦ καὶ ἐξ Υἱοῦ ὑπάρχειν, διὰ τὸ τὸν αὐτὸν Σωτῆρα Χριστὸν, νῦν μὲν Πνεῦμα ἀληθείας λέγειν αὐτὸ, νῦν δὲ σωματικῶς τοῖς μαθηταῖς αὐτοῦ ἐμφυσᾷν· καὶ νῦν μὲν πρὸς τοὺς αὐτοὺς μαθητὰς λέγειν ὅτι « Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν, » νῦν δὲ πρὸς τὸν Πατέρα, ὅτι « Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. » Ἔτι δὲ καὶ ἐκ τοῦ οἰκ ἰδίᾳ μὲν διδόναι τὸν Πατέρα τὸ Πνεῦμα, ἰδίᾳ δὲ τὸν Υἱὸν, ἀλλ' ἐκ τοῦ χορηγεῖσθαι αὐτὸ παρὰ Πατρὸς δι' Υἱοῦ μιᾷ δόσει καὶ χορηγίᾳ μιᾷ, καὶ ἐκ τοῦ τὸν Υἱὸν κοινωνὸν πάντων ὧν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς εἶναι, καὶ ἐκ τοῦ μὴ διακονικῶς καὶ ὑπηρετικῶς, φυσικῶς δὲ μᾶλλον καὶ κατ' ἐξουσίαν θεϊκὴν χορηγεῖσθαι ὑμῖν αὐτὸ παρὰ τοῦ Υἱοῦ, συνελέγησαν αἱ παροῦσαι περικοπαὶ τῇ πονηθείσῃ τῷ ἁγίῳ Κυρίλλῳ πραγματείας εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην, ὡς ἂν ὁ ἐντυγχάνων αὐταῖς διαγινώσκοι ἀφορμὰς τοὺς θεολογήσαντας ἐκ Πατρὸς διὰ Υἱοῦ

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου εἰς τὸ ῥητὸν τὸ, « Κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, » φησίν· « Ἄλλον τοίνυν Παράκλητον τὸ Πνεῦμα καλεῖ ὁ Υἱός, ἐν ἰδίᾳ μὲν ὑποστάσει νοεῖσθαι θέλων αὐτὸ, τοσαύτην γε μὴν ἔχον τὴν ἐμφερειαν ὡς πρὸς αὐτὸν, καὶ ἀπαραλλάκτως οὕτω ἐνεργεῖν ἰσχύον, ἅπερ ἂν καὶ αὐτὸς ἐνεργοίη τυχὸν, ὡς αὐτὸν εἶναι δοκεῖν τὸν Υἱὸν, καὶ ἕτερον οὐδέν. Πνεῦμα γάρ ἐστιν αὐτοῦ. Καὶ γοῦν τῆς ἀληθείας αὐτὸ κατωνόμασε Πνεῦμα, καὶ διὰ τῶν προκειμένων ἑαυτὸν εἶναι τὴν ἀλήθειαν λέγων. Ἀλλ' ἐρεῖ τις εἰκότως τοῖς ἀλλότριον εἶναι νομίζουσι τὸν Υἱὸν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας. Καὶ πῶς, εἰπέ μοι, τὸ τῆς ἀληθείας Πνεῦμα, τουτέστι τὸ τοῦ Υἱοῦ δίδωσιν ὁ Πατὴρ οὐχ ὡς ξένον ἢ ἀλλότριον, ἀλλ' ὡς ἴδιον Πνεῦμα, καίτοι καθ' ὑμᾶς διωρισμένον ἔχων τῆς οὐσίας τὸν λόγον πρὸς τὸν Υἱόν; Οὐ γὰρ ἀμφίλογον ὅτι καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστι. Πῶς; δὲ αὖ πάλιν, εἴπερ ἐστὶν ἑτερούσιος ὁ Υἱὸς, τὸ τοῦ Πατρὸς Πνεῦμα δίδωσιν ὡς ἑαυτοῦ; Γέγραπται γὰρ ὅτι ἐνεφύσησε τοῖς μαθηταῖς αὐτοῦ λέγων· « Λάβετε Πνεῦμα ἅγιον. » Ἆρ' οὖν οὐκ οἰήσεταί τις καὶ μάλα δικαίως, μᾶλλον δὲ καὶ ἀραρότως διακείσεται, ὅτι, τῶν τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων κοινωνὸς, ὁ Υἱὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν περ νοεῖτο. καὶ ὁ

[24] Joan. xv, 26. [25] ibid. xvi, 14. [26] ibid. xvii, 10. [27] Joan. xiv, 16. [28] Joan. xx, 22.

Digitized by Google Распознавание текста АВК/FR

Πατὴρ, οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν (εὔηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν), ἀλλ' ὥσπερ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει. Διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς ἐνεφύσησεν ὁ Χριστὸς, δεικνὺς ὅτι καθώσπερ ἐκ στόματος τοῦ ἀνθρωπείου πρόεισι τὸ Πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτῆς. Ὅτε τοίνυν αὐτὸ τὸ Πνεῦμα τοῦ τε Θεοῦ καὶ Πατρὸς ἐστι καὶ τοῦ Υἱοῦ, πῶς οὐχὶ πάντως μίαν ἐξουσίαν ἕξουσι διῃρημένως τε ἅμα καὶ συνημμένως; Πατὴρ γὰρ ὁ Πατὴρ, καὶ οὐχ Υἱὸς, καὶ Υἱὸς ὁ Υἱὸς, καὶ οὐχὶ Πατὴρ, πλὴν ὁ Πατὴρ ἐν Υἱῷ, καὶ ὁ Υἱὸς ἐν Πατρί. Δίδωσί γε μὴν τὸν Παράκλητον, ἤτοι τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἰδίᾳ μὲν ὁ Πατὴρ, ἰδίᾳ δὲ ὁ Υἱός. Χορηγεῖται δὲ μᾶλλον τοῖς ἀξίοις παρὰ Πατρὸς δι' Υἱοῦ. Διὰ γάρ τοι τοῦτο διδόναι λεγομένου τοῦ Πατρὸς ὁ δι' οὗ τὰ πάντα δίδωσιν ὁ Υἱὸς, καὶ διδομένου λεγομένου τοῦ Υἱοῦ ὁ ἐξ οὗ τὰ πάντα δίδωσιν ὁ Πατήρ. Ὅτι δὲ θεῖόν τε τὸ Πνεῦμα, καὶ οὐχ ἑτεροούσιον ὡς πρὸς αὐτόν γε, φημὶ, τὸν Πατέρα καὶ τὸν Υἱὸν, οὐδενὶ μὲν οἶμαι τῶν εὖ φρονούντων ὑπάρχειν ἀμφίβολον, καὶ ἀναγκαῖος δὲ ἡμᾶς ἀναπείσει λόγος. Εἰ γὰρ οὐκ εἶναί τις αὐτό φησιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, πῶς ἂν εἴη Θεοῦ μέτοχος ἡ κτίσις, ἔτι λαβοῦσα τὸ Πνεῦμα, κατὰ τίνα δὲ τρόπον νοοῖ Θεοῦ χρηματιοῦμεν καὶ ἐσόμεθα, κτιστὸν, ἢ ἀλλογενὲς κομίζόμενοι Πνεῦμα, καὶ οὐχὶ μᾶλλον τὸ ἐκ Θεοῦ; Πῶς δὲ θείας φύσεως κοινωνοὶ κατὰ τὰς τῶν ἁγίων φωνὰς οἱ Πνεύματος μέτοχοι, εἰ γεννητοῖς ἐναρίθμιόν ἐστι καὶ οὐχὶ μᾶλλον ἐξ αὐτῆς ἡμῖν τῆς θείας φύσεως πρόεισιν, οὐ διικνούμενον δι' αὐτῆς εἰς ἡμᾶς ὡς ἀλλότριον, ἀλλ', ἵν' οὕτως εἴπω, ποιότης ὥσπερ τις τῆς θεότητος ἐν ἡμῖν γενόμενον, καὶ ἐν τοῖς ἁγίοις κατοικοῦν, καὶ ἀπτόμενον αὐτῶν διαπαντὸς, εἰ τῆς ἑαυτῶν διανοίας τὸν ὀφθαλμὸν διὰ πάσης ἐπιεικείας ἀποκαθαίροντες, καὶ διὰ τῆς εἰς πᾶσαν ἀρετὴν ἀνενδότου σπουδῆς συντηροῖεν ἑαυτοῖς τὴν χάριν; »

tire, sed quemadmodum unusquisque nostrum proprium in se ipso spiritum continet, et ab intimis visceribus ad exteriora profundit. Hoc enim propter corporee Christus insufflavit, ostendens hoc signo quemadmodum ab ore humano corporee humanus spiritus egreditur, sic ex divina substantia Deitati congruenter, qui ab ea est Spiritus profunditur. Quando igitur ipse Spiritus Dei Patris et Filii est, quomodo Pater et Filius unam potestatem distincte simul atque conjunctim prorsus non habebunt? Pater enim Pater est et non Filius, et Filius Filius et non Pater, et tamen Pater in Filio et Filius in Pater est. Et Paracletum non seorsim Pater et seorsim Filius præbet. Donatur vero potius sanctis a Patre per Filium. Propterea que cum Pater dicitur dare, ille per quem omnia Pater donat, Filius est et cum Filius dicitur dare, ille per quem omnia donat est Pater. Quod vero ejusdem cum Patre atque Filio substantiæ Spiritus est, nemo recte sapiens ambiget, et necessario demonstratio persuadebit. Nam si Spiritus substantialiter Deus non est, quomodo creatura, eo accepto, Dei particeps efficitur? Aut quomodo templa Dei erimus, creatum aut alterius substantiæ Spiritum, et non potius eum qui ex Deo est, accipientes? Quomodo divinæ naturæ, ut sancti viri testantur, participes fiunt, qui Spiritum acceperunt, si creaturis Spiritus connumeratur, et non potius ex ipsa nobis natura divina promanat, neque per ipsam ad nos veluti extraneum pertransit, ut ita dicam, quasi deitatis quædam qualitas ad nos pervenit, et in sanctis inhabitat, et continuo subsequitur, si menti oculos perfecta sui ipsorum moderatione sese expurgaverint, et contentioso ad virtutes omnes studio gratiam in semetipsis conservarint. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν, τὸ, ὅτι « Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, » φησίν· « Οὐ γὰρ δήπου πρὸς τοσαύτην ἀλογίαν καταβησόμεθα καὶ ἡμεῖς, ὡς οἴεσθαι μεθεκτὸν ἐν τῷ κατὰ φύσιν Υἱῷ τὸ Πνεῦμα ὑπάρχειν, καὶ οὐχὶ μᾶλλον οὐσιωδῶς ἐμπεφυκὸς, ὥσπερ ἀμέλει καὶ αὐτῷ τῷ Πατρί· ὥσπερ γὰρ τοῦ Πατρὸς, οὕτω δὴ καὶ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μετ' ὀλίγα τῆς περικοπῆς· « Πῶς δ' ἂν καὶ ὅλως δίχα ποτὲ τοῦ ἰδίου Πνεύματος ὁ Λόγος νοοῖτο; Ἦ γὰρ οὐκ ἄτοπον ἀνθρώπου κεχωρίσθαι λέγειν τὸ Πνεῦμα τὸ ἐν αὐτῷ, κατά τε τὸν τῆς φύσεως ὅρον, καὶ εἰς ὁλόκληρον τοῦ ζώου τὸν ἀπαρτισμόν; Τίνα οὖν τρόπον ἀπομεριοῦμεν τὸ Πνεῦμα τοῦ Υἱοῦ, τὸ οὕτως ἐμπεφυκὸς καὶ οὐσιωδῶς ἡνωμένον, δι' αὐτου τε προκύπτον καὶ ὑπάρχον ἐν αὐτῷ φυσικῶς, ὡς μηδὲν ἕτερον εἶναι νομίζεσθαι παρ' αὐτόν; » Καὶ μετ' ὀλίγα· « Ἀπαράλλακτος ἡ τοῦ Χριστοῦ ὁμοιότης πρὸς τὸ ἴδιον αὐτοῦ καὶ παρ' αὐτοῦ κατὰ φύσιν προχεόμενον Πνεῦμα. »

Idem in dictum : « Vidi Spiritum descendentem quasi columbam de cœlo [29], » ait : « Nunquam enim ad tantam temeritatem descendemus, ut participatione in Filio secundum naturam Spiritum esse credamus ; et non potius substantialiter, quemadmodum ipsi etiam Patri adhærescentem : quemadmodum enim Patris ita et Filii Spiritus est. » Et post pauca ejusdem pericopes : « Quomodo autem absque proprio Spiritu Verbum intelligi potest? Annon esset absurdum si quis ab homine hominis Spiritum, qui in illo est, separatum esse affirmaret, rationem naturæ secutus, et integrum animalis statum conservare prætendens? Quomodo igitur a Filio Spiritum separabimus, qui sic innatus ei est, ita substantialiter conjunctus, et per eum prodiens, in ipso ita naturaliter est, ut aliud esse præter ipsum intelligi nequeat. » Et paucis additis : « Immutabilis est identitas Filii ad Spiritum, qui proprius ejus est, quique ex eo secundum naturam profunditur. »

[29] Marc. I, 10.

Digitized by Google Распознавание текста ABK/FR

Idem libro v ad Hermiam : « Si itaque dicitur character paternæ hypostasis, inseparabiliter simul et adhærenter intellige coexsistere, et veluti ipsius, qui eum generavit speciem : cum vero splendor quasi humilis emicantis præfulgentisque mente volvito, quasi ex Patre in exterius emigrationem, neque prorsus abalienatus ab hypostasi, ex qua est, neque in totum contractus, veluti vero prominens ut secundum se ipsam subsistat, et propriam exsistentiam. »

Ὁ αὐτὸς ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν· « Εἰ τοίνυν λέγοιτο χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατρὸς, ἀχωρίστως τε ἅμα καὶ προσπεφυκότως συνυπάρχοντα νόει, καὶ οἱονεὶ τὸ εἶδος αὐτοῦ τοῦ γεγεννηκότος· ἡνίκα δ' ἂν καὶ ἀπαύγασμα μονονουχὶ φωτὸς προέντος τε καὶ ἀπαστράψαντος, εἰς νοῦν ἔχε τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὸ ἔξω διεκδρομὴν, οὔτε εἰς ἄπαν ἀπηλλαγμένως τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε μὴν εἰσάπαν συνεσταλμένως, προεκπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν, καὶ εἰς ὕπαρξιν ἰδικήν. »

Idem in dictum : « Sicut tu me misisti in mundum, et ego mitto eos in mundum[20], » ait : « Proprius Dei et Patris Spiritus est : sed non minus etiam proprius Filii est, non ut alius atque alius, aut divisim in utroque intellectus, et inexsistens ; sed quoniam in Patre et ex Patre secundum naturam Filius est, cum sit fructus verus substantiæ ejus, proprium Patris Spiritum secundum naturam possidet, qui profunditur quidem ex Patre, per Filium autem creaturis donatur, non ministerii modo, qui servili rationi subjicitur, sed, sicut mox dixi, ex ipsa quidem substantia Dei et Patris prodiens, profusus autem ad eos, qui digni sunt, per consubstantiale Verbum, a quo est secundum emissionem adesse atque subsistere, manetque in ipso, et est semper conjunctim simul atque divisim. Subsistere enim Filium dicimus, et in Spiritu suo eum esse, et Spiritum rursus in eo confitemur. Spiritum vero Patris, Filii quoque Spiritum esse, et Patre mittente, sive distribuere promittente, illum sanctis distribuit quoque Filius propter identitatem essentiæ, quam habet cum Patre. » διανέμειν ἐπαγγελλομένου τοῖς ἁγίοις αὐτὸ διαδίδωσι οὐσίας, ἧς ἔχει πρὸς τὸν Πατέρα. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν, τὸ, « Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον, » φησίν· « Ἴδιον τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμά ἐστιν· ἀλλ' οὐδὲν ἧττον ἴδιόν ἐστι καὶ αὐτοῦ τοῦ Υἱοῦ, οὐχ ὡς ἕτερον καὶ ἕτερον ἢ μεριστῶς ἐν ἑκατέρῳ νοούμενόν τε καὶ ὑπάρχον· ἀλλ' ἐπείπερ ἐκ Πατρὸς καὶ ἐν Πατρὶ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καρπὸς ὑπάρχων ἀληθινὸς τῆς οὐσίας αὐτοῦ, τὸ τοῦ Πατρὸς ἴδιον Πνεῦμα κατὰ φύσιν ἐπάγεται, χεόμενον μὲν ἐκ Πατρὸς, δι' αὐτοῦ δὲ τοῦ Υἱοῦ τῇ κτίσει χορηγούμενον, οὐ κατά τινα τρόπον διακονικὸν, ἤγουν τὸν ἐν ὑπουργίᾳ νοούμενον, ἀλλ' ὥσπερ ἔφην ἀρτίως, ἐξ αὐτῆς μὲν προκύπτον τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, χεόμενον δὲ τοῖς ἐλεῖν ἀξίοις διὰ Λόγου τοῦ ὁμουσίου, καὶ ἐξ αὐτοῦ πεφηνότος, κατ' ἔκφανσιν δηλονότι τὴν εἰς τὸ εἶναι καθ' ἑαυτὸ, καὶ ἐν αὐτῷ μένοντός τε καὶ ὄντος ἀεὶ προσεχῶς τε ἅμα καὶ μεμερισμένως. Ἰδιοσυστάτως μὲν γὰρ εἶναί φαμεν τὸν Υἱὸν, ἐνυπάρχειν δὲ αὐτῷ ἰδίως γεννήτορι, καὶ ἔχειν ἐν ἑαυτῷ τὸν γεννήσαντα. Ὅτι δὲ τὸ τοῦ Πατρὸς Πνεῦμα Πνεῦμα φαίνεται τοῦ Υἱοῦ, καὶ τοῦ Πατρὸς πέμποντος, ἤτοι πάλιν ὡς ἴδιον, ὁ Υἱὸς διὰ τὴν ταυτότητα τῆς

Idem in dictum : « Et testimonium perhibuit Joannes, quia, Vidi Spiritum descendentem quasi columbam de cœlo[21]. »—« Insultabit autem iterum atque iterum contentionis cupidus hæreticus, atque effuso risu illudens dicet : Quid rursus nobis ad hæc, o amica capita, respondetis, aut quem sermonem comminiscemini, quod scriptum est novis cavillis invertentes? Ecce Spiritum descendere refert ad Filium. En ungitur a Deo et Patre ; quod non habet videlicet accipit : idque testimonio suo confirmat Psalmista, cum dicit ad Filium, « Propterea unxit te Deus Deus tuus oleo lætitiæ præ participibus tuis[22]. » Quomodo ergo erit Filius in perfecti Patris consubstantialitate, qui talis non est, ideoque perunctus? Ad hujusmodi homines, qui reverendam veritatem ecclesiastici dogmatis et Scripturarum rectos sensus pervertunt, opportune illud dicere possumus ; Expergiscimini, ebrii, e vino vestro, ut fulgentissimam veritatis lucem videntes, nobiscum ad Filium clamare possitis : « Vere Filius Dei tu es[23]. » Si enim credis Deum ipsum natura, quomodo perfectionem non possidet? Jam etiam

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Καὶ ἐμαρτύρησεν ὁ Ἰωάννης λέγων, ὅτι, Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, » φησίν· « Ἀνασκιρτήσει δὲ ἴσως ὁ φιλεγκλήμων αἱρετικὸς, καὶ πλατὺ γελάσας ἐρεῖ· Τί πάλιν ἡμῖν, ὦ οὗτοι, καὶ πρὸς τοῦτό φατε ; ἢ ποῖον ἐξυφανεῖτε λόγον, κατασοφιζόμενοι τὸ γεγραμμένον ; Ἰδοὺ τὸ Πνεῦμα καταβαίνειν φησὶν ἐπὶ τὸν Υἱόν. Ἰδοὺ καταχρίεται παρὰ τοῦ Θεοῦ καὶ Πατρός· ὅπερ δὲ οὐκ ἔχει λαμβάνει δηλαδὴ, συνεπιμαρτυροῦντος τοῦ μελῳδοῦ καὶ λέγοντος ὡς πρὸς αὐτὸν, « Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. » Πῶς ἂν εἴη λοιπὸν ἐν ὁμοουσιότητι τοῦ τελείου Πατρὸς ὁ μὴ τοιοῦτος Υἱὸς καὶ διὰ τοῦτο χριόμενος ; Πρὸς δὴ τοῦτο φάναι δεῖ ὑπολαμβάνω τοῖς τὰ σεμνὰ τῆς Ἐκκλησίας ἀνατρέπουσι δόγματα, καὶ τὴν τῶν γεγραμμένων ὀρθότητα διαστρέφουσιν· Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν, ἵνα δύνησθε τὸ λαμπρὸν τῆς ἀληθείας περιαθρήσαντες κάλλος, σὺν ἡμῖν ἀναβοῆσαι πρὸς τὸν Υἱὸν, « Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. » Εἰ γὰρ ὅλως πιστεύεις Θεὸν εἶναι κατὰ φύσιν αὐτὸν, πῶς οὐκ ἂν ἔχοι τὸ τέλειον·

[20] Joan. xx, 21. [21] Marc. i, 10. [22] Psal. xliv, 8. [23] Matth. xiv, 33.

Digitized by Google Распознавание текста ABK/FR

ὥρα γὰρ ὑμᾶς καὶ εἰς αὐτὸν ἤδη δυσσεβεῖν τὸν Πατέρα. Πόθεν γὰρ αὐτὸς, ὡς φῂς, ἐξ ἀνάγκης ἕξει τὴν τελειότητα; Πῶς δὲ οὐχὶ πρὸς τὴν τοῦ γεννήματος ὕφεσιν τὴν ὡς καθ' ὑμᾶς ἀτελῆ κατοικισθήσεται παραδεξαμένην ἅπαξ ἐν Υἱῷ τῆς θείας οὐσίας τὸ μὴ δύνασθαι μὴ ἔχειν τὸ τέλειον κατά γε τὸν παρ' ὑμῖν ἀμαθῆ καὶ ἀπαίδευτον λόγον; Οὐ γὰρ δήπου τὴν μεγάλην ἐκείνην καὶ ἀκήρατον φύσιν εἰς διαφόρους καταμεριοῦμεν λόγους, ὡς εἶναι μὲν ἐν τῷδε τυχὸν ἀτελῆ, τελείαν δ' αὖ πάλιν ἐν ἐκείνῳ. Ἐπεὶ καὶ ὁ τῆς ἀνθρωπότητος ὅρος εἷς κατὰ πάντων ἐστὶ καὶ ἴσος ἐν πᾶσιν ἡμῖν. Ἔλαττον δέ τις ἄνθρωπος καθὸ πέφυκεν ἄνθρωπος; ἀλλ' οὐδὲ πλέον ἑτέρου καταληφθήσεται. Ἀγγέλου δὲ, οἶμαι, διοίσει κατ' οὐδὲν ἕτερος ἄγγελος, κατά γε τὸ εἶναι τοῦθ' ὅπερ εἰσὶν, ἄγγελοι δηλαδὴ, διὰ τῆς πρὸς ἀλλήλους ὁμοειδίας, εἰς μίαν ἅπαντες ἀναδεσμούμενοι φύσιν. Πῶς ἂν οὖν ἡ θεία καὶ ἁπάντων ὑπερανίσχουσα φύσις ἐν ἐλάττοσι τῶν γεννητῶν ἐν τοῖς καθ' ἑαυτὴν ἀγαθοῖς ὀφθήσεται, ὑπομενεῖ δὲ πάθος, ὃ παθεῖν οὐκ εἴδεν ἡ κτίσις; Πῶς δὲ ὅλως ἔσται καὶ ἁπλῆ καὶ ἀσύνθετος, εἴπερ ἐν αὐτῇ φανεῖται τὸ τέλειον καὶ τὸ ἀτελές; Συγκείσεται γὰρ δι' ἀμφοῖν, εἴπερ οὐχ ὅμοιον τῷ τελείῳ τὸ ἀτελές. Εἰ μὲν γὰρ ὁμοιόν ἐστι, καὶ τὸ διαλλάττον οὐδὲν ἐν αὐτοῖς, πᾶν ὅπερ ἂν εἴη τέλειον, ἀδιαφόρως ἔσται καὶ ἀτελὲς, καὶ εἴ τι πάλιν ἀτελὲς, τοῦτο καὶ τέλειον, καὶ οὐδὲν ἐν Υἱῷ κατηγόρημα, κἂν ταῖς ἡμετέραις διανοίαις τὸ τέλειον ἔχων οὐ φαίνηται. Ἀλλ' οὐδὲ αὐτὸς ὁ Πατὴρ ὑπερβαλεῖται τὸν Υἱὸν ἐπὶ τελειότητι μαρτυρούμενος· καὶ λέλυται πάλιν ἡμῖν τὸ ζητούμενον. Εἰ δὲ πολὺς ἀποτειχίζει λόγος τοῦ τελείου τὸ ἀτελὲς, δέχεται δὲ καὶ ἡ θεία φύσις κατὰ ταυτὸν ἀμφότερα, σύνθετος ἄρα καὶ οὐχ ἁπλῆ. Ἀλλ' ἐρεῖ τις τυχὸν ὡς ἀσυμφυῆ τέ ἐστι καὶ ἀσυνύπαρκτα κατὰ ταυτὸν ἐν ἑνὶ τῳ ὑποκειμένῳ τὰ ἐναντία, ὡς ἐν σώματι τυχὸν ὁμοῦ χρῶμα λευκὸν καὶ μέλαν. Καλῶς γε, ὦ φίλος, καὶ μάλα γοργῶς τοῖς ἡμετέροις ἐπηγωνίσω λόγοις. Εἰ γὰρ μία τίς ἐστιν ἡ θεία φύσις, καὶ παρ' αὐτὴν οὐχ ἑτέρα, πῶς ἂν, εἰπέ μοι, τῶν ἐναντίων γένοιτο δεκτική; πῶς δὲ καθ' ἓν τι τὸ ὑποκείμενον, τὰ ἀλλήλοις ἀνόμοια συμβήσεται; Θεοῦ δὲ ὄντος κατὰ φύσιν τοῦ Πατρὸς, Θεός ἐστι κατὰ φύσιν καὶ ὁ Υἱὸς, καὶ οὐδὲν ἄρα διοίσει κατά γε τὸ εἶναι τέλειος ὡς πρὸς τὸν Πατέρα, τῆς θείας αὐτοῦ καὶ τελειοτάτης οὐσίας ἐκπεφυκώς. Εἰ γὰρ οὐκ ἀνάγκη τέλειον εἶναι πάντως τὸν ἐκ τελείου γεννήτορος, εἴπερ ἐστὶν αὐτοῦ καὶ ἀπαράλλακτος εἰκὼν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, καθάπερ γέγραπται, ἀλλ' οἶμαι πᾶς τις ἡμῖν συνερεῖ καὶ συνθήσεται. Ἡ λεγέτω πάλιν εἰς μέσον ἐλθὼν, κατὰ τίνα τρόπον τοῦ τελείου Πατρὸς ἀπαράλλακτος ἔσται χαρακτὴρ ὁ Υἱὸς, οὐκ ἔχων ἐν ἰδίᾳ φύσει τὸ εἶναι τέλειος, κατὰ τὴν τινῶν δυσβουλίαν; Ἐπειδὴ δέ ἐστι καὶ χαρακτὴρ καὶ εἰκὼν, τέλειος ἄρα καὶ αὐτὸς, ὡς ἐκεῖνος· οἷ καὶ ἔστιν εἰκών. Ἀλλ' εἶδε, φησὶν, ὁ Ἰωάννης ἐξ οὐρανοῦ τὸ Πνεῦμα καταβαῖνον ἐπὶ τὸν Υἱὸν, καὶ ἐπακτὸν ἔχει τὸν ἁγιασμόν. Δέχεται γὰρ ὡς οὐκ ἔχων δηλαδή. Ὥρα δὴ οὖν ἀναφανδὸν, πολίημα μὲν

A vos in ipsum Patrem impie obloquimini. Unde namque Pater perfectionem habebit necessario? Aut quomodo ad imminutionem Filii, qui secundum vos imperfectus est, Pater etiam ipse non depelletur, si semel divina substantia imperfectionem in Filio susceperit? Non enim, ut arbitror, audebitis secundum insipientem ac male morigeratum vestrum sermonem in diversas rationes substantiæ divinam immortalemque naturam ita incidere, ut in altero perfecta, in altero imperfecta esse videatur, præsertim cum videatis humanæ naturæ rationem unam ac eamdem in omnibus esse, nec minus aliquid aut majus hominem homine, in quantum homo est, possidere. Nec angelus ab angelo, ea ratione, qua uterque angelus est, qua B videlicet ad unam speciem atque naturam omnes concluduntur differre unquam poterit. Quomodo igitur natura deitatis, quæ super hæc omnia incomparabiliter est, minora possidebit, quam creatura? Quomodo inæqualitatem eam suscipiet natura incorruptibilis, cujus corruptibilia susceptiva non sunt? Quomodo simplex atque incomposita erit, si perfectum atque imperfectum in ea inest? Dissimilia enim hæc sunt, ex quibus eam constare falso arbitramini. Si enim similia essent, nec inter se differrent perfectum atque imperfectum, omne perfectum esset, et contra. Quare nec Filius imperfectior Patre, nec Pater perfectior Filio, quamvis ita verbis a vobis dicatur. Si vero permultum interest inter perfectum et imperfectum, et utriusC que deitatis natura susceptiva est, non simplex, sed composita erit. Sed dicet fortassis quispiam, non simul in eodem esse posse subjecto, quæ contraria sunt; sed seorsim ac per successionem, ut in corpore color, modo albus, modo niger. Probe tu quidem, o amice, ac cito conversus pro nobis pugnasti. Nam si una deitatis natura est, nec altera præter eam excogitari potest, quomodo contrariorum est susceptiva? vel quomodo uni eidemque subjecto, quæ inter se contraria sunt, simul accident? Pater enim natura Deus est, et Filius simul natura Deus. Nulla ergo differentia perfecti et imperfecti inter Patrem et Filium est, qui ex perfectissima substantia Patris emanavit. Annon D est necesse perfectum esse genimen perfectissimi genitoris? quod et incommutabilis imago, et character suæ hypostaseos est? ita prorsus omnes assensuros arbitror, aut in medium veniens dicat, Quomodo perfecti Patris character, atque imago est hypostaseos, non habens sua natura, quod perfectus sit, ut quidam temere dicunt? Quoniam vero character, atque imago est, non aliter certe atque ille perfectus est, cujus imago est. Sed Joannes, ait, vidit de cœlo ad Filium Spiritum descendere, quare et deforis habet sanctificationem Filius, in quem quasi non habentem sanctificator Spiritus descendit. Advertis quam manifeste Filium Dei creaturam esse prædicas, vix magni aliquid ei attribuens, cum similiter atque cæteræ creaturæ

Digitized by Google Распознавание текста ABBYY FR

perfici, atque sanctificari bonorum largitione forinseca ipsum arbitraris? Et quomodo non falsus erit evangelista dicens, a plenitudine ipsius nos omnes accepisse? Quomodo enim suapte natura plenus erit, si ab alio accipit? Aut quomodo vere Deus Pater erit, si Unigenitus creatura est, et non Filius? Verbo namque solummodo, non re ipsa Pater, et similiter unigenitus vocabulo tantummodo Filius, non vere Filius erit. »

λέγειν αὐτὸν, ὀλίγῃ μόλις ὑπεροχῇ τιμώμενον, ἐν ἴσῃ δὲ τάξει τοῖς ἄλλοις τελειουμένον τε καὶ ἁγιαζόμενον καὶ ἐπίκτητον ἔχοντα τὴν τῶν ἀγαθῶν χορηγίαν; Εἶτα πῶς οὐ διαψεύσεται λέγων ὁ Εὐαγγελιστὴς ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν; Πῶς γὰρ ἔσται πλήρης ἐν ἰδίᾳ φύσει λαμβάνων αὐτὸς παρ' ἑτέρου; ἢ πῶς ἂν ὅλως νοοῖτο Πατὴρ ὁ Θεὸς, εἴπερ ἐστὶ ποίημα, καὶ οὐχὶ μᾶλλον Υἱὸς ὁ μονογενής; Ψευδώνυμος γὰρ ἂν οὕτως ἔχει, καὶ αὐτὸς ἔσται Πατὴρ, ἀληθείᾳ δὲ οὐδαμῶς ὁ Υἱὸς, νόθον ἔχων ἐφ' ἑαυτῷ τὸ ἀξίωμα, καὶ μέχρι γυμνῶν ῥημάτων τὴν προσηγορίαν.

Sanctus Cyrillus in expositione Evangelii secundum Joannem, in dictum, « Cum autem venerit Paracletus[25], » inquit: « Ecce enim, ecce Spiritum veritatis, sui ipsius nempe nuncupans, ex Patre illum procedere ait. Nam sicut Filii Spiritus est naturaliter in ipso manens, et per ipsum progrediens, sic certe Patris quoque Spiritus est. Quibus autem Spiritus communis est, ii profecto substantialiter disseparari non possunt. Nemo enim impiorum nos ad ea, quæ intelligere nefas est, verbis suis impellere conetur. Nemo, inquam, spiritum Patris per Filium ut per ministrum mitti ad creaturas credat. Nam etiam id nonnulli dicere veriti non sunt. Sed potius inde credendum est, quoniam Spiritus sic proprius Filii est, sicut sane ipsius quoque Dei Patris, idcirco ad sanctificandos suos sanctos discipulos ab eo mitti. Si vero non erubescunt aliquo modo et audacter audent intelligere et enuntiare, ministrum nobis et servum mittendi Spiritum Filium a Patre, non erit incongruum ad eos dicere: Fatui et cæci non sentitis ad quænam præcipitia ruitis, Unigeniti gloriam minuentes, et frivolas rationes per imperitiam excogitantes? Si enim in ministri loco collocatus Spiritum a Patre Filius largitur, quomodo non erit necesse alienum prorsus a substantia Filii Spiritum confiteri, et forte etiam ipso et multis parasangis præstantiorem, si vestræ imperitiæ locum demus? Nam si ex Patre, id est ex substantia Patris Filius secundum vos non procedit, quomodo Spiritus supra Filium in loco excelsiori non collocabitur? Quid præterea respondebimus, cum Filius clare dicat, « Ille me glorificabit, quia de meo accipiet, et annuntiabit vobis[26]? » Ad hæc, illud quoque necessario consequetur, si enim ministerium servile explere Filium existimatis alienum vobis, qui nempe Dei et Patris natura sua divinum Spiritum suppeditavit, non erit utique natura Filius sanctus, sed participatione quemadmodum vos. Namque asserunt impii ignavi ac desides, alienum esse a substantia Patris, ex qua progreditur Spiritus, qui ab ipso suppeditatur. Possibile igitur erit, si proprius Filii Spiritus non est, sed forinsecus etiam ipse sicut creatura sanctificatur, hanc eum aliquando quæ in eo est sanctificationem amittere. Quod enim exterius uti additum acquiritur, quomodo abire non poterit

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελικοῦ ῥητοῦ, εἰς τὸ, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φησίν· « Ἰδοὺ γὰρ, ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαί φησιν. Ὥσπερ γάρ ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός. Οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. Μὴ γὰρ δή τινες ἡμᾶς τῶν δυσσεβεῖν εἰωθότων τοῖς ἐξ ἀμαθείας ἀποκομιζόντων λόγοις εἰς ἃ μὴ θέμις ἐννοεῖν, ὡς ὑπουργικήν τινα χρείαν ἀποπληρῶν ὁ Υἱὸς, τὸ παρὰ τοῦ Πατρὸς Πνεῦμα τῇ κτίσει διακονεῖ. Καὶ τοῦτο γὰρ ἀσυνέτως τινὲς οὐ κατέδεισαν εἰπεῖν. Πιστεύειν δὲ μᾶλλον ἀκόλουθον ὡς, ἐπείπερ ἰδιόν ἐστιν αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀποστέλλει τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς πρὸς ἁγιασμόν. Εἰ δὲ δὴ νομίζουσι τρόπον τινὰ, καὶ ὁριμὺ νοεῖν τε καὶ λέγειν, διάκονον ἡμῖν καὶ ὑπουργὸν κἂν τούτῳ δὴ πάλιν τὸν Υἱὸν εἰσκομίζοντες, πῶς οὐκ ἀκόλουθον εἰπεῖν· Μωροὶ καὶ τυφλοὶ, πῇ δὴ πάλιν ἰόντες ὑμεῖς οὐκ αἰσθάνεσθε, καὶ τῆς τοῦ Μονογενοῦς καταπαίρεσθε δόξης, ἐκ τῆς ἐνούσης ὑμῖν ἀμαθίας ἀθλίους συνείροντες λογισμούς; Εἰ γὰρ ὅλως χορηγεῖ τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς ἐν ὑπηρέτου τινὸς τάξει λελογισμένος, πῶς οὐκ ἀναγκαῖον ὁμολογεῖν ὡς ἀλλότριον μέν ἐστι παντελῶς τῆς οὐσίας αὐτοῦ, τάχα δὲ ἄμεινον αὐτοῦ, καὶ κατὰ πολὺ κρεῖττον, ἂν περ οὕτως ἔχῃ κατά γε τὴν παρ' ὑμῖν ἀμαθίαν; Εἰ γὰρ οὐκ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ ὁ Υἱὸς καθ' ἡμᾶς, πῶς οὐκ ἐν ἀμείνοσι νοοῖτ' ἂν τὸ Πνεῦμα παρὰ τὸν Υἱόν; Εἶτα τί φαμεν, ὅταν ἀκούσωμεν λέγοντος περὶ αὐτοῦ ὅτι « Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν; » Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λοιπὸν ὡς ἐξ ἀνάγκης εἰσβήσεται. Εἰ γὰρ ὑπουργίαν διακονικὴν ἀποπληροῦν οἴεσθε τὸν Υἱὸν τὸ ἀλλότριον ἡμῖν, τουτέστι τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, κεχορηγηκότα ἅγιον ὂν κατὰ φύσιν Πνεῦμα, οὐ κατὰ φύσιν ἅγιο, ὁ Υἱὸς, κατὰ μέθεξιν δὲ, ὥσπερ ἡμεῖς. Λέγεται γὰρ κατὰ τὴν τῶν δυσσεβῶν ἀμαθίαν ἀλλότριος εἶναι τῆς οὐσίας τοῦ Πατρὸς ἐξ ἧς καὶ πρόεισι τὸ Πνεῦμα τὸ δι' αὐτοῦ χορηγούμενον. Ἔσται τοίνυν τῶν ἐνδεχομένων, εἴπερ οὐκ ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, ἀλλ' εἰσποιητὸν ἔχει καὶ αὐτὸς τὸν

[25] Joan. xv, 26. [26] Joan. xvi. 14.

ἁγιασμὸν, καθάπερ ἡ κτίσις, καὶ ἀποπεσεῖν δύνασθαί ποτε τῆς ἐνούσης ἁγιότητος αὐτῷ. Τὸ γὰρ ὡς ἐν τάξει προσθήκης ἐπικτηθὲν, πῶς οὐκ ἂν ἀπογένοιτο κατά γε τὸν τοῦ ἐγχωροῦντος λόγον; Εἶτα τίς τῶν τοιούτων οὐκ ἀποδραμεῖται δογμάτων; Πρεπωδέστερον δὲ οἶμαι τὸ οὕτως εἰπεῖν· φίλη τοιγαροῦν ἡμῖν ἡ ἀλήθεια, καὶ τὰ ἐκ τῆς ἀληθείας δόγματα, καὶ αὐτοῖς ἐκείνοις ἡμεῖς οὐχ ἑψόμεθα, τὴν δὲ τῶν ἁγίων Πατέρων ἰχνηλατοῦντες πίστιν, ἴδιον εἶναι φαμὲν τοῦ Υἱοῦ τὸν Παράκλητον, τουτέστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐκ ἐπεισκρινόμενον ἔξωθεν, οὐδὲ ἐπίκτητον ἐν αὐτῷ, καθάπερ ἐστὶν ἐν τοῖς ἁγιότητος δεκτικοῖς, οἷς καὶ ἐκ μὴ ὄντων ἡ γένεσις, ἀλλ' ὁμοούσιον αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός. Οὕτω γὰρ ἂν οὐκ εἰς πολύθεον ἡμῖν μυθολογίαν ἡ τῶν ἐκκλησιαστικῶν δογμάτων οἰκήσεται δύναμις, ἀλλ' εἰς ἕνα θεότητος λόγον ἡ ἁγία Τριὰς ἀνασφίγγεται. Ἐν ταυτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἑνότητα παραδείκνυς ἑαυτοῦ τέ φημι καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, Πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαί φησιν. ἀπελέγχει τε σαφῶς καὶ ἀναμφιλόγως θεομάχον ὁλοκλήρως τὸν χριστομάχον. Ὁ γὰρ ὅλως ἐμπαροινεῖν ἐθελήσας τῷ Υἱῷ πεπλημμεληκὼς ἂν εἰκότως καὶ εἰς αὐτὸν νοοῖτο τὸν ἐξ οὗπέρ ἐστιν. Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητος, φησὶ, τὸ Πνεῦμα τῆς ἀληθείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Μαρτυρήσει δὲ πῶς; Ἐνεργῆσαν γὰρ ἐν ὑμῖν τε καὶ δι' ὑμῶν τὰ παράδοξα, μάρτυς ἔσεται δίκαιός τε καὶ ἀληθὴς τῆς ἐμῆς θεοπρεποῦς ἐξουσίας, καὶ τῆς ἐν δυνάμει μεγαλειότητος. Ἐμὸν γὰρ Πνεῦμα τὸ ἐνεργοῦν ἐν ὑμῖν, ὥσπερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ Θεοῦ καὶ Πατρός.

Ὁ αὐτὸς εἰς τὸ, « Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, » φησίν· « Ὅταν οὖν ἔλθῃ ἐκεῖνος, τουτέστιν ὁ Παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. Βλέπε δὲ ὡς ἐγρήγορεν ἡ φωνὴ, ὅρα τοῦ λόγου τὴν νῆψιν. Προειρηκὼς γὰρ ἥξειν ἐπ' αὐτοὺς τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας ὠνόμασεν αὐτὸν, τουτέστιν ἑαυτοῦ. Αὐτὸς γάρ ἐστιν ἡ ἀλήθεια. Ἵνα γὰρ εἰδεῖεν οἱ μαθηταὶ ὡς οὐκ ἀλλοτρίας καὶ ξένης αὐτοῖς δυνάμεως ἐπιφοίτησιν, ἀλλ' ἑαυτὸν ἑτέρως ἐπιδώσει ἐπαγγέλλεται, πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον ἀποκαλεῖ. Οὐ γὰρ ἀλλότριον τῆς τοῦ Μονογενοῦς οὐσίας τὸ ἅγιον νοεῖται Πνεῦμα, πρόεισι δὲ φυσικῶς ἐξ αὐτῆς, οὐδὲν ἕτερον παρ' αὐτὸν ὑπάρχον, ὅσον εἰς ταυτότητα φύσεως, εἰ καὶ νοοῖτο τυχὸν ἰδιοσυστάτως. Τὸ τοίνυν, φησὶ, τῆς ἀληθείας Πνεῦμα πρὸς ὅλην ὑμᾶς καθηγήσεται τῆς ἀληθείας τὴν γνῶσιν. Ὡς γὰρ εἰδὼς ἀκριβῶς τὴν ἀλήθειαν, ἧς καὶ τὸ Πνεῦμά ἐστιν, οὐκ ἐκ μέρους αὐτὴν ἀποκαλύψει τοῖς σεβομένοις αὐτὸν, ἀνθήσει δὲ μᾶλλον ὁλοκλήρως τὸ περὶ αὐτῆς μυστήριον. Εἰ γὰρ καὶ νῦν, ἐκ μέρους γινώσκομεν ὡς ὁ Παῦλός φησιν, ἀλλ' ὡς ἐν γνώσει μικρᾷ, σῶόν τε καὶ ἀσινὲς ἡμῖν τὸ τῆς ἀληθείας ἐνήστραψε κάλλος. Ὥσπερ οὖν οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, κατὰ τὸ γεγραμμένον, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, κατὰ τὸν

A secundum jam adductam rationem? Sed quis hanc perversitatem dogmatum non effugiet? Sed accommodatius, ut reor, dicendum fuerit, amica nobis veritas est, et quæ ex ea nascuntur dogmata, et eos nos nullo modo sequemur, sed sanctorum Patrum fidem investigantes, proprium esse Filii Spiritum Paracletum, Spiritum sanctum nempe, non extrinsecus introvectum, neque adventitium in ipso, sicut in illis, qui sanctitatem possunt suscipere, et ex nihilo producuntur, sed ei consubstantialem, quemadmodum est et Patri, confitemur. Hoc enim modo non in multorum fabulas deorum ecclesiasticorum dogmatum robur decidet, sed in unam rationem deitatis Trinitas constringetur. Eodem ergo tempore et sui ipsius essentiæ identi-
B tatem et Dei Patris ostendens, Spiritum veritatis Paracletum nuncupans, a Patre eum procedere dicit, sicque qui Christum oppugnat, Dei hostem palam et absque ulla hæsitatione esse comprobat. Qui enim Filio insultat, injurius merito in eum, ex quo Filius est, censendus est. Cum itaque venerit Paracletus, ait, Spiritus veritatis, meus scilicet, qui a Patre procedit, ille testimonium perhibebit de me. Quomodo vero perhibebit? Magna in vobis et per vos miracula faciens, justus verusque divinæ meæ potestatis, et in virtute magnitudinis testis. Spiritus enim meus est, qui operatur in vobis, sed sicut meus est, sic et Dei et Patris. »

C Idem in illud, « Non enim loquetur a semetipso. Cum autem venerit ille, Paracletus nempe, Spiritus veritatis docebit vos omnem veritatem[16], » inquit: Vide vocem vigilem, vide verbi sobrietatem. Cum enim prædixisset Paracletum ad eos venturum, Spiritum veritatis eum nominavit, hoc est suimetipsius. Ipse enim est veritas. Namque ut addiscerent discipuli, non alienam, neque peregrinam a se missurum virtutem, sed seipsum, alio quodam modo eis policetur, veritatis Spiritum, id est suum missurum. Non enim alienus a substantia Unigeniti Spiritus sanctus intelligitur, sed ex ea naturaliter progreditur, non aliud ab ipso exsistens, si naturæ identitas consideretur, licet in persona propria concipiatur. Hic ergo, ait, veritatis Spi-
D ritus ad omnem vos veritatis cognitionem deducet: nam uti accuratus veritatis cognitor, cujus Spiritus est, non eam ex parte sed colentibus eum integre revelabit, et potius ejusdem absolute mysterium florescet. Nam etsi ex parte in hac vita cognoscimus, ut ait Paulus, non manca tamen, sed integra, et illæsa veritatis nobis pulchritudo refulsit. Ut igitur « Nemo scit, quæ hominis sunt, ut scriptum est, nisi spiritus hominis qui in eo est[17], » sic neque ut existimo, quin imo ut Paulus dicit, nemo scit quæ Dei sunt, nisi Spiritus qui in eo est. Cum au-

[16] Joan. xvi, 13. [17] I Cor. II, 11.

Digitized by Google Распознавание текста ABBYY FR

tem venerit, ait, non loquetur a seipso quidquam, pro eo quod est, prudentes vos reddet, et arcana veritatis revelabit, non loquetur prorsus quidquam quod mihi non placeat, neque peregrinis vos disciplinis instruet. Neque enim proprias fortasse leges feret. Cum vero Spiritus, et quasi mens mea sit, loquetur omnino quæ in me sunt. Et hæc Dominus ait, non ut ministri locum habere Spiritus sanctus videatur, ut imperite a nonnullis prædicatur, sed ut ejusdem esse cum Filio substantiæ confirmaretur. Sed ut potius certiores redderet discipulos, secundum essentiæ rationem a se ipso non esse diversum. Hæc prorsus loquetur, et operabitur, et concupiscet. Propterea quæ præmisit, quod etiam ventura annuntiabit vobis, ac si diceret, id signum vobis erit, ex mea substantia Spiritum esse, et mentem esse quasi meam, dum ille quemadmodum et ego futura prædicet; prædixi enim etsi non potuistis omnia intelligere. Itaque non posset ille uti et ego futura prædicere, nisi omnino in me esset, et per me progrederetur. »

Idem in dictum, « Sicut me misit vivens Pater, et ego vivo propter Patrem [28], » lib. IV, cap. 18. Quemadmodum enim lumen de lumine esse dicitur, sic et vita ex vita. Et quemadmodum quæ luce indigent, per Filium Deus et Pater illuminat per lumen proprium Filium : et qui sapientiam admittere possunt, per propriam sapientiam sapientes facit, et quæ robore indigent per robur rursus proprium corroborat, sic quæ vita egent, per vitam propriam et quæ per ipsum effunditur, Filii nempe vivificat. «

Idem in illud : « Ille me clarificabit : quia de meo accipiet [29], » inquit : « Glorificat quidem Filium Paracletus, hoc est proprius illius Spiritus, qui omnia potest, qui omnia novit. Clarificat vero quomodo? Quæ enim scit potestque Spiritus illius, quomodo ipse non noverit aut poterit? Etsi, ut ipse ait, Spiritus ab ipso accipit, licet omnia possit ac perficiat, quomodo ipse non possederit illud, quod rebus in omnibus validissimum est? Sed enim illud certo tenendum est, nullo modo Paracletum, hoc est Spiritum, propriæ naturalis innatæque potentiæ indigum esse : adeo ut, si non accipiat non possit ipse ex se ipso ad rerum divinarum, operationem perfectivam aliquid conferre. Sed quicumque hæc vel mente tenus cogitare vera esse, impietatis quam maximæ crimen subierit. Cum vero consubstantialis sit Filio, et emanat divina quadam ratione per ipsum, omnem ejus habens virtutem, et perfectissimam operationem, propterea dicit, « De meo accipiet. » Persistere namque per se Spiritum credimus, esseque re vera, quod est et dicitur : et cum insit in substantia Dei, emanat, atque progreditur ex illa, omnia illius in semetipso

[28] Joan. 6, 58. [29] Joan. XVI, 14.

A αὐτὸν οἶμαι τρόπον, μᾶλλον δὲ κατὰ τὴν τοῦ Παύλου φωνὴν, οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ. Ὅταν οὖν ἔλθῃ, φησὶν, οὐ λαλήσει ἀφ' ἑαυτοῦ οὐδὲν, ἀντὶ τοῦ, συνετιεῖ μὲν ἡμᾶς, καὶ τὸ περὶ τῆς ἀληθείας ἀποκαλύψει μυστήριον, λαλήσει γε μὴν οὐδὲν παντελῶς τῶν ἀπαδόντων ἐμοὶ, ἀλλ' οὐδὲ ξένον ὑμῖν εἰσηγήσεται μάθημα. Οὐ γὰρ ἰδίους τυχὸν εἰσοίσει νόμους. Ἐπειδὴ δὲ πνεῦμα καὶ οἱονεὶ νοῦς ἐστιν ἐμὸς, λαλήσει δὴ πάντως τὰ ἐν ἐμοί. Καὶ τοῦτό φησιν ὁ Σωτὴρ, οὐχ ἵνα νοῶμεν ὑπουργικὸν τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τήν τινων ἀμαθίαν, πληροφορῆσαι δὲ μᾶλλον ἐθελήσας τοὺς μαθητὰς ὡς οὐχ ἕτερον ὂν παρ' αὐτὸν τὸ Πνεῦμα αὐτοῦ κατά γε τὸν ἐν ὁμοουσιότητι λόγον. Ταῦτα δὴ πάντως λαλήσει καὶ ἐνεργήσει καὶ βουλήσεται. Διὰ γάρ τοι τοῦτο προστέθεικεν ὅτι καὶ τὰ B ἐρχόμενα ἀναγγελεῖ ὑμῖν, μονονουχὶ λέγων, σημεῖον τοῦτο ἔσται ὑμῖν, ὅτι δὴ πάντως ἐκ τῆς ἐμῆς οὐσίας τὸ Πνεῦμά ἐστι, καὶ οἷον ἐμός ἐστι νοῦς, τὸ ἐρεῖν αὐτὸν τὰ ἐσόμενα, καθάπερ ἐγώ. Προείρηκα γὰρ, εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν. Οὐκ ἂν οὖν ἄρα, καθάπερ ἐγὼ, προερεῖ τὰ ἐσόμενα, μὴ οὐχὶ πάντως ἐν ἐμοί τε ὑπάρχον, καὶ δι' ἐμοῦ προϊόν. »

Ὁ αὐτὸς εἰς τὸ κατὰ Ἰωάννην ἐν τῷ δ' βιβλίῳ ἐν κεφαλαίῳ ιη', εἰς τὸ ῥητὸν τὸ, « Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα. » Ὡς γὰρ φῶς ἐκ φωτὸς εἶναι λέγεται, οὕτω καὶ ζωὴ ἐκ ζωῆς· καὶ ὥσπερ τὰ φωτὸς δεόμενα φωτίζει ὁ Θεὸς καὶ Πατὴρ διὰ φωτὸς ἰδίου τοῦ Υἱοῦ, καὶ σοφοῖ τὰ σοφίας δεκτικὰ, ὡς διὰ σοφίας ἰδίας, καὶ δυναμοῖ τὰ δυνάμεως χρῄζοντα ὡς διὰ δυνάμεως πάλιν ἰδίας, οὕτω C ζωοποιεῖ τὰ ὅσα πέρ ἐστι τῆς παρ' αὐτοῦ δεόμενα ζωῆς διὰ ζωῆς ἰδίας, καὶ ἐξ αὐτοῦ προχεομένης, τουτέστι τοῦ Υἱοῦ. »

Ὁ αὐτὸς εἰς τὸ, « Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, » φησίν· « Δοξάζει τοιγαροῦν τὸν Υἱὸν ὁ Παράκλητος, τουτέστι τὸ ἴδιον αὐτοῦ Πνεῦμα, πάντα ἰσχύον, καὶ πάντα εἰδός. Δοξάζει δὲ πῶς; Ἃ γὰρ οἶδε καὶ δύναται τὸ Πνεῦμα αὐτοῦ πῶς ἂν αὐτὸς οὐκ εἰδοίη τυχόν; ἢ πῶς οὐκ ἂν δύναιτο; καὶ εἰ, καθάπερ αὐτός φησιν, ἐξ αὐτοῦ λαμβάνει τὸ Πνεῦμα, καίτοι πάντα ἰσχύον καὶ κατορθοῦν, πῶς ἂν αὐτὸς οὐκ ἔχοι τὸ ἐφ' ἅπασιν ἰσχυρόν; Ὑποτοπητέον δὲ οὐδαμῶς ἰσχύος ἐπιδεᾶ τῆς ἐμφύτου καὶ φυσι- D κῆς καθεστάναι τὸν Παράκλητον, τουτέστι τὸ Πνεῦμα, ὡς εἰ μὴ λαβὸν τύχοι μηδ' ἂν ἐξαρκέσειν αὐτὸν ἑαυτῷ δύνασθαι πρὸς τὴν τῶν θείων κατορθωμάτων ἐνέργειαν ἀποτελεστικήν. Δυσσεβείας γὰρ ἂν τῆς ἁπασῶν ἐσχάτης ὑπομεῖναι γραφὴν, καὶ σφόδρα εἰκότως, ὁ καὶ μόνον οἱηθεὶς ἀληθές τι τῶν τοιούτων εἶναι περὶ αὐτοῦ. Ἐπειδὴ δὲ ὁμοούσιόν τε ἐστι τῷ Υἱῷ, καὶ πρόεισι θεοπρεπῶς δι' αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ' ἅπασι τελεωτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν, διὰ τοῦτό φησιν ὅτι, « Ἐκ τοῦ ἐμοῦ λήψεται. » Ὑφεστάναι γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ Πνεῦμα πιστεύομεν, εἶναί τε κατὰ ἀλήθειαν τοῦθ' ὅπερ ἐστὶ καὶ λέγεται, ἐνυπάρχον γε μὴν τῇ οὐσίᾳ τοῦ Θεοῦ, προ-

Digitized by Google Распознавание текста ABK/FR

κύπτει τε καὶ πρόεισιν ἐξ αὐτῆς πάντα τὰ αὐτῆς ἔχον ἐν ἑαυτῷ φυσικῶς. Οὐ γὰρ κατὰ μέθεξιν, ἀλλ' οὐδὲ κατὰ τρόπον σχετικὸν, ἀλλ' οὐχ ὡς ἕτερον ὂν παρ' αὐτήν, ἐπείπερ ἐστὶν ἴδιον αὐτῆς. Ὅνπερ γὰρ τρόπον ἡ ἐκ τῶν εὐοσμοτάτων ἀνθέων εὐωδία λαβοῦσα τρόπον τινὰ τῶν προσόντων αὐτοῖς τὴν οὐσιώδη καὶ φυσικὴν ἐνέργειαν, ἤτοι ποιότητα, διακομίζει τοῖς ἔξω τὴν γνῶσιν, τοῖς ὀσφραντικοῖς τοῦ σώματος μορίοις ἐμπίπτουσα, καὶ δοκεῖ μέν πως, ὅσον ἦκεν εἰς ἐπινοίας λόγον, ἑτέρα τις εἶναι παρὰ τὴν πέμπουσαν αὐτὴν φύσιν, νοουμένη γε μὴν οὐκέτι καθ' ἑαυτὴν ἑτέραν ἔχει φύσιν, ἢ τῶν ἐξ ὧν καὶ ἐν οἷς ἐστιν· οὕτω νοήσεις ἐπί τε Θεοῦ καὶ ἁγίου Πνεύματος, τὸν τοῦ παραδείγματος ἀναβαίνων λόγον. Ἀκατηγόρητον οὖν ἄρα παντελῶς, καὶ λοιδορίας ἁπάσης ἔξω κείσεται, τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ Μονογενοῦς τὸ Πνεῦμα αὐτοῦ. Πρῶτον γὰρ δι' αὐτοῦ φυσικῶς ὡς ἴδιον αὐτοῦ μετὰ πάντων ὧν ἔχει τελείως, λαμβάνειν λέγεται τὰ αὐτοῦ. »

Ὁ αὐτὸς εἰς τὸ, « Πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι, καὶ διὰ τοῦτο εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν, » φησί. « Χαρακτῆρα πάλιν εἰλικρινῆ τε καὶ ἀκριβέστατον τῆς ὑποστάσεως τοῦ Πατρὸς ἑαυτὸν ὑμῖν κἀν τούτοις εὖ μάλα δέδειχεν ὁ Υἱός, διδωσί τε δι' ὧν ἔφη νοεῖν ὅτι καρπὸς ὑπάρχον τῆς οὐσίας αὐτοῦ, πάντα τὰ αὐτῆς κατὰ φύσιν ἑπάγεται, ἴδιά τε εἶναί φησι, καὶ μάλα εἰκότως. Διατέμνοντος γὰρ, ἤτοι διιστάντος οὐδενὸς εἰς ἀλλοτριότητα τοῦ Πατρὸς τὸν Υἱὸν ὅσον ἦκεν εἰς τὸ κατὰ πᾶν ὁτιοῦν ὅμοιόν τε καὶ ἴσον δίχα μόνου τοῦ εἶναι Πατέρα, διαλαμπούσης τε τῆς οὐσίας ἐν ἀμφοῖν οὐχ ἑτεροτρόπως, πῶς οὐκ ἂν εἶεν ἤδη κοινὰ, μᾶλλον δὲ ταυτὰ ἐν ἀμφοῖν, ὡς εἶναι μὲν ἐν Υἱῷ τὰ τοῦ Πατρὸς, ἐν δὲ τῷ τεκόντι τὰ τοῦ γεννήματος; Διὰ γὰρ τοῦτο, καθάπερ ἐγῷμαι, μετὰ δριμείας τινὸς τῆς ἐπιτηρήσεως, τοὺς περὶ τούτων ἡμῖν ἐποιήσατο λόγους, Ἔφη γὰρ, οὐχ ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἔχω κἀγώ· ἵνα μὴ ψιλή τις εἰκὼν ἡ κατὰ μόνην νοουμένη τὴν ἰσοτυπίαν, καὶ τοῖς ἔξωθεν ὡραϊσμοῖς μεμορφωμένη νοῆται πρὸς τὸ ἀρχέτυπον, καθάπερ οὖν καὶ ἡμεῖς αὐτοὶ, γενόμενοι γὰρ κατ' εἰκόνα Θεοῦ· ἀλλ' ἐμά, φησὶν, ἐστὶ, τὴν εἰς ἄκρον ἕνωσιν ἣν ἔχει πρὸς τὸν γεννήσαντα, καὶ τὴν τῆς ὁμοουσιότητος δύναμιν, ἐν ἀπαραλλάκτοις οὖσαν τοῖς ἰδιώμασιν, ἐν ἀμφοῖν διὰ τούτου παραδεικνύς. Τοῦτο δ' ἦν ἴδοις καὶ μάλα σαφῶς ἐν ἑτέροις λέγοντα πρὸς τὸν Πατέρα· « Πάντα γὰρ τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά. Οἷς γὰρ ὅλως ἔνεστι τὸ διαλλάττον οὐδὲν, καὶ ἡ κατὰ πᾶν ὁτιοῦν οὐσιώδης ἰσότης τε καὶ ἐμφέρεια, πῶς οὐκ ἂν εἶεν ταυτὰ τῇ φύσει; Ἔχει τοίνυν ὁ Θεὸς καὶ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, τουτέστι τὸ ἅγιον, δι' οὗ τοῖς ἁγίοις ἐναυλίζεταί τε καὶ ἀποκαλύπτει μυστήρια, οὐκ ἐν τάξει τῇ ὑπουργικῇ παραλαμβανομένου πρὸς τοῦτο, μὴ γὰρ οἰηθῇς τι τοιοῦτον, ἀλλ' ἐν αὐτῷ τε ὄντος οὐσιωδῶς, καὶ ἐξ αὐτοῦ προϊόντος ἀμερίστως τε καὶ ἀδιαστάστως, ὡς ἴδιά τε διερμηνεύοντος τὰ ἐν ᾧ καὶ ἐξ οὗπερ ἐστιν.

naturaliter habens. Non enim participatione, aut habitudine, nec ut alius ab illa, sed uti proprius illius. Quemadmodum enim florum odoratissimorum suavis odor, modo quodam essentiali, ac naturali, quæ illis adhæret, operationem, aut qualitate accepta, extraneis offert cognitionem in corporis membra, quæ olfactui deserviunt, incidens, et videtur quidem, quantum humanus intellectus capere potest, alius esse ab ea, quæ ipsum emittit natura introspecta : vero mentis, acie nullam aliam in semetipsa naturam continet, quam eorum ex quibus est : pari modo de Deo sanctoque Spiritu ratiocinare, supra exempli rationem mente sublatus. Nihil igitur prorsus detrahitur Spiritus, et accusationem supra omnem est, si concipiatur Spiritus aliquid ab Unigenito accipere : nam cum per illum naturaliter progrediatur, cum omnibus, quæ absolute habet, perfecte ab eo sua habere dicitur. »

Idem in illud : « Omnia quæcunque habet Pater mea sunt : propterea dixi vobis, quia de meo accipiet et annuntiabit vobis[30], » inquit : « Characterem rursus exactum atque sincerum hypostaseos paternæ his se verbis Filius ostendit : intelligereque facit per quæ dixit, eum sit fructus substantiæ Patris, omnia quæ ejus sunt secundum naturam attrahere, ita ut proprie sua merito sint, et appellentur. Cum enim nihil a Patre Filius penitus differat, neque ab ea natura in aliam traducatur, est illi per omnia similis et æqualis, absque eo solo quod Pater sit. Cumque in utroque eadem substantia eodem modo præfulgeat, quomodo non erunt communia, imo vero eadem quæ in utroque sunt; ut quæcunque in Patre sunt, eadem etiam in Filio sint? Et quæcunque in Filio eadem similiter in generante. Ideo, ut ego puto, exquisitissima est usus oratione, de his sermonem habens; namque dixit, Non quæcunque habet Pater ego habeo : ne imago quædam nuda atque abjecta intellectu formata, et exterioribus ornamentis figurata, ad primitivum typum concipiatur, quemadmodum nos ipsi, qui ad imaginem Dei formati sumus, esse videatur. Sed mea sunt, ait, identitatem substantiæ absolutissimam, quam habet erga Patrem, et consubstantialis virtutem, in proprietatibus incommutabilibus ostendens, quod alibi etiam ad Patrem sermonem dirigens ait; « Omnia mea tua sunt, et tua mea[31]. » In quibus enim nulla differentia est, sed substantiæ identitas maxima, et æqualitas quomodo illis eadem omnia natura non erunt? Habet enim Deus et Pater ex sese et in sese Spiritum proprium, Spiritum nempe sanctum, per quem in sanctis inhabitat, et mysteria revelat, non eo tanquam ministro ad id utens, nihil enim tale conceperis, sed ut per eum qui in ipso est, substantialiter, et ex eo inseparabiliter et indivisibiliter emanat, et uti propria interpretatur ea, quæ sunt ejus in quo est : non enim ali-

[30] Joan. xvi, 15. [31] Joan. xvii, 10.

Digitized by Google Распознавание текста ABK/FR

ter creaturis associatur, nisi per Filium in Spiritu. Verumtamen hic Spiritus Unigeniti etiam proprius est. Consubstantialis enim Patri Filius est. Quoniam ergo, inquit, Dei et Patris proprium est in Spiritu proprio dignis revelari, et per eum quæcunque voluerit, operari, ideo mihi etiam naturaliter proprius est : ob eamque causam dixi, « Ex meo accipiet et annuntiabit vobis. » Nullum vero obturbetur, cum acceptionis nomen intelligit, sed potius in animum revocet illud, et probe concipiet, quæcunque de Deo dicuntur, enuntiari quidem a nobis, sed non eodem modo intelligi, sed sublimiori. Pari modo dicimus Spiritum ex Patre et Filio, quæ illorum sunt accipere, non quia non habuerit aliquando cognitionem et potestatem, et tum vix tandem habuerit, cum illam accepit. Semper enim sapiens et omnipotens Spiritus est : imo vero re ipsa sapientia et virtus, non participatione, sed naturaliter, exempli causa, aromatum odor naribus nostris objectus prodit virtutem illorum naturaliter ac semper habens, et cogitatione quidem illum concipimus non ab aliis emergere, quam ab iis ipsis a quibus virtutem desumit, et quæ commonstrat, non alienum atque adventitium, sed ex iis ipsis quibus inest : tale quid imo etiam sublimius de Deo et Spiritu sancto meditare Quasi enim odor substantiæ ejus vivens, et patens, a Deo primaria omnium essentia ad creaturas quæ illius sunt transportat, et participationem per se ipsam communicat. Quod si aromatum odor propriam virtutem eorum vestimentis relinquit, et quodam modo in seipsam transmutat ea, in quibus adhæsit, quomodo Spiritus sanctus, qui ex Deo naturaliter est, per seipsum divinæ naturæ participes eos efficere, in quos advenerit? Fructus ergo et character paternæ hypostaseos cum sit Filius, omnia illius secundum naturam attrahit. Propterea que dicit, « Quæcunque habet Pater mea sunt; propterea dixi vobis, de meo accipiet, et annuntiabit vobis [33]. » Spiritus videlicet, qui per eum et in eo est, per quem in sanctis ut ille inhabitat. Non enim aliud præter eum Spiritus ejus est, licet in propria hypostasi subsistere intelligatur et separatim. Spiritus enim Spiritus est, et non Filius. »

A Ὁμιλεῖ γὰρ οὐχ ἑτέρως τῇ κτίσει Θεὸς, εἰ μὴ δι' Υἱοῦ ἐν Πνεύματι. Ἀλλ' ἴδιον γὰρ Πνεῦμα τοῦτό ἐστι καὶ τοῦ Μονογενοῦς· ὁμοούσιος γάρ ἐστι τῷ Πατρί. Ἐπειδὴ τοίνυν, φησὶν, ἐνυπάρχον φαίνεται τῷ Θεῷ καὶ Πατρὶ τὸ ἐν Πνεύματι τῷ ἰδίῳ τοῖς ἀξίοις ἀποκαλύπτεσθαι ἐνεργεῖν τε καὶ δι' αὐτοῦ τὰ ὅσαπερ ἂν βούληται, κἀμοὶ δὲ τοῦτο πρόσεστι φυσικῶς· διὰ ταύτην εἴρηκα τὴν αἰτίαν ὅτι « Ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν. » Ταραττέσθω δὲ μηδεὶς, ὅταν ἐν τούτοις ἀκούῃ τὸ τῆς λήψεως ὄνομα, διενθυμείσθω δὲ μᾶλλον ἐκεῖνο, δράσειε γὰρ ἂν ὀρθῶς, ὅτι πάντα τὰ περὶ Θεοῦ λαλεῖται μὲν καθ' ἡμᾶς, νοεῖται γε μὴν οὐχ οὕτως, ἀλλ' ὑπὲρ ἡμᾶς, λαμβάνειν τε οὕτω τὸ Πνεῦμά φαμεν, ἔκ τε τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὰ αὐτῶν, οὐχ ὡς

B ποτὲ μὲν οὐκ ἔχον τὴν ἐνοῦσαν αὐτοῖς γνῶσίν τε καὶ δύναμιν, ἔχον δὲ πότε μόλις, ὅταν νοῆται λαμβάνον. Ἀεὶ γὰρ σοφὸν καὶ δυνατὸν τὸ Πνεῦμά ἐστι, μᾶλλον δὲ αὐτόχρημα σοφία καὶ δύναμις, οὐκ ἐκ μετοχῆς τῆς τινὸς, ἀλλὰ φυσικῶς, ὥσπερ δ' ἂν φῶμεν τὴν ἐκ τῶν ἀρωμάτων ταῖς ἡμετέραις ὀσφρήσεσι προσβάλλουσαν εὐωδίαν ἑτέραν μὲν ὄσον ὡς πρὸς αὐτὰ, εἰ ταῖς ἐπινοίαις δοίη τις ἂν, προεκκύπτειν γε μὴν οὐχ ἑτέρως οἴοιτο τυχὸν, ἢ τῶν ἐξ ὧνπερ ἐστὶ δεχομένην τὴν δύναμιν εἰς ἔνδειξιν ἑαυτῆς, οὐκ οὖσάν γε μὴν ἑτέραν διὰ τὸ ἐξ αὐτῶν τε καὶ ἐν αὐτοῖς πεφυκέναι. Τοιοῦτόν τι, μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο νοήσεις ἐπί τε Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Οἱονεὶ γὰρ ὁσμή τίς ἐστι τῆς οὐσίας

C αὐτοῦ ζῶσά τε καὶ ἐναργὴς, διακομίζουσα τῇ κτίσει τὰ παρὰ τοῦ Θεοῦ καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας ἐντιθεῖσα δι' ἑαυτῆς τὴν μέθεξιν. Εἰ γὰρ ἡ τῶν ἀρωμάτων εὐοσμία τὴν ἰδίαν ἰσχὺν ἐναπομάττεται τοῖς ἐσθήμασι, καὶ μετασκευάζει τρόπον τινὰ πρὸς ἑαυτὴν τὰ ἐν οἷς ἂν γένοιτο, πῶς οὐκ ἂν ἰσχύσαι τὸ Πνεῦμα τὸ ἅγιον ἐπείπερ ἐστὶν ἐκ Θεοῦ φυσικῶς, κοινωνοὺς τῆς θείας ἀποτελέσαι φύσεως; δι' ἑαυτοῦ τοὺς ἐν οἷς ἂν γένοιτο; Καρπὸς οὖν ἄρα καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ γεννήσαντος; ὑπάρχων ὁ Υἱὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. Διὰ τοῦτό φησιν· « Πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι· διὰ τοῦτό εἶπον ὑμῖν ὅτι « ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν, » τὸ Πνεῦμα δηλονότι, τὸ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ, δι' οὗ τοῖς

D τὸ Πνεῦμα αὐτοῦ, κἂν ὑπάρχειν νοῆται καθ' ἑαυτὸ ἁγίοις ὡς αὐτὸς ἐνοικεῖ. Οὐ γὰρ ἕτερον παρ' αὐτοῦ καὶ ἰδίως. Πνεῦμα γὰρ τὸ Πνεῦμα, καὶ οὐχ Υἱός.

Theodorus Raythenus oratione dogmatica, quæ incipit : «Absurdum existimo, recteque illud reputo. » Longe a principio, dicit : » Ne miremur, dum Dominus vocat exitum a Patre, utriusque progressionem, « Ego enim, inquit, a Patre exivi, et venio [34]. » Rursusque « Spiritus, qui a Patre procedit [35]. Licet enim hic et exire, et procedere idem notet, Spiritui nihilominus magis proprie adaptavit processionem, quemadmodum sibimetipsi generationem. »

Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Ἄτοπον οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα· » Μετὰ πολλὰ πάνυ φησίν· « Μὴ θαυμάζωμεν δὲ λέγοντος τοῦ Κυρίου ἔξοδον ἀπὸ τοῦ Πατρὸς τὴν ἑκατέρου πρόοδον. Ἐγὼ γὰρ, φησὶν, ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω. » Καὶ πάλιν, « Τὸ Πνεῦμα ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Εἰ γὰρ καὶ τὸ ἐξελθεῖν καὶ τὸ ἐκπορευθῆναι ταυτὸν ἐνταῦθα σημαίνει· τῷ Πνεύματι γοῦν τὴν ἐκπόρευσιν μᾶλλον κατ' ἐξαίρετον ἤρμοσεν, ὥσπερ ἑαυτῷ τὴν γέννησιν. »

[33] Joan. xvi, 15. [34] ibid. 26. [35] ibid. xv, 26.

Digitized by Google Распознавание текста ABK/FR

Ἐν τοῖς πραχτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἐν οἷς λέγουσιν οἱ ἐπίσκοποι πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου, εἴρηται οὕτω· « Λέγει οὖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἡ θεία Γραφή, Κλινεῖ ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης ἐκπορευόμενος δηλονότι ἐκ τῆς ἀληθοῦς πηγῆς τῆς ζωῆς τῆς τοῦ Πατρὸς θεότητος, καθά φησιν αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις· Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω. » A

In actis primæ synodi Nicænæ in responsione episcoporum ad philosophum per Leontium episcopum hæc habentur : « Dicit itaque de Filio Dei divina Scriptura, Declinabit super ipsos tanquam fluvius pacis procedens, ex vero nempe fonte vitæ, Patris divinitate, uti Dominus in Evangelio dicit, Ego ex Patre exivi, et venio. »

ΕΠΙΓΡΑΦΗ Ϛ'.

Ἐπειδή εἰσί τινες μὴ καταδεχόμενοι ἐκεῖνο τὴν εὐαγγελικὴν δύνασθαι ῥῆσιν, τῆς Πνεῦμα ἀληθείας τὸ ἅγιον λέγουσαν Πνεῦμα, ὅπερ δύναται καὶ ἡ ῥῆσις ἡ λέγουσα ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι· ἔτι δὲ διενιστάμενοι μηδὲ εἰς ἰσοδύναμον ἔννοιαν λέγεσθαι τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὸ ἅγιον, κατεστρώθησαν αἱ παροῦσαι γραφικαὶ χρήσεις εἰς ἀπόδειξιν τοῦ ἰσοδυνάμου τῶν τοιούτων εὐαγγελικῶν ῥήσεων. B

EPIGRAPHE VI.

Cum nonnulli sint, qui non admittunt evangelicum dictum, quo asseritur Spiritus sanctus esse spiritus veritatis, quod notat et illud aliud, quo affirmatur, ex Patre ipsum procedere : prætereaque contendunt non eumdem intellectum in se continere, ex Patre procedere, et ex Filio accipere Spiritum sanctum, præsentes scripto traditæ auctoritates digestæ sunt, ad similium dictorum æquales vires comprobandas.

Ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου καὶ Ἀρείου λόγοις φησί· « Τὴν μὲν πρὸς τὸν Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω· Εἴτις δὲ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. »

Magnus Basilius in sermonibus contra Eunomium et Arium, « Erga Patrem consortium intelligo, cum ex Patre procedat : erga Filium vero, cum audio, Si quis Spiritum Christi non habet, hic illius non est [35]. »

Ὁ αὐτὸς περὶ τὸ τέλος τοῦ β' τῶν κατ' Εὐνομίου λόγων αὐτοῦ φησίν· « Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα, τοῦτο μὲν τοῦ Ἀποστόλου συνημμένως ἡμῖν παραδιδόντος, καὶ νῦν μὲν Χριστοῦ λέγοντος, νῦν δὲ τοῦ Θεοῦ ἐν οἷς γράφει, « Εἴ δέτις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ » καὶ πάλιν· Ὑμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ » τοῦτο δὲ τοῦ Κυρίου, τὸ Πνεῦμα τῆς ἀληθείας λέγοντος, ἐπειδὴ αὐτὸς ἡ ἀλήθεια, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » C

Idem in secundo contra Eunomium Antirrhetico in fine : « Quo pacto autem dividere Spiritum a Deo, non habet manifestum periculum. Partim Apostolo conjunctim nobis tradente, et modo Christi Spiritum dicente, et modo Dei, ubi scribit, « Si quis autem Spiritum Christi non habet, hic non est ejus. » Et rursus : « Vos autem non spiritum mundi accepistis, sed Spiritum qui ex Deo est [36] : partim vero Domino, quoniam ipse veritas est, Spiritus veritatis dicente a Patre quoque procedere. »

Ὁ αὐτὸς ἐν τῷ ιη' τῶν πρὸς Ἀμφιλόχιον φησιν· « Ἐκ τοῦ Θεοῦ εἶναι λέγεται οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς, ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ, τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου. Ἀλλὰ καὶ Πνεῦμα Χριστοῦ λέγεται ὡς ᾠκειωμένον αὐτῷ κατὰ φύσιν.

Idem in decimo octavo capite ad Amphilochium : « Ex Deo esse dicitur, non sic ex Deo veniens, quemadmodum ex Deo sunt omnia, sed tanquam ex Deo progrediens, non generatus quemadmodum Filius, sed tanquam Spiritus oris ejus. Unde sic declaratur illius consortium, et ineffabilis essentiæ modus servatur. Sed et Spiritus Christi dicitur, uti naturaliter cum illo affinitatem habens. »

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελικοῦ ῥητοῦ, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φησίν· « Ἐν ταυτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἑνότητα παραδεικνὺς ἑαυτοῦ τέ φησι καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, Πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον, εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαί φησιν. Ἀπελέγχει τε παρῶς καὶ ἀναμφιλόγως θεομάχον ὁλοκλήρως τὸν πνευστομάχον. Ὁ γὰρ ὅλως ἐμπαροινεῖν θελήσας τῷ Υἱῷ, πεπλημμεληκὼς ἂν εἰκότως καὶ εἰς αὐτὸν τὸν, ἐξ οὗπερ ἐστιν. Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητος, φησὶ, τὸ Πνεῦμα τῆς ἀληθείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, D

Sanctus Cyrillus interpretatione in Joannis Evangelium in illud : « Cum itaque Paracletus [37], » ait : « Eodem ergo tempore et sui ipsius essentiæ identitatem et Dei et Patris ostendens, Spiritum veritatis Paracletum nuncupans, a Patre eum procedere dicit. Sicque qui Christum oppugnat, Dei hostem se palam et absque ulla hæsitatione esse comprobat. Qui enim Filio insultat, injurius merito in eum, ex quo Filius, censendus est. Cum itaque venerit Paracletus, ait, Spiritus veritatis, meus scilicet, qui a Patre procedit, ille testimonium perhibebit de me. Quomodo vero perhibebit? Magna in vobis et per vos miracula faciens justus,

[35] Rom. VIII, 9. [36] I Cor. II, 12. [37] Joan. XV, 26.

Digitized by Google Распознавание текста ABK/FR

verusque divinæ meæ potestatis, et in virtute magnitudinis testis. Spiritus enim meus est, qui operatur in vobis, sed sicut meus est, ita et Dei Patris. »

Idem expositione in Joannem in illud : « Cum itaque Paracletus venerit, » ait : « Ecce enim ecce Spiritum veritatis, hoc est suimetipsius Paracletum insinuans, ex Patre eum procedere tradit. Quemadmodum enim est Spiritus proprius Filii naturaliter in illo exsistens, et per illum progrediens, ita et Patris. Quibus vero Spiritus communis est, illis erunt quoque, et quæ essentiæ, non separata, aut sejuncta. »

Sanctus Epiphanius in Ancyroto dicit : « Spiritus comprehendi non potest, non alienus Patris et Filii. Namque ipse Unigenitus vocat « Spiritum Patris, » et « Qui ex Patre procedit, et, ex meo accipiet, » ne alienus a Patre et Filio existimaretur. » Et post plurima annexa : « Utraque inhabitant in homine justo Christus et Spiritus ipsius. Si vero Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus insinuat, qui ex Patre procedit, hic de meo accipiet. »

Theodorus Raythenus oratione dogmatica, cujus illud principium est : « Absurdum existimo, rectequе illud reputo, » quam longissime a principio dicit : « Spiritus sanctus veritatis Spiritus est, qui quidem a Patre procedit, a Filio vero accipit, qui omnia Patris possidet, ad demonstrandum declarandumque unam esse essentiam et illius qui accipit, et illius a quo accipit, necnon illius ex quo naturaliter procedit : neque enim progressus fuisset ex illo qui alterius esset essentiæ, aut accepisset ab eo, qui non ejusdem cum eo substantiæ esset. Quodsi ejusdem naturæ sunt cum eo, unde exiere, et ex quo accipit, illa etiam ejusdem sunt naturæ. Quæ enim ejusdem naturæ, in eodem nempe sunt vere, eruntque inter se vero ejusdem naturæ. »

EPIGRAPHE VII.

Cum quidam contendant inter sese differre, progredi, et effundi, et procedere selecta sunt ad irrefragabilem eorum æquivalentiam demonstrandum subsequentes sancti Cyrilli sententiæ, quibus adnexa sunt alia aliorum Patrum testimonia, qui decernunt ex Patre progredi, profundi, emitti Spiritum sanctum in illis pericopis, in quibus illum ex Patre procedere asserendum erat.

Sanctus Cyrillus libro sexto ad Hermiam habet : « Igitur siquidem est spiritus Patris proprius Filii, quomodo ignorabit aliquid in Deo reconditum, proprium habens ipse Spiritum, scientem omnia quæ in Patre; et dicentem audio manifeste sanctis apostolis : Adhuc multa habeo vobis dicere,

A ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· Μαρτυρήσει δὲ πῶς; Ἐνεργῆσαν γὰρ ἐν ὑμῖν τε καὶ δι' ὑμῶν τὰ παράδοξα, μάρτυς ἔσεται δίκαιός τε καὶ ἀληθὴς τῆς ἐμῆς θεοπρεποῦς ἐξουσίας, καὶ τῆς ἐν δυνάμει μεγαλειότητος. Ἐμὸν γὰρ Πνεῦμα τὸ ἐνεργοῦν ἐν ὑμῖν, ὥσπερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ Πατρός. »

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φησίν· « Ἰδοὺ γὰρ ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαί φησιν. Ὥσπερ γάρ ἐστι Πνεῦμα ἴδιον τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός. Οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. »

B Ὁ ἅγιος Ἐπιφάνιος, ἐν τῷ Ἀγκυρωτῷ φησιν· « Τὸ Πνεῦμα ἀκατάληπτον, οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει, « τὸ Πνεῦμα τοῦ Πατρὸς, » καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. » Καὶ « ἐκ τοῦ ἐμοῦ λήψεται· » ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς μηδὲ Υἱοῦ. » Καὶ μετὰ πολλὰ πάνυ· « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ· ἢ παρ' ἀμφοτέρων ὧν φησιν ὁ Χριστὸς ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. »

Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ· « Ἄτοπον C οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα, » μετὰ πολλὰ πάνυ φησίν· « Τὸ Πνεῦμα τὸ ἅγιον ἀληθείας Πνεῦμά ἐστι· τοῦτο δὲ παρὰ μὲν τοῦ Πατρὸς ἐκπορεύεται, λαμβάνει δὲ παρὰ τοῦ Υἱοῦ, πάντα τὰ τοῦ Πατρὸς ἔχοντος, πρὸς ἀπόδειξιν καὶ φανέρωσιν τοῦ, ὅτι μία οὐσία ἐστὶ τοῦ τε λαμβάνοντος καὶ τοῦ παρ' οὗ λαμβάνει, καὶ τοῦ ἐξ οὗ φυσικῶς ἐκπορεύεται. Οὐδὲ γὰρ ἂν προῆλθον ἐξ ἑτεροουσίου, ἢ ἔλαβέ τι παρὰ τοῦ μὴ ὁμοουσίου. Εἰ δὲ ὁμοούσιά ἐστιν αὐτῷ τὸ, ὅθεν προῆλθε; καὶ τὸ ἐξ οὗ λαμβάνει, κἀκεῖνα πάντως ἑαυτοῖς ἐστιν ὁμοούσια· τὰ γὰρ τῷ αὐτῷ ὁμοούσια, δηλονότι καὶ ἀλλήλοις ἔσται· καὶ ἔστιν ἀληθῶς ὁμοούσια.

ΕΠΙΓΡΑΦΗ Ζ'.

Ἐπειδὴ εἰσί τινες λέγοντες διαφέρειν ἀλλήλων τὸ πρόεισι καὶ προχεῖται, καὶ ἐκπορεύεται, ἐξελέγησαν εἰς ἀναντίῤῥητον ἀπόδειξιν τοῦ Ἰσοδυνάμου αὐτῶν αἱ προκείμεναι χρήσεις τοῦ ἁγίου Κυρίλλου, καὶ μετ' αὐτὰς αἱ ὑποτεταγμέναι αὐταῖς ἕτεραι χρήσεις τῶν ἄλλων Πατέρων, τῶν θεολογούντων ἐκ Πατρὸς προΐεναι τε καὶ ἐκπέμπεσθαι, καὶ προχεῖσθαι τὸ Πνεῦμα ἐν ἐκείναις ταῖς περικοπαῖς, ἐν αἷς ἔμελλον λέγειν ἐκ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι.

Ὁ ἅγιος Κύριλλος ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν φησίν· « Εἴπερ οὖν ἐστι τὸ Πνεῦμα τοῦ Πατρὸς ἴδιον τοῦ Υἱοῦ, πῶς ἀγνοῆσαί τι τῶν ἐν Θεῷ κεκρυμμένων, ἴδιον ἔχων αὐτὸ; τὸ Πνεῦμα τὸ πάντα εἰδὸς τὰ ἐν τῷ Πατρί· καίτοι λέγοντος ἀκούσαφῶς τοῖς ἁγίοις ἀποστόλοις· Ἔτι πολλὰ ἔχω λέ-

Digitized by Google Распознавание текста ABK/FR

γεῖν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι · ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν. Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ ἀλλ' ὅσα ἀκούσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἆρά σοι σαφὲς τὸ παροισθέν ἐστι λόγιον, καὶ προσδέδορκας ὅτι Πνεῦμα μὲν ἀληθείας ὠνόμασε τὸν Παράκλητον; Ἔφη γε μὴν ὡς πρόεισιν ἐκ Πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ Πατρός. »

A sed non potestis portare modo : quando autem veniet ille Spiritus veritatis, inducet vos in omnem veritatem. Non enim loquetur a semetipso, et ventura annuntiabit vobis [26]. Num tibi patet adductum eloquium, et aspexisti, quod Spiritum quidem veritatis nominavit Paracletum? Dixit etiam eum procedere ex Patre, propria sua omnia ostendens, quæ Patris sunt. »

Ὁ αὐτὸς ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν · » Ὅτι δὲ τὸ τοῦ Πατρὸς Πνεῦμα Πνεῦμα ἐστι τοῦ Υἱοῦ, αὐτός σε δι' ἑαυτοῦ μυσταγωγήσει λέγων · Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος, φησὶν, μαρτυρήσει περὶ ἐμοῦ. Συνίης οὖν ὅπως ὡς ἴδιον ἐπαγγέλλεται καταπέμψειν ἡμῖν τὸ ἐκ τοῦ Πατρὸς, καὶ Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, προχεῖσθαί γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρὸς, καὶ μὴν ὅτι καὶ μαρτυρήσει περὶ αὐτοῦ προμεμήνυκεν ;

Idem libro VI ad Hermiam, inquit : « Spiritum autem Patris Spiritum quoque Filii esse, ipse te per semetipsum docebit : Cum itaque venerit Paracletus quem ego mittam vobis a Patre, Spiritum veritatis, qui a Patre procedit, ille, ait, testimonium perhibebit de me. Audis itaque quanam ratione uti proprium mittere nobis, qui ex Patre est, Spiritum promittit? Et Spiritum quidem veritatis nominat, effundi vero eum ex ipso Patre determinat, et præterea eum de semetipso testimonium perhibiturum prænuntiavit. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς μοναστὰς λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Τὸ φιλομαθὲς καὶ φιλόπονον τῆς ὑμετέρας ἀγάπης ἄξιον εἶναί φημι τοῦ παντὸς λόγου, » μετὰ πολλὰ ἕτερά φησιν · « Τὸ Πνεῦμα προχεῖται μὲν, ἤγουν ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. »

Idem oratione ad monachos, quæ incipit : « Vestræ dilectionis discendi cupiditas, et laboris studium dignum esse omni consideratione reputo, » post multa alia adnectit : « Spiritus effunditur quidem, procedit scilicet, uti ex fonte Deo et Patre, suppeditatur vero creaturis per Filium. »

Ὁ μέγας Ἀθανάσιος, ἐν ᾗ ποιεῖται διαλέξει Ὀρθοδόξου καὶ Μακεδονιανοῦ, φησί · « Μὴ γένοιτό μοι εἰπεῖν ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀθάνατον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ τὸν Θεὸν θεωρουμένων λέγω εἶναι ἐπίκτητον τοῦ ἁγίου Πνεύματος, ἀλλὰ φύσει ἅγιον, φύσει ἄφθαρτον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον. »

Magnus Athanasius in colloquio Orthodoxi cum Macedoniano, dicit : « Absit ut dicam aliquid esse adscititium in Spiritu sancto. Neque enim sanctum, neque incorruptibile, neque immortale, neque bonum, neque aliquid aliud ex circa Deum examinatis dico esse adscititium sancti Spiritus, sed natura sanctum, natura incorruptibile est uti spiritus Domini ex ipso exsiliens, sive procedens. »

Ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ β' τῶν Θησαυρῶν φησιν · « Οὐχ οὕτως, ὦ βέλτιστοι, τὰ πάντα φαμὲν ἐκ τοῦ Θεοῦ, καθάπερ καὶ τὸ Πνεῦμα. Τὸ μὲν γάρ ἐστι φυσικῶς ἐνυπάρχον καὶ οὐσιωδῶς ἐμπεπηγὸς, ἵν' οὕτως εἴπωμεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προῖὸν, τὰ δὲ τῆς ἐνεργείας ἔργα καὶ ποιήματα.

Sanctus Cyrillus in uno ex capitibus libri secundi Thesaurorum, ait : « Non hac ratione, o optimi, omnia dicimus ex Deo, quemadmodum et Spiritum. Spiritus enim naturaliter inest, et essentialiter infixus est, ut ita dicamus, et indivisibiliter ex illo promanat ; hæc autem sunt actionis opera et creaturæ. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Οὐ διώρισται τῆς οὐσίας τῆς θείας, ἀλλ' ἐξ αὐτῆς φυσικῶς ἐκπεμπόμενον, ὅλην ἔχει τοῦ Πατρὸς καὶ Υἱοῦ τὴν ἐνέργειαν.

Et rursus in alio : « Non separatur a divina essentia, et ex illa naturaliter egrediens universam in se Patris et etiam Filii actionem continet. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ ἐξ οὗ, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός. »

Idem in alio : « Sed manebit in ipso illud ex quo, quod ex Patris essentia est. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ, καὶ ἐξ αὐτῆς προῖόν. »

Itemque in alio : « Manifestum est divinæ esse essentiæ essentialiter in ipsa, et ex ipsa progrediens. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προῖόν. »

Rursusque in alio : « Cum itaque Spiritus sanctus ad nos accedens conformes nos Deo ostenderit, progreditur vero ex Patre et Filio, manifestum est illum divinæ essentiæ esse, essentialiter in ipsa et ex ipsa promanantem. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς Νεστόριον λόγῳ φησίν · « Εἰ γὰρ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καθὸ Πνεῦμά ἐστι, καὶ οὐχ Υἱός · ἀλλ' οὖν ἔστιν οὐχ ἀλ-

Idem oratione ad Nestorium ait : « Licet enim Spiritus in propria hypostasi sit ea ratione, qua Spiritus est, et non Filius, non ideo tamen alienus

[26] Joan. XVI, 12, 13.

Digitized by Google Распознавание текста ABK/FR

tem venerit, ait, non loquetur a seipso quidquam, pro eo quod est, prudentes vos reddet, et arcana veritatis revelabit, non loquetur prorsus quidquam quod mihi non placeat, neque peregrinis vos disciplinis instruet. Neque enim proprias fortasse leges feret. Cum vero Spiritus, et quasi mens mea sit, loquetur omnino quæ in me sunt. Et hæc Dominus ait, non ut ministri locum habere Spiritus sanctus videatur, ut imperite a nonnullis prædicatur, sed ut ejusdem esse cum Filio substantiæ confirmaretur. Sed ut potius certiores redderet discipulos, secundum essentiæ rationem a se ipso non esse diversum. Hæc prorsus loquetur, et operabitur, et concupiscet. Propterea quæ præmisit, quod etiam ventura annuntiabit vobis, ac si diceret, id signum vobis erit, ex mea substantia Spiritum esse, et mentem esse quasi meam, dum ille quemadmodum et ego futura prædicet; prædixi enim etsi non potuistis omnia intelligere. Itaque non posset ille uti et ego futura prædicere, nisi omnino in me esset, et per me progrederetur. »

Idem in dictum, « Sicut me misit vivens Pater, et ego vivo propter Patrem [28], » lib. IV, cap. 18. Quemadmodum enim lumen de lumine esse dicitur, sic et vita ex vita. Et quemadmodum quæ luce indigent, per Filium Deus et Pater illuminat per lumen proprium Filium : et qui sapientiam admittere possunt, per propriam sapientiam sapientes facit, et quæ robore indigent per robur rursus proprium corroborat, sic quæ vita egent, per vitam propriam et quæ per ipsum effunditur, Filii nempe vivificat. «

Idem in illud : « Ille me clarificabit : quia de meo accipiet [29], » inquit : « Glorificat quidem Filium Paracletus, hoc est proprius illius Spiritus, qui omnia potest, qui omnia novit. Clarificat vero quomodo? Quæ enim scit potestque Spiritus illius, quomodo ipse non noverit aut poterit? Etsi, ut ipse ait, Spiritus ab ipso accipit, licet omnia possit ac perficiat, quomodo ipse non possederit illud, quod rebus in omnibus validissimum est? Sed enim illud certo tenendum est, nullo modo Paracletum, hoc est Spiritum, propriæ naturalis innataque potentiæ indigum esse : adeo ut, si non accipiat non possit ipse ex se ipso ad rerum divinarum, operationem perfectivam aliquid conferre. Sed quicunque hæc vel mente tenus cogitare vera esse, impietatis quam maximæ crimen subierit. Cum vero consubstantialis sit Filio, et emanat divina quadam ratione per ipsum, omnem ejus habens virtutem, et perfectissimam operationem, propterea dicit, « De meo accipiet. » Persistere namque per se Spiritum credimus, esseque re vera, quod est et dicitur : et cum insit in substantia Dei, emanat, atque progreditur ex illa, omnia illius in semetipso

[28] Joan. 6, 58. [29] Joan. XVI, 14.

αὐτὸν οἶμαι τρόπον, μᾶλλον δὲ κατὰ τὴν τοῦ Παύλου φωνήν, οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ. Ὅταν οὖν ἔλθῃ, φησίν, οὐ λαλήσει ἀφ' ἑαυτοῦ οὐδέν, ἀντὶ τοῦ, συνετιεῖ μὲν ἡμᾶς, καὶ τὸ περὶ τῆς ἀληθείας ἀποκαλύψει μυστήριον, λαλήσει γε μὴν οὐδὲν παντελῶς τῶν ἀπῳδόντων ἐμοὶ, ἀλλ' οὐδὲ ξένον ὑμῖν εἰσηγήσεται μάθημα. Οὐ γὰρ ἰδίους τυχὸν εἰσοίσει νόμους. Ἐπειδὴ δὲ πνεῦμα καὶ οἱονεὶ νοῦς ἐστιν ἐμὸς, λαλήσει δὴ πάντως τὰ ἐν ἐμοί. Καὶ τοῦτό φησιν ὁ Σωτὴρ, οὐχ ἵνα νοῶμεν ὑπουργικὸν τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τήν τινων ἀμαθίαν, πληροφορῆσαι δὲ μᾶλλον ἐθελήσας τοὺς μαθητὰς ὡς οὐχ ἕτερον ὂν παρ' αὐτὸν τὸ Πνεῦμα αὐτοῦ κατά γε τὸν ἐν ὁμοουσιότητι λόγον. Ταῦτα δὴ πάντως λαλήσει καὶ ἐνεργήσει καὶ βουλήσεται. Διὰ γάρ τοι τοῦτο προστέθεικεν ὅτι καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν, μονονουχὶ λέγων, σημεῖον τοῦτο ἔσται ὑμῖν, ὅτι δὴ πάντως ἐκ τῆς ἐμῆς οὐσίας τὸ Πνεῦμά ἐστι, καὶ οἷον ἐμός ἐστι νοῦς, τὸ ἐρεῖν αὐτὸν τὰ ἐσόμενα, καθάπερ ἐγώ. Προείρηκα γάρ, εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν. Οὐκ ἂν οὖν ἄρα, καθάπερ ἐγὼ, προερεῖ τὰ ἐσόμενα, μὴ οὐχὶ πάντως ἐν ἐμοί τε ὑπάρχον, καὶ δι' ἐμοῦ προϊόν. »

Ὁ αὐτὸς εἰς τὸ κατὰ Ἰωάννην ἐν τῷ δ' βιβλίῳ ἐν κεφαλαίῳ ιη', εἰς τὸ ῥητὸν τὸ, « Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα. » Ὡς γὰρ φῶς ἐκ φωτὸς εἶναι λέγεται, οὕτω καὶ ζωὴ ἐκ ζωῆς· καὶ ὥσπερ τὰ φωτὸς δεόμενα φωτίζει ὁ Θεὸς καὶ Πατὴρ διὰ φωτὸς ἰδίου τοῦ Υἱοῦ, καὶ σοφοῖ τὰ σοφίας δεκτικὰ, ὡς διὰ σοφίας ἰδίας, καὶ δυναμοῖ τὰ δυνάμεως χρῄζοντα ὡς διὰ δυνάμεως πάλιν ἰδίας, οὕτω ζωοποιεῖ τὰ ὅσα πέρ ἐστι τῆς παρ' αὐτοῦ δεόμενα ζωῆς διὰ ζωῆς ἰδίας, καὶ ἐξ αὐτοῦ προχεομένης, τουτέστι τοῦ Υἱοῦ. »

Ὁ αὐτὸς εἰς τὸ, « Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, » φησίν· « Δοξάζει τοιγαροῦν τὸν Υἱὸν ὁ Παράκλητος, τουτέστι τὸ ἴδιον αὐτοῦ Πνεῦμα, πάντα ἰσχύον, καὶ πάντα εἰδός. Δοξάζει δὲ πῶς; Ἃ γὰρ οἶδε καὶ δύναται τὸ Πνεῦμα αὐτοῦ πῶς ἂν αὐτὸς οὐκ εἰδοίη τυχόν; ἢ πῶς οὐκ ἂν δύναιτο; καὶ εἰ, καθάπερ αὐτός φησιν, ἐξ αὐτοῦ λαμβάνει τὸ Πνεῦμα, καίτοι πάντα ἰσχύον καὶ κατορθοῦν, πῶς ἂν αὐτὸς οὐκ ἔχοι τὸ ἐφ' ἅπασιν ἰσχυρόν; Ὑποτοπητέον δὲ οὐδαμῶς ἰσχύος ἐπιδεᾶ τῆς ἐμφύτου καὶ φυσικῆς καθεστάναι τὸν Παράκλητον, τουτέστι τὸ Πνεῦμα, ὡς εἰ μὴ λαβὸν τύχοι μηδ' ἂν ἐξαρκέσειν αὐτὸν ἑαυτῷ δύνασθαι πρὸς τὴν τῶν θείων κατορθωμάτων ἐνέργειαν ἀποτελεστικήν. Δυσσεβείας γὰρ ἂν τῆς ἁπασῶν ἐσχάτης ὑπομεῖναι γραφὴν, καὶ σφόδρα εἰκότως, ὁ καὶ μόνον οἱηθεὶς ἀληθές τι τῶν τοιούτων εἶναι περὶ αὐτοῦ. Ἐπειδὴ δὲ ὁμοούσιόν τε ἐστὶ τῷ Υἱῷ, καὶ πρόεισι θεοπρεπῶς δι' αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ' ἅπασι τελεωτάτην ἔχων ἐνέργειάν τε καὶ δύναμιν, διὰ τοῦτό φησιν ὅτι, « Ἐκ τοῦ ἐμοῦ λήψεται. » Ὑφεστάναι γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ Πνεῦμα πιστεύομεν, εἶναί τε κατὰ ἀλήθειαν τοῦθ' ὅπερ ἐστὶ καὶ λέγεται, ἐνυπάρχον γε μὴν τῇ οὐσίᾳ τοῦ Θεοῦ, προ-

Digitized by Google Распознавание текста АВК/FR

κύπτει τε καὶ πρόεισιν ἐξ αὐτῆς πάντα τὰ αὐτῆς ἔχον ἐν ἑαυτῷ φυσικῶς. Οὐ γὰρ κατὰ μέθεξιν, ἀλλ' οὐδὲ κατὰ τρόπον σχετικόν, ἀλλ' οὐχ ὡς ἕτερον ὂν παρ' αὐτήν, ἐπείπερ ἐστὶν ἴδιον αὐτῆς. Ὅνπερ γὰρ τρόπον ἡ ἐκ τῶν εὐοσμοτάτων ἀνθέων εὐωδία λαβοῦσα τρόπον τινὰ τῶν προσόντων αὐτοῖς τὴν οὐσιώδη καὶ φυσικὴν ἐνέργειαν, ἤτοι ποιότητα, διακομίζει τοῖς ἔξω τὴν γνῶσιν, τοῖς ὀσφραντικοῖς τοῦ σώματος μορίοις ἐμπίπτουσα, καὶ δοκεῖ μέν πως, ὅσον ἦκεν εἰς ἐπινοίας λόγον, ἑτέρα τις εἶναι παρὰ τὴν πέμπουσαν αὐτὴν φύσιν, νοουμένη γε μὴν οὐκέτι καθ' ἑαυτὴν ἑτέραν ἔχει φύσιν, ἢ τῶν ἐξ ὧν καὶ ἐν οἷς ἐστιν· οὕτω νοήσεις ἐπί τε Θεοῦ καὶ ἁγίου Πνεύματος, τὸν τοῦ παραδείγματος ἀναβαίνων λόγον. Ἀκατηγόρητον οὖν ἄρα παντελῶς, καὶ λοιδορίας ἁπάσης ἔξω κείσεται, τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ Μονογενοῦς τὸ Πνεῦμα αὐτοῦ. Προϊὸν γὰρ δι' αὐτοῦ φυσικῶς ὡς ἴδιον αὐτοῦ μετὰ πάντων ὧν ἔχει τελείως, λαμβάνειν λέγεται τὰ αὐτοῦ. »

A naturaliter habens. Non enim participatione, aut habitudine, nec ut alius ab illa, sed uti proprius illius. Quemadmodum enim florum odoratissimorum suavis odor, modo quodam essentiali, ac naturali, quæ illis adhæret, operationem, aut qualitate accepta, extraneis offert cognitionem in corporis membra, quæ olfactui deserviunt, incidens, et videtur quidem, quantum humanus intellectus capere potest, alius esse ab ea, quæ ipsum emittit natura introspecta : vero mentis, acie nullam aliam in semetipsa naturam continet, quam eorum ex quibus est : pari modo de Deo sanctoque Spiritu ratiocinare, supra exempli rationem mente sublatus. Nihil igitur prorsus detrahitur Spiritus, et accusationem supra omnem est, si concipiatur Spiritus B aliquid ab Unigenito accipere : nam cum per illum naturaliter progrediatur, cum omnibus, quæ absolute habet, perfecte ab eo sua habere dicitur. »

Ὁ αὐτὸς εἰς τὸ, « Πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι, καὶ διὰ τοῦτο εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν, » φησί. « Χαρακτῆρα πάλιν εἰλικρινῆ τε καὶ ἀκριβέστατον τῆς ὑποστάσεως τοῦ Πατρὸς ἑαυτὸν ὑμῖν κἀν τούτοις εὖ μάλα δέδειχεν ὁ Υἱός, διδωσί τε δι' ὧν ἔφη νοεῖν ὅτι καρπὸς ὑπάρχων τῆς οὐσίας αὐτοῦ, πάντα τὰ αὐτῆς κατὰ φύσιν ἑπάγεται, ἴδιά τε εἶναί φησι, καὶ μάλα εἰκότως. Διατέμνοντος γὰρ, ἤτοι διιστάντος οὐδενὸς εἰς ἀλλοτριότητα τοῦ Πατρὸς τὸν Υἱὸν ὅσον ἦκεν εἰς τὸ κατὰ πᾶν ὁτιοῦν ὅμοιόν τε καὶ ἴσον δίχα μόνου C τοῦ εἶναι Πατέρα, διαλαμπούσης τε τῆς οὐσίας ἐν ἀμφοῖν οὐχ ἑτεροτρόπως, πῶς οὐκ ἂν εἶεν ἤδη κοινά, μᾶλλον δὲ ταυτὰ ἐν ἀμφοῖν, ὡς εἶναι μὲν ἐν Υἱῷ τὰ τοῦ Πατρὸς, ἐν δὲ τῷ τεκόντι τὰ τοῦ γεννήματος; Διὰ γὰρ τοῦτο, καθάπερ ἐγῷμαι, μετὰ δριμείας τινὸς τῆς ἐπιτηρήσεως, τοὺς περὶ τούτων ἡμῖν ἐποιήσατο λόγους, Ἔφη γὰρ, οὐχ ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἔχω κἀγώ· ἵνα μὴ ψιλή τις εἰκὼν ἡ κατὰ μόνην νοουμένη τὴν ἰσοτυπίαν, καὶ τοῖς ἔξωθεν ὡραϊσμοῖς μεμορφωμένη νοῆται πρὸς τὸ ἀρχέτυπον, καθάπερ οὖν καὶ ἡμεῖς αὐτοὶ, γενόμεθα γὰρ κατ' εἰκόνα Θεοῦ· ἀλλ' ἐμά, φησὶν, ἐστὶ, τὴν εἰς ἄκρον ἕνωσιν ἣν ἔχει πρὸς τὸν γεννήσαντα, καὶ τὴν τῆς ὁμοουσιότητος δύναμιν, ἐν ἀπαραλλάκτοις οὖσαν τοῖς ἰδιώμασιν, ἐν ἀμφοῖν διὰ τούτου παραδεικνύς. Τοῦτο δ' D ἂν ἴδοις καὶ μάλα σαφῶς ἐν ἑτέροις λέγοντα πρὸς τὸν Πατέρα· « Πάντα γὰρ τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά. Οἷς γὰρ ὅλως ἔνεστι τὸ διαλλάττον οὐδὲν, καὶ ἡ κατὰ πᾶν ὁτιοῦν οὐσιώδης ἰσότης τε καὶ ἐμφέρεια, πῶς οὐκ ἂν εἶεν ταυτὰ τῇ φύσει; Ἔχει τοίνυν ὁ Θεὸς καὶ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, τουτέστι τὸ ἅγιον, δι' οὗ τοῖς ἁγίοις ἐναυλίζεταί τε καὶ ἀποκαλύπτει μυστήρια, οὐκ ἐν τάξει τῇ ὑπουργικῇ παραλαμβανομένου πρὸς τοῦτο, μὴ γὰρ οἰηθῇς τι τοιοῦτον, ἀλλ' ἐν αὐτῷ τε ὄντος οὐσιωδῶς, καὶ ἐξ αὐτοῦ προϊόντος ἀμερίστως τε καὶ ἀδιαστάτως, ὡς ἴδιά τε διερμηνεύοντος τὰ ἐν ᾧ καὶ ἐξ οὗπερ ἐστιν.

Idem in illud : « Omnia quæcunque habet Pater mea sunt : propterea dixi vobis, quia de meo accipiet et annuntiabit vobis[30], » inquit : « Characterem rursus exactum atque sincerum hypostaseos paternæ his se verbis Filius ostendit : intelligereque facit per quæ dixit, eum sit fructus substantiæ Patris, omnia quæ ejus sunt secundum naturam attrahere, ita ut proprie sua merito sint, et appellentur. Cum enim nihil a Patre Filius penitus differat, neque ab ea natura in aliam traducatur, est illi per omnia similis et æqualis, absque eo solo quod Pater sit. Cumque in utroque eadem substantia eodem modo præfulgeat, quomodo non erunt communia, imo vero eadem quæ in utroque sunt; ut quæcunque in Patre sunt, eadem etiam in Filio sint? Et quæcunque in Filio eadem similiter in generante. Ideo, ut ego puto, exquisitissima est usus oratione, de his sermonem habens; namque dixit, Non quæcunque habet Pater ego habeo : ne imago quædam nuda atque abjecta intellectu formata, et exterioribus ornamentis figurata, ad primitivum typum concipiatur, quemadmodum nos ipsi, qui ad imaginem Dei formati sumus, esse videatur. Sed mea sunt, ait, identitatem substantiæ absolutissimam, quam habet erga Patrem, et consubstantialis virtutem, in proprietatibus incommutabilibus ostendens, quod alibi etiam ad Patrem sermonem dirigens ait; « Omnia mea tua sunt, et tua mea[31]. » In quibus enim nulla differentia est, sed substantiæ identitas maxima, et æqualitas quomodo illis eadem omnia natura non erunt? Habet enim Deus et Pater ex sese et in sese Spiritum proprium, Spiritum nempe sanctum, per quem in sanctis inhabitat, et mysteria revelat, non eo tanquam ministro ad id utens, nihil enim tale conceperis, sed ut per eum qui in ipso est, substantialiter, et ex eo inseparabiliter et indivisibiliter emanat, et uti propria interpretatur ea, quæ sunt ejus in quo est : non enim ali-

[30] Joan. xvi, 15. [31] Joan. xvii, 10.

Digitized by Google Распознавание текста ABK/FR

ter creaturis associatur, nisi per Filium in Spiritu. Verumtamen hic Spiritus Unigeniti etiam proprius est. Consubstantialis enim Patri Filius est. Quoniam ergo, inquit, Dei et Patris proprium est in Spiritu proprio dignis revelari, et per eum quæcunque voluerit, operari, ideo mihi etiam naturaliter proprius est : ob eamque causam dixi, « Ex meo accipiet et annuntiabit vobis. » Nullum vero obturbetur, cum acceptionis nomen intelligit, sed potius in animum revocet illud, et probe concipiet, quæcunque de Deo dicuntur, enuntiari quidem a nobis, sed non eodem modo intelligi, sed sublimiori. Pari modo dicimus Spiritum ex Patre et Filio, quæ illorum sunt accipere, non quia non habuerit aliquando cognitionem et potestatem, et tum vix tandem habuerit, cum illam accepit. Semper enim sapiens et omnipotens Spiritus est : imo vero re ipsa sapientia et virtus, non participatione, sed naturaliter, exempli causa, aromatum odor naribus nostris objectus prodit virtutem illorum naturaliter ac semper habens, et cogitatione quidem illum concipimus non ab aliis emergere, quam ab iis ipsis a quibus virtutem desumit, et quæ commonstrat, non alienum atque adventitium, sed ex iis ipsis quibus inest : tale quid imo etiam sublimius de Deo et Spiritu sancto meditare. Quasi enim odor substantiæ ejus vivens, et patens, a Deo primaria omnium essentia ad creaturas quæ illius sunt transportat, et participationem per se ipsam communicat. Quod si aromatum odor propriam virtutem eorum vestimentis relinquit, et quodam modo in seipsam transmutat ea, in quibus adhæsit, quomodo Spiritus sanctus, qui ex Deo naturaliter est, per seipsum divinæ naturæ participes eos efficere, in quos advenerit? Fructus ergo et character paternæ hypostaseos cum sit Filius, omnia illius secundum naturam attrahit. Propterea que dicit, « Quæcunque habet Pater mea sunt; propterea dixi vobis, de meo accipiet, et annuntiabit vobis [33]. » Spiritus videlicet, qui per eum et in eo est, per quem in sanctis ut ille inhabitat. Non enim aliud præter eum Spiritus ejus est, licet in propria hypostasi subsistere intelligatur et separatim. Spiritus enim Spiritus est, et non Filius. »

Theodorus Raythenus oratione dogmatica, quæ incipit : «Absurdum existimo, recteque illud reputo. » Longe a principio, dicit : » Ne miremur, dum Dominus vocat exitum a Patre, utriusque progressionem, « Ego enim, inquit, a Patre exivi, et venio [33]. » Rursusque « Spiritus, qui a Patre procedit [34]. Licet enim hic et exire, et procedere idem notet, Spiritui nihilominus magis proprie adaptavit processionem, quemadmodum sibimetipsi generationem. »

[33] Joan. xvi, 15. [33] ibid. 26. [34] ibid. xv, 26.

Ὁμιλεῖ γὰρ οὐχ ἑτέρως τῇ κτίσει Θεὸς, εἰ μὴ δι' Υἱοῦ ἐν Πνεύματι. Ἀλλ' ἴδιον γὰρ Πνεῦμα τοῦτό ἐστι καὶ τοῦ Μονογενοῦς· ὁμοούσιος γάρ ἐστι τῷ Πατρί. Ἐπειδὴ τοίνυν, φησὶν, ἐνυπάρχον φαίνεται τῷ Θεῷ καὶ Πατρὶ τὸ ἐν Πνεύματι τῷ ἰδίῳ τοῖς ἀξίοις ἀποκαλύπτεσθαι ἐνεργεῖν τε καὶ δι' αὐτοῦ τὰ ὅσαπερ ἂν βούληται, κἀμοὶ δὲ τοῦτο πρόσεστι φυσικῶς· διὰ ταύτην εἴρηκα τὴν αἰτίαν ὅτι « Ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν. » Ταραττέσθω δὲ μηδεὶς, ὅταν ἐν τούτοις ἀκούῃ τὸ τῆς λήψεως ὄνομα, διενθυμείσθω δὲ μᾶλλον ἐκεῖνο, δράσειε γὰρ ἂν ὀρθῶς, ὅτι πάντα τὰ περὶ Θεοῦ λαλεῖται μὲν καθ' ἡμᾶς, νοεῖταί γε μὴν οὐχ οὕτως, ἀλλ' ὑπὲρ ἡμᾶς, λαμβάνειν τε οὕτω τὸ Πνεῦμά φαμεν, ἔκ τε τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὰ αὐτῶν, οὐχ ὡς ποτὲ μὲν οὐκ ἔχον τὴν ἐνοῦσαν αὐτοῖς γνῶσίν τε καὶ δύναμιν, ἔχον δὲ πότε μόλις, ὅταν νοῆται λαμβάνον. Ἀεὶ γὰρ σοφὸν καὶ δυνατὸν τὸ Πνεῦμά ἐστι, μᾶλλον δὲ αὐτόχρημα σοφία καὶ δύναμις, οὐκ ἐκ μετοχῆς τῆς τινὸς, ἀλλὰ φυσικῶς, ὥσπερ δ' ἂν φῶμεν τὴν ἐκ τῶν ἀρωμάτων ταῖς ἡμετέραις ὀσφρήσεσι προσβάλλουσαν εὐωδίαν ἑτέραν μὲν ὅσον ὡς πρὸς αὐτὰ, εἰ ταῖς ἐπινοίαις δοίη τις ἄν, προεκκύπτειν γε μὴν οὐχ ἑτέρως οἴοιτο τυχὸν, ἢ τῶν ἐξ ὧνπερ ἐστὶ δεχομένην τὴν δύναμιν εἰς ἔνδειξιν ἑαυτῆς, οὐκ οὖσάν γε μὴν ἑτέραν διὰ τὸ ἐξ αὐτῶν τε καὶ ἐν αὐτοῖς πεφυκέναι. Τοιοῦτόν τι, μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο νοήσεις ἐπί τε Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Οἱονεὶ γὰρ ὀσμή τίς ἐστι τῆς οὐσίας αὐτοῦ ζῶσά τε καὶ ἐναργὴς, διακομίζουσα τῇ κτίσει τὰ παρὰ τοῦ Θεοῦ καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας ἐντιθεῖσα δι' ἑαυτῆς τὴν μέθεξιν. Εἰ γὰρ ἡ τῶν ἀρωμάτων εὐοσμία τὴν ἰδίαν ἰσχὺν ἐναπομάττεται τοῖς ἐσθήμασι, καὶ μετασκευάζει τρόπον τινὰ πρὸς ἑαυτὴν τὰ ἐν οἷς ἂν γένοιτο, πῶς οὐκ ἂν ἰσχύσαι τὸ Πνεῦμα τὸ ἅγιον ἐπειπερ ἐστὶν ἐκ Θεοῦ φυσικῶς, κοινωνοὺς τῆς θείας ἀποτελέσαι φύσεως; δι' ἑαυτοῦ τοὺς ἐν οἷς ἂν γένοιτο; Καρπὸς οὖν ἄρα καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ γεννήσαντος ὑπάρχων ὁ Υἱὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. Διὰ τοῦτό φησιν· « Πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι· διὰ τοῦτό εἶπον ὑμῖν ὅτι « ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν, » τὸ Πνεῦμα δηλονότι, τὸ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ, δι' οὗ τοῖς ἁγίοις ὡς αὐτὸς ἐνοικεῖ. Οὐ γὰρ ἕτερον παρ' αὐτοῦ τὸ Πνεῦμα, αὐτοῦ, κἂν ὑπάρχειν νοῆται καθ' ἑαυτὸ καὶ ἰδίως. Πνεῦμα γὰρ τὸ Πνεῦμα, καὶ οὐχ Υἱός.

Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Ἄτοπον οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα· » Μετὰ πολλὰ πάνυ φησὶν· « Μὴ θαυμάζωμεν δὲ λέγοντος τοῦ Κυρίου ἔξοδον ἀπὸ τοῦ Πατρὸς τὴν ἑκατέρου πρόοδον. Ἐγὼ γὰρ, φησὶν, ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω. » Καὶ πάλιν, « Τὸ Πνεῦμα ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Εἰ γὰρ καὶ τὸ ἐξελθεῖν καὶ τὸ ἐκπορευθῆναι ταυτὸν ἐνταῦθα σημαίνει· τῷ Πνεύματι γοῦν τὴν ἐκπόρευσιν μᾶλλον κατ' ἐξαίρετον ἤρμοσεν, ὥσπερ ἑαυτῷ τὴν γέννησιν. »

Digitized by Google Распознавание текста АВК/FR

Ἐν τοῖς πραχτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἐν οἷς λέγουσιν οἱ ἐπίσκοποι πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου, εἴρηται οὕτω· « Λέγει οὖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἡ θεία Γραφή, Κλινεῖ ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης ἐκπορευόμενος δηλονότι ἐκ τῆς ἀληθοῦς πηγῆς τῆς ζωῆς τῆς τοῦ Πατρὸς θεότητος, καθά φησιν αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις· Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω. »

A In actis primæ synodi Nicænæ in responsione episcoporum ad philosophum per Leontium episcopum hæc habentur : « Dicit itaque de Filio Dei divina Scriptura, Declinabit super ipsos tanquam fluvius pacis procedens, ex vero nempe fonte vitæ, Patris divinitate, uti Dominus in Evangelio dicit, Ego ex Patre exivi, et venio. »

ΕΠΙΓΡΑΦΗ Ϛ'.

Ἐπειδή εἰσί τινες μὴ καταδεχόμενοι ἐκεῖνο τὴν εὐαγγελικὴν δύνασθαι ῥῆσιν, τῆς Πνεῦμα ἀληθείας τὸ ἅγιον λέγουσαν Πνεῦμα, ὅπερ δύναται καὶ ἡ ῥῆσις ἡ λέγουσα ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι· ἔτι δὲ διενιστάμενοι μηδὲ εἰς ἰσοδύναμον ἔννοιαν λέγεσθαι τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὸ ἅγιον, κατεστρώθησαν αἱ παροῦσαι γραφικαὶ χρῆσεις εἰς ἀπόδειξιν τοῦ ἰσοδυνάμου τῶν τοιούτων εὐαγγελικῶν ῥήσεων.

EPIGRAPHE VI.

Cum nonnulli sint, qui non admittunt evangelicum dictum, quo asseritur Spiritus sanctus esse spiritus veritatis, quod notat et illud aliud, quo affirmatur, ex Patre ipsum procedere : prætereaque contendunt non eumdem intellectum in se continere, B ex Patre procedere, et ex Filio accipere Spiritum sanctum, præsentes scripto traditæ auctoritates digestæ sunt, ad similium dictorum æquales vires comprobandas.

Ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου καὶ Ἀρείου λόγοις φησί· « Τὴν μὲν πρὸς τὸν Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω· Εἴ τις δὲ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. »

Magnus Basilius in sermonibus contra Eunomium et Arium, « Erga Patrem consortium intelligo, cum ex Patre procedat : erga Filium vero, cum audio, Si quis Spiritum Christi non habet, hic illius non est [36]. »

Ὁ αὐτὸς περὶ τὸ τέλος τοῦ β' τῶν κατ' Εὐνομίου λόγων αὐτοῦ φησίν· « Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα, τοῦτο μὲν τοῦ Ἀποστόλου συνημμένως ἡμῖν παραδιδόντος, καὶ νῦν μὲν Χριστοῦ λέγοντος, νῦν δὲ τοῦ Θεοῦ ἐν οἷς γράφει, « Εἴ δέτις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ » καὶ πάλιν· Ὑμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ » τοῦτο δὲ τοῦ Κυρίου, τὸ Πνεῦμα τῆς ἀληθείας λέγοντος, ἐπειδὴ αὐτὸς ἡ ἀλήθεια, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. »

Idem in secundo contra Eunomium Antirrhetico in fine : « Quo pacto autem dividere Spiritum a Deo, non habet manifestum periculum. Partim Apostolo conjunctim nobis tradente, et modo Christi Spiritum dicente, et modo Dei, ubi scribit, « Si quis autem Spiritum Christi non habet, hic non est ejus. » Et rursus : « Vos autem non spiritum mundi accepistis, sed Spiritum qui ex Deo est [36] : partim vero Domino, quoniam ipse veritas est, Spiritum veritatis dicente a Patre quoque procedere. »

Ὁ αὐτὸς ἐν τῷ ιη' τῶν πρὸς Ἀμφιλόχιόν φησιν· « Ἐκ τοῦ Θεοῦ εἶναι λέγεται οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς, ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ, τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου. Ἀλλὰ καὶ Πνεῦμα Χριστοῦ λέγεται ὡς ᾠκειωμένον αὐτῷ κατὰ φύσιν.

Idem in decimo octavo capite ad Amphilochium : « Ex Deo esse dicitur, non sic ex Deo veniens, quemadmodum ex Deo sunt omnia, sed tanquam ex Deo progrediens, non generatus quemadmodum Filius, sed tanquam Spiritus oris ejus. Unde sic declaratur illius consortium, et ineffabilis essentiæ modus servatur. Sed et Spiritus Christi dicitur, uti naturaliter cum illo affinitatem habens. »

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελικοῦ ῥητοῦ, « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φησίν· « Ἐν ταυτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἑνότητα παραδεικνὺς ἑαυτοῦ τέ φησι καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, Πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον, εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαί φησιν. Ἀπελέγχει τε σαφῶς καὶ ἀναμφιλόγως θεομάχον ὁλοκλήρως τὸν χριστομάχον. Ὁ γὰρ ὅλως ἐμπαροινεῖν ἠθελήσας τῷ Υἱῷ, πεπλημμεληκὼς ἂν εἰκότως καὶ εἰς αὐτὸν νοεῖτο τὸν, ἐξ οὗπερ ἐστιν. Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητος, φησὶ, τὸ Πνεῦμα τῆς ἀληθείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται,

D Sanctus Cyrillus interpretatione in Joannis Evangelium in illud : « Cum itaque Paracletus [37], » ait : « Eodem ergo tempore et sui ipsius essentiæ identitatem et Dei et Patris ostendens, Spiritum veritatis Paracletum nuncupans, a Patre eum procedere dicit. Sicque qui Christum oppugnat, Dei hostem se palam et absque ulla hæsitatione esse comprobat. Qui enim Filio insultat, injurius merito in eum, ex quo Filius, censendus est. Cum itaque venerit Paracletus, ait, Spiritus veritatis, meus scilicet, qui a Patre procedit, ille testimonium perhibebit de me. Quomodo vero perhibebit? Magna in vobis et per vos miracula faciens justus,

[35] Rom. VIII, 9. [36] I Cor. II, 12. [37] Joan. XV, 26.

Digitized by Google Распознавание текста ABK/FR

verusque divinæ meæ potestatis, et in virtute magnitudinis testis. Spiritus enim meus est, qui operatur in vobis, sed sicut meus est, ita et Dei Patris. »

Idem expositione in Joannem in illud : « Cum itaque Paracletus venerit, » ait : « Ecce enim ecce Spiritum veritatis, hoc est suimetipsius Paracletum insinuans, ex Patre eum procedere tradit. Quemadmodum enim est Spiritus proprius Filii naturaliter in illo exsistens, et per illum progrediens, ita et Patris. Quibus vero Spiritus communis est, illis erunt quoque, et quæ essentiæ, non separata, aut sejuncta. »

Sanctus Epiphanius in Ancyroto dicit : « Spiritus comprehendi non potest, non alienus Patris et Filii. Namque ipse Unigenitus vocat « Spiritum Patris, » et « Qui ex Patre procedit, et, ex meo accipiet, » ne alienus a Patre et Filio existimaretur. » Et post plurima annexa : « Utraque inhabitant in homine justo Christus et Spiritus ipsius. Si vero Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utrisque, ut Christus insinuat, qui ex Patre procedit, hic de meo accipiet. »

Theodorus Raythenus oratione dogmatica, cujus illud principium est : « Absurdum existimo, rectequeque illud reputo, » quam longissime a principio dicit : « Spiritus sanctus veritatis Spiritus est, qui quidem a Patre procedit, a Filio vero accipit, qui omnia Patris possidet, ad demonstrandum declarandumque unam esse essentiam et illius qui accipit, et illius a quo accipit, necnon illius ex quo naturaliter procedit : neque enim progressus fuisset ex illo qui alterius esset essentiæ, aut accepisset ab eo, qui non ejusdem cum eo substantiæ esset. Quodsi ejusdem naturæ sunt cum eo, unde exiere, et ex quo accipit, illa etiam ejusdem sunt naturæ. Quæ enim ejusdem naturæ, in eodem nempe sunt vere, eruntque inter se vero ejusdem naturæ. »

EPIGRAPHE VII.

Cum quidam contendant inter sese differre, progredi, et effundi, et procedere selecta sunt ad irrefragabilem eorum æquivalentiam demonstrandum subsequentes sancti Cyrilli sententiæ, quibus adnexa sunt alia aliorum Patrum testimonia, qui decernunt ex Patre progredi, profundi, emitti Spiritum sanctum in illis pericopis, in quibus illum ex Patre procedere asserendum erat.

Sanctus Cyrillus libro sexto ad Hermiam habet : « Igitur siquidem est spiritus Patris proprius Filii, quomodo ignorabit aliquid in Deo reconditum, proprium habens ipse Spiritum, scientem omnia quæ in Patre; et dicentem audio manifesto sanctis apostolis : Adhuc multa habeo vobis dicere,

A ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· Μαρτυρήσει δὲ πῶς; Ἐνεργῆσαν γὰρ ἐν ὑμῖν τε καὶ δι' ὑμῶν τὰ παράδοξα, μάρτυς ἔσεται δίκαιός τε καὶ ἀληθὴς τῆς ἐμῆς θεοπρεποῦς ἐξουσίας, καὶ τῆς ἐν δυνάμει μεγαλειότητος. Ἐμὸν γὰρ Πνεῦμα τὸ ἐνεργοῦν ἐν ὑμῖν, ὥσπερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ Πατρός. »

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ « Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος, » φησίν· « Ἰδοὺ γὰρ ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαί φησιν. Ὥσπερ γάρ ἐστι Πνεῦμα ἴδιον τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός. Οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. »

B Ὁ ἅγιος Ἐπιφάνιος, ἐν τῷ Ἀγκυρωτῷ φησιν· « Τὸ Πνεῦμα ἀκατάληπτον, οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει, « τὸ Πνεῦμα τοῦ Πατρὸς, » καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. » Καὶ « ἐκ τοῦ ἐμοῦ λήψεται· » ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς μηδὲ Υἱοῦ. » Καὶ μετὰ πολλὰ πάνυ· « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ· ἢ παρ' ἀμφοτέρων ὡς φησιν ὁ Χριστὸς· ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. »

Θεόδωρος ὁ τῆς Ῥαΐθου πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ· « Ἄτοπον οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα, » μετὰ πολλὰ πάνυ φησίν· « Τὸ Πνεῦμα τὸ ἅγιον ἀληθείας Πνεῦμά ἐστι· τοῦτο δὲ παρὰ μὲν τοῦ Πατρὸς ἐκπορεύεται, λαμβάνει δὲ παρὰ τοῦ Υἱοῦ, πάντα τὰ τοῦ Πατρὸς ἔχοντος, πρὸς ἀπόδειξιν καὶ φανέρωσιν τοῦ, ὅτι μία οὐσία ἐστὶ τοῦ τε λαμβάνοντος καὶ τοῦ παρ' οὗ λαμβάνει, καὶ τοῦ ἐξ οὗ φυσικῶς ἐκπορεύεται. Οὐδὲ γὰρ ἂν προῆλθον ἐξ ἑτεροουσίου, ἢ ἔλαβέ τι παρὰ τοῦ μὴ ὁμοουσίου. Εἰ δὲ ὁμοούσιά ἐστιν αὐτῷ τὸ, ὅθεν προῆλθε; καὶ τὸ ἐξ οὗ λαμβάνει, κἀκεῖνα πάντως ἑαυτοῖς ἐστιν ὁμοούσια· τὰ γὰρ τῷ αὐτῷ ὁμοούσια, δηλονότι καὶ ἀλλήλοις ἔσται· καὶ ἔστιν ἀληθῶς ὁμοούσια.

ΕΠΙΓΡΑΦΗ Ζ'.

Ἐπειδή εἰσί τινες λέγοντες διαφέρειν ἀλλήλων τὸ πρόεισι καὶ προχεῖται, καὶ ἐκπορεύεται, ἐξελέγησαν εἰς ἀναντίῤῥητον ἀπόδειξιν τοῦ ἰσοδυνάμου αὐτῶν αἱ προκείμεναι χρήσεις τοῦ ἁγίου Κυρίλλου, καὶ μετ' αὐτὰς αἱ ὑποτεταγμέναι αὐταῖς ἕτεραι χρήσεις τῶν ἄλλων Πατέρων, τῶν θεολογούντων ἐκ Πατρὸς προΐεναί τε καὶ ἐκπέμπεσθαι, καὶ προχεῖσθαι τὸ Πνεῦμα ἐν ἐκείναις ταῖς περικοπαῖς, ἐν αἷς ἔμελλον λέγειν ἐκ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι.

Ὁ ἅγιος Κύριλλος ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν φησίν· « Εἴπερ οὖν ἐστι τὸ Πνεῦμα τοῦ Πατρὸς ἴδιον τοῦ Υἱοῦ, πῶς ἀγνοῆσαί τι τῶν ἐν Θεῷ κεκρυμμένων, ἴδιον ἔχων αὐτὸ; τὸ Πνεῦμα τὸ πάντα εἰδὸς τὰ ἐν τῷ Πατρί· καίτοι λέγοντος ἀκούσασφῶς τοῖς ἁγίοις ἀποστόλοις· Ἔτι πολλὰ ἔχω λέ-

Digitized by Google Распознавание текста ABBYY FR

γεῖν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι · ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν. Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ ἀλλ' ὅσα ἀκούσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἆρά σοι σαφὲς τὸ παροισθέν ἐστι λόγιον, καὶ προσδέδορκας ὅτι Πνεῦμα μὲν ἀληθείας ὠνόμασε τὸν Παράκλητον; Ἔφη γε μὴν ὡς πρόεισιν ἐκ Πατρός, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ Πατρός. »

Ὁ αὐτὸς ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν · » Ὅτι δὲ τὸ τοῦ Πατρὸς Πνεῦμα Πνεῦμα ἐστι τοῦ Υἱοῦ, αὐτός σε δι' ἑαυτοῦ μυσταγωγήσει λέγων · Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος, φησὶν, μαρτυρήσει περὶ ἐμοῦ. Συνίης οὖν ὅπως ὡς ἴδιον ἐπαγγέλλεται καταπέμψειν ἡμῖν τὸ ἐκ τοῦ Πατρὸς, καὶ Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, προχεῖσθαί γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρὸς, καὶ μὴν ὅτι καὶ μαρτυρήσει περὶ αὐτοῦ προμεμήνυκεν;

Ὁ αὐτὸς ἐν τῷ πρὸς μοναστὰς λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Τὸ φιλομαθὲς καὶ φιλόπονον τῆς ὑμετέρας ἀγάπης ἄξιον εἶναί φημι τοῦ παντὸς λόγου, » μετὰ πολλὰ ἕτερά φησιν · « Τὸ Πνεῦμα προχεῖται μὲν, ἤγουν ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. »

Ὁ μέγας Ἀθανάσιος, ἐν ᾗ ποιεῖται διαλέξει Ὀρθοδόξου καὶ Μακεδονιανοῦ, φησί · « Μὴ γένοιτό μοι εἰπεῖν ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀθάνατον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ τὸν Θεὸν θεωρουμένων λέγω εἶναι ἐπίκτητον τοῦ ἁγίου Πνεύματος, ἀλλὰ φύσει ἅγιον, φύσει ἄφθαρτον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον. »

Ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ β' τῶν Θησαυρῶν φησιν · « Οὐχ οὕτως, ὦ βέλτιστοι, τὰ πάντα φαμὲν ἐκ τοῦ Θεοῦ, καθάπερ καὶ τὸ Πνεῦμα. Τὸ μὲν γάρ ἐστι φυσικῶς ἐνυπάρχον καὶ οὐσιωδῶς ἐμπεπηγὸς, ἵν' οὕτως εἴπωμεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προὸν, τὰ δὲ τῆς ἐνεργείας ἔργα καὶ ποιήματα.

Καὶ πάλιν ἐν ἄλλῳ · « Οὐ διώρισται τῆς οὐσίας τῆς θείας, ἀλλ' ἐξ αὐτῆς φυσικῶς ἐκπεμπόμενον, ὥην ἔχει τοῦ Πατρὸς καὶ Υἱοῦ τὴν ἐνέργειαν.

Καὶ πάλιν ἐν ἄλλῳ · « Ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ ἐξ οὗ, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ, καὶ ἐξ αὐτῆς προὸν. »

Καὶ πάλιν ἐν ἄλλῳ · « Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προὸν. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς Νεστόριον λόγῳ φησὶν · « Εἰ γὰρ καὶ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καθὸ Πνεῦμά ἐστι, καὶ οὐχ Υἱός · ἀλλ' οὖν ἔστιν οὐκ ἀλ-

sed non potestis portare modo : quando autem veniet ille Spiritus veritatis, inducet vos in omnem veritatem. Non enim loquetur a semetipso, et ventura annuntiabit vobis [28]. Num tibi patet adductum eloquium, et aspexisti, quod Spiritum quidem veritatis nominavit Paracletum? Dixit etiam eum procedere ex Patre, propria sua omnia ostendens, quæ Patris sunt. »

Idem libro VI ad Hermiam, inquit : « Spiritum autem Patris Spiritum quoque Filii esse, ipse te per semetipsum docebit: Cum itaque venerit Paracletus quem ego mittam vobis a Patre, Spiritum veritatis, qui a Patre procedit, ille, ait, testimonium perhibebit de me. Audis itaque quanam ratione uti proprium mittere nobis, qui ex Patre est, Spiritum promittit? Et Spiritum quidem veritatis nominat, effundi vero eum ex ipso Patre determinat, et præterea eum de semetipso testimonium perhibiturum prænuntiavit. »

Idem oratione ad monachos, quæ incipit : « Vestræ dilectionis discendi cupiditas, et laboris studium dignum esse omni consideratione reputo, » post multa alia adnectit : « Spiritus effunditur quidem, procedit scilicet, uti ex fonte Deo et Patre, suppeditatur vero creaturis per Filium. »

Magnus Athanasius in colloquio Orthodoxi cum Macedoniano, dicit : « Absit ut dicam aliquid esse adscititium in Spiritu sancto. Neque enim sanctum, neque incorruptibile, neque immortale, neque bonum, neque aliquid aliud ex circa Deum examinatis dico esse adscititium sancti Spiritus, sed natura sanctum, natura incorruptibile est uti spiritus Domini ex ipso exsiliens, sive procedens. »

Sanctus Cyrillus in uno ex capitibus libri secundi Thesaurorum, ait : « Non hac ratione, o optimi, omnia dicimus ex Deo, quemadmodum et Spiritum. Spiritus enim naturaliter inest, et essentialiter inflixus est, ut ita dicamus, et indivisibiliter ex illo promanat; hæc autem sunt actionis opera et creaturæ. »

Et rursus in alio : « Non separatur a divina essentia, et ex illa naturaliter egrediens universam in se Patris et etiam Filii actionem continet. »

Idem in alio : « Sed manebit in ipso illud ex quo, quod ex Patris essentia est. »

Itemque in alio : « Manifestum est divinæ esse essentiæ essentialiter in ipsa, et ex ipsa progrediens. »

Rursusque in alio : « Cum itaque Spiritus sanctus ad nos accedens conformes nos Deo ostenderit, progreditur vero ex Patre et Filio, manifestum est illum divinæ essentiæ esse, essentialiter in ipsa et ex ipsa promanantem. »

Idem oratione ad Nestorium ait : « Licet enim Spiritus in propria hypostasi sit ea ratione, qua Spiritus est, et non Filius, non ideo tamen alienus

[28] Joan. XVI, 12, 13.

Digitized by Google Распознавание текста ABK/FR

est ab eo. Effunditur enim ab ipso, uti profecto et ex Deo et Patre. »

Magnus Basilius in uno capite libri quarti contra Eunomium : « Neque enim minus aliquid consequemur, cum cognoscimus Spiritum ex Deo esse, Spiritum oris illius illum audientes. Et hoc nomen satis abunde ostendit exsistentiam ipsius ex Deo. Neque Filius, neque generatio proprium deitatis est, sed ex humana similitudine desumptum est : simili ratione et Spiritus appellatio. »

Idem in eodem libro : « Qui Spiritum a divinitate separat, rerum factarum perfectionem sustulit. Emissione enim et suppeditatione Spiritus, quæ fiunt efficiuntur, non tempore progreditur quod ex Deo progreditur, licet tempore facta educat. »

Magnus Maximus in colloquio Orthodoxi cum Anomœo sive Arianista, uti ex Anomœo contradicente per interrogationem infert : Anom. « Non est igitur discrimen inter Patrem, et Filium, et Spiritum sanctum ? » Orthod. « In natura, non : in voluntate, non : cum generat, et generatur, et emittit, et procedit, est. » Anom. « Quid vero est generare, et generari, et emittere, et procedere? » Orthod. « Quod Pater generat, generavit scilicet. Filius gignitur : generatus est scilicet. Et quod ipse Pater emittit Spiritum, hoc est emisit, et Spiritus procedit, hoc nempe processit. »

Magnus Basilius in decimo octavo capite ad Amphilochium cum prolixiore sermone Spiritus erga Patrem et Filium communionem demonstrasset, hæc addit : « Sed nec hinc solum probatur naturæ communio, verum illinc quoque quod ex Deo esse dicitur, non sic ex Deo veniens, quemadmodum ex Deo sunt omnia, neque per generationem quemadmodum Filius, sed tanquam Spiritus oris ejus. Unde sic declaratur illius consortium, ut ineffabilis essentiæ modus servetur. »

Gregorius Theologus oratione ad Heronem : « Determinato vero, et nostram pietatem edocens, unum quidem Deum ingenitum agnoscere Patrem : unum genitum Filium : unum vero Spiritum sanctum promanantem ex Patre, aut progredientem. »

Theodorus Raythenus presbyter oratione dogmatica, quæ incipit : « Absurdum existimo, recteque illud reputo ; » longe a principio, ait : « Ne miremur, dum Dominus vocat exitum a Patre utriusque progressionem. « Ego enim inquit a Patre exivi et venio [39] ; » rursusque, « Spiritus qui a Patre procedit. » Licet enim hic et exire et procedere idem notat, Spiritui nihilominus magis proprie adaptavit, quemadmodum sibimetipsi generationem. »

[39] Joan. xvi, 26.

λότριον αὐτοῦ. Προχεῖται δὲ παρ αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. »

Ὁ μέγας Βασίλειος ἐν τῷ κατ' Εὐνομίου δ' λόγῳ ἐν ἑνὶ τῶν κεφαλαίων φησίν· « Οὐδὲ γὰρ ἐλαττόν τι ἕξειν μέλλομεν εἰς τὸ γινώσκειν τὸ Πνεῦμα ὑπάρχειν ἐκ Θεοῦ, Πνεῦμα τοῦ στόματος αὐτοῦ ἀκούοντες αὐτό· ἀλλ' ἱκανὸν καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ. Οὐδ' υἱὸς οὐδ' ἡ γέννησις ἴδιον τῆς θεότητος, ἀλλ' ἐξ ἀνθρωπίνης ὁμοιότητος ἀνῆκται· ὁμοίως δὲ καὶ ἡ τοῦ Πνεύματος πρόσρησις. »

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ φησίν· « Ὁ τὸ Πνεῦμα διαιρῶν τῆς θεότητος τὴν τελεσιουργίαν τῶν ποιουμένων ἀπέκοψεν. Ἐκπομπῇ γὰρ καὶ μεταδόσει Πνεύματος τὰ γινόμενα γίνεται, οὐκ ἐν χρόνῳ πρόεισι τὸ προῖὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὰς ποιήσεις ἀποδιδῷ. »

Ὁ μέγας Μάξιμος, Ἀνομοίου ἤτοι Ἀρειανιστοῦ ἀντιλογίαν μετὰ Ὀρθοδόξου συγγραφόμενος, ὡς ἀπὸ Ἀνομοίου φησί, κατ' ἐρώτησιν· Ἀνόμοιος· « Οὐκ ἔστιν οὖν διαφορὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος; Ὀρθόδοξος· Ἐν τῇ φύσει οὔ· ἐν τῷ θελήματι, οὔ· ἐν τῷ γεννᾷν, καὶ γεννᾶσθαι, καὶ ἐκπέμπειν, καὶ ἐκπορεύεσθαι, ναί. Ἀνόμοιος· Τί ἐστι γεννᾷν καὶ γεννᾶσθαι, καὶ ἐκπέμπειν καὶ ἐκπορεύεσθαι. Ὀρθόδοξος· Ὅτι ὁ μὲν Πατὴρ γεννᾷ, τουτέστιν ἐγέννησεν· ὁ δὲ Υἱὸς γεννᾶται, τουτέστι γεγέννηται. Καὶ ὅτι αὐτὸς ὁ Πατὴρ ἐκπέμπει τὸ Πνεῦμα, τουτέστιν ἐξέπεμψε, καὶ τὸ Πνεῦμα ἐκπορεύεται, τουτέστιν ἐκπεπόρευται. »

Ὁ μέγας Βασίλειος ἐν τῷ ιη' τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων, μετὰ τὸ ἐν ἄλλαις πολλαῖς λέξεσι παραστῆσαι τὴν τοῦ Πνεύματος κοινωνίαν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ ταῦτά φησι· « Καὶ οὐκ ἐντεῦθεν μόνον τῆς κατὰ τὴν φύσιν κοινωνίας ἡ ἀπόδειξις, ἀλλ' ὅτι καὶ ἐκ τοῦ Θεοῦ εἶναι λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθόν, οὐ γεννητῶς ὡς ὁ Υἱός, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ, τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου. »

Ὁ Θεολόγος Γρηγόριος ἐν τῷ πρὸς Ἥρωνα τὸν φιλόσοφόν φησιν· « Ὁρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν διδάσκων ἕνα μὲν εἰδέναι Θεὸν ἀγέννητον τὸν Πατέρα, ἕνα δὲ γεννητὸν τὸν Υἱόν, ἓν δὲ Πνεῦμα ἅγιον προελθὸν ἐκ τοῦ Πατρὸς, ἢ καὶ προϊόν. »

Θεόδωρος, ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος, ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, « Ἄτοπον οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα » μετὰ πολλὰ πάλιν φησίν· « Μὴ θαυμάζωμεν δὲ λέγοντος τοῦ Κυρίου ἔξοδον ἀπὸ τοῦ Πατρὸς τὴν ἑκατέρου πρόοδον. « Ἐγὼ γὰρ, φησὶν, ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω. » Καὶ πάλιν, « Τὸ Πνεῦμα ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Εἰ γὰρ καὶ τὸ ἐξελθεῖν καὶ τὸ ἐκπορεύθῆναι ταυτὸν ἐνταῦθα σημαίνει, τῷ Πνεύματι οὖν τὴν ἐκπόρευσιν μᾶλλον κατ' ἐξαίρετον ἥρμοσεν, ὥσπερ ἑαυτῷ τὴν γέννησιν. »

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΓΡΑΦΗ Η'.

Ἐπειδή τινες, ἀκούοντες τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ ὑπάρχον καὶ ἀναβλύζον καὶ προϊὸν, οὐχὶ τὴν θείαν φύσιν τοῦ Πνεύματος ἐκ τῆς θείας οὐσίας καὶ φύσεως τοῦ Υἱοῦ πηγάζειν καὶ ἀναβλύζειν τερατολογοῦσιν, ἀλλὰ τὸ πνευματικὸν χάρισμα τὸ τοῖς ἀξίοις ἐπιγινόμενον, διὰ τὸ τὴν ἐγγινομένην αὐτοῖς ἐνοίκησιν τῆς πανταχοῦ παρούσης θεότητος τοῦ ἁγίου Πνεύματος σχετικῶς γίνεσθαι, οὕτω τὸ τοιοῦτον ἐκλαμβάνοντες χάρισμα, ὥσπερ ἂν εἰ ἀποδιῃρημένον καὶ ἀποδιεσπασμένον τῆς θείας οὐσίας νοοῖτο τοῦ Πνεύματος· συνελέγησαν αἱ παροῦσαι γραφικαὶ χρήσεις, ἐξ ὧν ἔχει τις διαγνῶναι ὡς, κἂν καὶ ἡ ἐγγινομένη τοῖς ἀξίοις ἐνοίκησις τοῦ παναγίου Πνεύματος σχετική ἐστιν ἀῤῥήτως καὶ ὑπὲρ λόγον, ἀλλ' ἐπεὶ ἐκεῖ τὰ χαρίσματα τοῦ Πνεύματος προχέονται, ὅπου ἡ θεία φύσις αὐτοῦ σχετικῶς ἐνοικήσει, αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐν τῇ Τριάδι, καὶ συμπληρωτικὸν τῆς Τριάδος, ὅπερ ἐστὶν ἡ θεία φύσις καὶ τέλειος Θεὸς ὡς ὁ Πατὴρ καὶ ὁ Υἱὸς δηλοῦται, ὅταν τις λέγῃ τὸ Πνεῦμα τὸ ἅγιον προϊὸν, καὶ ἀναβλύζον, καὶ ὑπάρχον ἐκ τοῦ Υἱοῦ.

Ὁ ἅγιος Κύριλλος ἐν τῷ ζ' τῶν πρὸς Ἑρμείαν φησίν· « Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς περὶ παντὸς, οἶμαι, πιστοῦ τε καὶ ἀγαθοῦ, « Ἐλευσόμεθα, » φησὶν, « ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Καὶ ἐν γε τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν. Ἔνοικον γὰρ καὶ ἐνηυλισμένον καταπλουτοίη τις ἂν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, οὐκ ἀλλότριόν τι καὶ διεσπασμένον, οὐσιωδῶς αὐτοῦ τὸ Πνεῦμα λαβὼν, ἀλλὰ τὸ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἴδιον αὐτοῦ, καὶ τὴν ἴσην ὡς πρὸς αὐτὸ κυριότητα φορεῦν. » Καὶ μετ' ὀλίγα· « Ἔπεμψε δὲ ἡμῖν ἐξ οὐρανοῦ τὸν Παράκλητον, δι' οὗ καὶ ἐν ᾧ μεθ' ἡμῶν ἐστι καὶ ἐν ἡμῖν αὐλίζεται, οὐκ ἀθνεῖον ἡμῖν ἐγχέον, ἀλλὰ τὸ τῆς οὐσίας αὐτοῦ, καὶ τῆς τοῦ Πατρὸς αὐτοῦ ἴδιον Πνεῦμα. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς Ἑρμείαν ζ' τοῦ διαλόγου φησίν· « Ἁγίου γὰρ ὄντος τοῦ Θεοῦ κατὰ φύσιν, ἅγιον οὐσιωδῶς τὸ Πνεῦμά ἐστι δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τοῦ ἁγίου μεταλάχοι τις ἄν. » Ὁ Ἑρμείας πρὸς ταῦτα· « Οὐχ ὡς ἴδιόν φασιν, ἀλλ' ὡς ἐπακτὸν ἔχοντος τὸν ἁγιασμὸν, διακομίζοντός τε τῇ κτίσει παρὰ Θεοῦ. » Ὁ Ἅγιος πρὸς ταῦτα· « Προηγιασμένον οὖν ἄρα τὸ Πνεῦμα τὸν οὐχ ἑαυτοῦ τοῖς κτίσμασιν ἐνίησιν ἁγιασμὸν, εἴπερ εἶναί φαμεν ἀληθὲς ὡς ἔν γε παντὶ τῷ διακομίζειν ὑπειλημμένῳ, τὸ δι' αὐτοῦ τυχὸν, εἰς ἑτέρους διαλλάττον, εἴη δήπου πάντως ἂν καὶ ἕτερον παρ' αὐτό. Διακομίσαι γὰρ ἂν οὔτι που τῶν ὄντων οὐδὲν ἑαυτὸ πρὸς ἑτέρους οὐχ ὡς ἑαυτό. » Ὁ Ἑρμείας πρὸς ταῦτα· « Ἀληθές. » Ὁ Ἅγιος· « Οὐκοῦν εἰ μὴ ἐστιν ἅγιον φύσει τὸ Πνεῦμα ἐν ἡμῖν, φραζόντων ἐκεῖνοι, τίνα δὴ ἄρα λοιπὸν ἀπεκληρώσατο φύσιν. Καὶ εἰ μὴ βούλοιντο τὴν ἁγίαν ἀπονέμειν αὐτῷ, ἆρ' οὐχὶ πάντη τε καὶ πάντως ἀποκινδυνεύσειεν ἂν αὐτοῖς εἰς ἀδιάφυκτον δυσφημίαν

EPIGRAPHE VIII.

Cum quidam audientes Spiritum sanctum ex Patre esse, emanare, et egredi, non divinam Spiritus naturam, ex divina essentia et natura Filii emanare, et effluere prodigiosa loquacitate enuntiant, sed spiritale donum dignis adveniens, propter immissam in ipsos inhabitationem locis in omnibus præsentis deitatis sancti Spiritus habitudine quadam fieri, hac ratione donum concipientes, quasi illud sejunctum ac divisum a divina natura Spiritus intelligeretur, præsentes scripto mandatæ auctoritates collectæ sunt, quibus quilibet dignoscere poterit, licet adveniens in dignos sanctissimi Spiritus inhabitatio habitudinalis sit, et supra omnem rationem, sed cum ibi Spiritus munera profundantur, ubi divina ipsius natura habitualiter inhabitaverit, ipsum Spiritum sanctum unum Trinitatis, illiusque completivum, qui divina natura est, et perfectus Deus uti Pater et Filius significari, cum quispiam dixerit progredi, exsilire, et esse ex Filio.

Cyrillus libro VII ad Hermiam, ait : « Unde Dominus noster Jesus Christus de omni fideli et bono arbitror, inquit : « Veniemus ego et Pater, et mansionem faciemus apud eum [40]. » Et in hoc cognoscimus, quod in nobis est, quia de Spiritu suo dedit nobis. Videtur enim qui Spiritum Dei accepit, quod acceperit verum, et natura Deum inhabitantem, non alienum et separatum substantialiter, sed eum qui ex illo, et in illo, et proprius illius, et æqualem quasi cum ipso proprietatem ferens. « Et paucis additis : « Misit autem nobis de cœlo Paracletum, per quem nobiscum est, et in nobis inhabitat, non alienum nobis effundens, sed suæ substantiæ et Patris sui proprium Spiritum. »

Idem ad Hermiam libro VII dialogi, ait : « Nam cum sanctus sit Deus secundum naturam, sanctus substantialiter Spiritus est, perque illum, et in illo sancti quis particeps fit. » Ad quæ Hermias : « Non ut proprium dicunt, sed ut adventitium a Deo ad creaturas transvehere. « Sanctus respondet : « Itaque sanctificatus antea Spiritus creaturis sanctificationem non suam immittit, si verum esse fatendum est, in omni ad transferendum assumpto id quod per illud alios pertingat, esse omnino et alterius naturæ ab illo. Nihil enim transferret se ipsum ad alios non ut seipsum. » Tum ad hæc Hermias : « Ita est. » Sanctus : « Itaque si non est sanctus natura Spiritus, qui in nobis, dicant illi, quonam modo tandem sortitus est naturam. Et si noluerint, sanctam illi tribuere, nonne omnino sermo ille in blasphemiam inevitabilem tendere videtur? » Hermias : « Videtur. Verumtamen illud dic quod Christus de se dixit : « De meo accipiet,

[40] Joan. XIV, 23.

Digitized by Google Распознавание текста ABK/FR

et annuntiabit vobis [41]. » Et idcirco participem dicunt Spiritum Filii. » Sanctus : « Minime absit. Nam quod ex illo, et in illo, et proprium ejus, quomodo particeps esset unquam, et æquali habitudine cum extraneis sanctificaretur, et alienum esset secundum naturam, cujus et proprium esse dicitur ? »

Idem libro III ad Hermiam, dicit : « Quomodo non prorsus citra laborem est cognoscere, Deum vere, et ex Dei et Patris essentia ortum sui recognoscere Filium, siquidem est ut Deus, et non uti extraneum quidpiam inhabitare in nobis Spiritum illius. »

Idem in eodem ait : « Qui igitur nos, qui in terra degimus filiationis gloria inaurans, Spiritus scilicet sanctus, quandoquidem Filii est, operabitur in alios filiationem, nihil vero circa eum proficiet, cujus est, non infusus, neque deforis adveniens, sed essentialiter ipsius exsistens, et per illum profusus illis, qui digni sunt illum accipere in beneplacito Patris. »

Idem ibidem ait : « Confessus est autem perquam manifeste divinus Joannes nobis dicens : « De plenitudine ejus omnes nos accepimus [42]. » Donum autem et donatio perfecta. Estne aliud bonum quiddam secundum quod tibi videtur, quam participem fieri Spiritus sancti ? « Hermias : » Nullo modo. « Sanctus : » Proinde vide, obsecro, etiam ex his Filium proprium suum insitum ita ut non abjiciatur, Spiritum sanctum, per quem omne donum bonum, de sua plenitudine demisisse. »

Idem libro VII ad Hermiam, ait ; « De Spiritu autem sanctis discipulis dicit : « Quando autem venerit Paracletus, Spiritus veritatis, quem ego mittam vobis, et qui a Patre procedit, ille testimonium perhibebit de me [43]. » Annon manifeste Deus, qui ut Deus cognitus et habitans in nobis, non ut creatura et factura, et servituti nostræ astrictus, sed ut liber secundum naturam, et ipsius veritatis exsistens Spiritus, imo ipsa secundum unionem cum Filio veritas. Spiritus autem veritas secundum Scripturas. Porro veritas est Christus. »

Idem libro III ad Hermiam dicit : « Sed si est desuper et a Patre omne donum perfectum, operatur vero eorum divisionem Filius non modo servili, sed potius auctoritate, quæ Deum addecet, quo igitur modo longe erit, ne sit secundum naturam id ipsum, quod est illum generans Deus verus ? »

Idem oratione ad Theodosium imperatorem ait : « Baptizantem, inquit, Jesum in igne, non alienum illis qui baptizantur, Spiritum immittentem, servili et administratorio modo, sed veluti Deum cum suprema auctoritate, quod ex ipso est, et proprium ipsius. »

[41] Joan. XVI, 15. [42] ibid. I, 16. [43] ibid. XIV, 26.

A ὁ λόγος ; Ὁ Ἑρμείας· « Ἔοικε. Πλὴν ἐκεῖνό φασιν, ὅτι Χριστὸς ἔφη περὶ αὐτοῦ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. » Μέτοχον οὖν ἄρα φασὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ. » Ὁ Ἅγιος. « Ἥκιστά γε. Πολλοῦ γε, οἶμαι, δεῖ. Τὸ γὰρ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἴδιον αὐτοῦ πῶς ἂν αὐτοῦ μεταλάχοι πώποτε, καὶ ἐν ἴσῳ τοῖς θύραθεν σχετικῶς ἁγιάζοιτο, καὶ ἀλλότριον ἔσται κατὰ φύσιν, οὗ καὶ ἴδιον εἶναι λέγεται ; »

Ὁ αὐτὸς ἐν τῷ γ' τῶν πρὸς Ἑρμείαν φησίν· « Πῶς οὐ παντελῶς ἀταλαίπωρον ἰδεῖν, ὅτι θεὸς ἀληθῶς καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκπέφυκεν ὁ Υἱὸς, εἴπερ ἐστὶν ὡς Θεὸς, καὶ οὐχ ὡ; ἕτερόν τι κατοικοῦν ἐν ὑμῖν τὸ Πνεῦμα αὐτοῦ. »

B Ὁ αὐτὸς ἐν τῷ αὐτῷ φησιν· « Τὸ τοίνυν ἡμᾶς τοὺς ἐπὶ γῆς τῇ τῆς υἱότητος δόξῃ καταχρυσοῦν, φημὶ δὴ τὸ Πνεῦμα τὸ ἅγιον, ἐπείπερ ἐστὶ τοῦ Υἱοῦ, ἐνεργήσει μὲν εἰς ἑτέρους τὴν υἱοποίησιν, ἀπράκτησει δὲ περὶ τὸν οὗπέρ ἐστιν οὐκ εἰσκεκριμένον, οὔτε μὴν ἔξωθεν ἐκπεφοιτηκὸς, ἀλλ' οὐσιωδῶς ὑπάρχον αὐτοῦ καὶ δι' αὐτοῦ προχεόμενον τοῖς ἐλεῖν ἀξίοις ἐν εὐδοκίᾳ Πατρός. »

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ φησιν· « Ὁ θεσπέσιος Ἰωάννης λέγει « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. » Δόσις δὲ ἀγαθὴ, καὶ δώρημα τέλειον, εἴη ἂν ἕτερον κατά γε τὸ αὐτῷ σοι δοκοῦν, πλὴν ὅτι τοι τὸ μεταλαχεῖν ἁγίου Πνεύματος ; »

Ὁ Ἑρμείας· « Οὐδαμῶς. » Ὁ Ἅγιος· « Ἄθρει δὴ οὖν καὶ διὰ τούτων, ἐξ ἰδίου πληρώματος προϊέντα τὸν Υἱὸν τὸ ἴδιον αὐτοῦ καὶ ἀναποβλήτως ἐμπεφυκὸς ἅγιον Πνεῦμα, δι' οὗ πᾶσα δόσις ἀγαθή. »

Ὁ αὐτὸς ἐν τῷ ζ' τῶν πρὸς Ἑρμείαν φησίν· « Περὶ δέ γε τοῦ Πνεύματος τοῖς ἁγίοις μαθηταῖς, φησίν· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Ἆρ' οὐχὶ Θεὸς ἐναργῶς τὸ ὡς Θεὸς ἐγνωσμένον, καὶ ἐνοικοῦν ἡμῖν, οὐχ ὡς κτίσμα καὶ γεννητὸν, καὶ δουλείᾳ τῇ καθ' ὑμᾶς ἐνεχόμενον, ἀλλ' ὡς ἐλεύθερον κατὰ φύσιν, καὶ αὐτῆς ὑπάρχον τῆς ἀληθείας Πνεῦμα, μᾶλλον δὲ καὶ αὐτὴ καθ' ἕνωσιν τὴν πρὸς τὸν Υἱὸν ἀλήθεια κατὰ
D τὰς Γραφὰς, ἀλήθεια δὲ ὁ Χριστός. »

Ὁ αὐτὸς ἐν τῷ γ' τῶν πρὸς Ἑρμείαν φησίν· « Ἀλλ' εἴπερ ἐστὶν ἄνωθέν τε καὶ παρὰ τοῦ Πατρὸς πᾶν δώρημα τέλειον, ἐνεργεῖ δὲ τὴν τούτων διανομὴν οὐ διακονικῶς ὁ Υἱὸς, ἐν ἐξουσίᾳ δὲ μᾶλλον τῇ θεοπρεπεῖ, κατά τινα δὴ ἄρα λοιπὸν ἀφεστηξει τρόπον τοῦ μὴ εἶναι κατὰ φύσιν, τοῦθ' ὅπερ ἐστὶν ὁ γεννήσας αὐτὸν, ἀληθινὸς δηλονότι Θεός. »

Ὁ αὐτὸς ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ φησίν· « Βαπτίζοντα ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς, καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸς μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. »

Digitized by Google Распознавание текста ABK/FR

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην, εἰς τὸ ῥητὸν τὸ, « Οἳ οὐκ ἐξ αἱμάτων, » φησίν· « Εἴπερ θεός ἐστι καὶ ἐκ Θεοῦ κατὰ φύσιν τὸ Πνεῦμα, οὗ δὴ καὶ μετίσχειν διὰ πίστεως τῆς εἰς Χριστὸν ἀξιούμεθα, θεοὶ χρηματίζομεν, ὡς ἤδη καὶ Θεὸν ἔχοντες ἐν ἑαυτοῖς κατὰ τὸ, « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· » ἐπεὶ κατά τινα τρόπον ναοὶ Θεοῦ ἐσμεν, εἰ μὴ Θεὸς κατὰ φύσιν τὸ Πνεῦμά ἐστιν ; »

Ὁ αὐτός; εἰς τὸ ῥητὸν τὸ, « Ἐκεῖνος ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ἐγὼ, » φησίν· « Οὐκοῦν ὡς εἰδὸς τὰ ἐν τῇ βουλήσει τοῦ Μονογενοῦς πάντα ἡμῖν ἀναγγελεῖ τὸ Πνεῦμα, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν, ἀλλ' ὡς Πνεῦμα αὐτοῦ, καὶ εἰδὸς ἀδιδάκτως πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπέρ ἐστι, καθάπερ ἀμέλει καὶ ὁ ἀνθρώπινος νοῦς τὰ θελήματα τῆς ψυχῆς ἧς ἐστι καὶ νοῦς οὐχ ἕτερος ὢν κατὰ τὴν φύσιν, ἀλλ' ὡς μόριον τοῦ παντὸς συμπληρωτικὸν, ἐν αὐτῇ τε ὑπάρχον καὶ ἐξ αὐτῆς ἀναφύεσθαι πιστευόμενον. »

Ὁ αὐτὸς ἐν τῷ ζ' τῶν πρὸς Ἑρμείαν ὡς ἐν μέρει τοῦ διαλόγου ταῦτά, φησιν Ὁ ἅγιος· « Τὸ δὲ δὴ τὴν θείαν ἡμῖν ἐγχαράττον εἰκόνα καὶ σημάντρου δίκην ἐμποιοῦν τὸ ὑπερκόσμιον κάλλος οὐχὶ τὸ Πνεῦμά ἐστιν; » Ὁ Ἑρμείας· « Ἀλλ' οὐχ ὡς Θεός φαμεν, ἀλλ' ὡς θείας χάριτος ὑπουργόν. » Ὁ ἅγιος. « Οὐκ αὐτὸ τοιγαροῦν ἡμῖν, ἀλλ' ἡ δι' αὐτοῦ χάρις ἐνσημαίνεται. » Ὁ Ἑρμείας· « Ἔοικεν. » Ὁ Ἅγιος· « Ἦν οὖν ἀναγκαῖον εἰκόνα τῆς χάριτος καὶ οὐχὶ μᾶλλον Θεοῦ διακεκλῆσθαι τὸν ἄνθρωπον. Καὶ τόδε δὲ σκόπει· σαφὴς γάρ, ὡς οἶμαι, καὶ ἁπλοῦς ὁ λόγος. Δεδημιούργηται μὲν γὰρ ἐν ἀρχῇ τὸ ζῶον, πλαστουργοῦντος αὐτὸ τοῦ Θεοῦ, καὶ τετιμηκότος· οἱονεὶ καὶ αὐτοχειρίᾳ κατὰ τὰς Γραφάς. Ἐπειδὴ δὲ εἰς τὸ εἶναι παρῆκτο, διεμορφοῦτο πρὸς Θεὸν, ἐμφυσηθείσης αὐτῷ πνοῆς ζωῆς· ἀπημποληκὸς δὲ τὸν ἁγιασμὸν διὰ τῆς εἰς φαυλότητα παρατροπῆς, εἰς τὸ ἐν ἀρχαῖς καὶ πρεσβύτατον αὖθις ἀνεκομίζετο κάλλος, καινουργοῦντος τὸ παλαιωθὲν εἰς εἶδος τὸ θεῖόν τε καὶ νοητὸν τοῦ Χριστοῦ, οὐ καθ' ἕτερόν τινα τρόπον, πλὴν ἢ τὸν ἐν ἀρχαῖς. Ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις λέγων· « Λάβετε Πνεῦμα ἅγιον· » ἢ οὐκ εἴ τις ἐν Χριστῷ καινὴ κτίσις ; » Ὁ Ἑρμείας. « Ναί. » Ὁ ἅγιος. « Οὐκοῦν ἀληθὲς εἰπεῖν, μᾶλλον δὲ καὶ ἀναγκαῖον ἤδη πως ἐννοεῖν ὡς, εἴπερ ἡ παλαίωσις καὶ ὁ τρόπος τῆς καταφθορᾶς γενόσηκε τῆς εἰκόνος ἧς ἐν ἁγιασμῷ τὴν ἀπεμπολὴν, ἆρ' οὐχὶ τῇ πρὸς τὸ ἀρχαῖον ἀναδρομῇ καὶ καινουργίᾳ τῇ διὰ Χριστοῦ τῆς πρὸς Θεὸν ἐμφερείας τὴν πρόσηψιν ἐνεῖναι παραχωρήσομεν; » Ὁ Ἑρμείας· Πάνυ μὲν οὖν. » Ὁ ἅγιος· « Ἀλλ' εἰ τῆς οὐσίας τοῦ Πνεύματος διεσχοινισμένη τις ἦν ἡ δι' αὐτοῦ χάρις, τί μὴ ἔφη σαφῶς ὁ μὲν μακάριος Μωϋσῆς ὁ παρενηνεγμένῳ τῷ ζώῳ πρὸς τὸ εἶναι λοιπὸν ἐνεφύσησε χάριν ὁ πάντων δημιουργὸς τὴν διὰ πνοῆς εἰς ζωῆς, Χριστὸς δὲ ἡμῖν· Λάβετε χάριν τὴν δι' ἐνεργείας τοῦ ἁγίου Πνεύματος, ἀλλ' ὠνόμασται

A Idem expositione in Joannem, in illud : « Non ex sanguinibus, « ait : « Si Deus est, et ex Deo secundum naturam Spiritus, cujus participes fieri per fidem in Christum digni efficimur, dii sumus, tanquam qui Deum in nobismetipsis habemus, ut dicitur : « Inhabitabo in il is, et inambulabo [46], » cum quonam modo templa Dei sumus, si non secundum naturam Spiritus Deus est? »

Idem in illud dictum : « Ille suggeret vobis omnia quæcunque dixi vobis [47], » ait : « Igitur tanquam sciens omnia, quæ in voluntate Unigeniti sunt, vobis annuntiabit Spiritus, non disciplina quadam scientiam possidens, ne videatur in administri loco collocari, sed ut Spiritus illius et absque disciplina omnia sciens illius, ex quo et in quo est, B quemadmodum et mens humana voluntates animi, cujus mens est, cognoscit, non alia secundum naturam exsistens, sed uti membrum universi completivum in illo exsistens, et ex illo originem habere credita. »

Idem libro VII ad Hermiam in parte dialogi hæc habet. Sanctus. « Hoc autem quod divinam nobis insculpit imaginem, et signaculum quasi operatur pulchritudinis cœlestis, nonne Spiritus est? « Hermias. « Verum non ut Deus, sed ut divinæ gratiæ minister. « Sanctus. » Non igitur ille, sed gratia per illum nobis significatur. « Hermias. » Videtur. « Sanctus. » Erat igitur necessarium hominem vocari imaginem gratiæ et non Dei. Considera et C hoc. Planus enim, ut opinor, et simplex est sermo. Nam formatum quidem est in principio animal, formante illud Deo, et honorante quodammodo secundum Scripturas suæ manus formatione. Postquam autem productum est, ut esset, configurabatur ad Deum, cum inspiratus est ei Spiritus vitæ : ubi vero amisit sanctificationem per casum in peccatum ad primævam et antiquam reduxit pulchritudinem, innovante inveteratam ad speciem divinam, ac spiritualem Christo, et non aliam quodammodo, quam olim in principio. Inspiravit enim sanctis apostolis dicens : « Accipite Spiritum sanctum [48]. » Vel nunquid erat in Christo nova creatura? « Hermias. » Etiam. « Sanctus. » Igitur vere dicitur, imo et necessario intelligitur, quod quan- D doquidem vetustas, et corruptibilitas debilitavit imaginem in sanctificatione, nunquid concedemus assumptionem effigiei divinæ in reversu et novitate ad pristinam recursionem et novitatem, quæ per Christum? « Hermias. » Vel maxime. « Sanctus. » Etsi a substantia Spiritus esset gratia separata ejus, cur non dixit manifeste beatus quidem Moyses, quod adducto animali ut sit, inspiravit gratiam omnium opifex per spirationem vitæ, et Christus nobis. Accipite gratiam per ministerium sancti Spiritus, sed nuncupata est in illo spiritus vitæ? Vita enim vera deitatis natura, siquidem verum est, in ipsa nos vivere et moveri, et esse.

[46] II Cor. VI, 16. [47] Joan. XIV, 26. [48] Joan. XX, 22.

Digitized by Google Распознавание текста АВК/FR

Per Salvatoris vero lucem Spiritus sanctus, ille ipse revera, qui in animabus credentium inhabitat, et immittit Spiritum, et in ipso et per ipsum ad speciem primævam transformat, in seipsum scilicet, sive ad effigiei exemplar, characterem nempe Patris. Nam character quidem verus, et summæ diligentiæ, quæ in effigiando intelligitur, ipse Filius est. Similitudo vero lucida et naturalis Filii Spiritus est, ad quem et nos configurati per sanctificationem, ad ipsam Dei formam conformamur. Idque nobis apostolicus sermo suadebit. « Filioli enim, dicebat, quos iterum parturio, donec formetur Christus in nobis [47]. » Formatur autem per Spiritum, reformantem nos ad Deum per seipsum. Quando igitur ad Christum formamur, et ipse in nobis signatur, et effigiatur bene, ut per similem naturaliter Spiritum, nonne Deus Spiritus est, qui transmutat ad Deum non tanquam per gratiam servilem, sed veluti divinæ naturæ participationem, ipse dignis donans, Spiritum vero similitudinem veram Filii esse discito a beato Paulo scribente. Quia quos prænovit, hos prædefinivit conformes imaginis Filii ejus, hos et vocavit: reformamur enim ad effigiem quæ ad Spiritum sanctum est, quamvis ad Deum per fidem, et sanctificationem, et habitudinem ad illum. Manifestum autem, quod ejus, quæ per participationem, et adventitiæ, licet divinæ naturæ, vocati sumus socii. »

Theodorus presbyter Raythenus oratione secunda de Incircumscripto, quæ incipit: « Omnia audet lingua dolosa, « dicit: « Consideremus quæ de Deo asserere audeant. Operatione, inquiunt, in omnibus Deus est, nullo vero in loco essentia. Cum vero operationem dicant effectum et operationem egredientem, dicerem ego a natura divina insepabilem esse ipsius operationem. « Et post nonnulla: « Cum vero vivens divina natura divinas habet et actiones absque vero essentia possibile non est operationem progredi, ubi operatio apparet, una simul cum ea aspicitur essentia, ex qua progreditur. » Et paucis additis: « Si circa totum actio est, a qua essentia separari nequit, circa universum et rebus in omnibus est Dei essentia. « Et paucis annexis: « Itaque non actione solum præsens est omnibus Deus sed essentia quoque: ostensum siquidem absque essentia actionem non esse. » Et post pauca: « Quomodo itaque quod dicitur verum fuerit, Spiritum nempe Domini replevisse orbem terrarum? Essentia Deus cum sit, omnia quæ sunt, divina essentia replevit, et rebus in omnibus est. » Et nonnullis interjectis: « Actio sine essentia non progreditur, et in omnibus est: essentia igitur in omnibus est, uti propheta dixit: « Nonne cœlum et terram ego impleo, dicit Dominus [48]. »

[47] Gal. IV, 19. [48] Jerem. XXIII, 24.

μὲν ἐν ἐκείνῳ πνοὴ ζωῆς; Ζωὴ γὰρ ἡ τῆς Θεότητος φύσις, εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἐν αὐτῇ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· διὰ δὲ τῆς τοῦ Σωτῆρος φωνῆς, Πνεῦμα ἅγιον αὐτό που κατὰ τὸ ἀληθὲς ταῖς τῶν πιστευόντων ψυχαῖς ἐγκατοικίζοντός τε καὶ ἐνιέντος τὸ Πνεῦμα, καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ μεταπλάττοντος εἰς εἶδος τὸ ἐν ἀρχαῖς, τουτέστιν εἰς ἑαυτὸν, ἤτοι πρὸς ἰδίαν ἐμφέρειαν δι' ἁγιασμοῦ, οὕτω τε καὶ ἡμᾶς ἀνακομίζοντος εἰς τὸ τῆς εἰκόνος ἀρχέτυπον, τουτέστι τὸν χαρακτῆρα τοῦ Πατρός. Χαρακτὴρ μὲν γὰρ ἀληθινὸς καὶ εἰς λῆξιν ἀκριβείας τῆς κατ' ἐμφέρειαν νοουμένης αὐτός ἐστιν ὁ Υἱὸς, ὁμοίωσις δὲ ἀκραιφνής τε καὶ φυσικὴ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστι, πρὸς ὃ καὶ ἡμεῖς μορφούμενοι δι' ἁγιασμοῦ πρὸς αὐτὴν εἰδοποιούμεθα τὴν Θεοῦ μορφήν. Ἀποστολικὸς δὲ ἡμᾶς πρὸς τοῦτ' ἀναπείσει λόγος. Τεκνία γάρ, ἔφασκεν, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ἡμῖν. Μορφοῦται δὲ διὰ Πνεύματος ἀναστοιχειοῦντος ἡμᾶς πρὸς Θεὸν δι' ἑαυτοῦ. Ὅτε τοίνυν πρὸς Χριστὸν μορφούμεθα, καὶ αὐτὸς ἡμῖν ἐνσημαίνεται καὶ εἰδοποιεῖται καλῶς, ὡς ὁμοίου φυσικῶς τοῦ Πνεύματος. Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι, τὸ διαμορφοῦν πρὸς Θεὸν, οὐχ ὡς διὰ χάριτος ὑπουργικῆς, ἀλλ' ὡς θείας φύσεως μέθεξιν αὐτοῖς ἀξίοις δωρούμενον· ὅτι δὲ ὁμοίωσις ἀληθὴς τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστι, γεγραφότος ἀκούσῃ τοῦ μακαρίου Παύλου, ὅτι· Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν. Ἀναπλαττόμεθα γὰρ εἰς εἰκονισμὸν τὸν πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, καίτοι πρὸς Θεὸν διὰ πίστεως καὶ ἁγιασμοῦ καὶ τῆς πρὸς αὐτὸ σχέσεως· Δῆλον δὲ ὅτι τῆς κατὰ μέθεξιν καὶ εἰσκεχριμένως, εἰ καὶ θείας φύσεως ὠνομάσμεθα κοινωνοί. »

Θεόδωρος ὁ τῆς Ῥαίθου πρεσβύτερος ἐν τῷ περὶ Ἀπεριγράπτου δευτέρῳ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή· « Πάντα τολμᾷ γλῶσσα δολία, » φησίν· « ἴδωμεν οἷα λέγειν περὶ Θεοῦ ἀνέχονται. Τῇ ἐνεργείᾳ, φασὶν ἐν πᾶσίν ἐστιν ὁ Θεὸς, τῇ οὐσίᾳ δὲ οὐδαμοῦ, ἐνέργειαν λέγοντες τὸ προϊὸν ἐκ τῆς ἐνεργείας ἀποτέλεσμα. Φαίην δ' ἂν ἔγωγε τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ. » Καὶ μετά τινα· « Ἐπειδὴ δὲ ζῶσα ἡ θεία φύσις, ζώσας ἔχουσα καὶ τὰς ἐνεργείας, χωρὶς δὲ οὐσίας ἀδύνατον προελθεῖν ἐνέργειαν, ἔνθα ἂν ἡ ἐνέργεια φανῇ, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία ἐξ ἧς προέρχεται. » Καὶ μετά τινα· « Εἰ περὶ τὸ πᾶν ἐστιν ἡ ἐνέργεια, τῆς δὲ ἀχώριστος ἡ οὐσία καθέστηκε, περὶ τὸ πᾶν καὶ ἐν τῷ παντί ἐστιν ἡ τοῦ Θεοῦ οὐσία. » Καὶ μετά τινα· « Οὐκοῦν οὐ μόνον τῇ ἐνεργείᾳ πάρεστι τοῖς οὖσι Θεὸς, ἀλλὰ καὶ τῇ οὐσίᾳ· δέδεικται γὰρ ὅτι χωρὶς οὐσίας οὐκ ἔστιν ἐνέργεια. » Καὶ μετά τινα· « Πῶς οὖν ἔσται τὸ λεγόμενον ἀληθές, Τὸ Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην; Οὐκ ὁ Θεὸς ὤν, πάντα τὰ ὄντα τῆς θείας οὐσίας πεπλήρωκε, καὶ ἐν πᾶσι τοῖς οὖσίν ἐστι. » Καὶ μετά τινα· « Ἡ δὲ ἐνέργεια χωρὶς οὐσίας οὐ πρόεισι, καὶ πᾶσίν ἐστιν. Ἡ οὐσία ἄρα ἐν πᾶσίν ἐστι κατὰ τὸ διὰ τοῦ προφήτου λεγόμενον· « Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος. »

Digitized by Google Распознавание текста ABK/FR

Ὁ αὐτὸς πρεσβύτερος ἐν τῷ δογματικῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχή, « Ἄτοπον οἶμαι, καὶ καλῶς γε τοῦτο νενόμικα, » μετὰ πολλὰ πάνυ φησί· « Λόγος δὲ ὑπάρχων ὁ Υἱὸς συναναδείκνυσιν ἑαυτῷ τὸ Πνεῦμα. Λόγος γὰρ χωρὶς Πνεύματος οὐκ ἔστιν, ὡς οὐδὲ νοῦς χωρὶς λόγου. Νοῦν δέ φαμεν τὸν Πατέρα, τοῦ Λόγου νοῦν, ἐν ᾧ Λόγος, μεθ' οὗ τὸ Πνεῦμα τὸ ἅγιον, Πνεῦμα στόματος τοῦ Θεοῦ χρηματίζον. Στόμα γὰρ Πατρὸς ὁ Υἱός. »

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ φησί· « Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον Πατρὶ καὶ Υἱῷ συναναφαινόμενον, ὡς νῷ καὶ λόγῳ. Καὶ γοῦν ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε, « Λάβετε Πνεῦμα ἅγιον, » ὅπερ αὐτοὶ προσευχόμενοι διὰ τῆς ἐπιθέσεως τῶν ἰδίων χειρῶν, παρεῖχον τοῖς πιστεύουσιν, ἐξ ὧν πάρεστι σκοπεῖν διαφοράν, ὅση τίς ἐστι δουλείας καὶ ἰσοτιμίας. Οἱ μὲν γὰρ ἀπόστολοι, δεόμενοι καὶ οἷα Δεσπότῃ λιτανεύοντες, τοῖς ἀξίοις τῆς αὐτοῦ ἐπιφοιτήσεως εἰσῴκιζον, ὡς ἂν εἴποι τις, τὸ Πνεῦμα τὸ ἅγιον· ὁ δὲ Σωτὴρ ἡμῶν ἐξ ἑαυτοῦ ὡς ἀπό τινος θησαυροῦ παρεῖχεν αὐτὸ τοῖς διὰ βίου καθαρότητα γενομένοις ἱκανοῖς τοῦ ὑποδέξασθαι τὴν ἐνέργειαν αὐτοῦ.

Ὁ μέγας Βασίλειος ἐν ταῖς περὶ τοῦ Πνεύματος ἀφοριστικαῖς ἐννοίαις φησί· « Πνεῦμα ἅγιον ἡ κυρία αὐτοῦ καὶ ἰδιάζουσα κλῆσις, ὅπερ δὴ μάλιστα παντὸς τοῦ ἀσωμάτου καὶ καθαρῶς ἀΰλου καὶ ἀμεροῦς ὄνομά ἐστιν. »

Ὁ αὐτός· « Οὐδὲ γὰρ ἔλαττόν τι ἕξειν μέλλομεν εἰς τὸ γινώσκειν τὸ Πνεῦμα ὑπάρχειν ἐκ τοῦ Θεοῦ, Πνεῦμα στόματος αὐτοῦ ἀκούοντες αὐτό. Ἀλλ' ἱκανὸν καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ. »

Ὁ Χρυσόστομος ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίᾳ φησίν· « Ὁ Σωτὴρ λέγει τοῖς ἀποστόλοις, « Μείνατε ἐν Ἰερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς. » Κἂν ἡ δύναμις ἦν χορηγουμένη, ἀλλὰ τὸ Πνεῦμα τὸ χορηγοῦν. Πάντα γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ἰδίᾳ καθὼς βούλεται. »

Ὁ αὐτὸς ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ αὐτοῦ φησι· « Πρὸ δέκα ἡμερῶν ὁ Χριστὸς εἰς τὸν Οὐρανὸν ἀνέβη τὸν βασιλικὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατέβη σήμερον πρὸς τὴν φύσιν τὴν ἡμετέραν. Ἀνήνεγκεν ὁ Χριστὸς τὴν ἀπαρχὴν τὴν ἡμετέραν, καὶ κατήνεγκε τὸ Πνεῦμα τὸ ἅγιον. Ἕτερος Κύριος διανέμων τὰ δῶρα ταῦτα. Καὶ γὰρ τὸ Πνεῦμα Κύριός ἐστιν. »

Ὁ αὐτὸς ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίᾳ, ἧς ἡ ἀρχή, « Χθὲς, ὦ φιλόχριστοι, ἡ τοῦ ἁγίου καὶ προσκυνητοῦ Πνεύματος ἐπιφοίτησις ἀνυμνεῖτο, » φησίν· « Ἀναγκαῖον δέ ἐστιν ἐπιμεῖναι τῇ τοῦ ἁγίου καὶ προσκυνητοῦ Πνεύματος ἐξηγήσει, καὶ σαφέστερόν τι περὶ τῆς ἁγίας καὶ ἐνδόξου δυνάμεως εἰπεῖν, οὐκ ἐξ ὧν λογιζόμεθα, ἀλλ' ἐξ ὧν δι-

Idem presbyter in oratione dogmatica, quæ incipit, « Absurdum existimo, et bene id reputo, » quam longissime ab initio ait : « Verbum ergo Filius cum sit, simul ostendit secum Spiritum. Verbum enim sine Spiritu non est, quemadmodum neque intellectus absque verbo. Intellectum porro dicimus Patrem, Verbi mentem, in qua Verbum, cum quo Spiritus sanctus, Spiritus oris Dei existens. Os itaque Patris Filius. »

Idem in eadem oratione dicit : « Spiritus vero sanctus una cum Patre et Filio apparens, ut menti et verbo. Ideoque Dominus ex semetipso eum illum exsistere ostendens, insufflans discipulis dicebat, « Accipite Spiritum sanctum, » quem illi orantes per impositionem manuum suarum credentibus porrigebant. Ex quibus discrimen adnotare datur, quod est inter servitutem et æqualitatem honoris. Apostoli enim supplicantes, et veluti Domino preces fundentes in dignos illius adventu intromittebant, ut quidam diceret, Spiritum sanctum. Salvator vero noster ex semetipso tantum a thesauro quopiam spiritum suppeditabat illis, qui ob vitæ puritatem illius accipere operationem sufficientes erant effecti.

Magnus Basilius in præfinitis de Spiritu sancto conceptibus, ait : « Spiritus sanctus præcipua ipsius et propriissima appellatio, quæ inter alias maxime incorporei purequæ immaterialis et impensi nomen est. »

Idem : « Neque minus quid habebimus ad cognoscendum Spiritum ex Deo exsistere, cum spiritum os illius audiamus. Verumtamen et hæc appellatio satis abundeque exsistentiam illius ex Deo explanaverit. »

Chrysostomus homilia de Spiritu sancto, ait : « Salvator dicit apostolis, « Manete in Jerusalem, donec induamini virtutem ex alto [49]. Accipietis enim virtutem, cum advenerit Spiritus sanctus ad vos. « Licet virtus suppeditabatur, sed Spiritus suppeditabat. « Omnia enim operatur unus et idem Spiritus, dividens unicuique privatim, ut vult [50]. »

Idem oratione in Pentecostem, ait : « Ante dies decem Christus ad regium thronum ascendit; et hodierno die Spiritus sanctus ad naturam nostram descendit. Nostras primitias Dominus in cœlum evexit, et Spiritum sanctum demisit. Alter est Dominus qui hæc dona distribuit. Nam Spiritus sanctus est Dominus. »

Chrysostomus homilia de Spiritu sancto, cujus illud est principium ; « Heri, o Christi amatores, sancti et adorandi Spiritus celebrabatur adventus, » ait : « Operæ pretium autem est, ut perseveremus diutius in sancti adorandique Spiritus enarratione, et manifestius aliquid de sancta gloriosaque facultate diramus, non per ea, quæ cogitamus,

[49] Luc. xxiv, 49. [50] I Cor. xii, 11.

Digitized by Google Распознавание текста АВК/FR

sed per quæ docemur, Spiritum sanctum natura esse inseparabilem, utpote qui ex inseparabili et indivisibili natura progressus est. Nomen autem ejus Spiritus sanctus, spiritus veritatis, spiritus Dei, spiritus Domini, spiritus Patris, spiritus Filii, spiritus Christi, et sic vocat eum Scriptura, imo ipse seipsum, et Spiritum Dei, et Spiritum, qui ex Deo est. » Et post pauca : « Itaque dicitur Spiritus sanctus. Ista enim est prima et propria appellatio, et ut evidentiorem habens intelligentiam, Spiritus sancti naturam demonstrat. » Et paucis interjectis : « Est igitur Dei spiritus, et ex Deo Patre spiritus, et a Patre procedit. Quid est, procedit? non dixit, giguitur. Quod enim non est scriptum, non est sentiendum. Filius a Patre genitus est, Spiritus a Patre procedit. Quæris a me omnem varietatem, quomodo genitus ille, et quomodo processit iste? Cum didiceris quod genitus est, didicisti et modum, et comprehendisti utique. Itaque cum audieris prædicari Filium, comprehendisti nativitatis modum. Nomina sunt, quæ pia fide honorantur, non ratiocinatione tenentur. Quæ autem vis nominis, procedit? Audi : ut nomen nativitatis prætereat Scriptura, ne Filium ipsum dicas, dicit, Spiritus sanctus, qui a Patre procedit : inducit eum procedentem ut aquam de fonte scaturientem, sicut et de Paradiso dictum est : Fluvius autem procedit ex Eden, procedit, et scaturit. » Et paucis annexis : « Spiritus Dei, et spiritus qui ex Deo, et spiritus Patris, et Spiritus qui a Patre procedit, spiritus Domini, spiritus Filii. « Quod autem sitis filii, dicit Apostolus, emisit Deus spiritum Filii sui in corda nostra clamantem, Abba Pater [81]. » Ecce ipse spiritus Filii. Alio loco iterum spiritum Christi dicit Paulus : « Vos autem non estis in carne, sed in spiritu, siquidem spiritus Dei habitat in vobis [82]. » Et paulo infra : « Si quis autem spiritum Christi non habet, » et sane oportebat dicere, Si quis autem spiritum Dei non habet, sed dixit, spiritum Christi. Verum hoc dixit, ut ostenderet idem esse dicere spiritum Dei, et spiritum Christi. Hæc nomina sanctæ et immaculatæ virtutis sancti sunt et adorandi Spiritus. Sunt vero et alia nomina non naturæ convenientia, sed operationi. Profundus sermo, et opus habet auribus attentis, mundis et fidelibus. Dicitur etenim spiritus spiritus vitæ. Cum Salvator dicat, « Ego sum veritas, et vita [83]. » Dicitur spiritus vitæ, ut Paulus dicit : « Lex enim spiritus vitæ [84]. « Hæc nomina ejusdem sunt auctoritatis, et ejusdem naturæ. Sunt et alia nomina, quæ non adscribuntur Spiritui sancto, sed virtuti illius, et operationi, ut sunt dona ejus. Dico itaque, et insuper declaro sententiam, postea testimonium subinducturus. Quando dat Spiritus sanctus precibus sanctorum vel mihi, vel alteri Christianorum sanctificationem, accipio donum ita, ut sanctum habeam et corpus et animam. Donum mihi exhi-

δασκόμεθα. Τὸ Πνεῦμα τὸ ἅγιον τὴν μὲν φύσιν ἐστὶν ἀδιαίρετον, ἅτε δὴ ἐκ τῆς ἀδιαιρέτου καὶ ἀμερίστου φύσεως προελθόν· ὄνομα δὲ αὐτοῦ Πνεῦμα ἅγιον, πνεῦμα ἀληθείας, πνεῦμα τοῦ Θεοῦ, πνεῦμα Κυρίου, πνεῦμα τοῦ Πατρὸς, πνεῦμα τοῦ Υἱοῦ, πνεῦμα Χριστοῦ, καὶ οὕτω καλεῖ αὐτὸ ἡ θεία Γραφὴ, μᾶλλον δὲ αὐτὸ ἑαυτὸ, καὶ πνεῦμα Θεοῦ, καὶ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. » Καὶ μετ' ὀλίγα· « Λέγεται τοίνυν Πνεῦμα ἅγιον. Αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφαντικωτέραν ἔχουσα τὴν διάνοιαν, καὶ παριστῶσα τοῦ ἁγίου Πνεύματος τὴν φύσιν. » Καὶ μετ' ὀλίγα· « Ἔστιν οὖν Θεοῦ πνεῦμα, καὶ ἐκ Θεοῦ Πατρὸς πνεῦμα, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Τί ἐστιν, ἐκπορεύεται; οὐκ εἶπε, γεννᾶται. Ἃ γ οὐ γέγραπται, οὐ δεῖ φρονεῖν. Υἱὸς ἐκ Πατρὸς γεννηθείς, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον. Ζητεῖς παρ' ἐμοῦ τὴν διαφορὰν πάντως; πῶς ἐγεννήθη μαθὼν, ἔμαθες, καὶ τὸν τρόπον κατέλαβες· ἅρ ἐπεὶ οὐ κηρυττόμενον κατέλαβες γεννήσεως τὸν τρόπον. Ὀνόματά ἐστι πίστει τιμώμενα καὶ εὐσεβεῖ λογισμῷ τηρούμενα. Τίς δὲ ἡ δύναμις τοῦ, ἐκπορεύεται; Ἵνα τὸ τῆς γεννήσεως ὄνομα παρέλθῃ ἡ Γραφὴ, ἵνα μὴ Υἱὸν αὐτὸ καλέσῃ, λέγει Πνεῦμα ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· εἰσάγει αὐτὸ ἐκπορευόμενον ὡς ὕδωρ ἀπὸ πηγῆς βρύον κατὰ τὸ εἰρημένον περὶ τοῦ παραδείσου· « Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ, ἐκπορεύεται, καὶ πηγάζει. » Καὶ μετ' ὀλίγα· « Πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, πνεῦμα Πατρὸς, Πνεῦμα ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, Πνεῦμα Κυρίου, πνεῦμα Υἱοῦ. Λέγει Ἀπόστολος· « Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κράζον, Ἀββᾶ ὁ Πατήρ. » Ἰδοὺ αὐτὸ τὸ πνεῦμα τοῦ Υἱοῦ. Ἀλλαχοῦ πάλιν πνεῦμα Χριστοῦ λέγει Παῦλος· « Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν. » Καὶ μετ' ὀλίγα· « Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει· » καὶ μὴν ἐχρῆν εἰπεῖν· Εἰ δέ τις πνεῦμα Θεοῦ οὐκ ἔχει· ἀλλ' εἶπε Χριστοῦ· εἶπε Θεοῦ πνεῦμα, καὶ ἐπήγαγε τὸ πνεῦμα τοῦ Χριστοῦ· « Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Ἀλλὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὅτι, εἰ πνεῦμα καὶ Χριστὸς, καὶ ἴσον ἐστὶ Χριστὸν παρεῖναι, καὶ πνεῦμα παρεῖναι, καὶ ἴσον ἐστὶν εἰπεῖν πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ. Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ Πνεύματος. Ἔστι δὲ ἄλλα ὀνόματα οὐ τῇ φύσει προσήκοντα, ἀλλὰ τῇ ἐνεργείᾳ. Βαθὺς ὁ λόγος, καὶ χρῄζει ἀκοῆς προσεχοῦς καὶ ἀσφαλοῦς καὶ πιστῆς. Λέγεται δὲ πάλιν τὸ Πνεῦμα ζωῆς πνεῦμα. Ἐπειδὴ ὁ Σωτὴρ λέγει· « Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. » Λέγεται οὖν πνεῦμα ζωῆς, καθὼς καὶ ὁ Παῦλος λέγει· « Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς. » Ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς τῆς φύσεως. Ἔστι δὲ ἄλλα ὀνόματα, ἃ οὐ προσγράφεται τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ. Λέγω δὲ καὶ

[81] Galat. IV, 6. [82] Rom. VIII, 9. [83] Ioan. XIV, 6. [84] Rom. VIII, 2.

προσδιασαφηνίζω τὴν ἔννοιαν, καὶ ἐπάγω τὴν μαρτυρίαν. Ἐπειδὰν χαρίσηται τὸ Πνεῦμα τὸ ἅγιον εὐχαῖς τῶν ἁγίων, ἢ ἐμοὶ, ἢ ἑτέρῳ Χριστιανῷ ἁγιασμὸν, καὶ λάβῃ δῶρον, ὥστε ἅγιον ἔχειν τὸ σῶμα καὶ τὴν ψυχὴν, ἡ δωρεὰ ἡ δοθεῖσά μοι καλεῖται πνεῦμα ἁγιωσύνης, τουτέστι χάρισμα. Ἐὰν δῷ τὸ Πνεῦμα τὸ ἅγιον δωρεάν τινι μὴ ἔχοντι σοφίαν, μὴ ἔχοντι γνῶσιν, ἀλλὰ δῷ αὐτῷ μόνην πίστιν, οἷοί εἰσι πολλοὶ χάρισμα ἔχοντες τοῖς πιστεύουσι μόνον ταῖς Γραφαῖς, οὐκ εἰδότες τὰς Γραφὰς, καὶ ταῖς Γραφαῖς πιστεύοντες, καλεῖται δωρεὰ ἐκεῖ καὶ πνεῦμα πίστεως. Ἐάν τις λάβῃ δωρεὰν καὶ δύναμιν παρὰ τοῦ ἁγίου Πνεύματος πιστεύειν τῇ ἐπαγγελίᾳ τῶν διδομένων ἀγαθῶν ἐν τῷ μέλλοντι, ἔλαβε πνεῦμα ἐπαγγελίας. Ἐάν τις λάβῃ σοφίας δῶρον, καλεῖται ἡ δωρεὰ πνεῦμα σοφίας, καὶ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος καλεῖται πνεῦμα Καὶ πρόσεχε τύπον διασαφηνιζόντων ἡμῶν ἐκ μέρους τὰς θεωρίας. Ὅταν τις ἔχῃ χαρίσματα ἀγάπης, λέγεται ὅτι πνεῦμα ἀγάπης ἔχει. Ὅταν λάβῃ τις χαρίσματα μαρτυρίου, λέγεται πνεῦμα δυνάμεως ἔχειν, τουτέστι χάρισμα. Ἐπειδὴ περ τὸ δωρούμενον τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δωρούμενον Πνεῦμα ἅγιον, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίζοντι. » Καὶ μετ' ὀλίγα· « Οὕτω καὶ ὁ μακάριος Ἡσαΐας, « Ἐξελεύσεται, » φησὶν, « ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ. Ὡδὶ τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ Πνεύματος, λοιπὸν δὲ τὰ χαρίσματα, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. » Καὶ μετ' ὀλίγα· « Ἔλαβεν ὁ διδάσκων πνεῦμα σοφίας, ὁ δὲ διδασκόμενος πνεῦμα συνέσεως, ἵνα συνῇ. » Διὰ τοῦτο Ἡσαΐας τὴν σοφίαν ἐπιγράφει τῷ λέγοντι, Τὴν σύνεσιν τῷ ἀκούοντι, καὶ φησὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. Πνεῦμα βουλῆς δίδοται τῷ γνωμοδοτοῦντι, πνεῦμα ἰσχύος τῷ τὴν γνώμην δεχομένῳ. » Καὶ μετά τινα τῆς περικοπῆς· « Ἐπαναλαμβάνω τοίνυν τὰ ὀνόματα τῆς ἀφράστου φύσεως, πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, πνεῦμα Κυρίου, πνεῦμα Πατρὸς, πνεῦμα Υἱοῦ, πνεῦμα Χριστοῦ, πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστὸν, πνεῦμα ζωῆς, πνεῦμα ἀληθείας. Λοιπὸν τὰ χαρίσματα, πνεῦμα δυνάμεως, πνεῦμα ἀγάπης, πνεῦμα σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα ἀποκαλύψεως, πνεῦμα υἱοθεσίας.

Ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, ἧς ἡ ἀρχή· « Τὰ γράμματα τῆς σῆς ἱερᾶς εὐλαβείας, » φησίν· « Εἴπατε γοῦν, εἴ που τῆς Γραφῆς εὑρίσκεται τὸ Πνεῦμα τὸ ἅγιον ἁπλῶς εἰρημένον Πνεῦμα χωρὶς προσθήκης τοῦ λέγεσθαι ἢ τοῦ Θεοῦ ἢ τοῦ Πατρὸς, ἢ ὅτι ἐμοῦ τοῦ Χριστοῦ, καὶ τοῦ Υἱοῦ, ἢ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἢ μετὰ τοῦ ἄρθρου, ἵνα μὴ ἁπλῶς λέγηται Πνεῦμα, ἀλλὰ τὸ Πνεῦμα ἢ αὐτὸ τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, ἢ Παράκλητον, ἢ ἀληθείας, ὅ ἐστι τοῦ Υἱοῦ, τοῦ λέγοντος, Ἐγώ εἰμι ἡ ἀλήθεια· ἵνα ἀκούσαντες μὴ ἁπλῶς πνεῦμα ὑπονοήσητε εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. »

Θεόδωρος ὁ τῆς Ῥαΐθου πρεσβύτερος ἐν οἷς γρά-

A bitum vocatur Spiritus sanctitatis : hoc est munus. Si dederit Spiritus sanctus cuipiam donum non habenti sapientiam, non habenti intelligentiam, sed dat illi solam fidem, quales sunt multi habentes donum, ut credant solum Scripturis ignorantes Scripturas, et Scripturis credentes, illud donum vocatur, et Spiritus fidei. Si quis accipiat donum et virtutem a Spiritu sancto, ut credat promissioni bonorum, quæ dantur in futuro sæculo, ille Spiritum promissionis accepit. Si quis accipit sapientiæ donum, donum illud vocatur Spiritus sapientiæ, et omnia dona Spiritus sancti nuncupantur Spiritus. Et attende diligenter, quia hæc modo tibi speculativo declaramus. Quando quis habet donum charitatis, dicitur habere spiritum charitatis. Quando B quis acceperit donum martyrii, dicitur habere virtutis spiritum, hoc est donum, quod datus Spiritus sanctus appellatur, et donum eodem nomine quo is qui donat. » Et paucis interjectis : « Ita et beatus Isaias : « Egredietur, inquit, de radice Jesse virga, et flos ex ea ascendet, et requiescet super eum spiritus Dei [13]. » Hic est nomen ipsius naturæ Spiritus, deinceps sequuntur dona : Spiritus sapientiæ et intellectus, Spiritus consilii et fortitudinis, Spiritus cognitionis, Spiritus pietatis, Spiritus timoris Dei. » Et post pauca : « Accepit docens Spiritum sapientiæ, et addiscens Spiritum intelligentiæ, ut intelligat. Propterea Isaias sapientiam adscribit dicenti, Intellectum audienti. Et inquit sapientem architectum, et intelligentem auditorem. Spiritus C consilii datur consiliario, Spiritus fortitudinis consilium accipienti. » Et post alia nonnulla : « Repete igitur nomina ineffabilis naturæ, Spiritus Dei, Spiritus qui ex Deo, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Christi, Spiritus qui excitavit Christum, Spiritus vitæ, Spiritus veritatis. Deinde dona, Spiritus virtutis, Spiritus charitatis, Spiritus temperantiæ, Spiritus promissionis, Spiritus fidei, Spiritus revelationis, Spiritus adoptionis filiorum. »

D Magnus Athanasius epistola ad Serapionem, cujus principium : « Litteræ tui sanctissimi affectus, » inquit : « Dicite saltem, ubi in Scripturis sancti reperitis Spiritum sanctum simpliciter nominari spiritum, sine addimento Dei aut Patris, aut a me, hoc est ex Deo, vel absque articulo, vel Christi, vel Filii, aut ut non adjungatur, sanctus, aut Paracletus, aut veritatis, hoc est Filii, qui seipsum nominat veritatem, ut simpliciter allegata hac voce spiritus, de Spiritu sancto hoc dictum suspicemini. »

Theodorus presbyter Raythenus in præparatione

[13] Isa. xi, 1, 2.

Digitized by Google Распознавание текста ABK/FR

et meditatione in eorum gratiam, qui discere cupiunt modum divinæ Incarnationis, cujus principium est : « Absurdum duco, et recte sane existimo, » quam longissime a principio scribit : « Spiritum vero sanctum in universum sic appellatum, alium non inveneris, et jam antea dixi. Dicitur et sanctus Deus, quæ utraque ubi conjuncta venerint illi, qui proprie Spiritus sanctus nuncupatur adaptantur : quemadmodum Patris appellatio causæ, et Filii illi, quod immediate ex causa est. »

Magnus Gregorius Theologus oratione antirrhetica de Spiritu sancto, quasi sibi opponens, inquit : « Quid igitur est, quod deest Spiritui, ne Filius sit ? nisi enim aliquid deesset, utique Filius esset :» Subdit itaque : « Nihil deesse dicimus : neque enim Deus aliquando deficitur. Verumtamen apparitionis, seu revelationis, ut ita dicam, aut mutuæ habitudinis diversitas, diversam quoque eorum appellationem facit. »

Sanctus Cyrillus expositione in Joannem, in illud, « Hic erat in principio apud Deum [86], » dicit: «Quando divina Scriptura nominibus secundum Græcæ linguæ usum articulos præponit, tunc et unum, et quod solum proprie, atque vere tale quid dicitur significat, quale illud est ; multi enim vocati sunt dii, verumtamen dum cum articulo Deus exprimitur, tum solus et proprie Deus designatur. Rursusque homines multi sunt, sed dum cum articulo Salvator effert Filium hominis, se solum ab infinita hominum multitudine discriminat. Pari modo et evangelista præponens articulum in illo, « In principio erat Verbum [87], » unum, et quod proprie Verbum est Patris, connotavit. »

Idem ad Hermiam libro dialogi septimo dicit : « Cur non hominis naturam et generationem in perfectionem illi maxime congruam vix tandem dictam esse dicimus, cum per Spiritum divina in semetipsa effigie ditata est? Et hoc quidem obscurum non est, si naturæ lapsum, et reformationem in bonum secum una quispiam expenderit. Nam cum animal esset propensum ad delictum et peccatum, quod tum adscititium erat, et præ nimio amore carnis langueret spiritus ad divinam imaginem illud transformans, et quasi signaculum ineffabiliter indens separatus est, et sic corruptibile ac turpe, et nihil non absurdum secum trahens apparuit. At ubi universorum Conditor, id quod in corruptionem lapsum fuerat, ignobile ac turpe factum propter peccatum, cum illi insitam voluit ad primævam firmitatem ac decorem reducere, permisit iterum divinum et sanctum Spiritum advenire et bene reformare imaginem pulcherrimam tanquam aptum, et præpotentem, ut ad suam effigiem nos aptaret. Itaque continere creaturam, et ad suam habitudinem ornare, transfigurareque animal ad similitudinem Dei, Conditore indigum, et perfectissima dare singulis creaturis in alteram natu-

[86] Joan. I, 2. [87] ibid. 1.

A φει προπαρασκευήν τε καὶ γυμνασίαν τῷ βουλομένῳ μαθεῖν, τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως, οὗ ἡ ἀρχὴ, « Ἄτοπον οἶμαι καὶ καλῶς γε τοῦτο νενόμικα, » μετὰ πολλὰ πάνυ φησίν· « Πνεῦμα δὲ ἅγιον ὅλον οὕτω λεγόμενον ἕτερον οὐχ εὑρήσεις. Πνεῦμα δὲ, καθὰ φθάσας ἔφην, λέγεται ὁ Θεὸς καὶ ἅγιος ὁ Θεός. Συντιθέμενα δὲ ἄμφω τὰ ὀνόματα τῷ ἰδίως καλουμένῳ Πνεῦμα ἅγιον ἁρμόζει, καθάπερ ἡ τοῦ Πατρὸς ἐπίκλησις τῷ αἰτίῳ, καὶ ἡ τοῦ Υἱοῦ τῷ ἀμέσως ἐκ τοῦ αἰτίου. »

Ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος Ἀντιῤῥητικῷ οἷον ἀντιθετικῶς λέγει· « Τί οὖν ἔλειπε, » φησὶ, « τῷ Πνεύματι πρὸ τοῦ εἶναι Υἱόν; εἰ μὴ γὰρ λεῖπόν τι ἦν, Υἱὸς ἂν ἦν. » Ἐπιφέρει δέ· « Οὐ λείπειν φαμέν· οὐ γὰρ ἐλλιπὴς ὁ Θεός. Τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον καὶ τὴν κλῆσιν αὐτῶν πεποίηκεν. »

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν « Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, » φησίν· « Ὅτε τὰ ὀνόματα προτασσομένων τῶν ἄρθρων ἡ θεία τίθησι Γραφὴ, τότε καὶ ἕν τι σημαίνει, ὃ μόνον ἐστὶ κυρίως καὶ ἀληθινῶς, ὁποῖόν εἶναι λέγεται. Πολλοὶ γὰρ καλοῦνται θεοὶ, ἀλλ' ὅταν μετὰ τοῦ ἄρθρου λέγηται ὁ Θεὸς, τὸν μόνον ὄντα καὶ κυρίως σημαίνει. Καὶ πάλιν ἄνθρωποι πολλοὶ, ἀλλ' ὅτε μετὰ τοῦ ἄρθρου φησὶν ὁ Σωτὴρ, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὡς ἐκλελεχισμένον ἀπὸ μυριάδων ἑαυτὸν κατασημαίνει. Οὕτω καὶ ὁ Εὐαγγελιστὴς προτάξας τὸ ἄρθρον εἰς τὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » τὸν ἕνα καὶ κυρίως ὄντα τοῦ Πατρὸς Λόγον σημαίνει. »

Ὁ αὐτὸς πρὸς τὸν Ἑρμείαν ἐν τῷ ζ' τοῦ διαλόγου· « Τί δὲ τὴν ἀνθρώπου φύσιν τε καὶ γέννησιν οὐκ εἰς τελειότητα τότε δὴ μόλις τὴν αὐτῇ πρεπωδεστάτην ἀνῆχθαί φαμεν, ἡνίκα διὰ τοῦ Πνεύματος τὸν θεῖον ἐφ' ἑαυτῇ πεπλούτηκεν ἐξεικονισμόν; Καὶ μὴν τοῦτό γέ ἐστιν οὐκ ἀσυμφανὲς, εἰ τόν γε τῆς φύσεως ὀλισθον καὶ τὸν εἰς τὸ εἶναι μεταπλασμὸν διενθυμοῖτό τις. Διανενευκότος γὰρ τοῦ ζώου πρὸς τὸ πλημμελὲς, καὶ τὴν εἰσποίητον ἁμαρτίαν ἐκ τῆς εἰς ἅπαν φιλοσαρκίας ἠῤῥωστηκότος, τὸ πρὸς θείαν εἰκόνα διαμορφοῦν αὐτὸν, καὶ σημάντρου δίκην ἀπορῥήτως ἐντεθειμένον, ἀπενοσφίζετο πνεῦμα φθαρτόν τε οὕτω καὶ ἀκαλλές· καὶ τί γὰρ οὐχὶ τῶν ἐκτόπων συνειληχὸς ἀναπέφανται. Ἐπειδὴ δὲ ὁ τῶν ὅλων Γενεσιουργὸς ἀνακομίζειν ἤθελεν εἰς ἑδραιότητά τε καὶ εὐκοσμίαν τὴν ἐν ἀρχαῖς τὸ διολισθῆσαν εἰς φθορὰν παράσημόν τε καὶ ἀκαλλὲς διὰ τὴν εἰσποίητον γεγονὸς ἁμαρτίαν, ἐνῆκεν αὖθις αὐτῷ τὸ ἀποφοιτῆσάν ποτε θεῖόν τε καὶ ἅγιον Πνεῦμα, μεταποιοῦν εὖ μάλα πρὸς τὴν ὑπερκόσμιον εἰκόνα καὶ πεφυκὸς καὶ δυνάμενον, διὰ τὸ πρὸς ἰδίαν ἡμᾶς μεταῤῥυθμίζειν ἐμφέρειαν. Τὸ τοίνυν συνέχον εἰς τὸ εὖ εἶναι τὸ ποιηθὲν καὶ καταλλύνειν εἰδὸς σχέσει τῇ πρὸς αὐτὸ, καὶ δι-

Digitized by Google Распознавание текста АВК/FR

μορφοῦν τὸ ζῶον εἰς ὁμοίωσιν Θεοῦ, κατάπιν ἴέναι διακεισόμεθα τοῦ Δημιουργοῦ, καὶ διὰ τῆς εἰς ἔκφυλον ἑτερότητα διακοπῆς διοικοῦμεν αὐτοῦ τὸ διαπρέπον ἐν τελειότητι τῇ ἑκάστῳ πρεπωδεστάτῃ τοῖς παρ' αὐτοῦ κτίσμασι δωρούμενον, ἢ ἰσοφυές τε καὶ ὁμοούσιον εἶναι λέγοντες αὐτῷ τὸ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, κατὰ φύσιν ὁλοκλήρῳ τῇ δημιουργίᾳ τιμήσομεν, ἐκτετελεσμένῃ δι' Υἱοῦ ἐν Πνεύματι. »

A ram rejiciemus; vel æqualis naturæ et consubstantialis esse dicentes ipsi quod in ipso secundum naturam perfecto opificio honorabimus, et integram quodammodo illi in factis efficaciam tribuemus, perfectam per Filium in Spiritu. »

Ὁ μέγας Βασίλειος ἐν ἐνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή, « Ὅτι θεία φύσις τὸ Πνεῦμα, » φησίν· « Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις, καὶ θεία φύσις, ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος, πεφηνυῖα ἀῤῥήτως, κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Χριστοῦ δειχθέντα τύπον, αὖθις ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισταμένη. Συντρέχειν γὰρ δεῖ τῇ κατ' ἀρχὴν καινότητι τὴν νῦν ἀνακαίνισιν. Καὶ τὴν συνδρομὴν ἐξετύπωσεν, ἐμφυσήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' αὐτὸς δι' οὗ Θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ εἰς ψυχήν. »

Magnus Basilius in capite, cui præfixa est inscriptio, Spiritum esse divinam naturam : « Spiritus enim ad creandum vivo Verbo in eodem ordine collocatur, viva virtus, divina natura, ineffabilis ex ineffabili ore exsistens ineffabili modo, et per sufflationem ad hominem missa, et secundum figuram corporaliter a Domino tradita, rursus ab eo per sufflationem restitutam. Concurrere enim oportet cum prima novitate, præsentem innovationem atque concursum. Informavit igitur cum sufflasset, cum non alius esset atque is, qui a principio insufflavit; sed ipse per quem Deus insufflationem dedit, tunc quidem cum anima, nunc vero ad animam. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ ζ' τῶν πρὸς Ἑρμείαν φησίν· « Ὁ τοίνυν ἀναπεπλασμένος καὶ ἡ τοῦ κατεφθαρμένου μεταδρομὴ πρὸς καινουργίαν τε καὶ ἀναμόρφωσιν ἔργον ἂν γένοιτο κατά γε τὸ εἰκός, καὶ αὐτῷ μοι δοκοῦν εὖ ἔχειν, τῆς αὐτῆς φύσεώς τε καὶ ἐνεργείας, ἧς ἂν φαίνοιτο καὶ τὸ ἐν ἀρχαῖς ἀπορῥήτως πλαστουργηθέν. »

Sanctus Cyrillus libro 7 ad Hermiam : « Reformatio itaque et corrupti ad renovationem et restitutionem pristinam immutatio opus fuerit, ut par est, et mihi id optime probatur, ejusdem naturæ et actionis, quæ ab initio ineffabiliter creatio habita est. »

Ὁ μέγας Ἀθανάσιος, ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχή, « Ἐνέτυχον καὶ τῇ νῦν γραφείσῃ παρὰ τῆς σῆς εὐλαβείας ἐπιστολῇ, » φησίν· « Ἀμέλει τοῦ Πατρὸς πέμποντος τὸ Πνεῦμα ὁ Υἱὸς ἐμφυσῶν δίδωσιν αὐτὸ τοῖς μαθηταῖς· ἐπειδὴ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστιν. »

Magnus Athanasius epistola ad Serapionem de Spiritu sancto : « Nunc recens scriptam a tua pietate epistolam, » dicit : « Patre mittente Spiritum, Filius insufflans tradit illum discipulis : cum omnia quæ Pater habet, Filii sint. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ δ' τῶν πρὸς Ἑρμείαν· « Ἅμα τε γὰρ τοῖς τοῦ τεχνουργοῦντος ἀῤῥήτοις νεύμασι παρήχθη πρὸς ὕπαρξιν ἀνθρώπου φύσις καὶ τῇ πρὸς τὸ Πνεῦμα σχέσει κατεκαλλύνετο. Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ Πνεῦμα ζωῆς, οὐχ ἕτερος, οἶμαι, τοῦ ζώου, τὸ ἐν ἁγιασμῷ καὶ οἰκειότητι τῇ πρὸς Θεὸν διαφανὲς ἔξοντος ἄν, εἰ μὴ τῇ τοῦ ἁγίου Πνεύματος κατακαλλύνοιτο μετουσίᾳ. Τοίγαρ τοι καὶ ὅτε γέγονεν ἄνθρωπος ὁ μονογενής, ἐρήμην τοῦ πάλαι καὶ ἐν ἀρχαῖς ἀγαθοῦ τὴν ἀνθρώπου φύσιν εὑρών, πάλιν αὐτὴν εἰς ἐκεῖνο μεταστοιχειοῦν ἠπείγετο καθάπερ ἀπὸ πηγῆς τοῦ ἰδίου πληρώματος ἐνιείς τε καὶ λέγων, « Λάβετε Πνεῦμα ἅγιον· » τῷ διὰ σαρκὸς καὶ ἐμφανεστέρῳ φυσήματι, τὴν τοῦ Πνεύματος φύσιν εὖ μάλα σκιαγραφῶν. »

Sanctus Cyrillus libro 4 ad Hermiam, dicit : « Nam simul ut ineffabilibus opificis nutibus producta est ad exsistentiam humana natura et quadam cum spiritu habitudine exornata est, inspiravit enim in faciem illius Spiritum vitæ, quod non alio quam in animal opinor, quod in sanctimonia et familiaritate cum Deo clarum exspiret, nisi sancti Spiritus honestetur præsentia. Etenim quando Unigenitus factus est homo, inventam hominis naturam ab antiquis, et primis bonis destitutam, iterum eam ad illa redire urgebat, quasi a fonte plenitudinis suæ immittens, et dicens, « Accipite Spiritum sanctum [56] : sicque carnali, et manifestiore flatu Spiritus naturam adumbrans. »

Ὁ αὐτὸς ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν· « Ὥσπερ οὖν, ἐπειδήπερ εἰκών ἐστιν ἀκριβεστάτη τοῦ Πατρὸς ὁ Υἱός, ὁ δεξάμενος αὐτὸν καὶ τὸν Πατέρα ἔχει· οὕτως ἐπὶ τὸ ἴσον σχῆμα τῆς ἀναλογίας τρεχούσης, ὁ δεξάμενος τοῦ Υἱοῦ τὴν εἰκόνα, τουτέστι τὸ Πνεῦμα, ἔχει πάντως δι' αὐτῆς τὸν Υἱὸν καὶ τὸν ἐν αὐτῷ Πατέρα. »

Idem in libro Thesaurorum : « Quemadmodum itaque cum sit Patris exquisitissima imago Filius, qui ipsum accipit, una simul et Patrem habet; pari modo procedente analogia, qui Filii imaginem, Spiritum nempe, suscipit, habet prorsus per illum Filium, et in seipso Patrem. »

[56] Joan. xx, 22.

Digitized by Google Распознавание текста АВК/FR

Metrophanes metropolita Smyrnæus in exposi A tione quam ille in Joannis primam Epistolam catholicam concinnavit, hæc ipsissima verba continet : « In hoc cognoscimus, nos in ipso manere, et ipsum in nobis, quod ex Spiritu suo dedit nobis. Constabilit hic divinitatis principem, ac beatam Triadem in sese mutuo naturaliter connecti ac cohærere, et ad aliquam unius hypostasis accessu, et inhabitatione et aliorum duorum conventum concursumque propter divinam et primam supersubstantialis, et res omnia superantis naturæ simplicitatem, necnon propter operationis, et virtutis, et voluntatis unum et solum. Sic enim et Paulus magnus apostolus insinuat, « Vos estis templum Dei, et Spiritus Dei in vobis habitat[49], » quasi diceret, Spiritus inhabitatione et Deum et Patrem et unige- B nitum Filium cum puris animabus consuescere et cohabitare.

EPIGRAPHE IX.

Ad demonstrandum Spiritum sanctum ex Patre et Filio esse, collecta sunt hæc scripto mandata testimonia quæ inferunt illum esse essentiæ Patris et Filii qualitatem, necnon odorem, flatum, halitum. Prope vero hæc eadem testimonia adnectuntur alia, in eamdem sententiam admodum conferentia, quæ et Patrem fontem Spiritus, et Filium item fontem Spiritus esse decernunt. Similiter et ab aliis scriptis testimoniis indicantibus et Filium a Patre mitti et Spiritum a Deo, hoc idem colligi. C

Sanctus Cyrillus in libro Thesaurorum habet : « Quod si vere esset factura et creatura secundum aliter sentientium vesaniam Spiritus sanctus, quomodo universam Dei efficaciam possidet? Neque enim reor quemquam eo audaciæ processurum, ut vel solo dicto id audeat asserere divinam essentiam instrumentis quibusdam ab æterno creatis, adscitisque uti ad operationem, quæ ex ipsa naturaliter transit ad eos, qui eam suscipere digni sunt. Cum itaque natura sua Filius vita sit, vivificet vero Spiritus ab ipso suppeditatus, necessario sequetur ipsum ex essentia esse Filii et Dei, universam illius virtutem et efficaciam possidentem : D quemadmodum si ex aqua humor ascendit, et sua operatione ad quos pervenerit, recreans, illius, qui illum emittit, naturam indicat. »

Idem in libro quinto ad Hermiam dicit : « Spiritus sanctus veluti quædam naturalis sanctæ sapientisque Deitatis qualitas est, quæ in Patre et Filio intelligitur. »

Idem in libris ad Hermiam : « Itaque si signa et prodigia per Paulum Christus operatur in virtute Spiritus sancti, efficacia quædam naturalis, et vivens, et, ut ita dicamus, deitatis Filii Spiritus san-

[49] I Cor. III, 16.

Ἐν μέρει τῆς ἐξηγήσεως τῆς Ἰωάννου καθολικῆς πρώτης Ἐπιστολῆς, ἣν ποιεῖται Μητροφάνης τις μητροπολίτης Σμύρνης, κεῖται ῥῆσις ἔχουσα οὕτως· « Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Παρίστησιν ἐντεῦθεν ὡς ἡ θεαρχικὴ καὶ μακαρία Τριὰς ἀλληλουχίας ἔχεται πρὸς ἑαυτὴν φυσικῆς, καὶ τῇ πρός τινα προσφοιτήσει καὶ κατασκηνώσει τῆς μιᾶς ὑποστάσεως, καὶ τῶν ἄλλων ἀμφω συγκαταφοίτησις γίνεσθαι πέφυκε διὰ τὴν θείαν καὶ πρώτην ἁπλότητα τῆς ὑπερουσίου καὶ πάντων ἐπέκεινα φύσεως, καὶ μέντοι καὶ διὰ τὸ τῆς ἐργασίας καὶ δυνάμεως καὶ βουλήσεως ἑνικὸν καὶ μοναδικόν. Οὕτω γὰρ καὶ Παῦλός φησιν ὁ μέγας ἀπόστολος· « Ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν, ὡς τῇ τοῦ Πνεύματος ἐνοικήσει καὶ τοῦ Θεοῦ καὶ Πατρὸς δηλονότι, καὶ τοῦ μονογενοῦς Υἱοῦ ταῖς καθαραῖς ψυχαῖς ἐμφιλοχωροῦντος καὶ συνοικοῦντος. »

ΕΠΙΓΡΑΦΗ Θ'.

Εἰς ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ συνελέγησαν καὶ αἱ παροῦσαι γραφικαὶ χρήσεις, αἱ δηλοῦσαι εἶναι αὐτὸ ποιότητα τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ οὐσίας, ἔτι δὲ εὐωδίαν, πνοὴν, καὶ ὀσμήν. Ἐγγὺς δὲ τῶν τοιούτων χρήσεων ἕτεραι καταστρωννύονται χρήσεις, εἰς τὴν αὐτὴν συμβάλλουσαι ἔννοιαν, αἵτινες καὶ τὸν Πατέρα πηγὴν τοῦ Πνεύματος, καὶ τὸν Υἱὸν πηγὴν θεολογοῦσι τοῦ Πνεύματος. Ὁμοίως δὲ καὶ ἐξ ἄλλων γραφικῶν χρήσεων δηλουσῶν καὶ τὸν Υἱὸν ἀποστέλλεσθαι παρὰ τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα παρὰ τοῦ Θεοῦ, τὸ αὐτὸ τοῦτο συνάγεσθαι.

Ὁ ἅγιος Κύριλλος ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν· « Ἀλλ' εἴπερ ἦν ὄντως ποίημα καὶ κτίσμα κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, τοῦτο φρονεῖν ὀρθῶς ἐκβήσεται, ὡς τολμῆσαι καὶ μόνον εἰπεῖν τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων διακονεῖσθαι πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς φυσικῶς διαβαίνουσαν πρός τινας τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν. Ἐπειδὴ οὖν ζωὴ μέν ἐστι κατὰ φύσιν ὁ Υἱὸς, ζωοποιεῖ δὲ τὸ Πνεῦμα τὸ παρ' αὐτοῦ χορηγούμενον, ἀνάγκη λοιπὸν ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν αὐτὸ τῆς τοῦ Θεοῦ, πᾶσαν αὐτοῦ τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον· ὥσπερ ἂν εἰ καὶ ἐξ ὕδατος ἀτμὶς ἀναβαίνει, καὶ δι' ὧν ἐνεργειῶν, τοὺς παρ' οἷς ἂν γένοιτο ψύχουσα, τοῦ ἐκπέμποντος αὐτὴν τὴν φύσιν σημαίνει. »

Ὁ αὐτὸς ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν φησί· « Τὸ Πνεῦμα τὸ ἅγιον οἱονεί τις φυσικὴ ποιότης τῆς ἁγίας τε καὶ σοφῆς θεότητός ἐστι, τῆς ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης. »

Ὁ αὐτὸς ἐν τοῖς πρὸς Ἑρμείαν· « Οὐκοῦν εἰ σημεῖα καὶ τέρατα διὰ Παύλου Χριστὸς ἐργάζεται ἐν δυνάμει Πνεύματος ἁγίου, ὡς ἐνέργειά τις φυσικὴ καὶ ζῶσα, καὶ ἵν' οὕτως εἴπωμεν, ποιότης τῆς

Digitized by Google Распознавание текста АВК/FR

θειότητος τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καὶ ὥσπερ τις ἀτμὸς, ἢ ποιότης ἐστὶ τῆς οὐσίας τοῦ Πατρός. Εἰ ἀγέννητος δὲ καὶ ἄκτιστος ὁ Πατὴρ, πῶς ἂν εἴη γενητὸν τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα;

Ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνά φησιν· « Εἰ δὲ τὸ Πνεῦμα εὐωδία καὶ μορφὴ τοῦ Υἱοῦ ἐστιν, εὔδηλον ὡς οὐκ ἂν εἴη τὸ Πνεῦμα κτίσμα· ἐπειδὴ καὶ ὁ Υἱὸς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐκ ἔστι κτίσμα. »

Ὁ ἅγιος Κύριλλος ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν « τὸν μὲν Πατέρα ῥόδον, τὸν δὲ Υἱὸν ἄνθος, τὸ δὲ Πνεῦμα ὀσμὴν καλεῖ. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ἴσως θαυμάσεις, » φησί· « Τὸ χρίσμα τοῦτο πνοή ἐστι τοῦ Υἱοῦ. »

Ὁ Δαμασκηνὸς ἐν τῷ περὶ Πνεύματος ἁγίου λόγῳ, οὗ ἡ ἀρχὴ, « Δεῖ δὲ τὸν Λόγον καὶ Πνεῦμα ἔχειν, » φησίν· « Τὸ Πνεῦμα τὸ ἅγιον οὐ πνοὴν ἀνυπόστατον ἐννοοῦμεν, ἀλλὰ δύναμιν οὐσιώδη, ἐκτοῦ Πατρὸς προερχόμενον, μήτε ἀρχὴν ἔχουσαν, μήτε τέλος. Οὐ γὰρ ἐνέλιπέ ποτε τῷ Πατρὶ Λόγος, οὔτε τῷ Λόγῳ Πνεῦμα. Καὶ Ἰώβ· « Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. »

Ὁ ἅγιος Μάξιμος ἐν ᾗ ποιεῖται διαλέξει Ἀνομοίου καὶ Ὀρθοδόξου ταῦτά φησιν· Ἀνόμοιος πρὸς τὸν Ὀρθόδοξον· « Καὶ τὸ Πνεῦμα οὖν λέγεις θείας εἶναι φύσεως; » Ὀρθόδοξος· « Οὐχ ἁπλῶς εἶναι θείας φύσεως, ἀλλὰ τῆς θείας. Αὐτὸς γὰρ εἶπεν ὁ Πατήρ· « Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· » ὁ δὲ Υἱός· « Οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου τὸ λαλοῦν ἐν ὑμῖν. » Καὶ ὁ Ἰὼβ θεῖον εἶπε τὸ Πνεῦμα οὕτω· « Ζῇ Κύριος, ὃς οὕτω με κέκρικε, καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν, ἧ μήν ἔτι τῆς πνοῆς ἐν ῥισὶν οὔσης. Πνεῦμα θεῖον δὲ τὸ περιόν μοι ἐν ῥισὶ, μὴ λαλῆσαι τὸ στόμα μου ἄδικα. » Ὁρᾷς πῶς τῆς ἁγίας Τριάδος μέμνηται; Ζῇ Κύριος, λέγων τὸν Υἱὸν, καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν, τὸν Πατέρα, Πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισὶ, τὸ Πνεῦμα τὸ ἅγιον. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ λόγῳ, ὃς ἐπιγέγραπται Ἔλεγχος ὑποκρίσεως περὶ Μελετίου, οὗ ἡ ἀρχὴ, « Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονεν, » φησίν· « Οὐχὶ γεννήσει ἡ τοῦ Πνεύματος πρόοδος, ἀλλὰ πνεύσει ὁμοιοῦται διὰ τὴν μετάληψιν, ὡς πνοῆς ἐκ στόματος ἐρχομένης, καὶ τὸν μεταλαμβάνοντα ἁγιαζούσης, καθὰ δὴ καὶ λέγεται Πνεύματος. »

Ὁ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ, « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, » φησίν· « Ἐπειδὴ δὲ διὰ τὴν παράβασιν ὁ ἄνθρωπος ἐκολάζετο, ἀπεγυμνώθη τῆς χάριτος καὶ ἀπανίστατο τῆς γηΐνης σαρκὸς ἡ πνοὴ τῆς ζωῆς, τουτέστι τὸ Πνεῦμα τοῦ λέγοντος· « Ἐγώ εἰμι ἡ ζωή. »

A ctus quædam qualitas fuerit, et uti quidam humor, aut qualitas est Patris; quodsi ingenitus et increatus Pater est, qua ratione fieri potest, ex eo profusum Spiritum sanctum esse? »

Divus Athanasius ad Serapionem epistola ait: « Quodsi Spiritus bonus odor, et forma Filii est, plane et manifestum remanet, Spiritum creaturam non esse: etiam Filius in forma Dei exsistens creatura non est. »

Sanctus Cyrillus in Thesauris « Patrem quidem rosam, Filium florem, Spiritum sanctum odorem » nuncupat.

Magnus Athanasius ad Serapionem epistola de Spiritu sancto, quæ incipit, « Fortasse admiraberis, » dicit: « Unctio hæc spiramen Filii est. »

B

Damascenus sermone de Spiritu sancto, cujus illud est principium: « Huic quoque Verbo Spiritus sit oportet, » inquit: « Spiritum sanctum non flatum quemdam substantia carentem animo nobis fingimus, sed vim essentialem, ex Patre procedentem, eaque natura sit, ut neque principium habuerit neque finem habitura sit. Neque enim Patri Verbum unquam defuit, neque Verbo Spiritus. Et Job: « Spiritus Domini, qui fecit me, et flatus omnipotentis, qui docet me[60]. »

Sanctus Maximus in colloquio, quod ipse habuit cum Anomœo, hæc habet: Anomœus ad Orthodoxum: « Et Spiritum itaque dicis divinæ esse naturæ? » Orthod.: « Non simpliciter esse divinæ naturæ, sed divinæ. Ipse enim Pater dixit: « In extremis temporibus effundam ex Spiritu meo in omnem carnem[61]: » et Filius: « Neque enim estis vos qui loquimini, sed Spiritus Patris mei qui loquitur in vobis[62]: » et Job divinum dixit Spiritum ibi: « Vivit Dominus, qui ita me judicavit, et omnipotens, qui tristem fecit animam meam, cum adhuc Spiritus in naribus esset. Spiritus vero divinus qui superest in naribus meis, ne loquatur os meum injusta[63]. » Videsne, quomodo ille sanctæ Trinitatis mentionem facit? Vivit Dominus, dicit, innuens Filium, et omnipotens, qui tristem fecit animam meam, Patrem, Spiritus divinus qui superest in naribus, Spiritum sanctum. »

C

D

Magnus Athanasius oratione quæ inscribitur, Refutatio hypocriseos Meletii, quæ incipit: « Homo ad similitudinem Dei factus est, » inquit: « Spiritus progressus non nativitati, sed proflatui sese aliis impertienti pro anhelitus similitudine ex ore prodeuntis et recipientem se sanctificanti similis habetur, nimirum pro voce sua qua Spiritus dicitur. »

Sanctus Cyrillus expositione in Joannem in illud, « Et Verbum caro factum est[64], » ait: « Cum vero propter prævaricationem homo puniretur, gratia spoliatus est, et a terrena carne spiritus vitæ rebellabat, Spiritus scilicet illius, qui dicit, « Ego sum vita.[65] »

[60] Job xxxiii, 4. [61] Act. ii, 17. [62] Marc. xiii, 11. [63] Job xxvii, 2, 3. [64] Joan. i, 14. [65] Joan. xiv, 6.

Digitized by Google Распознавание текста АВК/FR

Idem in dictum : « Vidi Spiritum descendentem [66], » ait : « Et creavit Deus hominem, secundum imaginem Dei fecit illum : per Spiritum vero in imaginem Dei effigiari, Moyses edocuit dicens, « Et sufflavit in faciem illius spiritum vitæ. »

Magnus Athanasius in colloquio Orthodoxi et Anomœi, ait : « Causa est Dei natura et Filii, et Spiritus sancti, et universæ creaturæ, sed Filii ut Verbi, « In principio enim erat Verbum [67], » Spiritus ut flatus : flatus enim omnipotentis, qui docuit me, creaturæ uti rerum factarum, quibus proportione quadam eorum opifex intelligitur. Neque verbum quod per instrumenta vocalia emissum profertur, neque flatus per instrumenta et respirandi meatus emissus dissolvitur : sed Verbum vivens et actuosum : « Omnia enim per ipsum facta sunt [68]; » et Spiritus vivens, et actuosus. « Omnia enim hæc operatur unus et idem Spiritus [69]. » Quod vero ingenitum est, geniti causa non est. Neque enim quod non generatur Deus essentiarum causa est : sed essentiarum essentia causa est, ut dictum est. Namque si ingenitum esse causa est, Filius vero creatura ut causa est, ingenitus ergo est : sed non ingenitus est, ut tu asseris, et causa est. Non ergo ingenitum causa est. »

Sanctus Cyrillus in illud, « Ille me glorificabit, quoniam de meo accipiet [70], » inquit : « Quemadmodum odoratissimorum florum odor in se ipse quodammodo suscipiens naturalem ac substantialem rerum ex quibus est, efficaciam sive qualitatem, ad extra defert, et cognitionem corporis membris, quæ odoratui inserviunt incidens, indit. Et videtur quidem, uti mente comprehendi potest, alia ac diversa ab ea quæ illum transmittit natura, verumtamen in seipsa considerata non aliam habet naturam, quam quæ ex illis unde ipse est, et manet, conspicitur. Ita de Deo et Spiritu sancto intelligito, sublimius vim exempli accipiens. Nihil itaque detrahitur Spiritui, et supra omnem reprehensionem est, cum asseritur Spiritus accipere ab Unigenito. Namque promanans per ipsum naturaliter, unquam illius proprius cum omnibus, quæ absolute habet, accipere dicitur. »

Idem in illud : « Omnia quæcunque habet Pater, mea sunt, propterea que dixi, Quia de meo accipiet, et annuntiabit vobis [71], » inquit, « Quemadmodum exempli causa, aromatum odor nostris naribus objectus, si quis cogitatione id examinarit, non alio modo exsilit, quam eorum ex quibus est virtutem secum deferens, eamque commonstrat, quæ non alia est, quam illa quæ in illis adnata est, et ex illis promanat : tale quidpiam, imo sublimius aliquid intelliget de Deo et Spiritu sancto. Est nempe odor quidam essentiæ illius vivens ac potens, ad creaturas quæ Dei sunt transportans, et participationem ejus immittens. Nam si aromatum odor

Ὁ αὐτὸς εἰς τὸ ῥητόν, « Ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον, » φησίν· « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ὅτι δὲ διὰ τοῦ Πνεύματος εἰς εἰκόνα τὴν θείαν κατεσφραγίζετο, Μωσῆς ἐδίδαξεν εἰπών· « Καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. »

Ὁ μέγας Ἀθανάσιος ἐν ᾗ ἐκτίθεται διαλέξει Ὀρθοδόξου καὶ Ἀνομοίου φησίν· « Αἰτία ἐστὶ ἡ τοῦ Θεοῦ φύσις καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ τῆς κτίσεως πάσης, ἀλλὰ τοῦ μὲν Υἱοῦ ὡς Λόγου, « Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, » τοῦ δὲ Πνεύματος ὡς πνοῆς· « Πνοὴ γὰρ παντοκράτορος ἡ διδάξασά με, » τῆς δὲ κτίσεως ὡς κτισμάτων, ἐξ ὧν ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. Οὔτε δὲ λόγος προφορικὸς διὰ τῶν φωνητικῶν ὀργάνων ἐκπεμπόμενος, οὔτε πνοή τις διαχεομένη καὶ διὰ τῶν ἀναπνευστικῶν ὀργάνων ἐκπεμπομένη ἐστίν, ἀλλὰ καὶ Λόγος ζῶν καὶ ἐνεργός· « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, » καὶ Πνεῦμα ζῶν καὶ ἐνεργόν· « Πάντα γὰρ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. » Τὸ δὲ ἀγέννητον οὐκ ἔστιν αἴτιον τοῦ γεννητοῦ. Οὐ γὰρ τὸ μὴ γεννᾶσθαι τὸν Θεὸν τῶν οὐσιῶν αἴτιον, ἀλλ' ἡ οὐσία τῶν οὐσιῶν αἰτία, ὡς εἴρηται. Εἰ γὰρ τὸ ἀγέννητον αἴτιον, αἴτιος δὲ καὶ ὁ Υἱὸς τῶν κτισμάτων, ἀγέννητος ἄρα· ἀλλ' οὐκ ἀγέννητος κατὰ σὲ, αἴτιος δέ. Οὐ τὸ ἀγέννητον ἄρα αἴτιον. »

Ὁ ἅγιος Κύριλλος εἰς τὸ, « Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, » φησίν· « Ὃν τρόπον γὰρ τρόπον ἡ ἐκ τῶν εὐοσμοτάτων ἀνθέων εὐωδία λαβοῦσα τρόπον τινὰ τῶν προσόντων αὐτοῖς τὴν οὐσιώδη καὶ φυσικὴν ἐνέργειαν ἤτοι ποιότητα διακομίζει τοῖς ἔξω τὴν γνῶσιν τοῖς ὀσφραντικοῖς τοῦ σώματος μορίοις ἐμπίπτουσα· καὶ δοκεῖ μέν πως ὅσον ἦκεν εἰς ἐπινοίας λόγον ἑτέρα τις εἶναι παρὰ τὴν πέμπουσαν αὐτὴν φύσιν· νοουμένην γε μὴν οὐκέτι καθ' ἑαυτὴν ἑτέραν ἔχει φύσιν, ἢ τὴν ἐξ ὧν καὶ ἐν οἷς ἐστιν· οὕτω νοήσεις ἐπί τε Θεοῦ καὶ ἁγίου Πνεύματος, τὸν τοῦ παραδείγματος ἀναβαίνων λόγον. Ἀκατηγόρητον οὖν ἄρα παντελῶς καὶ λοιδορίας ἁπάσης ἔξω κείσεται τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ Μονογενοῦς τὸ Πνεῦμα αὐτοῦ. Προῖὸν γὰρ δι' αὐτοῦ φυσικῶς ὡς ἴδιον αὐτοῦ, μετὰ πάντων ὧν ἔχει τελείως λαμβάνειν λέγεται τὰ αὐτοῦ. »

Ὁ αὐτὸς εἰς τὸ, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι, καὶ διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι Ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν, » φησίν· « Ὥσπερ δ' ἂν φῶμεν τὴν ἐκ τῶν ἀρωμάτων ταῖς ἡμετέραις ὀσφρήσεσι προσβάλλουσαν εὐωδίαν ἑτέραν μὲν ὥσπερ πρὸς αὐτὰ, εἰ ταῖς ἐπινοίαις δοίη τις ἄν, προεκκύπτειν γε μὴν οὐχ ἑτέρως οἴοιτο τυχὸν ἢ τῶν ἐξ ὧνπερ ἐστὶ δεχομένην τὴν δύναμιν εἰς ἔνδειξιν ἑαυτῆς, οὐκ οὐσάν γε μὴν ἑτέραν διὰ τὸ ἐξ αὐτῶν τε καὶ ἐν αὐτοῖς πεφυκέναι· τοιοῦτόν τι, μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο νοήσεις ἐπί τε Θεοῦ καὶ ἁγίου Πνεύματος. Οἱονεὶ γὰρ ὁσμή τίς ἐστι τῆς οὐσίας αὐτοῦ ζῶσά τε καὶ ἐναργὴς διακομίζουσα τῇ κτίσει τὰ παρὰ τοῦ Θεοῦ καὶ τῆς

[66] Marc. I, 10. [67] Joan. I, 1. [68] Ibid. 3. [69] I Cor. XII, 11. [70] Joan. XVI, 14. [71] Ibid. 15.

Digitized by Google Распознавание текста АВК/FR

ὁ ωτάτω πασῶν οὐσίας ἐντιθεῖσα δι' ἑαυτῆς τὴν μέ- A propriam virtutem eorum vestibus relinquit, et quo tammodo in seipsum immutat ea, in quibus adhæserit : quomodo Spiritus sanctus, qui ex Deo naturaliter est, participes divinæ naturæ eos non efficiet per seipsum ad quos pervenerit? Fructus ergo et character hypostaseos Patris Filius cum sit, divina quæ illius sunt secundum naturam omnia attrahit; ideoque ait, « Quæcunque habet Pater mea sunt. Propterea dixi vobis, quia De me accipiet, et annuntiabit vobis, » Spiritus videlicet sanctus, qui per eum et in eo est, per quem in sanctis ut ipse inhabitat. Non enim aliud præter eum Spiritus ejus est, licet intelligatur per seipsum et proprio modo subsistere. Spiritus enim Spiritus est, et non Filius. »

B

Item in VII cum Hermias ad S. Cyrillum dixisset : « Itaque congruit Spiritum vitæ naturaliter vitam esse, et non per participationem, » Sanctus respondet : « Amice, etiam omnibus modis. Hoc autem sciveris bene et ex aliis sententiis. Deum enim dicentem audiet quis, et contra servientes idolis tantum non fugitivi crimen effundentem. « Obstupuit cœlum super hoc, et horruit plurimum, dicit Dominus, quia duo mala fecit populus meus, me dereliquerunt fontem aquæ vivæ, et effoderunt sibi cisternas contritas, quæ non poterunt aquam continere. » Inveniemus autem et Dominum nostrum Jesum Christum dixisse Judæis : « Si quis sitit veniat ad me, et bibat; qui credit in me, sicut dicit Scriptura, flumina de ventre ejus fluent aquæ vivæ[72]. » Id quod Joannes evangelista bene explanans ac manifestans, in naturam et efficaciam sancti Spiritus refert : « Hoc autem dixit de Spiritu, quem accepturi erant credentes in eum. »

C

Ὁ Ἑρμείας πρὸς τὸν Κύριλλον ἐν τῷ ἑβδόμῳ τοῦ διαλόγου φησίν· « Ἄραρεν οὖν ὅτι τὸ Πνεῦμα ζωὴ, φυσικῶς ὂηλονότι, καὶ οὐ μεθεκτῶς. » Ὁ Ἅγιος πρὸς τοῦτο· « Παντάπασιν οὖν, ὦ ἑταῖρε. Τοῦτο δὲ εἴση καλῶς καὶ ἐξ ἑτέρων ἐννοιῶν. Θεοῦ μὲν γὰρ λέγοντος ἀκούσεταί τις ἂν, καὶ μονονουχὶ λειποταξίου γραφὴν καταχέοντος τῶν τῇ κτίσει λατρευσάντων, « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος, ὅτι δύο κακὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. » Προσπεφωνηκότα δὲ τοῖς Ἰουδαίοις εὑρήσομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· « Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. » Ὃ δὴ καὶ διατρανῶν εὖ μάλα, καὶ σαφηνίζων ἐναργὲς ὁ θεσπέσιος καὶ Εὐαγγελιστὴς Ἰωάννης, εἰς τὴν τοῦ ἁγίου Πνεύματος φύσιν τε καὶ ἐνέργειαν ἀποφέρει, λέγων· « Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. »

Ὁ Χρυσόστομος ἐν τῷ λόγῳ τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος, οὗ ἡ ἀρχὴ, « Πάλιν ὑμῖν ἡ τοῦ χαρίτου Δαυὶδ πνευματικὴ κιθάρα, » φησίν· « Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον. »

Joannes Chrysostomus in oratione in mysterium baptismatis, quæ incipit : « Rursus vobis sancti Davidis spiritualis cithara, » inquit : « Propterea Salvator ostendit semetipsum fontem vitæ, et aquam viventem Spiritum sanctum. »

Ὁ μέγας Ἀθανάσιος, ἐν ᾗ ἐκτίθεται διαλέξει Ὀρθοδόξου καὶ Ἀνομοίου ὡς ἀπὸ τοῦ Ὀρθοδόξου φησίν· « Καὶ τὸ Πνεῦμα δὲ λέγω ἀγέννητον· οὐ γὰρ ἔχει γενεσιουργὸν, ἀλλὰ πηγὴν ἑαυτοῦ. Καθάπερ γὰρ ἡ πηγὴ οὐ γενεσιουργεῖ ἔξωθεν ὃ χορηγεῖ ὕδωρ, ἀλλ' ἐξ ἑαυτῆς πηγάζουσα ἔχει, οὕτω καὶ ὁ Θεὸς πηγὴ τοῦ Πνεύματός ἐστιν, ὡς εἴρηται, καὶ χορηγὸς αὐτοῦ, οὐκ ἔξωθεν αὐτὸ προσλαμβάνων, ἀλλ' ἐξ αὐτοῦ πηγάζων. Γέγραπται γὰρ, « Δύο κακὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. » Καὶ ὁ Ἀπόστολος λέγει· « Ὁ ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα, καὶ ἐνεργῶν ἐν ὑμῖν δυνάμεις. » Ὅτι δὲ τὸ ὕδωρ τὸ ζῶν ἐστι τὸ Πνεῦμα, ὁ Χριστὸς ἐδίδαξε λέγων· « Ὁ

Magnus Athanasius in colloquio Anomœi et Orthodoxi ex persona Orthodoxi inquit : « Et Spiritum dico ingenitum, sed non habet effectorem, sed ut sui fontem. Quemadmodum enim fons eam quam emittit aquam extra se non efficit, sed quam intus habet, ex sese sinit scaturire, sic etiam Deus, ut ante dictum fuit, fons est Spiritus sancti, et auctor ejusdem, non extrinsecus eum recipiens, sed ex seipso sinens scaturire. Scriptum est enim : « Duo mala fecit populus meus : me dereliquerunt fontem aquæ vivæ, et effoderunt sibi cisternas fatiscentes, quæ aquas continere non poterunt[73], » et Apostolus dicit : « Qui largitur nobis Spiritum et efficit nobis virtutes[74]. » Quod autem aqua illa viva sit Spiritus ille sanctus, Christus docuit in

[72] Joan. VII, 37, 38. [73] Jerem. II, 13. [74] Gal. III, 5.

Digitized by Google Распознавание текста АВК/FR

quiens, « Qui bibit de aqua, quam ego dabo ipsi [75], ut dixit Scriptura, flumina aquæ vivæ ex ventre ipsius effluent[76]. » Atque hic magnus Athanasius fontem Patrem nuncupavit, Spiritum vero aquam. Dum vero ex Scriptura testimonia digerit, quibus naturæ communio astruitur, quod similiter se habeant Pater et Filius, et Spiritus sanctus, Christum fontem Spiritus, et sanctum Spiritum aquam appellat; namque rursus Salvator ait, « Qui credit in me [77], ut Scriptura ait, ex ventre ipsius fontes aquæ vivæ effluent. » Et cum Evangelista explanat, quid sit illud aquæ vivæ, dixit : « Hoc autem dicebat de Spiritu, quem erant suscepturi credentes in eum [78]. » Ait namque propheta : « Me dereliquerunt fontem aquæ vivæ, et effoderunt sibi cisternas fatiscentes, quæ aquas continere non poterunt. »

Idem magnus Athanasius oratione de Incarnatione Domini, quæ incipit : « Qui malitiose divinas Scripturas intelligi volunt, » inquit : « Scit etenim apud Deum Patrem esse Filium fontem Spiritus sancti. »

πίνων ἐξ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. » Καὶ ἐνταῦθα ὁ μέγας Ἀθανάσιος πηγὴν τὸν Πατέρα εἴρηκε, τὸ δὲ Πνεῦμα ὕδωρ. Ἐν οἷς δὲ ἀπαριθμεῖται τὰς ἐκ τῆς Γραφῆς μαρτυρίας τῆς κατὰ τὴν φύσιν κοινωνίας, ἐκ τοῦ ὁμοίως εἶναι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, τὸν Χριστὸν πηγὴν τοῦ Πνεύματος, καὶ ὕδωρ τὸ ἅγιον ὀνομάζει Πνεῦμα. Λέγει γὰρ πάλιν ὁ Σωτήρ, « Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. » Ἑρμηνεύων δὲ ὁ Εὐαγγελιστὴς, τί ἐστιν, ὕδατος ζῶντος, ἔφη· « Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Λέγει γὰρ ὁ προφήτης· « Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. »

Ὁ αὐτὸς μέγας Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου οἰκονομίας λόγῳ, οὗ ἡ ἀρχὴ, « Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, » φησίν· « Οἶδε γὰρ παρὰ Θεῷ Πατρὶ ὄντα τὸν Υἱὸν τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος. »

EPIGRAPHE X.

Hæ scriptioni demandatæ auctoritates, in quibus Patres theologi stabiliunt, quæcunque Patris propria sunt, naturaliter pertransire in Filium ab eodem genitum, digestæ hoc in loco sunt ad astruendum, esse, et progredi, et effluere Spiritum ex Filio, quemadmodum et ex Patre, sancto Cyrillo decernente. Namque si paternitatem tantum et gignere demunt a Filio afferendorum testimoniorum determinationes, manifestum remanet, ex Filio Filium nunquam futurum; Spiritus vero ex paterna essentia scaturiens, ex non generante Filii substantia scaturiet, et effundetur.

Sanctus Cyrillus in uno ex capitibus primi Thesaurorum scribit : « Cum vero videatur omnia accipere naturaliter et substantialiter, recurrens in ipsum imperio Patris et dominatione, solus est proprius Patris Filius. » Item in alio : « Quomodo ex creaturis una esset, qui divinæ ac primæ essentiæ in semetipso naturaliter universa Patris propria et singularia possidet? » Et in alio : « Quemadmodum planta fructui ex se promananti, sibi secundum naturam qualitatem inhærentem communicat, ita et Filius a Patre, quæ Patri ineranat accepisse intelligitur, cum sit omnia quæ et Pater, si Patrem esse solum excipias. »

ΕΠΙΓΡΑΦΗ Ι'.

Αἱ παροῦσαι γραφικαὶ χρήσεις, ἐν αἷς οἱ Πατέρες θεολόγησαν, πάντα τὰ τοῦ Πατρὸς ἴδια φυσικῶς διαβαίνειν ἐπὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱὸν, κατεστρώθησαν ἐνταῦθα εἰς ἀπόδειξιν τοῦ ὑπάρχειν, καὶ προϊέναι, καὶ πηγάζειν τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, καθάπερ ἀμέλει τοι καὶ ἐκ τοῦ Πατρὸς, κατὰ τὸν ἅγιον Κύριλλον. Εἰ γὰρ τὴν πατρότητα καὶ τὸ γεννᾶν μόνον ἀφαιροῦνται ἀπὸ τοῦ Υἱοῦ οἱ τῶν ῥηθησομένων χρήσεων προσδιορισμοὶ, εὔδηλον ὡς Υἱὸς μὲν ἐκ τοῦ Υἱοῦ οὐκ ἔσται, Πνεῦμα δὲ τὸ ἐκ τῆς πατρικῆς ἀναβλύζον οὐσίας καὶ ἐκ τῆς μὴ γεννώσης τοῦ Υἱοῦ οὐσίας ἀναβλύζον ἔσται καὶ προχεόμενον.

Ὁ ἅγιος Κύριλλος ἔν τινι τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν φησιν· « Ἐπειδὴ δὲ φαίνεται πάντα λαβὼν φυσικῶς τε καὶ οὐσιωδῶς, δηλονότι διατρεχούσης εἰς αὐτὸν τῆς τοῦ γεννήσαντος ἀρχῆς τε καὶ κυριότητος, μόνος ἐστὶν ἴδιος τοῦ Πατρὸς ὁ Υἱός. » Καὶ πάλιν ἐν ἄλλῳ· « Πῶς ἂν εἴη τῶν γενητῶν ὁ τῆς θείας τε καὶ πρώτης οὐσίας ἔχων ἐν ἑαυτῷ φυσικῶς τὰ τοῦ Πατρὸς ἴδια καὶ ἐξαίρετα; » Καὶ πάλιν ἐν ἄλλῳ· « Πῶς οὐκ ἔσται Υἱὸς ζῶν ἐκ ζῶντος Πατρὸς, διαβαινούσης εἰς αὐτὸν φυσικῶς τῆς τοῦ γεννήσαντος ἰδιότητος; » Καὶ πάλιν ἐν ἄλλῳ· « Ὥσπερ δίδωσι τὸ φυτὸν τῷ ἐξ αὐτοῦ προελθόντι καρπῷ τὴν αὐτῷ κατὰ φύσιν προσοῦσαν ποιότητα προσόντα νοεῖται, πάντα ὧν ὅσα καὶ ὁ Πατὴρ ἔχει, μόνου τοῦ εἶναι Πατέρα. »

Idem libro VI ad Hermiam ait : « Spiritus quidem effunditur veluti ex fonte Patre; nec est alienus a Filio : namque hic genitus est, omnem Patris proprietatem in semetipso continens. Et cum supremæ Deitatis fructus sit, quomodo comprehendi poterit, deitatis bonis spoliatus? proprium vero deitatis

Ὁ αὐτὸς ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν φησίν· « Τὸ Πνεῦμα προχεῖται μὲν οἱάπερ ἀπὸ πηγῆς τοῦ Πατρὸς, ἔστι γε μὴν οὐκ ἀλλότριον τοῦ Υἱοῦ. Γεγέννηται γὰρ, τὴν τοῦ Πατρὸς ἰδιότητα πᾶσαν ἔχων ἐν ἑαυτῷ. Καὶ ἐπείπερ ἐστὶ τῆς ἀνωτάτω θεότητος ὁ καρπὸς, πῶς ἂν νοοῖτο γυμνὸς τῶν τῆς θεότητος

[75] Joan. IV, 13. [76] Joan. VII, 38. [77] Joan. VI, 47. [78] ibid. 39.

Digitized by Google Распознавание текста ABK/FR

ἁγιῶν, ἴδιον δὲ θεότητος ὁ ἁγιασμός, οὗ τὸ Πνεῦμα δεικτικόν· ἅγιον γὰρ κατὰ φύσιν, καὶ τῆς ὅλης κτίσεως ἁγιαστικόν. » A

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν· » — « Ἔχει γὰρ ὁ Υἱὸς ἐκ Πατρός, ὥσπερ τὴν οὐσίαν, οὕτω καὶ τὰ τῆς οὐσίας ἀγαθά. »

Ὁ αὐτὸς ἐν τῷ β' τῶν πρὸς Ἑρμείαν φησίν· « Συναΐδιον πιστεύομεν τὸν Υἱὸν τῷ Πατρὶ, καὶ πᾶν ἐκεῖνον ἰσόμετρον ἔχοντα, δίχα μόνου τοῦ τεκεῖν· προσήκει γὰρ ἂν τοῦτο μόνῳ τῷ Θεῷ καὶ Πατρί. »

Ὁ αὐτὸς ἐν τῷ περὶ Τριάδος λόγῳ· « Ἐν Υἱῷ μονογενεῖ κατὰ πάντα ὁμοίῳ καὶ ἴσῳ Πατρὶ χωρὶς τῆς πατρότητος. »

Ὁ αὐτός· « Πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνός ἐστιν ὁ Υἱὸς, ἄνευ τοῦ Πατὴρ εἶναι. » B

Ὁ αὐτὸς, ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ, « Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, » φησίν· « Θεὸν ἀληθινὸν ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ πεφηνότα δεικνύων ἑαυτὸν ὁ Μονογενὴς, « Πάντα » φησὶν, « ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστιν. » Ἀλλὰ καὶ πάντων ἐστὶ τῶν ἐνόντων τῷ Πατρὶ — τῶν ἰδιωμάτων κληρονόμος ὁ Υἱὸς, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων. Ἀλλά γε τὸ εἶναι Πατὴρ οὐχ ἕξει ποτέ. Καὶ τοῦτο γὰρ ἐν τῶν προσόντων τῷ γεννήτορι. Μενεῖ δὲ ὁ Υἱὸς, οὐδενὸς ἀποστερούμενος τῶν ἐνόντων τῷ Πατρὶ, κἂν μὴ νοεῖται Πατὴρ, πάντα δὲ ἔχων ἐν ἑαυτῷ τελείως τὰ τῆς τοῦ Πατρὸς οὐσίας ἴδια καὶ ἐξαίρετα. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Ὅσοι δὲ ἔλαβον αὐτὸν, » φησίν· « Ἐξ αὐτῆς τῆς οὐσίας ἀναλάμψας τοῦ Πατρὸς, τὸ ἴδιον αὐτῆς ἀγαθὸν κατὰ φύσιν ἐπάγεται. » C

Ὁ αὐτὸς ἐν τῷ γ' τῶν πρὸς Ἑρμείαν· « Συνωθεῖ δὲ μᾶλλον εἰς ὁμολογίαν ὁ λόγος τοῦ χρῆναι νοεῖν ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας διὰ τῆς ἀληθοῦς γεννήσεως ἀναφῦναι τὸν Υἱὸν, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, οὐκ εἰς ὀθνείαν τινὰ καὶ ἐκφυλον πεφυκότα φύσιν, ἀλλ' ὄντα τοῦτο οὐσιωδῶς ὅπερ ἂν εἶναι νοοῖτο καὶ ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ. »

Ὁ μέγας Βασίλειος ἐν τῷ περὶ Πίστεως λόγῳ, οὗ ἡ ἀρχὴ· « Θεοῦ μεμνῆσθαι μὲν διηνεκῶς εὐσεβές, » φησίν· « Ἐλεασάμεθα γὰρ, φησὶν ὁ Εὐαγγελιστὴς, τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, » τουτέστιν οὐκ ἐκ δωρεᾶς καὶ χάριτος δοθέντων αὐτῷ τῶν θαυμάτων, ἀλλ' ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ Υἱοῦ τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα. Τὸ μὲν γὰρ λαβεῖν, κοινόν καὶ πρὸς τὴν κτίσιν· τὸ δὲ ἔχειν, ἐκ φύσεως ἴδιον τοῦ γεννηθέντος. Ὡς μὲν οὖν Υἱὸς, φυσικῶς κέκτηται τὰ τοῦ Πατρὸς, ὡς δὲ Μονογενὴς, ὅλα ἔχει ἐν ἑαυτῷ συλλαβὼν, οὐδενὸς καταμεριζομένου πρὸς ἕτερον. » D

ΕΠΙΓΡΑΦΗ ΙΑ'.

Αἱ παροῦσαι γραφικαὶ χρήσεις ἐνταυθοῖ κατεστρώθησαν, ἐν αἷς οἱ Πατέρες ἐθεολόγησαν ἴδιον τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ

sanctificatio, quam Spiritus ostendit : namque sanctus est secundum naturam, et omnem creaturam sanctificat. »

Idem in dictum, « Non potest Filius facere ex seipso quidquam [79] : » — « Habet enim Filius ex Patre uti substantiam, ita et substantiæ bona. »

Idem lib. II ad Hermiam, ait : « Coæternum Patri Filium credimus et omnia eadem mensura possidentem, solum si generare excipias. Hoc etenim uni soliique Deo et Patri congruit. »

Idem oratione de Trinitate. « In Filio unigenito secundum omnia simili et Patri æquali absque una paternitate. »

Idem ; « Omnium naturalium bonorum Patris particeps est Filius, tantummodo Pater non est. »

Idem : expositione in Joannem, in illud : « Hoc erat in principio apud Deum [80], » ait, « Sese vero Deum verum ex Deo vero Patre apparuisse demonstrans Unigenitus, « Omnia, ait, quæcunque habet Pater, mea sunt [81]. » Sed et omnium, quæ Patri insunt naturaliter, proprietatum Filius est hæres tanquam qui ex illo secundum naturam exsistit. Verumtamen Patrem esse nullo unquam tempore possidebit. Hoc siquidem est unum, quod inest genitori. Manebit porro Filius nullo ex illis, quæ Patri inhærent, privatus, licet non intelligatur Pater esse, omnia in semetipso habens perfecte, quæ Patris essentiæ propria ac singularia sunt. »

Idem in dictum, « Quicunque receperunt eum [82] : » « Cum ex ipsa Patris essentia Filius eluxerit, proprium illius bonum secundum naturam contraxit. »

Idem libro III ad Hermiam : « Impellit vero potius oratio ad plane confitendum, prorsus necessario intelligendum esse, ex Dei Patris essentia per veram generationem ortum fuisse Filium Deum verum ex Deo vero, non in spuriam et peregrinam naturam deductum, sed vere exsistentem essentialiter id, quod et Pater intelligitur esse absque eo solo, quod Pater non est. »

Magnus Basilius oratione de Fide, quæ incipit, « Dei mentionem facere perpetuo pium est, » dicit : « Vidimus, inquit Evangelium, gloriam ejus, gloriam quasi Unigeniti a Patre [83]. » Hoc est, non ex munere aut ex gratia hæc ei miranda data sunt, sed ex naturali communitate Filio patriæ divinitatis dignitatem obtinente. Accipere namque commune quoddam cum creatione est : habere autem ex natura proprium geniti : ut ergo Filius naturaliter ea quæ sunt Patris possidet : ut autem Unigenitus omnia in seipso comprehendit, cum nihil cum altero dividat. »

EPIGRAPHE XI.

Digestæ hic scriptioni traditæ auctoritates, in quibus Patres de rebus divinis agentes determinant, proprium Patris Filium esse, quandoquidem illa

[79] Joan. v, 19. [80] Joan. I, 2 [81] Joan. XVI, 15. [82] ibid. 12. [83] ibid. 14.

Digitized by Google Распознавание текста ABK/FR

est ex ejus essentia, et ex eo est, tanquam qui A proprius est illius essentiæ, poterunt cuilibet, dummodo illi rem dignoscendi animus est, suadere, Spiritum sanctum propterea proprium esse Filii dici, quod ex ejus substantia est : necnon propterea ex substantia Filii esse eum dici, quod ejusmodi substantiæ proprium bonum est, quod palam ostendit et Spiritus erga Filium consubstantialitatem. Namque si alio quopiam consubstantialitatis modo, qui de duobus, qui ejusdem substantiæ fuerint, in quibus unum ex alio non est, esset Spiritus proprius Filii, et ex substantia Filii, et Filius proprius Spiritus, et ex substantia Spiritus, quod similis consubstantialitas inter se convertitur, quod a nullo unquam sancto Patre pronuntiatum est, neque unquam ab iis, qui pietatem colere amant et B recta Ecclesiæ dogmata sectari sibi proponunt, pronuntiabitur. Et plane similis consubstantialitas proprie non est, sed quæ alium alio conjungit uti per ipsum aut ex ipso naturaliter, et substantialiter existens. Idque suo testimonio comprobabit magnus Basilius, quod hic apponitur, et palam indicat, ea quæ fraterno vinculo colligantur consubstantialia non dici. Adnectuntur porro hisce auctoritatibus et aliæ quæ asserunt, ideo Filium esse consubstantialem Patri, quia ex ejus essentia est, ut inde quilibet, si modo vult, dignoscere possit, Spiritum propterea esse consubstantialem Filio, quod ex illius essentia est. Adhuc etiam illis aliæ adnectuntur auctoritates, quæ astruunt Spiritus erga Patrem et Filium consubstantialitatem, quod ex Patre per Filium ille est.

Sanctus Cyrillus oratione ad Nestorium quæ incipit : « Nugantur quidam, sicuti cognovi, contra existimationem meam, » inquit : « Quemadmodum proprium est hominis, imo et animalis cujuscunque quod ex ipso secundum naturam prognatum est ; ita et proprium Dei quod ex essentia illius ortum habet, et intelligetur, et dicetur. »

Magnus Athanasius oratione prima contra Arianos, cujus principium est : « Cæteras quidem hæreses transfugas veritatis, et insana dogmata sibi comminiscentes, » habet : « Cum autem Verbum natura proprium sit essentiæ Dei, ex illo et in ipso est. »

Idem in eadem oratione ait : « Filius verus natura germanus est Patris, essentiæ illius proprius : hic creatura non est, neque factura, sed proprius paternæ essentiæ fetus et virtus, et paternæ essentiæ imago vera. » Rursusque in eadem oratione : « Proprius Patris est Filius in sinu illius exsistens. » Et rursus : « Manifestum autem fuerit, cum creator Deus sit, habere et creatorem Verbum non extrinsecum, sed proprium sui ipsius. » Et post multa in eadem oratione : « Non igitur creatura est Verbum, sed solus proprius Patris. » Et paucis interjectis in eadem oratione : « Cum non sit creatura, sed proprius essentiæ, quem colimus, Dei fetus et natura Filius est, propterea quæ adoratur, et Deus

ὄντα, καὶ πάλιν ἐξ αὐτοῦ εἶναι ὡς ἴδιον ὄντα τῆς οὐσίας αὐτοῦ, ἴν' εἴη τῷ βουλομένῳ ἐντεῦθεν διαγινώσκειν ὡς καὶ τὸ Πνεῦμα διὰ τοῦτο ἴδιον τοῦ Υἱοῦ λέγεται εἶναι, διὰ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι, καὶ αὖ διὰ τοῦτο ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγεται εἶναι, διὰ τὸ τῆς τοιαύτης οὐσίας ἴδιον ἀγαθὸν εἶναι αὐτῇ, ὅπερ ἐμφαίνει καὶ τὴν πρὸς τὸν Υἱὸν τοῦ Πνεύματος ὁμοουσιότητα. Εἰ γὰρ κατὰ ἄλλον τινὰ λόγον ὁμοουσιότητος, ὁποῖός ἐστιν ὁ περὶ δύο τινῶν ὁμοουσίων λεγόμενος, ἐν οἷς οὐκ ἔστι διὰ τοῦ ἑτέρου τὸ ἕτερον, ἦν τὸ Πνεῦμα ἴδιον τοῦ Υἱοῦ, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, ἦν ἂν καὶ ὁ Υἱὸς ἴδιος τοῦ Πνεύματος, καὶ ἐκ τῆς οὐσίας τοῦ Πνεύματος, διὰ τὸ ἀντιστρέφον τῆς τοιαύτης ὁμοουσιότητος, ὅπερ οὔτε εὑρέθη παρά τινος τῶν ἁγίων, οὔτε ῥηθήσεταί ποτε παρὰ τούτων εὐσεβεῖν καὶ ὀρθοδοξεῖν αἱρουμένων. Ἡ δὲ τοιαύτη ὁμοουσιότης οὐδὲ κυρίως ὁμοουσιότης ἐστίν, ἀλλ' ἡ συνάπτουσα τὸ ἕτερον τῷ ἑτέρῳ, ὡς ἐξ αὐτοῦ ἢ ἐξ αὐτοῦ ὑπάρχον φυσικῶς τε καὶ οὐσιωδῶς. Καὶ μαρτυρήσει τοῦτο ἡ ἐνταῦθα κατεστρωμένη τοῦ μεγάλου Βασιλείου χρῆσις, ἡ προδήλως λέγουσα μὴ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεσθαι. Προστίθενται δὲ ταῖς τοιαύταις χρήσεσι καὶ ἕτεραι χρήσεις αἱ δηλοῦσαι διὰ τοῦτο εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρί, διὰ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι, ἴν' εἴη τῷ βουλομένῳ ἐντεῦθεν διαγινώσκειν, ὡς καὶ τὸ Πνεῦμα διὰ τοῦτό ἐστι τῷ Υἱῷ ὁμοούσιον ὅτι ἐκ τῆς αὐτοῦ οὐσίας ἐστίν. Ἔτι δὲ προσπενείρονται ταῦται καὶ ἕτεραι χρήσεις. αἱ δηλοῦσαι τὸ τοῦ Πνεύματος πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοούσιον, διὰ τὸ ἐν Πατρὸς δι' Υἱοῦ εἶναι αὐτό.

Ὁ ἅγιος Κύριλλος ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχή, « Καταφλυαροῦσί τινες, ὡς ἔγνων, κατὰ τῆς ἐμῆς ὑπολήψεως, » φησίν · « Ὥσπερ γὰρ ἴδιον ἀνθρώπου, καὶ μὴν καὶ ἑκάστου τῶν ἑτέρων ζώων τὸ ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον, οὕτως ἴδιον Θεοῦ, τὸ ἐκ τῆς οὐσίας αὐτοῦ νοοῖτ' ἂν εἶναι καὶ λέγοιτο. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχή, « Αἱ μὲν αἱρέσεις ὅσαι τῆς ἀληθείας ἐπινοήσασαι μανίαν ἑαυταῖς φυνερὰ τυγχάνουσι, » φησίν · « Ἐπειδὴ γὰρ Λόγος ἐστὶν ἴδιος φύσει τῆς οὐσίας τοῦ Θεοῦ, ἐξ αὐτοῦ τέ ἐστι καὶ ἐν αὐτῷ. »

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ φησίν · « Υἱὸς ἀληθινὸς φύσει γνήσιός ἐστι τοῦ Πατρὸς, ἴδιος τῆς οὐσίας αὐτοῦ · οὗτος οὐκ ἔστι κτίσμα οὔτε ποίημα, ἀλλ' ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας γέννημα καὶ δύναμις καὶ εἰκὼν ἀληθινὴ τῆς τοῦ Πατρὸς οὐσίας. » Καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ · « Ἴδιος τοῦ Πατρὸς ὁ Υἱὸς ἐν τοῖς κόλποις αὐτοῦ ὤν. » Καὶ πάλιν · « Δῆλον ἂν εἴη ὅτι ποιητὴς ὢν ὁ Θεὸς ἔχει καὶ τὸν δημιουργὸν Λόγον οὐκ ἔξωθεν, ἀλλ' ἴδιον αὐτοῦ. » Καὶ μετὰ πολλὰ ἐν τῷ αὐτῷ · « Οὐκ ἄρα κτίσμα ἐστὶν ὁ Λόγος, ἀλλὰ μόνος ἴδιος τοῦ Πατρός. » Καὶ μετ' ὀλίγα ἐν τῷ αὐτῷ · « Ἐπειδὴ οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιον τῆς οὐσίας τοῦ προσκυνουμένου Θεοῦ γέννημα καὶ φύσει ὁ Υἱός ἐστι, διὰ τοῦτο προσκυνεῖται καὶ ὁ Θεὸς

Digitized by Google Распознавание текста ABK/FR

πιστεύεται. » Καὶ μετ' ὀλίγα· « Οὐ ξένος, ἀλλὰ τῆς τοῦ Πατρὸς οὐσίας ἐστὶν ἴδιος. » Καὶ μετ' ὀλίγα· « Ὁρῶμεν γὰρ τὸν Λόγον ὀεὶ ὄντα καὶ ἐξ αὐτοῦ ὄντα καὶ τῆς οὐσίας ἴδιον, οὗ καὶ ἔστιν ὁ Λόγος. » Καὶ μετ' ὀλίγα· « Ὥσπερ ὁ ἡμέτερος λόγος ἐστὶν ἐξ αὐτοῦ, καὶ οὐκ ἔστι ποίημα, οὐδὲ ὡς ὁ τῶν ἀνθρώπων λόγος. » Καὶ μετ' ὀλίγα· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν, εἰς τὸν Πατέρα πιστεύει. Εἰς γὰρ τὸ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας πιστεύει. » Καὶ μετ' ὀλίγα· « Εἰ γὰρ μὴ ἦν ἴδιον τοῦ Πατρὸς οὐσίας γέννημα ὁ Λόγος, ὡς τὸ ἀπαύγασμα τοῦ φωτὸς, ἀλλὰ διειστήκει τῇ φύσει ὁ Υἱὸς τοῦ Πατρὸς, ἤρκει τὸν Πατέρα δοῦναι μόνον. »

Ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὰς κανονικὰς Ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ τὰς ἀκοὰς ὑμῶν περιηχήσασα, » φησίν· « Ἐπεὶ οὖν ἐστι ἄναρχον φῶς ὁ Πατὴρ, γεννητὸν δὲ φῶς ὁ Υἱὸς, φῶς δὲ καὶ φῶς ἑκάτερον, ὁμοούσιον εἶποιεν ἂν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. Οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλ' ὅταν καὶ τὸ αἴτιον καὶ τὸ ἐκ τοῦ αἰτίου τὴν ὕπαρξιν ἔχον τῆς ταὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται. »

Ὁ αὐτὸς ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ, « Μάχεται Ἰουδαϊσμὸς Ἑλληνισμῷ, » φησίν· « Οὐ γὰρ ἀδελφὰ λέγομεν τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἀλλὰ Πατέρα καὶ Υἱὸν ὁμολογοῦμεν· τὸ δὲ τῆς οὐσίας ταὐτόν. Ἐπειδὴ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, οὐ προστάγματι ποιηθεὶς, ἀλλ' ἐκ τῆς φύσεως γεννηθείς. »

Ὁ ἅγιος Κύριλλος εἰς τὸ ῥητὸν τὸ, « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος· » — « Οὐκοῦν τὸ εἰπεῖν ὅτι οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἐδίδαξεν οὐχ ὁ Μονογενὴς τῷ κόσμῳ, ἀλλὰ τῆς θείας ὑπάρχον οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον. »

Ὁ αὐτὸς εἰς τὸ ῥητὸν τὸ, « Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, » φησίν· « Τὸ γὰρ ἐκ Πατρὸς γεγεννῆσθαι τὸν Υἱὸν ἀναγκάσει δὴ πάντως, καὶ οὐχ ἑκόντας ἡμᾶς ἀποδοῦναι τὸ ὁμοούσιον αὐτῷ. »

Ὁ αὐτὸς ἐν τῷ α' τῶν πρὸς Ἑρμείαν φησίν· « Ὁμοούσιος γὰρ εἴπερ ἐστὶν ἀληθῶς ὁ Υἱὸς τῷ Πατρὶ, ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν καὶ οὐσιωδῶς ἐστιν. »

Ὁ αὐτὸς ἐν τῷ γ' τῶν πρὸς Ἑρμείαν· « Τὸ ἀπείργον οὖν ἄρα παντελῶς οὐδὲν οἰεσθαί σε καὶ φρονεῖν ἀληθῶς, ὡς ἐπείπερ ἡμῖν ἐξ αὐτῆς ἀνέφυ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, οὐχ ἕτερος ἂν νοοῖτο παρ' αὐτὸν ὑπάρχειν, ὅσον εἰς ταυτότητα φυσικήν. »

Ὁ ἅγιος Μάξιμος ἐν οἷς ἑρμηνεύει, « Τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία καὶ τὸ ἐπ' αὐτῇ λαμπάδιον, καὶ οἱ λύχνοι, » φησίν· « Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, οὐσιωδῶς

creditur. » Et post pauca: « Non amenus, sed paternæ essentiæ est proprius. » Et paucis annexis: « Videmus enim Verbum semper exsistens, et ex eodem et proprium essentiæ, cujus Verbum est. » Et post pauca: « Quemadmodum noster sermo proprius est ex ipso, et non est creatura, neque quemadmodum hominum sermo. » Et paucis additis: « Qui credit in Filium, in Patrem credit, in illum enim, qui essentiæ paternæ proprius est credit. » Et paucis interjectis: « Nisi enim esset proprium paternæ essentiæ Tetus Verbum, ut irradiatio luminis, sed natura differret Filius a Patre, satis esset Patrem tantumdem concedere. »

Magnus Basilius epistola ad canonicas, quæ incipit: « Quantum nos tristis rumor, aures nostras circumsonans, » inquit: « Quandoquidem est ergo Pater lumen sine principio: lumen vero genitum Filius, lumen et lumen alterutrum, homousion dixerunt non incongrue, ut naturæ æqualem dignitatem demonstrarent. Non enim quæ ad invicem sunt cognata, sunt ad invicem homousia, id quod non nemo existimavit, sed tum cum et causa et causatum ejusdem per omnia naturæ participant, dicuntur esse homousia. »

Idem in oratione cujus illud est principium: « Adversatur Judaismus gentilitati: »— « Neque enim cognata dicimus Patrem et Filium. Sed Patrem et Filium confitemur, et naturam eamdem. Cum sit ex Patre Filius, non jussu factus, sed ex natura progenitus. »

Sanctus Cyrillus in dictum: « Cum venerit Paracletus [84], » scribit: « Igitur dicere, Non spiritum mundi accepimus, sed Spiritum, qui ex Deo est, edocuit non Unigenitus mundum, sed ex divina essentia exsistens Spiritus sanctus. »

Idem in dictum: « Quia descendi de cœlo, non ut faciam voluntatem meam [85], » inquit: « Namque ex Patre genitum fuisse Filium, modis omnibus nos etiam invitos compellet, ut illi consubstantialitatem concedamus. »

Idem libro I ad Hermiam, ait: « Consubstantialis enim si vere est Filius Patri, ex ipso et in ipso naturaliter et consubstantialiter est. »

Idem libro III ad Hermiam: « Nihil itaque impedit, quin existimemus, vereque sentiamus, cum nobis ex ipsa Dei et Patris essentia Filius ortum habuit, non diversum atque alienum eumdem concipi, quantum attinet ad identitatem naturalem. »

Sanctus Maximus in expositione: « Quomodo intelligi debeat apud Zachariam candelabrum aureum, et parva lampas, et lucernæ, » habet: « Spiritus enim sanctus sicuti natura secundum essentiam est Dei et Patris, ita et Filii secundum essentiam est,

[84] Joan. xv, 26. [85] Ibid. vi, 38.

Digitized by Google Распознавание текста ABK/FR

tanquam qui ex Patre essentialiter per Filium genitum modo, qui exprimi verbis non potest, ineffabiliter procedens. »

Sanctus Cyrillus libro II ad Hermiam : « Sanctum vero Spiritum nuncupabis eum, qui ex Deo Patre per Filium naturaliter effunditur, ut exempli gratia oris respiratio, propriam nobis exsistentiam denotat. Et hac ratione claram et inconfusam trium hypostaseon in suis exsistentiis proprietatem conservans, unam et consubstantialem omnium regiam naturam adorabis. »

Idem in libro VI ad Hermiam, uti Hermiam interrogans digerensque orationem ait : « Cujus proprium dixerimus esse Spiritum sanctum? solinsne Dei et Patris, aut etiam Filii, vel separatim utriusque et amborum, veluti unum ex Patre per Filium propter essentiæ identitatem? » Tum Hermias : « Ita ego dixerim. » Et Sanctus : « Recte quidem, o amice, et te propter acumen admiror et divinitus inspiratis Scripturis de hac re sententiam admodum consonam asseruerim. »

EPIGRAPHE XII.

Cum nonnulli audientes Spiritum ex essentia Filii esse, contendant aliud esse ex essentia, et aliud ex hypostasi, cum non possint intelligere Filii appellationem nomen esse hypostaticum, et dicentem ex essentia Filii, totum innuere Filium, essentiam nempe in sua hypostasi, ad clarissimam absurdæ hujusce opinionis refutationem recollecta sunt hæc scripto mandata testimonia, quæ palam indicant ex essentia Patris Filium generari. Cum enim in confesso sit unam esse ex Patre Filii generationem, quod discrimen esse poterit inter illud, ex essentia, et illud, ex hypostasi? Nisi quis aperte in Deum injurius velit asserere aliam ex Patris essentia generationem Filii, et aliam ex hypostasi. His præterea adnectuntur ad eamdem sententiam confirmandam, et alia testimonia astruentia perfectam essentiam, et perfectum Deum Patrem dici, et perfectam essentiam Filium, et perfectam essentiam Spiritum sanctum.

Magnus Athanasius in disputatione de Nicæno concilio contra Arium, cujus principium est : « Dei providentia abibam comitatus clarissimis meis fratribus ad desideratos mihi Christi amicos, » habet : « Itaque Deus dicens ad proprium Filium per prophetam, « Ex utero ante Luciferum genui te [66], » ex paterna essentia generationem Fili notat. » Et paucis interjectis : « Nulla alia de causa uterum nominat, nisi ut ostendat ipsum Filium ex Patris essentia genitum fuisse. » Et post pauca : « Cum igitur Scriptura dicit, ex utero generatum fuisse Filium, ex divina hypostasi Filii proprietatem denotat. » Itemque : « Filium ex essentia Dei et Patris generatum accepimus. »

[66] Psal. CIX, 3.

δι' Υἱοῦ γεννηθέντος ἀῤῥάστως ἐκπορευόμενον. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ β' τῶν πρὸς Ἑρμείαν· « Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ τοῦ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν κατασημαίνον ὕπαρξιν. Οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων ἐν ὑπάρξεσιν ἰδιοκὶς ἰδιότητα τηρῶν, μίαν τε καὶ ὁμοούσιον τὴν ἁπάντων βασιλίδα προσκυνήσεις φύσιν. »

Ὁ αὐτὸς ἐν τῷ ς' τῶν πρὸς Ἑρμείαν, ὡς ἐν ἐρωτήσει προάγων τὸν λόγον πρὸς τὸν Ἑρμείαν, φησίν· « Τίνος ἴδιον φῶμεν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον; πότερα δὴ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ γοῦν καὶ τοῦ Υἱοῦ, ἢ καὶ ἀναμέρος ἑκατέρου, καὶ ἀμφοῖν, ὡς ἐν ἐκ Πατρὸς δι' Υἱοῦ διὰ τὴν ταυτότητα τῆς οὐσίας; » Εἶτα ὁ Ἑρμείας· « Οὕτως ἐγωγέ φημι. » Πάλιν ὁ Ἅγιος· « Ὀρθῶς, ὦ ἑταῖρε, καί σε τῆς ἀγχινοίας ἄγαμαι καὶ ταῖς θεοπνεύστοις Γραφαῖς εὖ μάλα συμβαίνουσαν τὴν ἐπὶ τῷδε δόξαν εἰρῆσθαί φημι. »

ΕΠΙΓΡΑΦΗ ΙΒ'.

Ἐπειδὴ ἀκούοντές τινες τὸ Πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, λέγουσιν ἄλλο εἶναι τὸ ἐκ τῆς οὐσίας καὶ ἄλλο τὸ ἐκ τῆς ὑποστάσεως, μὴ δυνάμενοι συνιδεῖν, ὡς τὸ Υἱὸς ὄνομα ὑποστατικόν ἐστιν ὄνομα, καὶ ὁ λέγων ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὅλον δηλοῖ τὸν Υἱὸν, οὐσίαν δηλαδὴ ἐνυπόστατον, εἰς λαμπρὸν ἔλεγχον τῆς ἀτόπου αὐτῶν ἐπινοίας, συνελέγησαν αἱ παροῦσαι γραφικαὶ χρήσεις αἱ δηλοῦσαι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, τὸν Υἱὸν γεννᾶσθαι. Ὁμολογημένου γὰρ μίαν εἶναι τὴν ἐκ Πατρὸς γέννησιν τοῦ Υἱοῦ, τίς ἔστι διαφέρειν τὸ ἐκ τῆς οὐσίας καὶ τὸ ἐκ τῆς ὑποστάσεως, εἰ μή τις βλασφημῶν προδήλως ἐθέλει λέγειν ἄλλην μὲν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γέννησιν τοῦ Υἱοῦ, ἄλλην δὲ ἐκ τῆς ὑποστάσεως; Προστίθενται δὲ ταῖς τοιαύταις χρήσεσιν εἰς συγκρότησιν τῆς αὐτῆς ἐννοίας καὶ χρήσεις ἕτεραι δηλοῦσαι τελείαν οὐσίαν καὶ τέλειον Θεὸν λέγεσθαι τὸν Πατέρα, καὶ τελείαν οὐσίαν τὸν Υἱὸν, καὶ τελείαν οὐσίαν τὸ Πνεῦμα τὸ ἅγιον.

Ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς τὸν Ἄρειον διαλέξει τῇ γενομένῃ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, ἧς ἡ ἀρχὴ, « Τῇ τοῦ Θεοῦ προνοίᾳ ἀπῆειν προσεληλυθὼς σὺν τοῖς φιλτάτοις μου ἀδελφοῖς πρὸς τοὺς ἐμοὶ πεποθημένους τοῦ Χριστοῦ δούλους, » φησίν· « Οὐκοῦν ὁ Θεὸς λέγων πρὸς τὸν ἴδιον Υἱὸν διὰ τοῦ προφήτου, « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, » σημαίνει τὴν ἐκ τῆς πατρικῆς οὐσίας γέννησιν τοῦ Υἱοῦ. » Καὶ μετ' ὀλίγα· « Δι' οὐδὲν ἕτερον γαστέρα ὀνομάζει, ἢ ἵνα παραστήσῃ αὐτὸν τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεγεννῆσθαι. » Καὶ μετ' ὀλίγα· « Ὅταν οὖν φάσκῃ ἡ Γραφὴ ἐκ γαστρὸς γεγεννῆσθαι τὸν Υἱὸν, τὴν ἐκ τῆς θείας ὑποστάσεως γνησιότητα τοῦ Υἱοῦ σημαίνει. » Καὶ μετ' ὀλίγα· « Τὸν οὖν Υἱὸν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθέντα μανθάνομεν. »

Digitized by Google Распознавание текста АВК/FR

Ἐν τῇ ἐπιστολῇ τῇ ἀπὸ τῆς συνόδου τῆς ἐν Ἱεροσολύμοις πρὸς τὴν ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίαν, ἧς ἡ ἀρχή, « Πᾶσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων, » εὕρηται ταῦτα· « Οἱ γὰρ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες γινώσκοντές εἰσι μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν Λόγον, καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ. » Καὶ μετά τινα ἐν τῇ αὐτῇ ἐπιστολῇ· « Ὅθεν εἰ ἦν ἐκ μετουσίας ὁ Υἱὸς, καὶ μὴ ἐξ αὐτοῦ οὐσιώδης θεότης καὶ εἰκὼν τοῦ Πατρὸς, οὐκ ἂν ἐθεοποίησε θεοποιούμενος καὶ αὐτός. » A

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, « Καλῶς ἐποίησας δηλώσας μοι τὴν γενομένην παρ' αὐτοῦ ζήτησιν, » φησὶν περὶ τοῦ Υἱοῦ· « Οὐκ ἂν εἴη ὁ αὐτὸς Υἱὸς καὶ κτίσμα, ἵνα μὴ ἐκ τοῦ Θεοῦ καὶ ἔξωθεν τοῦ Θεοῦ ἡ οὐσία αὐτοῦ νομίζηται. » Ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ, « Οὐκ ἔξωθέν τίς ἐστιν ἐφευρεθεῖσα ἡ τοῦ Υἱοῦ οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔφυ, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα, καὶ ὡς ὕδατος ἀτμίς. » B

Ὁ αὐτὸς ἐν τῇ Ὀρθοδόξου καὶ Ἀνομοίου διαλέξει φησίν· « Οὐ γὰρ τὸ μὴ γεννᾶσθαι τὸν Θεὸν τῶν οὐσιῶν αἴτιον, ἀλλ' ἡ οὐσία τῶν οὐσιῶν αἰτία. »

Ὁ Δαμασκηνὸς ἐν τῷ ιγ' κεφαλαίῳ τῷ περὶ θείων ὀνομάτων, οὗ ἡ ἀρχὴ, « Τὸ Θεῖον ἀκατάληπτον, » φησίν· « Ὅταν γὰρ νοήσω μίαν τῶν ὑποστάσεων, τέλειον Θεὸν αὐτὴν οἶδα, τελείαν οὐσίαν. »

Ὁ μέγας Βασίλειος ἐν τῷ β' τῶν κατ' Εὐνομίου φησίν· Ἕως δ' ἂν σιωπῶσι, μὴ λανθανέτωσαν δευτέραν αἰώνων τὴν τοῦ Μονογενοῦς οὐσίαν τιθέμενοι. » C

Ὁ αὐτὸς ἐν τῷ ιη' τῶν πρὸς Ἀμφιλόχιον· « Ἐκ τοῦ Θεοῦ εἶναι λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς, ὡς ὁ Υἱὸς, ἀλλ' ὡς πνεῦμα στόματος αὐτοῦ. Πάντως δὲ οὔτε στόμα μέλος, οὔτε πνοὴ λυομένη τὸ πνεῦμα, ἀλλὰ καὶ στόμα θεοπρεπῶς καὶ τὸ πνεῦμα οὐσία ζωῆς ἁγιασμοῦ κυρία. »

Ὁ Θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ τῷ, « Χθὲς τῇ λαμπρᾷ τῶν Φώτων ἡμέρᾳ, » φησί· « Φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ Θεὸς ὁ μὴ πάσχων. Ἐγὼ φοβοῦμαι τὴν κτίσιν, ἵνα μὴ Θεὸν ἀπολέσω διὰ τῆς ὕβρεως καὶ τῆς ἀδίκου κατατομῆς, ἢ τὸν Υἱὸν τέμνων ἀπὸ τοῦ Πατρὸς, ἢ ἀπὸ τοῦ Υἱοῦ τὴν οὐσίαν τοῦ Πνεύματος. » D

Idem epistola ex synodo Hierosolymitana ad Alexandrinam Ecclesiam, cujus principium : « Omnibus quidem nobis, qui in unum convenimus ex diversis diœcesibus, » habentur hæc : « Qui enim Arianam hæresim anathematizarunt, agnoscunt non creaturam, sed ex essentia fetum esse Verbum, et essentiam Patris principium, et radicem, et fontem esse Filii. » Et post nonnulla in eadem epistola : « Unde si esset ex participatione Filius, et non ex ipso essentialis deitas et imago Patris, nunquam deificasset, deificatus et ipse. »

Magnus Athanasius oratione, quæ incipit : « Recte fecisti mihi significans factum a te quæsitum. » hæc habet : « Non erit idem Filius et creatura, ne ex Deo et extra Deum essentia illius reputaretur. » Et mul is interjectis : « Non extranea est et adventitia Filii essentia ; neque ex iis, quæ non sunt, introducta, sed ex Patris essentia orta est, quemadmodum luminis splendor, et aquæ vapor. »

Idem in Orthodoxi et Anomœi colloquio : « Neque enim non generari substantiarum causa est, sed substantia substantiarum causa. »

Damascenus in capite 13 de divinis nominibus, cujus principium : « Deus incomprehensibilis cum sit, » ait : « Cum enim intellectu apprehendero unam ex hypostasibus, perfectum Deum illam novi, perfectam essentiam. »

Magnus Basilius secundo adversus Eunomium Antirrhetico : « Donec vero silentium servant haud ignorant se substantiam Unigeniti sæculis postponere. »

Idem capite 18 ad Amphilochium : « Ex Deo esse dicitur non quemadmodum reliqua omnia dicuntur ex Deo esse, sed tanquam ex Deo proveniens, non per generationem uti Filius, sed ut spiritus oris ejus. Omnino tamen nec os membrum est, nec flatus resolubilis spiritus, sed et os dicitur, prout Deo convenit, et spiritus essentia vitæ, sanctificationis domina. »

Gregorius Theologus oratione, quæ incipit : « Heri splendidam Luminum diem, » inquit, « Tu generationem metuis, ne quid patiatur Deus qui ab omni perpessione alienus est. Ego contra creationem metuo, ne per contumeliam et iniquam sectionem Deus mihi pereat, si vel Filium a Patre, vel Spiritus essentiam a Filio distraxero. »

ΕΠΙΓΡΑΦΗ ΙΓ'.

Ἐπειδή εἰσί τινες ἀποτολμῶντες λέγειν τὸ ἀναβλύζειν καὶ προϊέναι καὶ ἐκλάμπειν καὶ πεφηνέναι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα μὴ δηλοῦν τὸ οὐσιωδῶς καὶ ἐνυποστάτως ὑπάρχειν αὐτὸ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ τὴν ἐξ αὐτοῦ τῶν πνευματικῶν χαρισμάτων διανομὴν, εἰς ἔλεγχον τῆς τοιαύτης ἐννοίας ἐξελέγησαν αἱ παροῦσαι γραφικαὶ χρήσεις αἱ δηλοῦσαι ἀναβλύζειν καὶ ἐκλάμπειν καὶ πεφηνέναι τὸν Υἱὸν ἐκ Πατρός. Οὐ γὰρ δή τις ἐρεῖ ὡς οὐχ ὁ Υἱός ἐστιν ὁ ἀναβλύζων, καὶ

EPIGRAPHE XIII.

Cum sint nonnulli, qui audent dicere, emanare, et progredi, et effulgere, et apparere ex Filio Spiritum non indicare illum esse substantialiter et in sua hypostasi ex Filio, sed spiritualium donorum ex ipso distributionem, ad hujusce sententiæ refutationem selecta sunt hæc scripto tradita testimonia, quæ plane innuunt emanare, effulgere, et apparere Filium ex Patre : neque enim quispiam asseruerit, non Filium esse qui emanat, et effui-

Digitized by Google Распознавание текста АВК/FR

get, et apparet ex Patre essentialiter, et in sua hypostasi, sed munera et dona Filii. »

Magnus Basilius in secundo Antirrhetico : « Communis est omnibus pariter Christianis opinio, Filium esse lucem genitam ex ingenita luce resplendentem. » Et rursus : « Boni quidem Patris bonus Filius, ingeniti vero luminis lumen effulsit sempiternum. »

Idem de differentia essentiæ et hypostasis : « Filius solus unigenitus ex ingenito lumine relucens nullam prorsus notionum communicationem secundum proprietatem suam, tam cum Patre quam cum Spiritu sancto habet. »

Sanctus Cyrillus in uno ex capitibus de æternitate Filii, quod incipit : « Fons sapientiæ et vitæ vocatur, et est Deus, » inquit : « Erat autem genitori coæternus Filius, veluti a quodam fonte paterna essentia exsiliens. » Et in alio : « Quemadmodum Pater absque principio est, ita et quod ex essentia illius progreditur Verbum absque principio est. » Et in alio : « Ex essentia Patris progrediens Verbum. » Et in alio : « Qui ex ipso progreditur absque tempore Filius. » Et in alio : « Qui vero super omnia ascendit Deus ex semetipso Filium inseparabiliter educens. » Et in alio : « Pater ex semetipso Filium inseparabiliter et indivise emisit. » Et in alio : « Sic et Filius Dei indivise ex Patre promanans character est æternitatis illius. » Et in alio : « Quemadmodum Spiritus sanctus, cum variis modis sua munera elargitur, circa essentiam nullam subit divisionem, ita et generativam Dei essentiam, nemo dummodo sano pectore sapiat, aut divisionem, aut defluxum aliquem subisse asseruerit, cum unum et solum ex semetipsa Filium emisit. » Et in alio : « Quidquid est in existentia Filii ex paterna essentia promanat. » Et in alio : « Quæ enim affectio sive passio circa solem concipitur, cum lumen generat ? Quæ contingit circa ignem divisio, cum illuminationem, quæ ex eo est, emittit ? Quod si hæc generant quidem indivise, et absque ulla passione, quæ ex se sunt, emittunt, annon multo magis eorum opifex suæ ipsius naturæ fulgorem emiserit ? »

Studita in uno ex Gradualibus habet : « Pater enim absque principio est, ex quo generatus est Filius absque tempore, et Spiritus ejusdem throni, et ejusdem essentiæ, qui ex Patre simul eluxit. »

Damascenus : « Tu Mater Dei absque ulla conjunctione effecta es illius, qui ex incorruptibili Patre eluxit. »

Sanctus Cyrillus oratione ad Valerianum episcopum, ait : « Nam cum sanctus sit secundum naturam, quemadmodum et Pater, qui ex eo oritur unigenitus Filius, sanctificari dicitur a Patre, qua homo est. »

Idem : « Christum Dei et hominum mediatorem secundum Scripturas componi dicimus ex nostra

ἐκλάμπων, καὶ πεφηνὼς ἐκ Πατρὸς οὐσιωδῶς καὶ ἐνυποστάτως, ἀλλὰ τὰ χαρίσματα τοῦ Υἱοῦ. »

Ὁ μέγας Βασίλειος ἐν β' τῶν Ἀντιῤῥητικῶν· « Κοινὴ πρόσληψις πᾶσιν ὁμοίως Χριστιανοῖς ὑπάρχει περὶ τοῦ φῶς εἶναι τὸν Υἱὸν, γεννητὸν ἐκ τοῦ ἀγεννήτου φωτὸς ἀπολάμψαντα. » Καὶ πάλιν· « Ἀγαθοῦ μὲν Πατρὸς ἀγαθὸς Υἱὸς, φωτὸς δὲ τοῦ ἀγεννήτου, φῶς ἐξέλαμψε τὸ ἀΐδιον. »

Ὁ αὐτὸς ἐν τῷ περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως· « Ὁ δὲ Υἱὸς μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα, ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον. »

Ὁ ἅγιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ περὶ τῆς ἀϊδιότητος τοῦ Υἱοῦ, οὗ ἡ ἀρχὴ, « Πηγὴ σοφίας καὶ ζωῆς καλεῖται καὶ ἔστιν ὁ Θεὸς, » φησὶν· « Ἦν ἄρα τῷ γεννήσαντι συναΐδιος ὁ Υἱὸς, ὥσπερ ἀπό τινος πηγῆς τῆς πρώτης ἀναβλύζων οὐσίας. » Καὶ ἐν ἄλλῳ κεφαλαίῳ· « Ὁ μὲν γὰρ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προελθὼν Πατέρα εὐθὺς ἔδειξε τὸν γεννήσαντα. » Καὶ ἐν ἄλλῳ· « Ὥσπερ ὁ Πατὴρ ἀνάρχως, οὕτω καὶ ὁ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν Λόγος ἄναρχος. » Καὶ ἐν ἄλλῳ· « Ὁ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν Λόγος. » Καὶ ἐν ἄλλῳ· « Ὁ ἐξ αὐτοῦ προελθὼν ἀχρόνως Υἱός. » Καὶ ἐν ἄλλῳ· « Τὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθόντα Υἱόν. » Καὶ ἐν ἄλλῳ· « Ὁ δὲ ἄνω πάντων ἀναβεβηκὼς Θεὸς ἐκλάμψας ἀμερίστως ἐξ αὐτοῦ τὸν Υἱόν. » Καὶ ἐν ἄλλῳ· « Ὁ Πατὴρ ἐξέλαμψεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ἀμέριστος καὶ ἀδιαστάτως. » Καὶ ἐν ἄλλῳ· « Οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀμέριστος ἐκ Πατρὸς προελθὼν χαρακτὴρ ἐστι τῆς ἀϊδιότητος αὐτοῦ. » Καὶ ἐν ἄλλῳ· « Ὥσπερ τὸ Πνεῦμα τὸ ἅγιον οὐ μεριζὸν ὑπομένει περὶ τὴν οὐσίαν, διαφόρους ἐκπέμπον τοὺς ἐν τοῖς χαρίσμασι τρόπους, οὕτω καὶ τὴν γεννητικὴν οὐσίαν τοῦ Θεοῦ οὐκ ἄν τις τῶν εὖ φρονούντων ἀδικεῖσθαι φήσειεν, ἢ μερισμὸν, ἢ ἀπόῤῥοιάν τινα παθεῖν, ἕνα καὶ μόνον ἐξ ἑαυτῆς ἐκλάμψασαν Υἱόν. » Καὶ ἐν ἄλλῳ· « Σύμπαν τὸ εἶναι τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, πρίεστιν. » Καὶ ἐν ἄλλῳ· « Ποίαν γὰρ πάθος περὶ τὸν ἥλιον ὁρᾶται γινόμενον, ὅτε τίκτει τὸ φῶς; ποῖος συμβαίνει περὶ τὸ πῦρ μερισμὸς, ὅταν ἐκπέμπει τὸν ἐξ αὐτοῦ φωτισμόν; Εἰ δὲ ταῦτα γεννᾷ μὲν ἀμερίστως, ἐκπέμπει δὲ τὰ ἐξ αὐτῶν ἀπαθῶς, οὐ πολλῷ μᾶλλον ὁ τούτων ποιητὴς τῆς ἑαυτοῦ φύσεως ἐκπέμπει τὸ ἀπαύγασμα ; »

Ὁ Στουδίτης ἔν τινι τῶν Ἀναβαθμῶν φησιν· « Ὁ Πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἅμα ὁ Υἱὸς ἀχρόνως, καὶ τὸ Πνεῦμα σύνθρονον, σύμμορφον, ἐκ Πατρὸς συνεκλάμψαν. »

Ὁ Δαμασκηνός· « Σὺ Μήτηρ Θεοῦ ἀσυνδυάστως γεννήσασα τοῦ ἐξ ἀχηράτου Πατρὸς ἐκλάμψαντος. »

Ὁ ἅγιος Κύριλλος ἐν τῷ πρὸς Οὐαλεριανὸν ἐπίσκοπον λόγῳ φησίν· « Ἅγιος γὰρ ὢν κατὰ φύσιν, καθάπερ ἀμέλει καὶ ὁ Πατὴρ ὁ ἐξ αὐτοῦ πεφηνὼς Υἱὸς μονογενὴς ἡγιάσθαι λέγεται παρὰ τοῦ Πατρὸς, καθὸ πέφηνεν ἄνθρωπος. »

Ὁ αὐτὸς περὶ τοῦ Χριστοῦ· « Τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων κατὰ τὰς Γραφὰς συγκεῖσθαί φαμεν

ἐκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος, τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ τοῦ Θεοῦ κατὰ φύσιν Υἱοῦ, τουτέστι τοῦ Μονογενοῦς. » Καὶ πάλιν · « Ἴδιόν ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ, οὔτι που μόνον ἡ Λόγος ἐστὶ πεφηνὼς ἐκ Πατρὸς, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονώς. »

Ὁ αὐτός · « Οὐ γὰρ ἀλλότριον τῆς τοῦ Θεοῦ δόξης τὸ Πνεῦμα ἐκ τοῦ ἀῤῥήτου στόματος ἀῤῥήτως πεφηνός. »

Ὁ μέγας Βασίλειος · « Τὸ Πνεῦμα οὐδὲν ἔχον ἐστὶν ἐπίκτητον ἑαυτῷ, ἀλλ' ἀϊδίως πάντα ἔχει ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνός. »

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, « Αἱ μὲν αἱρέσεις, ὅσαι τῆς ἀληθείας ἐπενοήσαντο μανίαν ἑαυταῖς, » μετὰ πολλὰ πάνυ φησίν · « Τοῖς δὲ μαθηταῖς ὁ Κύριος τὴν θεότητα καὶ μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν · « Ἐγὼ αὐτὸ ἀποστέλλω, κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει. » Καὶ μετὰ τινά, πῶς ἐστιν ὁ Πατὴρ μείζων τοῦ Υἱοῦ, ἐξηγούμενος, ἔφη · « Μείζονα ἑαυτοῦ τὸν Πατέρα ὁ Κύριος εἶπεν οὐ μεγέθει τινὶ, οὐδὲ χρόνῳ, ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ τοῦ Πατρὸς γέννησιν. » Τοῦτο γοῦν τοῖς θέλουσι σκοπεῖν ἀκριβῶς παραστήσει διὰ τοῦτο μείζονα καὶ τοῦ Πνεύματος τὸν Υἱὸν ῥηθῆναι, διὰ τὴν ἐκ τοῦ Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν. »

Ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, « Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ τὰς ἀκοὰς ἡμῶν περιηχήσασα, » φησίν · « Ἐπεὶ γοῦν ἐστιν ἄναρχον φῶς, ὁ Πατὴρ, γεννητὸν δὲ φῶς ὁ Υἱὸς, φῶς δὲ καὶ φῶς ἕτερον, ὁμοούσιον εἴποιεν ἂν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. Οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλ' ὅταν καὶ τὸ αἴτιον, καὶ τὸ ἐκ τοῦ αἰτίου τὴν ὕπαρξιν ἔχον, τῆς αὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται. »

Ὁ αὐτὸς, ἐν τῷ ἡ' τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων φησὶ · « Διὰ τοῦτό φησιν ὁ Κύριος πρὸς τὸν Πατέρα, « Τὰ ἐμὰ πάντα σά ἐστιν, » ὡς ἐπ' αὐτὸν τῆς ἀρχῆς τῶν δημιουργημάτων ἀναγομένης, καὶ « τὰ σὰ ἐμά, » ὡς ἐκεῖθεν αὐτῷ τῆς αἰτίας τοῦ δημιουργεῖν καθηκούσης. Ὧν δὲ ἡ δύναμις ἴση, ἴση πάντως καὶ ἡ ἐνέργεια. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, καὶ οὕτω πάντα δι' αὐτοῦ ἐγένετο. » Καὶ μετά τινα · « Τὸ διὰ τοῦ Υἱοῦ δημιουργεῖν τὸν Πατέρα οὔτε ἀτελῆ τοῦ Πατρὸς τὴν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ Υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν, ἀλλὰ τὸ ἡνωμένον τοῦ θελήματος παρίστησιν. Ὥστε ἡ δι' Υἱοῦ φωνὴ προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται. »

Πρὸς τὸ ἐξ ἑτέρας οὐσίας, ἢ ὑποστάσεως.

humánitate, perfecte almodum se habente secundum propriam rationem, et ex Filio qui ex Deo secundum naturam ortum habuit, hoc est Unigenito. » Et iterum : « Proprius est Spiritus Filii, non solum qua Verbum est, ex Deo adveniens, sed etiam si a nobis concipiatur ut homo factus.

Idem : « Non alienus est a Dei gloria Spiritus, ex ineffabili ore ineffabiliter progrediens. »

Magnus Basilius : « Spiritus sanctus nihil habet in se adscititium, sed ab æterno omnia possidet uti Spiritus Dei ex eo apparens. »

A ματος ἕτερον, εἰ μὴ ἂν κατὰ σὲ καὶ ὁ Υἱὸς τὸ ἀξίωμα φαυλίζων τῆς πρὸς τὸν Πατέρα ὁμοφυοῦς οὐσιώσεως, ἐὰν μὴ κατὰ τὸν Πατέρα γεννᾷ καὶ αὐτός· ἀλλ' ὥσπερ οὐκ ἔστι μὲν γεννητικὴ ἡ τοῦ Υἱοῦ οὐσία, ἔστι δ' ὅμως ὁ Υἱὸς τὸ ἀξίωμα τῆς πρὸς τὸν Πατέρα ὁμοφυοῦς οὐσιώσεως οὐ φαυλίζων, οὕτω καὶ τὸ Πνεῦμα οὐ προάγει μὲν ἕτερον ὡς ὁ Πατὴρ καὶ ὁ Υἱός, τὸ δὲ ἀξίωμα ὅμως τῆς ὁμοφυοῦς οὐσιώσεως οὐ φαυλίζει.

TEXTUS.

9. Hoc item considera: Si Spiritus a Patre procedens etiam a Filio procedit, quænam obstabit ratio ne necessario (o mentem mera ebriam impietate!) concidat constantissima idiomatum firmitas, et Pater (propitius sit nobis et blasphemiam in eorum capita convertat [*al.* in adversariorum ca pita] quorum causa hæc loquimur) nudum relinquatur nomen? communi scilicet facto idiomate illo, quo ipse discernitur, atque in unam personam contractis et confusis (coalescentibus) duabus divinis hypostasibus; sicque rursum emerget nobis Sabellius, imo monstrum aliquod semisabellianum. 10. Neque vero generatio, quæ nunc in Filio intelligitur et in subterfugium absurditatis objicitur, leniorem ullatenus tolerabilioremque (*b*) impietatem istam efficiet, quæ in paternam exsurgit proprietatem, quæ scilicet denotat processionis causam; cum hæc ipsa secundum impiorum fabulas in Filii refundatur et commisceatur proprietatem. Sectio enim rursus et partitio atque indivisi divisio. Si enim unum idiomatum suorum dat Pater et de proprietate, qua ipse per illud distinguitur, recedit, aliud vero inviolatum servat, quomodo non concedent, partem quidem ipsius in idiomate considerari, partem vero una cum idiomatis innovatione dividi? Verum horror subit, quod et hucusque illorum blasphemiam in medium proferre sustinuimus.

KEIMENON.

θ'. Ὅρα δὲ κἀντεῦθεν· Εἰ τοῦ Πατρὸς ἐκπορευόμενον τὸ Πνεῦμα καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἀντιπεσεῖται λόγος μὴ καταπεσεῖν ἐξ ἀνάγκης [ὦ φρενὸς ἄκρατον μεθυούσης τὴν ἀσέβειαν!] τὸ τῶν ἰδιωμάτων ἀμετάπτωτον καὶ ὁ Πατὴρ [ἵλεως δ' ἡμῖν εἴη καὶ τὸ βλάσφημον εἰς τὰς τῶν αἰτίων (1) τρέποι κεφαλάς!] ψιλὸν ἂν εἴη περιλειπόμενον ὄνομα, κοινοποιηθέντος ἤδη τοῦ χαρακτηρίζοντος αὐτὸν ἰδιώματος, καὶ εἰς ἓν πρόσωπον τῶν δύο συναλειφομένων θεαρχικῶν ὑποστάσεων· καὶ ἀναβλαστήσει πάλιν ἡμῖν ὁ Σαβέλλιος (2), μᾶλλον δέ τι τέρας ἕτερον ἡμισαβέλλειον. ι'. Οὐδὲ γὰρ οὐδ' ἡ κατὰ τὸν Υἱὸν ἐννοουμένη νυνὶ καὶ προτεινομένη πρὸς ἀποφυγὴν τοῦ ἀτοπήματος γέννησις οὔμενουν οὐδὲν ἀνεκτότερον τὸ δύσφημον ἀπεργάσοιτο τοῦ πατρικοῦ ἰδιώματος, λέγω δὴ τοῦ δηλοῦντος τὸ τῆς ἐκπορεύσεως αἴτιον· τούτου δὴ τούτου κατὰ τοὺς τῶν δυσσεβῶν μύθους εἰς τὸ τοῦ Υἱοῦ ἀναχεομένου τε καὶ συνθλιβομένου ἰδίωμα· κατατομὴ γὰρ πάλιν καὶ διαίρεσις καὶ τοῦ ἀμερίστου μερισμός· εἰ γὰρ τὸ μὲν αὐτοῦ τῶν ἰδιωμάτων δίδωσιν ὁ Πατὴρ, καὶ τῆς κατ' αὐτὸ χαρακτηριζούσης αὐτὸν ἐξίσταται ἰδιότητος, τοῦ δὲ συντηρεῖ τὸ ἀκήρατον, πῶς οὐχὶ τὸ μὲν αὐτοῦ δώσουσιν ἐνθεωρεῖσθαι τῷ ἰδιώματι, τὸ δὲ συνδιαιρεῖσθαι τῇ καινοτομίᾳ τοῦ ἰδιώματος; Ἀλλὰ γὰρ φρίττειν ἔστιν, ὅτι καὶ μέχρι τούτων τὴν βλασφημίαν αὐτῶν προαγαγεῖν ὑπηνέγκαμεν.

REFUTATIO.

IX. Sed non est idioma paternum Spiritus ex ipso progressio, cum in ea communicet et Filius secundum id, quod per ipsum Spiritus ex Patre procedit; atque propterea neutiquam necessario ex processione ab utroque consequitur, concidere constantem invariatamque idiomatum firmitatem, Patremque nudum relinqui nomen, atque in unam personam contrahi et coalescere duas divinas hypostases; neque reliquarum absurditatum ulla, quas inde sequi asseruisti (*c*). Non esse autem paternum idioma, quod ex se Pater Spiritum producat, id theologi Patres nostri persuadeant et ostendant tibi, qui perspicue et sine obscuritate ulla prædicant, omnium naturalium Patris bonorum partici-

ΑΝΤΙΡΡΗΣΙΣ.

Θ'. Ἀλλ' οὐκ ἔστι πατρικὸν ἰδίωμα ἡ τοῦ Πνεύματος πρόοδος ἐξ αὐτοῦ, κοινωνοῦντος τοῦ Υἱοῦ κατὰ τὸ δι' αὐτοῦ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ διὰ τοῦτο οὐκ ἐξ ἀνάγκης ἀκολουθεῖ τῇ ἐξ ἀμφοῖν ἐκπορεύσει τοῦ Πνεύματος τὸ τῶν ἰδιωμάτων καταπεσεῖν ἀμετάπτωτον, καὶ τὸν Πατέρα ψιλὸν περιλείπεσθαι ὄνομα καὶ εἰς ἓν πρόσωπον τὰς δύο θεαρχικὰς συναλείφεσθαι ὑποστάσεις, οὔτε τῶν ἄλλων ἀτόπων οὐδὲν, ὅσα ἔπεσθαι εἴρηκάς καὶ ὅτι μὴ πατρικὸν ἰδίωμά ἐστι τὸ προάγειν ἐξ αὐτοῦ τὸν Πατέρα τὸ Πνεῦμα, οἱ θεολόγοι πείθάτωσάν σε Πατέρες ἡμῶν, οἱ τρανῶς καὶ ἀνεπισκιάστως θεολογοῦντες πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνὸν τὸν Υἱὸν εἶναι ἄνευ τοῦ Πατέρα εἶναι αὐτόν· εἰ μὲν γὰρ Πα-

(*a*) Vide animadversiones in Photii librum de Spir. S., art. IV, § 5 seq.

(*b*) Catif. aliter interpungens vertit: « Tolerabiliorem blasphemiam efficit, quum paterna proprietas... hæc ipsa, inquam, paterna proprietas..... refundatur, » etc.

(*c*) Vide Animadversiones citatas Art. III, § 5-7. Art. IV, § 58.

(1) Pro τῶν αἰτίων Laur. habet: τῶν ἐναντίων.

(2) Catiforus ex Vat. legens ἡμῖν Σαβέλλ. vertit « Monstrum aliquod ipso Sabellio deterius. »

Digitized by Google Распознавание текста ABK/FR

τὴρ τοῦ Πνεύματος ὁ Πατὴρ, προσδιοριζέσθω τοῦ Υἱοῦ ἡ ἐκ Πατρὸς τοῦ Πνεύματος ἔκπεμψις· εἰ δὲ προβολεύς ἐστι κατὰ τοῦ Πνεύματος αἴτιον ὁ Πατὴρ, τίς ὁ λόγος προσδιορίζεσθαι τοῦ Πατρὸς τὸν Υἱὸν, δι' οὗ προβολεὺς αὐτὸς θεολογεῖται τοῦ Πνεύματος; Τῆς γοῦν προόδου τοῦ Πνεύματος μὴ εἰς πατρικὸν ἰδίωμα παρά τινι τῶν Πατέρων ἡμῶν θεολογηθείσης, μάτην σοὶ αἱ κατατομαὶ καὶ διαιρέσεις καὶ οἱ τοῦ ἀμερίστου πλάττονται μερισμοὶ, τοῦ μὲν τῶν ἰδιωμάτων ἐξίστασθαι λέγοντι τὸν Πατέρα, τοῦ δὲ συντηρεῖν τὸ ἀκήρατον· καὶ φρίττειν ὄντως ἔστιν, ὅτι ἐπὶ τοσοῦτον τὴν διαίρεσιν ἐσπούδασας τῶν Ἐκκλησιῶν.

A pem sociumque esse Filium, excepto eo, quod non sit ipse Pater (a): si enim Pater est Pater Spiritus, secernatur a Filio Spiritus ex Patre emissio; si vero spirans (productor) est Pater quoad est Spiritus principium, quænam ratio jubet, a Patre Filium secludi, per quem ipse spirans (productor) prædicatur Spiritus? Cum itaque Spiritus processio a nomine Patrum nostrorum tanquam Patris idioma prædicatur, frustra tibimet effinguntur sectiones et partitiones atque indivisi divisiones, dum dicis, ab uno quidem idiomatum recedere Patrem, alterius vero puritatem integritatemque servare. Atque revera horror subit, quod eousque Ecclesiarum divisionem adducere molitus es.

KEIMENON.

ια. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ δύο αἴτια ἐν τῇ θεαρχικῇ καὶ ὑπερουσίῳ Τριάδι καθοράται, ποῦ τὸ τῆς μοναρχίας πολυύμνητον καὶ θεοπρεπὲς κράτος; Πῶς οὐχὶ τὸ τῆς πολυθεΐας ἄθεον νῦν ἐπικωμάσει (1); Πῶς δ' οὐκ ἐν προσχήματι Χριστιανισμοῦ ἡ δεισιδαιμονία τῆς Ἑλληνικῆς πλάνης τοῖς ταῦτα λέγειν τολμῶσιν οὐ συνεισελάσει (2);

TEXTUS.

11. Præter jam dicta, si duo principia in divina et supersubstantiali Trinitate conspiciuntur, ubinam erit toties decantatum ac Deo dignissimum monarchiæ robur? Quomodo non impium irrepet polytheismi dogma, atque adeo atheismus? Quomodo non sub specie Christianismi superstitio gentilitatis ab his qui hæc audent asserere, introducetur?

ΑΝΤΙΡΡΗΣΙΣ.

ι'. Οὐκ οἶδα, ποῖοί σε διαλεκτικοὶ κανόνες ἐδίδαξαν, λαμβάνειν ὅπερ ὁ προσδιαλεγόμενος οὐ συνέθετο καὶ συμπεραίνειν ἐκεῖθεν τὰ εἰς τὴν ἐκείνου δῆθεν ἀνατροπήν. Ποῦ γὰρ καὶ εὕρηταί σοι λέγων ὁ Ἰταλὸς ἀρχὰς δύο ἐπὶ τῆς μακαρίας Τριάδος; Ἢ δεῖξον αὐτὸν ἀρχὰς λέγοντα, καὶ οὐ διαγνωσθήσῃ καλῶς συμπεραίνων, ἀναιρεῖσθαι τὸ τῆς μοναρχίας πολυύμνητον, εἰ πρὸς δύο ἀρχὰς τὸ Πνεῦμα ἀνάγεται, ἢ τοῦτο μὴ δεικνὺς σαφῶς ἀποδέδειξαι πρὸς ἔχθραν, καὶ οὐ πρὸς ἀλήθειαν συλλογιζόμενος ἃ βούλει καὶ συμπεραίνων, ὡς βούλει αὐτός (3).

REFUTATIO.

X. Nescio quinam dialectici canones te docuerint, quod tecum disputans haud concessit, assumere et inde concludere quæ ad illum refutandum spectare videantur. Ubi enim gentium invenisti Italum duo in beata Trinitate principia asserentem? Aut demonstra ipsum duo affirmare principia, et tunc recte concludens agnosceris, tolli toties decantatum monarchiæ robur, si ad duo principia Spiritus referatur, aut, si hoc non demonstras, clare probaris ad inimicitiam exercendam, non vero ad veritatem patefaciendam syllogismos contexens quoslibet et conclusiones pro placito tuo efformans.

KEIMENON.

ιβ'. Πάλιν εἰ δύο αἴτια τῆς μοναρχικῆς Τριάδος ἐπαναδέδηκε, πῶς οὐχὶ καὶ τὸ τρίτον τῆς αὐτῆς συναναχύψει γνώμης προερχόμενον; Ἅπαξ γὰρ τῆς ἀνάρχου καὶ ὑπεραρχίου ἀρχῆς τῆς οἰκείας ἕδρας τοῖς δυσσεβέσι περιτραπείσης καὶ εἰς δυάδα διατμηθείσης, νεανικώτερον καὶ πρὸς τὴν Τριάδα ἡ κατατομὴ τῆς ἀρχῆς προελεύσεται, ἐπεὶ κἂν τῇ ὑπερφυεῖ καὶ ἀμερεῖ καὶ ἑνιαίᾳ τῆς θεότητος φύσει τὸ τριαδικὸν μᾶλλον ἢ τὸ δυαδικὸν ἀναφαίνεται (4), οἷα δὴ καὶ τοῖς ἰδιώμασιν ἁρμοζόμενον. ιγ'. Ἆρα Χριστιανῶν ἀκοαῖς ταῦτα ἀνεκτά (5); Ἆρ' οὐκ ὀργὴν καὶ θρῆνον, τὰ τῶν παθῶν ὡς ἐπίπαν ἀσυνδύαστα, οἱ δυσσεβεῖν (6) θρασυνθέντες εἰς ἓν ἐπ' αὐτῶν συνελ-

TEXTUS.

12. Rursum si duo principia in monarchica Trinitate admittantur, quomodo non etiam tertium ex eadem sententia prodiens emicabit? Semel enim principio summo et independente de sua sede ab impiis exturbato et in binarium dejecto, facilliori ausu etiam ad ternarium sectio principii procedet, quandoquidem et in supernaturali atque individua singularique deitatis natura ternarium potius quam binarium emicat, ut pote quod et idiomatibus congruit et adaptatur. 13. Num ergo hæc Christianis sunt auribus toleranda? Nonne iram et fletum, affectus ut plurimum insociabiles, impiorum istorum temeritas coire super ipsos cogit? Iram qui-

(1) Laur., ἐπεισκωμάσει.
(2) Laur., οὐ συνελάσει ut Monac.
(3) Laur. cod. f. 178 a : αὐτῷ.
(4) Sic reliqui omnes Laur., f. 178b : ἀναφέρεται.
(5) Sic Laur. Rel. ἀνεκτὰ ταῦτα.
(6) Marc. Mon.: δυσσεβεῖς.

(a) Hinc jam intelligitur, producere Spiritum non esse proprium Patris discretivum (vide Pepanum op. cit. I, p. 578). Præterea cum generare Patrem constituat, duæ vero constitutivæ proprietates ejus esse nequeant, rursus efficitur Patrem non exclusive spirationem habere propriam (vide Bessarionem apud Pepanum l. c., p. 469) et non quatenus est Pater, spirare. Textus porro Patrum probantes, excepta paternitate omnia Patris habere Filium, adducit Beccus Epigr. X. (Gr. orth. t. II, p. 615 seq.)

Digitized by Google Распознавание текста ABK/FR

dem, quod tantam arrogantiam amentiamque conceperint; fletum vero, quod in perniciem irreparabilem præcipites agantur. Pietas enim, etiam dum irascitur, proximi sui commiserationem non abjicit (non deponit).

A θεῖν ἐκβιάζονται (1); ὀργὴν μὲν, οἷς τοσαύτην ἀπόνοιαν ἀνελάβοντο, θρῆνον δὲ, οἷς πρὸς ὄλεθρον ἀδοήθητον κατασέρονται· ἡ γὰρ εὐσέβεια, καὶ ὀργιζομένη, τὸν τοῦ ὁμοφυοῦς οἶκτον οὐκ ἀποτίθεται.

REFUTATIO.

XI. Si quidem ex confessione adversariorum istam propositionem talem supponere permissum est, *si duo principia in monarchica Trinitate admittuntur*, licebit tibi et alias difficultates propositis etiam pejores agitare et his dubiis alia quoque adjungere ratiocinando, quæ in iniquiores adhuc conclusiones allatasque excedentes deducant. Si autem hanc propositionem tuo marte et ex tua mente desumens ipse talibus syllogismis supponis omnia quæ contra adversarios confingis blasphema B tanquam ex illo axiomate enascentia indeque colligenda, contra tuum caput convertentur, et quam dicis impietatem contra ipsos, quasi principium, quod est absque principio et super omne principium, a propria sede exturbarent et in binarium dejicerent, unde et principii sectionem usque ad Trinitatis sectionem processuram affirmas, ea te crimini hostium Christianismi subjicit et affectuum ut plurimum insociabilium, iræ videlicet et fletus, in unum congressum multo congruentius circa te fieri estendit: iræ quidem, quod eo furore, qui ferarum proprius est, contra fratres insanis; fletus vero, quod talia ac tanta contra pios et orthodoxos viros mentiris.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΑ'. Εἰ μὲν ἐξ ὁμολογίας τῶν ἀντιλεγόντων ἐφεῖταί σοι τὴν πρότασιν ὑποτίθεσθαι ταύτην, τὴν, *Εἰ δύο αἴτια τῆς μοναρχικῆς Τριάδος ἐπαναβέβηκε*, διαπορεῖν καὶ χείρω τῶν διαπορηθέντων ἐξέστω σοι καὶ ταῖς ἀπορίαις ταύταις ἕτερα ἐπισυλλογίζεσθαι, χείρω τῶν ἤδη ῥηθέντων συναγόμενα συμπεράσματα· εἰ δὲ τὴν πρότασιν ταύτην οἰκοθεν λαμβάνων αὐτὸς τοιούτοις ὑποτίθῃ συλλογισμοῖς, πάνθ' ὅσα βλάσφημα κατὰ τῶν ἀντιλεγόντων συμπλάττῃ ὡς ἐκ τῆσδε B τῆς προτάσεως ἀναφυόμενα ἐπὶ τὴν σὴν περιτρέπονται κεφαλὴν, καὶ ἣν λέγεις δυσσέβειαν κατ' αὐτῶν, ὡς τὴν ἄναρχον καὶ ὑπεράρχιον ἀρχὴν τῆς οἰκείας ἕδρας τάχα περιτρεπόντων καὶ εἰς δυάδα διατεμνόντων, ὁπόθεν καὶ εἰς Τριάδα τὴν τῆς ἀρχῆς κατατομὴν διελεύσεσθαι ἀποφαίνῃ, τῷ τῶν Χριστιανοκατηγόρων σε καθυπάγει ἐγκλήματι, καὶ τὴν εἰς ἓν συνέλευσιν τῶν ἀσυνδυάστων παθῶν, ὀργῆς φημὶ καὶ τοῦ θρήνου, ἁρμοδιώτερον ἐπὶ σοῦ γινομένην δεικνύει· ἀρχῆς μὲν, οἷς τοσοῦτον θηριωδῶς κατὶ τῶν ἀδελφῶν ἐξεμάνης, θρῆνον δὲ, οἷς τοσαῦτα εὐσεβῶν καὶ ὀρθοδόξων κατεψεύσω ἀνδρῶν.

TEXTUS.

14. Porro etiam per ea quæ mox dicentur facile est impietatis magnitudinem conspicari. Si enim post supremum et independens paternum principium, causamque iterum consubstantialis personæ (*a*), principium et causa constituitur Filius, quomodo quis effugiet a duobus asserendis in Trinitate principiis, quorum alterum principio careat et in hac principii carentia fundetur et firmetur; alterum vero principiatum simul et ad principium recurrat et una cum relationum differentia perducatur? 15. Quodsi Pater est causa personarum ab ipso procedentium non ratione naturæ, sed ratione personæ, ratione autem paternæ personæ contineri et includi etiam Filii personam nemo hactenus, licet sublestus et impius, affirmavit (ne ipse quidem D Sabellius, qui monstrosum Filio paternitatis commentum excogitavit); nullatenus profecto Filius poterit causa esse ullius in Trinitate personæ. 16. Neque vero et hoc prætereundum, quod ipsam quoque Patris personam in duas impia illa doctrina dividit, vel certe Filii personam in partem paternæ hypostaseos assumi sancit ac statuit. Si enim, ut modo dictum est, non ratione naturæ, sed ratione hypostaseos Pater est causa procedentium ab ipso personarum; est vero et Spiritus causa Filius, quemadmodum sacrilega ista sententia clamat;

KEIMENON.

ιδ'. Σκοπεῖν δὲ τὸ τῆς δυσσεβείας μέγεθος οὐδὲ διὰ τῶν ῥηθησομένων ἐστὶ δυσχερές. Εἰ γὰρ μετὰ τὴν ἄναρχον καὶ πατρικὴν ἀρχὴν καὶ αἰτίαν ὁμοουσίου πάλιν ἀρχὴ καθίσταται καὶ αἴτιον ὁ Υἱὸς, πῶς ἄν τις διαφύγοι μὴ δύο λέγειν ἐν τῇ Τριάδι παραλλαττούσας ἀρχὰς, τὴν μὲν τὸ ἄναρχον ἔχουσαν καὶ ἑστηριγμένην ἐν αὐτῷ, τὴν δὲ ἀρχομένην τε ἅμα καὶ πρὸς ἀρχὴν ἀνατρέχουσαν καὶ συμμεταφερομένην τῇ τῶν σχέσεων διαφορᾷ; ιε'. Εἰ δ' αἴτιος ὁ Πατὴρ τῶν ἐξ αὐτοῦ, οὐ τῷ λόγῳ τῆς φύσεως, τῷ δὲ λόγῳ τῆς ὑποστάσεως, ὁ δὲ λόγος τῆς πατρικῆς ὑποστάσεως οὐδενὶ μέχρι νῦν περιορίζειν καὶ τὴν τοῦ Υἱοῦ ὑπόστασιν δεδυσσέβηται (οὐδὲ γὰρ οὐδὲ Σαβελλίῳ τὴν Υἱοπατορίαν τερατευταμένῳ δεδυσφήμηται), οὗ μενοῦν οὐκ ἂν εἴη οὐδενὶ τρόπῳ οὐδενὸς τῶν ἐν τῇ Τριάδι αἴτιος ὁ Υἱός. ις'. Οὐδὲ τοῦτο δὲ χρὴ παραδραμεῖν, ὅτι καὶ αὐτὴν τὴν ὑπόστασιν τοῦ Πατρὸς εἰς δύο τὸ δυσσέβημα διαιρεῖ· ἢ πάντως γε τὸ τοῦ Υἱοῦ πρόσωπον εἰς μέρος ἀνειλῆφθαι τῆς πατρικῆς ὑποστάσεως νομοθετεῖ. Εἰ γὰρ, ὡς εἴρηται, οὐ τῷ λόγῳ τῆς φύσεως, τῷ δὲ λόγῳ τῆς ὑποστάσεως αἴτιός ἐστιν ὁ Πατὴρ τῶν ἐξ αὐτοῦ, ἐστὶ δὲ καὶ τοῦ Πνεύματος αἴτιος ὁ Υἱὸς, ὡς ἡ θεομαχία βοᾷ, ἡ συμμερίζόμενον ἀποφῆναι τὴν πατρικὴν ὑπόστασιν τὸν Υἱὸν, ἐξ ἧς καὶ τὸ αἴτιον παρέσχε λαβεῖν, ἢ τὸν Υἱὸν ἀναπληροῦντα τὸ πρόσωπον τοῦ Πατρὸς, ἐκεῖνο δὲ (2) συν-

(*a*) Catif. legit ὁμοούσιον, hinc vertit: « Consubstantialem causam. »

(1) Marc. Mon. O.: οὐ βιάζονται.
(2) Laur. ut Mon. ἐκεῖνό τε.

Digitized by Google Распознавание текста ABK/FR

ἀποτολμῆσαι λέγειν πρὸ τῆς ἀναπληρώσεως ἐνδεές· καὶ τὸν Υἱὸν μέρος χρηματίσαντα πατρικὸν, τὸ φρικτὸν τῆς Τριάδος μυστήριον εἰς δυάδα περιτεμεῖν. ιβ'. Καὶ πολὺ ἂν εἴη ζιζανίων ἄλλο πλῆθος ἀπὸ τῆς ἐξ ἀρχῆς καταβληθείσης τι πονηρᾶς ἀναβλαστάνον σπορᾶς· ἣν οὐχὶ καθευδόντων, ὡς ἔοικεν, ἀλλὰ τὸν κατὰ ψυχὴν ἐγρηγορότων θάνατον καὶ ζητούντων τῶν φρενοβλαβῶν, ὅπως τὸν ἄνωθεν καὶ εὐγενῆ καὶ σωτήριον ἐπινοθεύσωσι σπόρον, ἐπελθὼν ὁ τοῦ γένους ἐχθρὸς ταῖς αὐτῶν κατέσπειρεν ἀθλίαις ψυχαῖς.

A necessario affirmare cogimur, aut Filium una cum Patre esse paternæ hypostaseos participem, ex quo et hoc habuerit, quod sit causa, aut Filium personam complere Patris, quæ proinde ante hoc complementum indiga et deficiens fuerit; sicque admittendo Filium quamdam esse portionem Patris, tremendum Trinitatis mysterium in binarium circumcidemus. 17. Ingens quoque aliorum zizaniorum copia ex malo hoc semine ab initio posito germinaverit; quod tamen non dormientibus, ut videtur, verum mortis secundum animam vigiliam vigilantibus quærentibusque insanis istis, quomodo supremum illud ingenuum et salutare semen adulterarent, superveniens humani generis hostis in miseris ipsorum animabus seminavit.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΒ'. Φείδου τῶν βλασφήμων ῥημάτων, ὦ ἄνθρωπε· διαβάλλεις γὰρ τὸν Ἰταλὸν ὡς λέγοντα τάχα μετὰ τὴν ἀναρχον καὶ πατρικὴν ἀρχὴν καὶ αἰτίαν ὁμοουσίου πάλιν ἀρχὴν καὶ αἴτιον καθίστασθαι τὸν Υἱόν· τὸ γὰρ *πάλιν* ῥῆμα, χρονικὸν ὄν, οὐδεμίαν ἔχει τὴν πάροδον ἐν τῇ ἀϊδίῳ καὶ ἀχρόνῳ Τριάδι. Ῥωμαῖοι γοῦν ἀΐδιον καὶ ἄχρονον τὸ θεῖον πρεσβεύοντες πῶς ἂν δογματίσειαν μετὰ τὴν πατρικὴν ἀρχὴν ἄλλην πάλιν ἀρχὴν, ταυτὸν δ' εἰπεῖν δευτέραν ἀρχὴν καθίστασθαι τὸν Υἱόν; Ἀρχικὸν μὲν γὰρ αἴτιον ἓν καὶ οἶδασι (1) καὶ πρεσβεύουσι τὸν Πατέρα· ὅτι δὲ τὸ ἀρχικὸν τοῦτο ἓν αἴτιον κατὰ διάφορον τῆς αἰτίας αἰτιόν ἐστι τῶν ἐξ αὐτοῦ, ἐκ *μόνου* μὲν αὐτοῦ τὸ Πνεῦμα οὐ λέγουσι, διὰ τοῦ Υἱοῦ δὲ ἐξ αὐτοῦ ἐκπορευτὸν αὐτὸ λέγοντες κατὰ τοὺς ἁγίους Πατέρας ἡμῶν οὐχ ὡς ἐξ ἑτέρας δι' ἑτέρας ἀρχῆς ἐκ Πατρὸς διὰ Υἱοῦ δοξάζουσι προϊέναι αὐτὸ, ἀλλ' ὅτι πᾶν τὸ διὰ τοῦ Υἱοῦ λεγόμενον εἶναι εἰς τὸν Πατέρα τὸ ἓν ἀρχικὸν αἴτιον ἀναφέρεται, ἐκ Πατρὸς διὰ Υἱοῦ καὶ ἐξ ἀμφοῖν ὡς ἐξ ἑνὸς Θεοῦ αὐτὸ λέγουσι· καὶ ποῦ λοιπὸν τὸ παραλλάττον ἐν τῇ ἀνάρχῳ καὶ ἀρχομένῃ ἀρχῇ καὶ τὰ ἕτερα τῆς σῆς ἐριδος ἀναπλάσματα; Αἱ δὲ τοῦ αἰτίου διαιρέσεις εἰς φύσιν καὶ ὑπόστασιν, ἃς μετὰ πολλῆς ἀναπλάττῃ ἀδείας, μὴ συνιείς, ὅπως ἀδύνατόν ἐστι τὴν ὑπόστασιν ἀνούσιον αἴτιον εἶναι λέγειν τῶν ἐξ αὐτῆς, ποῦ σοι τῶν θείων εὑρέθησαν Γραφῶν; Τίνες τῶν Πατέρων τοῦτο παραδεδώκασιν; Ἢ ἀγνοεῖς, ὅπως διαῤῥήδην τεθεολόγηται τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τὸν Υἱὸν γεννᾶσθαι καὶ τὸ Πνεῦμα προέρχεσθαι; Τὸ δὲ ἀποφαίνειν τὴν πατρικὴν ὑπόστασιν συμμεριζόμενον τὸν Υἱὸν ἢ ἀναπληροῦντα τὸ πρόσωπον τοῦ Πατρὸς, καὶ αἱ πρὸ τῆς ἀναπληρώσεως ἐνδειαι καὶ αἱ εἰς δυάδα τοῦ τῆς Τριάδος μυστηρίου τομαὶ καὶ τὰ ἄλλα πλήθη τῶν ζιζανίων καὶ αἱ τοῦ εὐγενοῦς καὶ σωτηρίου σπόρου ἐπινοθεύσεις, πάντα ταῦτα τὸ ψευδὲς καὶ ἀνακόδεικτον ἔχουσι, ψευδοῦς τῆς ὑποτεθείσης σοι προτάσεως οὔσης, ἥτινι ἐπηκολούθουν ὡς ἀληθῆ· μηδενὸς γὰρ τῶν ἁγίων εἰς λόγον φύσεως καὶ λόγον ὑποστάσεως διαιροῦντος τὸ αἴτιον ἐν τῇ αἰτίᾳ τῶν ἐκ Πατρὸς

REFUTATIO.

XII. Parce blasphemis verbis, o homo! Calumniaris enim Italum, quasi dicat, post principium, principii expers atque paternum consubstantialis rursus personæ principium et causam consistere Filium. Nam vox *rursus*, cum temporalis sit, nullum habet accessum in sempiterna ac tempore superiori Trinitate. Romani igitur qui divinitatem æternam et tempore superiorem propugnant, quomodo docerent ac statuerent, post paternum principium aliud rursus principium, sive quod idem est, secundum principium exsistere Filium? *Principalem* enim ac *primariam* causam unam norunt et propugnant: nimirum Patrem (*a*): quoniam vero principale hoc principium secundum differentiam causæ personarum ex ipso prodeuntium principium est, ex *solo* quidem ipso Spiritum non dicunt; per Filium vero ex ipso procedentem Spiritum asserentes secundum sanctos Patres nostros, non velut ex alio per aliud principium ex Patre prodire censent ipsum; verum quia quidquid per Filium dicitur esse, ad Patrem, unum illud principale principium, refertur, ex Patre per Filium et ex utroque tanquam ex uno Deo illum dicunt. Et ubinam cæterum differentia in principio, quod sine principio est, et in principio, quod principiatum est, ac reliqua tuæ pugnandi libidinis figmenta? Divisiones vero principii in naturam atque hypostasim, quas magna cum impudentia confingis, dum minime intelligis, quomodo sit impossibile hypostasim absque essentia causam eorum, quæ ex ipsa sunt, esse dicere, ubinam in Scripturis divinis a te repertæ sunt? Quinam ex Patribus hoc tradiderunt? An vero ignoras, disertis verbis illud doceri ac prædicari ex essentia Patris tum Filium gigni, tum Spiritum progredi? Illud vero, quod asserendum esse statuis, Filium fore paternæ hypostaseos participem aut Patris personam complentem, tum indigentiæ ante hoc complementum atque Trinitatis mysterii in binarium sectiones, et reliqua zizaniorum copia, demum et ingenui ac salu-

(1) Pro ἴσασι.

(*a*) Ansel. de proc. Sp. S. 16: « Si ergo dicitur quod Spiritus sanctus principaliter (ita Aug. de Trin. XV, 17) a Patre sit, non aliud significatur, quam quia ipse Filius de quo est Spiritus sanctus, a Patre habet hoc ipsum, ut Spiritus sanctus sit de illo, quoniam id quod est habet a Patre, non sicut in rebus creatis, cum aliquid asserimus esse principaliter, volumus significare, quod magis sit ihoc, quod dicitur esse principaliter, quam illud, ad quod refertur. »

Digitized by Google Распознавание текста ABK/FR

ris seminis adulterationes, hæc omnia falsa ac omni probatione destituta sunt, cum falsa sit supposita a te propositio, quam reipsa illa subsequebantur. Cum enim nemo sanctorum in rationem naturæ et rationem personæ dividat causam in causalitate personarum ex Patre prodeuntium, vide ne forte vigilantes injuria afficiens ipsemet tibi mortem secundum animam latenter consciscas ex eo quod Ecclesiarum scissionem totis viribus promoves.

αἰτιατῶν προσώπων, ὅρα μήποτε τὸν κατὰ ψυχὴν ἐγρηγορότας θάνατον τοὺς Ῥωμαίους ἐξονειδίζων λάθῃς αὐτὸς τὸν κατὰ ψυχὴν ἑαυτῷ μνηστευόμενος θάνατον ἀπὸ τοῦ τὴν ἐκκλησιαστικὴν ἐπισπεύδειν κατατομήν.

TEXTUS.

Etenim quidquid proprie (per se) proprium alicujus est, si de duobus aliquibus, re ipsa ab illo translatum, accipiatur, ac de uno quidem vere affirmetur, de altero vero non item, duo illa proposita diversæ naturæ esse ostendit; verbi gratia risibile (risivum), quod per se est homini proprium, et Josue quidem Israelis duci apte congruit, conspecto autem angelo principi copiarum Domini nullo omnino pacto convenit, perspicue ostendit, ducem illum populi nullatenus esse ejusdem atque archangelum substantiæ vel naturæ existimandum. Sicque in cæteris rebus omnibus qui eadem processerit methodo, clare ac nullo labore eamdem veritatem nanciscetur. Quod si istud ubique viget et eodem modo consideratur, processio autem Spiritus ex Patre paternam prædicat proprietatem, hæc vero, ut hæresis jactitat, congruit quidem Filio, Spiritui autem nequaquam (nondum enim quisquam istam blasphemiam animo concepit) : quod hinc sequitur, ipsi talium malorum institutores contra suamet capita colligant. Quod si Spiritus processionem non esse paternam proprietatem dixerint, profecto nec Filii proprietas erit, quoniam vero nec Spiritus est, dicant qui omnia dicere audent, quomodo quod nullius trium personarum est proprium, sed nec commune, locum omnino habeat, ut in aliqua divinarum hypostaseon intelligatur.

KEIMENON.

Καὶ γὰρ ἅπαν κυρίως ἴδιόν τινος ἐπὶ δύο τινῶν ἀπ' ἐκείνου πραγματικῶς λαμβανόμενον, καὶ κατὰ θατέρου μὲν ἀληθῶς λεγόμενον, κατὰ δὲ τοῦ ἑτέρου οὐκέτι, ἑτεροφυῆ τὰ προτεθέντα δείκνυσιν· αὐτίκα τὸ γελαστικὸν ἀνθρώπου κυρίως ἴδιον ὂν καὶ Ἰησοῦ μὲν εἰ τύχοι (1) τῷ δημαγωγῷ τοῦ Ἰσραὴλ ἁρμοζόμενον, τῷ δὲ ἐπιστάντι αὐτῷ ἀρχιστρατήγῳ τῆς τοῦ Κυρίου δυνάμεως κατὰ πάντα ἀνιστάμενον, ὁρᾷν ἐνεργῶς οὐδίωσιν οὐχ ὁμοφυῆ τὸν δημαγωγὸν οὑμὸν τῷ ἀρχαγγέλῳ νομίζειν οὐδ' ὁμοούσιον. Καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁ διὰ τῆς αὐτῆς μεθόδου προϊὼν σαφῶς τε καὶ ἀταλαιπώρως εὑρήσει τὴν αὐτὴν θεωρίαν προβαίνουσαν. Εἰ δὲ τοῦτο πανταχοῦ κρατεῖ καὶ τὴν αὐτὴν ἀποσώζει διάνοιαν, ἐστὶ δὲ τοῦ Πνεύματος ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τὸ πατρικὸν ἀνακηρύττουσα ἴδιον, τοῦτο δὲ κατὰ τὸ φρύαγμα τῆς αἱρέσεως ἐφαρμόζεται μὲν τῷ Υἱῷ, κατὰ δὲ τοῦ Πνεύματος οὐδαμῶς [οὕτω γάρ τις τοῦτο τὸ δύσφημον ἐνοήσειε]· τὸ ἐξῆς αὐτοὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς οἱ τῶν τηλικούτων κακῶν εἰσηγηταὶ συναγέτωσαν· εἰ δὲ μὴ πατρικὸν ἴδιον τὴν τοῦ Πνεύματος ἐκπόρευσιν φήσουσι, δηλονότι οὐδὲ τοῦ Υἱοῦ· ἐπὶ δὲ οὐδὲ τοῦ Πνεύματος, λεγέτωσαν οἱ πάντα λέγειν θρασεῖς, πῶς ὁ μηδενός ἐστιν ἴδιον τῶν τριῶν, ἀλλὰ μηδὲ κοινόν, χώραν ὅλως ἔχει θεωρεῖσθαι ἐφ' ἑνός τινος τῶν ὑποστάσεων τῶν θεαρχικῶν;

REFUTATIO.

XIII. Copiosus es officiis utens dogmaticis principiis; haud scio quid inde tibi lucri proveniat Dei Ecclesiam in damnum (væ mihi!) Christianismi discidenti. Ecce enim iterum Filium et Spiritum separas in binarium diversæ substantiæ, quia existimas proprium esse Patris ex se producere Spiritum, atque hoc a Patre translatum et de Filio ac de Spiritu prædicatum verificari quidem de Filio, ut Latinis videtur, non vero de Spiritu. Verum nemo ex Ecclesiæ præconibus ac magistris proprietatem Patris dixit Spiritus emissionem sive productionem sive spirationem sive processionem sive quocunque demum quis nomine hujus subsistentiam appellare voluerit; cumque mendax sit ea propositio (*a*), nihil ad scopum tuum confert diversitas naturæ inter populi Israelitici ducem atque archangelum, et solum reliquum est, neque Patris separatim proprium nos dicere Spiritus emissionem, neque rursum Filii proprietatem seorsim

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΓ'. Πολὺς εἶ ταῖς πεπλασμέναις χρώμενος τῶν δογμάτων ἀρχαῖς, καὶ τί σοι κέρδος, οὐκ οἶδα, τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ἐπὶ κακῷ, οἴμοι! τοῦ Χριστιανισμοῦ διασχίζοντι· ἰδοὺ γὰρ καὶ πάλιν Υἱὸν καὶ Πνεῦμα εἰς δυάδα ἑτεροφυῆ διιστὰς παρὰ τὸ δοξάζειν ἴδιον τοῦ Πατρὸς εἶναι τὸ ἐξ ἑαυτοῦ προάγειν τὸ Πνεῦμα, καὶ ταῦτο ἀπὸ τοῦ Πατρὸς μεταλαμβανόμενον καὶ κατὰ τοῦ Υἱοῦ λεγόμενον καὶ τοῦ Πνεύματος, κατὰ μὲν τοῦ Υἱοῦ ἀληθεύεσθαι, ὡς τοῖς Δατίνοις δοκεῖ, κατὰ δὲ τοῦ Πνεύματος οὐκέτι. Ἀλλὰ τῶν τῆς Ἐκκλησίας κηρύκων καὶ διδασκάλων οὐδεὶς ἴδιον εἴρηκε τοῦ Πατρὸς τὴν τοῦ Πνεύματος ἔκπεμψιν ἢ προαγωγὴν ἢ προβολὴν ἢ ἐκπόρευσιν, ἢ ὅπως ἂν τις τὴν τούτου ὕπαρξιν ἐθέλοι καλεῖν· καὶ ψευδοῦς ταύτης οὔσης τῆς προτάσεως τὸ τοῦ δημαγωγοῦ πρὸς τὸν ἀρχάγγελον ἑτεροφυὲς τῷ σῷ σκοπῷ συμβάλλεται κατ' οὐδέν· καὶ λείπεται λοιπὸν μήτε τοῦ Πατρὸς ἴδιον παρὰ μέρος μήτε τοῦ Υἱοῦ πάλιν ἴδιον παρὰ μέρος λέγειν ἡμᾶς τὴν τοῦ Πνεύματος ἐκπεμψιν τῷ

(*a*) Vide animadvers. in Photii librum de Sp. S., art. III, § 5.

(1) Pro εἰ τύχοι Laur. : εἰ τύχῃ.

Digitized by Google Распознавание текста ABBYY FR

Δαμασκηνῷ Πατρὶ καὶ τῆς οἰκουμένης πειθομένους φωστῆρι τὸν Πατέρα προβολέα διὰ λόγου τοῦ ἐκφαντορικοῦ λέγοντι Πνεύματος (1)· ὁ γὰρ τὸν Πατέρα διὰ τοῦ Λόγου προβολέα λέγων τοῦ Πνεύματος κοινὸν Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα παρίστησιν.

A et exclusive, Damascenum, Patrem præclarum, illud orbis lumen secutos, qui per Verbum Patrem productorem Spiritus producit revelantis. Qui enim Patrem dicit productorem Spiritus per Verbum, is communem Spiritum Patris et Filii declarat.

KEIMENON.

ιη'. Παραπλήσιον δὲ τοῖς εἰρημένοις καὶ τοῦτο· Εἰ τὸ ἴδιον τοῦ Πατρὸς εἰς τὴν ἰδιότητα μεταβάλλεται τοῦ Υἱοῦ, καὶ τὸ ἴδιον δηλονότι τοῦ Υἱοῦ εἴη ἂν εἰς τὴν ἰδιότητα μεταβαλλόμενον τοῦ Πατρός. Ἅπαξ γὰρ ὁδὸν ἀνατεμούσης τῆς δυσσεβοῦς γλωσσαλγίας, δι' ἧς τὰ τῆς ὑποστάσεως χαρακτηριστικὰ ἰδιώματα μεταπίπτειν καὶ ἀντιπερίστασθαι βούλεται, καὶ ὁ πατὴρ αὐτοῖς, ὦ βάθος ἀσεβείας! (2)] ὑπέλυσεται τὴν γέννησιν, ὅτε γεγέννηται ὁ Υἱός· ἔδει γὰρ τοὺς πάντα τολμητάς, ὡς ἔοικε, μηδὲ τὴν τοιαύτην θεομαχίαν ἀτόλμητον λιπεῖν. ιθ'. Καθόλου δὲ ἐπὶ πάντων τῶν κυρίως ἰδίων, ἐπειδ' ἄν τι τούτων κατά τινος πραγματικῶς ὑποστάσεως ἀπὸ τοῦ πρώτως ἐξιδιωσαμένου μεταλαμβανόμενον ἀληθεύοι, εἰ καὶ μὴ τὸ ἀξίωμα τῆς ἀντιστροφῆς αὐτῷ συνεπάγοιτο, ἐκεῖνο δὴ τὸ παρέχον ἑτέρῳ (3) μετέχειν τοῦ ἰδιώματος εἰς λόγον ὁρῶμεν ἀναγόμενον φύσεως. Εἰ οὖν ὅπερ ἦν ἴδιον ἀπ' ἀρχῆς ἐγνωσμένον τοῦ Πατρὸς, τοῦτο δίδωσιν ἡ τόλμα παρεῖναι καὶ τῷ Υἱῷ, συνορᾶτω καὶ ἄκουσα, πρὸς οἷον αὐτῆς τέλος καταστρέφει τὸ θεοστυγές.

B

TEXTUS.

18. Affine autem jam dictis et hoc: Si quod proprium est Patris transfertur in proprietatem Filii, profecto et quod proprium Filii in Patris proprietatem erit transferendum. Ubi enim impia garrulitas semel aperuit viam, qua characteristicæ hypostaseon proprietates mutuo transitu alias in alias migrare et mutari vult, Pater quoque per ipsos (o impietatis profunditatem!) subibit generationem, quia generatus est Filius; oportebat enim audacissimos istos nec ab hoc quidem impio ausu sibi temperare. 19. Universim vero in omnibus per se propriis, quando aliquid horum de aliqua realiter hypostasi ab eo, quod illud sibi primario ut proprium vindicavit acceptum verificatur, tametsi dignitatem reciprocæ conversionis secum non trahat, attamen illud, quod alteri præbet, ut proprietatis sit particeps, videmus in naturæ rationem reduci. Si ergo quod ab initio proprium Patris agnoscebatur, hoc audacia istorum Filio quoque habendum tradit, videant vel inviti, quo demum ipsorum impietas desinat.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΔ'. Ἐπεὶ τὸ ἀγέννητον καὶ ἀναίτιον, πρὸς δὴ τούτοις καὶ τὸ γεννᾶν ἴδιον τοῦ Πατρὸς τοῖς ἡμῶν Πατράσι τεθεολόγηται, οὐδὲν δὲ τούτων παρὰ τοῖς Ῥωμαίοις ἀπονενέμηται τῷ Υἱῷ, ἴδιον δὲ τοῦ Υἱοῦ ἡ γέννησις καὶ υἱότης τεθεολόγηται, καὶ οὐδὲν τούτων εἰς τὸν Πατέρα παρὰ τοῖς αὐτοῖς ἀναφέρεται, καὶ ἡ τῶν ἰδιοτήτων εἰς ἀλλήλας μεταβολὴ ψευδὴς πάντως ἐστὶ καὶ τὸ εἰς λόγον ἀναγόμενον φύσεως ἰδίωμα ἐν ταῖς ἀπὸ τοῦ πρώτως ἐξιδιωσαμένου ἐφ' ἑτέρᾳ μεταλήψεσι (4) τοῦ ἰδίου ἄχρηστόν σοι ἀπολιμπάνεται καὶ ἀσυντελές.

C

REFUTATIO.

XIV. Cum innascibilitas et causæ principii, adhuc autem et generatio (activa) a Patribus nostris ut Patris proprietas prædicatur, nihil vero horum apud Romanos vindicetur Filio; proprium vero Filii generatio (passiva) et filiatio eodem pacto prædicetur, nihil vero eorum apud eosdem referatur in Patrem: jam translatio et transitus aliarum in alias proprietatum prorsus falsa est, et inutile atque nihil proficiens relinquitur tibi illud, quod eis in naturæ rationem reduci proprietatem in hoc, quod ab eo qui sibi primario ut proprium vindicavit, in alia proprium transferatur.

KEIMENON.

Ἀκόλουθον δ' ἄρα (5), ὡς ἔοικεν, ἦν τοῖς ἐραστοῖς τοῦ ψεύδους, κατὰ τῶν ἰδιωμάτων ἐφάπαξ ἐκμεμηνίσι, τοῦ Πατρὸς καὶ αὐτήν γε παντελῶς τὴν ὑπόστασιν εἰς φύσιν ἀναλῦσαι καὶ τὸ αἴτιον ὅλως περιελεῖν τῶν θειαρχικῶν ὑποστάσεων. κ'. Ναί, φασὶν, ἀλλ' ὁ Σωτὴρ ἔφη τοὺς μαθητὰς μυσταγωγῶν, ὅτι *Τὸ Πνεῦμα ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ἡμῖν*. Καὶ τίνα ἂν λάθοις, ὡς ἐπὶ τὴν τοῦ Σωτῆρος κατέφυγες φωνὴν, οὐχ ἵνα συνήγορον εὑρήσῃς, ἀλλ' ἵνα καὶ αὐτὸν τὸν Δεσπότην, ἀέναον τῆς ἀληθείας πηγὴν (6), εἰς διαφωνίαν ἐξυβρίσῃς; Οὕτω γὰρ ἡ σὴ γλῶσσα πάντα τολμᾷν ἕτοιμον ἀσελγὴς καὶ τῶν ἀλήπτων λαβὰς συμπλάττειν καὶ ἐπινοεῖν. Εἰ γὰρ αὐτὸς

D

TEXTUS.

Consequens enim foret, ab istis mendacii amatoribus contra Patris proprietates semel debacchatis, ipsam quoque hypostasim omnino in naturam resolvi, ita ut causæ ratio penitus a divinis hypostasibus auferatur.

20. Ita sane, inquiunt. At Salvator dixit, discipulos erudiens et instruens, quod *Spiritus de meo accipiet et annuntiabit vobis*. Et quis non videt, te ad hanc Salvatoris confugisse vocem, non ut patrocinium invenias, sed ut ipsum quoque Dominum, perennem veritatis fontem, dissonantiæ insimules? Sic enim lingua tua ad quidlibet audendum est prona, et ad ansas, ubi nullæ sunt, confingendas

(1) Eumdem textum producit Beccus Epigr. I. (Gr. orth. t. II, p. 335) et multis aliis in locis.

(2) Pro verbis ὦ βάθος ἀσεβείας Laur. habet: ὦ βάθους ἀσεβ.

(3) Laur. ἐκεῖνο δὲ τὸ παρέχειν ἑτέρῳ.

(4) Coc. μεταλήψει.

(5) Alias ἀκόλ. δ' ἄρα.

(6) Laur. τὴν ἀένναον. τῆς ἀλη0. πηγὴν· εἰς διαφωνίαν ἐγκαλέσῃς.

Digitized by Google Распознавание текста АВК/FR

et excogitandas. Si enim hic ipse humani generis Conditor et curator modo quidem Spiritum docet a Patre procedere, nullatenus adjiciens, quod et a se procedat, sed illum (Patrem) solum causam, quemadmodum suæ generationis, ita et Spiritus processionis credi a nobis et prædicari jubet; modo autem, ut tu asseris, quia dicit : *De meo accipiet*, alto quidem silentio compressit priorem institutionem ac doctrinam, quanquam oportebat ut in secundam ingressus initiationem prioris quoque memoriam refricaret, doctrinasque adeo inter se dissitas conjungeret et ad invicem conciliaret; ille vero hoc quod faciendum erat non facit, et loco dicendi, Spiritum a Patre procedere, in seipsum processionem Spiritus transfert : quomodo non evidenter evincitur, substantialem atque inalterabilem veritatem a te iniquæ dissonantiæ insimulari?

A οὗτος ὁ Δημιουργὸς τοῦ γένους; καὶ προνοητὴς ὢν μὲν τὸ Πνεῦμα διδάσκει ἐκπορεύεσθαι τοῦ Πατρὸς, οὐδαμῶς προστιθεὶς, ὅτι καὶ ἐξ αὐτοῦ (1), ἀλλ' ἐκεῖνον αἴτιον μόνον, ὥσπερ τῆς ἑαυτοῦ γεννήσεως, οὕτω καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, θεολογεῖσθαι μυσταγωγεῖ· νῦν δὲ, ὡς σὺ λέγεις, διότι φησὶν· *Ἐκ τοῦ ἐμοῦ λήψεται*, περιεῖλε μὲν σιγῇ βαθείᾳ τὴν προτέραν μυσταγωγίαν· καίτοι γε πρὸς δευτέραν ἐλθόντα τελετὴν ἔδει καὶ τῆς πρωτέρας ἀναμνῆσαι καὶ συνάψαι τὰ τοσοῦτον ἀλλήλων τῇ θεωρίᾳ διεστηκότα· ὁ δὲ, τοῦτο μὲν δέον πράττειν, οὐ ποιεῖ· ἀντὶ δὲ τοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τοῦ Πατρὸς εἰς ἑαυτὸν τὴν ἐκπόρευσιν τοῦ Πνεύματος μετάγει· πῶς οὐχὶ τὴν σὴν ἔκθεσμον διαφωνίαν τῆς ἐνυποστάτου καὶ ἀναλλοιώτου κατασκεδάζων (2) ἀληθείας οὐχ ἅλως δίκην ὀφείλων;

B

REFUTATIO.

XV. Tu quidem cum semel contra Patris proprietates furentes Romanos dixeris, incusas eos, quod hypostasim in naturam resolvant et causam divinarum personarum destruant. Vide vero, ne forte hypostasim in naturam resolvens ex essentia et natura Patris Filium et Spiritum prodire censeas ut ex hypostasi essentia destituta in propria notione intellecta præter ejusdem essentiam et naturam (*a*). Sed si hoc pacto de causa, quæ est in Trinitate, statuis, Patres, qui theologica ratione tradiderunt, ex Patris essentia et natura tum Filium tum Spiritum prodire (*b*), conflictas a C te resolutiones et analyses plane dissolvent.

Si vero etiam oppositionem fingens et loco adversarii arguens (s. sub formæ prolatæ ab adversa parte exceptionis), eum, qui tibi contradicit, calumniaris, quasi evangelicam Salvatoris vocem illam *ex meo accipiet* male interpretetur et minime recta ratione supponat, hoc dictum æquivalere cum Spiritus sancti ex Patre (Filioque) processione, in divinis peritissimus Epiphanius ad refellendam tantam calumniam sufficiens prorsus erit, qui in parte *Ancorati* hæc diserte tradit : *Uterque habitat in homine justo, Christus et Spiritus ejus. Si vero Christus ex Patre creditur, Deus ex Deo, et Spiritus ex Christo, aut ex utroque, ut Christus insinuat his verbis :* « *Qui a Patre accepit :* » et, « *Hic de meo accipiet* (*c*). » Dum tali pacto sanctus hic æquipollentiam istarum Evangelii dictionum declarat, falsam propugnatam a te differentiam convincet. D

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΕ'. Σὺ μὲν ἐφάπαξ κατὰ τῶν ἰδιωμάτων τοῦ Πατρὸς ἐκμεμηνότας τοὺς Ῥωμαίους ἀποφαινόμενος, κατηγορεῖς αὐτῶν ἀνάλυσιν τῆς ὑποστάσεως εἰς φύσιν, καὶ τοῦ τῶν θεαρχικῶν ὑποστάσεων αἰτίου περιαίρεσιν· ὅρα δὲ, μήποτε τὴν ὑπόστασιν ἀναλύων εἰς φύσιν οὐκ ἐκ τῆς οὐσίας καὶ φύσεως τοῦ Πατρὸς δοξάζῃς (3) τὸν Υἱὸν καὶ τὸ Πνεῦμα προέρχεσθαι· ὡς ἐξ ἀνουσίου δὲ ὑποστάσεως ἐν ἰδικῇ ἐννοίᾳ νοουμένης παρὰ τὴν οὐσίαν καὶ φύσιν αὐτῆς; Ἀλλ' εἰ οὕτω περὶ τῆς ἐν τῇ Τριάδι αἰτίας δοξάζεις, οἱ τεθεολογηκότες Πατέρες ἐκ τῆς τοῦ Πατρὸς οὐσίας καὶ φύσεως τὸν Υἱὸν καὶ τὸ Πνεῦμα προέρχεσθαι τὰς πεπλασμένας σοὶ διαλύσουσιν ἀναλύσεις. Εἰ δὲ καὶ τὴν ἀντίθεσιν ὑποδὺς τὸν ἀντιλέγοντά σοι διαβαλεῖς, ὡς τὴν *ἐκ τοῦ ἐμοῦ λήψεται* εὐαγγελικὴν τοῦ Σωτῆρος φωνὴν κακῶς ἐξηγούμενον, καὶ οὐ καλῶς τὸ τῆς λέξεως ταύτης ἰσοδύναμον πρὸς τὴν ἐκ Πατρὸς [καὶ Υἱοῦ (4)] ἐκπόρευσιν ἐκλαμβάνοντα, ὁ πολὺς τὰ θεῖα Ἐπιφάνιος εἰς ἔλεγχον τῆς τόσης διαβολῆς ἐξαρκέσει· σοὶ ἐν μέρει τοῦ Ἀγκυρωτοῦ λέγων οὕτω ῥητῶς· *Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, « Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ « Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται* (5). » Οὕτω τὴν τῶν εὐαγγελικῶν τούτων λέξεων ἰσοδυναμίαν ὁ ἅγιος παριστῶν ψευδῆ τὴν σπουδαζομένην σοὶ διαφορὰν ἀπελέγξει.

(*a*) Nimirum non exsistit essentia sine hypostasi neque hypostasis sine essentia, ac ratione tantum distinguuntur. Vide Maximum Opp. t. II, p. 394 ed. Combef.

(*b*) Confer Beccum l. I ad Constant. c. 3 seq. et Epigr. XII.

(*c*) Idem Latini Patres sentiunt. Quorum nomine audiatur Hilarius lib. VIII De Trin. c, 20 : « A Filio igitur Spiritus accipit, qui ab eo mittitur et a Patre procedit. Atqui nihil differre creditur inter *accipere a Filio* et *a Patre procedere*, et id ipsum atque unum esse existimabitur accipere a Filio quod sit accipere a Patre. »

(1) Laur. ὅτι καὶ ἐξ ἑαυτοῦ.

(2) Laur. κατασκεδάζειν ut Palatin.

(3) Laur. f. 180 δοξάζεις.

(4) Καὶ Υἱοῦ deest.

(5) Hoc pariter textu utitur Beccus Epigr. I (Gr. orth. t. II, p. 531-532) in Camateri Animadv. c. f. 28 (ib. p. 349) c. 58 (ib. p. 391 et alias).

Digitized by Google Распознавание текста АВК/FR

KEIMENON.

κα'. Ἐπεὶ δέ σε οὐδὲ τὰ τῶν παίδων εἰδέναι ἡ τοῦ τολμᾶν ἀδυνάτοις ἐπιχειρεῖν ἀπεστέρησε θρασύτης, ἀλλά γε νῦν, εἰ καὶ μὴ πρότερον, συνιέναι σε χρὴ, ὡς οὐδὲν οὕτω λαμπρῶς ἕσταται κατὰ τῆς σῆς ἀπονοίας, ὡς ἡ Δεσποτικὴ καὶ σωτήριος αὕτη φωνή. Εἰ μὲν γὰρ ἔλεγεν· Ἐξ ἐμοῦ λήψεται, οὐδ' οὕτω τό σοι σπουδαζόμενον ἐλάμβανε πέρας· πλὴν ἀλλ' εἶχέ τινα πρόφασιν ἡ πλάνη. Οὐδὲ γὰρ οὐδὲ τὸ λαμβάνειν ἀπό τινος χρείας ἄλλης χάριν, καὶ πρὸς οὐσίωσιν ἐκπορεύεσθαι εἰς ταυτὸ συνάγεται τῇ διανοίᾳ· πολλοῦ γε καὶ δεῖ. Ἐπεὶ δὲ τῆς τοσαύτης ἀσεβείας τὸ μέγεθος ὁ Σωτὴρ προορῶν οὐδὲ τοιαύτην ἀφῆκε φωνὴν, ἵνα μὴ πολλοὺς διὰ σοῦ ἡ τοῦ Πονηροῦ κακουργία κατανεμηθῇ, πῶς, ἀντὶ τοῦ κατηγορεῖν τὸν Δεσπότην, οὐκ εἰς τὴν ταῦ Δεσπότου δὲ συγγνώμης οὐ καταφεύγει; (1) φιλανθρωπίαν καὶ τὰ τῆς καρδίας ὑπανοίγεις ὦτα τῇ ἐκείνου διδασκαλίᾳ; κβ'. Εἶπεν ὁ Σωτὴρ, τί; οὐκ, Ἐξ ἐμοῦ λήψεται, ἀλλ', Ἐκ τοῦ ἐμοῦ λήψεται. Ἤδει γὰρ ὁ πάντας ἐλθὼν τῇ ἀληθείᾳ διδάξαι συμφωνεῖν πολλῷ μᾶλλον συντηρεῖν ἀνεπίληπτον τὴν συμφωνίαν ἑαυτῷ. Ἐκ τοῦ ἐμοῦ λήψεται· πολλὴν καὶ μεγάλην, εἰ καὶ βραχεῖ παραλλάττει ῥήματι, τὸ ἐκ τοῦ ἐμοῦ πρὸς τὸ, ἐξ ἐμοῦ, τὴν διαφορὰν ἔχει· τὸ μὲν γὰρ, ἐξ ἐμοῦ, αὐτὸν τὸν εἰπόντα τὴν φωνὴν συνεισάγει· τὸ δὲ ἐκ τοῦ ἐμοῦ πάντως ἕτερον πρόσωπον παρὰ τὸν εἰπόντα. Τοῦτο δὲ ποῖον ἂν εἴη, ἐξ οὗ λαμβάνει τὸ Πνεῦμα, εἰ μὴ ὁ Πατήρ; οὐδὲ γὰρ οὐδ' ἄλλο τι θεομαχοῦντες ἀναπλάσσουσιν· οὔτε γὰρ ἐξ ἑτέρου Υἱοῦ, οὐ μὴν, ἀλλ' οὔτ' ἐξ αὐτοῦ τοῦ λαμβάνοντος Πνεύματος (2). Ὁρᾷς ὅπως οὐδὲ τὰ τῶν παίδων σοι παρεῖναι φιλεῖ; καὶ γὰρ καὶ παῖδες ἴσασιν ἄρτι φοιτῶντες εἰς γραμματιστοῦ, τὸ μὲν, ἐξ ἐμοῦ, αὐτὸν συνεισάγειν (3) τὸν προάγοντα τὴν τοῦ λόγου περικοπὴν, τὸ δὲ ἐκ τοῦ ἐμοῦ ἕτερον πρόσωπον ἐμφαίνει, ἡνωμένον μὲν (4) δεσμοῖς οἰκειώσεως τῷ εἰπόντι, διάφορον δὲ πάντως τῇ ὑποστάσει· πρὸς ὃ καὶ τῶν ἀκροατῶν τὴν διάνοιαν ἁπλανῶς φέρεσθαι παραπέμπει· ὥστε τὸ σὸν προσφύγιον, εἴπερ ὅλως ἔλοιο ἀντὶ τοῦ δυσσεβεῖν εὐσεβεῖν, μετανοίας ἂν σοι προσφύγιον γένοιτο, οὐδεμία δὲ πρὸς τὸ θεομαχεῖν ἀφορμή.

ANTIRRHESIS.

ΙϚ'. Ὁ τὴν ἀπὸ τοῦ Υἱοῦ λῆψιν τοῦ Πνεύματος μίαν ἡγούμενος τῶν, ὅσαι ἀπό τινος γίνονται λήψεις χρείας ἄλλης χάριν τινὸς, οὐκ ὀκνήσει τάχα καὶ τὴν ἐκ Πατρὸς ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, μίαν ἡγήσασθαι τῶν ὅσαι ἀπό τινος λέγονται ἐκπορεύσεις διαφόροις τρόποις σημασιῶν· ἀλλ' ὥσπερ πάσης ἄλλης ἐκπορεύσεως ἡ τοῦ Πνεύματος ἐκπόρευσις διενήνοχεν οὐσιώδης οὖσα καὶ φυσικὴ, οὕτω καὶ ἡ ἐκ τοῦ Υἱοῦ λῆψις τοῦ Πνεύματος οὐδέν τι δοτὸν σημαίνει παρὰ τοῦ Υἱοῦ τῷ Πνεύματι, ἀλλὰ φυσική τις καὶ οὐσιώδης ἀναγκαίως νοεῖται καὶ μάτην αὐ-

(1) In Laur. οὐ deest ante καταφεύγεις.
(2) Laur. λαμβάνοντος πνεῦμα.
(3) Pro συνεισάγει Laur : συνεισάγειν.
(4) Laur. πρόσωπον ἐμφανῶς ἡνωμένον μέν.

TEXTUS.

21. Quoniam vero vel ea quæ pueris sunt nota scire te vetuit summa illa, qua etiam ad impossibilia contendis temeritas, nunc saltem, etsi non prius, intelligere debes nihil tam clare tuæ vesanæ adversari, quemadmodum hæc Domini atque Salvatoris vox. Si enim diceret : *De me accipiet*, nec sic quidem quod studes evinceretur; haberet tamen aliquem prætextum error. Neque enim accipere ab aliquo ob alium quempiam usum et substantiali processione procedere in eumdem sensum conveniunt; multum abest, ut hoc ita se habeat. Quoniam vero tantæ impietatis magnitudinem Salvator prævidens non talem emisit vocem, ne multos ope tua dæmonis nequitia depasceretur, quomodo loco accusationis quam Domino intendis (*a*), ad ejus clementiam impetrandæ veniæ causa non confugis, nec cordis pandis aures ad ejus doctrinam? 22. Dixit Salvator, non : *De me accipiet*, sed : *De meo accipiet*. Noverat enim qui venit hortaturus omnes, ut veritati concordent et consonent, multo magis sibi consonantiam illibatam conservare *De meo accipiet*; licet modicum sono verborum discrepet, multum tamen et magnum interest discrimen inter *de meo* et *de me;* nam dicendo *de me*, ille ipse qui vocem enuntiavit, inducitur; dicendo autem *de meo*, omnino alia a proferente persona intelligitur. Hæc vero quænam alia fuerit, ex qua accipit Spiritus, nisi Pater? Neque enim hi ipsi Deo repugnantes aliud quid confingent; non enim ex alio Filio, imo neque ex ipsomet accipiente Spiritu. Vides, quomodo ne illa quidem, quæ pueris trita sunt, calles; nam vel pueri grammaticorum frequentantes scholam sciunt, voce hac *de me* illum ipsum includi, qui orationis pericopen protulit; hac autem *de meo* aliam personam diserte significari, unitam quidem juribus conjunctionis cum eo qui vocem pronuntiavit, sed differentem omnino quoad hypostasim; ad hanc etiam auditorum cogitationes sine erroris periculo transmittit et secure deducit (*b*). Quare tuum subterfugium, dummodo pie malis quam impie sentire, pœnitentiæ tibi perfugium fuerit, non vero ulla ad repugnandum Deo occasio.

REFUTATIO.

XVI. Qui acceptionem Spiritus a Filio unam esse putat ex iis quæ communiter fiunt receptiones *ob aliquem alium usum*, vix iste dubitaverit, processionem quoque Spiritus sancti ex Patre existimare unam ex illis processionibus quæ ab aliquo dicuntur secundum varios significationum modos. Verum quemadmodum ab omni alia processione differt sancti Spiritus processio utpote essentialis et naturalis exsistens, sic et acceptio Spiritus a Filio nihil dandum Spiritui a Filio significat, sed naturalis et essentialis acceptio necessario intelligitur.

(*a*) Catif., loco accusandi Salvatoris, clarius : « pro eo, quod accusares Dominum. »
(*b*) Hoc incisum πρὸς ὃ — παραπέμπει omisit Catif.

Digitized by Google Распознавание текста АВК/FR

Ac frustra ipse protendis illa : *Neque enim accipere ab aliquo ob alium quempiam usum et substantiali processione procedere in eumdem sensum conveniant.* Nam sic tibi etiam Spiritus a Filio accipere videtur, sicut ea quæ ab aliquo accipiunt illa quibus indigent et quibus eis opus est. Noli ista dicere, o homo, noli adeo humilia de Deo edicere. Non ut ignorans ea dicis, sed ut proprium luctum vindicans, quem exacerbatus in Romanam Ecclesiam animus tibi propinavit ob vulnus inde tibi inflictum; fallit enim sæpius et sapientes viros propriæ voluntatis arbitrium. Nisi enim hoc esset, quando Italum injuria afficeres ut neque quæ pueri sciunt scientem et intelligere minime valentem, qualiter Dominus non *ex me accipiet* dixerit, sed : *ex meo?* Et si quidem vis discere, quomodo is qui Latino ut crimen objicit, quod nesciat, quæ vel pueri non ita pridem grammaticorum scholas frequentantes norunt, magno Athanasio turpem hanc inscitiam objiciat, id clare demonstrabit ea ad Serapionem epistola, cujus initium : *Litteræ sacræ tuæ affectionis redditæ mihi fuerunt in eremo.* Ibi enim sic ad verbum sanctus loquitur : *Filius ait : « Quæ audivi a Patre hæc et loquor in mundum ; » Spiritus vero ex Filio accipit ; ait enim : « Ex meo accipiet et annuntiabit vobis. »* Cum igitur sanctus dicat, ex Filio accipere Spiritum, quia in Evangeliis ipse dixit : *Ex meo accipiet*, quomodo licet asserere, vocem illam *ex meo* ad personam Patris habere relationem?

A τὸς προτείνεις τὸ *οὐδὲ γὰρ Οὐδὲ τὸ λαμβάνειν ἀπό τινος χρείας ἄλλης χάριν καὶ* [τὸ] *πρὸς οὐσίωσιν ἐκπορεύεσθαι εἰς ταυτὸν συνάγεται* τῇ διανοίᾳ· ἢ γὰρ οὕτω σοι καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ λαμβάνειν δοκεῖ, ὡς τὰ ἀπό τινος λαμβάνοντα ἐφ' οἷς ἔχουσιν ἐπιδεῶς τε καὶ χρειωδῶς. Μὴ ταῦτα, ὦ οὗτος, μὴ οὕτω γε ταπεινὰ λέγε περὶ Θεοῦ· οὐχ ὡς ἀγνῶν, ἀλλ' ὡς οἰκείαν ἐκδικῶν λύπην, ἣν ἡ κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας πικρία σοι ἀνῆψε διὰ τὸ ἐπιγονὸς ἐκεῖθέν σοι βάρος· σφάλλει γὰρ ὡς τὰ πολλὰ καὶ σοφοὺς ἄνδρας τὸ ἰδιοθέλητον· εἰ γὰρ μὴ τοῦτο, πότε ἂν τὸν Ἰταλὸν ἠδίκησας, ὡς μηδὲ τὰ τῶν παίδων εἰδότα καὶ μὴ συνιέναι δυνάμενον, πῶς οὐκ *ἐξ ἐμοῦ λήψεται*, ἀλλ' *ἐκ τοῦ ἐμοῦ* ὁ Κύριος ἔφη. Καὶ εἴ γέ σοι μαθεῖν βουλητόν, ὅπως ὁ τῷ Λατίνῳ ὡς B ἔγκλημα *προστριβόμενος* τὸ μὴ εἰδέναι, ἅπερ καὶ παῖδες ἄρτι φοιτῶντες ἐς διδασκάλου ἐπίστανται, τῷ μεγάλῳ Ἀθανασίῳ τὴν ἐφύβριστον ταύτην προστρίβεται ἄγνοιαν, παραστήσει τοῦτο σαφῶς ἡ πρὸς Σεραπίωνα ἐκεῖνον ἐπιστολή, ἧς ἡ ἀρχή· *Τὰ γράμματα τῆς σῆς ἱερᾶς διαθέσεως ἀπεδόθη μοι ἐν τῇ ἐρήμῳ·* ἐκεῖ γὰρ οὕτως ἐπὶ λέξεων ὁ ἅγιος λέγει· *Ὁ μὲν Υἱὸς φησιν, « Ἃ ἤκουσα παρὰ τοῦ Πατρός, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον· » τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει· « Ἐκ τοῦ ἐμοῦ γὰρ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν, » φησίν* (1). Ἐπεὶ γοῦν ὁ ἅγιος ἐκ τοῦ Υἱοῦ λαμβάνειν λέγει τὸ Πνεῦμα διὰ τὸ εἰπεῖν ἐν Εὐαγγελίοις αὐτὸν *Ἐκ τοῦ ἐμοῦ λήψεται*, πῶς ἔστι λέγειν τὸ *ἐκ τοῦ ἐμοῦ* πρὸς τὸ πατρικὸν ἔχειν πρόσωπον τὴν ἀναφοράν;

TEXTUS.

23. Quid ergo? Nonne oportebat te hæc saltem, quæ et pueri norunt, addiscere, priusquam blasphemiam efferres? Quomodo vero non pertimescis, licet dolo velando aptissimus, ita temere atque impudenter verbis Dominicis insultare et illudere, et quæ nec orationis series nec sententiæ integritas permittit, hæc non erubescis asserere Dominum affirmare? Certe enim vocem *de me* Christus non enuntiavit; tu tamen, licet non voce, at saltem fraudis exercendæ studio vocem *de meo* in hanc aliam *de me* transformans, asserensque Dominum docuisse id quod tibi per istam locutionem videtur significari, tria hæc simul ei per calumniam tribuis : dixisse nempe, quod non dixit, non dixisse quod dixit, et sententiam docere, quam non solum non significavit voce, sed contra potius doctrinæ suæ adversari perspicue cernitur; et quarto eum sibi ipsi contraria sancientem inducis. Quonam pacto? Ipse dixit : *De meo accipiet*, non autem : *De me;* tu vero docere ipsum affirmas, quod voce ista *de me* importari existimas; quamobrem quod quidem dixit, tollis ac negas, quod vero non dixit, quasi dictum obtrudis. Clamas enim Christum vocis, quam non enuntiavit, sententiam discipulis

KEIMENON.

κγ'. Τί οὖν; οὐκ ἔδει σε ταῦτα, εἰ μή τι ἄλλο, πρὸ τοῦ βλασφημεῖν (2), ἃ καὶ παῖδες ἴσασιν, εἰδέναι ζητεῖν; Πῶς δέ σε φόβος οὐκ ἔλαβε, καίτοι δραστήριον ὄντα κρύψαι κακουργίαν, ἀνέδην οὕτω τῶν Δεσποτικῶν ῥημάτων κατορχεῖσθαι καὶ καταψεύδεσθαι; καὶ ἃ μήτε τὸ ἀκόλουθον τοῦ λόγου μήτε τῆς διανοίας (3) ἐπιτρέπει τὸ ἀνύβριστον, ταῦτα λέγειν οὐκ ἐρυθριᾷς τὸν Δεσπότην ἀποφαίνεσθαι; Καὶ γὰρ τὸ μὲν, *ἐξ ἐμοῦ*, δηλονότι μὴ ἐφθέγξατο· σὺ δὲ εἰ καὶ μὴ τῇ φωνῇ, μηχανῇ δὲ τῇ τοῦ κακουργεῖν τὸ *ἐκ τοῦ ἐμοῦ* μεταπλάσας εἰς τὸ, *ἐξ ἐμοῦ*, καὶ τὸ διὰ ταύτης σοι νομιζόμενον δηλοῦσθαι τῆς πρόσφορᾶς τὸν Σωτῆρα διδάσκειν κατηγορῶν ἅμα τρία ταῦτα διαῤῥήδην συ- D κοφαντεῖς· εἰπεῖν δ μὴ εἶπε, μὴ εἰπεῖν ὅπερ εἶπε, καὶ νοῦν ἐκδιδάσκειν, ὃν οὐ μόνον οὐκ ἐδήλωσε τῇ φωνῇ, ἀλλὰ καὶ τοὐναντίον τῇ μυσταγωγίᾳ τῇ αὐτοῦ (4) μαχόμενον ἔστι σαφῶς καθορᾶν· καὶ τέταρτον ἀντινομοθετοῦντα εἰσάγεις ἑαυτόν. Πῶς καὶ τίνα τρόπον, Αὐτὸς μὲν εἶπεν· *Ἐκ τοῦ ἐμοῦ λήψεται*, ἀλλ' οὐκ, *ἐξ ἐμοῦ*· σὺ δὲ διδάσκειν αὐτὸν διισχυρίζῃ, ἅπερ ἡ *ἐξ ἐμοῦ* λέξις δοκεῖ σοι παραδηλοῦν· ὥστε ὃ μὲν εἴρηκεν, ἀναιρεῖς· ὃ δὲ οὐκ ἔφησεν, ὡς εἰρημένον συγκροτεῖς. Τὸν γὰρ νοῦν βοᾷς ἧς οὐκ εἶπε φωνῆς δογματίζειν αὐτὸν τοῖς μαθηταῖς καὶ δι' αὐτῆς δι-

(1) Eadem adducit Beccus l. III ad Theodor. n. 10 (Gr. orth. t. II, p. 144).

(2) Laur. loco πρὸ τοῦ βλασφημεῖν habet : πρὸς τὸ βλασφημεῖν.

(3) Laur : μήτε διανοίας.

(4) Laur. : Τῇ μυσταγωγίᾳ τοῦ αὐτοῦ.

Digitized by Google Распознавание текста ABK/FR

δάσκειν δ μηδόλως ἐγνώσθη διὰ τῶν ἀχράντων χειλέων προαγαγών. Καὶ ἡ μὲν ἐνυπόστατος σοφία τοῦ Θεοῦ τὸ Πνεῦμα μυσταγωγεῖ ἐκπορεύεσθαι τοῦ Πατρός· σὺ δὲ ὥσπερ ἐλέγχειν πᾶσαν σπουδὴν ἐπελθὼν διαφωνοῦντα πρὸς ἑαυτὸν, τὸ Πνεῦμα κράζεις μεταδιδάσκειν ἐκπορεύεσθαι ἐξ αὐτοῦ, καὶ τῆς μὲν προτέρας ἐξίστασθαι θεολογίας, διὰ δὲ τῆς δευτέρας ἐκείνης τε παραφαῦλον ποιεῖν καὶ οὐδὲ αὐτῇ τὸ κύριον συντηρεῖν. Ἅπας γὰρ τῆς ἐν χάριτι θεολογίας ὑπὸ τῆς χάριτος περιτρεπομένης οὐδαμοῦ τὸ βέβαιον τὴν διαμονὴν εὑρήσει.

A tradidisse et per ipsam docere, quod nullatenus labilis suis purissimis protulisse cognoscitur. Et sapientia quidem Dei per se subsistens Spiritum tradit procedere a Patre; tu vero omni contendens studio, illum quasi dissonantem sibi redarguere, clamas ipsum mutato consilio docuisse Spiritum ab ipso procedere, et a priori quidem theologia recessisse; per secundam vero illam priorem sprevisse, imo nec posteriori robur suum conservasse. Si enim gratiæ theologia ab ipsamet gratia subvertatur, nusquam firma poterit permanere.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΖ'. Εὐφήμει, ἄνθρωπε, καὶ τῶν ἀδελφῶν μὴ καταψεύδου τῶν σῶν, τῶν Δεσποτικῶν ῥημάτων κατορχεῖσθαι καὶ καταψεύδεσθαι διαβάλλων αὐτούς, καὶ τρία ταῦτα συκοφαντοῦντας τὸν Δεσπότην λέγων αὐτοὺς, εἰπεῖν δ μὴ εἶπε, μὴ εἰπεῖν ὅπερ εἶπε καὶ νοῦν ἐκδιδάσκειν τῇ αὐτοῦ μυσταγωγίᾳ μαχόμενον, καὶ τῇ συκοφαντίᾳ ταύτῃ τέταρτον προστιθεὶς, τὸ εἰσάγειν δῆθεν τούτους αὐτὸν ἀντινομοθετοῦντα ἑαυτῷ· ταῦτα γὰρ πάντα οὐκ ἄλλοθεν ἀλλ' ἐξ αὐτῶν τῶν ἐν Εὐαγγελίοις τοῦ Σωτῆρος φωνῶν τὸν ἔλεγχον ἔξουσιν. Εἰ γὰρ συκοφαντίαν τοῦ Σωτῆρος τοῖς Ῥωμαίοις ἐγκαλεῖς, ὡς αὐτοῦ μὲν, Ἐκ τοῦ ἐμοῦ, εἰπόντος, Λήψεται, ἀλλ' οὐκ ἐξ ἐμοῦ, τῶν δὲ ὁ μὲν οὕτος εἴρηκεν ἀναιρούντων, ὃ δὲ οὐκ ἔφησεν ὡς εἰρημένον συγκροτούντων· οὐδεὶς τῶν τοῦ Εὐαγγελίου μαθητῶν ἀνέγκλητος μενεῖ παρὰ σοὶ ὡς πολλὰς τάχα καὶ διαφόρους τοῦ Εὐαγγελίου διαβαλλόντων περικοπάς· αὐτίκα γὰρ ἐν Εὐαγγελίοις ὁ Σωτὴρ διαῤῥήδην βοᾷ· Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός· καὶ τὸ Πνεῦμα ἐπὶ τῇ γνώσει ταύτῃ ἀποσιωπᾷ. Ἀλλ' οἱ τῆς εὐαγγελικῆς ὑποφῆται (1) θεολογίας τὸ ῥητὸν τοῦτο οὐκ εἰς διαστολὴν ῥηθῆναι τοῦ Πνεύματος ἐξηγοῦνται· ἀλλ' ἐπεὶ, φασὶ, τὸ εἰδέναι τῷ Πνεύματι ἐκ τοῦ Πατρός ἐστιν ἐν τῷ λέγεσθαι τὸν Υἱὸν ἐπιγινώσκεσθαι παρὰ τοῦ Πατρὸς, συνεπινοεῖται τῷ Πατρὶ καὶ τὸ Πνεῦμα· καὶ πάλιν ὁ Σωτὴρ πρὸς τὸν εἰπόντα αὐτὸν διδάσκαλον ἀγαθὸν ἔφη· Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός· καὶ ὡς ἐξ ἐπιπολῆς δοκεῖ τὸ μὴ ἀγαθὸν προσμαρτυρεῖν ἑαυτόν· ἀλλ' οἱ αὐτοὶ τῆς εὐαγγελικῆς ὑφηγηταὶ θεολογίας τὸ ῥητὸν ἐξηγούμενοί φασιν, ὡς ὁ Κύριος ἐν Εὐαγγελίοις ἔφη τοῦτο, οὐχὶ ἔξω τιθεὶς ἑαυτὸν τῆς τοῦ ἀγαθοῦ φύσεως, ἀλλὰ πρῶτον ἀγαθὸν εἶναι τὸν Πατέρα δηλῶν. Τί γοῦν περὶ τῶν οὕτω ταῦτα ἐξηγουμένων ἐρεῖς; Ἆρά γε φήσεις δ μὲν εἰρηκεν ὁ Σωτὴρ ἀναιροῦντας αὐτοὺς, ὃ δὲ οὐκ ἔφησε συγκροτοῦντας ὡς εἰρημένον; Καὶ ὅταν δὲ λέγῃ ὁ Κύριος περὶ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας μηδένα εἰδέναι, μηδὲ τοὺς ἀγγέλους τῶν οὐρανῶν, εἰ μὴ τὸν αὐτοῦ Πατέρα μόνον, οἱ δὲ τῶν εὐαγγελικῶν ἐξηγηταὶ λόγων φασὶν, ὡς ὁ Κύριος τὸ ἑαυτοῦ πρόσωπον ὡς ὁμολογούμενον παρασιωπήσας εἰδέναι τὸν Πατέρα μόνον φησὶ, τὴν τοῦ Πατρὸς γνῶσιν κατὰ τὸ σωπώμενον καὶ ἑαυτοῦ

REFUTATIO.

XVII. Tace, homo, noli contra fratres tuos mentiri calumniando eos, quasi Domini verbis illuderent et insultarent, ac tria ista per calumniam Domino affingerent, dicere quæ non dixit, non dicere quæ dixit, et sententiam docere suæ ipsius institutioni repugnantem; quartum insuper huic calumniæ addendo, quod ipsi Dominum sibimet contraria sancientem inducerent. Hæc enim omnia non aliunde, sed ex ipsis Servatoris vocibus in Evangeliis descriptis refutationem nanciscentur. Nam si Romanis quasi calumniam Domino illatam exprobras, quod ipse quidem dixerit, *De meo accipiet*, non vero *De me*, isti autem quod ille dixit, tollant de medio, quod vero non dixit, quasi dictum obtrudant: nemo Evangelii discipulus inculpatus apud te manebit, quasi multas et diversas Evangelii pericopas isti confundant ac permisceant. Protinus enim in Evangeliis Servator diserte clamat: *Nemo cognoscit Filium nisi Pater, neque Patrem quis cognoscit nisi Filius*, atque Spiritum plane in hac cognitione silentio prætermittit. Sed evangelicæ theologiæ interpretes dictum hoc non ad Spiritus sancti exclusionem prolatum esse exponunt: verum cum Spiritus, aiunt, ex Patre habeat scire, dum dicitur Filius a Patre cognosci, simul cum Patre etiam Spiritus intelligitur. Et rursum Salvator ei, qui ipsum magistrum bonum vocaverat, dixit: *Quid me dicis bonum? Nemo bonus nisi solus Deus*; et veluti manifeste attestari videtur non bonum esse seipsum. At iidem evangelicæ theologiæ interpretes hoc dictum explanantes tradunt, Dominum in Evangeliis hoc dixisse, non a natura boni seipsum excludentem, sed primum bonum esse Patrem declarantem. Quid igitur dices de iis, qui hoc pacto ista explanant? An dices eos quæ dixit quidem Servator, e medio tollere, quæ vero non dixit velut ab eo dicta obtrudere? Et quando Dominus dicit, de illa die vel hora neminem scire, neque angelos cœlorum, nisi solum suum Patrem, evangelicorum verborum expositores tradunt, Dominum suam ipsius personam veluti eam, de qua id in confesso erat, silentio prætermisisse et Patrem solum scire asseruisse, scientiam Patris secundum reticentiam etiam suam esse dicentem. Num itaque

(1) Laur. f. 182 : ὑποφῆται, fort. ὑφηγηταί ut infra.

Digitized by Google Распознавание текста ABBYY FR

dices et ipsos ludibrio habere et mendaciis insectari divina verba et Deum veritatis contradictionis cum seipso arguere, qui ipsa veritas est, et quis ab amentia immunis ista admittet?

A εἶναι λέγων· ἆρά γε κατορχεῖσθαι καὶ αὐτοὺς καὶ καταψεύδεσθαι τῶν Δεσποτικῶν ῥημάτων ἐρεῖς καὶ διαφωνοῦντα πρὸς ἑαυτὸν ἐλέγχοντας τὸν Θεὸν τῆς ἀληθείας, τὴν αὐτοαλήθειαν, καὶ τίς ἂν μανίας ἀνώτερος αὐτὰ παραδέξαιτο;

TEXTUS.

24. Sed jam tempus adest, ab initio (*a*) audire tum verborum Dominicorum seriem, tum sententiæ quam verba illa important, scopum; multo enim validius per illa impietatis impudentia panditur et configitur (*b*). Postquam enim dixit: *Vado ad Patrem*, subdit his ipsis verbis: *Sed quia hæc locutus sum vobis, tristitia implevit cor vestrum. Sed ego veritatem dico vobis: expedit, ut ego vadam. Si enim non abiero, Paraclitus non veniet ad vos.* Et B post pauca: *Adhuc multa habeo vobis dicere; sed non potestis portare modo. Cum autem venerit ille, Spiritus veritatis, docebit vos omnem veritatem. Non enim loquetur a semetipso, sed quæcunque audiet, loquetur, et quæ ventura sunt annuntiabit vobis. Ille me clarificabit, quia de meo accipiet et annuntiabit vobis. Omnia quæcunque habet Pater, mea sunt. Propterea dixi: Quia de meo accipiet et annuntiabit vobis.* Annon sunt hæc sacra et divina oracula? Annon hæc clare intelligendum exhibent mysterium pietatis? Annon causam manifestant, propter quam ea dicere voluit Servator? Annon doctrinam ab initio traditam illibatam servant? An non omnem calumniam confundunt omnemque resecant impietatis ansam? Quoniam enim vidit C discipulos in mœstitiam collapsos, quia ipsis præsens declaraverat futuram suam per corpus sejunctionem suamque ad Patrem profectionem, propterea istos intuitus in mœstas cogitationes demersos, erigens illos veraque consolatione reficiens, primo quidem expedire ipsis se abire docet, deinde explicans quoque, quomodo id expediat: *Si enim ego*, inquit, *non abiero, Paraclitus non veniet ad vos.* Hæ siquidem voces ad Spiritus sublimem majestatem ipsos excitant sublevantque, quemadmodum et ista: *Non potestis portare modo.* Sed quando? *Quando venerit Spiritus veritatis, ille enim docebit vos omnem veritatem.* Alia rursus hic miranda Spiritus emergit prærogativa, quæ discipulis explicata mentem illorum in immensam altitudinem elevat, in qua Spiritus dignitas supra modum ipsis enitebat.

KEIMENON.

κδ'. (1) Ἀκούειν δ' ἄνωθέν ἐστι καιρὸς καὶ τῶν Κυριακῶν λογίων τῶν εἰρημένων καὶ τῆς διανοίας, ἧς τὰ ῥήματα διερμηνεύουσι τὸν σκοπόν· οὐδὲ γὰρ ἧττον, ἀλλὰ καὶ πολλῷ μᾶλλον δι' αὐτῶν τῆς ἀσεβείας στηλιτεύεται τὸ ἀναιδές. Μετὰ γὰρ τὸ εἰπεῖν, ὅτι *Πορεύομαι πρὸς τὸν Πατέρα*, ὑποκατιὼν ἐπάγει ῥήμασιν αὐτοῦ· *Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς.* Καὶ μετ' ὀλίγον· *Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.* Ἆρ' οὐχὶ ταῦτα ἱερὰ καὶ θεόχρηστα λόγια, καὶ τὸ τῆς εὐσεβείας μυστήριον οὐ παρέχεται σαφῶς ἐννοεῖν; καὶ τὴν αἰτίαν οὐκ ἐμφανίζει, δι' ἣν εἰπεῖν ταῦτα ἐδικαίωσε, καὶ τὴν ἐξ ἀρχῆς μυσταγωγίαν οὐκ ἀκήρατον συντηρεῖ, καὶ πᾶσαν οὐ κατισχύνει συκοφαντίαν καὶ δυσσεβείας ἀπάσης ἐκκόπτει ἀφορμήν, Ἐπεὶ γὰρ οἶδε τοὺς μαθητὰς εἰς ἀθυμίαν καταπεσόντας, ὅτιπερ αὐτοῖς παρὼν ἀνεῖπε τὸν κατὰ σῶμα χωρισμὸν καὶ ὅτι πορεύεται πρὸς τὸν Πατέρα, διὰ ταῦτα τούτους ἰδὼν εἰς κατηφείας λογισμὸν κατενεχθέντας, ἀνακτώμενός τε καὶ σὺν ἀληθείᾳ ψυχαγωγῶν, πρῶτον μὲν, ὅτι συμφέρει αὐτοῖς τὸ ἀπελθεῖν αὐτὸν, ἐκδιδάσκει· εἶτα διερμηνεύων καὶ ὅπως συμφέρει, *Ἐὰν γὰρ ἐγὼ*, φησὶ, *μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς.* Αἱ δὲ τοιαῦται φωναὶ δηλονότι πρὸς τὸ μεγαλεῖον αὐτοὺς τοῦ Πνεύματος ἀνυψοῦσθαι διανιστῶσιν· ὥσπερ καὶ τὸ, *Οὐ δύνασθε βαστάζειν ἄρτι.* Ἀλλὰ πότε; *Ὅταν ἔλθῃ τὸ Πνεῦμα τῆς ἀληθείας· ἐκεῖνο γὰρ ὑμᾶς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν.* Ἄλλο πάλιν ἐνταῦθα τοῦ Πνεύματος μέγεθος ἀναφυόμενον θαυμαστὸν καὶ τοῖς μαθηταῖς ἀναπτυσσόμενον καὶ μετεωρίζον αὐτῶν τὴν διάνοιαν εἰς ἄφατον ὕψος, ἐν ᾧ τοῦ Πνεύματος αὐτοῖς καθ' ὑπερβολὴν διέλαμπε τὸ ἀξίωμα.

25. Quid ergo? Facile erat ipsis has ferme cogitationes de Spiritu in animo agitare: tu vero præsens, o Magister, vires nobis non suppeditabas portando arcanorum oneri? Paraclitus autem superveniens aptiores nos validioresque gestandæ illorum cognitioni absque onere efficiet? Et tu quidem ex

κε'. Τί οὖν; Εἰκὸς ἦν αὐτοῖς ὧδέ που περὶ τοῦ Πνεύματος ἀνηγμένοις διαλογίζεσθαι· Σὺ δὲ παρὼν, ὦ Διδάσκαλε, βαστάζειν ἡμᾶς τὸ βάρος οὐκ ἐνίσχυες τῶν ἀπορρήτων. Ὁ δὲ Παράκλητος ἐπελθὼν βελτίους ἡμᾶς καὶ ἰσχυροτέρους εἰς τὸ φέρειν αὐτῶν τὴν γνῶσιν ἀβαρῶς παρασκευάσει. Καὶ σὺ μὲν ἐπὶ μέ-

(*a*) Ἄνωθεν Catif. vertit *altius*.

(*b*) Catif.: evulgatur, sed στηλιτεύειν est proprie opprobrio exponere (brand. marken).

(1) Vide *Patrol. Gr.* t. CII, p. 504. Laur. τὸν εἰρμὸν, p. 505 n. 1, ὁ Σωτὴρ add. Laur. Laur. τὸν κατὰ τὸ σῶμα χωρισμόν.

Digitized by Google Распознавание текста ABBYY FR

ρους ἡμῖν τὴν ἀλήθειαν ἀνεκάλυψας (1)· ἐκεῖνος δὲ ὁδηγήσει ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· καὶ σοῦ μὲν μυσταγωγοῦντος ἔτι δεόμεθα καὶ σοφίας δυνάμεως καὶ ἀληθείας· ἐκεῖνος δὲ παραγεγονὼς πάντων ἡμῖν τὴν ἀπόλαυσιν ἄφθονον παράσχοι. Εἰ τοίνυν σὺ ταῦτα, ἡ ἐνυπόστατος σοφία καὶ ἀλήθεια, διδάσκεις, οὐκ ἐπιδιστάζειν ἡμᾶς πρόσῃκε καὶ τῆς πρὸς τὸ μεῖζον ἐξαλλαττούσης τιμῆς τε καὶ δόξης τὸ Πνεῦμα παρ' ἡμῶν ἀξιοῦσθαι.

κς'. Ἐπειδὴ οὖν τὰ ὑψηλὰ περὶ τοῦ Πνεύματος εἰσηγεῖται μὲν τοῖς μαθηταῖς ὁ Σωτὴρ, ἀποσκευαζόμενός τε αὐτῶν τὸ ἀθυμοῦν, ἅμα δὲ καὶ τὸ Πνεῦμα ἐν ἀληθείᾳ θεολογῶν, λογισμοῖς δ' ἀνθρώπινον ἦν οὐκ εὐαγέσιν ἀνακυμαίνεσθαι τὸν νοῦν τῶν μαθητῶν· δεινὸν γὰρ ἡ ψυχὴ λύπῃ κάτοχος γενομένη καὶ τὸ κριτήριον ἀχλύῖ συναναθολώσασα τῆς μεταβολῆς τὸ σωτήριον ἀντιμεθέλκειν εἰς τὸ βλαβερόν· διὰ τοῦτο ὡς ἂν μὴ τὸ Πνεῦμα μεῖζον παραδέξωνται τοῦ Υἱοῦ, ἅτε δὴ τὰ μείζω παρεχόμενον, καὶ λογισμὸς αὐτοῖς ἐπέλθοι τὴν ὁμοφυΐαν ὑβρίζων καὶ τὸ ἰσότιμον αὐτῶν εἰς ἀνισότητα διασπῶν, ὡς ἄριστος καὶ τῶν σωμάτων καὶ τῶν ψυχῶν ἰατρὸς τὸ σωτήριον προκαταβάλλεται φάρμακον.

κζ'. Εἰ δέ γε τοὺς μαθητὰς μὴ συνεῖχον, μηδ' ἀνεσόδουν, μηδὲ συνετάραττον τοιοῦτοι λογισμοὶ (κρεῖττω γὰρ τῆς τοιαύτης συγχύσεως καὶ ταραχῆς τὸν ἱερὸν ἐκεῖνον χορὸν εὐλαβέστερον ἴσως ὁμολογεῖν), ἀλλ' οὖν ὁ τῆς κακίας εὑρετὴς καὶ τεχνίτης τὸ βέλτιον τῇ τοῦ χείρονος φαντασίᾳ περιβαλεῖν πολλοὺς ἂν ἔσχε τῆς οἰκείας ποιήσασθαι θήραμα μηχανῆς καὶ δόξαν αἱρετίζουσαν κατασπεῖραι ταῖς τῶν ἀνθρώπων ψυχαῖς· ἣν αὐτῇ καταβολῇ καὶ αὐτῷ τεχνίτῃ (2) κατισχύνων τε καὶ διασκεδάζων ὁ Σωτὴρ ὀξέως καὶ θεοπρεπῶς ἐπιφέρει λέγων, ὡς *Οὐ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει*· καὶ γὰρ καὶ περὶ αὐτοῦ ἦν προειρηκὼς, ὅτι *Πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν*· οἷον· Ἀμφοῖν ἡμῖν ἐκ τοῦ Πατρός ἐστι τὸ διδάσκειν καὶ φωτίζειν τὰς διανοίας ὑμῶν. Διὸ καὶ διότι προῖὼν ἔφησε περὶ τοῦ Πατρὸς, ὅτι *Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς*· ἀλλὰ καὶ ὁ Πατὴρ δοξάζει τὸν Υἱόν· *Καὶ ἐδόξασα* γὰρ, ἔφη, *καὶ δοξάσω*· νυνὶ δὲ καὶ τὸ Πνεῦμα δοξάζει ὁ Υἱὸς διὰ τῶν προειρημένων ὑψηλῶν τε καὶ θεοπρεπῶν φωνῶν· διὰ τοῦτο μετ' ὀλίγον ἐπιφέρει, ὅτι *Ἐκεῖνος ἐμὲ δοξάσει*, πανταχοῦ τὸ ὁμοούσιον καὶ ὁμοφυὲς καὶ τὸ τῆς ὁμοτιμίας ἀξίωμα ἀκήρατον συντηρῶν· ὡς ἄν τις εἴποι· Κοινόν ἐστι τῆς ὑπερουσίου καὶ ὑπερδεδοξασμένης Τριάδος τὸ παρ' ἀλλήλων ἀῤῥήτῳ λόγῳ δοξάζεσθαι. Δοξάζει τὸν Πατέρα ὁ Υἱὸς, ἀλλὰ καὶ ὁ Πατὴρ τὸν Υἱὸν δοξάζει καὶ τὸ Πνεῦμα· καὶ γὰρ ἐκεῖθεν αὐτῷ τῶν χαρισμάτων ὁ πλοῦτος πηγάζει· ἀλλὰ καὶ τὸ Πνεῦμα τὸν Πατέρα, ὅτι *ἐρευνᾷ*, μᾶλλον δὲ οἶδε *τὰ βάθη τοῦ Θεοῦ* καὶ ἀποκαλύπτει αὐτὰ, καθόσον ἐστὶν ἀνθρωπίνῃ φύσει ληπτὸν, τοῖς παρασκευακόσι ἑαυτοὺς ἐπιτηδείους δέξασθαι τὴν ἐκ τῆς θεογνωσίας αὐγήν.

A parte nobis revelasti; ille autem in omnem nos deducet veritatem? Ac te quidem mysteria docente adhuc egemus et sapientia, et virtute, et veritate; ille vero adveniens omnia nobis perfruenda uberrime præbebit? Si ergo tu, substantialis sapientia et veritas, hæc doces, non utique ambigere nos decet, majorem quoque honorem ac gloriam a nobis Spiritui esse tribuendam.

26. Quoniam igitur sublimia hæc de Spiritu discipulis exponit Salvator, mœstitiam ab illis amovens, simulque veram de Spiritu doctrinam tradens; humanum autem erat cogitationibus non plane puris discipulorum agitari mentes (facile enim anima mœrore correpta vim judicandi caligine perturbans quod salutare est in noxium potest detorquere); propterea, ne Spiritum Filio majorem arbitrarentur utpote majora præbentem, neve illis ulla cogitatio oboriretur consubstantialitatem lædens æqualitatemque ipsorum in inæqualitatem distrahens, ut optimus et corporum et animarum medicus, salutare præparat medicamentum.

27. Quod si apostolos, ejusmodi cogitationes nec tenebant, nec agitabant, nec turbabant (fortasse enim sanctius est fateri, sacrum illum cœtum non fuisse hujusmodi confusioni ac conturbationi obnoxium), attamen malitiæ inventor et artifex bonum mali specie circumvestiendi peritissimus multos potuisset suæ fraudis prædam efficere, opinionemque hæreticam animabus hominum inserere; quam una cum ipsa fraude fraudisque artifice confundens ac dissipans Salvator acute admodum et divine adjecit, quod *Non loquetur a semetipso, sed quæcunque audierit, loquetur.* Nam et de seipso antea dixerat: *Omnia quæcunque audivi a Patre meo, nota feci vobis.* Ac si diceret: Uterque nostrum ex Patre habet docere et illuminare mentes vestras. Ideo et quia in progressu sermonis dixit de Patre suo: *Ego te clarificavi super terram;* imo et Pater Filium clarificat: nam, *Et clarificavi*, inquit, *et iterum clarificabo;* nunc vero et Spiritum clarificat Filius per prædictas sublimes divinasque voces: ideo paulo post subdit: *Ille me clarificabit*, ubique consubstantialem naturæque identitatem ac dignitatis æqualitatem inviolatas servans. Ac si quis dicat: Commune est supersubstantiali ac superglorificatæ Trinitati, alteram ab altera persona ineffabili ratione glorificari. Glorificat Patrem Filius, sed et Pater Filium glorificat atque Spiritus; namque inde ei donorum divitiæ affluunt; sed et Spiritus Patrem, quoniam *scrutatur*, imo potius *novit profunda Dei*, eaque revelat, quatenus queunt ab humana natura percipi, iis qui se ipsos ad lucem divinæ cognitionis suscipiendam idoneos dignosque comparaverint.

(1) Loc. cit. p. 308 not. 19 Laur. et Col. ἀπεκάλυψας.

(2) Laur. αὐτοτεχνίτῃ.

Digitized by Google Распознавание текста ABK/FR

Glorificat vero, ut modo dictum est, et Filius Spiritum et Spiritus Filium, estque ipsis, quemadmodum commune regnum, et virtus, et potentia, ita et gloria, non ea solum, quæ a nobis offertur, sed etiam quam ipsi a se ipsis recipiunt.

28. *Ille me clarificabit*, hoc est : nec quia gloriam tribui Paracleto, ideo majorem me illum declaravi, neque rursus quia dixi : *Ille me clarificabit*, me ipsum ei honore antefero. *Me clarificabit*, hoc est : quantum illius altitudinem intelligis, meam per illum glorificationem potes contemplari. Nam sicut ego quæ audivi a Patre vos docui, ita et ille accipiet de meo et illustrabit vos. Æqualiter perennis nostrorum donorum emanat fons ; æqualiter sempiterna e Patre processio, æqualiter consubstantialitas et naturæ identitas ; omnia honoris et gradus æqualitatem indicant ; undequaque majoris et minoris ratio eliminatur.

29. Deinde, cum dixisset quod *accipiet*, clare etiam prædicat causam, cur accipiet : neque enim ut procedat, ait, neque ut subsistat (attende, quæso, Dominicis vocibus), sed cur accipiet, cur ? Ut quæ ventura sunt annuntiet vobis. Id enim cum prius asseruisset, obsignat rursus inquiens : *De meo accipiet et annuntiabit vobis*. Clarius vero explicans quid sibi velit his verbis : *De meo accipiet*, confestim addit : *Omnia quæcunque habet Pater, mea sunt*. Quare Spiritus mea accipiens et de meo Patre accipit. Nec vero eo usque tantum sententiæ ejusdem explicationem profert, sed adhuc exactius illam revelans et confirmans ait : *Propterea dixi quia de meo accipiet*, quoniam in Patre quidem sunt mea, Spiritus autem ex Patre accipit ; quæ enim sunt Patris mea sunt ; ut ita propemodum clamare videatur : Quando dico *De meo*, ad meum Patrem, non vero ad alium vestras cogitationes vertere et convertere debetis. Nullum enim prætextum reliqui vobis, quem non resciderim, ne ad aliud quidpiam imaginationibus abripiamini, præsertim cum jam ante asseruerim vobis, quod omnia quæcunque habet Pater, mea sunt.

30. Quid sacrosanctis istis verbis luculentius? Quid clarius ad ostendendum, verba illa, *De meo accipiet*, ad Patris personam nos transmittere et ad eam esse revocanda, atque Spiritum a Patre tanquam a causa donorum operationem accipientem prædicari? Donorum, inquam, illorum, quibus discipulos corroborabit, ut futurorum cognitionem constanti firmoque ferant animo, rerumque arcanorum atque reconditarum citra ullam difficultatem constituantur spectatores ac speculatores, imo et supernaturalium prodigiorum patratores et opifices.

REFUTATIO.

XVIII. Iterum de vocibus illis disserens : *De meo*, et *De me accipiet*, secundum id quod tibi videtur,

(1) Sic Col. et Laur.

Δοξάζει δὲ, ὥσπερ εἴρηται, νῦν ὅ τε Υἱὸς τὸ Πνεῦμα καὶ τὸ Πνεῦμα τὸν Υἱὸν, καὶ ἔστιν αὐτῶν ὥσπερ κοινὸν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ τὸ κράτος, οὕτω καὶ ἡ δόξα, καὶ οὐ μόνον ἡ παρ' ἡμῶν ἀναφερομένη, ἀλλὰ καὶ ἣν αὐτοὶ δέχονται παρ' ἑαυτοῦ.

κη'. *Ἐκεῖνος ἐμὲ δοξάσει* · τουτέστιν, οὔτε διότι δόξαν ἀνῆψα τῷ Παρακλήτῳ, διὰ τοῦτο μείζονα αὐτὸν, ἀπεφηνάμην ἐμοῦ, οὔτε πάλιν διότι *Ἐκεῖνος ἔφην, Δοξάσει ἐμὲ*, ἐμαυτὸν ἐκείνου προτίθημι τῇ τιμῇ. *Δοξάσει ἐμὲ*, τουτέστιν ὅσον ἐκείνου τὸ ὕψος κατανοεῖς, τὴν ἐμὴν δι' αὐτοῦ δόξαν ἔνεστί σοι ἀναθεωρεῖν · καὶ γὰρ ὥσπερ ἐγὼ ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ἐδίδαξα ὑμᾶς, οὕτω κἀκεῖνος λήψεται ἐκ τοῦ ἐμοῦ καὶ φωταγωγήσει ὑμᾶς. Ἐπίσης ἡ τῶν χαρισμάτων ἄνναος ἡμῶν βρύει πηγὴ, ἐπίσης ἡ ἐξ ἀϊδίου πρόοδος ἐκ τοῦ Πατρὸς, ἐπίσης τὸ ὁμοούσιον καὶ ὁμοφυές · πάντα τὴν ἰσοτιμίαν μυσταγωγεῖ. πανταχόθεν τὸ μεῖζον καὶ τὸ ἔλαττον ἀπελαύνεται.

κθ'. Εἶτα εἰπὼν, ὅτι *λήψεται*, λαμπρῶς ἀνακηρύττει, καὶ ἐφ' ᾧ λήψεται· Οὐδὲ γὰρ ἵνα ἐκπορευθῇ, φησὶν, οὐδ' ἵνα ὑποστῇ (πρόσεχε ταῖς Δεσποτικαῖς, ἄνθρωπε, φωναῖς) · ἀλλὰ διὰ τί λήψεται ; διὰ τί ; *Ὥστε τὰ ἐρχόμενα ἀναγγεῖλαι ὑμῖν* · καὶ γὰρ τοῦτο προαναφθεγξάμενος ἐπισφραγίζει πάλιν λέγων · *Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν*. Σαφέστερον δ' ἀνακαλύπτων, τί ποτέ ἐστιν ὃ λέγω, *Ἐκ* (1) *τοῦ ἐμοῦ λήψεται*, συντόμως ἐπάγει· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν*, ὥστε τὰ ἐμὰ λαμβάνων καὶ ἐκ τοῦ ἐμοῦ Πατρὸς λαμβάνει. Καὶ οὐδὲ μέχρι τούτου (2) τὴν αὐτὴν διάνοιαν ἀνατύσσων προάγει, ἀλλ' ἔτι τελειότερον αὐτὴν ἀνακαλύπτων καὶ βεβαιούμενος λέγει · *Διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ λαμβάνει* · διότι ἐν τῷ Πατρὶ μὲν ἔστι τὰ ἐμά · τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς λαμβάνει · καὶ γὰρ τὰ τοῦ Πατρὸς ἐμά ἐστιν · ὥστε μόνον οὐχὶ βοᾷ · Ὅταν λέγω *τοῦ ἐμοῦ*, πρὸς τὸν ἐμὸν Πατέρα χρὴ τοὺς λογισμοὺς ὑμῶν ἀναφέρειν καὶ μὴ πρὸς ἕτερον ἐπιστρέφεσθαι. Οὐδὲ γὰρ οὐδεμίαν πρόφασιν ὑμῖν ὑπελειπόμην, ἣν οὐ περιεῖλον, πρὸς ἕτερόν τι ταῖς φαντασίαις ὑποσύρεσθαι, μάλιστα διότι καὶ προδιελέχθην ὑμῖν, ὅτι *πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν*.

λ'. Τί τῶν ἀχράντων τούτων λογίων λαμπρότερον ; Τί δὲ παραστῆσαι σαφέστερον ; ὅτι τὸ, *Ἐκ τοῦ ἐμοῦ λήψεται*, πρὸς τὸ Πατρικὸν παραπέμπει πρόσωπον καὶ ὡς τὴν τῶν χαρισμάτων ἐνέργειαν ὡς αἰτίου παρὰ τοῦ Πατρὸς ἱερολογεῖται τὸ Πνεῦμα λαμβάνειν, τῶν χαρισμάτων ἐκείνων, οἷς ἐνισχύσει τοὺς μαθητὰς τῶν ἐρχομένων μὲν τὴν ἐπίγνωσιν σὺν εὐσταθεῖ καὶ ἀπεριτρέπτῳ φρονήματι φέρειν, καθίστασθαι δὲ καὶ τῶν ἀθεάτων μηδεμιᾶς παρακολουθούσης δυσχερείας θεατὰς καὶ δὴ καὶ τῶν ὑπὲρ λόγον ἔργων δημιουργούς.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΙΗ'. Καὶ πάλιν περὶ τοῦ *ἐκ τοῦ ἐμοῦ* καὶ *ἐξ ἐμοῦ λήψεται* τοὺς λόγους κατὰ τὸ δοκοῦν σοι ποιούμενος;

(2) Μέχρι τούτων habet Laur.

Digitized by Google Распознавание текста ABK/FR

δῆλο; εἰ φρονῶν μὴ φυσικῶς καὶ οὐσιωδῶς ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα, ἀλλὰ σχετικῶς καὶ δοτῶς· τοῦτο γὰρ δηλοῖς λέγων, ὡς τὴν τῶν χαρισμάτων ἐνέργειαν ὡς αἰτίου παρὰ τοῦ Πατρὸς ἱερολογεῖται τὸ Πνεῦμα λαμβάνειν, τῶν χαρισμάτων ἐκείνων, οἷς ἐνισχύσει τοὺς μαθητὰς πρὸς τὴν τῶν ἐρχομένων ἐπίγνωσιν, πρὸς θέαν τὴν τῶν ἀθεάτων καὶ πρὸς τὴν τῶν ὑπὲρ λόγον ἔργων δημιουργίαν. Ἀλλ' ὁ μέγας Βασίλειος τὰς σὰς ἀπελέγξει παρεξηγήσεις καὶ αὐτὸν τὸν Μονογενῆ αἴτιον τῶν χαρισμάτων τούτων ἀποφαινόμενος· ἐν γὰρ τῷ πρὸς τὸν ἀδελφὸν Γρηγόριον λόγῳ φησίν· *Ζητοῦντες δέ, εἰ ἐκ μόνου τοῦ ἁγίου Πνεύματος ἡ τῶν ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαμβάνουσα οὕτω παραγίνεται τοῖς ἀξίοις, πάλιν ὑπὸ τῆς Γραφῆς ὁδηγούμεθα εἰς τὸ τῆς χορηγίας τῶν ἀγαθῶν διὰ τοῦ Πνεύματος ἡμῖν ἐνεργουμένων ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν* (1). Εἰ γοῦν ἐκ τοῦ τὴν τῶν χαρισμάτων ἐνέργειαν λαμβάνειν τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ὡς αἰτίου συνάγεις μὴ ἐκ τοῦ εἶναι αὐτό, ὁ μέγας Βασίλειος ἐκ τοῦ ἀρχηγὸν καὶ αἴτιον τῶν τοιούτων χαρισμάτων δοξάζειν τὸν Μονογενῆ ἐκ τοῦ Υἱοῦ αὐτὸ εἶναι συστήσει· ἐκ μόνου γὰρ τοῦ Πατρὸς προῖὸν λειτουργὸν ἂν ἴσως καὶ ὑπηρέτην τῶν οἰκείων χαρισμάτων τὸν Υἱὸν εἶχε τὸ Πνεῦμα, ἀρχηγὸν δὲ καὶ αἴτιον οὐδαμοῦ· καὶ δεῖ σε διὰ ταῦτα μὴ σχετικῶς καὶ δοτῶς οἴεσθαι παρὰ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα, ἀλλὰ φυσικῶς τε καὶ οὐσιωδῶς.

ΚΕΙΜΕΝΟΝ.

λα'. Ἆρ' οὐ πανταχόθεν σοὶ πᾶσα πρόφασις ἀσεβείας περικέκοπται; Ἆρ' ἔτι τολμήσεις συκοφαντίαις καὶ ψεύδη κατὰ τῆς ἀληθείας; ἐπινοεῖν ἢ κατὰ τῆς ἑαυτοῦ μηχανορραφεῖν σωτηρίας; λα'. Ἔγωγε οὖν οὐδὲ τοῦ λοιποῦ σε φροντίδος ἕξω θείην (2), εἰ μὲν ἀνιάτως ἔχεις καὶ ἐλέγχειν καὶ ἐπιτιμᾶν καὶ κάτω κείμενον ἔτι βάλλειν, εἰ δὲ πρὸς θεραπείαν ὁρᾷς, φάρμακόν σοι προσάγειν ἐκ τοῦ αὐτοῦ κρατῆρος τῆς ἀληθείας ἀκεσώδυνόν τε καὶ καθαρτήριον τῆς νόσου. Εἰ γὰρ (ὦ τί ἂν σέ τις (3) προσείποι;) τοῦ Πνεύματος ἡ ἐκπόρευσις ἡ ἐκ τοῦ Πατρὸς τελεία, τελεία δὲ ὅτι Θεὸς τέλειος ἐκ Θεοῦ τελείου, τί ποτ' ἂν ἡ ἐκ τοῦ Υἱοῦ συνεισένεγκῃ; Εἰ μὲν γάρ τι συνεισήνεγκεν, εἰπεῖν δεήσει (4) καὶ ὃ συνήνεγκεν· εἰ δὲ παρὰ τὴν θεῖκὴν τοῦ Πνεύματος ὑπόστασιν οὐδὲν ἕτερον ἔστιν οὔτε λαβεῖν οὔτε εἰπεῖν, τί καὶ τὸν Υἱὸν ὑβρίζειν ἔγνως τῷ ψεύδει καὶ τὸ Πνεῦμα, καὶ σὺν αὐτοῖς γε καὶ πρὸ αὐτῶν τὸν Πατέρα;

λβ'. Πάλιν δὲ εἰ ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ, ὡσαύτως δὲ καὶ ἐν ᾧ γεννᾶται ὁ Υἱός, ἡ τοῦ Υἱοῦ· ἐκπορεύεται δὲ, ὡς ὁ ἐκείνων λῆρος, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, πλείοσιν ἄρ' ἰδιώμασι διαστέλλεται τὸ Πνεῦμα τοῦ Πατρὸς ἤπερ ὁ Υἱός. Ἡ μὲν γὰρ πρόοδος ἡ ἐκ τοῦ Πατρὸς, εἰ καὶ τὸ μὲν πρόεισι γεννητῶς, τὸ δὲ

(1) Eadem Basilii verba citat Beccus in Clamat. (G. O. II p. 344-345)
(2) Ita Laurent. cum Monac.

manifeste tuam prodis sententiam, non naturaliter et essentialiter ex Filio accipere Spiritum, sed moraliter et accidentaliter. Id enim produnt verba tua : Donorum illorum operationem a Patre tanquam a causa accipiens prædicatur Spiritus, donorum, inquam, illorum, quibus discipulos corroboravit ad futuras res cognoscendas, ad res arcanas atque reconditas conspiciendas et ad patranda prodigia supernaturalia. At vero magnus Basilius pravas tuas interpretationes refutabit, eorumdem donorum causam ipsum quoque Unigenitum declarans. Nam in libro ad Gregorium fratrem : *Quærentes vero*, inquit, *an bonorum suppeditatio ex solo sancto Spiritu initium sumat et sic dignis adsit, iterum per Scripturam ducimur et instruimur, ut suppeditationis eorum bonorum, quæ Spiritus sanctus in nobis operatur, auctorem et causam Unigenitum Deum esse credamus.* Si igitur ex eo, quod Spiritus donorum operationem a Patre tanquam a causa accipiat, concludis illum non esse ex Filio, magnus contra Basilius ex eo, quod ut auctorem et causam ejusmodi donorum glorificet ipsum Unigenitum, ex Filio Spiritum esse stabiliet. Si enim ex solo Patre prodiret Spiritus, ministrum fortasse et servum propriorum charismatum haberet Filium, nullatenus vero auctorem et causam. Quam ob causam non moraliter et accidentaliter a Filio accipere Spiritum censere debes, verum naturaliter et substantialiter.

TEXTUS.

31. Annon ergo undequaque tibi quilibet impie sentiendi prætextus resectus est? Adhucne audebis calumnias atque mendacia adversus veritatem comminisci aut dolos adversus salutem tuam consuere? 31. Ego sane ne deinceps quidem tui curam abjiciam, ut si insanabilis sis, arguam et corripiam teque humi jacentem adhuc percutiam, si autem sanari potes, medicinam tibi propinem ex ipso veritatis poculo et lenitivam doloris et morbi purgativam. Si enim (o quonam te quis nomine compellet!) Spiritus e Patre processio est perfecta, perfecta autem quoniam Deus perfectus ex Deo perfecto, quidnam ista e Filio processio contulerit? Si enim quid contulit, illud quoque ostendere oportebit quod contulit; quod si præter divinam Spiritus hypostasim, nil aliud potest aut mente concipi aut lingua ostendi, cur, quæso, vis Filium mentiendo lædere atque Spiritum, imo cum ipsis et præ ipsis Patrem?

32. Rursus si in hoc quod a Patre procedat Spiritus, proprietas ipsius agnoscitur; similiter et in hoc quod generatur Filius, Filii agnoscitur proprietas; procedit autem juxta illorum delirium etiam Spiritus ex Filio, pluribus ergo proprietatibus distinguitur Spiritus a Patre, quam Filius. Processio enim ex Patre, tametsi alter profert

(3) Laur. σέ τις προσείπῃ.
(4) Laur., δεήσῃ ut Col.

Digitized by Google Распознавание текста ABBYY FR

per generationem, alter vero per processionem, æqualiter tamen horum utrumque distinguit a paterna hypostasi; distinguitur autem Spiritus et alia differentia, quam ei duplicitas processionis creat. Jam vero si pluribus differentiis distinguitur a Patre Spiritus quam Filius, propius accedet ad paternam substantiam Filius, geminisque exsistentibus proprietatibus, quæ Spiritum distinguant, per alteram horum evincetur Spiritum esse Filio inferiorem in æqualitate consubstantialis cum Patre affinitatis, sicque Macedonii rursus adversus Spiritum emerget insania, ipsa quoque illius impietate deterior.

33. Quinimo si solius Spiritus est, in diversa referri principia, quomodo non necessario consequetur, et solius esse Spiritus, in multiplex principium referri?

34. Insuper si in quibus Patri ac Filio temeraria novitate audacissimi isti communionem effinxerunt, iis Spiritum secludunt; Pater autem Filio secundum substantiam, non secundum aliquam proprietatem in communionem conjungitur: ergo a paterna secundum substantiam cognatione consubstantialem Spiritum excludunt.

35. Spiritus a Filio procedit, eademne processione an paternæ contraria? Si enim eadem, quomodo non communes redduntur proprietates, quibus et solis Trinitas Triuitas esse et adorari dignoscitur (*a*)? Si autem processione paternæ contraria, quomodo non Manetes nobis et Marcianes rursus uno cum isto verbo sacrilego in medium prodeunt, impiam iterum adversus Patrem et Filium dilatantes garrulitatem?

36. Præterea si omne quod non est commune omnipotenti et consubstantiali atque supernaturali Trinitati, unius est solummodo trium personarum, productio autem Spiritus non est communis trium: ergo est tantummodo unius e tribus illis. Utrum igitur ex Patre dicent procedere Spiritum, et quomodo non ejurabunt caram ipsis ac novam doctrinam? Si autem ex Filio, cur non statim ab initio sunt ausi totum suum venenum evomere, sed paulatim ac particulatim illud effundunt? Oportebat enim, si quidem impio suo dogmati confidebant, ab initio ipsos profiteri, a se non modo Filium productorem Spiritus prædicari, sed et Patrem ab ea productione excludi; atque adeo debebant etiam generationem una cum productione transvertere, monstrosa asserendo futilitate, non Filium ex Patre, sed Patrem ex Filio generari, ut non solum omnes a sæculo implos obscurarent, sed et insanis ipsis insaniores deprehenderentur.

37. Item si ex Patre Filius genitus est, Spiritus vero ex Patre Filioque procedit, cur Spiritui nega-

ἐκπορευτῶς, ἀλλ' οὖν ἐπίσης αὐτῶν ἑκάτερον ἀφορίζει (1) τῆς πατρικῆς ὑποστάσεως· ἀποδιαστέλλεται δὲ τὸ Πνεῦμα καὶ δευτέρᾳ διαφορᾷ, ἣν αὐτῷ τὸ διπλοῦν τῆς ἐκπορεύσεως προξενεῖ· εἰ δὲ πλείοσι διαφοραῖς διαστέλλεται τοῦ Πατρὸς τὸ Πνεῦμα ἢπερ ὁ Υἱὸς, ἐγγυτέρω ἂν εἴη τῆς πατρικῆς οὐσίας ὁ Υἱὸς, καὶ διπλῶν ὄντων ἰδιωμάτων τῶν ἀφοριζόντων τὸ Πνεῦμα θατέρῳ τούτων ὑποβεβηκέναι τοῦ Υἱοῦ τῆς ὁμοφυοῦς πρὸς τὸν Πατέρα συγγενείας τὸ ἰσότιμον δυσφημηθήσεται Πνεῦμα, καὶ οὕτως ἡ Μακεδονίου πάλιν κατὰ τοῦ Πνεύματος ἀναδύσεται (2) λύσσα, τῆς ἐκείνου δυσσεβείας δι' ἑαυτῆς ἀναλουμένη τὸ ἧττημα.

λγ'. Ἀλλὰ καὶ εἰ μόνου Πνεύματός ἐστι τὸ εἰς ἀρχὰς ἀναφέρεσθαι διαφόρους, πῶς οὐχὶ καὶ μόνου Πνεύματος ἀκόλουθον λέγειν τὸ εἰς πολύαρχον ἀναφέρεσθαι ἀρχήν;

λδ'. Ἔτι δὲ εἰ ἐν οἷς Πατρὶ καὶ Υἱῷ κοινωνίαν οἱ πάντα θρασεῖς ἐκαινούργησαν, τὸ Πνεῦμα τούτοις ἀποτειχίζουσι· Πατὴρ δὲ κατ' οὐσίαν Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων εἰς κοινωνίαν συνάπτεται· τῆς κατ' οὐσίαν ἄρα πατρικῆς συγγενείας τὸ ὁμοούσιον Πνεῦμα ὑπερορίζουσι.

λε'. Τὸ Πνεῦμα τοῦ Υἱοῦ ἐκπορεύεται· πότερον τὴν αὐτὴν ἐκπόρευσιν ἢ τῆς πατρῴας ἀντίθετον; Εἰ μὲν γὰρ τὴν αὐτὴν, πῶς οὐ κινοῦνται αἱ ἰδιότητες, αἷς καὶ μόναις ἡ Τριὰς Τριὰς εἶναι καὶ προσκυνεῖσθαι χαρακτηρίζεται; εἰ δ' ἐκείνης [Col. εἰ δὲ ἐκείνης] ἀντίθετον, πῶς οὐ Μάνεντες ἡμῖν καὶ Μαρκίωνες πάλιν τῷ βλασφήμῳ οὕτω συναναχορεύσουσι ῥήματι (3), τὴν θεομάχον πάλιν κατὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ γλωσσαλγίαν πλατύνοντες·

λς'. Ἐπεὶ δὲ τοῖς εἰρημένοις, εἰ πᾶν ὃ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν· οὐκ ἔστι δὲ ἡ τοῦ Πνεύματος προβολὴ κοινὴ τῶν τριῶν, ἑνὸς ἄρα καὶ μόνου ἐπὶ τῶν τριῶν. Πότερον οὖν ἐκ τοῦ Πατρὸς φήσουσιν ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ πῶς οὐκ ἐξομόσονται τὴν φίλην αὐτοῖς [καὶ] καινὴν (4) μυσταγωγίαν; Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, τί μὴ κατ' ἀρχὰς εὐθὺς ἐθάρρησαν ὅλον αὐτῶν ἐξεμέσαι τὸν ἰόν, ἀλλὰ κατὰ μέρος ἀναβλύζουσιν; Ἐχρῆν γάρ, εἴπερ ἦσαν πεπεισθότες αὐτῶν τῷ δυσσεβήματι, ἐξ ἀρχῆς ἀνομολογεῖν, ὡς οὐ μόνον τὸν Υἱὸν προβολέα τοῦ Πνεύματος δογματίζουσιν, ἀλλὰ καὶ τὸν Πατέρα τῆς προβολῆς ἀπελαύνουσιν· οἷς ἀκόλουθον δήπου καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέναι καὶ συμμεταφέρειν, καὶ μηδὲ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ἐκ δὲ τοῦ Υἱοῦ τερατολογεῖν τὸν Πατέρα τὴν γέννησιν ἔχειν, ἵνα μὴ μόνον τοὺς ἡσεβηκότας ἐξ αἰῶνος κρύψωσιν, ἀλλὰ καὶ τῶν μεμηνότων ἐλέγχωνται μανικώτεροι.

λζ'. Ἔτι δὲ εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύε-

(*a*) Catif. : « Quibus et solis Trinitatis essentia et adoratio designatur. »

(1) Laur. ἀφορίζεται τῆς π.

(2) Laur. ut Col. ἀναδύσει.

(3) Laur. : βλασφ. τούτῳ συναναχορεύσουσι ῥήματι.

(4) Laur. cum Colum. est in textu.

ται, τίς ἡ καινοτομία τοῦ Πνεύματος; μὴ καὶ ἕτερόν τι αὐτοῦ ἐκπορεύεσθαι, ὡς συνάγεσθαι κατὰ τὴν θεοβλαβῆ γνώμην μὴ τρεῖς, ἀλλὰ τέσσαρας τὰς ὑποστάσεις, μᾶλλον δὲ ἀπείρους, τῆς δὲ τετάρτης αὐτοῖς ἄλλην πάλιν προβαλλούσης, κἀκείνης ἑτέραν, μέχρις ἂν καὶ τῆς Ἑλληνικῆς ὑπερελάσωσι πολυθείας (1).

A tur, aliquid aliud etiam ex ipso procedere? ita ut colligantur ex impia ista sententia non tres, sed quatuor hypostases, imo infinitæ, dum quarta aliam rursus produceret, et illa aliam, donec ethnica deorum multitudo superaretur.

λη'. Ἀλλὰ κἀκεῖνο κατ' αὐτῶν ἔστιν ἀφεῖναι· ποῖον δὴ τοῦτο; Εἰ πάντα ὅσα πρόσεστι τῷ Υἱῷ, ἐκ τοῦ Πατρὸς λαμβάνων ἔχει, ἐκεῖθεν ἂν εἴη λαβὼν καὶ τὸ αἴτιον εἶναι τῆς τοῦ Πνεύματος ἐκπορεύσεως· πόθεν οὖν ἡ ἑτεροκλινὴς αὕτη φιλοτιμία, δι' ἧς ὁρᾶται μὲν ὁ Υἱὸς τῆς τοῦ Πνεύματος ἐκπορεύσεως αἴτιος, τὸ δὲ Πνεῦμα, καίτοι τὸ ἰσότιμον ἔχον καὶ ἐκ τῆς αὐτῆς ὁμοταγῶς τε καὶ ὁμοτίμως προεληλυθὸς οὐσίας τῶν ἴσων γερῶν ἀπεστέρηται;

38. Sed et illud potest in istos torqueri. Qualenam vero hoc? Si omnia quæcunque adsunt Filio, a Patre accepit, inde utique et hoc acceperit, quod causa sit productionis Spiritus. Unde igitur iste in partem alteram propensus favor, per quem cernitur quidem Filius processionis Spiritus causa, Spiritus autem, tametsi omnino æqualis et ex eadem causa æquali ordine et æquali honore profectus juribus æqualibus defraudatur?

B

λθ'. Πάλιν αἴτιος ὁ Πατήρ, αἴτιος δὲ καὶ ὁ Υἱός· τίνα γοῦν δικαιώσουσιν οἱ τῶν ἀτολμήτων διαιτηταὶ τὴν αἰτίαν μᾶλλον ἔχειν; Εἰ μὲν γὰρ τὸν Πατέρα, πῶς οὐκ ἐπείσακτον καὶ νόθον καὶ ὕβρις αὐτοῖς καὶ αὐτή γε (2) ἡ συσκευασθεῖσα τιμὴ τοῦ Υἱοῦ, μάλιστα τὸ κῦρος ἔχοντος ἤδη ἅτε καὶ τὸ πλέον τοῦ Πατρός; Εἰ δὲ ὁ Υἱός, φεῦ τῆς βαρυτέρας τόλμης! Οὐ γὰρ ἐκόμισαν ἀρκέσειν αὐτοῖς εἰς ὅσον ἀσεβεῖν εἵλοντο διατεμεῖν καὶ συμμερίζεσθαι τῷ Υἱῷ τὴν πατρικὴν αἰτίαν, εἰ μὴ καὶ τὸ πλέον ἀφαιρήσουσι καὶ ἀντὶ τοῦ Πατρὸς τῷ Πνεύματι τὸν Υἱὸν ἀντεισάξουσιν αἴτιον.

39. Rursus causa est Pater, causa vero et Filius. Utrum igitur isti rerum minime audendarum arbitri magis esse causam pronuntiabunt? Si enim Patrem, quomodo non adscititius et spurius et injurius erit honor ab istis Filio vindicatus, præsertim cum robur jam, quippe et potiores partes habeat Pater? Si vero Filium, heu graviorem temeritatem! Non enim sibi satis esse censuerunt in suæ impietatis ausu paternam causam dividere partemque illius Filio tribuere, nisi etiam potiorem partem ei adimant, et loco Patris Filium causam substituant Spiritui.

μ'. Τί λέγεις; Ἔλαβεν παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς ἐξ αὐτοῦ διὰ γεννήσεως προελθὼν καὶ προάγειν ἕτερον ὁμοφυές; Πῶς οὖν καὶ αὐτὸς ὁ Υἱὸς προάγων ὁμοφυὲς τὸ Πνεῦμα οὐ μετέδωκεν, ὡς μετέλαβεν, τῆς ὁμοίας δυνάμεως καὶ τιμῆς, ἵνα κἀκεῖνο πάλιν ὁμοφυοῦς ἔχῃ προόδῳ καὶ ὑποστάσει ἐναγλαΐζεσθαι; Καίτοι γε ἐχρῆν τὸν Υἱόν, εἰ καὶ μὴ δι' ἕτερόν τι, ἀλλ' οὖν γε πρὸς τὴν τοῦ Πατρὸς ἀναγόμενον μίμησιν ἐφ' ὁμοίαις ἐνεργείαις συνδιασώζειν τὸ ὅμοιον.

40. Quid ais? Accepit a Patre Filius ex ipso per generationem profectus alium quoque ejusdem naturæ producere? Quomodo igitur et ipse Filius producens ejusdem sibi naturæ Spiritum non communicavit, sicut ipse participaverat, similem virtutem et prærogativam, ut Spiritus itidem gloriam habeat alium consubstantialem producendi? Et tamen par erat, ut Filius, licet non ob aliud quidquam, at saltem ad Patris imitationem per operationes similes similitudinem conservaret.

C

μα'. Ἐγὼ δὲ οὐδὲ ταύτην δοίην ἂν σιγῇ τὴν ἀτοπίαν (3) μείζονα λέγειν, εἰ καὶ μὴ τῇ φύσει (ἄπαγε· ὁμοούσιος γὰρ ἡ Τριάς), ἀλλά γε τῷ αἰτίῳ τὸν γεγεννηκότα τοῦ γεννήματος μυσταγωγεῖ μὲν ἡ Δεσποτικὴ φωνή· διδάσκει δὲ μυηθεὶς ἐκεῖθεν καὶ ὁ τῶν ἱερῶν Πατέρων ἡμῶν χορός (4)· μείζονα δὲ τῷ αἰτίῳ τοῦ Πνεύματος τὸν Υἱὸν οὔτε θείων ἔστιν ἀκούειν Δογίων, ἀλλ' οὐδὲ νοῦς εὐσεβὴς μέχρι νῦν ἐάλω διανοηθείς· ἡ δέ γε θεομάχος γλῶσσα οὐ τῷ αἰτίῳ τὸν Υἱὸν μείζονα τοῦ Πνεύματος; μόνον, ἀλλὰ καὶ τῆς πατρικῆς ἐγγύτητος πορρωτέρω ποιεῖ.

41. Ego tamen neque hoc absurdum silentio prætermittam. Majorem asserere Patrem Filio, licet non natura (apage! consubstantialis est enim Trinitas), at ratione causæ permittit sacra vocis Dominicæ institutio, indeque derivata sanctorum nostrorum Patrum traditio. Filium vero ratione causæ Spiritu majorem nec in divinis Eloquiis audivimus, nec quemquam pium hactenus sensisse comperimus; impia tamen lingua non modo Filium ratione causæ Spiritu majorem facit, sed Patri propiorem.

D

μβ'. Ἔτι δὲ εἰ αἴτιος τοῦ Πνεύματος ὁ Υἱός, πῶς οὐκ ἂν εὑρεθείη (5) δεύτερον ὑποφυόμενον αἴτιον ἐν τῇ ὑπεραρχίῳ καὶ ὑπερφυεῖ τῆς Τριάδος ἀρχῇ; καὶ τό τε αἰτιατὸν καὶ μηδὲ πρὸς ὕβριν τῆς πρώτης ἀρχῆς μεμηχανημένον μόνον, ἀλλὰ καὶ αὐτοῦ ἐκείνου, περὶ οὗ κατασχηματίζεται ἡ τιμή; τὸ γὰρ μηδέ τινα χρείαν μηδ' αὐτῷ μηδὲ μηδενὶ παρέχειν,

42. Ad hæc si causa Spiritus est Filius, quomodo non secunda pullulat causa in supremo supernaturalique Trinitatis principio, eaque causata, et non in contumeliam primi principii solum excogitata, sed et illiusmet, in cujus favorem honor ille confingitur? Cum enim causalitas ista nullum omnino usum præstet, imo vero ne ansam

(1) Laur. ὑπερελ. πολυθείαν.
(2) Laur. καὶ ὕβρις αὐτοῖς (deest καὶ) αὐτή γε.
(3) Laur. Ἐγὼ δὲ οὐδὲ ταύτην ἂν δοίην σιγῇ τὴν ἀτοπίαν.
(4) Laur. ἡμῖν χορός.
(5) Laur. εὑρέθη.

Digitized by Google Распознавание текста ABBYY FR

quidem ullam præstandi reperire possit, quomodo non potius affectum contumelia Filium declarat eique sub honoris titulo injuriam atrociorem facit? Cum enim Spiritus processionem suam a Patre atque ab æterno plenam nullaque ex parte deficientem habeat, quamnam aliam productionem aut substantiæ formationem conficta ab ipsis causa poterit largiri?

43. Quomodo vero non ipsis Spiritus in duos dividetur, quorum alter a Patre, vera ac primaria causa, procedat (Pater quippe nullam aliam causam agnoscit); alter vero e secunda causataque causa (Filius quippe causam sui agnoscit Patrem), sicque non ordine duntaxat et relatione atque causalitate distinctionem Spiritus ac diversitatem hæresis nobis exhibet et in medium producit, verum et in quaternitatem loco Trinitatis Numen a nobis adoratum propellere audet; imo omittit nullum studium, ut nihil in sanctissima rerumque omnium conditrice Trinitate ab injuriis maneat immune.

44. Verumenimvero, si causa Spiritus sit Filius, utriusque autem causa sit Pater, reperietur in perfecta et perfectrice Trinitate causa quædam a perfectione propriæ primæque causæ remota et imperfecta, et imperfecta potius ac semicausa vel composita, ex imperfecta atque perfecta compositionem suscipiens. Estque hoc loco observandum, quod veterum mythologia in rebus generationi corruptionique obnoxiis hippocentauros olim per jocum confinxit. At istorum impietas in rebus sempiternis atque immutabilibus vel semicausam vel causam ex causa et causato conflictam serio prædicare non exhorresci; quorum neutrum ab imperfectione se eximit; utrumque enim, licet mutuam inter se pugnam conservent (is enim est impiæ sententiæ fructus) in eamdem tamen imperfectionis notam conveniunt.

45. Præter autem dicta, si unus est Spiritus, et eminenter atque proprie unus, quemadmodum et Pater et Filius vere atque ineffabiliter unus, quomodo non iniquum simul et absurdum fuerit geminas eidem causas adscribere?

REFUTATIO.

XIX. Si dum ex Filio etiam Spiritus exsistere dicitur, propterea imperfecte ex Patre exsistentiam habere tibi videtur, quasi ejusdem subsistentia protinus in id quod ex Patre et id quod ex Filio est dividatur! hæc mentis omnino sunt quæ nihil magnum imaginari valeat in beata illa omnemque naturalem rationem excedente natura. Si enim absque ullo defectu et perfectus omnino Spiritus ex Patre progreditur, attamen perfectio hujus progressionis illius, sicut ipse novit qui profunda Dei scrutatur, hæc, inquam, perfectio est, quod non proxime et immediate, sed per Filium ex Patre prodit. Omnino enim contradicere haud poteris

(1) Laur. habet: καὶ ἡμίθετον καὶ σύνθετον ἐξ ἀτελοῦς τε καὶ τελείου τὴν σύνθεσιν ἀναδεδειγμένον.

ἀλλὰ μηδ' ἀφορμὴν μηδαμόθεν εὑρίσκειν ὥστε παρασχεῖν, πῶς οὐ μᾶλλον ἀποφανεῖται τὸν Υἱὸν περιυβρισμένον καὶ τιμῆς ὀνόματι κακουργοτέραν τὴν ὕβριν ποιεῖ; καὶ γὰρ τοῦ Πνεύματος πατρόθεν ἐξ ἀϊδίου τὴν ἐκπόρευσιν ἀνενδεῆ κεκτημένου, πόθεν ἂν ἄλλης προαγωγῆς ἢ οὐσιώσεως; τὸ συμπλασθὲν αὐτοῖς αἴτιον ἐπιγνωσθήσεται χορηγόν;

μγ'. Πῶς δ' οὐκ εἰς δύο αὐτοῖς διαμερισθήσεται τὸ Πνεῦμα; τὸ μὲν ἐκ τοῦ Πατρὸς καὶ ὡς ἀληθῶς καὶ πρώτως αἰτίου προϊὸν (ἀναίτιος γάρ)· τὸ δὲ ἐκ τοῦ δευτέρου καὶ αἰτιατοῦ (οὐκ ἀναίτιον γάρ)· καὶ οὕτως δ' οὐ τάξει μόνῃ καὶ σχέσει καὶ αἰτίᾳ τὴν τοῦ Πνεύματος ἑτερότητα καὶ παραλλαγὴν ἡ αἵρεσις δραματουργεῖ, ἀλλὰ καὶ εἰς τετράδα ἀντὶ Τριάδος τὸ σέβας ἡμῶν ἀπωθεῖσθαι τολμᾷ, μᾶλλον δ' οὐδὲν ἀνύβριστον καταλιπεῖν τῶν ἐν τῇ ὑπεραγάθῳ Τριάδι καὶ Δημιουργῷ τοῦ παντὸς οὐδεμίαν παραλείπει σπουδήν.

μδ'. Καὶ μὴν εἰ αἴτιος μὲν τοῦ Πνεύματος ὁ Υἱός, ἀμφοῖν δ' αἴτιος ὁ Πατήρ, εὑρεθήσεταί τι αἴτιον ἐν τῇ τελείᾳ καὶ τελειοποιῷ Τριάδι τοῦ μὲν κυρίως καὶ πρώτου αἰτίου τῆς τελειότητος ἀπεληλαμένον, ἀτελὲς δὲ καὶ ἡμίτομον ἢ σύνθετον, ἐξ ἀτελοῦς καὶ τελείου τὴν σύνθεσιν ἀναδεδεγμένον (1). Καὶ σκοπεῖν ἔξεστιν, ὅπως ἡ μὲν μυθολογία ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ τοὺς ἱπποκενταύρους πάλαι παίζουσα ἀνέπλαττεν, ἡ δὲ θεομαχία ἐν τοῖς ἀϊδίοις καὶ ἀναλοιώτοις ἢ τὸ ἡμίτομον ἢ τὸ ἐξ αἰτίου τε καὶ αἰτιατοῦ συμπεπλασμένον αἴτιον οὐ φρίττει μετὰ σπουδῆς τερατολογοῦσα· καὶ οὐδέτερον αὐτῶν τὸ ἀτελὲς παραχωρεῖ διαφεύγειν· ἑκάτερον γὰρ εἰ καὶ πρὸς ἄλληλα προβάλλεται διαμάχεσθαι (τοιαῦτα γὰρ τῆς ἀσεβοῦς σπορᾶς τὰ γεώργια), ὅμως εἰς τὴν αὐτὴν τοῦ ἀτελοῦς ὕβριν ἄμφω συνάγει.

με'. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ ἕν ἐστι τὸ Πνεῦμα καὶ ὑπερφυῶς τε καὶ κυρίως ἕν, ὥσπερ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἰλικρινῶς τε καὶ ὑπὲρ λόγον ἕν, πῶς αὐτὸ (2) τὸ δυαδικὸν τῶν αἰτίων οὐκ ἐκθεσμον ἅμα καὶ ἀδύνατον ἐπιγράφεσθαι;

ΑΝΤΙΡΡΗΣΙΣ.

Ιθ'. Εἰ διὰ τοῦτό σοι ἀτελῶς ἐκ Πατρὸς ὑπάρχειν τὸ Πνεῦμα δοκεῖ, εἰ καὶ ἐκ τοῦ Υἱοῦ λέγοιτο ὑπάρχειν αὐτὸ, ὡς τῆς αὐτοῦ ὑπάρξεως τάχα μεριζομένης εἰς τὸ ἐκ τοῦ Πατρὸς καὶ τὸ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ διανοίας τοῦτό ἐστι μηδὲν μέγα φανταζομένης περὶ τῆς μακαρίας ἐκείνης φύσεως καὶ φυσικὸν πάντα λόγον ὑπερβαινούσης. Εἰ γὰρ καὶ ἀνενδεὲς καὶ τέλειον πρόεισι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἀλλ' ἡ τελειότης τῆς αὐτοῦ προόδου καθὼς αὐτὸ οἶδε τὰ βάθη τοῦ Θεοῦ ἐρευνῶν, αὕτη ἐστὶ τὸ μὴ προσεχῶς καὶ ἀμέσως, ἀλλὰ διὰ τοῦ Υἱοῦ προϊέναι αὐτὸ ἐκ Πατρός· πάντως γὰρ οὐκ ἂν ἀντειπεῖν ἔχοις τῷ τοῦ Δαμασκοῦ καὶ τῆς οἰκουμένης φωστῆρι τὸν Πατέρα θεο-

μένον.

(2) Αὐτῷ habet et Laur.

Digitized by Google Распознавание текста ABK/FR

λογοῦντι προβολέα διὰ Λόγου τοῦ ἐκφαντορικοῦ Πνεύματος· καὶ ὅτι μὲν πρόεισι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ, καὶ ἐκ τοῦ Υἱοῦ λέγεται προϊέναι· ὅτι δὲ ἀμερίστως, οὐκ εἰς ἀτελὲς καὶ τέλειον διῄρηται· καὶ τοῦτο κἀπὶ τοῦ παραδείγματος τοῦ ἡλίου (1) τῆς ἀκτῖνος καὶ τοῦ φωτὸς ἔστιν ἰδεῖν· φῶς γὰρ ἡλιακὸν διὰ τῆς ἀκτῖνος πάντως πρόεισιν ἐκ τοῦ δίσκου, καὶ οὐκ ἐκ μόνου τοῦ δίσκου· ἀλλ' οὐδὲν τὸ τέλειον τῆς ἐκ τοῦ δίσκου αἰτίας τοῦ φωτὸς ἐλυμήνατο ἡ διὰ τῆς ἀκτῖνος τοῦ φωτὸς πρόοδος· ἐπεὶ τοιαύτη τίς ἐστιν ἡ τοῦ ἡλίου φύσις, ὥστε χρόνου καὶ διαστήματος μεσιτεύοντος ἅμα τῶν ἀμφοτέρων αἰτιατῶν αἴτιον αὐτὸν εἶναι, ὧν διὰ τοῦ ἑτέρου τὸ ἕτερον ἐκ τοῦ πρώτου αἰτίου προσέρχεται.

A eximio Damasci et terrarum orbis lumini *Patrem per Filium productorem manifestantis Spiritus* prædicanti; et quia Spiritus procedit per Filium, etiam ex Filio procedere dicitur; et quia absque divisione id fit, minime in perfectum et imperfectum divisus est. Hoc quoque ex exemplo solis, radii atque luminis cernere licet: lumen enim solare per radium omnino ex disco progreditur, non ex disco solo; neque tamen perfectionem causalitatis ex disco in lumine destruit ejusdem per radium progressio, cum talis sit solis natura ut nullo tempore atque spatio mediante simul causati sit causa, quorum alterum per alterum ex prima progreditur causa.

Πάλιν δὲ εἰ διὰ τὸ τὴν τοῦ Πνεύματος ἐπιγινώσκεσθαι ἰδιότητα, ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται, ὡσαύτως δὲ καὶ τὴν τοῦ Υἱοῦ, ἐν ᾧ οὗτος γεννᾶται, λογίζῃ τοὺς καὶ ἐκ τοῦ Υἱοῦ λέγοντας αὐτὸ ἐκπορεύεσθαι πλείοσιν ἰδιώμασι διαστέλλειν τὸ Πνεῦμα τοῦ Πατρὸς ἢπερ τὸν Υἱόν, ἐπισφαλῶς καὶ οὐ καλῶς τοῦτο λογίζῃ· εἰ γὰρ ἰδίᾳ μὲν ἐκ τοῦ Πατρός, ἰδίᾳ δὲ ἐκ τοῦ Υἱοῦ ἦν τὸ Πνεῦμα ἐκπορευόμενον, οὕτως ἂν εἶχε τὸ ἰσχυρὸν ὁ τῶν πεπλασμένων σοὶ ἰδιωμάτων πλεονασμὸς καὶ ἐπηκολούθει ἂν τῷ τῶν ἰδιωμάτων τούτων πλεονασμῷ καὶ τὸ πλείοσι διαφοραῖς διαστέλλεσθαι τὸ Πνεῦμα τοῦ Πατρὸς ἢπερ τὸν Υἱόν, καὶ τὰ ἄλλα ὅσα ἐκ τῆς διπλῆς ἐκπορεύσεως ἀναφαίνεσθαι ἀπαριθμεῖς ἄτοπα· νῦν δ' ὅτι μία τίς ἐστι καὶ ἁπλῆ ἡ ἐκ Πατρὸς ἐκπόρευσις δι' Υἱοῦ τοῦ Πνεύματος τοῦ ἁγίου, οὔτε διπλά εἰσι τὰ ἀφορίζοντα τοῦ Πατρὸς τὸ Πνεῦμα ἰδιώματα, οὔτε τὸ ἰσότιμον δυσφημεῖται Πνεῦμα θατέρῳ τούτων ὑποδεδηκέναι τοῦ Υἱοῦ τῆς ὁμοφυοῦς πρὸς τὸν Πατέρα συγγενείας, καὶ διὰ ταῦτα οὐδ' ἡ τοῦ Μακεδονίου κατὰ τοῦ Πνεύματος ἀναδύσει λύσσα. Καὶ πάλιν, καὶ οὐδὲ τοῦ Πνεύματός ἐστι τὸ εἰς ἀρχὰς ἀναφέρεσθαι διαφόρους, ὁπόθεν ἀκολουθεῖ τὸ εἰς πολύαρχον ἀρχὴν αὐτὸ ἀναφέρεσθαι.

B Rursum si propterea, quia Spiritus proprietas in eo agnoscitur, quod a Patre procedat; similiter vero proprietas Filii in eo, quod ipse generetur, eos qui etiam ex Filio Spiritum procedere dicunt pluribus proprietatibus distingui eumdem a Patre existimas quam Filium (cap. 32): periculose et non recte id existimas. Si enim seorsim quidem ex Patre, seorsim vero ex Filio, Spiritus foret procedens: sic revera firmitatem haberet conflictarum a te proprietatum augmentum, huicque augmento ac pleonasmo consequentiæ nexu connecteretur et pluribus differentiis distingui a Patre Spiritum quam Filium, similiter cætera quoque quæ veluti ex duplici processione consequentia enumeras. Nunc vero quia una et simplex est Spiritus sancti ex Patre per Filium processio, neque duplicia sunt idiomata a Patre Spiritum secernentia, neque Spiritus horum altero inferior esse Filio in æqualitate consubstantialis cum Patre affinitatis, non obstante honoris paritate, blasphematur; atque idcirco neque Macedonii contra Spiritum emerget insania: item neque Spiritus est in diversa referri principia, adeo ut sequatur, illum in multiplex principium referri (*a*).

C

Ἔτι δὲ εἰ διὰ τὸ κοινωνεῖν τὸν Υἱὸν τῷ Πατρὶ κατὰ τὸ διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι τῆς κατ' οὐσίαν πατρικῆς συγγενείας τὸ ὁμοούσιον Πνεῦμα ὑπερορίζεσθαι οἴει, ὡς μὴ τῆς κοινωνίας ταύτης τοῖς ὁμοουσίοις αὐτοῦ μετέχον, τότε ἂν εἶχε τὸ ἰσχυρὸν, ὅτε μηδέν τι μηδόλως ἦν εὑρίσκεσθαι φυσικὸν ἀγαθὸν μόνοις τοῖς δυσὶ προσώποις ἐνυπάρχον κοινῶς· νῦν δ' ἐπεὶ ὁ Υἱὸς φυσικὸν ἀγαθὸν ἔχει κοινὸν τῷ Πατρὶ, ὅτι τὸ τοῦ Πατρὸς Πνεῦμά ἐστι καὶ Πνεῦμα αὐτοῦ καὶ ὅτι ἐκπέμπει καὶ αὐτὸς τὸ Πνεῦμα, ὥσπερ καὶ ὁ Πατὴρ, τὸ σαθρὸν τοῦ ῥηθέντος συλλογισμοῦ πρόδηλον· ὥσπερ γὰρ ὁ Υἱὸς, εἰ καὶ πάντα τὰ φυσικὰ ἀγαθὰ τοῦ Πατρὸς ἔχει, οὐκ ἔχει δὲ καὶ τὸ γεννᾷν, φυσικὸν ἀγαθὸν τοῦ Πατρὸς ὄν, οὐ διὰ τοῦτο τῆς τοῦ Πατρὸς φύσεως ἀποδέει, οὕτω καὶ τὸ Πνεῦμα, εἰ καὶ αὐτὸ πάντων τῶν τοῦ Πατρὸς μετέχει φυσικῶν ἀγαθῶν, οὐκ ἔχει δὲ

D Adhuc si propter Filii cum Patre communionem secundum quod per Filium ex Patre procedit Spiritus, a paterna secundum substantiam cognatione consubstantialem Spiritum arbitraris excludi tanquam hujus communionis cum consubstantialibus sibi haud participem (cap. 34): sed tunc quidem firmum consisteret, quando nullum omnino posset reperiri naturale bonum, quod duabus duntaxat personis insit communiter; nunc vero, quoniam Filius naturale possidet bonum cum Patre commune, quia Spiritus Patris est quoque Spiritus ipsius et quia emittit et ipse Spiritum, quemadmodum et Pater, evidens est prædicti syllogismi infirmitas. Sicut enim Filius, etsi omnia habet naturalia Patris bona, non tamen habet quoque generandi vim, quæ naturale Patris bonum exsistit, non ideo naturæ Patris expers est: ita et Spiritus

(1) Eamdem imaginem evolvit Beccus Or. II, de deposit. n. 13, G. O. II p. 57-59.

(*a*) Hæc ad Photii cap. 33 responsio, si adhuc opus esset probatione, luculenter probaret, a nobis recte Πνεύματος positum fuisse, ubi codices nostri habuerunt Πατρός. Rectam lectionem etiam in Photii textu tenet codex Laurentianus.

Digitized by Google Распознавание текста ABK/FR

etsi omnium naturalium Patris bonorum est particeps, non habet vero emittendi Spiritus potentiam, quæ naturale Patris bonum est, ideo neutiquam naturæ Patris est expers.

Quod vero dubitas, an eadem processione procedat Spiritus ex Filio an paternæ contraria, atque processionis identitatem idiomatum communionem esse existimas (cap. 35), id ex eo solutionem habet, quod minime Patris est proprietas, ipsum Spiritum producere, quoniam nihil eorum quæcunque ex Patre per Filium dicuntur, Patris est proprium; unde et una cum Marcionibus Manentes quoque ad nihilum redigi consequitur. Præter jam dicta (cap. 36) quoniam omne quod non est supernaturalis Trinitatis commune, unius trium personarum necessario esse defluite censes, ut exinde necessitate logica colligas, aut ex solo Patre procedere Spiritum sanctum aut ex solo Filio, qua conclusione eos qui ex Filio Spiritum esse dicunt in tantum blasphemiæ dejicis barathrum, ut et generationem cum spiratione commutare et Patrem ex Filio esse comminisci videantur! Obsistit tibi et ex adverso stat Gregorius theologiæ mens, *commune* esse dicens *Filio ac sancto Spiritui, quod sunt ex Patre*, atque exinde perspicue mendaces arguens eos, qui dicunt: Quodcunque in superessentiali Trinitate et cogitatur et dicitur, vel trium est commune vel unius proprium.

Præterea quoniam tibi innovatio quædam esse videtur (cap. 37) circa Spiritum, si is ex Patre et Filio procedens, non etiam ipse aliud quidquam mittit: hoc neutiquam innovationem esse verus sermo ex eo demonstrat, quod Spiritus quidem ex Patre est per Filium, non autem per Spiritum est quid aliud. Nam verum est dicere, per Filium esse Spiritum ex Patre et esse ex utroque; per Spiritum vero nihil aliud est ex Patre: non potest ergo dici aliud quodpiam ex Spiritu esse. Et nulla hic cæterum Spiritus innovatio apparet, etsi non procedit ex ipso aliud quidquam, quam nihil aliud sit ex Patre per ipsum ejusmodi quoque est eis, quem putas, propensus in alteram partem favor Patrisque nimia in Filium affectio; atque privatio et defraudatio, qua Spiritus æqualibus juribus spolietur, nisi et ipse ex eadem cum Filio causa pari honore progressus aliud quidquam producat (caput 38). Scito enim, hoc non esse secundum aliquem Patris erga Filium favorem propensiorem, verum quia Filius quidem est in Trinitate Filius, Spiritus vero Spiritus sanctus, et neque Filius est Spiritus, neque Filius Spiritus, ex Filio quidem dicitur esse Spiritus, quia. Ex Patre per Filium est; ex Spiritu vero nihil aliud dicitur esse, quia nihil est ex Patre per Spiritum.

Rursum (cap. 39) dum in causam Patrem Filiumque dividis et magis ac minus in causatione atque adscititium et spurium inter eos confingis et du-

A καὶ τὸ ἐκπέμπειν Πνεῦμα, φυσικὸν ἀγαθὸν ὂν τοῦ Πατρὸς, οὐ διὰ τοῦτο τῆς τοῦ Πατρὸς φύσεως ἀποδέει.

Πάλιν τὸ διαπορεῖν σε, πότερον τὴν αὐτὴν ἐκπόρευσιν ἐκπορεύεται τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἢ τῆς πατρῴας ἀντίθετον, καὶ κοίνωσιν τῶν ἰδιοτήτων ἡγεῖσθαί σε τῆς ἐκπορεύσεως τὴν ταυτότητα, ἔχει τὴν λύσιν ἐκ τοῦ μὴ πατρικὸν εἶναι ἴδιωμα τὸ τὸν Πατέρα τὸ Πνεῦμα προάγειν· ἐπεὶ μηδέν τι τῶν ὅσα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ λέγεται, ἴδιον τοῦ Πατρός ἐστιν· ὅθεν καὶ ἀκολουθεῖ τοῖς Μαρκίωσι συγκαταργεῖσθαι τοὺς Μάνεντας. Ἐπὶ δὲ τοῖς εἰρημένοις ἐπειδὴ πᾶν ὅπερ οὐκ ἔστι τῆς ὑπερφυοῦς Τριάδος κοινὸν, ἑνὸς τῶν τριῶν εἶναι κατ' ἀνάγκην διωρισμένως δοξάζεις, ἵν' ἐντεῦθεν ἀναγκαίως συμπεραν[ῇ]ς, ἢ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἢ ἐκ μόνου τοῦ Υἱοῦ, ᾧ τινι συμπεράσματι τοὺς ἐκ τοῦ Υἱοῦ λέγοντας εἶναι τὸ Πνεῦμα εἰς τόσον βλασφημίας ἀπάγεις, ὡς καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέναι καὶ τὸν Πατέρα ἐκ τοῦ Υἱοῦ τερατολογεῖν· ἀντικαθίσταταί σοι τῆς θεολογίας Γρηγόριος νοῦς, *κοινὸν* εἶναι λέγων *Υἱῷ καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ Πατρός*, κἀντεῦθεν σαφῶς παριστῶν ψευδεῖς εἶναι τοὺς λέγοντας· πᾶν ὅπερ ἐπὶ τῆς ὑπερουσίου Τριάδος καὶ νοεῖται καὶ λέγεται ἢ κοινόν ἐστι τῶν τριῶν ἢ ἑνὸς ἴδιον.

Ἔτι δὲ ἐπειδὴ καινοτομία τις δοκεῖ σοι τοῦ Πνεύματος, ἐὰν ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦτο ἐκπορευόμενον οὐχὶ καὶ αὐτὸ ἕτερόν τι ἐκπέμπῃ (1), μὴ καινοτομίαν τοῦτο ὁ ἀληθὴς ἀποδείκνυσι λόγος, ἐκ τοῦ εἶναι μὲν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς διὰ Υἱοῦ, μὴ εἶναι δὲ διὰ τοῦ Πνεύματος ἕτερον· ὅτι γὰρ διὰ Υἱοῦ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, καὶ ἐξ ἀμφοῖν λέγειν αὐτὸ ἀληθές ἐστι· ὅτι δὲ διὰ τοῦ Πνεύματος οὐδὲν ἕτερόν ἐστιν ἐκ Πατρὸς, πῶς ἂν εἴη λέγειν καὶ ἕτερόν τι προέρχεσθαι ἐκ τοῦ Πνεύματος; καὶ οὐδεμία καινοτομία λοιπὸν τοῦ Πνεύματος ἀναφαίνεται, εἰ καὶ μὴ ἕτερόν τι αὐτοῦ ἐκπορεύεται, ἐπεὶ μηδέν τί ἐστιν ἕτερον ἐκ τοῦ Πατρὸς δι' αὐτοῦ. Ὁποῖόν τί ἐστι καὶ ἡ νομιζομένη σοι ἑτεροκλινὴς φιλοτιμία τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν καὶ ἡ τῶν ἴσων γερῶν τοῦ Πνεύματος ἀποστέρησις, εἰ μὴ καὶ αὐτὸ ἐκ τῆς αὐτῆς τῷ Υἱῷ ὁμοτίμως προελ[η]λυθὸς αἰτίας ἕτερόν τι προίησιν· ἴσθι γὰρ, ὡς οὐχὶ κατά τινα ἑτεροκλινῆ φιλοτιμίαν τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν τοῦτ' ἔστιν, ἀλλ' ἐπεὶ Υἱὸς μέν ἐστιν ἐν τῇ Τριάδι ὁ Υἱὸς, Πνεῦμα δὲ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐθ' ὁ Υἱὸς Πνεῦμά ἐστιν, οὔτε τὸ Πνεῦμα Υἱὸς, ἐκ μὲν τοῦ Υἱοῦ λέγεται εἶναι τὸ Πνεῦμα διὰ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ εἶναι αὐτό· ἐκ δὲ τοῦ Πνεύματος οὐδέν τι λέγεται ἕτερον διὰ τὸ μηδέν τι εἶναι διὰ τοῦ Πνεύματος ἐκ Πατρός.

Πάλιν εἰ; αἴτιον τὸν Πατέρα καὶ τὸν Υἱὸν διαιρῶν καὶ τὸ μᾶλλον καὶ ἧττον τῆς αἰτίας καὶ τὸ ἐπείσακτον καὶ νόθον μεταξὺ τούτων συμπλάττων καὶ διαπορῶν,

(1) Cod. ἐκπέμπει.

πῶς λαβὼν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς τὸ προάγειν ὁμοφυὲς ἕτερον οὐ μετέδωκεν αὐτῷ τῆς αὐτῆς δυνάμεως καὶ τιμῆς, ἵνα αὐτὸ πάλιν ὁμοφυοῦς ὑποστάσεως προάξῃ ἐναγλαΐζηται, οὐδὲν ἕτερον εἰς ἔλεγχον τῶν παραλόγως οὕτω σοι πλαττομένων εὑρήσεις ἢ τὸν δογματικώτατον Κύριλλον ἐκ τοῦ Υἱοῦ προϊὸν τὸ Πνεῦμα θεολογοῦντα· οὕτος καὶ γὰρ ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου οὕτως ἔφη· *Οὐ γὰρ ἀλλότριον τῆς τοῦ Μονογενοῦς οὐσίας τὸ ἅγιον νοεῖται Πνεῦμα· πρόεισι δὲ φυσικῶς ἐξ αὐτοῦ* (1)· καὶ πάλιν ἐν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν· *Ἄθρει δὴ οὖν καὶ διὰ τούτων ἐξ ἰδίου πληρώματος προϊέντα τὸν Υἱὸν τὸ ἴδιον αὐτοῦ καὶ ἐναποβλήτως ἐμπεφυκὸς ἅγιον Πνεῦμα, δι' οὗ πᾶσα δόσις ἀγαθή* (2). Οὕτω γοῦν τοῦ μεγάλου εἰρηκότος Κυρίλλου τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ προϊὸν, κατήργηται μὲν ἡ εἰς αἴτιον καὶ αἴτιον διαίρεσις τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τὸ μᾶλλον καὶ ἧττον καὶ νόθον τῆς αἰτίας καὶ ἐπείσακτον· κατήργηται δὲ τὸ διαπορεῖν, πῶς ὁ Υἱὸς προάγων τὸ Πνεῦμα οὐ μεταδίδωσιν αὐτῷ τῆς αὐτῆς δυνάμεως καὶ τιμῆς διὰ τὸ κοινὴν ἔννοιαν εἶναι, μηδέν τι τῶν τοιούτων φρονεῖσθαι τῷ ἁγίῳ Κυρίλλῳ.

bium moves, quomodo Filius a Patre nactus, ut aliud consubstantiale producat, non ipsi eamdem virtutem eumdemque honorem communicaverit, ut et ipse itidem gloriam habeat alium consubstantialem producendi (cap. 40) : nihil aliud ad refutanda adeo temere a te conficta reperies nisi in dogmatibus acutissimum Cyrillum, qui ex Filio prodeuntem Spiritum prædicat. Hic enim in Expositione Evangelii secundum Joannem ita loquitur : *Non enim alienus a substantia Unigeniti Spiritus sanctus intelligitur, sed ex ipso naturaliter progreditur.* Et rursum libro tertio ad Hermiam : *Proinde vide, obsecro, etiam ex his Filium proprium suum et insitum ita, ut non abjiciatur, Spiritum sanctum, per quem omne bonum donum, de sua plenitudine demisisse.* Cum igitur hoc pacto magnus Cyrillus Spiritum ex Filio dixerit prodeuntem, inanis plane reddita et profligata est illa in causam et causam divisio Patris et Filii, illud magis et minus in causatione, spurium illud et adscititium, inanis quoque effecta est illa dubitatio, quomodo Filius Spiritum producens non communicet ipsi eamdem virtutem eumdemque honorem, quia communis sensus flagitat, ut minime admittamus, cogitatum sancto Cyrillo fuisse aliquid ex ejusmodi absurdis.

Ὡσαύτως καὶ ἐν οἷς παρακατιὼν λέγεις, μήτε θείων ἀκοῦσαι λογίων, μείζονα τοῦ Πνεύματος τὸν Υἱόν, μήτε νοῦν εὐσεβῆ ἁλῶναι τοῦτο διανοηθέντα, ὁπόθεν καὶ τῆς πατρικῆς ἐγγύτητος πορρωτέρω τὸ Πνεῦμα ποιεῖς καὶ τὸ δεύτερον εὑρίσκεις ὑποφυόμενον αἴτιον· καὶ τὴν μεμηχανημένην τῆς πρώτης αἰτίας ὕβριν καὶ τὸν εἰς δύο τοῦ Πνεύματος διαμερισμὸν, τὸν ἐκ τοῦ ἀναιτίου καὶ πρώτου αἰτίου· καὶ τὸν ἐκ τοῦ αἰτιατοῦ καὶ δευτέρου, καὶ τὸ εἰς τετράδα ἀντὶ Τριάδος τολμηρῶς προχωροῦν σέβας· ὁ μέγας ἀπελέγξει σε Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχή· *Αἱ μὲν αἱρέσεις, ὅσαι τῆς ἀληθείας ἐπινοήσασαι μανίαν ἑαυταῖς φαντασίαν τυγχάνουσι, περὶ τοῦ Υἱοῦ λέγων οὕτω ῥητῶς· Τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα* (3) *καὶ ἴσον ὄντα σημαίνων ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν· « Ἐγὼ αὐτὸ ἀποστέλλω· κακεῖνος ἐμὲ δοξάσει καὶ ὅσα ἀκούσῃ, λαλήσει. »*

Simili modo etiam illud, quod procedente oratione asseris, neque in divinis audiri oraculis, neque pium sensum id cogitantem deprehendi, majorem Spiritu esse Filium, unde et remotiorem a cognatione cum Patre Spiritum constituis (cap. 41) atque secundam reperis pullulantem causam, præterea et excogitatam primi principii contumeliam (cap. 42), item Spiritus sancti in duos divisionem, alterum ex non causata et prima causa, alterum ex causa causata atque secunda, et Numen in quaternitatem loco Trinitatis magna cum audacia propulsum (cap. 43), ista, inquam, magnus refellet Athanasius prima contra Arianos oratione, cujus initium : *Hæreses quæcunque veritatem apprehenderunt, insaniam sibi...*, de Filio loquens his ipsis verbis : *Discipulis vero deitatem et magnitudinem suam ostentans non minorem amplius semetipsum Spiritu, sed majorem et æqualem significans elargiebatur Spiritum et aiebat : « Ego illum mittam. »* Et : « *Ille clarificabit.* » Et : « *Quæcumque audiet, loquetur.* »

Ταῦτα λέγων ὁ ἅγιος τὴν αἰτίαν δείκνυσι προφανῶς, καθ' ἣν δοτὴρ τοῦ Πνεύματός ἐστιν ὁ Υἱός· εἰπὼν γὰρ ὡς ὁ Κύριος μείζονα τοῦ Πνεύματος ἑαυτὸν ὄντα σημαίνων ἐδίδου αὐτὸ, δεδήλωκε καθαρῶς, ὡς δι' οὐδὲν ἄλλο δοτὴρ τοῦ Πνεύματός ἐστιν ὁ Σωτὴρ, ἀλλ' ἢ διὰ τὸ ἐξ αὐτοῦ ὑπάρχειν αὐτό· καὶ εἰ βούλει ἐξ ἑτέρας γραφικῆς μαρτυρίας τὸν λόγον, συστήσω σοι· καὶ γὰρ ὁ ἐν ἁγίοις δογματικώτατος καὶ τὰ θεῖα πολὺς Ἀναστάσιος οὕτω φησί· *Καὶ γοῦν*

Hæc dicens sanctus causam aperte ostendit, secundum quam Spiritus sancti dator est Filius. Dicendo enim, Dominum Spiritu majorem semetipsum significantem eum dedisse, clare denotavit, Servatorem ob nihil aliud Spiritus esse datorem, nisi propterea, quod hic ex ipso exsistit. Atque si alio litteris consignato testimonio idem nosse vis, id tibi exhibebo. Etenim in dogmatibus tradendis peritissimus et in divinis rebus copiosus Anasta-

(1) Cyrill. in Joan. XVI, citatur a Becco sæpius, ut Epigr. V (Gr. orth. tom. II, p. 570.)

(2) Idem Cyrilli textus ap. Becc. Epigr. VIII, G. O. II, 589.

(3) Multis in locis, ut Or. de un. Eccl. n. 27, aliisque Beccus hoc textu utitur, de quo uberius disputavimus Animadvers. in Phot. art. IV, § 25.

Digitized by Google Распознавание текста АВК/FR

sius ita dicit : *Proinde Dominus ex seipso ostendens esse Spiritum, insufflans discipulis aiebat : Accipite Spiritum sanctum.* Vides, quomodo sanctus iste dictum magni Athanasii interpretetur. Quod enim universi orbis lumen Athanasius denotavit illis verbis, Dominum majorem semetipsum Spiritu ostendentem eum dedisse, hoc clarius hic exposuit veluti commentario ea verba illustrans dum dicit : *Proinde Dominus ex seipso ostendens esse Spiritum, insufflans discipulis aiebat : « Accipite Spiritum sanctum. »* Nisi ista, o sapientissime, ignorasses, non tot dixisses absurda consequi, si quis majorem Spiritu dicat Filium. Verumenimvero causa Spiritus Filius seorsim, ut tu statuis (cap. 44), utriusque vero seorsim Pater, et exinde imperfecta et dimidiata atque ex imperfecto et perfecto composita causa libere in scenam prodit, ut et mythologia per jocum hippocentauros confingens, sicut cætera, quæ impiæ sententiæ fructus nuncupas, ad quæ etiam accedit geminarum causarum exlex assertio (cap. 45). Sufficiens vero in his aranearum telis hæc est exceptio : quod Filius non seorsim ac præter Patrem causa vel est vel dicitur. Neque enim Romana ignorat Ecclesia, solum Patrem principalem causam esse, Filii quidem ac Spiritus sancti naturaliter, universæ vero creationis efficienter ac per conditionem. Attamen quia Filii quidem causa est proxima, Spiritus vero sancti causa per Filium, non tam quam ex duabus causis et principiis, sed tanquam ex uno Deo prodire Spiritum theologos nostros Patres secuta pure meritoque docet.

ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς ὑπάρχειν τὸ Πνεῦμα, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· Λάβετε Πνεῦμα ἅγιον (1). Ὁρᾷς ὅπως ὁ ἅγιος οὗτος τὸ τοῦ μεγάλου Ἀθανασίου διερμηνεύει ῥητόν· ὅπερ γὰρ ὁ τῆς οἰκουμένης φωστὴρ Ἀθανάσιος ἐδήλου λέγων, ὅτι ὁ Κύριος μείζονα δεικνὺς ἑαυτὸν τοῦ Πνεύματος ἐδίδου αὐτὸ, τοῦτο καθαρώτερον διεσάφησεν οὗτος ἑρμηνευτικῶς τὸν λόγον προαγαγὼν ἐν τῷ εἰπεῖν, *Καὶ τοῦτ' ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς τὸ Πνεῦμα ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· Λάβετε Πνεῦμα ἅγιον.* Εἰ μὴ ταῦτα ἠγνόεις, σοφώτατε, οὐκ ἂν τοσαῦτα εἰρήκεις ἕπεσθαι ἄτοπα, ἐάν τις μείζονα τοῦ Πνεύματος ἐρεῖ τὸν Υἱόν. Ἀλλὰ πάλιν αἴτιος μὲν τοῦ Πνεύματος ὁ Υἱὸς ἰδίᾳ κατὰ σὲ, αἴτιος δ' ἀμφοῖν ἰδίᾳ ὁ Πατὴρ, καὶ τὸ ἀτελὲς ἐντεῦθεν καὶ ἡμίθετον καὶ ἐξ ἀτελοῦς καὶ τελείου συντεθειμένον παῤῥησιάζεται αἴτιον, καὶ ἡ παίζουσα τοὺς ἱπποκενταύρους μυθολογία, καὶ τὰ ἄλλα ἅπερ αὐτὸς ἀσεβοῦς σπορᾶς ὀνομάζεις γεώργια· οἷς καὶ τὸ ἐκθεσμον δυαδικὸν τῶν αἰτίων συνδιαλαμβάνεται. Ἀποχρῶσα δ' ἐν ἀραχνίοις τούτοις ἐστὶν ἀντίῤῥησις τὸ μὴ τὸν Υἱὸν αἴτιον παρὰ τὸν Πατέρα ἰδίᾳ ἢ εἶναι ἢ λέγεσθαι· οὐδὲ γὰρ ἡ τῆς Ῥώμης ἀγνοεῖ Ἐκκλησία, μόνον τὸν Πατέρα ἀρχικὸν αἴτιον εἶναι, Υἱοῦ μὲν καὶ Πνεύματος φυσικῶς, πάσης δὲ κτίσεως ποιητικῶς· πλὴν ὅτε τοῦ μὲν Υἱοῦ ἐστιν αἴτιον προσεχῶς, τοῦ δὲ Πνεύματος διὰ τοῦ Υἱοῦ, οὐχ ὡς ἐκ δύο αἰτίων καὶ ἀρχῶν, ἀλλ' ὡς ἐξ ἑνὸς Θεοῦ προϊέναι λέγει τὸ Πνεῦμα, τοῖς θεολόγοις ἡμῶν Πατράσιν ἑπομένη μάλα δικαίως.

TEXTUS.

46. Ob has igitur aliasque his similes rationes tandem aliquando sensu vos vestræ impietatis afficiamini oportet et ad catholicæ atque apostolicæ Ecclesiæ sententiam relicta plurimorum errorum matre superstitione conveniatis; ac pura pietatis doctrina initiati addiscatis credere ex toto corde ac sine ulla mentis hæsitatione, quod quælibet quidem persona consubstantialis ac divinissimæ Trinitatis ineffabili ratione in communionem arctissimam cum natura jungantur, secundum vero hypostaseos rationem incommunicabilem inter se tueantur proprietatum characterem. Non enim ullum in ipsis aditum confusioni permittit distinctio; apage; sed sicut nullam partitionem seu divisionem illorum secundum naturam communio admittit, ita nec proprietates, quibus quælibet trium personarum distinguitur, in ullam prorsus confusionem permiscentur.

ΚΕΙΜΕΝΟΝ.

μς'. Διὰ ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα, κἂν ὀψὲ γοῦν ἀναλαβεῖν ὑμᾶς προσήκει συναίσθησιν τῶν ἠσεβημένων, καὶ τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ἀντὶ τῆς πολυπλανοῦς δεισιδαιμονίας συνελθεῖν τῷ φρονήματι, καὶ μυηθῆναι μὲν καθαρῶς τὴν εὐσέβειαν, ἀναμαθεῖν δὲ πιστεύειν ἐξ ὅλου τοῦ νοῦ καὶ διανοίας μὴ δισταζούσης, ὡς ἕκαστον μὲν πρόσωπον (2) τῆς ὁμοουσίου καὶ θεαρχικῆς Τριάδος ἀῤῥάστῳ λόγῳ εἰς κοινωνίαν μὲν ἀδιάστατον συνάπτονται τῇ φύσει, κατὰ δὲ τὸν τῆς ὑποστάσεως λόγον ἀμετάβλητον φυλάττουσιν ἀλλήλαις τὸν ζητῶν ἰδιωμάτων χαρακτῆρα· οὐ γὰρ χώραν δίδωσιν ἐν αὐτοῖς τὸ συγχεχυμένον ἐπελθεῖν ἡ διάκρισις· ἄπαγε· ἀλλ' ὥσπερ οὐδένα μερισμὸν ἢ διαίρεσιν ἡ κατὰ φύσιν κοινωνία παραδέχεται, οὕτως οὐδὲ τὰ ἐξ ὧν ἑκάστη τῶν τριῶν χαρακτηρίζεται, οὐμενοῦν εἰς οὐδεμίαν σύγχυσιν οὐδαμοῦ (3) ἀναφύρεται.

REFUTATIO

XX. Et quænam est illa confusio, quæ in personarum distinctionem insurgat, et quænam transmutatio characteris proprietatum, quæ ex eo sequi fingatur, quod Spiritus per Filium vel ex Filio dicatur procedere? Quemadmodum enim Spiritus

ΑΝΤΙΡΡΗΣΙΣ.

Κ'. Καὶ ποία τίς ἐστιν ἡ ἐπερχομένη σύγχυσις τῇ διακρίσει τῶν ὑποστάσεων καὶ ἡ μεταβολὴ τοῦ τῶν ἰδιωμάτων χαρακτῆρος ἀπὸ τοῦ τὸ Πνεῦμα διὰ Υἱοῦ ἢ ἐξ Υἱοῦ ἐκπορευόμενον λέγειν; ὡς γὰρ ἐκ τοῦ ἀγεννήτου Πατρὸς προερχόμενον ἀσύγχυτον τὴν πρὸς

(1) Hæc verba Anastasii ex lib. De rect. dogmat. adducit quoque Constant. Meliten. Or. II, n. 28. (G. O. II p. 854.)

(2) Laur. habet : ἕκαστον ἓν πρόσωπον.

(3) Laur. ut Col. οὐδαμῶς.

Digitized by Google Распознавание текста ABK/FR

τὸν Πατέρα αὐτοῦ διάκρισιν ἔχει (ὁ μὲν γὰρ Πατὴρ μένει ἀγέννητος, τὸ δὲ Πνεῦμα ἐκπορευτὸν), οὕτω καὶ ἐκ τοῦ Υἱοῦ προῖὸν ἀσύμφυρτον τὴν πρὸς τὸν Υἱὸν ὑποστατικὴν αὐτοῦ διάκρισιν ἔχει, καὶ πρὸς οὐδεμίαν σύγχυσιν οὐδαμῶς ἀναφύρεται. (ὁ μὲν γὰρ μένει Υἱὸς γεννητὸς, τὸ δὲ Πνεῦμα ἐκπορευτόν)· ἐπεὶ γὰρ τῇ αὐτῇ διακρίσει ἀμφοτέρων διακέκριται τὸ Πνεῦμα τὸ ἅγιον, ἐάν πρός τινα σύγχυσιν ἀναφύρηται, γέννησις καὶ ἐκπόρευσις διὰ τὸ ἐκ τοῦ γεννητοῦ Υἱοῦ τὸ ἐκπορευτὸν προελθεῖν, εὔδηλον ὡς ἔσται τις σύγχυσις ἀγεννησίας τε καὶ ἐκπορεύσεως διὰ τὸ ἐξ ἀγεννήτου Πατρὸς τὸ ἐκπορευτὸν προελθεῖν· ἀλλὰ μὴν οὐκ ἔστι τὸ δεύτερον, οὐδ' ἄρα τὸ πρῶτον.

A ex ingenito Patre progrediens inconfusam ad Patrem suam tenet distinctionem (nam Pater ingenitus manet, Spiritus vero procedens), ita et ex Filio prodiens inconfusam habet suam personalem distinctionem ad Filium et in nullam prorsus confusionem permiscetur (manet namque Filius genitus, Spiritus vero procedens). Nam cum eadem distinctione Spiritus sanctus sit ab utroque distinctus, si ad quam confusionem permisceatur generatio et processio idcirco quod ex Filio genito ille qui procedit progrediatur, perspicuum est, fore et confusionem quamdam innascibilitatis et processionis, idcirco quod ex innascibili Patre ille qui procedit progrediatur. Sed secundum locum minime habet, ergo nec primum.

KEIMENON.

Ὥσπερ δὲ πάλιν ὁ Υἱὸς γεννᾶται μὲν ἐκ τοῦ Πατρὸς, διαμένει δ' ἂν ἀναλλοίωτον ἑαυτῷ τὸ τῆς υἱότητος συντηρῶν ἀξίωμα, οὕτω καὶ τὸ Πνεῦμα τὸ πανάγιον ἐκπορεύεται μὲν τοῦ Πατρὸς, μένει δ' ἀμετάβλητον, ἑαυτῷ συντηροῦν τὸ ἐκπορευτόν· καὶ καθ' ὃν λόγον ἐξ ἀναιτίου τοῦ Πατρὸς τὸ Πνεῦμα προῖὸν ἑτέρου γέννησιν ἢ ἐκπόρευσιν οὐ θεουργεῖ, οὐδὲ διά τινος μεταβολῆς τὴν ἐκπόρευσιν αὐτοῦ καινοτομεῖ· οὕτω δὴ καὶ ὁ Υἱὸς γεννώμενος ἐξ ἀναιτίου τοῦ Πατρὸς οὔτε διὰ γεννήσεως, οὐ μὴν, ἀλλ' οὐδὲ δι' ἐκπορεύσεως οὐδεμίαν ἂν θεούργιαν οὐδενὸς ὁμοφυοῦς ἀνάσχοιτο ὑποβαλεῖν, οὐδὲ σχέσεως ἑτέρας ἐπεισαγωγῇ τὸ προνόμιον ἐπινοθεύειν τῆς υἱότητος.

B

TEXTUS.

Et sicuti rursus Filius quidem generatur a Patre, permanet tamen inalteratam sibi conservans filiationis dignitatem, ita et sanctissimus Spiritus procedit quidem a Patre, manet vero incommutatam sibi servans processionis rationem; et qua ratione Spiritus ex Patre nullam agnoscente causam prodiens alterius generationem et processionem divinam non operatur, nec per ullam mutationem processionem suam innovat, ita sane et Filius ex Patre principii experte generatus neque per generationem, imo vero neque per processionem poterit ullam aliam consubstantialem personam producere aut aliam superinducendo relationem filiationis adulterare prærogativam.

C

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΑ'. Ὡς ἔοικεν, οὐδεμίαν σὺ βούλει δοῦναι διαφορὰν ἐπὶ τῷ αἰτιατῷ τοῦ Υἱοῦ τε καὶ Πνεύματος, καὶ διὰ τοῦτο καινοτομίας ἐκπορεύσεων καὶ θεουργίας ὁμοφυῶν τινων τερατολογεῖς. Ἀλλ' ὁ θεολογικώτατος Νύσσης διαφορὰν τοῦ αἰτιατοῦ λέγων τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου προέρχεσθαι, ἐκ τῆς διαφορᾶς ταύτης δίδωσι νοεῖν, τὸ μὲν διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς προῖὸν Πνεῦμα εἶναι καὶ ἐξ ἀμφοῖν, ἐξ αὐτοῦ δὲ εἶναι μηδὲν, ἐπεὶ μηδὲν ὁμοφυές ἐστι δι' αὐτοῦ.

REFUTATIO.

XXI. Nullam, ut videtur, concedere vis differentiam in principiati ratione, quæ tum Filio convenit tum Spiritui; et idcirco innovationes processionum et consubstantialium quorumdam productiones monstruose confingis. Verum summus inter theologos Nyssenus, dum discrimen causalitatis enarrat, illud immediate ex primo, hoc vero per id quod immediate ex primo procedere, ex hoc discrimine ipso dat intelligere, Spiritum per Filium ex Patre prodeuntem et ex utroque esse, ex ipso vero esse nihil, cum nulla alia consubstantialis persona per ipsum exsistat.

KEIMENON.

μζ'. Ἐκεῖνο δὲ μὴ καθορῶντα δικαίως ἂν σε γραφοίμην ἑκουσίου πηρώσεως. Εἰ μὲν γὰρ κατὰ τὸν λόγον τῆς φύσεως ὁ Πατὴρ προβάλλεται τὸ Πνεῦμα, τῆς αὐτῆς δὲ φύσεως ἡ Τριὰς, τότε δὴ τότε μετὰ πολλῶν καὶ ἄλλων συγγενῶν ἀτοπημάτων, ἔκ τινος ἂν ἀφορμῆς ἐξώρμας μυθολογεῖν τὸ δυσσέβημα. Οὐ γὰρ μόνον εἰς προβολέα τοῦ Πνεύματος ὁ Υἱὸς ἂν σοι μετεβάλλετο, ἀλλὰ καὶ αὐτὸ τὸ Πνεῦμα εἴς τε τὴν τοῦ Υἱοῦ γέννησιν καὶ τὴν ἰδίαν προβολὴν ἐτέμνετό τε καὶ κατεμερίζετο· καὶ σιγῇ τἄλλα ἐχέτω, ὅτι τε ἄμεινον, καὶ οὐδὲ τῷ ῥήματι τὰ ἀτοπώτερα μὴ προφερόμενα τοῖς νουνεχῶς καὶ σὺν εὐλαβείᾳ διερευνῶσιν οὐκ ἄδηλον ἔχει τὴν κατανόησιν. Ἀλλ' οὕτω μὲν εἰ τῷ λόγῳ τῆς φύσεως, οὐχὶ δὲ τῷ λόγῳ τῆς ἰδίας ὑποστάσεως ὁ Πατὴρ τὸ Πνεῦμα εἴ τις προβάλ-

D

TEXTUS.

47. Illud autem si nolis intelligere; merito te spontaneæ arguam cæcitatis. Si enim secundum rationem naturæ Pater producit Spiritum, cum ejusdem naturæ sit Trinitas, tunc sane una cum multis aliis affinibus absurdis esset tibi aliqua occasio impiæ hujus fabulæ confingendæ. Non enim solum in productorem Spiritus posses Filium convertere, sed ipsummet Spiritum tum in Filii generationem tum in suiipsius productionem scindere ac partiri, pressis interim silentio cæteris absurdis, quæ etiam nullo prodita verbo a prudentibus piisque perscrutatoribus melius ac facilius intelliguntur. Atque ita quidem, si quis ratione naturæ, non vero ratione hypostaseos propriæ a Patre Spiritum produci fingeret. Cum tamen Pater

Digitized by Google Распознавание текста ABK/FR

qua Pater Spiritum producere et sacris dicatur Eloquiis et a catholicis constantissime credatur, profecto nec Filius, quatenus Filius prædicatur, per Spiritus productionem filiationis gradum sibi immutabit nec Patri ademptam ad se trahet Spiritus causationem, quemadmodum nec causationem pacatissimæ purissimæque suæ generationis. Nequè enim prorsus hæc sunt naturæ, secundum quam communio prædicatur, sed hypostaseos proprietates, per quas divinam in Trinitate distinctionem confitemur.

REFUTATIO.

XXII. Tu quidem sæpius et in multis orationis partibus asseris, non ratione naturæ, sed ratione personæ Patrem causam esse eorum quæ ex ipso, et cæcitatis arguis Italum utpote non illico hoc perspicientem, eique impietatem et superstitionem fraude circumventam objicis aliaque id genus, quæ proferenti æternam damnationem acquirunt. Ego vero maxime pro te timeo, ne dum impetu quam vehentissimo pro pietate pugnaturus prodis, a recto tramite inscius omnino deflectas: multa enim mihi videntur inventam a te propositionem sequi absurda. Ac primo quidem quia a te ipso eam confinxisti ut quoddam dogmatis principium: quid enim ejus, quam quod dicis et pro dogmate statuis, quod nemo unquam statuit sanctorum? Deinde vero quia illa etiam Patrum doctrinis adversatur. Nam dicito mihi: si quis dicat ratione naturæ Patrem producere Spiritum, num hic propterea quia ejusdem naturæ est Trinitas, non solum in productorem Spiritus Filium transferre, verum etiam ipsum Spiritum in Filii generationem et in propriam productionem dividere ac scindere censebitur? Verum Patres nostri ex essentia Patris generari Filium tradentes nullo omnino timore commovebantur, ne quis, propterea quod sancta Trinitas ejusdem est naturæ, arbitraretur, etiam Filii essentiam generantem esse ad instar essentiæ Patris. Quomodo igitur non es veritus, cum Patres ex essentia Patris prædicent Filium et Patris essentiam dicant esse generantem, ipse Patris causam in rationem naturæ et rationem hypostasis dividere atque negare quidem, Patrem esse causam ratione naturæ; asserere vero ac docere sola ratione hypostasis causam esse, quasi vero essentiæ expers Patris hypostasis emitteret ea quæ sunt ex ipsa? Neque natura Patris, o homo, absque hypostasi est, quando quis prædicet ex essentia et natura Patris Filium atque Spiritum; neque hypostasis absque essentia, quando quis ex hypostasi Patris progredi dicat quæ sunt ex ipsa. Tu autem protinus, si audis Filium ex Patre Deum ex Deo esse, non ex essentia ac deitate Patris Filii essentiam deitatemque dices, ne propterea quod ejusdem naturæ est sancta Trinitas prædicta a te consequantur absurda. Etenim cum Filius qui principiatus est ex principio Patre Deus ex Deo sit, si ratione personæ principium seu causa est Pater, quasi ab

λεσθαι τερατεύσοιτο. Εἰ δὲ καθὸ Πατὴρ ὁ Πατὴρ ἱερολογεῖται προβάλλειν τὸ Πνεῦμα καὶ τοῖς εὐσεβέσιν οὐκ ἐπιδιστάζεται· οὔτε ὁ Υἱὸς, καθὸ θεολογεῖται ὁ Υἱὸς, διὰ τῆς τοῦ Πνεύματος προβολῆς τὸ τῆς υἱότητος καινοτομήσει ἀξίωμα, οὐδὲ τῷ Πατρὶ περικόψας εἰς ἑαυτὸν μεταστήσει τὴν αἰτίαν τοῦ προβλήματος, ὥσπερ οὐδὲ τῆς περὶ αὐτὸν ἀστασιάστου τε καὶ ἀῤῥεύστου γεννήσεως. Οὐ γάρ ἐστιν, οὐκ ἔστι ταῦτα φύσεως, καθ' ἣν ἡ κοινωνία δοξάζεται, ἀλλ' ὑποστάσεως ἰδιώματα, δι' ὧν τὴν ἐν τῇ Τριάδι θεολογοῦμεν διάκρισιν.

ΑΝΤΙΡΡΗΣΙΣ.

ιβ'. ΚΒ'. Σὺ μὲν πολλάκις καὶ ἐν πολλαῖς τοῦ λόγου περικοπαῖς ἔφης, μὴ τῷ λόγῳ τῆς φύσεως, τῷ δὲ λόγῳ τῆς ὑποστάσεως τὸν Πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ, καὶ πηρώσεως γράφῃ τὸν Ἰταλὸν, ὡς τάχα τοῦτο μὴ συνορῶντα, καὶ ἀσέβειαν αὐτοῦ καὶ πεπλανημένην δεισιδαιμονίαν κατηγορεῖς, καὶ ἄλλα τινὰ, ἅπερ εἰσὶν αἰωνίου τῷ λέγοντι κρίματος πρόξενα. Ἐγὼ δὲ μάλιστα δέδια περὶ σοὶ, μήποτε τὸν ὑπὲρ τῆς εὐσεβείας ἀγῶνα ἀκατασχέτῳ ῥύμῃ ποιούμενος λάθῃς αὐτὸς τοῦ εὐθέος παρασυρείς. Πολλαὶ γάρ μοι δοκοῦσι τῇ ἐφευρημένῃ σοι ταύτῃ προτάσει τὰ ἄτοπα ἕπεσθαι· πρῶτον μὲν ὅτι οἰκοθεν ταύτην ἐπλάσω ὥς τινα ἀρχὴν δόγματος· καὶ τί γὰρ κάκιον τοῦ λέγειν καὶ δογματίζειν σε, ἅπερ τῶν ἁγίων οὐδεὶς ποτε δεδογμάτικεν; ἔπειτα δὲ, ὅτι καὶ ταῖς τῶν Πατέρων αὐτῆ ἀντιβαίνει θεολογίαις· εἰπὲ γάρ μοι, εἴ τῷ λόγῳ τῆς φύσεως ἐρεῖ τις τὸν Πατέρα τὸ Πνεῦμα προβάλλεσθαι, ἆρά γε διὰ τὸ τῆς αὐτῆς φύσεως εἶναι τὴν Τριάδα κριθήσεται; οὗτος μὴ μόνον εἰς προβολέα τοῦ Πνεύματος τὸν Υἱὸν μεταβάλλειν, ἀλλὰ καὶ αὐτὸ τὸ Πνεῦμα εἰς τὴν τοῦ Υἱοῦ γέννησιν καὶ τὴν ἰδίαν προβολὴν καταμερίζειν καὶ τέμνειν; ἀλλ' οἱ Πατέρες ἡμῶν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεννᾶσθαι θεολογήσαντες τὸν Υἱὸν, οὐδεμίαν ἔσχον δειλίαν, μήποτε διὰ τὸ τῆς αὐτῆς φύσεως τὴν ἁγίαν εἶναι Τριάδα οἰήσαιτό τις καὶ τὴν τοῦ Υἱοῦ οὐσίαν γεννητικὴν εἶναι κατὰ τὴν τοῦ Πατρός· πῶς γοῦν οὐ δέδιας ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν τῶν Πατέρων θεολογούντων καὶ τὴν οὐσίαν τοῦ Πατρὸς γεννητικὴν εἶναι λεγόντων, οὕτως τὸ τοῦ Πατρὸς αἴτιον εἰς λόγον φύσεως καὶ λόγον ὑποστάσεως διαιρεῖν, καὶ ἀπαρνεῖσθαι μὲν αἴτιον εἶναι τὸν Πατέρα τῷ λόγῳ τῆς φύσεως, δογματίζειν δὲ μόνῳ τῷ λόγῳ τῆς ὑποστάσεως αἴτιον εἶναι, ὥσπερ ἂν ἦν ἀνούσιον τὴν τοῦ Πατρὸς ὑπόστασιν προτείναι τὰ ἐξ αὐτῆς· ἄνθρωπε αὐθ' ἡ φύσις τοῦ Πατρὸς ἀνυπόστατός ἐστιν, ὅταν τις ἐκ τῆς οὐσίας καὶ φύσεως τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα θεολογῇ, οὐθ' ἡ ὑπόστασις ἀνούσιος, ὅταν τις ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς προέρχεσθαι λέγῃ τὰ ἐξ αὐτῆς· σὺ δὲ τάχα καὶ τὸν Υἱὸν ἐκ Πατρὸς Θεὸν ἐκ Θεοῦ εἶναι ἀκούων οὐκ ἐκ τῆς οὐσίας καὶ θεότητος τοῦ Πατρὸς τὴν τοῦ Υἱοῦ οὐσίαν ἐρεῖς καὶ θεότητα, ἵνα μὴ διὰ τὸ τῆς αὐτῆς φύσεως τὴν ἁγίαν εἶναι Τριάδα, τὰ προῤῥηθέντα σοι ἀκολουθήσειεν ἄτοπα· ἐπειδὴ γὰρ ὁ Υἱὸς αἰτιατὸς ὢν ἐξ αἰτίου Πατρὸς Θεός ἐστιν ἐκ Θεοῦ, εἰ τῷ λόγῳ τῆς ὑποστάσεως αἰτιός ἐστιν ὁ Πατὴρ, ὥσπερ ἂν εἰ

Digitized by Google Распознавание текста ABBYY FR

διηρημένη τῆς αὐτῆς οὐσίας καὶ φύσεως ἡ ὑπόστασις ἦν, τί ἄλλο ἀνακύψειεν ἄν, ἢ Θεὸν τὸν Πατέρα καὶ Θεὸν τὸν Υἱὸν τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὐχὶ τῷ λόγῳ τῆς φύσεως δογματίζειν; Ἐπεὶ δὲ λέγεις, ὡς καθὸ Πατὴρ ὁ Πατὴρ ἱερολογεῖται προβάλλειν τὸ Πνεῦμα καὶ τοῖς εὐσεβέσιν οὐκ ἐπιδιστάζεσθαι τοῦτο διαβεβαιοῖ, ἐγὼ τοῖς εὐσεβέσι διαβεβαιοῦμαι μηδέποτε ἐντυχεῖν θεολογίᾳ τινὸς τῶν Πατέρων ἐκ τοῦ Πατρὸς καθὸ Πατρὸς εἶναι λέγοντος τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καθὸ ἀρχικοῦ αἰτίου, οὐχὶ προσεχῶς ἐξ αὐτοῦ προερχόμενον, ἀλλὰ διὰ τοῦ Υἱοῦ ἐκπορευόμενον ἐξ αὐτοῦ, μηδὲν τοῦ τῆς υἱότητος καινοτομουμένου ἀξιώματος.

A eadem essentia et natura hypostasis sit divisa, quid aliud emerget, nisi ut Deum Patrem et Deum Filium ratione hypostaseos, et non ratione naturæ doceamus? Quoniam vero dicis Patrem, quatenus est Pater, Spiritum producere prædicari et vere catholicis hoc in dubio positum non esse asseveras, ego vere catholicis assevero nunquam fore, ut inveniant theologiam alicujus ex Patribus, qui dicat Spiritum sanctum ex Patre esse quatenus Pater est, sed solum dicentes quatenus causa principalis, ex eo progredi Spiritum, non proxime sed per Filium eum procedere, Filii dignitate nullam omnino innovationem patiente.

KEIMENON.

μη'. Εἶεν· ἀλλὰ γάρ φασί τινες (1) τοὺς αἱρεσιώτας λέγειν· « Πῶς δὲ τὸν κήρυκα τῆς Ἐκκλησίας, τὸν τῆς οἰκουμένης διδάσκαλον οὐκ ἂν ἀλοίητε παραγραφόμενοι Παῦλον, ἐκεῖνον τὸν οὐράνιον ἄνθρωπον, ὃς μέγα τε καὶ ὡς ἀληθῶς οὐράνιον ἀνακέκραγεν· *Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν* (2), *κρᾶζον· Ἀββᾶ ὁ Πατήρ;* » Εἰ οὖν Παῦλος ὁ τῶν ὀρθῶν δογμάτων γνώμων τὸ Πνεῦμα λέγει ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, πῶς οἱ μὴ τοῦτο παραδεχόμενοι αὐτὸν τὸν μυσταγωγὸν τῶν οὐρανίων οὐ παραγράφονται (3); Καὶ τίς ἐστι Παῦλον τὸν θεωρὸν τῶν ἀπορρήτων ὃς ἁπάσαις ψήφοις παραγράφεται; ὁ πρὸς τὸν διδάσκαλον αὐτοῦ καὶ κοινὸν Δεσπότην ἀντιφθεγγόμενον ἐπιδεῖξαι σπουδάζων, ἢ ὁ τὴν πρὸς αὐτὸν συμφωνίαν αὐτοῦ διὰ σεβάσματος ἄγων καὶ ἀνυμνῶν; Εἰ γὰρ ὁ Δεσπότης μὲν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα ἐκπορεύεσθαι μυσταγωγεῖ, Παῦλον δὲ ἡ αἵρεσις δογματίζειν εἰσάγει ἐκ τοῦ Υἱοῦ, τίς ἂν εἴη ὁ παραγραφόμενος; μᾶλλον δὲ ὁ γραφόμενος αὐτὸν δεσποτικῆς ἀντιλογίας καὶ δίκην ἄφυκτον τοῦ τολμήματος χρεωστεῖν. Ὁρᾷς, ὅπως ἔγνως τὸν τῆς οἰκουμένης διδάσκαλον τῶν διδασκαλικῶν γερῶν μὴ ἀποστερεῖν, ὅπως τὸν πρὸς τὴν εὐσέβειαν ὁδηγὸν ἀντὶ τοῦ δι' αἰδοῦς ἄγειν καὶ σεβάσματος ἐπιρρήτῳ γνώμῃ δυσφημεῖς. Ἀλλ' οὐδὲν ἡ αἵρεσις καινότερον τοῦ συνήθους ποιεῖ. Ἡ γὰρ αὐτὸν συκοφαντήσασα τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ εἰς διαφωνίαν ἐκπεσεῖν, πῶς οὐκ ἀκόλουθα πράττει ἑαυτῇ καὶ τὸν αὐτοῦ γνήσιον θεράποντα καὶ μαθητὴν εἰς ἀντιλογίαν ἀντανιστῶσα καὶ φιλονεικοῦσα δεῖξαι τῷ διδασκάλου διωρθωτήν;—μθ'. Ποῦ δὲ Παῦλος ἂν ἐλέγει (4) τὸ Πνεῦμα *ἐκπορεύεσθαι* τοῦ Υἱοῦ; *εἶναι* μὲν γὰρ *τοῦ Υἱοῦ* (οὐδὲ γὰρ ἀλλότριον· μὴ γένοιτο!) κἀκεῖνος εἶπερ καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία συναμολογεῖ καὶ συνεπίσταται· *ἐκπορεύεται* δὲ (5) *ἐκ τοῦ Υἱοῦ*, οὔτε διὰ τῆς ἐκείνου θεορρήμονος γλώττης προελήλυθεν, οὐ μήν, ἀλλ' οὐδὲ τῶν εὐσεβῶν οὐδείς (πολλοῦ γε καὶ δεῖ συκοφαντίας τοιαύτης) ἐγράψατο, ἀλλ' οὐδ' ἀκοῇ τὸ δύσφημον ἀνάσχοιτο

B 48. Esto. At inquiunt nonnulli hæreticos dicere: « Quomodo non manifeste repudiatis præconem illum Ecclesiæ orbisque doctorem Paulum, cœlestem illum virum, qui ingenti vereque cœlesti exclamat voce: *Misit Deus Spiritum Filii sui in corda nostra clamantem: Abba Pater* (a)? » Si igitur Paulus dogmatum rectorum norma Spiritum dicit e Filio procedere, quomodo qui hoc non admittunt, ipsum mysteriorum cœlestium doctorem non repudiant? — At quis, quæso, Paulum arcanorum mysteriorum doctorem calculis omnibus respuit? an is qui eum Christo magistro suo et communi Domino contradicentem ostendere nititur, an vero qui ipsius cum illo consensionem concordiamque reveretur ac celebrat? Si enim Dominus quidem Spiritum ex Patre procedere docet, Paulum C vero inducit hæresis asserentem ex Filio, uter, quæso, illum repudiat? Imo potius is illum repudiat, qui contradictionis adversus Dominum eum accusat inevitabilemque temeritatis pœnam sibi acquirere eum contendit. Vides, quomodo orbis universi doctorem doctoris honore haud exuere nosti, quomodo eum, qui nos ad pietatem ducit non veneratione obsequiove prosequeris, sed infamia atque ignominia inspergis. Sed nihil præter morem suum hic agit hæresis. Quæ enim ipsum Filium Verbumque Dei calumniata fuit, quod secum ipse aliquando pugnarit, quomodo non sibi consentanea facit, dum et genuinum ejus famulum et discipulum ipsi contraria dicentem objicit eumque D ostendere nititur Magistri sui correctorem?—49. At ubinam, quæso, Paulus affirmat, Spiritum *procedere* a Filio? *Esse* quidem Spiritum *Filii* (neque enim alienus est, absit) et ille dixit et Dei Ecclesia confitetur ac prædicat; *procedere* autem *ex Filio* neque ex illius divina lingua prodiit, neque ullus unquam catholicorum talem ei calumniam affinxit suis scriptis; tantum abest, ut id factum fuerit, ut nec audire ejusmodi blasphemiam catholicus

(1) Laur. τινα.
(2) Mon. et al. cum nov. T. pluribus codd. ἡμῶν.
(3) Sic Laurent. Col. et al., Mon. omissa particula negat. παραδέχονται.
(4) Ἄνθρωπε, λέγει Laur.
(5) Δὲ pos: ἐκπορεύεται deest in Laur.

(a) Ad hunc textum revera Latini fere omnes provocant. Aug. de Trin. IV, 20, aliique Patres apud Petav. de Trin. l. VII, c. 4. Ratramnus contra Græcorum opposita L. I, c. 4, 6, 7. (Patrol. lat. t. CXXI, p. 232, 236, 238.) S. Petrus Dam. Opusc. I, c. 10. (Patrol. t. CXLV, p. 57, 58.)

Digitized by Google Распознавание текста ABK/FR

quis sustinuerit.—50. Dixit Paulus, qui cursu divinæ prædicationis breviorem suo studio telluris magnitudinem ostendit, *Spiritum Filii sui*. Cur igitur non et tu hæc dicis, sed fraudulenter agis, omnia susdeque vertis et pervertis præconis verbum, quodque gravius est, tuam istam perversionem et blasphemiam in doctoris vocem intrudis?— 51. Dixit *Spiritum Filii*. Recte admodum et sapienter et divine. Tu vero quorsum depravas hanc vocem et quæ quidem dixit non dicis, quæ vero ne cogitavit quidem, quasi ab illo dicta jactare non erubescis? *Spiritum Filii sui*. Neque enim poterat id aliter aptius enuntiari. Est enim Spiritus ejusdem ac Filius naturæ et substantiæ, gloriæ, honoris et potestatis. Qui ergo dicit *Spiritum Filii sui*, naturæ quidem edocet perfectam sine ulla differentia similitudinem (et identitatem), causam vero processionis nusquam inducit; ac substantiæ quidem unitatem agnoscit, eum vero qui consubstantialiter produxit hypostasin, nullatenus declarat nec causam subindicat.

A

B

REFUTATIO

XXIII. Romani vocem Apostoli Spiritum sanctum Filii Spiritum dicentem dum in medium proferunt, ut eum ex Filio esse demonstrent (*a*), magnum Basilium hujus theologiæ antesignanum exhibent, qui modo Spiritum Filii esse ait Spiritum, quia per Filium est ex Patre, modo nihil differre docet in theologia præpositionem *per* et præpositionem *ex*. Tu vero qui illos lato ore hæreticos vocas, et convitiis appetentes Dei præconem Paulum, calumniantes Verbum et Filium Dei, mala fraude omnia præpostere permiscentes et præconis sermonem perverteutes, scito te hæc omnia adversus nostros doctores et genuinos Domini ministros verosque Pauli discipulos evulgare et dicere. Quinam sunt isti? Ii qui ex Patre per Filium Spiritum procedere affirmarunt. Si enim, ut tibi videtur, Romanorum Ecclesia Pauli vocem depravat et quæ quidem dixit Paulus non dicit, quæ vero ne cogitavit quidem, quasi ab illo dicta prædicat, Patres nostri ante ipsam hisce criminationibus obnoxii effecti sunt, qui ex Patre per Filium Spiritum procedere tradiderunt. Tu quidem Spiritum *Filii* dicis utpote connaturalem et consubtantialem Filio et hanc vocem edocere inquis naturæ absque ulla differentia similitudinem; sed veritas hæc est, Spiritum Filio connaturalem et consubstantialem esse et secundum naturam nulla ab eo differentia sejunctum, propterea quod per Filium est ex Patre procedens.

C

D

TEXTUS.

52. Quid vero? Nonne ab omnibus theologice di-

δέξασθαι.—ν'. Εἶπεν ὁ Παῦλος, ὁ τῷ δρόμῳ τοῦ θείου κηρύγματος βραχύτερον αὐτοῦ τῆς σπουδῆς τὸ τῆς οἰκουμένης ἐλέγξας μέγεθος, *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*. Διὰ τί οὖν μὴ καὶ σὺ τοῦτο λέγεις, ἀλλὰ κακουργεῖς καὶ τὰ ἄνω κάτω ποιεῖς καὶ διαστρέφεις τὸ ῥῆμα τοῦ κήρυκος· καὶ, τὸ βαρύτερον, τὴν σὴν διαστροφὴν καὶ βλασφημίαν εἰς τὴν τοῦ διδασκάλου παραπέμπεις φωνήν; — να'. Ἔφη, *Τὸ Πνεῦμα τοῦ Υἱοῦ*· καλῶς γε καὶ θεοσόφως. Σὺ δὲ τί ποτε παραχαράττεις τὴν φωνὴν καὶ ἃ μὲν εἶπεν οὐ λέγεις, ἃ δὲ οὐδ' ἐνενόησεν, ὡς ἐκείνου λέγοντος κηρύττειν οὐκ ἐρυθριᾷς; *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*· οὐδὲ γάρ, οὐδ' ἦν ἄλλως βέλτιον εἰπεῖν· καὶ γὰρ ὁμοφυὲς τοῦ Υἱοῦ καὶ ὁμοούσιον καὶ τῆς αὐτῆς δόξης καὶ τιμῆς καὶ κυριότητος· ὁ τοίνυν λέγων· *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*, τῆς φύσεως μὲν ἐκδιδάσκει τὸ ἀπαράλλακτον, τὴν δὲ αἰτίαν οὐδαμοῦ συνεισάγει τῆς ἐκπορεύσεως· καὶ τὴν μὲν κατ' οὐσίαν οἶδεν ἑνότητα, τὸν δ' ὁμοφυῶς προαγαγόντα τὴν ὑπόστασιν οὐμενοῦν οὐδαμῶς συνανακηρύττει, οὐδὲ τὸν αἴτιον ὑποδείκνυσι.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΓ'. Ῥωμαῖοι μὲν τὴν *Πνεῦμα Υἱοῦ* τὸ ἅγιον λέγουσαν Πνεῦμα ἀποστολικὴν φωνὴν προβαλλόμενοι εἰς ἀπόδειξιν τοῦ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό, τὸν μέγαν Βασίλειον πρόμαχον τῆς τοιαύτης προΐστωσι θεολογίας, νῦν μὲν λέγοντα, Πνεῦμα Υἱοῦ εἶναι τὸ Πνεῦμα, ὅτι διὰ τοῦ Υἱοῦ ἐστιν ἐκ Πατρὸς (1), νῦν δὲ μηδέν τι διαφέρειν διδάσκοντα ἐπὶ τῆς θεολογίας τὴν *διὰ* καὶ τὴν *ἐκ* (2). Σὺ δὲ πλατεῖ στόματι αὐτοὺς αἱρεσιώτας ἀποκαλῶν καὶ δυσφημοῦντας μὲν Παῦλον τὸν θεοκήρυκα, συκοφαντοῦντας δὲ τὸν Λόγον καὶ Υἱὸν τοῦ Θεοῦ, καὶ κακουργῶς τὰ ἄνω κάτω ποιοῦντας καὶ τὸ ῥῆμα τοῦ κήρυκος διαστρέφοντας, ἴσθι ταῦτα πάντα κατὰ τῶν ἡμετέρων διδασκάλων καὶ γνησίων τοῦ Δεσπότου θεραπευτῶν καὶ τοῦ Παύλου ἀληθῶν μαθητῶν ἀνακηρύττων καὶ λέγων. Τίνων ἐκείνων, Οἵπερ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι εἶπον. Εἰ γὰρ, ὡς δοκεῖ σοι, τὴν Παύλου φωνὴν ἡ τῶν Ῥωμαίων Ἐκκλησία παραχαράττει καὶ ἃ μὲν εἶπε Παῦλος οὐ λέγει, ἃ δὲ οὐδὲ ἐνενόησεν ὡς λέγοντος ἐκείνου κηρύττει, οἱ Πατέρες ἡμῶν πρὸ αὐτῆς τοῖς ἐγκλήμασι γεγόνασι τούτοις ἁλώσιμοι, οἱ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα θεολογήσαντες. Σὺ μὲν γὰρ Πνεῦμα Υἱοῦ λέγεις ὡς ὁμοφυὲς καὶ ὁμοούσιον Υἱῷ, καὶ τὴν φωνὴν ταύτην ἐκδιδάσκειν λέγεις τῆς φύσεως τὸ ἀπαράλλακτον· τόδ' ἀληθές ἐστιν, ὁμοφυὲς τῷ Υἱῷ καὶ ὁμοούσιον εἶναι τὸ Πνεῦμα, καὶ ἀπαράλλακτον αὐτοῦ κατὰ φύσιν, ὅτι διὰ τοῦ Υἱοῦ ἐστιν ἐκπορευόμενον ἐκ Πατρός (3).

KEIMENON.

νβ'. Τί δέ; Οὐ θεολογεῖται παρὰ πᾶσι καὶ (4) ὁ

a) Audiatur præ cæteris Magnus Leo serm. I, de Pentec. c. 3. (Patrol. lat. t. LIV, p. 402) : *Spiritus sanctus Patris Filiique Spiritus, non sicut quæcunque creatura, quæ et Patris et Filii est, sed sicut cum utroque vivens et potens et sempiternus ex eo, quod est Pater Filiusque, subsistens.*

(1) Cf. Basil. ap. Becc. G. O. II, 553, 565 seq.

(2) Basil. de Sp. S. c. S. Becc. G. O. I. 112-123 seq. II, 60 seq. 110 seq. Eodem modo, ut supra, Basil. addncit L. III ad Theod. Sugd. c. 6, G. O. II 142.

(3) Cf. Becc. ad Theod. L. III, c. 8, fin. G. O. II, 145.

(4) Καὶ deest in Laurent.

Digitized by Google Распознавание текста АВК/ER

Πατὴρ *εἶναι τοῦ Υἱοῦ*; Ἆρ' οὖν σὺ (1) διὰ τοῦτο καὶ γέννησιν ἀναστρέψεις αὐτῷ; Εἰ δ' ὁ Πατὴρ λέγεται μὲν τοῦ Υἱοῦ, οὐχ ὅτι γεγέννηται, ἀλλ' ἐπειδὴ ὁμοούσιος· εἰ βούλει δὲ καὶ ὅτι γεγέννηται· πῶς ἐνταῦθά σοι τὸ *Πνεῦμα* ῥηθὲν *τοῦ Υἱοῦ* ἀντὶ τοῦ λέγειν αὐτὸ αἴτιον καὶ προαγωγὸν εἰς τὴν τοῦ προαγομένου καὶ αἰτιατοῦ τάξιν παρεσύρη; Εἰ γάρ πού σε καὶ ἀσεβεῖν διὰ τῆς τῶν φωνῶν ὁμοιότητος ἔρως κατεῖχεν, ἐπίσης μὲν ἂν ἦς ἀσεβῶν ὥσπερ προβολέα τὸ Πνεῦμα λέγων τοῦ Υἱοῦ, οὕτως καὶ τὸ ἀνάπαλιν τοῦ Πνεύματος τὸν Υἱόν· πλὴν ἀλλ' ἥ γε πλάνη διά τινος; ἂν ἀφορμῆς καὶ παραδείγματος ἐδόκει προϊέναι· νῦν δέ σοι καὶ τὸ ἄλογον θεομαχεῖ καὶ τὸ θεομάχον πρὸς τὸ ἔμπληκτον περὶ τῆς ὑπερβολῆς φιλονεικεῖ καὶ ἀντερίζει.

A citur et Pater *esse Filii*? Ergo propterea et tu generari a Filio Patrem affirmabis? Quod si Pater dicitur Filii, non quia generatus, sed quia consubstantialis est, vel si vis, et quia genitus fuit (Filius), quomodo hic tu audiens *Spiritum Filii*, non causam eum ac productorem asseris, sed in producti et causati ordinem traducis et detrudis? Nam si forte impium te exhibere per vocum similitudinem cupiebas, æque exsisteres impius dicendo Spiritum productorem Filii ac vice versa Filium productorem Spiritus; nisi quod hic error per quamdam veri speciem procedere et exemplo confirmari videretur. Nunc vero et absurditas tua exsistit impia et impietas cum stultitia de præcellentia contendit ac litigat.

νγ'. Ἱερολογεῖ τοίνυν ἡ Ἐκκλησία καὶ τὸν Υἱὸν εἶναι τοῦ Πατρὸς, καὶ τὸν Πατέρα τοῦ Υἱοῦ· καὶ γὰρ ὁμοούσια· καὶ οὐ δήπου διότι θεολογεῖται γεγεννῆσθαι ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, καὶ διότι λέγεται καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ, διὰ τοῦτο καὶ ἀνάπαλιν δυσφημήσομεν· οὕτως οὖν κἄπειτ' ἂν ἱερολογοῦμεν τὸ Πνεῦμα εἶναι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τὸ μὲν ὁμοούσιον πάντως πρὸς ἑκάτερον ταῖς φωναῖς συνεισάγομεν· ἴσμεν δ' ὅτι ὁμοούσιον μέν ἐστι τῷ Υἱῷ, οὐχ ὅτι ἐκπορεύεται (ἄπαγε· ἐπεὶ μηδὲ κἀκεῖνος αὐτῷ διὰ τὴν γέννησιν), ἀλλ' ὅτι ἐξ ἑνὸς καὶ ἀμερίστου αἰτίου πρὸ αἰώνων τε καὶ ὁμοταγῶς ἑκατέρῳ ἡ πρόοδος.

B 53. Prædicat igitur Ecclesia et Filium esse Patris et Patrem esse Filii; sunt enim consubstantiales; neque tamen quia dicitur generatus Filius a Patre et Pater a Filio, idcirco vicissim affirmare licebit, Patrem a Filio generari. Ita ergo quando dicimus Spiritum esse Patris ac Filii, consubstantialitem quidem ejus cum utroque ex vocibus istis colligimus; scimus autem Spiritum consubstantialem esse Patri, quia ex ipso procedit, atque consubstantialem Filio, non quia procedat (absit; nam nec Filius consubstantialis est Spiritui propter generationem) sed quia ex una indivisaque causa ab æterno simul eodemque ordine uterque prodiit.

νδ'. *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ.* Σύνες, ὦ οὗτος, καὶ μὴ τὴν τοῦ κήρυκος τῆς ἀληθείας; θεόσοφόν τε καὶ σωτήριον φωνὴν ὀλεθρίου πάθους σαυτῷ συσκευάζῃς ὑπόθεσιν. Οὐκ ἔστιν ἐργώδης ἡ ἀνάληψις, οὐκ ὀξυτέρας δεῖται φρενὸς οὐδ' ἐμβαθύνειν ἐρρωμένης τοῖς κρυφιωτέροις· ἄλλο σημαίνει, *τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*, καὶ ἕτερον μυσταγωγεῖ, *τὸ Πνεῦμα τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον*. Μηδέ σε ἡ ὁμοιότης τῶν πτώσεων εἰς ἀνίατον συνελαυνέτω πτῶμα. Πολλὰ γὰρ τῶν ῥημάτων τῷ ὁμοίῳ προαγόμενα τῆς φωνῆς τύπῳ οὐ τὸν ὅμοιον νοῦν οὐμενοῦν οὐδ' ἐγγὺς διερμηνεύει· καὶ πλεῖστον ἂν σοι τοιούτων κατάλογον ἐθροισάμην, εἰ μή σου τὸ ἀπειθὲς τὴν ἐμὴν σπουδὴν μετέβαλλεν εἰς ὄκνον.

C 54. *Spiritum Filii sui.* Intellige, sodes, nec velis divinam salutaremque vocem præconis veritatis in pernicici materiam tibi convertere. Non est operosum resipiscere, non est ad hoc ingenio acutiori opus, quod valeat in abditiora mysteria penetrare. Aliud significat *Spiritus Filii sui*, et aliud denotat *Spiritus ex Patre procedens*. Nec te similitudo casuum in casum irreparabilem compellat. Multa enim verba, quæ simili efferuntur vocis forma, similem sensum nullatenus exhibent, plurimaque tibi hoc loco verba ejusmodi recenserem, nisi contumacia tua meum studium in desidiam verteret.

νε'. Σὺ δ' ἂν ἴσως εἰπεῖν ὑπαχθείης, μᾶλλον δὲ τοῖς σοῖς δουλεύων νόμοις ἀνάγκην ἔχεις μὴ ἀφίστασθαι τῆς ἀτοπίας. Ἐπειδὴ τὸ ἀπαύγασμα τοῦ Πατρὸς καὶ τὸ ἐκ τοῦ φωτὸς φῶς ὁ Υἱὸς οὐ τοῦτο μόνον θεολογεῖται, ἀλλὰ καὶ αὐτός φησιν· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*, ἔστι δὲ τὸ φῶς τοῦ φωτὸς ὁμοούσιον ὁ Υἱὸς τοῦ Πατρὸς, τὸν ἐκ τῆς σῆς σοφίας καὶ γνώμης καὶ γλώττης συμπλακέντα σοι βρόχον, κἂν ὀφὲ γοῦν, ἵνα μὴ λέγω σαυτῷ περιθεῖναι, ἀλλ' ὧν δίκαιος ἦσθα παραιτεῖσθαι [καὶ] ζητεῖν τὸν διὰ τῆς ἀγχόνης ὀλεθρον ὅπως γένοιτό σοι διαφυγεῖν.

D 55. Tu vero forsitan affirmaveris, imo tuis serviens legibus omnino cogeris ab hac non recedere absurditate. Quoniam Filius non solum splendor Patris et lumen de lumine a nostris theologis nuncupatur, sed et ipse ait: *Ego sum lux mundi*, et quoniam est lumen lumini consubstantiale, Filius nimirum Patri (*a*)..... contextum per te ex tua vafritie et opinione et lingua laqueum tandem aliquando ne dicam ipsummet tibi imponere, at saltem te justum fuerit atque quærere, quomodo strangulationis mortem queas evadere (*b*).

(1) Monac. omitt. σύ.

(*a*) « Per aposiopesin atque imprecationem videtur hoc loco Photius innuere: ex eo quod Christus dicatur lux mundi, sequi Christum a mundo procedere, si ex eo quod Spiritus dicatur Spiritus Filii, verum sit sequi Spiritum a Filio procedere. »

Catiforus.

(*b*) Catiforus legit: παραιτεῖσθαι ζητεῖν et ita minus accurate vertit: — laqueum ne dicam ipsemet tibi imponere, at saltem ab aliis impositum tolerare *eoque mortem appetere* mereris. Cæterum et Laur. habet ut Catiforus.

Digitized by Google Распознавание текста АВК/FR

56. Dixit divus Paulus, qui latitudine evangelicæ prædicationis telluris universæ ambitum coarctavit : *Misit Deus Spiritum Filii sui*. Dum id quod dixit enuntias, nullam a te pœnam exigimus ; dum vero quod non dixit tanquam ab illo prædicatum constituis, reum te supplicii atque impietatis judicamus. Dixit ille cœlestis homo : *Spiritum Filii sui* ; tu vero quasi tertium cœlum supergressus verborumque magis arcanorum auditor factus, vocem quidem illius tanquam imperfectam repudias et a fide tua eliminas, perficiens vero quod ille reliquerat imperfectum, loco dicendi : *Spiritum Filii sui*, asseris (o summam atque intolerandam audaciam !) a Filio Spiritum procedere ; hæcque scenico confingens more et ore sacrilego recitans Apostolum ipsum sacrilegio tuo læsum doctorem ac patronum tibi vindicare non erubescis ! Plane ostendisti, quo spiritu occupatus ac impletus tantum ac tale impietatis venenum evomueris.

ν ς'. Εἶπεν ὁ θεῖος Παῦλος ὁ τῷ πλάτει τοῦ εὐαγγελικοῦ κηρύγματος τὸν γύρον τῆς οἰκουμένης στενοχωρήσας· *Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*· ὃ μὲν εἶπε λέγοντα οὐδεμίαν σε δίκην ἀπαιτοῦμεν· ὃ δὲ μὴ εἶπεν, ὡς ἐκείνου κηρύσσοντος δογματίζοντα ἐν δίκῃ σε γραφόμεθα ποινῆς ἔνοχον εἶναι καὶ ἀσεβείας. Εἶπεν ἐκεῖνος ὁ οὐράνιος ἄνθρωπος· *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*· σὺ δὲ ὥσπερ καὶ τὸν τρίτον οὐρανὸν ὑπεραναβὰς καὶ ἀπορρητοτέρων ῥημάτων αὐτήκοος γεγονὼς ἐκείνου μὲν τὴν φωνὴν ὡς ἀτελῆ παραγράφῃ καὶ τῆς σῆς πίστεως ἀπελαύνεις, τελετοποιῶν δὲ τὸ ἐκείνου ἀτελὲς ἀντὶ τοῦ λέγειν, *τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*, τὸ Πνεῦμα δογματίζεις (φεῦ τῆς ἀνυπερβλήτου τόλμης!) ἐκπορεύεσθαι τοῦ Υἱοῦ· καὶ ταῦτα δραματουργῶν καὶ βλασφημῶν τὸν βλασφημούμενον οὐδεμίαν λαμβάνεις αἰδῶ διδάσκαλον καὶ συνήγορον ἐπιγράφεσθαι. Οὕτως ἔδειξας, ἐκ ποίου πνεύματος ἐνεργούμενος καὶ πληρούμενος τὸν τηλικοῦτον καὶ τοσοῦτον ἰὸν τῆς ἀσεβείας ἐξήμεσας.

REFUTATIO.

XXIV. Quæ in præsenti pericope disseruntur, copiosa refutatione haud opus habent, cum ex antea dictis sufficientem jam redargutionem acceperint. Quod vero ad illud spectat, quod Spiritum Filii eodem modo dictum esse vis, quo dicitur Pater esse Filii et Filius Patris, noveris naturalem in Trinitate ordinem haud simpliciter ac confuse hæc dici sinere. Est enim Filius *Filius* Patris et consubstantialis Patri, quia est ex Patris substantia ; est Pater *Pater* Filii, quia ex propria substantia illum emittit ; et est Spiritus *Spiritus* Patris et Patri consubstantialis, quia ex Patris substantia est ; Pater vero non est *Pater* Spiritus (*a*), sed producter, quia ex propria substantia ipsum profundit. ; ita pariter consubstantialis Filio est Spiritus, quia ex Filii substantia est, Filius autem Spiritui consubstantialis, quia ex sua ipsius substantia eum emittit. Hæc in Trinitate ita dici et intelligi naturalis in ipsa ordo facit, nec, uti tibi placet, Spiritum Filio consubstantialem esse dicendum est quia ex una et indivisibili causa utrique progressio est, hæc enim est consubstantialitas fraterna, quæ nullum in illa beata natura habet aditum (*b*).

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΔ'. Τὰ τῇ παρούσῃ διειλημμένα περικοπῇ οὐ πολλῆς τῆς ἀντιῤῥήσεως δέονται, ἐκ τῶν ἤδη ῥηθέντων τὸν ἔλεγχον ἀρκούντως ἐπιφερόμενα. Ὅτι δὲ σὺ οὕτω θέλεις εἶναι Πνεῦμα Υἱοῦ τὸ Πνεῦμα, ὡς ὁ Πατὴρ ἐστι τοῦ Υἱοῦ καὶ ὡς ὁ Υἱός ἐστι τοῦ Πατρός, ἀλλ' ἡ ἐν τῇ Τριάδι φυσικὴ τάξις οὐχ ἁπλῶς καὶ φύρδην λέγεσθαι αὐτὰ συγχωρεῖ· ἔστι μὲν γὰρ ὁ Υἱὸς *Υἱὸς τοῦ Πατρὸς* καὶ ὁμοούσιος τῷ Πατρί, ὅτι ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἐστίν· ἔστι δὲ ὁ Πατὴρ *Πατὴρ Υἱοῦ* καὶ ὁμοούσιος Υἱῷ, ὅτι ἐκ τῆς ἰδίας οὐσίας πηγάζει αὐτόν· καὶ ἔστι μὲν τὸ Πνεῦμα *Πνεῦμα* τοῦ Πατρὸς καὶ ὁμοούσιον τῷ Πατρί, ὅτι ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἐστίν· ἔστι δὲ ὁ Πατὴρ οὐ *Πατὴρ* Πνεύματος, ἀλλὰ προβολεύς, ὅτι ἐκ τῆς ἰδίας οὐσίας προχέει αὐτό· ὡσαύτως ἐστὶ μὲν ὁμοούσιον Υἱῷ τὸ Πνεῦμα, ὅτι ἐκ τῆς τοῦ Υἱοῦ οὐσίας ἐστίν· ἔστι δὲ ὁ Υἱὸς τῷ Πνεύματι ὁμοούσιος, ὅτι ἐκ τῆς ἑαυτοῦ οὐσίας ἐκπέμπει αὐτό· οὕτω ταῦτα ἐν τῇ Τριάδι λέγεσθαι καὶ νοεῖσθαι ὑπὸ τῆς ἐν αὐτῇ φυσικῆς ἐστι τάξεως· καὶ οὐχ ὡς σὺ θέλεις, ὁμοούσιον τὸ Πνεῦμα εἶναι Υἱῷ, ὅτι ἐξ ἑνὸς καὶ ἀμερίστου αἰτίου ἑκατέρῳ τούτων ἡ πρόοδος· ἀδελφικὴ γὰρ ἡ ὁμοουσιότης αὕτη, ἥτις οὐδεμίαν ἔχει ἐν τῇ μακαρίᾳ φύσει τὴν πάροδον.

TEXTUS.

57. Visne alias adhuc tibi sacras apponam vo-

KEIMENON.

νζ'. Βούλει σοι καὶ ἑτέρας ἱερὰς παραθεῖην φωνὰς,

(*a*) De hoc discrimine vide Alcuinum L. I De fide Trinitatis c. 4. (Patrol. lat. t. CI, p. 16) et Animadvers. in Photii librum Art. II, § 15.

(*b*) De hac re uberius disputatum est Animadv. in Photii librum Art. IV §§ 20 et 21. Posteriores Græci supponunt plerumque, ex Filii cum Patre consubstantialitate nude spectata Latinos deducere Spiritus sancti ex Filio quoque processionem : sic Jobus monachus Apologia inedita supra allegata Cod. Monac. gr. 68 f. 9 : « Si enim, quia consubstantialis est Patri Filius, producit Spiritum (nam hoc Italorum pueri in suæ causæ patrocinium adducunt), ipse quoque Spiritus, qui Patri et Filio ex confesso consubstantialis est, alium sibi et iis quibus est, consubstantialem producet Spiritum, » etc. (Εἰ γὰρ, ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, *ἐκπορεύει* τὸ Πνεῦμα [τοῦτο γὰρ Ἰταλῶν παῖδες εἰς ἀπολογίαν προβάλλονται], καὶ αὐτό γε δήπουθεν ὁμοούσιον ὁμολογηθὲν Πατρὶ καὶ Υἱῷ *ἐκπορεύσει* ἕτερον Πνεῦμα ἑαυτῷ καὶ τοῖς ἐξ ὧν ὁμοούσιον, ἵνα μὴ οὐχ ὁμοδύναμον τιθέμενον τοῖς προβάλλουσιν ἧττον κατὰ τὴν οὐσίαν φανῇ καὶ τὴν Μακεδονίου λύσιν εἰσάξῃ τῆς Ἐκκλησίας καταχορεύουσαν.) Notandum, hoc Jobi textu verbum ἐκπορεύειν active (ἐν ῥήματι ἐνεργητικῷ) usurpari, quod apud Patres reperiri Beccus in Camat. c. 80 et Georg. Mochita contra Manuel. Cret. c. 15 (Gr. orth. t. II, p. 110, 1018 seq.) negant.

Digitized by Google Распознавание текста ABK/FR

δι' ὧν σοι καὶ τὸ τῆς ἀπονοίας καὶ παρανοίας στηλιτεύεται κακομήχανον; Ἱερολογεῖται τὸ πανάγιον Πνεῦμα, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, Πνεῦμα γνώσεως, Πνεῦμα ἀγάπης, Πνεῦμα σωφρονισμοῦ, Πνεῦμα υἱοθεσίας. *Οὐ γὰρ ἐλάβετε*, φησὶ, *πνεῦμα δουλείας εἰς φόβον*, ὁ τὸ ἀνέσπερον τῆς ἀληθείας φῶς τῷ τοῦ ἡλίου δρόμῳ συνεξαπλώσας καὶ πᾶσαν τὴν γῆν ταῖς ἐκεῖθεν ἀκτῖσι περιλαβών, *ἀλλὰ Πνεῦμα υἱοθεσίας*· καὶ πάλιν, *Οὐ γὰρ ἔδωκεν ὑμῖν πνεῦμα δουλείας, ἀλλὰ Πνεῦμα σοφίας καὶ ἀγάπης καὶ σωφρονισμοῦ*. Καὶ δὴ καὶ Πνεῦμα πίστεως λέγεται καὶ ἐπαγγελίας, καὶ δυνάμεως καὶ ἀποκαλύψεως, βουλῆς τε καὶ ἰσχύος καὶ εὐσεβείας καὶ πραότητος· *Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς*, φησὶν, *οἱ πνευματικοὶ, καταρτίζετε αὐτὸν ἐν πνεύματι πραότητος*, Παῦλος ἡ πυρίνη γλῶσσα τοῦ Πνεύματος. Καὶ δὴ καὶ Πνεῦμα αἰσθήσεως· λέγει γὰρ τὰ Λόγια· *Ἰδοὺ κέκληκα ἐξ ὀνόματος τὸν Βασελεήλ· ἐπλήρωσα αὐτὸν Πνεῦμα σοφίας καὶ ἐπιστήμης καὶ αἰσθήσεως*. Οὐ μὴν, ἀλλὰ καὶ ταπεινώσεως λέγεται Πνεῦμα, ὥς που ψάλλουσιν οἱ παῖδες τῷ πυρὶ δροσιζόμενοι· *Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ Πνεύματι ταπεινώσεως προσδεχθείημεν*. Ἀλλὰ καὶ κρίσεως Πνεῦμα καὶ καύσεως λέγεται, δι' ὧν ἡ τιμωρητικὴ τε καὶ καθαρτικὴ τοῦ Πνεύματος ἐμφανίζεται δύναμις. Καὶ γὰρ Ἡσαΐας βοᾷ· *Καθαριεῖ αὐτοὺς Κύριος Πνεύματι κρίσεως καὶ Πνεύματι καύσεως*. Ἀλλὰ μὴν καὶ Πνεῦμα πληρώσεως· ὁ τῶν προφητῶν συμπαθέστατος; Ἱερεμίας λέγει· *Ἡ ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς ἅγιον οὔτε εἰς καθαρὸν Πνεῦμα πληρώσεως*· ἀντὶ τοῦ· Οὐ πεπλήρωται καθαροῦ καὶ ἁγίου Πνεύματος. Τί οὖν διὰ τοῦτο σὺ τὴν ὀφρὺν ἀνασπᾷς; ἐκ τῶν χαρισμάτων, ἅπερ αὐτὸ χορηγεῖ καὶ χαρίζεται, τὸ πανάγιον θεομαχήσεις ἐκπορεύεσθαι Πνεῦμα καὶ τὴν ὕπαρξιν καὶ τὴν ἐκπόρευσιν ἐκεῖθεν ἑλκύσαι; καὶ μή σε τῆς ἀσεβείας ἡ πρόσκλησις ἐκ τῶν δεξιῶν ὑποδραμοῦσα τὴν σὴν ἀναπείσῃ κατασοφίζεσθαι σωτηρίαν. Ὅτι μὲν γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Σοφία καὶ Δύναμις καὶ Ἀλήθεια τοῖς ἱεροῖς ἡμῶν ἀνακηρύττεται Λόγοις, πᾶσιν ἡ γνῶσις ἐξήπλωται· ὅτι δὲ καὶ τὸ πανάγιον Πνεῦμα οὐ μόνον λέγεται τοῦ Υἱοῦ, ἀλλὰ καὶ τῶν χαρισμάτων, ὧν τῆς διανομῆς τὸ κῦρος ἔχει, ἐπίσης ὁ νοῦν ἔχειν ἠξιωμένος Χριστοῦ συνεπίσταται.

ces, quibus vesaniæ dementiæque tuæ malus confutetur dolus? Prædicatur sanctissimus Spiritus Spiritus sapientiæ, Spiritus scientiæ, Spiritus dilectionis, Spiritus continentiæ, Spiritus adoptionis filiorum. *Non enim accepistis spiritum servitutis in timorem* (ait Paulus, qui lucem veritatis nunquam vesperascentem quacunque solis cursus porrigitur propagavit terramque universam illius radiis est complexus), *sed Spiritum adoptionis filiorum*. Et rursum: *Non enim dedit vobis spiritum servitutis, sed Spiritum sapientiæ et dilectionis et sobrietatis*. Imo et Spiritus fidei dicitur et promissionis et virtutis et revelationis, consilii etiam et fortitudinis et pietatis et mansuetudinis: *Et si præoccupatus fuerit homo*, inquit, *in aliquo delicto, vos qui spirituales estis, instruite eum in spiritu mansuetudinis* (*lenitatis*). Ita Paulus, ignita Spiritus lingua. Dicitur etiam Spiritus sensationis; ait enim Scriptura: *Ecce vocavi ex nomine Beseleel; replevi eum Spiritu sapientiæ et scientiæ et sensationis*. Non solum hoc, verum et Spiritus humilitatis, ut canunt pueri in igne refrigerium nacti: *Sed in animo contrito et in Spiritu humilitatis suscipiamur*. Sed et Spiritus judicii et ardoris, quibus verbis ultrix et purgatrix Spiritus virtus manifestatur. Etenim Isaias clamat: *Purgabit eos Dominus Spiritu judicii et ardoris*; sed et Spiritus plenitudinis, namque propheta qui magis compatiens cæteris est, Jeremias: *Via filiæ Sion*, inquit, *non in sanctum nec in purum Spiritum plenitudinis*, pro eo ut diceret: Non repleta est puro et sancto Spiritu. Quid ergo? Ideone tu supercilio contracto ex donis, quæ ille largitur ac donat, procedere sanctissimum Spiritum impia ratiocinatione affirmabis ac subsistentiam ac processionem suam inde trahere? Ne igitur te impietas blandimentis suis pelliciat ad fallacias contra tuam ipsius salutem consuendas. Quod enim Filius et (Verbum et) Verbum (*a*) Dei et sapientia et virtus et veritas in sacris nostris Codicibus nuncupetur, nemini non est notissimum; quod autem et sanctissimus Spiritus non solum dicatur Spiritus Filii, sed etiam Spiritus donorum, quorum distribuendorum potestatem habet, æque est iis exploratum, qui intellectum ac sensum habent Christi.

νη'. Τοιγαροῦν ὁ σὸς νόμος ἐπιτάξει σοι, μᾶλλον δὲ συναναγκάσει, μὴ μόνον ἐκ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα ἐκπορεύεσθαι, διότι τοῦ Υἱοῦ λέγεται, ἀλλὰ καὶ ἐκ τῆς συνέσεως καὶ ἐκ τῆς τῶν χαρισμάτων διανομῆς καὶ ἀπὸ τῶν μυρίων ἄλλων θεοπρεπῶν ἐνεργειῶν τε καὶ δυνάμεων, ὧν τὸ πανάγιον Πνεῦμα πηγὴ καὶ χορηγὸς δοξολογεῖται καὶ ἐπιγινώσκεται, μάλιστα δὲ ἐκ τῆς πίστεως καὶ τῆς ἀποκαλύψεως, τῆς ἐπαγγελίας τε καὶ τῆς κρίσεως καὶ συνέσεως· ὅτι μηδὲ κακουργεῖν σοι πάρεστιν μηδὲ λίαν βουλομένῳ τούτοις ὀνομάζεσθαι τὸν Υἱόν.

58. Lex igitur tua tibi præcipiet, imo potius coget asserere, non solum Spiritum a Filio procedere, quia Spiritus Filii dicitur, sed etiam ab intelligentia et aliorum donorum distributione et a sexcentis aliis divinis operationibus ac virtutibus, quarum sanctissimus Spiritus fons et largitor prædicatur atque agnoscitur, præcipue vero a fide, revelatione, promissione, judicio et intelligentia, quoniam nequaquam negare potes, licet id admodum præ malignitate velis, Filium his nominibus insigniri.

(*a*) Laur. καὶ Λόγος καὶ Λόγος τοῦ Θεοῦ.

Digitized by Google Распознавание текста АВК/FR

59. Quod si quis in his per *Spiritum* existimet accipi non ipsum sanctissimum et consubtantialem Patri ac Filio Spiritum, sed emanantia inde dona seu charismata, quæ eo quod ad illum referuntur et ab illo distribuuntur, Spiritus nomen sortita sint (sibi adsciverint) : quanquam multa possem (contra hoc) afferre, ea tamen in præsentia non referam. Cur ? Quia, licet hoc concedatur, nihilo tamen minus iniquus ipsorum conatus refellitur ; quoniam enim dona illa dicuntur esse dona Spiritus, nova autem istorum lex præcipit, ut inde Spiritum procedere prædicemus, cujus et esse dicitur, non amplius affirmabunt a Spiritu illo produci dona, quorum ipse dicitur Spiritus, sed vice versa asserent ab intelligentia procedere ac prodire donum, nec non a sapientia cæterisque omnibus supra memoratis; quare non donum, sive per donum spirituale ipse Spiritus intelligentiam largitur, vel sapientiam vel virtutem, vel filiationem, vel revelationem, vel fidem, vel pietatem ; sed contra potius intelligentia et revelatio et fides et sobrietas producunt dona, quæ tibi placet Spiritum appellare, et aliorum quodlibet eodem modo. Imo vero si quodlibet donum nuncupari Spiritum arbitraris, utique cum donorum numero copiam quoque auges spirituum nihilque proinde per te differt Spiritum dicere vel donum ; cujus autem dicitur esse Spiritus, inde per leges tuas statuitur illud procedere atque produci. Singula igitur dona seu singulos spiritus bifariam secans, pro uno plures efficies spiritus, quorum alter sit dans, alter sit datus, et alter producens, alter productus, fides nimirum producens fidem, et intelligentia intelligentiam, quid opus tempus terere tuas ineptias recensendo ?

A νθ'. Εἰ δέ τις ἐν τούτοις *Πνεῦμα* νομίσοι παραλαμβάνεσθαι οὐκ αὐτὸ τὸ πανάγιον καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τοῦ Υἱοῦ Πνεῦμα, ἀλλὰ τὰ ἐκεῖθεν βρύοντα χαρίσματα, διότι πρὸς ἐκεῖνο τὴν ἀναφορὰν ἔχει καὶ αὐτὸ ταῦτα διανέμει, τὴν τοῦ Πνεύματος ἐπωνυμίαν οἰκειώσασθαι, καίτοι πολλὰ λέγειν ἔχων ὅμως νῦν οὐκ ἐρῶ. Διὰ τί ; Διότι εἰ καὶ τοῦτο συγχωρηθείη, οὐδὲν ἧττον αὐτῶν ἀπελέγχεται τῆς παρανομίας τὸ ἐπιχείρημα· ἐπεὶ γὰρ τοῦ Πνεύματος λέγεται τὰ χαρίσματα, ὁ δὲ καινὸς αὐτοῖς ἐπιτάσσει νόμος, ἐκεῖθεν προϊέναι κηρύσσειν τὸ Πνεῦμα, οὗ καὶ εἶναι λέγεται, οὐκέτι τὸ Πνεῦμα ὧν λέγεται, ταῦτα προάγειν ἐροῦσιν, ἀλλ' ἀντιστρέψαντες φήσουσι τῆς συνέσεως ἐκπορεύεσθαι καὶ προϊέναι τὸ χάρισμα καὶ τῆς σοφίας καὶ τῶν ἄλλων ἁπάντων B τῶν προειρημένων· ὥστε οὐ τὸ χάρισμα ἤτοι διὰ τῶ πνευματικοῦ χαρίσματος τὸ Πνεῦμα οὐδὲ τὴν σύνεσιν χορηγεῖ οὐδὲ τὴν σοφίαν ἢ τὴν δύναμιν, οὐδὲ τὴν υἱοθεσίαν οὐδὲ τὴν ἀποκάλυψιν, οὐδὲ τὴν πίστιν, οὐδὲ τὴν εὐσέβειαν· ἀλλὰ μᾶλλον τοὐναντίον ἡ σύνεσις καὶ ἡ ἀποκάλυψις καὶ ἡ εὐσέβεια καὶ ἡ πίστις καὶ ὁ σωφρονισμὸς προάγουσι τὰ χαρίσματα, ἅπερ σοι φίλον καλεῖν πνεύματα, καὶ τῶν ἄλλως ὡσαύτως ἕκαστον, μᾶλλον δὲ εἴπερ ἕκαστον τῶν χαρισμάτων πνεῦμά σοι καλεῖσθαι νομίζεται καὶ τῷ ἀριθμῷ τῶν δωρεῶν τὸ πλῆθος τῶν πνευμάτων συναύξεται (1), καὶ οὐδὲν ἐνταῦθά σοι Πνεῦμα εἰπεῖν ἢ χάρισμα διαφέρει· οὗ δὲ λέγεται εἶναι τὸ Πνεῦμα, ἐκεῖθεν ἡ σὴ νομοθεσία *προέρχεσθαί* τε καὶ προάγεσθαι κελεύει· ἕκαστον ἄρα σὺ τῶν χαρισμάτων ἢ τῶν πνευμάτων εἰς δύο τεμὼν ἀνθ' ἑνὸς πλείω ποιήσεις, ἵν' C ᾖ τὸ μὲν χορηγοῦν, τὸ δὲ χορηγούμενον, καὶ τὸ μὲν προάγον, τὸ δὲ προαγόμενον, ἡ πίστις καὶ ἡ σύνεσις σύνεσιν καὶ αἴσθησιν, καὶ πόσον ἂν τις καταναλώσῃ χρόνον τὸν σὸν διερχόμενος λῆρον ! [ξα'. Διόπερ οὐδὲ (2) ταῦτα παριδεῖν δίκαιον (3)].

60. Sedenim et hoc contra se ipsam hæresis collegit. Sanctissimus Spiritus tribuit dona dignis ; hæresis autem non contenta, ut apparet, hujus distributione scindit hæc et comminuit et dividit in plures partes, ut habeat, unde sectatores suos pluribus adhuc atque uberioribus compenset donis ; sicque mentis illorum turbatio et confusio rerum naturam et ordinem pervertit et confundit, primaque impietatis satio innumeras gignit hæreses. Verum tametsi satis hæc sunt flectendis iis, qui non penitus sese impietati devoverint, iisque confutandis, qui impudentia uti velint, et iis qui superstitionem amant, ab errore revocandis, attamen nec reliqua prætermittam. Ægrotantium enim alius hac, alius illa cura vel morbo levatur vel evincitur sponte et sua voluntatis nequitia insanabilis. Quamobrem ne ista quidem prætereunda.

ξ'. Ἀλλὰ γὰρ καὶ τοῦτο καθ' ἑαυτῆς ἡ αἵρεσις συνάγει· τὸ μὲν πανάγιον Πνεῦμα διανεμεῖ χαρίσματα τοῖς ἀξίοις· αὕτη δὲ οὐδενὶ, ὡς ἔοικεν, ἀρεσκομένη, οὐδὲ τῇ τούτου διανομῇ, τέμνει ταῦτα καὶ λεπτύνει καὶ εἰς πλείους μοίρας καταμερίζει, ἵν' ἔχοι τοὺς αὐτῇ πειθομένους φιλοτιμεῖσθαι ταῖς δωρεαῖς ἐπὶ μᾶλλόν τε καὶ δαψιλέστερον· καὶ γέγονεν αὐτοῖς ἡ τῆς διανοίας ταραχὴ καὶ σύγχυσις τὴν D τῶν πραγμάτων φύσιν καὶ τάξιν εἰς ἀνατροπὴν καὶ φυρμὸν περιτρέπουσα, καὶ ἡ πρώτη καταβολὴ τοῦ δυσσεβήματος μυρίας αἱρέσεις ἀποτίκτουσα. Ἀλλὰ γὰρ εἰ καὶ ἀποχρώντως ἔχει ταῦτα πείθειν τε τοὺς μὴ παντελῶς εἰς ἀσέβειαν ἀποδεδηκότας καὶ τοὺς ἀναισχυντεῖν ἑλομένους διελέγχειν καὶ τοὺς δεισιδαιμονεῖν ἐπικλιθέντας ; ἐπανορθοῦσθαι, ἀλλ' οὖν οὐδὲ τὰ λείποντα παραλείψομεν. Ἄλλος μὲν γὰρ τῶν νοσούντων ἑτέρᾳ θεραπείᾳ, ἕτερος δὲ δι' ἑτέρας ἢ ἀπαλλάσσεται τοῦ νοσήματος, ἢ ἑκὼν διελέγχεται καὶ διὰ μοχθηρίαν γνώμης τὸ ἀνίατον ὑφιστάμενος.

(1) Laurent. συναυξάνεται.
(2) Laur. οὐδὲν ut Vatic. f. 203 a.
(3) In Mon. cod. f. 461 b. cap. λϛ'. In Laurent. uncis inclusa omissa sunt.

Digitized by Google Распознавание текста ABK/FR

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΕ'. Εἰ μὲν εἰς μίαν καὶ τὴν αὐτὴν λαμβάνεται ἔννοιαν τὸ τοῦ Πνεύματος ὄνομα, καὶ ὅταν Πνεῦμα Υἱοῦ λέγηται καὶ ὅταν Πνεῦμα συνέσεως καὶ Πνεῦμα γνώσεως καὶ Πνεῦμα ἀγάπης καὶ τῶν ἄλλων χαρισμάτων καλῆται τὸ Πνεῦμα, συλλογίζου καὶ σὺ ὁ νοῦν ἔχειν Χριστοῦ βρενθυόμενος (1) ἀνάγκην εἶναί τινα τοὺς λέγοντας τὸ Πνεῦμα ἐκπορεύεσθαι τοῦ Υἱοῦ, διότι τοῦ Υἱοῦ λέγεται, λέγειν καὶ ἐκ τῆς συνέσεως καὶ τῆς τῶν χαρισμάτων διανομῆς καὶ τῶν ἄλλων ἐνεργειῶν καὶ δυνάμεων αὐτὸ ἐκπορεύεσθαι. Εἰ δ' ἡ τῶν ὀνομάτων διαφορὰ τὸν τοιοῦτον κατασείει συλλογισμὸν, μᾶλλον δὲ παραλογισμὸν, διὰ τί τοῖς θείοις ἀντιλέγεις Πατράσιν, οἵπερ διὰ τοῦ Υἱοῦ τε καὶ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα εἰρήκασι, διὰ τὸ παρὰ τῷ ἀποστόλῳ Παύλῳ Πνεῦμα Υἱοῦ αὐτὸ λέγεσθαι; καὶ ἵνα τάχα μὴ εἰς μακρὸν ἀναρτήσω τὸν ἔλεγχον τοῦ ἐντεῦθεν σοφίσματος, ὀλίγα τινὰ τῶν τοῦ χρυσορρήμονος ῥημάτων προθήσομαι, ἅπερ ἐκεῖνος εἰς δήλωσιν εἰρηκεν τῆς διαφορᾶς τῶν ὀνομάτων τοῦ Πνεύματος, ὁπόθεν τὸ σόφισμα διασέσεισται τοῖς βουλομένοις συλλογίζεσθαι κἀκ τῶν οἰκείων χαρισμάτων τὸ Πνεῦμα προάγεσθαι, εἰ ἐκ τοῦ Υἱοῦ προῆκται αὐτὸ ὡς Πνεῦμα Υἱοῦ· ἐν ᾧ γὰρ ἐκεῖνος περὶ τοῦ παναγίου Πνεύματος συνεγράψατο λόγῳ οὕτως ἐπὶ λέξεων ἔφη· *Τὸ Πνεῦμα τὸ ἅγιον τὴν μὲν φύσιν ἐστὶν ἀδιαίρετον, ἅτε δὲ τῆς ἀδιαιρέτου καὶ ἀμερίστου φύσεως προελθόν. Ὄνομα δὲ αὐτοῦ Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας, Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα Κυρίου, Πνεῦμα τοῦ Πατρὸς, Πνεῦμα τοῦ Υἱοῦ, Πνεῦμα Χριστοῦ* (2). *Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ Πνεύματος* (3). *Ἔστι δὲ ἄλλα ὀνόματα, ἃ οὐ προσγράφεται τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ τῇ δυνάμει καὶ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ· λέγω δὲ καὶ προσδιασαφηνίζω τὴν ἔννοιαν καὶ ἐπάγω τὴν μαρτυρίαν* (4)· *ἐὰν δῷ τὸ Πνεῦμα τὸ ἅγιον δωρεάν τινι μὴ ἔχοντι σοφίαν, μὴ ἔχοντι γνῶσιν, ἀλλὰ δῷ αὐτῷ μόνην πίστιν* (5), *καλεῖται δωρεὰ ἐκεῖ καὶ Πνεῦμα πίστεως· ἐὰν τις λάβῃ σοφίας δῶρον, καλεῖται ἡ δωρεὰ Πνεῦμα σοφίας* (6). *Ὅταν τις ἔχῃ χάρισμα ἀγάπης, λέγεται, ὅτι Πνεῦμα ἀγάπης ἔχει* (7). *Καὶ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος καλεῖται Πνεῦμα* (8)· *ἐπειδὴ γὰρ τὸ δωρούμενον τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δωρούμενον Πνεῦμα ἅγιον, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίζοντι* (9).

Οὕτω σοι σαφῶς ταῦτα τοῦ χρυσορρήμονος Πατρὸς διηκρινηκότος καὶ παραδεδωκότος, πῇ μὲν ἔστιν ἀκοῦσαι τὸ τοῦ Πνεύματος ὄνομα καὶ νοῆσαι αὐτὸν τὸν Παράκλητον καὶ συνιέναι περὶ αὐτῆς τῆς αὐτοῦ φύσεως εἰρῆσθαι τὸ ὄνομα, πῇ δὲ ἀκοῦσαι πάλιν ὄνομα Πνεύματος καὶ νοῆσαι χάριν τινὰ δηλουμένην

(1) Cod. μρευθυόμενος.

(2) Hæc eadem profert Beccus Epigr. VIII Gr. ortn. II p. 597, de proc. Sp. S. c. 11, n. 2. G. O. I. p. 319 320.

(3) Hæc eadem sequuntur pluribus interjectis l. c. apud Beccum II p. 598. I p. 320.

(4) Ibidem post alia II p. 599. I p. 320. Post hæc verba textus noster rursum plura omittit.

(5) Desunt verba οἷόν εἰσι πολλοὶ — καὶ ταῖς Γραφαῖς πιστεύοντες.

(6) Item l. c. post alia.

(7) L. c. p. 600. I p. 321.

(8) Ib. p. 599 fin. I p. 321.

(9) Ib. p 600.

REFUTATIO.

XXV. Si in unum eumdemque sensum accipitur nomen *Spiritus*, tum quando Spiritus Filii dicitur, tum quando Spiritus intelligentiæ et Spiritus scientiæ et Spiritus dilectionis aliorumque charismatum appellatur, ratiocinare et tu, qui sensum Christi habere gloriaris, necesse quodam modo esse, ut qui dicunt Spiritum ex Filio, quia Filii dicitur, etiam ex intelligentia et ex donorum distributione et ex cæteris operationibus et virtutibus eumdem esse affirment. Si vero nominum differentia ejusmodi ratiocinium evertit, imo magis paralogismum, quam ob causam divis contradicis Patribus, qui per Filium et ex Filio Spiritum esse dixerunt, quia apud Paulum apostolum Spiritus Filii vocatur? Et ne diutius in refellendo ejusmodi sophisma.e immorer, pauca quædam proferam ex Chrysostomi verbis, quæ ille protulit ad ostendendam nominum Spiritus differentiam, unde sophisma plane eversum et sublatum est iis qui concludere volunt, etiam ex propriis suis donis Spiritum procedere, si a Filio sit productus censendus ut pote Spiritus Filii: Ille enim libro, quem de sanctissimo Spiritu conscripsit, his ipsis verbis ita loquitur: *Spiritus sanctus quoad naturam est inseparabilis, utpote ex inseparabili et indivisibili natura progressus; nomen vero ejus Spiritus sanctus, Spiritus veritatis, Spiritus Dei, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Christi. Hæc sunt nomina sanctæ et purissimæ virtutis sancti et adorandi Spiritus. Sunt et alia nomina, quæ non ascribuntur Spiritui sancto, sed virtuti illius atque operationi, ut sunt dona ejus. Dico vero et insuper declaro sententiam, postea testimonium subinducturus. Si dat Spiritus sanctus cuipiam donum non habenti sapientiam, non habenti scientiam, sed dat ipsi solam fidem, illud donum vocatur et Spiritus fidei. Si quis accipit sapientiæ donum, donum illud vocatur Spiritus sapientiæ. Si quis habet donum dilectionis, dicitur habere Spiritum dilectionis. Et omnia dona Spiritus sancti nuncupantur Spiritus. Quoniam id quod donatur Spiritus sanctus est, vocatur et donatum Spiritus sanctus, et donum eodem nomine vocatur, quo donator.*

Cum hæc itaque tali pacto sanctus Pater Chrysostomus tibi distinxerit et tradiderit, aliquando quidem est audire Spiritus nomen et intelligere ipsum Paracletum atque cogitare, de ipsa illius natura nomen usurpari; aliquando vero audire nomen Spiritus et intelligere gratiam quamdam

Digitized by Google Распознавание текста АВК/FR

spiritualem significatam. Cur tu hanc nominum differentiam flocci habens simul contendis Italum Spiritum ex Filio esse quia Spiritus est Filii asserentem cogi, ut ex intelligentia et ex charismatum distributione et ex cæteris operationibus et virtutibus eumdem esse dicat, quorum sanctissimus Spiritus fons atque largitor glorificatur atque agnoscitur? Itali quidem per Filium et ex Filio Spiritum ut Filii Spiritum asserentes id non sine ratione neque procul a Scripturarum traditione id asserunt; tu vero cum donorum numero simul augeri copiam Spirituum nugando ac fabulando affirmans, atque charismata secans et pro uno plures faciens, et alterum quidem producens, alterum productum vocans, et fidem ex fide et intelligentiam ex intelligentia produci statuens, mendaciter et in diabolicam persuasionem hæc omnia sibi invicem connectis, haud memor illius damnationis, quæ Dei Ecclesiam scindentibus et separantibus inflicta est.

A πνευματικήν. Διὰ τί παρ' οὐδὲν σὺ τὴν διαφορὰν ταύτην τῶν ὀνομάτων τιθέμενος συναναγκάζεσθαι λέγεις τὸν Ἰταλὸν λέγοντα ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα, ὅτι Πνεῦμά ἐστι τοῦ Υἱοῦ λέγειν καὶ ἐκ τῆς συνέσεως καὶ ἐκ τῆς τῶν χαρισμάτων διανομῆς καὶ τῶν ἄλλων ἐνεργειῶν καὶ δυνάμεων εἶναι αὐτό, ὧν τὸ πανάγιον Πνεῦμα πηγὴ καὶ χορηγὸς δοξολογεῖται καὶ ἐπιγινώσκεται. Ἰταλοὶ μὲν διὰ Υἱοῦ καὶ ἐξ Υἱοῦ εἰπόντες τὸ Πνεῦμα ὡς Πνεῦμα Υἱοῦ, οὐκ ἀλόγως οὐδὲ πόρρω τῆς τῶν Γραφῶν παραδόσεως εἶπον· σὺ δὲ τῷ ἀριθμῷ τῶν δωρεῶν τὸ πλῆθος τῶν Πνευμάτων συναυξάνεσθαι τερατολογῶν καὶ τὰ χαρίσματα τέμνων καὶ ἀνθ' ἑνὸς πλείω ποιῶν, καὶ τὸ μὲν προάγον ἀποκαλῶν, τὸ δὲ προαγόμενον, καὶ πίστιν ἐκ πίστεως καὶ σύνεσιν ἐκ συνέσεως προάγεσθαι, ψευ-
B δῶς καὶ εἰς πεισμονὴν διαβολικὴν ἀλλήλοις; ταῦτα πάντα ἐπισυνείρεις, μὴ συνιεὶς τὸ ἐπηρτημένον κατάκριμα τοῖς διαιροῦσι καὶ ἀποσχίζουσι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.

TEXTUS.

61. Si generatus quidem est Filius a Patre, procedit vero Spiritus a Filio, quomodo non ex hac sua opinione impietas in *nepotis* conditionem Spiritum amandabit et tremendum theologiæ nostræ mysterium in risum et nugas ablegabit?

62. Videas autem hinc quoque excessum impietatis. Si proxima causa Spiritus est Pater, quemadmodum et Filii (nam immediate tam generatio quam processio exsistit, neque enim medio aliquo C Filius generatur pariterque immediate Spiritus procedit), cum impiorum delirium asserat procedere etiam a Filio Spiritum, eadem ipsa causa, videlicet Pater, et remota et proxima causa dicenda erit ejusdem, quod neque in fluxa hac alterationique obnoxia natura cogitari potest.

63. Videsne impietatis absurditatem? Vide et hanc alia ratione. Simul quidem a Patre generari Filium et simul Spiritum procedere, consentaneum est sacræ theologiæ, nec a legibus incorporeæ supernaturalisque substantiæ alienum. Jam vero si Spiritus simul et a Patre procedat et a Filio (prius enim et posterius a sempiterna Trinitate alienum est), quumodo, quæso, differentia divinarum causarum non differentes etiam hypostases constituet scissionemque inducet in simplici et individua singularique Spiritus hypostasi? Ex eadem enim hypostasi diversas prodire operationes ac virtutes, præsertim in supernaturalibus nostramque mentem excedentibus, facile est intellectu argumentisque innumeris declaratur; hypostasin vero, quæ in diversas causas referatur, nusquam reperias, quin simul cum diffe-

KEIMENON.

ξα'. Εἰ γεγέννηται μὲν ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς (1), ἐκπορεύεται δὲ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, πῶς οὐχὶ ἡ δυσσέβεια κατὰ τὴν οἰκείαν δόξαν οὐκ εἰς *υἱωνὸν* τὸ Πνεῦμα (2) παραπέμψει καὶ τὸ φρικτὸν τῆς θεολογίας ἡμῶν οὐκ εἰς μακροὺς ἀπελάσει (3) λήρους;

ξβ'. Ἴδοις δ' ἂν κἀντεῦθεν τὴν ὑπερβολὴν τοῦ δυσσεβήματος. Εἰ προσεχὲς μέν ἐστιν αἴτιον τοῦ Πνεύματος ὁ Πατήρ, ὥσπερ καὶ τοῦ Υἱοῦ· ἀμέσως γὰρ ὁμοίως ἥ τε γέννησις καὶ ἡ ἐκπόρευσις· οὐδὲ γὰρ διὰ μέσου τινὸς ὁ Υἱὸς γεννᾶται· ἀμέσως δ' ὁμοίως καὶ τὸ Πνεῦμα ἐκπορεύεται· λέγει δὲ τῶν ἀσεβῶν ὁ λῆρος ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, τὸ αὐτὸ (4) ἂν αἴτιον ὁ Πατὴρ καὶ πόρρω καὶ προσεχὲς αἴτιον εἶναι τοῦ αὐτοῦ ἀναῤῥηθείη, ὅπερ οὐδὲ ἐπὶ τῆς ῥεούσης καὶ ἀλλοιουμένης φύσεως ἔστιν ἐπινοεῖν.

ξγ'. Ὁρᾷς τοῦ δυσσεβήματος τὸ παράλογον; Ὅρα κἀντεῦθεν. Ἅμα μὲν τοῦ Πατρὸς γεννᾶσθαι τὸν Υἱὸν καὶ ἅμα τὸ Πνεῦμα ἐκπορεύεσθαι, ἀκόλουθον τε θεολογεῖν καὶ τῆς ἀσωμάτου καὶ ὑπερφυοῦς οὐσίας τοὺς νόμους· ἐστὶ μὴ ἀγνοεῖν· ἅμα δὲ τὸ Πνεῦμα ἐκπορεύεσθαι μὲν τοῦ Πατρὸς, ἐκπορεύεσθαι δὲ καὶ τοῦ Υἱοῦ· τὸ γὰρ πρότερον καὶ ὕστερον τῆς ἀϊδίου Τριάδος ἀλλότριον· πῶς οὐχ ἡ διαφορὰ τῶν θεουργικῶν αἰτίων διαφόρους οὐ συναρτίσει τὰς ὑποστάσεις, καὶ τομὴν ἐπαφήσει κατὰ τῆς ἀτμήτου καὶ ἁπλῆς καὶ ἰνιαίας τοῦ Πνεύματος ὑποστάσεως; Τῆς μὲν γὰρ αὐτῆς ὑφεστάσεως διαφόρους προελθεῖν ἐνεργείας τε καὶ δυνάμεις, μάλιστά γε ἐπὶ τῶν ὑπερφυῶν καὶ κρεῖττον ὑπισταμένων λόγου, ῥᾴδιόν τέ ἐστι συνιδεῖν καὶ μυρία λαβεῖν τὰ μαρτύρια· εἰς διάφορα δὲ τὴν ἀναφερομένην ὑπόστασιν αἴτια οὐδαμῶς ἔστιν εὑρεῖν μὴ τῷ διαφόρῳ τῶν αἰτίων καὶ

(1) Ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς Mon. et Cons.

(2) Al. πῶς οὐχὶ ἡ δυσσέβ. κατὰ τὴν οἰκ. δ. Mon. πῶς οὐ κατὰ τὴν οἰκ δ. εὐσέβεια οὐκ εἰς Υἱὸν τὸ Πν. Laur. Colum. Pal. ut supra, sic et Vindob. Gr. th. 324 f. 247b.

(3) Συνελάσῃ Mon. et C.

(4) Laur. τὸ αὐτῶν αἴτιον.

Digitized by Google Распознавание текста АВК/FR

αὐτὴν μὴ συνδιαφέρειν αὐτῆς καὶ συνδιατέμνεσθαι.

ξδ'. Ἐπὶ δέ γε τοῖς εἰρημένοις εἰ πᾶν ὅπερ ἔν ἐστι μὲν τῷ Θεῷ, οὐκ ἐν τῇ ἑνότητι δὲ καὶ ὁμοφυΐᾳ τῆς παντοκρατορικῆς ὁρᾶται Τριάδος, τοῦτο δή, τοῦτο πάντως ἑνός ἐστι τῶν τριῶν· ἡ δὲ τοῦ Πνεύματος ἐκπόρευσις οὐκ ἔστι τῆς ἐν τῇ Τριάδι θεωρουμένης ὑπερφυοῦς ἑνάδος. ἑνὸς ἄρα καὶ μόνου ἐστὶ τῶν τριῶν. Προσέχειν δὲ δεῖ καὶ τῇ τοιαύτῃ τοῦ λόγου διασκέψει· εἰ γὰρ ἐκπορεύεται μὲν τὸ Πνεῦμα τοῦ Υἱοῦ, οὐχ ὕστερον δὲ οὐδὲ πρότερον ἢπερ αὐτὸς γεννᾶται ἐκ τοῦ Πατρὸς (ὡς πορρωτάτω γὰρ τὰ χρονικὰ ταῦτα προσρήματα τῆς ὑπεραϊδίου Θεότητος, ἐν τῷ γεννᾶσθαι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ἐν τούτῳ ἄρα τὸ Πνεῦμα ἐκπορεύεται τοῦ Υἱοῦ)· εἰ οὖν ἐν ᾧ διὰ γεννήσεως πρόεισιν ὁ Υἱὸς, ἐν τούτῳ δι' ἐκπορεύσεως προάγει τὸ Πνεῦμα, καὶ προάγοντί τε καὶ προαγομένῳ συνυφίσταται (τοῦτο γὰρ τῆς ἀσεβοῦς ἐνσπορᾶς τὸ γεώργιον)· ἐν ᾧ ἄρα γεννᾶται ὁ Υἱὸς, ἐπίσης ἂν εἴη τὸ Πνεῦμα καὶ συγγεννώμενον τῷ Υἱῷ καὶ ἐκπορευόμενον ἐξ αὐτοῦ· ὥστε τὸ Πνεῦμα γεννητόν τε ἅμα καὶ ἐκπορευτόν· γεννητὸν μὲν, ὅτι τῷ Υἱῷ γεννωμένῳ συμπρόεισιν, ἐκπορευτὸν δὲ, ὅτι διπλῆν ὑπομένει τὴν ἐκπόρευσιν· ὧν τί ἂν φωραθείη πρὸς ἀσέβειαν ἢ πρὸς μανίαν χαλεπώτερον;

ξε'. Ὁρᾷς σου τὰ σοφίσματα καὶ τῶν χρήσεων τὴν παράχρησιν, εἰς οἷόν σε βόθρον πλάνης καὶ ἀπωλείας συνώθησε· καὶ ὅτι τὸ, *Ἐκ τοῦ ἐμοῦ λήψεται*, καὶ δὴ καὶ τὸ, *Ἐξαπέστειλε ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*, οὐ μόνον οὐδεμίαν συνηγορίαν τῇ σῇ βλασφήμῳ παρέχονται γλώσσῃ, ἀλλὰ καὶ πάντων μᾶλλον τὴν τόλμαν αὐτῆς διελέγχουσι καὶ τὴν δίκην ἐπάγουσιν ἄφυκτον.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΖ'. Πολύ σοι τὸ περὶ τὰς προτάσεις (1) ἐντεχνον καὶ περίεργον. Ἰδοὺ γὰρ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς λέγων οὐχ ἅμα Υἱῷ καὶ τὴν δι' αὐτοῦ πρόοδον ἐκ Πατρὸς λέγεις τοῦ Πνεύματος, ἀλλ' ὥς τινος χρόνου τῇ ὑπάρξει τοῦ Υἱοῦ καὶ Πνεύματος μεσιτεύοντος· τὸν μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς λέγεις καὶ στίζων ἐνταῦθα ἐπιφέρεις· τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, ὡς ἐξ ἄλλης τάχα ἀρχῆς, ἵνα σοι ὁ πεπλασμένος γεννηθείη υἱωνός. Ἀλλ' οὐδὲ ὁ Υἱὸς ἰδίᾳ παρὰ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός ἐστιν, οὔτε τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ὡς ἐξ ἄλλης παρὰ τὸν Πατέρα ἀρχῆς ἐστι, καὶ διὰ τοῦτο οὐδὲ ὁ πεπλασμένος σοι γεγέννηται υἱωνός. Ἴδοις δ' ἂν κἀντεῦθεν τὴν ὑπερβολὴν τῆς διαβολῆς. Σὺ μὲν προσεχὲς τοῦ Πνεύματος αἴτιον ὥσπερ καὶ τοῦ Υἱοῦ τὸν Πατέρα λέγων καὶ ἀμέσως ἐκ τοῦ Πατρὸς τὴν τοῦ Πνεύματος δοξάζων ἐκπόρευσιν, ἀσέβειάν τε τῶν Ῥωμαίων κατηγορεῖς κἀκ τοῦ Υἱοῦ λεγόντων τὸ Πνεῦμα, καὶ πόρρω καὶ προσεχὲς αἴτιον εἶναι τοῦ αὐτοῦ τὸν Πατέρα κατὰ πολλὴν συλλογίζου τὴν ἀδείαν. Ὁ δὲ Νύσσης Γρηγόριος ψευδῆ τὴν σὴν ἀποδείκνυσι πρό-

A rentia causarum ipsa quoque a se differat ac discindatur.

64. Præter autem jam dicta, si quodcunque ineat quidem Deo, non autem in unitate et consubstantialitate omnipotentis cernitur Trinitatis, id plane unius est trium personarum; processio vero Spiritus non ejus est mirificæ unitatis, quæ in Trinitate consideratur; ergo unius est solummodo trium personarum. Attendendum quoque hujusmodi ratiocinationi. Si Spiritus a Filio procedit, non autem prius neque posterius, quam ipse a Patre generetur (nam quam longissime hæc temporis adverbia ab æterna Deitate absunt), quo momento generatur Filius a Patre, eo sane Spiritus a Filio procedet. Si ergo dum per generationem prodit Filius, tum per processionem B producit Spiritum, sequeretur hunc una cum Filio producente ac producto constitui et exsistere (is enim impiæ sationis fructus); dum igitur generatur Filius, sequeretur eodem instanti Spiritum quoque una cum Filio generari et ab eodem procedere; quare Spiritus generatus simul exsisteret et procedens, generatus quidem, quia una cum Filio generato prodiret, procedens vero, quia duplicem patereturprocessionem. Quibus quid aliud reperiri queat aut magis impium aut magis insanum?

65. Vides, in qualem erroris perditionisque foveam tua te sophismata sacrorumque testimoniorum abusus protruderint; vides, quod verba illa, C *De meo accipiet*, et: *Misit Deus Spiritum Filii sui*, non solum nullum patrocinium exhibeant blasphemæ tuæ linguæ, sed potius temeritatem illius redarguunt tibique judicium ac supplicium inevitabile accersunt.

REFUTATIO.

XXVI. Multa artificiose et curiose circa principia astruis. Ecce enim dum Filium ex Patre dicis, non simul cum Filio etiam progressionem Spiritus sancti ex Patre per Filium asseris, sed quasi tempus quoddam inter exsistentiam Filii ac Spiritus sit intermedium, Filium quidem ex Patre pronuntias et veluti punctum hic ponens infers, Spiritum vero ex Filio ut ex alio protinus principio, ut D inde conflictus ille enascatur nepos. Verum neque Filius seorsim a Spiritu ex Patre est, neque Spiritus ex Filio, ut ex alio præter Patrem principio; ac propterea neque conflictus a te enascitur nepos. (Ad c. 62) Videas exinde quoque calumniæ excessum. Patrem quidem asseris esse proximam Spiritus causam, sicut et Filii, et immediate ex Patre processionem Spiritus sancti statuis, impietatis autem Romanos accusas etiam ex Filio Spiritum pronuntiantes, et remotam et proximam ejusdem esse causam magna cum confidentia ratiocinaris. At Gregorius Nyssenus falsum tuum principium, quod dicit Patrem proximam Spiritus sancti cau-

(1) Laur. προτάσεις.

Digitized by Google Распознавание текста ABBYY FR

sam, ostendit, libro primo adversus Eunomium ita inquiens : *Pater quidem sine principio et ingenitus intelligitur ; ex eo vero immediate et indivise unigenitus Filius cum Patre simul intelligitur ; per hunc autem et cum ipso, antequam inanis et non subsistens in medio perceptio incidat, statim Spiritus sanctus junctim concipitur.*

A τασιν τὴν λέγουσαν τὸν Πατέρα προσεχῆ τοῦ Πνεύματος αἴτιον, ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν οὕτω λέγων · *Πατὴρ μὲν ἀναρχος καὶ ἀγέννητος νοεῖται · ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται · δι' αὐτοῦ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται* (1).

Cum igitur propositio statuens Patrem proximum Spiritus principium ut falsa refutata sit, Patribus nostris theologis contradicis, quotquot *per Filium* Spiritum procedere tradiderunt. Nec quia haud proximum, jam remotum Spiritus principium est Pater ; nam remotum, quod proximo opponitur, ad ea spectat, quæ intervallum denotant et tempore vel loco vel alia quapiam distantiæ ratione ad invicem habitudinem vel positionem vel conjunctionem et unionem secundum magis ac minus habent ; in sancta vero Trinitate, cum nihil cogitari queat medium inter Patrem et Filium vel medium inter Filium et Spiritum, proximum quidem Spiritus principium non dicitur Pater, quia non immediate, sed per Filium ex ipso Spiritus procedit ; rursum vero remotum Spiritus principium dici nequit, quia nullo ab eo intervallo arcetur et separatur qui per Filium ex ipso procedit.

Videsne excessum calumniæ ? Vide et exinde. Tu quidem divinarum causarum differentias effingens differentes etiam hypostases constitui affirmas et scissiones individuæ et simplicis et singularis Spiritus naturæ consequi et in diversa eamdem hypostasin referri principia ; veritas autem ita se habet : Si Patris foret Spiritus secundum personalem proprietatem Patris, secundum quam a Filio est distinctus, non esset Spiritus Filii ; et si Filii foret Spiritus secundum personalem proprietatem Filii, secundum quam Filius distinctus est a Patre, non esset Spiritus Patris. Verum est Spiritus Patris et Spiritus Filii ut unius Dei Spiritus ; et quoniam Spiritus est amborum, ut unius Dei Spiritus, et ex ambobus exsistens ut ex uno Deo exsistit ; et quomodo cæterum Spiritus sanctus in duo diversa principia relatam habet unam sui ipsius hypostasin ? Si vero ipse non ex duobus exsistit principiis, neque diversæ hypostases pro inani tua ac futili opinione constituentur, neque sectio quædam inducetur in indivisibili ipsius persona. Si vero tu omnino necesse esse contendis, ut duo diversa Spiritus censeantur principia Pater et Filius, quia secundum personales proprietates ipsi ab invicem differunt, cave ne tua imprudens curiositas atque præpostera industria te impellat, ut duos dicas deos Patrem et Filium, quia secundum eamdem personalium proprietatum differentiam ipsi ab invicem differunt. At enim-

Ἐντεῦθεν γοῦν ἐληλεγμένης ψεύδους τῆς προτάσεως τῆς λεγούσης τὸν Πατέρα προσεχῆ τοῦ Πνεύματος αἴτιον, τοῖς θεολόγοις ἡμῶν αὐτὸς ἀντιλέγεις Πατράσιν, ὅσοι τεθεολογήκασι τὸ διὰ τοῦ Υἱοῦ. Οὐχ ὅτι δὲ μὴ προσεχὲς, ἤδη πόῤῥω ἐστὶν αἴτιον τοῦ Πνεύματος ὁ Πατήρ· τὸ γὰρ ἀντιδιαστελλόμενον τῷ προσεχῶς πόῤῥω τῶν διαστηματικῶν ἐστι καὶ χρόνῳ ἢ τόπῳ ἢ ἄλλῳ τινὶ διαστήματος λόγῳ τὴν πρὸς ἄλληλα σχέσιν ἢ θέσιν ἢ συναφείαν καὶ ἕνωσιν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐχόντων· ἐπὶ δὲ τῆς ἁγίας Τριάδος, ἐπεὶ οὐδὲν ἔστιν ἐπινοῆσαι μέσον Πατρὸς καὶ Υἱοῦ ἢ μέσον Υἱοῦ τε καὶ Πνεύματος, προσεχὲς μὲν αἴτιον οὐ λέγεται τοῦ Πνεύματος ὁ Πατὴρ διὰ τὸ μὴ ἀμέσως, ἀλλὰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐξ αὐτοῦ ἐκπορεύεσθαι· φεύγει δὲ πάλιν τὸ λέγεσθαι πόῤῥω τοῦ Πνεύματος αἴτιον διὰ τὸ μηδενὶ διείργεσθαι αὐτοῦ διαστήματι τὸ διὰ τοῦ Υἱοῦ ἐκπορευόμενον ἐξ αὐτοῦ.

Ὁρᾷς τῆς διαβολῆς τὴν ὑπερβολήν ; Ὅρα κἀντεῦθεν. Σὺ μὲν διαφορὰς θεουργικῶν αἰτίων πλαττόμενος διαφόρους καὶ τὰς ὑποστάσεις συναπαρτίζεσθαι λέγεις καὶ τομὰς τῆς ἀτμήτου καὶ ἁπλῆς καὶ ἰδιαίας τοῦ Πνεύματος, φύσεως ἀκολουθεῖν καὶ εἰς διάφορα τὴν αὐτὴν ὑπόστασιν ἀναφέρεσθαι αἴτια· τὸ δ' ἀληθὲς οὕτως ἔχον ἐστίν· Εἰ τοῦ Πατρὸς ἦν τὸ Πνεῦμα κατὰ ὑποστατικὴν ἰδιότητα τοῦ Πατρὸς, καθ', ἣν ὁ Πατὴρ διέσταλται τοῦ Υἱοῦ, οὐκ ἂν ἦν Πνεῦμα Υἱοῦ· καὶ εἰ τοῦ Υἱοῦ ἦν τὸ Πνεῦμα κατὰ ὑποστατικὴν ἰδιότητα τοῦ Υἱοῦ, καθ' ἣν ὁ Υἱὸς διέσταλται τοῦ Πατρὸς, οὐκ ἂν ἦν Πνεῦμα Πατρός· ἀλλ' ἔστι Πνεῦμα Πατρὸς καὶ Πνεῦμα Υἱοῦ, ὡς ἑνὸς Θεοῦ Πνεῦμα · καὶ ἐπεὶ Πνεῦμά ἐστιν ἀμφοῖν, ὡς ἑνὸς Θεοῦ Πνεῦμα, καὶ ἐξ ἀμφοῖν ὑπάρχον ὡς ἐξ ἑνὸς ὑπάρχει Θεοῦ. Καὶ πῶς λοιπὸν εἰς δύο αἴτια διαφέροντα ἀναφερομένην ἔχει τὴν ἑαυτοῦ μίαν ὑπόστασιν τὸ Πνεῦμα τὸ ἅγιον ; Αὐτοῦ δὲ μὴ ἐκ δύο αἰτίων ὑπάρχοντος, οὔτε διάφοροι ὑποστάσεις τῇ κατὰ σὲ κενοφωνίᾳ συναπαρτίζονται, οὔτε τομή τις κατὰ τῆς ἀτμήτου ὑποστάσεως αὐτοῦ ἐπαφίεται. Εἰ δὲ σὺ πᾶσαν λέγεις εἶναι ἀνάγκην, δύο διαφέροντα αἴτια τοῦ Πνεύματος λογίζεσθαι τὸν Πατέρα καὶ τὸν Υἱὸν διὰ τὸ κατὰ τὰς ὑποστατικὰς ἰδιότητας ἀλλήλων διαφέρειν αὐτοὺς, ὅρα, μήποτε τὸ τῆς πολυπραγμοσύνης σου ἄλογον συνελάσῃ (2) σε δύο θεοὺς λέγειν τὸν Πατέρα καὶ τὸν Υἱὸν διὰ τὸ κατὰ τὴν αὐτὴν διαφορὰν τῶν ὑποστατικῶν ἰδιοτήτων ἀλλήλων διαφέρειν αὐτούς · ἀλλὰ μὴν οὐχὶ δύο θεοὶ

(1) Ita ad verbum eumdem Gregorii textum dat Beccus etiam Epigr. I Gr. orth. p. 538.

(2) Cod. συνελάσει.

Digitized by Google Распознавание текста АВК/FR

ὁ Πατὴρ εἰσι καὶ ὁ Υἱὸς, εἰ καὶ ἀλλήλων ταῖς ὑποστατικαῖς διαφοραῖς διαφέρουσιν· οὐδὲ δύο ἄρα αἰτιά εἰσιν, εἰ καὶ ἀλλήλων ταῖς ὑποστατικαῖς διαφοραῖς διαφέρουσιν.

vero non duo dii sunt Pater et Filius, licet ab invicem hypostaticis differant proprietatibus, ergo neque duo sunt principia, licet ab invicem differant proprietatibus hypostaticis.

Ἐπὶ δὲ τοῖς εἰρημένοις οὐδ' ἀληθές ἐστι καὶ τὸ λέγειν σε διὰ τὸ μὴ εἶναι τοῦ Πνεύματος τὴν ἐκπόρευσιν τῆς ἐν τῇ Τριάδι θεωρουμένης ὑπερφυοῦς ἑνάδος, ἑνὸς μόνου τῶν τριῶν ἐνέργειαν εἶναι καὶ προβολήν. Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον, ὥσπερ τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ ζῶσά τε καὶ οὐσιώδης λεγεται ἐνέργεια· καὶ εἰ μόνον ἦν αὐτὸ τοῦ Πατρὸς προβολή, οὐκ ἂν αὐτοῦ *προβολεὺς διὰ Λόγου* (1) ὁ Πατὴρ ἐθεολογεῖτο. Προσέχειν δὲ δεῖ καὶ τῇ τοιαύτῃ τοῦ λόγου διασκέψει. Νῦν μὲν πόρρω τῆς ὑπεραιδίου θεότητος τὰ χρονικὰ προσρήματα εἶναι ὁμολογεῖς, νῦν δὲ λέγων συλλογιστικῶς, ὡς ἐν ᾧ διὰ γεννήσεως πράσισιν ὁ Υἱὸς, ἐν τούτῳ δι' ἐκπορεύσεως τὸ Πνεῦμα προάγει καὶ προάγοντί τε καὶ προαγομένῳ συνυφίσταται, χρονικὰ διαστήματα τῷ συλλογισμῷ τούτῳ ἐπισοφίζῃ, ἵνα τὴν Ῥωμαϊκὴν διαβαλῇς Ἐκκλησίαν ὡς ἐξ ὧν λέγει γεννητὸν ἅμα καὶ ἐκπορευτὸν εἶναι τὸ Πνεῦμα, ἐμφαίνουσαν, γεννητὸν μὲν ὡς τῷ Υἱῷ γεννωμένῳ συμπροῖόν, ἐκπορευτὸν δὲ, ὅτι διπλῆν ὑπομένει τὴν ἐκπόρευσιν. Ἀλλ' ὁ εἰδὼς τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἄχρονον καὶ ἀΐδιον τὸ θεῖον δοξάζουσαν, σατανικῆς καταγνώσεταί σε κακίας τοιαῦτα κατ' αὐτῆς συμπλαττόμενον. Οὐδεὶς γάρ ἐστιν εὐσεβὴς, ὃς οὐχ ἅμα Υἱῷ καὶ σὺν τῷ Υἱῷ ὑφίστασθαι δοξάζει τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐχὶ καὶ γεννητὸν διὰ τοῦτο τὸ Πνεῦμά ἐστιν· ὅτι τὴν πρόοδον ἅμα μὲν Υἱῷ καὶ σὺν τῷ Υἱῷ, πλὴν ἀλλὰ καὶ διὰ τοῦ Υἱοῦ συναχρόνως καὶ ἀδιαστάτως ἤ, τὸ κυριώτερον εἰπεῖν, ἀῤῥήτως ἔχει ἐκ τοῦ Πατρὸς, ἐξ ἀμφοῖν λέγεται εἶναι ἐκπορευτὸν ἀεὶ, Πνεῦμα ὑπάρχον καὶ οὐδέποτε γεννητόν.

Præter jam dicta neque id verum est quod ais : propterea quod Spiritus processio non sit unitatis supernaturalis, quæ in Trinitate cernitur, eam unius duntaxat trium operationem esse atque emissionem. Etenim Spiritus sanctus, sicuti Patris, ita quoque Filii viva et essentialis operatio prædicatur; et si Spiritus foret solius Patris productio, haud Pater a theologis *ipsius per Verbum productor* diceretur. Attendendum quoque est hujusmodi ratiocinationi. Modo quidem temporis adverbia longe a sempiterna Deitate aliena esse confiteris; modo autem dum ratiocinando dicis : Quo momento Filius per generationem procedit, eodem per processionem producit Spiritum, et producenti atque producto simul exsistit et constituitur, temporis intervalla ejusmodi syllogismo callide effingis et obtrudis ad calumniandam Romanorum Ecclesiam, quasi ex iis quæ asserit Spiritum generatum simul et procedentem astruat, generatum quidem utpote cum Filio generato simul prodeuntem, procedentem vero utpote subeuntem duplicem processionem. Verum qui novit Romanam Ecclesiam Deitatem temporis expertem et sempiternam glorificare, satanicæ te condemnabit malitiæ talia contra ipsam confingentem. Nemo enim piorum ac fidelium est, qui non simul Filio atque una cum Filio Spiritum subsistere censeat ex Patre; neque tamen idcirco Spiritus generatus est, quia progressionem simul Filio et una cum Filio, imo potius etiam per Filium absque tempore et intervallo vel, ut magis proprie dicam, esse procedens semper, Spiritus exsistens et ineffabili modo habet ex Patre, ex utroque dicitur nequaquam generatus.

ineffabili modo habet ex Patre, ex utroque dicitur nequaquam generatus.

KEIMENON.

Ἀλλὰ καὶ μέχρι τίνος δεῖ σχολάζειν τοῖς ἀκριβῶς ἤδη καὶ πολυμερῶς ἀποδεδειγμένοις, δέον καὶ εἴ τι ἕτερον αὐτοῖς προκομίζεται τῆς κακοσχόλου γνώμης διασκορπίσαι;

ξς'. Ἀμβρόσιον καὶ Αὐγουστῖνον καὶ Ἱερώνυμον καί τινας ἑτέρους τῷ δόγματι τῆς Ἐκκλησίας ἀνταναστῶσι· καὶ γάρ φασιν αὐτοὺς τὸ Πνεῦμα δογματίζειν ἐκπορεύεσθαι τοῦ Υἱοῦ. Καὶ δεῖ ἱεροὺς Πατέρας μὴ δυσσεβείας ὑπάγειν ἐγκλήματι. Ἢ γὰρ εὐσεβῶς ἐδογμάτισαν, καὶ χρὴ τοὺς ὅσοι Πατέρας αὐτοὺς ἐπιγράφονται, συμφρονεῖν αὐτῶν τῷ φρονήματι, ἢ τῶν δυσσεβῶν εἰσηγητὰς δογμάτων γεγονότας κἀκείνους μετὰ τοῦ φρονήματος ὡς ἀσεβεῖς ἀποπέμπεσθαι. Ταῦτα τίνες; Οἱ νεανίσκοι μὲν τὴν ἀπόνοιαν, δεδιότες [Col. νεανίσκοι.... δεδειότες] δὲ μή πού τι τῶν ὀτολμήτων διαφυγὸν αὐτῶν τὴν τόλμαν ἄπρακτον, ὅσα γε τῇ σφῶν γνώμῃ καὶ σπουδῇ γένοιτο. Οὐδὲ γὰρ οὐδ' ἤρκεσεν αὐτοῖς οὔτε τῆς Δεσποτικῆς φωνῆς ἡ διαστροφὴ οὔτε τοῦ κήρυκος (2) τῆς εὐσεβείας ἡ πρὸς

TEXTUS.

Verum quousque tandem rebus jam plene ac multifariam demonstratis immorandum erit, cum potius oporteat etiam, si quid aliud pro nequissima sua sententia proferunt, dissipare?

66. Ambrosium et Augustinum et Hieronymum et nonnullos alios dogmati Ecclesiæ objiciunt; inquiunt enim ab ipsis doceri, Spiritum procedere ex Filio. Oportet autem (aiunt) sanctos Patres impietatis crimini non subjicere. Vel enim pie ac recte locuti sunt, et debent quicunque eos ut Patres agnoscunt, ipsorum sententiæ consentire; vel impia docuere dogmata, et tunc oportet illos quoque una cum ipsorum doctrina velut impios rejicere. Hæc vero quinam dicunt? Ii nimirum, qui juvenili elati arrogantia atque temeritate verentur, ne forte quidquam gravissimorum facinorum infectum irritumque relinquant, quantum in ipsis est. Neque enim satis istis fuit, Dominicam pervertisse vocem, neque pietatis præconi impietatis inussisse no-

(1) Phrasis Joannis Damasceni sæpe allegata.

(2) Laur. cod. habet κηρύγματος.

Digitized by Google Распознавание текста ABK/FR

tam; sed aliquid studio suo decesse arbitrantur, nisi et rationes perquirant, quibus eos, quos tanquam Patres celebrant, contumelia afficiant. At simplex hic quoque est veritatis sermo, ipsos his fere verbis confundens: Videte, quo ruitis, quousque vestram perniciem in interiora animæ penetralia protruditis.

67. Quinam sunt, qui sacros illos viros revera Patrum loco habent, quos male faustus defectionis amor vos veluti impietatis protectores in medium proferre coegit? Quinam religiosius illis Patrum jura servant? An qui negant illos ullatenus communi Domini contradicere, an qui hos adigunt ad testimonium voci Dominicæ oppositum exhibendum et ad mirabilem illam theologiam, qua instituti credimus Spiritum a Patre procedere, commentis propriis evertendam? Etenim quomodo non est manifestum, hæresim verbo quidem memoratis viris nomen Patrum tribuere omni prorsus honore nudum (1), factis autem, quibus proprium placitum astruere machinantur, in partes impiorum et perniciosorum ipsos impellere, nisi forte viri ad omnia audaces talibus Patres suos prærogativis oblectari et gloriari credunt?

68. Affirmant Ambrosius vel Augustinus vel quicunque alius Dominicæ voci contraria. Quis hoc ait? Si ego, utique tuis sum Patribus injurius; sin vero tu quidem asseris, ego autem veto, utique tu illos afficis injuria, et ego te Patribus injurium condemno. At, inquis, illi hæc scripserunt, et in illorum libris continetur, Spiritum a Filio procedere. Verum quid hoc? Si enim melius edocti sententiam non mutarunt, si justis evicti argumentis ab errore non recesserunt, tuum opus dicis tuumque inemendabilem animum (alia rursus hæc est adversus Patres tuos calumnia) illorum doctrinæ acceptum refers. Si vero, quæ est rerum humanarum conditio, licet cæteroquin optimis quibusque virtutibus ornati, vel ex ignorantia quadam lapsi vel negligentia abrepti sunt, non tamen admoniti restiterunt aut ad correctiones animum pertinaciter obdurabant, quid hoc ad te? Quomodo vero in iis, qui nihil simile tuis moribus habueruut, perfugium invenies pœnæ inevitabilis evitandæ? Si enim eorum, quibus tu abundas, illi ne leviter quidem participes facti sunt, sed potius plurimis aliis admirandæ virtutis pietatisque specimiuibus ornati impium tuum dogma ex ignorantia aut negligentia pronuntiarunt, quid tu humanum illorum defectum tanquam legem impie credendi tibi constituis exque

(a) Ita Catiforus. Juxta diversas lectiones reddi potest vel: hæresin verbo quidem istos viros vocare Patres (nudo enim nomine nulla prohibentur invidia omnem eis exhibere honorem), reipsa vero, etc. Vel: verbo quidem nudo vocare Patres et absque invidia omnis honoris eos participes efficere solo nomine.

ἀσέβειαν διαβολή· ἀλλ' ἀτελὲς αὐτῶν ἡγοῦνται τὸ σπούδασμα, εἰ μὴ καὶ οὓς Πατέρας ὑμνοῦσι ζητήσουσι δι' ὧν ἐξυβρίζουσιν. Ἁπλοῦς δὲ τῆς ἀληθείας ὁ καταισχύνων αὐτοὺς κάνταῦθα λόγος, Σύνετε, λέγει, ὅποι φέρεσθε, μέχρι τίνος ὑμῶν τὸν ὄλεθρον εἰς αὐτὰ τὰ τῆς ψυχῆς ἐμβαθύνετε καίρια.

ξζ'. Τίνες Πατέρας τοὺς ἱεροὺς ἄνδρας ὡς ἀληθῶς νομίζουσιν, οἵους (1) ἠνάγκασεν ἡμᾶς ὁ δύσερως τῆς ἀποστασίας ἔρως ὑπερασπιστὰς προκομίζειν τοῦ δυσσεβήματος; Τίνες αὐτοῖς μᾶλλον τὸ πατρικὸν διασώζουσι δίκαιον; Οἱ μηδὲν αὐτοὺς ἀντιφθέγγεσθαι τῷ κοινῷ Δεσπότῃ μηδόλως παραδεχόμενοι, ἢ οἱ τούτους βιαζόμενοι πρὸς ἀντίπαλον καταστῆναι τῆς Δεσποτικῆς φωνῆς μαρτυρίαν (2) καὶ τὴν θαυμαστὴν ἐκείνην μυσταγωγίαν, δι' ἧς θεολογοῦμεν τὸ Πνεῦμα τοῦ Πατρὸς ἐκπορεύεσθαι, διαστρέφειν ἰδίαις εὑρεσιλογίαις; Καὶ γὰρ πῶς οὐκ ἔστι κατάδηλον, ὡς ἡ αἵρεσις ῥήματι μὲν τοὺς εἰρημένους ἄνδρας Πατέρας καλεῖ (3), γυμνῷ γὰρ καὶ τιμῆς; ἀπάσης οὐ φθονεῖ μεταδιδόναι τῷ ὀνόματι (4), ἔργῳ δὲ καὶ τῇ κατασκευαζούσῃ μηχανῇ τὸ οἰκεῖον βούλημα εἰς τὴν τῶν θεομάχων καὶ φθοροποιῶν μοῖραν αὐτοὺς ἀπελαύνουσιν, εἰ μήπω ἄρα οἱ πάντα τολμηταὶ τοιούτοις αὐτῶν τοὺς πρωνομίους νομίζουσιν ἐπαγλαΐζεσθαι;

ξη'. Ἀνεῖπεν (5) Ἀμβρόσιος ἢ Αὐγουστῖνος ἢ ὅστις ἕτερος τῆς Δεσποτικῆς φωνῆς ἐναντία. Τίς τοῦτό φησιν; Εἰ μὲν ἐγὼ, τῶν σῶν Πατέρων ὑβριστής εἰμι· εἰ δὲ σὺ μὲν λέγεις, ἐγὼ δὲ κωλύω, σὺ μὲν ὑβρίζεις, ἐγὼ δὲ σὲ τῶν Πατέρων ὑβριστὴν καταψηφίζομαι. Ἀλλὰ, φησὶ, γεγράφασι ταῦτα καὶ τοῖς ἐκείνων λόγοις ἐμπεριέχεται, τὸ Πνεῦμα τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Καὶ τί τοῦτο; Εἰ μὲν διδαχθέντες οὐ μετέθεντο, εἰ τοῖς δικαίοις ἐλέγχοις οὐ μετεβάλοντο, τὸ σὸν ἔργον λέγεις καὶ τὴν σὴν ἀνουθέτητον γνώμην (ἄλλη πάλιν αὕτη κατὰ τῶν σῶν Πατέρων συκοφαντία) εἰς τὴν ἐκείνων ἀναφέρεις διδασκαλίαν. Εἰ δὲ, οἷα τὰ ἀνθρώπινα, καίτοι τὰ ἄλλα τοῖς ἀρίστοις ἐνευθυμοῦντες; ἢ ἀγνοίᾳ τινὶ περιέπεσον ἢ παροράματι ὑπηνέχθησαν, οὐκ ἀντεῖπον δὲ διδασκόμενοι, οὐδὲ πρὸς τὸ νουθετοῦν ἀπηυθαδιάσαντο, τί τοῦτο πρὸς σέ; Πῶς δὲ εὑρήσεις ἐκείνους καταφυγὴν ὧν οὐδὲν ὅμοιον πρὸς τὰ σὰ, τὴν ἄφυκτον δίκην ἀποφυγεῖν; Εἰ γὰρ ὧν σὺ μὲν ἀπολαύεις ἐκείνοις οὐδὲ γέγονε μετασχεῖν, πολλῶν δ' ἄλλων προσόντων αὐτοῖς θαύματος ἀξίων, δι' ὧν ἀρετὴ διαλάμπει καὶ εὐσέβεια, τὸ σὸν ἐξ ἀγνοίας; ἢ κατὰ παρόρασιν ἐρρήθη δυσσέβημα, εἰ τὸ ἐκείνων ἀνθρώπινον ἥττημα νόμον μὲν ὥστε δυσσεβεῖν ἑαυτῷ συνεισφέρεις, ἐκ δὲ τοῦ σοῦ νόμου τοὺς μηδὲν τοιοῦτο νομοθετεῖν φωραθέντας παρανόμους; ἀπο-

(1) Laur., οὓς, ut Monac.
(2) Laur. μαρτύριον.
(3) Laur. habet καλεῖν.
(4) Laur., πατέρας καλεῖν καὶ τιμῆς ἁπάσης οὐ φθονεῖν μεταδιδόναι τοῦ ὀνόματος.
(5) Laur., Ἂν εἶπεν.

Digitized by Google Распознавание текста ABBYY FR

φαίνεις, καὶ ἀσεβείας ἰσχάτης ἐν προσωπείῳ στοργῆς καὶ εὐνοίας δίκην ἀπαιτεῖς; οὐ γὰρ καλά σοι τῶν ἀγωνισμάτων τὰ ἐπίχειρα (1). Ἀλλ' ὅρα τῆς ἀσεβείας τὴν ὑπερβολὴν καὶ τῆς κακοσχόλου γνώμης τὸ ἀσύνετον. Εἰς συνηγορίαν ἄγουσι τὸν Δεσπότην, πεφώρανται συκοφαντοῦντες· ἐκάλεσαν συνηγόρους τοὺς μαθητάς, ἐάλωσαν κἀκείνους τὸν αὐτὸν τρόπον περιβάλλοντες συκοφαντίαις· κατέφυγον πάλιν εἰς Πατέρας, καὶ ἀντὶ τιμῆς μεγάλην αὐτῶν κατεχέουσι βλασφημίαν.

ξθ'. Καὶ Πατέρας μὲν καλοῦσι (καλοῦσι γάρ), ἀλλ' οὐχ ἵνα τὸ τῶν Πατέρων ἀπονείμωσι γέρας, ἀλλ' ἵν' εὑρήσωσι δι' ὧν ἂν γένοιντο πατραλοῖαι. Καὶ οὐδὲ τὴν τοῦ θεσπεσίου Παύλου φρίττουσι φωνήν, ἣν αὐτοὶ κατὰ τῶν Πατέρων αὐτῶν μετὰ πολλῆς ἀπορρίπτουσι τῆς κακουργίας. Καὶ γὰρ οὗτος ὁ τὴν ἐξουσίαν λαβὼν δεσμεῖν καὶ λύειν, καὶ τὸ τοῦ δεσμοῦ φοβερὸν ἅμα καὶ κραταιὸν (μέχρι γὰρ αὐτῆς ἀναφέρεται τῆς βασιλείας τῶν οὐρανῶν), οὗτος δὴ μεγάλῃ καὶ διαπρυσίῳ κέκραγε τῇ φωνῇ· *Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελιζόμεθα ὑμῖν, ἀνάθεμα ἔστω.* Παῦλος ἡ ἀσίγητος τῆς Ἐκκλησίας σάλπιγξ, ὁ τοσοῦτος καὶ τηλικοῦτος τοὺς παρὰ τὸ Εὐαγγέλιον ἕτερόν τι τολμῶντας φρόνημα λαβεῖν καὶ παρεισάγειν τῷ ἀναθέματι παραπέμπει· καὶ οὐ τοὺς ἄλλους μόνον, οἵτινες τοῦτο τολμήσειαν, ἀραῖς ἀνυπερβλήτοις ὑπάγει, ἀλλὰ καὶ ἑαυτὸν, ἔνοχος εἰ ὀφθείη, πρὸς τὴν ἴσην συνωθεῖ δίκην. Καὶ οὐδὲ μέχρι τούτου τὸ φοβερὸν τῆς ἀποφάσεως περιγράφει, ἀλλὰ καὶ τὸν οὐρανὸν αὐτὸν ἐρευνᾷ· κἂν ἄγγελον εὕρῃ τοῖς ἐπὶ γῆς ἐκεῖθεν ἐπιστάντα καὶ ἕτερόν τι παρὰ τὸ εὐαγγελικὸν εὐαγγελιζόμενον κήρυγμα, τοῖς ὁμοίοις δεσμοῖς ὑποβάλλει καὶ τῷ διαβόλῳ παραπέμπει. Καὶ σὺ Πατέρας ἀνακαλῶν, ἐφ' ὅσον μὲν τῶν Δεσποτικῶν δογμάτων, ἐφ' ὅσον δὲ τοῦ κηρύγματος, οὗ γεγόνασι κήρυκες οἱ μαθηταὶ (2), ἐφ' ὅσον πασῶν τῶν οἰκουμενικῶν συνόδων, ἐφ' ὅσον δὲ τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην κηρυττομένης εὐσεβείας, οὐ φρίττεις οὐδὲ τρέμεις οὐδὲ καταπτήσσεις τὴν ἀπειλήν; ἀλλὰ καὶ τοὺς σοὺς Πατέρας εἰ μὴ ταύτης κοινωνοὺς ποιήσεις, ἀβίωτόν σοι τὸν βίον ἡγῇ· καὶ ὁ μὲν οὐδὲ τὴν ἀσώματον εὐλαβεῖται φύσιν οὐδὲ ὅτι ὡς νόες καθαροὶ καθαρῶς καὶ ἀμέσως τῷ κοινῷ παριστάμενοι Δεσπότῃ, οὐδὲν τούτων δυσωπήσεως ἀφορμὴν ποιεῖται, ἀλλὰ τοῖς ἐπιγείοις ἐν ἴσῳ πρὸς τὸ ἀνάθεμα κατασπᾷ. Σὺ δὲ Ἀμβρόσιον καὶ Αὐγουστῖνον καὶ τοὺς ἄλλους (φεῦ τιμῆς ὀλεθρίας!) Πατέρας καλῶν κατὰ τῆς Δεσποτικῆς ἀνθοπλίζων μυσταγωγίας ἀνεκτότερον οἴει τὸ κατάκριμα ἢ κατὰ σεαυτοῦ ἢ κατ' ἐκείνων ἐπισπᾶσθαι; Οὐ γὰρ καλήν γε τὴν ἀμοιβὴν τοῖς σοῖς ἀπονέμεις Πατράσι· οὐ καλὰ τὰ τροφεῖα τοῖς γεννησαμένοις ἀντεισφέρεις· ἀλλὰ γὰρ εἰς μὲν τοὺς μακαρίους ἄνδρας ἐκείνους, ὥσπερ οὐδὲν αὐτοῖς τῶν σῶν μετῆν σοφισμάτων τῆς ἀπει-

bac tua lege illos, qui nil ejusmodi sanxisse deprehensi sunt, iniquos legisque violatores declaras extremæque impietatis sub amoris benevolentiæque larva reos judicas? Non bona tuorum sunt studiorum conatuumque præmia. Sed vide impietatis excessum improbique insipientiam animi. In suum patrocinium vocant Dominum: deprehensi fuerunt mendaces et calumniatores; advocarunt patronos apostolos: convicti sunt istos quoque eodem modo calumniis afficientes; confugerunt rursus ad Patres: et loco honoris ingentem ipsis blasphemiam offundunt.

69. Et Patres quidem vocant, ita est, sed non ut Patrum illis honorem tribuant, verum ut inveniant, qua possint ratione fieri parricidæ. Neque divi Pauli perhorrescunt vocem, quam tamen et ipsi contra Patres suos non sine ingenti malitia contorquent. Hic enim qui potestatem accepit ligandi ac solvendi, et sane vinculo tremendo simul et valido (pertinget enim ad ipsum regnum cœlorum), hic, inquam, ingenti claraque exclamat voce: *Licet nos aut angelus de cœlo evangelizet vobis præterquam quod evangelizavimus vobis, anathema sit.* Paulus sonora et nunquam tacens Ecclesiæ tuba, vir tantus ac talis eos qui præter Evangelium aliud quidquam audent aut sentire aut docere anathemati tradit: neque alios duntaxat, qui hoc fuerint ausi, diris immensis subjicit, sed et sibi ipsi, si reus exsistat, eamdem indicit pœnam. Nec eo usque terrorem hujus sententiæ sistit ac limitat; sed et cœlos ipsos scrutatur, ibique si vel angelum inveniat hominibus a Deo præfectum et aliud quidpiam præter evangelicam prædicationem evangelizantem, paribus subjicit vinculis et ad diabolum amandat. Et tu Patres allegans in contumeliam Dominicorum dogmatum, in contumeliam prædicationis, cujus præcones exstiterunt apostoli, in contumeliam omnium œcumenicarum synodorum, in contumeliam pietatis, quæ toto prædicatur orbe, non horres nec contremiscis nec expavescis minas? Sed et tuos Patres nisi ejus criminis participes efficias, intolerabilem tibi vitam arbitraris. Et Paulus ne incorpoream quidem veretur naturam nec penitus curat, quod angeli ut mentes puræ pure atque immediate communi assistunt Domino; nihil omnino horum veretur, sed æque ac terrenos homines angelos quoque ad anathema pertrahit. Tu vero Ambrosium et Augustinum et cæteros (heu perniciosum honorem!) Patres nuncupans et adversus Dominicam doctrinam eosdem in aciem instruens, leviorem putas in te vel in illos damnationem accersere? Non enim bonam tuis Patribus mercedem nec bona educationis præmia genitoribus rependis. Verumenimvero in illos quidem beatos viros, quemadmodum ipsi nihil de tuis cavillis tuaque pervicacia ac impietate participabant, ita nec tuum anathema

(1) Laur. καλά γε τῶν ἀγ. ἐπίχειρα.

(2) Laur. οἳ γεγόνασιν οἱ μαθηταί.

Digitized by Google Распознавание текста ABK/FR

pertingere ullatenus valebit, tu tamen eo quod inde putas istam impietatem confirmari et comprobari, luculentis factis omni voce clarius clamantibus anathema in illos profers.

70. Neque hoc dico, revera quæcunque tu asseris, ab iis ita luculente tradi; verum licet contigisset, illos tale quidpiam dixisse (homines enim erant nec potest se immunem ab omni humano lapsu perpetuo conservare qui ex luto fluxaque natura constat, imo nonnunquam etiam viris optimis adnascuntur aliqua vestigia macularum), et licet forte ad aliquod indecorum ac turpe fuissent lapsi, ego sane probos Noemi filios imitarer et pro vestimentis silentio potius atque gratitudine paternam turpitudinem obtegerem, non autem, uti tu facis, Chami sequerer exemplum; imo vero tu multo acerbius illo atque impudentius tuorum, quos vocas, Patrum turpitudinem evulgas. Ille enim, non quia revelavit, sed quia non velavit, maledictionem sustinuit; tu vero et revelas et in hac audacia gloriaris; et ille quidem fratribus arcanum effert; tu vero non fratribus nec uni aut alteri, sed quantum est ex tuo conatu et impudentia universum quasi terrarum orbem theatrum constituens ingenti promulgas clamore, tuos Patres sordibus fœdos esse, et in ipsorum turpitudine luxuriaris (debaccharis) et ignominia illorum gaudes et socios quæris, per quos illorum dedecus ac deformitatem in publicam efferas lucem et solemniter celebres.

71. Dixit Augustinus et Hieronymus Spiritum a Filio procedere. Et unde potest haberi aut dari fides, post tot annos elapsos, non esse illorum scripta per malitiam depravata? Neque enim arbitrari debes, te solum esse ad impietatem fervidum et te solum audere non audenda; sed potius ex hac ipsa tui animi affectione reputa, tunc quoque facile fuisse versutissimo generis humani hosti talibus vasis abundare.

72. Dixerunt, quos tu adducis, ista. Quod si ob aliquam necessitatem vel paganorum insaniam oppugnantes vel aliam hæreticam opinionem refellentes, vel auditorum indulgentes infirmitati vel ob aliquid aliud his simile, qualia solent in vita humana quotidie evenire, si, inquam, ob aliquam ejusmodi causam sive etiam ob plures iis forte talis vox excidit, quomodo tu quod illi non sensu dogmatico pronuntiarunt, pro dogmate ac lege sumens, tibi quidem ipsi irreparabilem creas perniciem, illos vero in tuam abripere vesaniam contendis?

REFUTATIO.

XXVII. Cum Ambrosio, Augustino et Hieronymo veniam concedas, licet iis tale quidquam eloqui acciderit, quasi pro illis defensionem Instituens, quod homines ex luto et fluxa materia compositos

(1) Laur. ὡς, ut Vatic.
(2) Μὴ γὰρ νομίσῃς Laur.

θείας καὶ ἀσεβείας, οὕτως οὐδὲ τὸ οὐν ἀνάθεμα χώραν εὑρήσει διαβαίνειν· σὺ δὲ δι' ὧν ὅμως ἐκεῖθεν νομίζεις τὸ δυσσεβὲς συγκροτεῖσθαι, λαμπροῖς ἔργοις καὶ φωνῆς ἁπάσης γεγωνότερον κεκραγόσι κατ' αὐτῶν τὸ ἀνάθεμα προκομίζεις.

ο'. Καὶ οὐ τοῦτό φημι, ὅτι πάντως ἅπερ σὺ κατηγορεῖς, ἐκείνοις οὕτω περιφανῶς δογματίζεται, ἀλλ' εἰ καὶ τοιοῦτόν τι συνέπεσεν αὐτοὺς εἰπεῖν (ἄνθρωποι γὰρ ἦσαν καὶ ἀνθρωπίνου παραλισθήματος οὐκ ἔστι διαπαντὸς ὑπεράνω φέρεσθαι τὸν ἐκ πηλοῦ καὶ ῥεούσης ὕλης συγκείμενον· ἔσθ' ὅτε δὲ καὶ τοῖς ἀρίστοις ἐπιφύεταί τινα κηλῖδος ἴχνη)· ἀλλ' οὖν εἴ τι παρηνέχθησαν ἐνασχημονῆσαι, τοὺς εὐγνώμονας ἂν τῶν τοῦ Νῶε παίδων ἐμιμησάμην, καὶ ἀντὶ περιβολαίων τῇ σιωπῇ μᾶλλον καὶ εὐγνωμοσύνῃ τὴν πατρικὴν ἐπεκάλυψα ἀσχημοσύνην, οὐχὶ δ' ὥσπερ σὺ κατὰ τὸν Χὰμ διεπραξάμην· μᾶλλον δὲ σὺ πολὺ πικρότερον ἐκείνου καὶ ἀναιδέστερον τοὺς Πατέρας οὓς (1) λέγεις εἰς ἀσχημοσύνην στηλιτεύεις· ὁ μὲν γὰρ οὐχ ὅτι ἀπεκάλυψεν, ἀλλ' ὅτι μὴ ἐπεκάλυψε, τὴν ἀρὰν ὑπέχει· σὺ δὲ καὶ ἀποκαλύπτεις, καὶ σεμνύνῃ τῇ τόλμῃ· καὶ ὁ μὲν τοῖς ἀδελφοῖς τὸ ἀπόῤῥητον ἐκφέρει, σὺ δὲ οὐκ ἀδελφοῖς, οὐδὲ πρὸς ἕνα ἢ δύο, ἀλλ' ὅσα γε τῇ σῇ σπουδῇ καὶ ἀναισχυντίᾳ τὴν οἰκουμένην θέατρον καθίζων μέγα μὲν σαλπίζεις, ὡς οἱ σοὶ Πατέρες ἀνασχημονοῦσι· ἐνασελγαίνεις δ' αὐτῶν ταῖς ἀσχημοσύναις. καὶ τρυφᾷς τὴν κατ' ἐκείνων ἀτιμίαν· καὶ συγχορευτὰς ζητεῖς δι' ὧν τὴν ἐκείνων ὕβριν καὶ ἀσχημοσύνην εἰς τὸ λαμπρότατον πανηγυρίζεις.

οα'. Εἶπεν Αὐγουστῖνος καὶ Ἱερώνυμος τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Καὶ πόθεν ἔστι λαβεῖν ἢ δοῦναι πίστιν, τοσούτου ῥεύσαντος χρόνου, ὅτι μὴ αὐτῶν κεκακούργηται τὰ συντάγματα; Μὴ γὰρ νομίσεις (2) μόνον σαυτὸν εἶναι θερμὸν πρὸς ἀσέβειαν καὶ τολμηρὸν τὰ ἀτόλμητα, ἀλλ' ἐκ τῆς σῆς ἀναλογίζου μᾶλλον γνώμης, ὅτι καὶ τηνικαῦτα οὐδὲν τὸ κωλύον ἦν τοιούτων σκευῶν εὐπορῆσαι τὸν πολυμήχανον τοῦ γένους ἐχθρόν.

οβ'. Εἶπον, οὓς σὺ λέγεις, ταῦτα. Εἰ δὲ διά τινα περίστασιν ἢ πρὸς Ἑλληνιστῶν ἀντιφερόμενοι λύσσαν ἢ πρὸς ἄλλην αἱρετικὴν διαμαχόμενοι δόξαν ἢ τῇ τῶν ἀκροατῶν συγκαταβαίνοντες ἀσθενείᾳ, ἢ πόσα τοιαῦτα καθεκάστην ὁ ἀνθρώπινος ἐπιδείκνυσι βίος· εἰ οὖν ἐκείνοις διά τι τούτων ἢ καὶ διὰ πλείω τοιαύτην ἐκείνοις ἀφεῖναι συνέπεσε φωνήν, πῶς σὺ τὸ μὴ κατὰ δογματικὴν ἐκείνοις ἔννοιαν εἰρημένον, δόγμα καὶ νόμον ποιῶν σαυτῷ μὲν ἀνοήθητον (3) τὴν ἀπώλειαν ἐπάγεις, ἐκείνους δὲ συγκατασπᾷς τῇ σῇ φιλονεικείᾳ ἀπονοίᾳ (4);

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΖ'. Ἐπεὶ Ἀμβροσίῳ συγγιγνώσκεις, Αὐγουστίνῳ τε καὶ Ἱερωνύμῳ, εἰ καὶ τοιοῦτόν τι συνέπεσεν ἐκείνοις εἰπεῖν, ὑπεραπολογούμενος ὥσπερ ἐκείνων ἅτε μὴ ἐνὸν ὑπὲρ ἀνθρωπίνου παραλισθήματος διαπαν-

(3) Fort. ἀβοήθητον.
(4) Laur. ἀπωλείᾳ pro ἀπονοίᾳ.

Digitized by Google Распознавание текста ABBYY FR

τὸς φέρεσθαι τοὺς ἐκ πηλοῦ καὶ ῥεούσης ὕλης συγκειμένους, ἵνα τί τῆς Δεσποτικῆς φωνῆς διαστροφὴν καὶ τοῦ κηρύγματος τῆς εὐσεβείας διαβολὴν πρὸς ἀσέβειαν ὀνομάζεις, ὅπερ λέγουσιν Ἰταλοὶ ὡς εἰς Πατέρας αὐτοὺς καταφεύγοντες, καὶ ἵνα τί εἰς τὴν τῶν θεομάχων καὶ φθοροποιῶν μοῖραν ἐκείνους ἀπελαύνεσθαι λέγεις παρ' Ἰταλῶν, εἴπερ εἰς τὴν ἐκείνων διδασκαλίαν ἡ Ῥωμαϊκὴ Ἐκκλησία ἀναφέρει τὸ ἐκ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα; Εἰ μὲν γὰρ ἀσέβεια τὸ οὕτω λέγειν ἐστὶ, ποῖα συγγνώμη τοῖς διδασκάλοις ἀκολουθεῖ; εἰ δὲ ἀνθρώπινόν τι ἁπλῶς ἥττημα ὀνομάζεις τὸ οὕτω ἐκείνους εἰπεῖν, πολλὰ καὶ θαύματος ἄξια προσεῖναι αὐτοῖς τὰ ἄλλα πάντα προσμαρτυρῶν, δι' ὧν ἀσέβειαν διαλάμπει καὶ ἀρετὴ, ἵνα τί δυσσέβειαν καὶ ἀσέβειαν ἰσχάτην ἀποκαλεῖς τὸ ῥηθὲν παρ' ἀνδρῶν, οὓς θαύματος ἀξίους ἀναγκαίρυττεις αὐτός; Ἀλλ' ὅρα τῆς διαβολῆς τὴν ὑπερβολήν. Συκοφάντας τοῦ Δεσπότου τοὺς Ῥωμαίους ἀποκαλεῖς, συκοφάντας τῶν μαθητῶν, βλασφήμους κατὰ Πατέρων καὶ πατραλοίας, διότι ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα λέγουσιν ἐκπορεύεσθαι, καὶ οὐ συνίης ὡς ταῦτα λέγων τοὺς ἁγίους Πατέρας ἡμῶν βλασφημεῖς, Ἀθανασίων φημὶ καὶ τοὺς ἄλλους τῆς εὐσεβείας προσμάχους τοὺς πῶς ἂν καὶ καλέσαι οὐκ ἔχω; Οὗτοι γὰρ, εἰ καὶ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι ἔφη, οὐχὶ ἀθέτησιν τῆς αὐτοῦ διδασκαλίας ἡγήσαντο καὶ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα εἰπεῖν· ἀλλ' οἱ μὲν αὐτῶν καὶ Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν αὐτὸ διαῤῥήδην ἐθεολόγησαν, οἱ δὲ ἐκ Πατρὸς δι' Υἱοῦ καὶ εἶναι καὶ ἐκπορεύεσθαι· σὺ γοῦν τοὺς Ῥωμαίους παραβάσεως τῶν εὐαγγελικῶν ῥημάτων γραφόμενος διὰ τὴν ἐν τῷ συμβόλῳ προσθήκην τῆς λέξεως, ὅρα, ὡς πρὸ τῶν Λατίνων αὐτοῖς τοῖς θεολόγοις ἡμῶν Πατράσι γραφὴν παραβάσεως τῶν εὐαγγελικῶν ῥημάτων προσάπτεις, καὶ ὡς μηδὲ τὴν τοῦ θεσπεσίου Παύλου φωνὴν φρίττοντας στηλιτεύεις αὐτούς, ἣν ἐκεῖνος μεγάλῃ καὶ διαπρυσίῳ κέκραγε τῇ φωνῇ λέγων· *Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελιζόμεθα, ἀνάθεμα ἔστω·* εἰ γὰρ τὸ ἐκφωνηθὲν παρὰ τοῦ Παύλου ἀνάθεμα κατὰ τοῦ εὐαγγελισομένου ἀλλότριόν τι τῶν Εὐαγγελίων αὐτοῦ τοῖς Ῥωμαίοις προσάπτεις διὰ τὸ μὴ τοῖς Παύλου Εὐαγγελίοις ἐμπεριειλῆφθαι τὸ ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, ὅρα, μή ποτε τὴν τῆς καταδίκης ταύτης ψῆφον οὐ κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ποιῇ, ἀλλὰ πρό γε αὐτῆς κατὰ πασῶν τῶν συνόδων, αἳ πολλὰ δόγματα διετράνωσαν καὶ ἐκήρυξαν, ὧν οὐδόλως ὁ μέγας Παῦλος μνείαν ποιούμενος εὕρηται. Οὗτος γὰρ, ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, πρὸς τὴν τοῦ Εὐαγγελίου ἔννοιαν ἀπαγορεύει τὸν παρευαγγελισμὸν, ἐκ δὲ τῆς ἑπομένης ἐπὶ τῷ Εὐαγγελίῳ αὐτοῦ ἐπιστέρνου προσθήκης τῶν λέξεων οὐδενὶ τῶν ἁπάντων ἔγκλημα προσάπτει παρευαγγελισμοῦ. Ὁ γοῦν ἁπλῶς οὕτω καὶ ἀδιακρίτως τὴν τοῦ ἀναθέματος καταδίκην ἐπιψηφίζεσθαι θέλων τοῖς μετὰ τὸ Εὐαγγέλιον Παύλου δογματικόσι τινὰ μὴ πρὸς λέξιν ἐν τοῖς Παύλου

ab omni humano lapsu perpetuo immunes sese servare haud contingat, cur Dominicæ vocis perversionem et religiosæ prædicationis in impietatem conversionem nuncupas quod dicunt Itali ut ad ipsos Patres confugientes, et cur in partes impiorum et perniciosorum ab Italis hos impelli asseris, quando ad horum doctrinam Romana refert Ecclesia, quod ex Filio Spiritum esse tradit? Si enim hoc dicere impietas est, qualis venia consequetur eos, qui ita docent? Si verum humanum defectum simpliciter vocas, quod ista tradunt, protestans interea, multis et admirandis virtutis et pietatis speciminibus quoad alia omnia ornatos eos esse, cur impietatem extremam et summam nominas id quod dictum est a viris judice teipso maxime admirandis? Sed vide calumniarum excessum. Calumniatores Domini Romanos appellas, mendaces ergo discipulos, blasphemos contra Patres et parricidas, quia ex Patre et Filio Spiritum dicunt procedere, et non recogitas, quod hæc dicens sanctos Patres *nostros* (Græcos) blasphemas, Athanasium dico et cæteros pietatis propugnatores, quos quomodo nominem ego non habeo? Hi enim, licet Servator in Evangeliis ex Patre Spiritum procedere dixerit, minime doctrinæ ejus contemptum esse censuerunt assertionem, etiam ex Filio Spiritum esse; verum eorum alii et Patris et Filii eum esse diserte tradiderunt, alii ex Patre per Filium et esse et procedere. Tu igitur, qui Romanos transgressionis evangelicorum verborum accusas propter additionem vocis in Symbolo factam, vide, quo pacto ante Latinos ipsis theologis nostris Patribus eamdem notam et accusationem inuris, et quod neque divi Pauli sermonem horrescentes eos traducis, quem ipse ingenti claraque voce emisit: *Licet nos aut angelus de cœlo evangelizet vobis præterquam quod evangelizavimus, anathema sit.* Si enim anathema a Paulo pronuntiatum contra evangelizaturum alienum quid ab ipsius Evangeliis Romanis adaptas, propterea quod doctrina de processione Spiritus sancti etiam ex Filio in Pauli Evangeliis haud contineatur disertis verbis, vide ne ejusmodi damnationis feras sententiam non tam contra Romanorum Ecclesiam, quam potius ac præ ipsa contra omnes synodos, quæ plura dogmata explicuerunt et tradiderunt, quorum nullo pacto magnus Paulus mentionem fecisse reperitur. Hic enim, princeps apostolorum summitas, prohibet ad Evangelii sensum diversam ab Evangelio prædicationem, ex additione vero verborum postea Evangelium omnino sequenti nemini prorsus crimen diversæ ab Evangelio falsæque prædicationis inurit. Qui itaque ita simpliciter et indistincte anathematis damnationem infligendam existimat iis, qui post Pauli Evangelium dogmatice quædam proposuerunt non disertis verbis in Pauli prædicatione contenta, is nescio quo pacto Patres nostros qui *consubstantialitatis* vocem sanxerunt defensurus sit. Ubi enim ea vox reperta fuit in Pauli scri-

Digitized by Google Распознавание текста АВК/FR

ptis? Vocem quidem *Deiparæ* in Pauli Evangeliis nusquam quis reperiet, Dei tamen Ecclesia perspicue eam prædicat et eos qui non ita sentiunt ut hæreticos reprobat. Neque vero, quia Paulus has voces non pronuntiavit, diversæ et falsæ prædicationis rei judicantur, qui postmodum eas pronuntiarunt, verum quia secundum Pauli mentem ea tradiderunt, ipsis pietatis præconibus adnumerantur. Quod vero ad istud attinet, quod (c. 72) Augustino et Ambrosio ignoscis, si ob aliquam necessitatem (circumstantiam) vel auditorum indulgentes infirmitati, vel ob aliud simile ex iis, quæ solent in vita humana quotidie evenire, talem emiserunt vocem, quomodo non id in animum induxisti, quod Patres nostri, qui in illis antiquis diebus in firmamento Ecclesiæ nostræ velut astra fulserunt, si illorum scripta eis ad manus venere, et ipsos nos processionem Spiritus ex Filio professos sanctorum choro adnumerarunt et Romanam Ecclesiam eorum libros amplectentem in communione habuerunt, eique ut matri Ecclesiarum adhæserunt? Et quomodo non ut eorum discipulus eos imitatus cum discipulis Ambrosii, Augustini atque Hieronymi in veram in Christo concordiam et ipse convenisti?

εὐαγγελισμοῖς ἐκφαινόμενα, οὐκ οἶδα πῶς ἀπολογήσεται οὗτος τοῖς τὸ *ὁμοούσιον* δογματίσασι Πατράσιν ἡμῶν. Ποῦ γὰρ καὶ εὕρηται τοῦτο τῶν τοῦ Παύλου γραφῶν; Τὴν δὲ *Θεοτόκος* φωνὴν ἐν μὲν τοῖς τοῦ Παύλου Εὐαγγελίοις εὑρήσει τις οὐδαμοῦ, ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία τρανῶς κηρύττει αὐτὴν, καὶ τοὺς μὴ οὕτω φρονοῦντας ὡς αἱρετικοὺς ἀποβάλλεται· καὶ οὐχ ὅτι μὴ Παῦλος τὰς λέξεις εἶρηκε ταύτας παρευαγγελισμοῦ κρίνονται οἱ ὑστερον εἰρηκότες, ἀλλ' ὅτι κατὰ τὴν τοῦ Παύλου διάνοιαν ἐδογμάτισαν, οὗτοι τοῖς κήρυξι τῆς εὐσεβείας ἐγκρίνονται. Ὅτι δὲ πάλιν συγγιγνώσκεις Αὐγουστίνῳ καὶ Ἀμβροσίῳ, εἴπερ διά τινα περίστασιν ἢ τῇ τῶν ἀκροατῶν σύγκαταβαίνοντες ἀσθενείᾳ ἢ πόσα καθεκάστην ὁ ἀνθρώπινος ἐπιδείκνυσι βίος, τοιαύτην φωνὴν ἐκεῖνοι ἀφῆκαν, πῶς οὐκ ἐλογίσω, ὅπως οἱ ἐν ταῖς ἀρχαίαις ἡμέραις ἐκείναις ἐν τῷ στερεώματι, τῆς καθ' ἡμᾶς Ἐκκλησίας διαλάμψαντες Πατέρες ἡμῶν ταῖς ἐκείνων συγγράμμασιν ἐντυγχάνοντες αὐτούς τε τοὺς τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν εἰρηκότας τοῦ Πνεύματος τῷ τῶν ἁγίων συνηριθμουν χορῷ καὶ τὴν τὰ συγγράμματα αὐτῶν ἀσπαζομένην Ἐκκλησίαν τῆς Ῥώμης κοινωνικῶς εἶχον καὶ ὡς μητέρι τῶν Ἐκκλησιῶν προσεῖχον αὐτῇ (1)· καὶ πῶς οὐκ ἐκείνους ὡς ἐκείνων μαθητὴς μιμησάμενος τοῖς Ἀμβροσίου καὶ αὐτὸς Αὐγουστίνου τε καὶ Ἱερωνύμου μαθηταῖς εἰς τὴν ἐν Χριστῷ συνῆλθες ὁμόνοιαν;

TEXTUS.

73. Dixit orbis terrarum præco, arcanorum contemplator, qui humanam naturam insignibus suis moribus nobilitavit, dixit ille adversus Athenienses ornato ac fluido dicendi genere pollentes disputans illorumque animos nimium elatos submittens ac deprimens, imo potius ad illorum infirmitatem sese accommodans, quid igitur dixit? *Præteriens et videns simulacra vestra inveni et aram, in qua scriptum erat : Ignoto Deo. Quem igitur ignorantes colitis, hunc ego annuntio vobis.* Quid igitur? Ea, per quæ Paulus Ecclesiæ doctor sapientes Græcorum aucupabatur atque ex impietate ad pietatem manuducens transferebat, ea, inquam, tu pro dogmate accipies et asserere audebis, a Paulo idolorum eversore illum prædicari, quem gentilium error colebat nominabatque ignotum Deum? Non enim mira accedere nobis debet tui ingenii in fallacibus argutiis consuendis solertia. Erectum erat altare illud Pani; urbs autem Athenarum nomen ejus qui in eo colebatur interim ignorans inscripserat : *Ignoto Deo.* Jam vero quoniam ex prophetarum oraculis Christique Domini eloquiis egregius ille cœlestisque vir videbat, haudquaquam gentiles flecti, ex ipsismet exsecrandis simulacris ad cultum eos revocat Conditoris, et ex ipsis diaboli programmatibus potestatis ejusdem tyrannidem condemnat, ex munimentis ejus fortissimis robur potestatis ipsius evertit, ab errore metit pietatem,

KEIMENON.

ογ'. Εἶπεν ὁ τῆς οἰκουμένης κήρυξ, ὁ τῶν ἀπορρήτων θεωρὸς, ὁ τὴν ἀνθρωπίνην φύσιν τοῖς καθ' ἑαυτὸν ἐξευγενίσας τρόποις· εἶπεν ἐκεῖνος πρὸς τοὺς Ἑλληνιστὰς πολλῷ τῷ λόγῳ *ῥέοντας* ἀντιφερόμενος καὶ τὴν ἐκείνων ὀφρὺν ἄνω τεινομένην κάτω παρασκευάσας νεύειν, μᾶλλον δὲ πρὸς τὴν ἀσθένειαν αὐτῶν συγκατιών, τί εἶπε; *Διερχόμενος καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο· Ἀγνώστῳ Θεῷ· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.* Τί οὖν; Δι' ὧν τῆς Ἐκκλησίας ὁ διδάσκαλος τοὺς Ἑλλήνων σοφοὺς ἐθήρα, καὶ τῆς ἀσεβείας πρὸς τὴν εὐσέβειαν ἐχειραγώγει καὶ μετέφερε, ταῦτα σὺ δόγμα ποιήσεις, καὶ κηρύττειν τολμήσεις τὸν καθαιρέτην τῶν εἰδώλων καταγγέλλειν ὃν ἐσέβετο καὶ ὠνόμαζεν ὁ Ἑλληνισμὸς ἄγνωστον Θεόν; Οὐ γὰρ θαυμαστόν σου τὸ τῆς σοφίας δραστήριον καὶ τῶν κακοσχόλων ἡ πλοκὴ σοφισμάτων. Ἀνειμένος ἦν ὁ βωμὸς τῷ Πανί· ἡ δὲ τῶν Ἀθηνῶν πόλις τοῦ τιμωμένου τέως μὴ συνιέντες τὸ ὄνομα ἐπέγραφον τῷ βωμῷ· *Ἀγνώστῳ Θεῷ.* Ἐπεὶ γὰρ ἐκ τῶν προφητικῶν χρησμῶν καὶ τῶν Δεσποτικῶν λογίων ὁ περιδέξιος ἐκεῖνος καὶ οὐράνιος ἄνθρωπος μὴ πειθόμενον ἑώρα τὸ Ἑλληνικὸν, ἐξ αὐτῶν αὐτοὺς τῶν θεοστυγῶν σεβασμάτων εἰς τὸ τοῦ Δημιουργοῦ μετακαλεῖται σέβας· ἐξ αὐτῶν τῶν τοῦ διαβόλου προγραμμάτων τῆς αὐτοῦ καταψηφίζεται τυραννίδος· ἐκ τῶν ὀχυρωμάτων κατα-

(1) Verba ista, Πῶς οὐκ ἐλογίσω — προσεῖχον αὐτῇ paucis vocibus ampliora leguntur apud Beccum Or. I de un. Eccl., n. 46, G. O. I. 169-170.

Digitized by Google Распознавание текста ABBYY FR

στρέφει τὸ κράτος αὐτοῦ τῆς ἐξουσίας· ἀπὸ τῆς πλάνης γεωργεῖ τὴν εὐσέβειαν· ἐκ τῆς ἀπωλείας βλαστοὺς ἡμῖν προβάλλεται σωτηρίας· ἐκ τῆς τοῦ διαβόλου παγίδος εἰς τὸν δρόμον ἐνισχύει τοῦ Εὐαγγελίου· βαλβῖδα ποιεῖται τὴν κορυφὴν τῆς ἀποστασίας τῆς εἰσόδου, δι' ἧς ἦν αὐτοῖς εἰς τὸν νυμφῶνα Χριστοῦ καὶ τὴν ἄχραντον αὐτοῦ παστάδα εἰσελθεῖν τὴν Ἐκκλησίαν. Οὕτως ἦν ἐκεῖνος ὁ μετάρσιος νοῦς διὰ τῶν ὅπλων τοῦ ἐχθροῦ αὐτὸν κατατιτρώσκειν τὸν ἐχθρὸν καὶ αἰχμαλωτίζειν δραστήριός τε καὶ τὴν ἀνωθὲν ἑαυτῷ φέρειν ἰσχύν. Τί οὖν; Διότι Παῦλος τοῖς ὅπλοις τοῦ ἐχθροῦ καθεῖλε τὸν ἐχθρὸν, διὰ τοῦτο σὺ τὰ τοῦ ἐχθροῦ τιμήσεις ὅπλα καὶ θεῖα ὅπλα καλέσεις, καὶ πρὸς τὴν σὴν ὠθήσεις ταῦτα σφαγήν; Καὶ πόσα ἂν ἔνεστι τοιαῦτα παραδείγματα παρ' αὐτῷ τῷ πάντα ἐν σοφίᾳ τῇ τοῦ Πνεύματος δυνάμει διακυβερνήσαντι λαβεῖν!

A ex perditione germina nobis salutis profert, e diaboli laqueo ad cursum Evangelii excitat, summum defectionis verticem viæ facit initium, qua ipsi possent in Ecclesiam, purissimum atque intemeratum Christi thalamum, ingredi. Adeo pollebat sublimis illa mens cœlesti potissimum adminiculo adjuta per ipsa inimici arma ipsum inimicum confodere ac subigere. Quid igitur? Quia Paulus armis inimici delevit inimicum, ideone tu honore arma inimici prosequeris et divina nuncupabis arma, atque in tuam ipsius protrudes cædem? et quot alia similia exempla apud hunc, qui omnia sapienter in Spiritus virtute disposuit, poterunt reperiri!

οδ'. Τί δὲ δεῖ παραδειγμάτων; Αὐτὸς διαπρυσίῳ λέγει τῇ φωνῇ· *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδήσω ἀνόμους.* Ἆρ' οὖν σὺ διὰ τοῦτο τὸν Ἰουδαϊσμὸν ἀνακαινίσεις, ἢ τὴν ἀνομίαν ἀντὶ τῶν θείων καὶ ἀνθρωπίνων θεσμῶν ἐμπολιτεύσεσθαι τῷ βίῳ νομοθετήσεις, καὶ ἀνακράξεις ἀναισχύντως, μᾶλλον δὲ λίαν ἀθέως, ὡς Παύλου εἰσὶ ταῦτα καὶ αἱ ἐντολαὶ καὶ τὸ κήρυγμα;

B 74. Quid ergo opus est exemplis? Ipsemet alta et clara dicit voce: *Factus sum Judæis tanquam Judæus, ut Judæos lucrarer; iis qui sub lege sunt, quasi sub lege essem, ut eos qui sub lege erant lucrifacerem; iis qui sine lege erant, tanquam sine lege essem (cum sine lege Dei non essem, sed in lege essem Christi), ut lucrifacerem eos qui sine lege erant.* Num ergo tu propterea Judaismum instaurabis aut divinis humanisque legibus abrogatis vitam omni solutam lege in hominum commercio induces, atque impudenter, imo potius impie clamabis, hæc esse præcepta a Paulo prædicata?

οε'. Παρὰ πόσοις δὲ καὶ ἄλλοις τῶν μακαρίων καὶ ἁγίων Πατέρων ἡμῶν ἔνεστι τοιαῦτα εὑρεῖν! Ἐννόει μοι τὸν τῆς Ῥώμης ἀρχιερέα Κλήμεντα, καὶ ἃ τὴν ἐπωνυμίαν ἐκεῖθεν φέρει, *Κλημέντια* (1) (ἵνα μὴ λέγω τὰ γεγραμμένα, ὡς ὁ παλαιὸς λόγος, κατὰ τὸ τοῦ κορυφαίου Πέτρου γεγενῆσθαι πρόσταγμα), τὸν Ἀλεξανδρείας Διονύσιον ἐξ ἀντιπνοίας τῆς πρὸς τὸν Σαβέλλιον μικροῦ τῷ Ἄρειῳ χεῖρα προτείνοντα· τὸν ἐν ἱερομάρτυσι λάμποντα τῶν Πατέρων τὸν μέγαν Μεθόδιον, ὃς ἀγγέλων τὴν ἀσώματον καὶ ἀπαθῆ φύσιν πρὸς ἔρωτα βρότειον καὶ ὁμιλίαν σωμάτων καταπεσεῖν οὐκ ἐλαύνει δόξης. Ἐάσειν μοι δοκῶ Πάνταινον καὶ Κλήμεντα, Πιέριόν τε καὶ Πάμφιλον καὶ Θεόγνωστον, ἄνδρας τε ἱεροὺς καὶ τῶν ἱερῶν διδασκάλους μαθημάτων, ὧν τὰς θέσεις οὐ πάσας πάντως δεχόμενοι, καλοῦ γε βίου καὶ τῆς ἄλλης ἱερολογίας γέρας αὐτοῖς ἀπονέμοντες, διὰ πολλῆς τιμῆς καὶ ἀποδοχῆς ἄγομεν· μάλιστά γε Πάμφιλον καὶ Πιέριον, ἅτε δὴ καὶ μαρτυρικοῖς ἄθλοις ἐνδιαπρέψαντας· μεθ' ὧν καὶ τοὺς ἀπὸ Δύσεως παρατρέχομεν· Εἰρηναῖόν τε τὸν ἀρχιερέα Θεοῦ καὶ τὴν τῶν Λουγδούνων δεξάμενον· καὶ Ἱππόλυτον τὸν αὐτοῦ μαθητὴν καὶ ἐν ἀρχιερεῦσι μάρτυρα· ἄνδρας θαυμασίους μὲν ἐν πολλοῖς, ἔσθ' ὅτε δὲ τῆς ἀκριβείας λόγους αὐτῶν ἐνίους οὐκ ἀναστέλλοντας κατασύρεσθαι.

C 75. Quot vero et alii beati et sancti Patres nostri exstant, in quibus talia reperias? Inspice Romanum pontificem Clementem et quæ inde denominantur *Clementina* (ne dicam cum veteribus scripta illa fuisse jussu Petri apostolorum principis), Dionysium Alexandrinum, qui dum contra Sabellium fervide disputat, Ario propemodum protendit manum, magnum atque inter beatos martyres fulgentem Methodium Patarensem, qui angelorum corporis passionumque expertem naturam in terrenum amorem et corporum amplexum ruisse non incredibile censuit. Omittam Pantænum et Clementem, Pierium quoque, Pamphilum et Theognostum, viros sanctos sanctarumque institutionum doctores, quos, licet propositiones eorum, non cunctas omnino admittentes, præclaræ tamen vitæ cæterarumque doctrinarum præmia ipsis rependentes ingenti honore atque commendatione prosequimur, præsertim Pamphilum et Pierium, utpote martyrii quoque certaminibus inclytos. Cum quibus et Patres occidentales præterimus, Irenæum Dei sacerdotem et Lugdunensium episcopatum nactum, et Hippolytum ipsius discipulum et inter pontifices martyrem, viros mirandos quidem in plurimis, interdum tamen ab exactissima veritatis norma alicubi deflectentes.

οϛ'. Ἆρ' οὖν κατὰ τούτων ἁπάντων τὸ σὸν προκομίσεις διλήμματον καὶ τὰς ὀφρῦς ἀνατείνων ἐρεῖς· Ἢ δεῖ τοὺς ἄνδρας τιμῶντα καὶ ἃ τούτοις

D 76. An igitur et contra hos omnes tuum objicies dilemma elatoque supercilio dices: « Aut oportet hos viros honore prosequi et quæ fuerunt ab ipsis

(1) Laur. Κλημεντεῖα.

Digitized by Google Распознавание текста ABK/FR

scripta non rejicere, aut si nonnulla eorum verba rejicimus, illos ipsos simul respuere debemus? Et quomodo non potius atque æquius tuum hoc ingeniosum argumentum isti in te retorquebunt, dicentes: Quid ea conjungis, o homo, quæ conjungi sequeunt? Si vero nos Patres nuncupas, quomodo non exhorrescis arma in Patres sumere, quodque est gravissimum, in ipsum communem omnium Dominum atque Conditorem? Si autem semel petulantia adversum nos uti decrevisti, quomodo non luculente insanis, dum Patres nos simul vocas et parricidiales in nos intendis manus? et quot adhuc aliis modis tuum hoc sophisma converti adversum te posset!

γέγραπται μὴ παραγράφεσθαι, ἢ παραγραφομένους τῶν ῥημάτων ἕνια καὶ αὐτοὺς ἐκείνους συμπαραγράφεσθαι; Καὶ πῶς οὐχὶ μᾶλλον καὶ δικαιότερον τὸ σὸν οὗτοι κατὰ σοῦ περιδέξιον οὐκ ἀντιστρέψουσιν, Ἄνθρωπε, λέγοντες, τί συνάπτεις τὰ ἀσύναπτα; Εἰ μὲν ἀληθῶς Πατέρας ἡμᾶς καλεῖς, πῶς οὐ φρίττεις ἀνθοπλίζειν κατὰ Πατέρων, καὶ τὸ βαρύτατον, κατὰ τοῦ κοινοῦ Δεσπότου πάντων καὶ Δημιουργοῦ; Εἰ δ' ἅπαξ ἐνασελγαίνειν σπουδαιμά σοι καθ' ἡμῶν, πῶς οὐ μέμηνας ἐμφανῶς Πατέρας τε ἅμα καλῶν καὶ τὰς πατραλοίας χεῖρας ἐπανατείνων ἡμῖν,

REFUTATIO.

XXVIII. Verus pietatis patronus simplicem quamdam et artificio carentem defensionis suæ facit inductionem, minime more tuo artificiose et contorte elaboratam. Et nunc quoque, ut refugium Romanorum ad prædictos sacrosanctos viros inane et infirmum ostendas, qui ex Patre et Filio dicunt Spiritum sanctum, ejusdem virtutis verba eos proferre asseveras, cujus erant verba præconis universi orbis atque arcanorum contemplatoris Pauli, quando aram Athenis Pani dedicatam homo egregius ac cœlestis veluti omnium Creatori ac Deo dedicatam putabat et inscriptionem *Ignoto Deo* materiam suæ disputationis assumebat. Et hæc dicens non horrescis? Nequaquam enim quia Paulus Panis aram nominavit aram veri Dei, tantum dices differre id quod ab Ecclesiæ nostræ luminibus ac doctoribus de processione Spiritus sancti traditus ab eo quod Augustinus atque Ambrosius de ea dicunt, quantum verus Deus ab illo Panis simulacro differt. Dixit Paulus: *Præteriens et videns simulacra vestra inveni et aram, in qua scriptum erat: Ignoto Deo. Quem igitur ignorantes colitis, hunc ego annuntio vobis.* Hæcque Pauli verba recte faciens tu nos dogmata facere vetas, quoniam nequiquam quia Paulus inimici armis inimicum prostravit, inimici arma honore prosequenda et divina arma appellanda sunt. Probandus mihi videtur sermo et nihil pietati contrarium. Dixit et Augustinus atque Hieronymus ex Patre et Filio Spiritum procedentem; dixerunt nostræ Ecclesiæ doctores ex Patre per Filium procedentem Spiritum. Quid igitur jubes? An ut in diversas partes theologicas dictiones *ex Filio* et *per Filium* secernamus, et ita ab invicem hæc dicta differre statuamus, quo pacto differt Deus a Paulo prædicatus ab eo, qui ab Atheniensibus Deus putabatur? At Patres nostri dixerunt ex Patre per Filium procedentem nobisque regulam tradiderunt, nihil differre in theologia præpositiones *ex* et *per*, atque rursum ex Patre et Filio Spiritum profundi et prodire docuerunt, nullamque differentiam quoad Spiritum agnoverunt inter voces procedendi et progrediendi,

(1) Cod. οἶμαι.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΗ'. Ὁ τῆς εὐσεβείας ἀληθὴς ὑπερήγορος ἁπλῆν τινα ποιεῖται καὶ ἀπερίεργον τῆς ὑπερηγορίας αὐτοῦ τὴν εἰσήγησιν, οὔμενουν πρινενοημένην κατὰ σὲ καὶ περίεργον· καὶ νῦν γάρ, ἵνα τὴν εἰς τοὺς εἰρημένους ἱεροὺς καὶ ἁγίους ἄνδρας καταφυγὴν τῶν Ῥωμαίων ματαίαν ἀποδείξῃς καὶ ἀσθενῆ, τοὺς ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα λέγοντας ἐκπορεύεσθαι τοιαύτης δυνάμεως ῥήματα λέγειν ἐμφαίνεις, οἵασπερ ἦσαν τὰ τοῦ κήρυκος τῆς οἰκουμένης καὶ τῶν ἀπορρήτων θεωροῦ Παύλου, ὅταν τὸν ἐν Ἀθήναις ἀνειμένον βωμὸν τῷ Πανὶ ὁ περιδέξιος ἐκεῖνος καὶ οὐράνιος ἄνθρωπος ὡς τῷ πάντων Ποιητῇ καὶ Θεῷ ἀνειμένον ἠγήσατο τὴν τοῦ ἀγνώστου Θεοῦ ἐπιγραφὴν ὕλην τῆς αὐτοῦ σπουδῆς ποιησάμενος. Καὶ ταῦτα λέγων οὐ φρίττεις; Μὴ γὰρ ὅτι τὸν τοῦ Πανὸς βωμὸν ἀληθινοῦ Θεοῦ βωμὸν ὁ Παῦλος ἐκάλεσε, τοσούτῳ διαφέρειν ἐρεῖς τὸ παρὰ τῶν τῆς ἡμετέρας Ἐκκλησίας φωστήρων καὶ διδασκάλων περὶ τῆς τοῦ Πνεύματος εἰρημένον προόδου πρὸς τὸ παρὰ Αὐγουστίνου καὶ Ἀμβροσίου εἰρημένον περὶ αὐτῆς, ὅσην ὁ ἀληθινὸς Θεὸς πρὸς τὸν Πᾶνα ἔχει διαφοράν. Εἶπεν ὁ Παῦλος· *Διερχόμενος καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο· Ἀγνώστῳ Θεῷ· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν* (1). Καὶ τὰ τοῦ Παύλου ῥήματα ταῦτα καλῶς ποιῶν σὺ δόγματα ἡμᾶς ἀπαγορεύεις (2) ποιεῖν, ἐπεὶ μὴ διότι Παῦλο; τοῖς ὅπλοις τοῦ ἐχθροῦ καθεῖλε τὸν ἐχθρὸν, τὰ τοῦ ἐχθροῦ ὅπλα τιμᾷν δεῖ καὶ θεῖα ὅπλα καλεῖν· καὶ δεκτὸς ὁ λόγος δοκεῖ μοι καὶ οὐδὲν ἀντίξουν πρὸς τὴν εὐσέβειαν. Εἶπε καὶ Αὐγουστῖνος καὶ Ἱερώνυμος ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον· εἶπον οἱ τῆς καθ' ἡμᾶς Ἐκκλησίας διδάσκαλοι ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον. Τί οὖν κελεύεις; εἰς διάφορα μέρη τὴν ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ θεολογίαν διαστήσομεν, καὶ οὕτω τε διαφέρειν ἀλλήλων τὰ ῥητὰ ταῦτα νομοθετήσομεν, ὡς ὁ παρὰ Παύλου κηρυττόμενος Θεὸς τοῦ νομιζομένου παρ' Ἀθηναίοις; Ἀλλ' οἱ Πατέρες ἡμῶν ἐκ Πατρὸς δι' Υἱοῦ εἰρηκότες τὸ Πνεῦμα ἐκπορευόμενον καὶ κανόνα παραδόντες ἡμῖν τοῦ μηδὲν ἐπὶ τῆς θεολογίας διαφέρειν τὴν *διὰ* καὶ τὴν *ἐκ*, καὶ πάλιν ἐκ Πατρὸς καὶ Υἱοῦ προερ-

(2) Cod. ἀναγορεύεις.

Digitized by Google Распознавание текста ABK/FR

γόμενον τὸ Πνεῦμα θεολογήσαντες καὶ μηδεμίαν ἐπὶ τοῦ Πνεύματος εἰπόντες διαφορὰν τοῦ *ἐκπορεύεσθαι* καὶ (τοῦ) *προέρχεσθαι*, ὡς οὐδ' ἐπὶ τοῦ Υἱοῦ τὸ προέρχεσθαι καὶ (τὸ) γεννᾶσθαι, τὰς τοιαύτας καταργήσει διαφορὰς· καὶ καλῶς ἂν ἐποίεις καὶ σὺ, εἴπερ μὴ περιττὰ τὴν ἀλήθειαν ἐσοφίζου. Ὅτι δὲ παράγων τὸν Ἀλεξανδρείας Διονύσιον καὶ Μεθόδιον Πατάρων καὶ τὸν δεῖνα καὶ δεῖνα ἔσθ' ὅτε τῆς ἀκριβείας παρασυρέντας ἀξιοῖς οὕτω ἡγήσασθαι καὶ Ἀμβρόσιον, Αὐγουστῖνόν τε καὶ Ἱερώνυμον τὴν ἐκ τοῦ Υἱοῦ θεολογῆσαι ἐκπόρευσιν· ἀλλ' ἐνταῦθα (1) οὐκ ἀληθεύων οὕτω φανήσῃ· ὧν γὰρ ἁγίων ῥήσεις τινὰς οὐκ ἀποδεχθῆναι τῇ Ἐκκλησίᾳ ἔφης, ἐπισημανθῆναι πάντως αὐτὰς ἐν ταῖς ἐκκλησιαστικαῖς βίβλοις οἱ τὸ ἐκκλησιαστικὰ ἱστοροῦντες ἴσασι, κἀντεῦθεν τὸ παρασυρῆναι τῆς ἀκριβείας ἐκείνους γέγονε δῆλον. Εἰ γοῦν καὶ τοὺς ῥηθέντας Πατέρας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας παρασυρῆναι τῆς ἀκριβείας διέγνων οἵ τε ἄλλοι τῆς Ῥωμαϊκῆς Ἐκκλησίας Πατέρες, οὓς πολλοὺς καὶ μεγάλους ὁ τότε χρόνος ἀνέδειξεν, οἵ τε τῆς ἡμετέρας Ἐκκλησίας φωστῆρες, οἷς (2) ἡ τῶν Ἐκκλησιῶν τότε ἠσπάζετο ἕνωσις, οὐκ ἂν ποτε παρεῖδον ἀνεπισήμαντον τὸ οὕτω γεγονὸς ἀξιοζήτητον ὕστερον (σφάλμα) (3).

A sicut neque quoad Filium inter voces *progredi* et *generari*, ejusmodi effictas differentias ad nihilum redigunt. Et bene sane fecisses et tu, si non inania sophismata contra veritatem construxisses. Adducis autem Alexandrinum Dionysium et Patarensem Methodium et talem et talem, qui aliquando ab accurata theologicarum rerum notitia exciderint, et statuendum esse præcipis, eodem quoque pacto Ambrosium, Augustinum atque Hieronymum processionem ex Filio docuisse. Sed haud vera dicens exinde manifesteberis. Quorum enim Sanctorum dicta quædam Ecclesiam non recepisse dicis, ea omnia in ecclesiasticis voluminibus obsignata norunt, qui res ecclesiasticas pertractant, indeque eos ab accurata rerum notitia excidisse innotuit. B Si itaque et allegatos Romanæ Ecclesiæ Patres ab accurata theologica notitia deflexisse cognovissent tum alii ejusdem Romanæ Ecclesiæ Patres, quos plurimos et summos ea ætas tulit, tum Ecclesiæ nostræ lumina ac doctores, qui id temporis Ecclesiarum unionem exosculabantur et amplectebantur, non neglexissent, sed scripto consignassent postmodum nobis enatum dignissimum vere qui sciretur errorem (*a*).

KEIMENON.

Ἀλλὰ γὰρ ὥσπερ τοὺς εἰρημένους Πατέρας, οὕτω δὴ καὶ ταῦτα ἐῶμεν τὰ νῦν.

οζ'. Τὴν μέντοι βασίλειον στολὴν, τὸν μέγαν Βασίλειον τίς οὐκ οἶδε ψυχῆς μὲν θαλάμοις ἀκήρατον συντηροῦντα τὴν εὐσέβειαν, ὑποσιγῶντα δὲ τοῦ Πνεύματος τὴν θειότητα; Ὦ ψυχῆς θεῖον ζεούσης φίλτρον, τὴν φλόγα δὲ τέως οὐκ εἰς τὸ λαμπρότερον ἀναῤῥιπιζούσης, ἵνα μὴ θᾶττον συναποσβεσθῇ αὐτῇ προδόξῳ καὶ αὐτῇ παῤῥησίας λαμπρόπτυτι! Οὗτος οὖν οἰκονομῶν ἐν χρίσει τοὺς λόγους αὐτοῦ καὶ μᾶλλον ἀνακηρύττεσθαι τῇ κατὰ μικρὸν ἐπιδόσει μεθοδεύων τὴν εὐσέβειαν. Ἐπειδὰν γὰρ ἠρέμα ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐμβαθύνοιτο, κραταιοτέρα τοῦ δόγματος ἡ φλὸξ ἀναδίδοται· τῷ τάχει δὲ καὶ τῇ ἀθρόᾳ προσβολῇ τῆς λαμπηδόνος πολλάκις τὸ νοερὸν ὄμμα, καὶ μάλιστα τῶν πολλῶν, ἐξαμαυροῦσθαι εἴωθε, καθάπερ καὶ ἀστραπὴ τὰς ὄψεις ἐπισκοτίζει, καὶ μάλιστα τὰς ἀσθενέστερον διακειμένας. Διὰ τοῦτο σιγᾷ μὲν ὃ πρὸ παντὸς ἄλλου κηρύσσειν ἐπυρπολεῖτο· ἔπραττε δὲ τὴν σιγὴν ὥστε μᾶλλον καιροῦ παρόντος μεγαλοφωνότερον ἔχειν τὸ σιωπώμενον κηρύσσειν. Πολύστιχον ἂν συνθείη βιβλίον, εἴ τις τῶν τοιούτων τὰ ὀνόματα καὶ τὰς αἰτίας, δι' ἃς πολλάκις τὸ τῆς ἀληθείας οὐ προσῆγον ἄνθος, ὡς ἂν αὐτό τε τὸ ἄνθος ὡραῖον εὐανθήσῃ, ἥ τε βλάστησις ἐπιδοίη μᾶλλον καὶ τὸν καρπὸν συλλέξωσι πολυπλάσιον, γραφῇ παραδοῦναι βουληθείη· Ἀλλ' ἐκείνους μὲν ἀγάμεθα καὶ τῆς ὑπὲρ λόγον ἐπινοίας καὶ τῆς ἐν σοφίᾳ οἰκονομίας· εἰ δέ τις τὰ τοιαῦτα ὡς νόμους καὶ δόγματα παρεισάγειν τῇ Ἐκκλησίᾳ βιάζοιτο, ἐχθρὸν μὲν αὐτὸν τῶν ἁγίων ἡγούμεθα,

TEXTUS.

Verum quemadmodum memoratos Patres, ita et hæc in præsenti missa faciamus.

77. Cæterum regium illum amictum, magnum, inquam, Basilium quis ignorat in penitioribus animæ thalamis puram atque intemeratam conservasse pietatem, Spiritus tamen divinitatem subticuisse? O animam divino amore æstuantem, sed flammam non in propatulum efflantem, ne ocius in ipso ortu ipsoque libertatis fulgore extinguatur! Hic igitur disponens sermones suos in judicio ac sedulo procurans, ut paulatim crescendo et per partes instillata firmius veritas in cordibus stabiliretur. Quando enim fuerit sensim in hominum animis insinuata, validior flamma dogmatis excitatur; celeritate vero subitaneaque impressione fulgoris sæpe mentalis oculus, præsertim rudiorum, offuscari solet, quemadmodum et fulgur lumen oculorum obtundit, maxime imbecilliorum. Ideo silet quidem, quod præ alio quolibet prædicare ardentissime expetebat, silentium C tamen adhibebat, ut tempore opportuno validiori D voce id quod siluerat prædicare posset. Ingens vero volumen componeret, si quis litteris mandare vellet istorum nomina et causas, ob quas sæpe veritatis non propalabant florem, ut et ipsi flos venustius effloresceret, et germen firmius cresceret, fructumque uberiorem colligerent. Verum illos quidem admiramur et commendamus tum ob cœlestem quo docebantur afflatum, tum ob sapiens provide disponendi consilium; si quis autem hæc ut leges et dogmata in Ecclesiam invehere conaretur,

(1) Hæc quæ sequuntur eodem fere modo reperies Or. I de un. Eccl., n. 46, G. O. I. p. 170.

(2) Becc. Or. de un. l. c. οὓς ἡ τ.

(3) Cod., τὸ οὕτω γεγονὸς ἀξιοζήτητον ὕστερον. Becci l. c. τὸ οὕτω γεγονὸς ἡμῖν ὕστερον ἀξιοζήτητον σφάλμα.

(*a*) Hæc postrema ex Allatii versione.

Digitized by Google Распознавание текста ABK/FR

illum sane hostem Sanctorum censeremus et inimicum veritatis et pietatis destructorem, pœnisque condemnaremus, quas ipse sibi reatu ejusmodi accersivit.

78. Objicis Occidentales Patres, imo altam istam caliginem universo orbi effundere contendis? Ego vero pietatis lucem occasui non obnoxiam et spiritalem ab ipso tibi accendam Occidente, ad cujus splendorem non poterit tua caligo non evanescere. *Dixit Ambrosius Spiritum a Filio procedere.* De tuo ore caligo hæc procedit. Sed reluctatur radios rectæ fidei emittens ter beatus Damasus, et confestim tua evanescit obscuritas. Etenim hic secundam synodum, cujus dogmata extremi telluris universæ termini venerantur, confirmans luculente profitetur ex Patre procedere Spiritum. *Dixit Ambrosius vel Augustinus.* Alia rursus caligo, quam lingua tua profundit. Sed Cœlestinus non dixit, non audivit, non admisit, sed luce rectæ fidei fulgens verborum tuorum dissipat nebulas.

79. Sed quid opus est in aliis immorari? Leo magnus, qui sacratas Romæ curas sanctiores adhuc demonstravit, quartæ columna synodi, tum per suas a Deo inspiratas dogmaticasque epistolas, tum per legatos, qui ejus locum obtinebant, tum per consensum suum, quo magnum illum et a Deo collectum cœtum illustrabat, eamdem orthodoxiæ illustrationem non in totum tantummodo Occidentem, verum et in Orientis terminos effundens sanctissimum Spiritum ex Patre procedere clarissima voce docet; neque id solum, sed et eos, qui quidquam aliud præter synodi sententiam statuere ausint, si sacerdotio fungantur, sacerdotio exutos pronuntiat, si vero idiotarum locum teneant, sive vitæ monasticæ sese addixerint sive plebis negotiis implicentur, anathemati subjicit. Etenim quæ ea synodus a Deo inspirata decrevit, divinus hic Leo per Paschasinum, Lucentium atque Bonifacium sanctos viros palam obsignat, ut sexcenties ex ipsis illis audire licet, non vero ex ipsis duntaxat, sed et ex eo qui illos miserat. Namque synodales epistolas mittens suorum locum tenentium et sermones et sententiam et vota non eorum, sed suimetipsius esse contestatur et confirmat. Quanquam, etiamsi nihil ejusmodi adesset, sufficit tamen, quod pro se illos miserit in synodo consessuros, quodque ad finem perducta synodo se sanctis acquiescere profiteatur.

80. Verum præstat ipsamet sacra audire verba. Dicit enim (synodus) post expositionem fidei, quam prima et secunda synodus stabiliens tradidit: « Sufficeret igitur ad plenam pietatis cognitionem et confirmationem sapiens et salutare hoc divinæ gratiæ symbolum. » Perfectam dicit seu plenam, non autem deficientem, cui aliquid addere aut

A ἐχθρὸν δὲ τῆς ἀληθείας καὶ λυμεῶνα τῆς εὐσεβείας, καὶ δίκαις καταδικάζομεν, ἃς αὐτὸς ἑαυτῷ γεγονὼς ἔνοχος παρέσχε.

οη'. Προκομίζεις σὺ σοὺς ἐκ Δύσεως Πατέρας, μᾶλλον δὲ τὸν βαθὺν τοῦτον ζόφον πάσης φιλονεικίας καταχέαι τῆς οἰκουμένης. Ἐγὼ δέ σοι φῶς ἀνίσπερον τῆς εὐσεβείας καὶ νοερὸν ἀπ' αὐτῆς ἀνάψω τῆς Δύσεως, οὗ τὴν λαμπηδόνα τὸ σὸν οὐχ ὑποστήσεται μὲν ἀφανισθῆναι σκότος. Εἶπεν Ἀμβρόσιος τὸ Πνεῦμα τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Ἀπὸ τῆς σῆς αὕτη γλώττης προέρχεται ἡ ὁμίχλη. Ἀλλ' ἀντιφθέγγεται τὴν ὀρθοδοξίαν ἀστράπτων ὁ τριαλβὶς Δάμασος· καὶ θᾶττον ὁ σὸς ἐξαφανίζεται γνόφος. Καὶ γὰρ οὗτος τὴν δευτέραν σύνοδον, ἧς τὰ πέρατα B τῆς οἰκουμένης τὰ δόγματα στέργουσι, κυρῶν, λαμπρῶς ὡς ἐκ τοῦ Πατρὸς ἀνομολογεῖ ἐκπορεύεσθαι τὸ Πνεῦμα. Εἶπεν Ἀμβρόσιος ἢ Αὐγουστῖνος. Ἄλλη πάλιν ἀχλὺς τοῦ σοῦ στόματος προχεομένη. Ἀλλὰ Κελεστῖνος οὐκ εἶπεν, οὐκ ἤκουσεν, οὐκ ἠβούλετο, ἀλλ' αὐγὴν ὀρθοδοξίας ἀστράψας τῶν σῶν ῥημάτων τὴν ἀχλὺν διασκεδάζει.

οθ'. Καὶ τί με δεῖ περὶ τῶν ἄλλων σχολάζειν; Λέων ὁ μέγας, ὁ τὰς ἱερὰς τῆς Ῥώμης φροντίδας ἱερωτέρας ἀποδείξας, ὁ τῆς τετάρτης στῦλος συνόδου, οὗτος διά τε τῶν θεοπνεύστων αὐτοῦ καὶ δογματικῶν ἐπιστολῶν, διά τε τῶν ἀναπληρούντων αὐτοῦ τὸ προνόμιον, διά τε τῆς συμφωνίας, δι' ἧς ἐκείνην τὴν μεγάλην καὶ θεόλεκτον ὁμήγυριν κατηγλάϊζε, τὴν αὐτὴν τῆς ὀρθοδοξίας φωτοχυσίαν εἰς πᾶσαν οὐ C τὴν Δύσιν μόνον, ἀλλὰ καὶ τὰ τῆς Ἀνατολῆς ἀπαυγάζων ὅρια, τὸ πανάγιον Πνεῦμα διαπρυσίως ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι ἀναδιδάσκει· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὺς ἕτερόν τι παρὰ τὸ τῆς συνόδου φρόνημα δογματίζειν ἀντανισταμένους, ὅσου μὲν ἱερωσύνης βαθμὸς ἔχει, τῆς ἱερωσύνης γυμνοῖς ἀποφαίνει, ὅσοι δὲ τὴν ἰδιωτῶν χώραν πληροῦσιν, εἴτε βίον ὑπέδραμον τὸν μονάδα, εἴτε πολιτείᾳ συνετάζονται δήμου, τῷ ἀναθέματι παραπέμπει. Καὶ γὰρ ἅπερ ἡ θεόπνευστος σύνοδος ὁρίζει, Λέων ὁ θεσπέσιος διὰ Πασχασίνου καὶ Λουκησίου καὶ Βονιφατίου τῶν ἱερῶν ἀνδρῶν ἀναφανδὸν ἐπισφραγίζει, ὧς μυριάκις ἔστιν αὐτῶν ἐκείνων ἀκούειν, οὐκ αὐτῶν δὲ μόνον, ἀλλὰ καὶ τοῦ ἀπεσταλκότος αὐτούς· καὶ D γὰρ συνοδικὰς ἐπιστολὰς ἐπιστέλλων τῶν τοποτηρητῶν αὐτοῦ καὶ τοὺς λόγους καὶ τὸ φρόνημα καὶ τὰς ψήφους οὐκ ἐκείνων ἢ αὐτοῦ γε μᾶλλον εἶναι καὶ μαρτύρεται καὶ διαβεβαιοῦται· καίτοι γε καὶ εἰ μηδὲν προσῆν τοιοῦτον, ἀποχρώντως ἔχει τὸ ἐντ' αὐτοῦ δοῦναι τοὺς συνεδριάσαντας τῇ συνόδῳ καὶ τὸ πέρας λαβούσης ὁμολογεῖν ἐμμένειν τοῖς ἐψηφισμένοις.

π'. Ἀλλὰ γὰρ οὐδέν ἐστιν οἷον αὐτῶν τῶν ἱερῶν ἀκούειν ῥημάτων· λέγει γὰρ μετὰ τὴν ἔκθεσιν τῆς πίστεως, ἣν ἡ πρώτη καὶ δευτέρα σύνοδος καρτύνουσα παραδέδωκεν· « Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσιν καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον. » Ἐντελῆ φησιν, οὐκ ἐλλιπῆ, οὐδὲ προσθήκης δεομένην ἤ

Digitized by Google Распознавание текста ABK/ER

ἐφαιρέσεως. Καὶ πῶς ἐντελῆ; Τοῖς ἑπομένοις πρόσεχε. « Περί τε γάρ, » φησί, « τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον. » Εἶτα πῶς ἐκδιδάσκει τὸ τέλειον; Τὸν μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς ἀναβοᾷ γεννηθῆναι, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Καὶ μετ' ὀλίγα· « Καὶ διὰ μὲν τοὺς τῷ Πνεύματι τῷ ἁγίῳ μαχομένους τὴν χρόνοις ὕστερον παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως ἑκατὸν πεντήκοντα συνελθόντων Πατέρων περὶ τῆς τοῦ Πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ. » Καὶ πῶς ἐκύρωσαν οὗτοι τὴν τοῦ Πνεύματος οὐσίαν, ἢ ὅλως εἰπόντες τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι; Ὥστε ὁ ἄλλο τι παρὰ τοῦτο διδάσκων τὸ κῦρος ἀνατρέπει καὶ συγχεῖ καὶ φύρει, τό γε ἧκον εἰς τόλμαν τὴν αὐτοῦ, αὐτὴν τοῦ Πνεύματος τὴν οὐσίαν. Εἶτα, « διὰ τοὺς τῷ Πνεύματι τῷ ἁγίῳ μαχομένους. » Καὶ τίνες ἐμάχοντο; Πάλαι μὲν οἱ Μακεδόνιον ἀντὶ τῶν ἀχράντων λογίων διδάσκαλον σφίσιν αὐτοῖς ἀνειπόντες· νῦν δὲ οἱ ἀντὶ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ μυσταγωγίας· ἀλλ' οὐκ ἔχω τίνα καλέσω· οὕτως ἐστὶν αὐτῶν ἀκέφαλον τὸ δυσσέβημα· πλὴν ἀντὶ τοῦ Σωτῆρος οἱ τῇ ἀπωλείᾳ προσδεδραμηκότες. Ἀλλὰ ταῦτα μὲν ἡ τε σύνοδος πολυγλώσσῳ καὶ πνευματοκινήτῳ φθέγγεται φωνῇ, καὶ Λέων ὁ πάνσοφος συναναβοᾷ καὶ ψήφοις ἁπάσαις ἐπασφαλίζεται. Σὺ δὲ τὸν νοῦν ἐπίστησον τοῖς ἑφεξῆς· πρὸς γὰρ τῷ τέλει τῆς ὅλης τοῦ λόγου περικοπῆς ὧδέ φησι· « Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος » (ἧς δηλονότι κορυφαῖος Λέων ὁ βασιλικὸν καὶ τὸν νοῦν καὶ τὰ ῥήματα κεκτημένος). Τί ὥρισεν; « Ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν ἢ διδάσκειν ἑτέρους· τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ Ἑλληνισμοῦ ἢ ἐξ Ἰουδαϊσμοῦ ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι αὐτούς. »

demere opus sit. Et quomodo perfectam? His quæ sequuntur animum adverte. « De Patre enim, » inquit, « et Filio et Spiritu sancto perfectum edocet. » Et quomodo docet perfectum? Videlicet Filium ex Patre generari clamat, Spiritum vero ex Patre procedere. Et post pauca : « Propter eos qui contra Spiritum sanctum pugnabant sententiam olim a centum quinquaginta Patribus, qui in regia urbe convenerunt, de Spiritus sancti essentia traditam confirmat. » Et quomodo isti Spiritus sancti essentiam constituerunt? Nimirum ubi dixerunt Spiritum a Patre procedere. Quamobrem qui aliud quidpiam præter hoc docet, abrogat et confundit et pervertit, quantum quidem ad suam audaciam attinet, ipsammet Spiritus essentiam. Deinde expende verba illa, « propter eos qui contra Spiritum sanctum pugnabant. » Et quinam hi erant? Olim quidem qui Macedonium loco sanctarum Scripturarum sibi ipsis magistrum constituerunt; nunc vero, qui loco Christi sacræque illius institutionis — at non habeo quem nominem; adeo est capite destituta ipsorum impietas — qui, inquam, loco Christi ad perditionem confugiunt. Atque hæc quidem sancta synodus multilingui et a Spiritu sancto acta voce proloquitur, Leoque sapientissimus una cum illis prædicat calculisque omnibus confirmat. Tu vero mentem iis quæ sequuntur adhibe; versus finem namque totius sermonis pericopes ista dicit : « His igitur cum omni atque undique exacta cura et diligentia a nobis dispositis definivit sancta et œcumenica synodus » (cujus videlicet præses erat Leo regium revera et animum et sermonem nactus). Quid definivit? « Alteram fidem nulli licere proferre vel conscribere aut componere aut sentire aut alios docere, eos autem qui audent componere fidem alteram aut proferre aut docere aut tradere alterum symbolum volentibus ad agnitionem veritatis converti sive ex paganismo sive ex Judaismo sive ex hæresi quacunque, hos, si episcopi fuerint aut clerici, alienos esse episcopos ab episcopatu et clericos a clero, si vero monachi aut laici fuerint, anathematizari. »

ΑΝΤΙΡΡΗΣΙΣ.

ΚΘ'. Εὖγέ σοι, ἄνθρωπε, ὅτι τὸν μέγαν Βασίλειον θαλάμοις ψυχῆς ἀκήρατον συντηροῦντα ὁμολογεῖς τὴν εὐσέβειαν καὶ ψυχὴν αὐτὸν λέγεις θεῖον ζέουσαν φίλτρον. Καὶ εἰ ταῦτά γε ἀληθῆ, πάντως δὲ ἀληθῆ, οὐκέτι σοι ἐξέσται αἱρεσιν καὶ ἀσέβειαν τῶν Ῥωμαίων κατηγορεῖν, τοῦ μεγάλου Βασιλείου διαῤῥήδην θεολογοῦντος ἐν τῷ τρίτῳ τῶν κατὰ Εὐνομίου ἀντιῤῥητικῶν τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ ἔχον τὸ εἶναι καὶ παρὰ τοῦ Υἱοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον. Τί δέ σοι τὸ ὄφελος ἀλλήλοις τοὺς Πατέρας ἀνταγωνιστῶντι, ὥσπερ εἰ ἐναντία ἦσαν ἀλλήλοις, τεθεολογηκότες; Τὸ γὰρ εἰπεῖν τὸν δεῖνα καὶ δεῖνα τῶν ἁγίων καὶ τὸν τῆς Ῥώμης θρόνον ἀρχιερατικῶς κοσμησάντων ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ-

REFUTATIO.

XXIX. Bene tibi sit, o homo, quod magnum Basilium mentis thalamis inteneratam conservasse pietatem fateris et animam eum vocas divino amore æstuantem. Et si hæc quidem vera, sunt autem omnino vera, non amplius tibi licebit hæreseos et impietatis accusare Romanos, eum magnus Basilius diserte tradat libro tertio contra Eunomium, Spiritum a Filio habere exsistentiam, a Filio accipere et annuntiare nobis et omnino connexum esse cum illa causa. Quid vero tibi prodest, si Patres sibimetipsis contraponis, quasi contraria sibi docuerint? Quod enim talis et talis sanctorum atque eorum, qui Romanam sedem exornarunt, pontificum ex Patre Spiritum sanctum procedere dixerunt, verum est atque in con-

Digitized by Google Распознавание текста АВК/FR

fesso, et anathema eos feriet, qui non ita sentiunt, et quidem quam justissime ; sed verum etiam est et non minus in confesso positum, ex Patre per Filium ipsum procedere ; verum quoque est nihil differre ex Patre per Filium eum esse et ex ambobus esse, et quia vera hæc omnia et secum cohærentia, mendax est qui Patres modo hac modo illa ratione loquentes sibi invicem contraponit ; atque propterea frustra etiam tu in præsentibus pandis illa verba : *Definivit sancta et œcumenica synodus, cujus præses erat papa Leo, aliam fidem nemini licere proferre*, et quæ sequuntur, quasi alienæ protinus fidei inventores et inductores exinde arguens Romanos. Neque enim qui ex Patre Filioque dicit Spiritum aliam fidem habet quam ille qui ex Patre eum dicit simul ; namque cum Patre intelligitur Filius, licet non simul enuntiatus, et simul enuntiatur utpote etiam simul intellectus.

A

B

TEXTUS.

81. Inspicite, cæci, et audite, surdi, qui in tenebris hæretici occasus sedetis, intentis aspicite oculis lucem Ecclesiæ perpetuo fulgentem, et intuemini strenuum Leonem, Spiritus tubam, quid per illum ebuccinet, audite, atque exhorrescite, si non alium quemquam, at saltem Patrem vestrum reveriti, imo potius per ipsum et cæteros, qui prioribus synodis acquiescentes inter eximios Patres recensentur. Tu Patres nominas Augustinum, Hieronymum et alios similes ; ac recte facis, non ob causam, propter quam illos allegas, sed quia tibi non gloriæ vertis paternum ipsorum nomen contemnere. Et sane si eousque tuum de Patribus artificium procederet, quanto esset imperfectius maleficium, tanto mitiorem pœnam exigeret. Inchoare enim impium consilium, illud vero ad finem nequaquam perducere, idem est atque resecare vehementiam sceleris, quod utique mitigat lenitque pœnæ rigorem. Larva Patrum, contra quos insolescis, territare nos tibi proposuisti. At Patrum cœtus, quos tnæ machinæ objicit pietas, Patres Patrum sunt ; neque enim inficias ibitis, etiam illorum hos esse Patres, quos vos pro Patribus habetis ; quod si id vos negetis, at illi certe non negabunt.

C

D

82. Considerate inclytum Vigilium et throno et gloria his æqualem ; quintæ hic quoque synodo assistebat, quæ œcumenicis æque sanctisque decretis claruit. Hic ergo quasi norma rectissima nihilque deflectens, rectis illius dogmatibus sese conformans, tum in cæteris consonas emittit voces, tum sanctissimum consubstantialemque Spiritum æquali cum vetustioribus necnon cum suæ ætatis Patribus similique zelo ex Patre procedere enuntiavit illosque, qui quidpiam aliud in ratione dogmatis præter unanimem et communem Catholico-

(f) Laur. ἀπαρέγκλιτος, ut Vat. et Allat.

πορεύσθαι ἀληθές ἐστι καὶ ὁμολογούμενον καὶ τοῖς μὴ οὕτω φρονοῦσιν ἐπακολουθήσει τὸ ἀνάθεμα πάνυ γε ἐνδικώτατα· ἀλλ' ἔστιν ἀληθὲς καὶ ὁμολογούμενον καὶ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι, ἔστι δὲ ἀληθὲς καὶ τὸ μηδὲν διαφέρειν ἐκ Πατρὸς δι' Υἱοῦ καὶ ἐξ ἀμφοῖν ὑπάρχειν αὐτό· καὶ ὅτι γε ἀληθῆ ταῦτα πάντα καὶ ἀλλήλων ἐχόμενα, ψευδής ἐστιν ὁ τοὺς νῦν μὲν οὕτω, νῦν δὲ οὕτω λέγοντας Πατέρας ἀλλήλοις ἀντανιστῶν, καὶ διὰ τοῦτο μάτην καὶ σὺ ἐν τοῖς παροῦσι καταστρωννύεις τὸ, *Ὅρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἧς κορυφαῖος ὁ πάπας ἦν Λέων, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν*, καὶ τὰ λοιπά· ὡς ἐντεῦθεν ἀλλοτρίας τάχα πίστεως εἰσηγητὰς τοὺς Ῥωμαίους ἐλέγχων. Οὐ γὰρ ὁ ἐκ Πατρὸς καὶ Υἱῷ λέγων τὸ Πνεῦμα ἄλλην ἔχει τὴν πίστιν παρὰ τὸν ἐκ Πατρὸς αὐτὸ λέγοντα· συνεπινεύεται γὰρ ὁ Υἱὸς τῷ Πατρὶ μὴ συνεκφωνούμενος, καὶ συνεκφωνεῖται ὅτε καὶ συνεπινεύμενος.

ΚΕΙΜΕΝΟΝ.

πα'. Ἐμβλέψατε οἱ τυφλοί, καὶ ἀκούσατε, οἱ κωφοί, οὓς τὸ σκότος κατέχει τῆς αἱρετικῆς ἐγκαθημένους δύσεως· ἐνατενίσατε πρὸς τὸ ἀείφωτον τῆς Ἐκκλησίας φέγγος, καὶ ἐμβλέψατε πρὸς τὸν γενναῖον Λέοντα, μᾶλλον δὲ τῆς τοῦ Πνεύματος, οἷα δι' αὐτοῦ σαλπίζει καθ' ὑμῶν, ἐνωτίσασθε σάλπιγγος· καὶ φρίξατε εἰ μή τινα ἄλλον δυσωπούμενοι, ἀλλά γε τὸν ὑμέτερον Πατέρα· μᾶλλον δὲ δι' αὐτοῦ καὶ τοὺς ἄλλους, οὓς ταῖς προλαβούσαις συνόδοις εὑρεστοῦντες εἰς τὸν χορὸν τῶν λογάδων Πατέρων ἐγγράφονται. Σὺ Πατέρας ὀνομάζεις Αὐγουστῖνον καὶ Ἱερώνυμον καὶ τοιούτους ἄλλους· καλῶς γε ποιεῖς, οὐκ ἐφ' οἷς καλεῖς, ἀλλ' ὅτι μὴ καὶ τὴν ἀθέτησιν τῆς πατρικῆς αὐτῶν ὀνομασίας σαυτῷ ποιεῖς σεμνολόγημα. Καὶ εἰ μέχρι τούτου τὸ περὶ τῶν Πατέρων σοι μηχάνημα προῆλθε, ὅσον ἦν ἀτελὴς ἡ κακουργία, τοσοῦτον ἂν μετριώτερον ἀπῄτει τὴν δίκην. Ἄρχειν γὰρ ἀσεβούσης γνώμης, εἰς τέλος δὲ μὴ ἐξάγειν ταύτην, περικόπτειν ἐστὶ τὴν σφοδρότητα τοῦ ἄγους· τὸ δὲ πραΰνει καὶ ἐξευμενίζεται τὸ ἀπαραίτητον τῆς δίκης. Πατράσι καθ' ὧν ἐνεστελγαίνεις μαρμαλύττειν ἡμᾶς ἔγνως. Ἀλλ' ὅ γε τῶν Πατέρων χορός, οὓς κατὰ τῆς σῆς μηχανῆς προβάλλεται ἡ εὐσέβεια, Πατέρες Πατέρων εἰσί· καὶ γὰρ ὅτι καὶ αὐτῶν ἐκείνων, οὓς νομίζετε Πατέρας, οὐκ ἂν ἀρνηθείητε· εἰ δέ γε ὑμεῖς, ἀλλ' οὐκ ἐκεῖνοι.

πβ'. Ἐννοήσατε τὸν ὁμόθρονον τούτοις καὶ τὴν δόξαν ἰσοστάσιον, τὸν κλεινὸν Βιγίλιον· τῇ πέμπτῃ μὲν καὶ αὐτὸς ἐφειστήκει συνόδῳ· οἰκουμενικοῖς δὲ καὶ αὐτὴ καὶ ἁγίοις ψηφίσμασιν ἐλλαμπρύνεται. Οὗτος οὖν οἷα δὴ κανὼν ἀπαρέγκλητος (f) τοῖς ὀρθοῖς αὐτῆς ἐναρμοζόμενος δόγμασι, τά τε ἄλλα συμφώνους ἀφίησι φωνάς, καὶ τὸ πανάγιον καὶ ὁμοούσιον Πνεῦμα τοῖς τε πρὸ αὐτοῦ καὶ τοῖς σὺν αὐτῷ Πατράσιν ἐν ἴσῳ καὶ ὁμοίῳ ζήλῳ ἐκ τοῦ Πατρὸς ἀνεκήρυξεν ἐκπορεύεσθαι, καὶ τοὺς, εἴ τι ἄλλο κατὰ λόγον δόγματος παρὰ τὴν ὁμόψηφον καὶ κοινὴν τῶν

εὐσεβούντων πίστιν προάγειν ἔλοιντο, τοῖς ἴσοις δε- A σμοῖς τοῦ ἀναθέματος ὑπηγάγετο.

πγ'. Ἴδοις δ' ἂν καὶ τὸν καλὸν καὶ ἀγαθὸν Ἀγάθωνα τοῖς αὐτοῖς ἀνδραγαθήμασι σεμνυνόμενον· καὶ γὰρ αὐτὸς τὴν ἕκτην σύνοδον (οἰκουμενικῷ δὲ καὶ αὐτὴ διαλάμπει ἀξιώματι), παρὼν, εἰ καὶ μὴ σώματι, γνώμῃ δὲ καὶ πάσῃ σπουδῇ, διὰ τῶν αὐτοῦ τοποτηρητῶν συνεκρότει τε ταύτην καὶ κατηγλάϊζε· δὼ τό τε σύμβολον τῆς εἰλικρινοῦς ἡμῶν καὶ καθαρᾶς πίστεως ἀπαρέλλακτον καὶ κατὰ τὰς προλαδούσας συνόδους ἀκαινοτόμητον συνετήρησε, καὶ τοὺς παρακινεῖν τι τῶν ἴσα δογματίζει θρασυνομένους, μᾶλλον τῶν ἐξ ἀρχῆς δογματισθέντων, ἐπισφραγίζων εἰς τὰς (1) ἴσας ἀρὰς ἀποῤῥίπτει.

ΑΝΤΙΡΡΗΣΙΣ.

Τοσοῦτον πρὸς τὸ ἀείφωτον τῆς Ἐκκλησίας ἐνατε- B νίζουσι φέγγος οἱ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα δοξάζοντες καὶ ἐξ ἀμφοῖν εἶναι ἀμολογοῦντες αὐτό, ὅσον οἱ ἐκ Πατρὸς λέγοντες ἐκπορεύεσθαι· καὶ μάτην κατὰ τῶν ἀδελφῶν ἐγχραίνεις αὐτὸς καὶ ῥήματα πλήρη πικρίας κατ' αὐτῶν ἀπεῤῥεύγῃ.

KEIMENON

πδ'. Πῶς δ' ἂν παρέλθοιμι σιγῇ τοὺς ἀρχιερέας Ῥώμης, Γρηγόριόν τε καὶ Ζαχαρίαν ἄνδρας ἀρετῇ διαπρέψαντας καὶ διδασκαλίαις θεοσόφοις τὸ ποίμνιον συναυξήσαντας, ναὶ δὴ καὶ θαυμάτων χαρίσμασι διαλάμψαντας (2); Καὶ γὰρ τούτων εἰ καὶ μηδέτερος οἰκουμενικοῖς προνομίοις ἀνηγμένῃ συνηδρίασε συνόδῳ, ἀλλ' οὖν λαμπρῶς τε καὶ περιφανῶς κατὰ μίμησιν ἐκείνων τὸ πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς θεολο- C γοῦσιν ἐκπορεύεσθαι· ὁ μὲν (3) μετὰ τὴν ἕκτην οὐ πολλοῦ ῥυέντος ἐνακμάσας χρόνου ὁ θεῖος Γρηγόριος· Ζαχαρίας δὲ ὁ θεσπέσιος πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ὕστερον ἔτεσιν· οἱ τὸ Δεσποτικὸν καὶ πατρικὸν δόγμα καὶ κήρυγμα ὡς ἐν ἀχράντῳ τῇ ψυχῇ καὶ καθαρᾷ θαλαμεύοντες παστάδι ἐκεῖθεν ἀκήρατον, ὁ μὲν τῇ Λατινίδι γλώσσῃ, ὁ δὲ τῇ Ἑλλάδι φράσει, Χριστῷ τῷ ἀληθινῷ Θεῷ καὶ νυμφίῳ τῶν ψυχῶν ἡμῶν διὰ τῆς εὐσεβοῦς (4) λατρείας τὸ ποίμνιον συνηρμόσαντο. Ἀλλ', ὥσπερ εἶπον, οὗτος ὁ σοφὸς Ζαχαρίας ἄλλα τε τῶν ἱερῶν γραμμάτων τοῦ ἱεροῦ Γρηγορίου καὶ τὰς ὡς ἐν διαλόγῳ τυπουμένας ὠφελείας διὰ τῆς Ἑλλάδος εἰς τὴν οἰκουμένην ἀπήχησε σάλπιγγος. Αὕτη τοίνυν ἡ θεοφόρος ξυνωρὶς πρὸς τῷ τέλει τοῦ δευτέρου τῶν διαλόγων (5), D ἡνίκα καὶ τῷ ἀρχιδιακόνῳ Πέτρῳ (ἀνὴρ δ' ἦν οὗτος

rum fidem producere auderent, eidem anathematis vinculo subjecit.

83. Videas vero bonum quoque probumque Agathonem iisdem recte factis gloriantem; nam et ipse sextam synodum, quæ itidem inter œcumenicas emicat, præsens, non corpore, sed animo omnique studio per suos legatos concelebrabat et collustrabat; ideo et symbolum sinceræ nostræ purœque fidei sine ulla variatione aut innovatione ad normam præcedentium synodorum conservavit illosque qui aliquid eorum, quæ ibi sanciuntur, imo potius ab initio sancita erant, audeant removere, ad diras æquales confirmans et obsignans rejicit.

REFUTATIO.

XXX. Non minus, imo eodem plane modo lucem Ecclesiæ perpetuo fulgentem inspiciunt qui ex Patre per Filium Spiritum censent procedere, et ex utroque eum esse fatentur, quam qui ex Patre dicunt procedere, et frustra contra fratres insurgis ipse et verba acerbitate redundantia contra eos eructaris.

TEXTUS.

84. Quomodo autem silentio præteream Romanos pontifices Gregorium et Zachariam, viros, qui et virtute claruerunt et divinæ sapientiæ doctrinis gregem suum auxerunt, imo et miraculorum donis effulserunt? Etenim licet neuter eorum in synodo œcumenica consideret, attamen palam et luculenter ad imitationem illorum sanctissimum Spiritum ex Patre procedere docuerunt. Et Gregorius quidem non multo post (6) sextam synodum floruit, Zacharias vero centum sexaginta quinque post annis (7); hinc traditum a Domino Patribusque dogma in animo tanquam in puro intemeratoque thalamo custodientes, inde illud integrum atque incorruptum, alter Latina lingua, alter sermone Græco (fidelibus populis exhibentes), Christo vero Deo et nostrarum animarum sponso per pium cultum gregem suum copularunt. Verum, ut jam dixi, hic sapiens Zacharias tum alia sacra scripta sancti Gregorii, tum utilissimas illas in modum dialogi concinnatas orationes per Græcæ linguæ tubam in orbem universum evulgavit (8). Hi duo igitur divini viri juxta finem secundi dialogi, quando et archidiacono Petro (vir autem hic erat Dei amans) dubitanti, cur exiguis et minutis san-

(1) 368 not. 14, Laur. ἐπισφραγίζον καὶ εἰς τάς.

(2) Hæc iisdem verbis allegaverat Malus l. c. p. XXV.

(3) Verba hæc ὁ μὲν — ἔτεσιν dedit et Malus, l. c.

(4) Cod. Colum. p. 308: εὐσεβούσης.

(5) L. II Dial., c. 38 (Migne, t. LXVI p. 203-204). Τί τοῦτο εἶναι λέγομεν, ὅπερ ἐν τοῖς τῶν ἁγίων μαρτύρων λειψάνοις θεωροῦμεν γινόμενον; πλεῖον γὰρ σχεδὸν εἰπεῖν, θαυματουργίαι ἐπιτελοῦνται ἐν τοῖς εὐκτηρίοις, ἐν οἷς λείψανα ἐπ' ὀνόματι αὐτῶν κατατίθενται, ἢπερ ἐν ᾧ τὰ τούτων κατάκεινται σώματα· πληρεστάτως μὲν οὖν κἀκεῖ τὴν τοῦ Θεοῦ χάριν εἶναι πιστεύομεν, ὡς καὶ ἐν τοῖς ἁγίοις αὐτῶν σώμασιν· ἐκεῖ δὲ μᾶλλον μεγάλα σημεῖα ἐπιδεικνύουσιν, ἔνθα ὅλῳ τῷ σώματι οὐ κατάκειται.

(6) Imo Gregorius M., cujus scripta hic citat Photius, ante concilium sextum floruit, post illud Gregorius II. Sæpe Græci Gregorium II, quem et ipsum Dialogum vocant, cum Gregorio I confundunt.

(7) Zacharias pontificatum tenuit ab an. 741 usque ad an. 752. Si hunc 165 annis post concilium VI vel post Gregorium II vixisse censet Photius, gravissime fallitur, minus vero, si 165 annis post Gregorium I (590-604.)

(8) Exstat Gr. versio Opp. Greg. t. IV, ed. Maur., Migne, Patrol. t. LXVI et LXXVII. Cf. Phot. Bibl. cod. 252.

Digitized by Google Распознавание текста АВК/FR

ctorum reliquiis potius quam integris (corporibus) miraculorum virtutes adsint, respondet, utrisque sane adesse divinam gratiam, magis autem operationem ostendi in exiguis reliquiarum frustulis; nam de integris nemo ambigit, quin sanctorum illorum sint, quorum dicuntur, et quin possint miraculis manare intuitu gloriosarum animarum, quæ in illis corporibus labores ac certamina sustinuerunt; non pauci autem infirmiorum exiguas illas spernunt particulas dubitando, ne forte illorum non sint sanctorum, quorum nominibus insigniuntur, neve sint eadem gratia et virtute præditæ; idcirco ubi dubium obtinere videbatur, ibi potius supra omnem spem supersubstantialis (personalis) et inexhaustus bonorum fons uberiora et majora effundit miracula. Prædictam igitur dubitationem alter, ut dixi, Latina lingua, alter Græca interpretatione, multis quoque aliis exhibitis explicationibus ubi solverunt, hæc verba paulo post subdunt: *Paraclitus Spiritus a Patre procedit et in Filio permanet.*

85. Sacram hanc doctrinam Joannes Baptista primus in lege gratiæ declaravit, ab ipso vero fidelium multitudo hausit et fides catholica perpetuo in ea gloriatur. Etenim ille homo propemodum superhumanus fontem vitæ atque immortalitatis, Dominum, universi orbis conditorem mundique expiatorem undis Jordanis baptizans cœlosque apertos intuens, prodigium prodigiis comprobatum, in specie columbæ sanctissimum Spiritum descendentem vidit; emisit autem vocem vera Verbi vox, dum hæc portenta vidit: *Vidit Spiritum tanquam columbam descendentem et manentem super ipsum.* Manet igitur descendens a Patre Spiritus super Filium, vel si mavis, in Filio; nullam enim hoc loco varietatem differentia casuum inducit. Et Isaias propheta cœlitus similia his vaticinans et vaticinium in Christi personam referens, *Spiritus Domini*, inquit, *super me, eo quod unxerit Dominus me.* Audisti aliquando inclytos illos Gregorium et Zachariam (hi enim forsan magis erunt appositi tuæ impudentiæ in verecundiam restituendæ), audisti, inquam, illos asserentes, Spiritum in Filio manere; et quomodo non inde confestim ad Pauli commigrasti vocem, quo dicit *Spiritum Filii sui?* Certe loco effingendi monstrosam processionem facile intellexisses merito dici Spiritum Filii, quoniam Spiritus manet in Filio. Mansio enim Spiritus in Filio causa non occulta nec nimium abstrusa fuerit, cur dicatur Spiritus Filii. Quid namque propius intelligendum exhibet illud, Apostoli testimonium, Spiritum manere in Filio, ac procedere a Filio? Imo et hæc ipsa comportatio

(1) Μὲν omitt. Col.
(2) Περὶ ταῦτα legit Col.
(3) Nota marginalis cod. Laurent. Ἕτερα ἀνθ' ἑτέρων παντάπασιν φθέγγῃ· οὐχ οὕτω γὰρ ἐκεῖ κεῖνται, ἀλλὰ διαῤῥήδην οὑτός φησιν ὁ Γρηγόριος, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι λέξεσιν αὐταῖς, καὶ εἰσεται ὁ τὰ Ῥωμαϊκὰ ἀναγινώσκειν δυνάμενος γράμματα.

θεοφιλής;) διαπορουμένῳ, τί δήποτε μᾶλλον τῷ βραχεῖ τῶν ἁγίων λειψάνων ἢ τοῖς ὁλοκλήροις τῶν θαυμάτων πάρεισιν αἱ δυνάμεις, ἄμφω μὲν λύσιν ἐπάγει τῆς θείας χάριτος ἀπολαύειν, μᾶλλον δὲ τὴν ἐνέργειαν ἐπιδείκνυσθαι τῷ βραχεῖ· ἐπειδὴ περὶ μὲν (1) τῶν ὁλοκλήρων οὐδενὶ διανίσταται λογισμὸς, μὴ τῶν ἁγίων, ὧν λέγεται, εἶναι, οὐδ' ὅτι μὴ βρύειν ταῦτα δύναται θαυμάτων ἐπιστασίᾳ τῶν καλλινίκων ψυχῶν, αἳ τοῖς τῶν σωμάτων συνδιήθλησαν ἀγῶσι καὶ πόνοις· οὐκ ὀλίγοις δὲ τῶν ἀσθενέστερον ταῦτα (2) διακειμένων τῷ δισταγμῷ τὸ βραχὺ καθυβρίζεται, ὅτιπερ ἁγίων οὐκ ἔστιν, ἀφ' ὧν ὀνομάζονται, καὶ ὅτι μὴ τῆς αὐτῆς καὶ ταῦτα καταξιοῦται χάριτός τε καὶ ἐπιφοιτήσεως· διὰ τοῦτο μᾶλλον ἐν οἷς τὸ ἀμφίβολον ἐδόκει κρατεῖν, ἐν ἐκείνοις ὑπὲρ ἐλπίδα πᾶσαν τῷ τε πλήθει καὶ μεγέθει ἡ ἐνυπόστατος καὶ ἀκένωτος πηγὴ τῶν ἀγαθῶν εἰς τὸ δαψιλέστερον πηγάζει τὰ θαύματα. Τὴν οὖν εἰρημένην ἀπορίαν ὁ μὲν, ὡς ἔφθην εἰπὼν, Λατινίδι, ὁ δὲ δι' Ἑλληνίδος ἑρμηνείας μετὰ καὶ πολλῶν ἄλλων προδιακρινηθέντων ἐπιλυσάμενος ὧδέ πως μετ' ὀλίγον ἐπάγει· *Τὸ Παράκλητον Πνεῦμα τοῦ Πατρὸς προέρχεται καὶ ἐν τῷ Υἱῷ διαμένει* (3).

πε'. Ταύτην τὴν ἱερολογίαν ὁ πρόδρομος μὲν τῶν ἐν τῇ χάριτι πρῶτος ἀνεῖπε, τῶν πιστῶν δὲ παρ' αὐτοῦ τὸ πλῆθος ἐμυήθη, καὶ ἡ εὐσέβεια διαπαντὸς ὁρᾶται ταύτῃ λαμπρυνομένη. Καὶ γὰρ ἐκεῖνος ὁ μικροῦ δέω φάναι ὑπὲρ ἄνθρωπον ἄνθρωπος τὴν πηγὴν τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸν τοῦ παντὸς Δεσπότην καὶ Δημιουργὸν, τὸ τοῦ κόσμου καθάρσιον ῥείθροις βαπτίζων Ἰορδάνου καὶ τοὺς οὐρανοὺς ὁρῶν ἀνεῳγμένους, θαῦμα θαύμασι μαρτυρούμενον, ἐν εἴδει μὲν περιστερᾶς τὸ πανάγιον Πνεῦμα καταρχόμενον ἐθεάσατο· ἀφῆκε δὲ φωνὴν ἡ ἀληθῶς τοῦ Λόγου φωνὴ ἐν τῷ ὁρᾷν τὰ ἀθέατα· *Εἶδον τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν.* Μένει τοίνυν καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τὸ Πνεῦμα ἐπὶ τὸν Υἱόν· εἰ βούλει δὲ, καὶ ἐν τῷ Υἱῷ· οὐδεμίαν γὰρ ἐνταῦθα παραλλαγὴν ἡ τῶν πτώσεων εἰσάγει διαφορά. Καὶ ὁ προφήτης δὲ Ἡσαΐας ἄνωθεν τὰ παραπλήσια χρησμολογῶν καὶ τὸν χρησμὸν εἰς πρόσωπον ἀναφέρων Χριστοῦ· *Πνεῦμα Κυρίου*, φησὶν, *ἐπ' ἐμέ· οὗ εἵνεκεν ἔχρισέ με.* Ἤκουσάς ποτε τῶν κλεινῶν ἐκείνων Γρηγορίου ἢ Ζαχαρίου (τάχα γάρ σου μᾶλλον οὗτοι τὸ ἀναιδὲς διαλύουσιν εἰς αἰδὼ)· ἤκουσας λεγόντων αὐτῶν· Τὸ Πνεῦμα ἐν τῷ Υἱῷ μένει· καὶ πῶς εὐθὺς οὐκ ἀνέδραμες ἐκεῖθεν εἰς τὴν τοῦ Παύλου φωνὴν, δι' ἧς φησι, *Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ*, καὶ ἀντὶ τοῦ τερατολογεῖν τὴν ἐκπόρευσιν διανέστης εἰς τὸ νοεῖν, ὡς ἐπεὶ τὸ Πνεῦμα μένει ἐν τῷ Υἱῷ, εἰκότως ἂν λέγοιτο τὸ Πνεῦμα τοῦ Υἱοῦ; Ἡ γὰρ ἐν τῷ Υἱῷ τοῦ Πνεύματος μονὴ αἰτία ἂν οὐκ ἀφανὴς εἴη οὐδὲ διὰ βίας ἄγουσα πρὸς πειθὼ διά τί λέγεται τὸ Πνεῦμα τοῦ Υἱοῦ· ποῖον γὰρ ἐγγύτερον ἢ ἀπο-

Digitized by Google Распознавание текста ABBYY FR

σιολικὴ χρῆσις χαρίζεται νοεῖν, τὸ Πνεῦμα μένειν ἐν τῷ Υἱῷ, ἢ ἐκπορεύεσθαι τοῦ Υἱοῦ; μᾶλλον δὲ καὶ αὐτή γε ἡ σύγχρισις ἀπειρόκαλος. Τὸ μὲν γὰρ ὅ τε τοῦ κοινοῦ Δεσπότου σαλπίζει Βαπτιστὴς καὶ ὁ προφήτης πάλαι προθεσπίζει, καὶ αὐτὸς ὁ Σωτὴρ ἀναγινώσκων τὸ λόγιον ἐπισφραγίζει· καὶ ταύτην ἡ εὐσέβεια τὴν μυσταγωγίαν ἐκεῖθεν λαβοῦσα πᾶσι πιστοῖς διδάσκαλος πρόκειται· σὺ δὲ τῶν ζοφερῶν τῆς δυσσεβείας ἀναβὺς πυλῶν, ἀντὶ τοῦ δοξολογεῖν σε τὸ Πνεῦμα μένειν ἐν τῷ Υἱῷ καὶ ἐπὶ τὸν Υἱόν, θεομαχεῖς ἐκπορεύεσθαι λέγων τοῦ Υἱοῦ. Διαμένει ἐν τῷ Υἱῷ· διὰ τοῦτό ἐστι τοῦ Υἱοῦ· καὶ ὅτι τῆς αὐτῆς, ὡς ἔφθην εἰπὼν, φύσεώς τέ ἐστι καὶ θεότητος καὶ δόξης καὶ βασιλείας καὶ δυνάμεως· εἰ βούλει δὲ, καὶ ὅτι χρίει τὸν Χριστόν· *Πνεῦμα γὰρ Κυρίου*, φησὶν, *ἐπ' ἐμέ· οὗ εἵνεκεν ἔχρισέ με*· καὶ διότι ἐπισκιάσαντος αὐτοῦ τῇ Παρθένῳ ἡ ὑπὲρ λόγον ὑπέστη σύλληψις, καὶ ὁ ἀνέκφραστος καὶ ἄσπορος προῆλθε τόκος· ναὶ δὴ καὶ διότι ἀποστέλλει αὐτόν· *Εὐαγγελίσασθαι γὰρ*, φησὶ, *πτωχοῖς ἀπέσταλκέ με*. Πόσον οὖν ἄμεινόν σοι καὶ ἀκολουθότερον ἦν καὶ νοεῖν καὶ λέγειν, ὡς δι' ἕν τι τῶν τεθεωρημένων ἢ καὶ διὰ πλείω λέγεται Πνεῦμα Υἱοῦ καὶ Πνεῦμα Χριστοῦ, ἀλλὰ μὴ ταῦτα τοιαῦτα ὄντα καὶ τηλικαύτην ἰσχὺν ἔχοντα καὶ ἀκολουθίαν παρ' οὐδὲν θέμενον ἐπιχειρεῖν τῆς Ἐκκλησίας τὰ δόγματα διαφθείρειν;

est inepta. Illud enim et communis Domini Baptista prædicat et propheta jam olim vaticinatus est et ipsemet Salvator oraculum illud legens obsignat et comprobat; haneque doctrinam Ecclesia orthodoxa inde nacta cunctis fidelibus discendam profert: tu vero e caliginosis impietatis januis egressus loco prædicandi Spiritum manere in Filio et super Filium, Deo repuguans asseris illum a Filio procedere. Permanet in Filio; idcirco est Filii, et quia ejusdem, ut superius dixi, est naturæ et deitatis et gloriæ et potentiæ et virtutis, vel etiam si vis, quia ungit Christum: *Spiritus enim Domini*, inquit, *super me, propterea unxit me*; et quia obumbrante ipso Virgini incomprehensibilis peracta fuit conceptio et ineffabilis sine semine partus prodiit; nec non quia et ipsum mittit. Nam *evangelizare pauperibus misit me*. Quanto igitur rectius convenientiusque poteras et sentire et dicere, ob unam aliquam aut plures dictarum expositionum nominari Spiritum Filii et Spiritum Christi, non autem his adeo validis et consentaneis rationibus spretis commentis propriis imaginationibusque nullam habentibus subsistentiam conari Ecclesiæ dogmata corrumpere!

ΑΝΤΙΡΡΗΣΙΣ.

ΛΑ'. Οἱ τῆς Ῥώμης ἀρχιερεῖς Ζαχαρίας τε καὶ Γρηγόριος τοιοῦτοι μαρτυρούμενοι παρὰ σοῦ, οἵπερ καὶ ἀληθῶς ἦσαν, ὁ μὲν Λατινίδι φωνῇ, ὁ δὲ δι' ἑλληνιζούσης ἑρμηνείας τὸ Παράκλητον Πνεῦμα τοῦ Πατρὸς προέρχεσθαι εἶπον καὶ ἐν τῷ Υἱῷ διαμένειν· κἀντεῦθεν ἀριδήλως διαγιγνώσκεται τὸ τοῦ *προέρχεσθαι* καὶ ἐκπορεύεσθαι ἰσοδύναμον, καὶ τῶν παρ' ἡμῖν θεολόγων ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα θεολογούντων *προέρχεσθαι*, τίς ἱκανὸς ἔτι ἀσέβειαν ἐγκαλεῖν τοῖς ἐκ Πατρὸς καὶ Υἱοῦ λέγουσιν *ἐκπορεύεσθαι*; Καὶ ἡ φωνὴ δὲ, ἣν ἐν τῷ τοῦ Σωτῆρος ὁ Πρόδρομος ἀφῆκε βαπτίσματι, *Εἶδον*, εἰπὼν, *τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν*, πολλὴν τὴν συνηγορίαν διὰ τοῦ μεγάλου Ἀθανασίου τοῖς Ῥωμαίοις εἰσφέρει· ὡς γὰρ ἐντεῦθα σὺ τὸ ἐκ τοῦ Πατρὸς καταβαίνειν τὸ Πνεῦμα εἰς ἀπόδειξιν λαμβάνεις τοῦ ἐκ τοῦ Πατρὸς εἶναι αὐτό, οὕτω καὶ Ῥωμαῖοι τῷ μεγάλῳ Ἀθανασίῳ ἐντυγχάνοντες λέγοντι περὶ τοῦ Υἱοῦ· *Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῆει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ* (1), εἰς ἀπόδειξιν τοῦτο λαμβάνουσι τοῦ καὶ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτό.

REFUTATIO.

XXXI. Romani pontifices Zacharias et Gregorius, quos tales fuisse testaris, quales re ipsa fuerunt, alter quidem Latina lingua, alter vero Græca interpretatione, Spiritum Paraclitum ex Patre progredi et in Filio manere asseruerunt, et exinde evidenter cognoscitur verba *progrediendi* et *procedendi* æquipollere, cumque theologi nostri doceant ex Patre et Filio *progredi* Spiritum, quis adhuc iis qui ex Patre Filioque eum dicunt *procedere* impietatem exprobrare valebit? Et vox illa, quam in Salvatoris baptismate Præcursor emisit, cum diceret: *Vidi Spiritum descendentem tanquam columbam et manentem super ipsum*, valde Romanorum causæ favet mediante magno Athanasio. Nam sicuti tu nunc descensionem Spiritus a Patre in argumentum sumis, quod ipse ex Patre sit, ita et Romani, si magni Athanasii commentarios evolvunt ibique de Filio dictum inveniunt: *Ex ipso igitur in ipsum descendebat, ex divinitate ipsius in ipsius humanitatem*, hoc ad demonstrandum sumunt, etiam ex Filio esse Spiritum.

ΚΕΙΜΕΝΟΝ.

πς'. Πλὴν αὖθις ὁ κλεινὸς Ζαχαρίας καὶ Γρηγόριος παρίτω· τῆς σῆς δόξης τοὺς ἐλέγχους ἐστί μοι συνεργαζόμενος· ὁ γὰρ ἐκ τῶν οἰκείων ἔλεγχος καὶ τοῖς ἀναιδεστάτοις αἰδεσιμώτερος. πς'. Εἰ τοίνυν Ζαχαρίας καὶ Γρηγόριος τοσούτοις ἔτεσιν ἀλλήλων διεστηκότες οὐκ ἔσχον τὰς γνώμας περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως διεστασμένας, δη-

TEXTUS.

86. Cæterum prodeant rursus inclytus Zacharias atque Gregorius, mecum adhuc opinionem tuam confutaturi (confutatio enim e domesticis profecta etiam impudentissimis pudorem creat). 86. Si ergo Zacharias et Gregorius tot annorum spatio ab invicem distantes non habuerunt sententias de sanctissimi Spiritus processione dissitas, certe et

(1) Athan. De incarn. Citatur locus frequenter a Vecco G. O. I. 202-329. II 334-527.

Digitized by Google Распознавание текста ABK/FR

medius inter hos chorus pontificum, qui sacris Romanæ Ecclesiæ infulis per successionem præfuerunt, eamdem sine ulla innovatione prædicabat et fovebat fidem; ab extremis enim media quemadmodum continentur et communiuntur, ita etiam constituuntur et diriguntur. Quanquam si quis vetustiorum et posteriorum sanctorum in sensum alienum deflexisse deprehendatur, is citra dubium, dum se ab illorum divulsit fide, ab ordine quoque atque throno et pontificatu semetipsum exscidit. Ita igitur memoratorum sanctorum cœtus tota vita pietatem tuebatur.

87. At ignoras vetera pigetque te tuorum Patrum et revera Patrum sententiam perscrutari? Nuperrime, nondum enim secunda generatio præteriit, Leo ille celeberrimus, qui et miraculorum gloria claruit, omnem omnibus exscindens hæreticum prætextum, quoniam sacram Patrum nostrorum doctrinam enuntians ob linguæ illius inopiam, quæ non æque late ac Græca patet, non pure nec sincere nec apposite Latina gens verba aptabat sensui multisque præbebat circa fidem diversitatis suspicionem nimia illa nominum angustia non sufficiens explicandæ ad amussim sententiæ, propterea divinus ille sapientissimusque vir in animum induxit suum — (causa autem, cur id in animum induxerit, præter jam dicta fuit etiam hæresis illa, quæ nunc palam et aperte prædicatur, tunc vero intra dentes in Romanorum urbe mussitabatur) — præcipere, ut lingua Græca sacrum fidei symbolum etiam Romani recitarent; per hoc enim divinitus inspiratum consilium et linguæ inopiam suppleri et reparari et a Catholicis removeri diversitatis in fide suspicionem, nec non recens pullulantem impietatem radicitus a Romana civitate abscindi. Quamobrem non solum in ipsa Romanorum urbe programmata et edicta posuit, ut inter S. Missarum solemnia sacrum nostræ fidei symbolum, quemadmodum et ab initio synodicis vocibus decretisque fuerat enuntiatum, Græca lingua etiam apud illos ipsos, qui Latine loquebantur, recitaretur, sed etiam omnibus provinciis, quæ Romanum pontificatum atque regimen venerabantur, idem sentire idemque peragere et sermonibus et synodicis litteris mandavit dirisque anathematis vinculis dogmatis cavit firmitatem.

λονότι καὶ ὁ μέσον ἀμφοῖν χορὸς ἱερὸς κατὰ διαδοχὴν τῶν ἱερατικῶν τῆς Ῥώμης προστάντες θεσμῶν τὴν αὐτὴν ἀκαινοτομήτως ἐπρέσβευόν τε καὶ συνεκέθαλπον πίστιν· ὑπὸ γὰρ τῶν ἄκρων τὰ μέσα ὥσπερ βᾶον συνέχεται καὶ συναπαρτίζεται, οὕτω συγκρίνεται καὶ συγκατευθύνεται. Καίτοι γε εἴ τις τῶν τε φθασάντων καὶ τῶν ἑπομένων ἁγίων ἀνδρῶν πρὸς ἀλλότριον ἀποκλίνων φωραθείη φρόνημα, οὐκ ἀδηλός ἐστιν, ὡς ἐν ᾧ τῆς ἐκείνων ἑαυτὸν διέρρηξε πίστεως, ἐν τούτῳ καὶ τοῦ χοροῦ καὶ τοῦ θρόνου καὶ τῆς ἀρχιερωσύνης ἑαυτὸν συνεξέτεμεν. Οὕτω μὲν οὖν τῶν εἰρημένων ἁγίων ἀνδρῶν ὁ χορὸς ἐν εὐσεβείᾳ τὸν βίον ὅλον διεφύλαττεν.

πζ'. Ἀλλ' ἀγνοεῖς τὰ παλαιὰ, καὶ ὄκνον ἔχεις τῶν σῶν Πατέρων καὶ ὡς ἀληθῶς Πατέρων ἀναθεωρεῖν τὸ φρόνημα; Χθὲς, καὶ οὔπω δευτέρα γενεὰ παρῆλθε, Λέων ἐκεῖνος ὁ περιώνυμος, ὁ καὶ θαύμασιν ἔχων ἔστιν οἷς ἐνσεμνύνεσθαι, πᾶσαν ἀπάντων ἐκκόπτων πρόφασιν αἱρετικήν· ἐπείπερ τὸ ἱερὸν τῶν Πατέρων ἡμῶν μάθημα πολλάκις ἡ Λατινὶς φθεγγομένη διὰ τὸ τῆς φωνῆς ἐνδεές τε καὶ τῷ πλάτει τῆς Ἑλληνίδος μὴ συνεπεκτείνεσθαι, οὐ καθαρῶς οὐδ' εἰλικρινῶς οὐδὲ περὶ πόδα τοὺς λόγους ἥρμοζε τῷ νοήματι καὶ πολλοῖς παρεῖχε περὶ τὴν πίστιν ἑτεροθρηκείας ὑπόληψιν τῶν ὀνομάτων ἡ στενοχωρία, μὴ ἐξαρκοῦσα διερμηνεύειν τῆς διανοίας τὴν ἀκρίβειαν· διὰ δὴ τοῦτο ὁ θεόσοφος ἐκεῖνος ἀνὴρ εἰς ἐνθύμιον κατέστη (καὶ τό γε τῆς πρὸς τὸ ἐνθύμιον ῥοπῆς αἴτιον ὑπῆρχε μετὰ τῆς προειρημένης αἰτίας ἡ νῦν ἀνέδην αἵρεσις παῤῥησιαζομένη ὑπὸ τοῖ, ὀδοῦσι τρυγικαῦτα κατὰ τὴν Ῥωμαίων πόλιν λαλουμένη)· τὸ δὲ ἐνθύμιον, Ἑλλάδι γλώσσῃ πρόσταγμα δοῦναι τὸ τῆς πίστεως ἱερὸν μάθημα καὶ τοὺς Ῥωμαίους λέγειν· καὶ γὰρ διὰ ταύτης τῆς θεοπνεύστου ἐπινοίας τό γε τῆς φωνῆς ἐνδεὲς εἰς ἀναπλήρωσιν ἀποκαθίσταται καὶ εὐρυθμίαν· καὶ τῶν εὐσεβούντων ἀπελαύνεσθαι τὴν ἐξ ὑπολήψεως ἑτεροδοξίαν, ναὶ δὴ καὶ τὸ τοῦ ἄγους ἀρτιφυὲς θᾶττον τῆς Ῥωμαϊκῆς πρόῤῥιζον ἐκκόπτεσθαι πολιτείας. Διόπερ οὐ μόνον ἐν αὐτῇ τῇ Ῥωμαίων πόλει προγράμματά τε καὶ πρόθέματα ἔθετο, κατὰ τὰς μυστικὰς ἱερολογίας τὸ ἱερὸν τῆς πίστεως ἡμῶν σύμβολον, καθ' ὃν τρόπον καὶ κατ' ἀρχὰς συνοδικοῖς καὶ φωναῖς καὶ ψηφίσμασιν ἐκπεφώνηται, Ἑλλάδι γλώσσῃ καὶ παρ' αὐτοῖς ἐκείνοις τοῖς τὴν Ῥωμαίων φωνὴν ἀφιᾶσιν ἀπαγγέλλεσθαι, ἀλλὰ καὶ πανταχοῦ τῶν ἐπαρχιῶν αἳ τὴν Ῥωμαίων ἀρχιερωσύνην δι' εὐλαβείας καὶ ἡγεμονίαν ἄγουσι, τὸ αὐτὸ φρονεῖν καὶ πράττειν, ἁρπαῖς τε καὶ λόγοις καὶ γράμμασι συνοδικοῖς διεπέμψατο.

88. Idque non solum ipso pontificatum administrante peragebatur, sed et mitis ille ac mansuetus certaminibusque clarus asceticis, inclytus Benedictus, illius in pontificali sede successor, in hoc tuendo et stabiliendo non esse secundus adnitebatur, tametsi secundum ratio temporis ipsum constituebat. Quod si quis post illos lingua dolosa et venerationem simulante (non enim aperta fronte [nudo capite] constitutiones optimas piissimasque oppugnare audebat) sub specioso titulo, quod in

πη'. Καὶ ἦν ἡ πρᾶξις οὐκ αὐτοῦ μόνον ἀρχιερατεύοντος τὸ σεβάσμιον ἔχουσα· ἀλλὰ καὶ ὁ πρᾶος καὶ ἐπιεικὴς καὶ ἀσκητικοῖς ἀγῶσιν ἐναγλαϊζόμενος, ὁ κλεινὸς Βενέδικτος ὁ μετ' ἐκεῖνον τοῦ ἀρχιερατικοῦ θρόνου διάδοχος, τὸ αὐτὸ καὶ στέργειν καὶ κρατύνειν οὐ τὴν δευτέραν τάξιν ἔχειν ἐσπούδαζεν, εἰ καὶ δευτερεύειν αὐτὸν ὁ χρόνος ὑπέταττεν. Εἰ δέ τις μετ' ἐκείνους γλώσσῃ δολερᾷ καὶ τί μὴ πλαττομένῃ (οὐ γὰρ ἐθάῤῥει γυμνῇ τῇ κεφαλῇ πρὸς τὰ κάλλιστα καὶ θεοφιλέστατα παρατάττεσθαι, ἀλλ' οὐδὲ τὸ φρι-

Digitized by Google Распознавание текста ABK/FR

κτὸν τῆς πίστεως ἀνὰ χειλέων ἁπάντων περιφέρεσθαι, προκάλυμμα τῆς γνώμης θέμενος) τὸ ῥηθὲν θεοσεβέστατον καὶ ὠφελιμώτατον ἔργον τῶν Ἐκκλησιῶν περιέκειρέ τε καὶ ἐλυμήνατο· [οὐκ ἐμὸν γὰρ ὀνόματι τὰς παλαμναίους πράξεις διεξιέναι·] αὐτὸς ἂν εἰδείη· μᾶλλον δὲ πικρῶς οἶδεν ἤδη καὶ ἀθλίως τὴν δίκην ἐκεῖθεν εἰσπραττόμενος τῆς ὑφάλου τόλμης. Ἀλλ' ἐκεῖνος μὲν (σιγᾷ γὰρ καὶ αὐτὸ, εἰ καὶ μὴ ἑκὼν) εἰς τὸ τῆς σιγῆς ἀπερρίφθω χωρίον. Ὁ δέ γε θεσπέσιος Λέων οὐ μέχρι τῶν εἰρημένων προήγαγε τὴν καλὴν ταυτην καὶ θεοκίνητον πρόνοιάν τε καὶ πρᾶξιν· ἀλλὰ καὶ γὰρ ἦσαν ἐν τοῖς θησαυροφυλακίοις τῶν κορυφαίων Πέτρου καὶ Παύλου ἐκ παλαιοτάτων χρόνων καὶ εὐσεβείας ἀνθούσης ἀποτεθησαυρισμέναι τοῖς ἱεροῖς κειμηλίοις ἀσπίδες δύο, αἳ γράμμασί τε καὶ ῥήμασιν Ἑλληνικοῖς ἔλεγον τὴν πολλάκις εἰρημένην ἱερὰν τῆς ἡμῶν πίστεως ἔκθεσιν· ταύτας ὑπαναγνωσθῆναι κατενώπιον τοῦ Ῥωμαϊκοῦ πλήθους καὶ εἰς ὄψιν ἁπάντων ἐλθεῖν ἐδικαίωσε, καὶ πολλοὶ τῶν τεθεαμένων τηνικαῦτα καὶ ἀνεγνωκότων ἔτι τῷ βίῳ παραμένουσιν.

ore omnium symbolum illud fidei non (a) esset circumferendum, memoratum piissimum utilissimumque opus rescindere ab Ecclesiis et abrumpere voluit (non enim est meum nomine auctorum scelesta facinora prosequi) : ipse noverit, imo acerbe jam et misere novit, pœnas inde luens subdolæ temeritatis. At ille quidem (silet enim et ipse, licet invitus) in silentii regionem projectus jaceat. Divinus autem Leo non ad ea solum, quæ diximus, bonam istam et a Deo inspiratam curam et actionem produxit, sed etiam, cum exstarent in repositoriis principum apostolorum Petri et Pauli ab antiquissimis temporibus florente adhuc pietate in sacris illis thesauris repositæ parmulæ seu tabellæ duæ, quæ litteris verbisque Græcis exhibebant sæpe memoratam nostræ fidei sacram expositionem, has jussit coram Romano populo recitari conspiciendasque omnibus exponi ; et multi illorum, qui tunc hæc viderunt et legerunt, etiam nunc inter vivos adhuc degunt.

ΑΝΤΙΡΡΗΣΙΣ.

ΛΒ'. Οὐ διάστασίς ἐστι γνώμης περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως τὸ τοὺς μὲν *ἐκ Πατρὸς*, τοὺς δὲ *ἐκ Πατρὸς δι' Υἱοῦ* καὶ *ἐξ ἀμφοῖν* λέγειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ διὰ τοῦτο σύμφωνοι μὲν ἀλλήλοις Ζαχαρίας καὶ Γρηγόριος ἐκ Πατρὸς τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, καθάπερ φαμὲν καὶ ἡμεῖς, τὴν ἄναρχον αἰτίαν δηλοῦντες Υἱοῦ τε καὶ Πνεύματος, σύμφωνοι δὲ αὐτοῖς καὶ πάντες οἱ διὰ μέσου κατὰ διαδοχὴν τῶν ἱερατικῶν Ῥώμης προστάντες θεσμῶν τὸ αὐτὸ λέγοντες· οὔμενουν οὐδὲ οἱ ἐκείνοις ἑπόμενοι, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι κατὰ σαφεστέραν τινὰ δήλωσιν τοῦ μὴ καὶ τὸ Πνεῦμα προσεχῶς καὶ ἀμέσως ὡς τὸν Υἱὸν, ἀλλὰ διὰ τοῦ Υἱοῦ εἶναι ἐκ τοῦ Πατρὸς, πρὸς ἀλλότριον ἀποκλίναντες ἐφωράθησαν φρόνημα, οὐδὲ τῆς ἐκείνων ἑαυτοὺς διέῤῥηξαν πίστεως. Ἀλλὰ καὶ Λέων ἐκεῖνος ὁ περιώνυμος, ὁ καὶ θαύμασιν ἔχων ἔστιν οἷς ἐνσεμνύνεσθαι, οὐ πρόφασιν ἐκκόπτων αἱρετικὴν τὴν, ὡς αὐτὸς φῂς, νῦν μὲν ἀνέδην παῤῥησιαζομένην, τότε δὲ ὑπὸ τοῖς ὀδοῦσι κατὰ τὴν Ῥωμαίων λαλουμένην πόλιν, τὸ πρόσταγμα δέδωκε τοῦ Ἑλλάδι γλώσσῃ καὶ τοὺς Ῥωμαίους λέγειν τὸ τῆς πίστεως ἱερὸν μάθημα, ἀλλὰ τὸ ἀδιάφορον τοῦ συμβόλου δεικνὺς τὴν οἰκονομίαν ταύτην ἐπραγματεύσατο· καὶ δῆλον ἐντεῦθεν· εἰ γὰρ αἵρεσιν ὁ πάππας Λέων ἠγεῖτο τὸ κατὰ τὴν Λατινίδα γλῶτταν λέγειν ἐκπορεύεσθαι τὸ Πνεῦμα ἐξ Υἱοῦ, καὶ διὰ τοῦτο τὴν καθ' Ἑλληνίδα παρεδίδου τοῦ συμβόλου ἀνάγνωσιν, εἰκὸς ἦν καὶ εἰς λαμπρὰν διαλαλιὰν κατὰ συνοδικὴν τῶν ἐκείνῳ ὑποκειμένων ἀρχιερέων ἄθροισιν αἵρεσιν τοῦτο ἀποκαλέσαι καὶ δι' ἐκφωνήσεως ἀναθέματος καταργῆσαι αὐτὸ, ὥσπερ καὶ οἱ μετ' ἐκεῖνον τὸν ἐκείνου διαδεξάμενοι θρόνον καὶ τὸ σύμβολον μετὰ προσθήκης ἀναγινώσκοντες, εἴπερ ἐναντίον τι τοῦ δίχα τῆς προσθήκης ἀναγινωσκομένῳ πρεσβεύοντες ἦσαν,

REFUTATIO.

XXXII. Non est discors sententia circa Spiritus sancti processionem, quod alii *ex Patre*, alii *ex Patre per Filium*, et *ex utroque* dicunt Spiritum sanctum; atque idcirco concordes quidem illi invicem Zacharias et Gregorius, qui ex Patre Spiritum dicunt procedere, quemadmodum dicimus et nos, causam non causatam tum Filii tum Spiritus denotantes ; concordes vero ipsis quoque omnes sunt, qui intermedii secundum successionem Romanam Ecclesiam gubernarunt idem dicentes ; imo vero etiam neque qui illis successerunt, dicentes ex Patre Filioque procedere Spiritum secundum clariorem quamdam declarationem, qua ostendepunt, non etiam Spiritum proxime et immediate sicuti Filium, sed per Filium esse ex Patre, ad diversam deflexisse sententiam deprehensi sunt, neque ab illorum fide semet sejunxerunt. Verum et Leo ille celeberrimus, qui et miraculorum gloria inclaruit, non quidem hæreticum, ut tu asseris, exscindens prætextum nunc quidem palam ac libere prædicatum, tunc vero intra dentes in Romanorum urbe adhuc mussitantem, præceptum edidit, ut Romani quoque Græca lingua recitarent sacrum fidei symbolum, sed nullam symboli esse differentiam ostendens hanc dispositionem, patravit. Quod ex his liquet. Si etenim Leo papa hæresin arbitratus esset, quod Latina lingua diceretur procedere Spiritus sanctus ex Filio, atque propterea Græcam symboli recitationem præscripsisset, tunc etiam decuisset ad claram instructionem in synodali præsulum ipsi subjectorum congregatione hoc hæresin nuncupare et per anathematis pronuntiationem destruere, sicut et qui post eum ejusdem sedem occuparunt et symbolum cum additamento recitarunt, si quidem contrarium quidquam sym-

(a) Catif. omittit *non*, legit tamen ὡς οὐ δεῖ.

Digitized by Google Распознавание текста ABK/FR

bolo absque additamento recitato sensissent, ipsum hoc symbolum absque additamento sustulissent atque in Evangeliorum quoque codice adjicere illud *Filioque* minime dubitassent. Nunc vero quoniam a Leone et deinceps a Romana Ecclesia nihil differre censebat, modo ex Patre dicere Spiritum sanctum et ejus principium principii expers significare, modo vero ex Patre per Filium et progressionis diversitatem exprimere, manifestum est, eam recitare illud modo simul cum Patre intelligentem Filium, licet hic non sit simul enuntiatus, modo simul cum Patre simul enuntiantem Filium, utpote etiam simul intellectum. Hoc namque manifeste erat, quod Leonem ejusque successorem Benedictum movit, ut symbolum Græce recitari a Romanis præciperet et tamen Latinum symbolum non e medio tolleret. Mendacium enim est, alium quempiam post istos pontificem prædictum hoc religiosissimum et utilissimum opus Ecclesiarum resecuisse et destruxisse. Viget enim hucusque, atque tabellæ illæ, quæ in repositoriis sanctorum Petri et Pauli repositæ erant ex ære factæ, in quibus sacrum fidei symbolum Græca lingua inscriptum erat atque Romana, ibi locorum sunt, ubi eas Leo Papa collocavit, et symbolum secundum utramque dialectum, sicut nobis ii qui in loco id didicerunt, asseverarunt, ubique apud Romanos recitatur (a).

TEXTUS.

89. Atque ita hi pietatis fulgoribus emicabant atque Spiritum a Patre procedere prædicabant. Meus quoque Joannes (meus enim est tum ob alia tum quia cæteris ardentius meas partes sustinuit), meus igitur Joannes, virilis mente, virilis quoque pietate, virilis demum in oppugnanda ac profliganda quavis injustitia et impietate, valensque non sacris solum, sed etiam civilibus legibus opitulari turbatumque ordinem restituere; hic, inquam, gratiosus Romæ Pontifex per suos religiosissimos et illustres legatos Paulum, Eugenium et Petrum, præsules et sacerdotes Dei, qui ad nostram synodum convenere, quemadmodum Ecclesia Dei catholica ejusque prædecessores Romani Pontifices symbolum fidei recipiens mente et lingua sacrisque manibus prædictorum illustrissimorum et admirandorum hominum subscripsit et obsignavit. Imo et ejus successor sacer Adrianus synodicam ad nos more vetere mittens epistolam eamdem pietatem in ipsa prædicabat et Spiritum a Patre procedere docebat. Cum igitur sancti isti beatique Romani pontifices ita dum viverent senserint et docuerint, atque e fragili hac ad immortalem vitam in eadem

(a) An vera retulerint qui Vecco ista narrarunt, dubitari potest, attamen ea non omni carere fundamento facile sapiens lector admittet. De tabulis illis seu scutis præter librum Pontificalem in Leone III S. Petrus Dam. Opusc. XXXII, c. 2, Abælardus Introduct. in Theol. L. II c. 14 et Petrus Lombardus L. I, dist. 11, mentionem faciunt, et symbolum utraque lingua in Missa solemni olim recitatum fuisse, uti hodie adhuc in Missa papali

αὐτό τε τὸ δίχα τῆς προσθήκης κατήργησαν ἂν καὶ οὐδ' ἐν τῇ εὐαγγελικῇ ἂν προσθεῖναι πυξίδι ἀπώκνησαν καὶ τὸ *ἐκ τοῦ Υἱοῦ*. Νῦν δ' ὅτι ἀπὸ τοῦ Λέοντος καὶ ἐφεξῆς οὐδὲν διαφέρον ἡ Ῥωμαϊκὴ Ἐκκλησία ἡγεῖται τὸ νῦν μὲν ἐκ Πατρὸς τὸ Πνεῦμα εἰκεῖν καὶ τὴν ἀναρχον αὐτοῦ αἰτίαν δηλῶσαι, νῦν δὲ ἐκ Πατρὸς δι' Υἱοῦ καὶ τὸ τῆς προόδου δηλῶσαι διάφορον, πρόδηλόν ἐστι τὸ μὲν ἀναγινώσκειν αὐτὴν συνεπινοοῦσαν τῷ Πατρὶ τὸν Υἱὸν μὴ συνεκφωνούμενον, τὸ δὲ συνεκφωνοῦσαν τῷ Πατρὶ τὸν Υἱὸν ἅτε καὶ συνεπινοούμενον· τοῦτο γάρ ἐστι προφανῶς, ὃ καὶ Λέοντα καὶ Βενέδικτον τὸν ἐκείνου διάδοχον πέπεικε, καὶ καθ' Ἑλληνίδα παραδιδόναι τοῖς Ῥωμαίοις ἀναγινώσκειν τὸ σύμβολον καὶ τὸ κατὰ Λατινίδα μὴ καταργεῖν (1). Ψεῦδος γάρ ἐστι τὸ ἄλλον τινὰ μετ' ἐκείνους ἀρχιερέα τὸ ῥηθὲν τοῦτο θεοτεβέστατον καὶ ὠφελιμώτατον ἔργον τῶν Ἐκκλησιῶν περικεῖραί τε καὶ λυμήνασθαι· κρατεῖ γὰρ εἰς δεῦρο· καὶ αἱ ἀποτεθησαυρισμέναι ἐν τοῖς Πέτρου καὶ Παύλου θησαυροφυλακίοις καὶ χαλκοῦ πεποιημέναι ἀσπίδες, αἷς τὸ ἱερὸν τῆς πίστεως σύμβολον Ἑλληνιστὶ ἐγγέγραπται καὶ Ῥωμαϊστί, ἐκεῖ τῶν τόπων εἰσὶν, ὅπου ταύτας ὁ πάππας Λέων ἀπέταξε, καὶ τὸ σύμβολον καθ' ἑκατέραν διάλεκτον, ὡς οἱ κατὰ τόπους μυθόνζες ἡμῖν πεπληροφορήκασιν, ἀπανταχοῦ τῶν Ῥωμαίων ἀναγινώσκεται.

KEIMENON.

πθ'. Ἀλλ' οὕτω μὲν καὶ οὗτοι τὴν εὐσέβειαν ἥστραπτον καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἐθεολόγουν ἐκπορεύεσθαι. Ὁ δὲ ἐμὸς Ἰωάννης (2) (ἐμὸς γὰρ τά τε ἄλλα καὶ ὅτι πλέον τῶν ἄλλων ἐξφκείωτο τὰ ἡμέτερα)· οὗτος τοίνυν ὁ Ἰωάννης ἡμέτερος, ὁ τὸν νοῦν μὲν ἀνδρεῖος, ἀνδρεῖος δὲ τὴν εὐσέβειαν, ἀνδρεῖος δὲ μισεῖν (3) καὶ καταβάλλειν ἀδικίαν πᾶσαν καὶ δυσσέβειαν, καὶ οὐχ ἱεροῖς θεσμοῖς μόνον, ἀλλὰ καὶ πολιτικοῖς ἐπαρκεῖν δυνάμενος καὶ τὸ ἄτακτον εἰς τάξιν μεταβάλλειν· οὗτος ὁ κεχαριτωμένος τῆς Ῥώμης ἀρχιερεὺς διὰ τῶν αὐτοῦ θεοσεβεστάτων καὶ περιδόξων τοποτηρητῶν Παύλου καὶ Εὐγενίου καὶ Πέτρου τῶν ἀρχιερέων καὶ *ἱερέων* Θεοῦ ἐν τῇ καθ' ἡμᾶς συνόδῳ παραγεγονότων ὡς ἡ καθολικὴ τοῦ Θεοῦ Ἐκκλησία καὶ οἱ πρὸ αὐτοῦ τῆς Ῥώμης ἀρχιερεῖς τὸ τῆς πίστεως ἀποδεχόμενος σύμβολον γνώμῃ καὶ γλώσσῃ καὶ χερσὶν ἱεραῖς τῶν εἰρημένων περιφανεστάτων καὶ θαυμασίων ἀνδρῶν ὑπέγραψέ τε καὶ ἐπεσφραγίσατο. Ναὶ δὴ καὶ ὁ μετ' ἐκεῖνον ἱερὸς Ἀδριανὸς συνοδικὴν ἡμῖν ἐπιστολὴν, ὥσπερ ἔθος παλαιὸν, ἀναπέμψας, τὴν αὐτὴν εὐσέβειαν δι' αὐτῆς ἀνεκήρυττε καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἐθεολόγει ἐκπορεύεσθαι. Τούτων δὴ τῶν ἱερῶν

Evangelium Græce et Latine canitur, multa documenta suadere possunt.

(1) Similia habet Veccus orat. De un. Eccl. c. 47. (Gr. orth. t. I p. 173) ad Theod. Sugd. L. III, c. 4. (Ib. t. II, p. 140.)

(2) Laur. ὅτι δὲ ὁ ἐμὸς, ut Pal. et Col.

(3) Laur., ut apud Veccum, deest ἀνδρεῖος tertia vice et legitur, τὴν εὐσέβειαν· πρὸς δὲ τὸ μισεῖν.

Digitized by Google Распознавание текста АВК/FR

καὶ μακαρίων ἀρχιερέων Ῥώμης οὕτω διὰ βίου καὶ πεφρονηκότων καὶ διδαξάντων καὶ ἀπὸ τῶν ἐπικήρων πρὸς τὴν ἀκήρατον ζωὴν ἐν τῇ αὐτῇ ὁμολογίᾳ μεταστάντων, τίνας ἂν σχοίεν εἰπεῖν οἱ τὴν αἱρετικὴν νόσον νοσήσαντες, ἐξ ὧν τὸ δηλητήριον φάρμακον τῆς τηλικαύτης ἀσεβείας ἐξέπιον, καὶ οὐκ αὐτίκα τούτους ἀντιπάλους τοῖς ὀρθοδοξίᾳ τὰ ἑσπέρια καταφωτίσασι θριαμβεύουσιν; A confessione transierint, quosnam possunt hæreticæ ægritudine laborantes in medium proferre, a quibus lethiferum illud talis impietatis venenum hauserint, quin illos confestim adversarios propalent iis, qui regiones occidentales recta fide illustrarunt?

ιʹ. Ἀλλὰ γὰρ οὔπω τὴν πλάνην ταύτην ἀποθέσθαι βούλεσθε; Ἐγὼ γοῦν καὶ ἑτέρας ὑμῖν ἐπῳδὰς ἐκ τῶν τοῦ Πνεύματος λογίων ἐπάσομαι, εἰ καὶ τῆς βυούσης ἀσπίδος τὰ ὦτα πρὸς τὰς τῶν ἐπᾳδόντων φωνὰς ἀπὸ τῆς μετανοίας (1) τὴν μίμησιν μελετήσετε (2). *Πνεῦμα Θεοῦ* λέγεται τὸ πανάγιον Πνεῦμα· φησὶ γὰρ ὁ Σωτήρ· *Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. — Πνεῦμα τοῦ Πατρός· Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες*, πάλιν ἡ αὐτὴ τῆς ἀληθείας πηγὴ, *ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν*. Καὶ, *Πνεῦμα τοῦ Θεοῦ*· Ἡσαΐας βοᾷ· *Καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ. — Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*· Παῦλος ὁ μεγαλόφωνος τῶν ὀρθῶν δογμάτων κήρυξ· *Ὑμεῖς δὲ οὐκ ἐλάβετε τὸ Πνεῦμα τοῦ κόσμου, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*· καὶ, *Εἰ δὲ Πνεύματι Θεοῦ ἄγεσθε, οὐκ ἐστὲ ἐν σαρκί. — Πνεῦμα Κυρίου*· Ἡσαΐας βοᾷ· *πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με.* Πάλιν λέγεται *Πνεῦμα τοῦ Υἱοῦ, Πνεῦμα Χριστοῦ, Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν*, ὡς Παῦλος πάλιν μυσταγωγεῖ· *Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν κράζον· Ἀββᾶ, ὁ Πατήρ*· καὶ, *Τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν οἰκεῖ ἐν ὑμῖν*· καὶ, *Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, εἴπερ Πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν*· καὶ, *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ*. Προσέχε πάντως (3), ὅτι τὸ Πνεῦμα λέγεται τοῦ Θεοῦ, ἐκ τοῦ Θεοῦ τε καὶ Πατρὸς (4), καὶ Κυρίου καὶ τοῦ ἐγείραντος Χριστὸν ἐκ νεκρῶν καὶ Πνεῦμα τοῦ Πατρός. Ἆρα οὖν ὅταν λέγῃ, *Πνεῦμα Θεοῦ* ἢ *Πατρὸς* ἢ *Κυρίου* ἢ *τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν*, ἢ *Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*, αὐτὸ τοῦτο δηλοῦσιν αἱ φωναὶ, ὅπερ ἐσήμαινεν ἡ λέγουσα *ἐκπορεύεσθαι τοῦ Πατρός*; ἢ οὐδεὶς οὕτω ἀνόητος οὐδὲ αὐτῶν τῶν ἁπλῶν ῥημάτων εἰς ἐσχάτην ἄγνοιαν ἦκων, ὡς μὴ ῥᾷον ἔχειν συνορᾷν, ὅτι τῶν εἰρημένων ἕκαστον, εἰ καὶ περὶ τὰ αὐτὰ λέγεται πρόσωπα, ἀλλ' οὖν ἕτερον ἡ λέξις παρίστησι σημαινόμενον ἢ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ ἕτερον ἡ Πνεῦμα Θεοῦ ἢ Κυρίου ἢ τῶν εἰρημένων ἕκαστον λέγουσα; Τὸ μὲν γὰρ τὴν ἐκπόρευσιν τῷ ῥήματι ἀπαγγέλλει, τὰ δὲ οὐκ ἔτι· ἀλλ' εἰ καὶ διότι αὐτοῦ ἐκπορεύεται, ταῦτα λέγεται, πλὴν ἀλλ' οὐδεμία τε τῶν φωνῶν τῶν εἰρημένων τὸ ἐκπορεύεσθαι ταῖς λέξεσιν ἑρμηνεύει. Καὶ γὰρ περιφανῶς ἕτερόν ἐστιν εἰπεῖν ἐκπορεύεσθαι τοῦ Πατρὸς τὸ Πνεῦμα, καὶ ἄλλο σημαίνουσι τοῖς ὀνόμασιν αἱ τὸ Πνεῦμα λέγουσαι τοῦ Θεοῦ καὶ Κυρίου καὶ τὰ ὅμοια.

90. At vero nondum vultis errorem istum deponere? Ego igitur alias quoque cantationes e Spiritus sancti eloquiis vobis accinam, tametsi vos loco resipiscendi malitis aspidem imitari aures suas ad voces incantantium obturantem. *Spiritus Dei* dicitur sanctissimus Spiritus; dicit enim Salvator: *Si ego in Spiritu Dei ejicio dæmonia; Spiritus* præterea *Patris. Non enim vos estis, qui loquimini*, rursum B ait idem veritatis fons, *sed Spiritus Patris vestri, qui loquitur in vobis*; dicitur *Spiritus Dei* clamante Isaia: *Et requiescet super eum Spiritus Dei, Spiritus, qui ex Deo est. Vos autem*, ait magnus rectorum dogmatum præco Paulus, *non accepistis spiritum mundi, sed Spiritum qui ex Deo est*, et alibi: *Si Spiritu Dei ducimini, non estis in carne. — Spiritum Domini* clamat Isaias: *Spiritus Domini super me eo quod unxerit me.* Rursum dicitur: *Spiritus Filii, Spiritus Christi, Spiritus suscitantis Jesum Christum*, ut Paulus rursus tradit: *Misit Deus Spiritum Filii sui in corda vestra, clamantem: Abba Pater*; et, *Spiritus suscitantis Jesum Christum habitat in vobis*, et: *Si quis Spiritum Christi non habet, hic non est ejus.* Attente omnino vide, Spiritum dici Dei, ex C Deo, et Dei Patris, et Domini, et suscitantem Christum ex mortuis, et Spiritum Patris. Anne igitur, quando dicimus: *Spiritus Dei* vel *Patris* vel *Domini*, vel *suscitantis Jesum Christum*, vel *Spiritus qui ex Deo est*, voces hæ id ipsum denotant, quod significamus cum dicimus: *Spiritum a Patre procedere*, an vero potius nemo est ita insipiens nec adeo ipsorum verborum simplicium ignarus, ut nequeat facillime conspicari, quod quælibet illarum locutionum, tametsi circa easdem personas enuntietur, diversum tamen exhibet significatum vox ea quæ dicit e Patre procedere Spiritum, et diversum vox ea, quæ dicit Spiritum Dei vel Domini vel quælibet alia memoratorum? Illud enim processionem D expresse enuntiat, hæc vero non item; sed quamvis hæc dicantur, quia Spiritus ab ipso procedit, attamen nulla illarum vocum conceptis affirmat verbis processionem; etenim manifeste aliud est dicere, Spiritum a Patre procedere, et aliud ipsis verbis significant voces, quæ Spiritum dicunt Dei et Domini, et quæ illis sunt similia.

ιαʹ. Καίτοι γε εἰ καὶ ἑκάστη τῶν φωνῶν ἐσήμαινε τὴν ἐκπόρευσιν, ὅτιπερ αὐτοῖ, ῥήμασι θείοις ἀνερ-

91. Quanquam licet quælibet harum vocum processionem significaret, quoniam jam ipsis divinæ

(1) Laur. habet: πρὸς τῆς μετανοίας.
(2) Laur. ut in textu.
(3) Ita cum Laur. ponendum.
(4) Laur. ut Palat.

Digitized by Google Распознавание текста АВК/FR

Scripturæ verbis declaratum fuit Spiritum a Patre procedere, hoc quoque nobis faveret; cum enim sexcenties secundum illam hypostasim intelligatur procedere Spiritus a Patre, quomodo ne semel quidem dictum fuit, illum a Filio procedere? Nec valet dicere, dictum hoc fuisse implicite, illis verbis, quæ tamen non id expresse significant, tum quia neque divinis sacrarum Scripturarum neque humanis sanctorum Patrum verbis expresse unquam enuntiatum fuit Spiritum procedere a Filio, tum quia formulæ quidem loquendi *Spiritus Dei* et similes processionem habent primam præcipuamque causam (consubstantialis enim Spiritus quia procedit, non vero quia consubstantialis, et procedens est), istæ autem locutiones *Spiritus Filii* vel *Christi* et cæteræ ex variis oriuntur causis (videlicet quia consubstantialis ei est Spiritus et quia ungit eum et quia manet super eum et in eo). Si igitur processio, licet sit causa potissima cur Spiritus dicatur esse Dei et Domini et similia, tamen non dat istis vocibus ut enuntient processionem, quomodo, quæso, fieri poterit, ut ubi plures considerantur causæ, ob quas Spiritus prædicatur Filii et Christi, ibi necessario admittenda videatur processio, quæ tamen neque inter causas numeratur?

92. Tu tamen aures ac mentem ad impietatem intendens, ubi audieris *Spiritum Christi* aut *Filii*, omnia præteriens, ex quibus poteras a recta non excidere theologia, ad illud prono capite curris, quod nemo asserere aggressus est. Dicitur Spiritus procedere a Patre, dicitur et Filii et Dei, et cætera, quæ sæpius enumeravimus; atque nulla harum locutionum, præter primam, processionem significat; dicitur Spiritus Filii et Christi et similia, nusquam vero procedere Spiritum a Filio. Cum igitur nullatenus fuerit enuntiata processio, quomodo non summa est insania atque vecordia, ad illud voces reducere, ad quod nullo nusquam modo fuerunt enuntiatæ? Non enim hoc quoque isti maxime temerarii et ad quidlibet audendum proni dicere audebunt, posse expressis verbis e sacris eloquiis desumi Spiritus a Filio processionem.

ῥήθη τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ τοῦτο πρὸς ἡμῶν ἂν ἦν· μυριάκις γὰρ κατὰ τὴν ὑπόθεσιν ταύτην ἐκπορεύεσθαι νοουμένου τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς, πῶς οὐδ' ἅπαξ εἴρηται ἐκπορεύεσθαι τοῦ Υἱοῦ; Οὐ γὰρ ἔχει χώραν εἰπεῖν, ὡς εἴρηται διὰ τῶν λόγων, οἳ μηδόλως τοῦτο σημαίνουσι τῇ φωνῇ, καὶ ὅτι μήτε θεῖοις, ἀλλ' οὐδ' ἀνθρωπίνοις καὶ πνευματοφόροις ῥήμασι κατὰ λέξιν ποτ' ἀνερρήθη (1) τὸ Πνεῦμα ἐκπορεύεσθαι τοῦ Υἱοῦ· καὶ εἰ τὸ μὲν λέγεσθαι τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ τὰ παραπλήσια τὴν ἐκπόρευσιν ἔχουσι πρώτην αἰτίαν καὶ κυριωτάτην (καὶ γὰρ ὁμοούσιον, διότι ἐκπορεύεται, οὐ διότι δὲ ὁμοούσιον, ἐκπορευτόν)· τὸ δὲ λέγεσθαι *Πνεῦμα τοῦ Υἱοῦ ἢ Χριστοῦ* ἢ τὰ τοιαῦτα ἐκ πολυμεροῦς πρόεισιν αἰτίας (διότι τε γὰρ ὁμοούσιον καὶ διότι χρίει αὐτὸν καὶ διότι μένει ἐπ' αὐτὸν καὶ διότι ἐν αὐτῷ)· εἰ οὖν τὸ ἐκπορεύεσθαι τὴν κυριωτάτην ἐπέχον αἰτίαν, δι' ἣν τὸ Πνεῦμα λέγεται εἶναι τοῦ Θεοῦ καὶ Κυρίου καὶ τὰ τοιαῦτα, ὅμως οὐ δίδωσιν αὐτοῖς ἀπαγγέλλειν τὸ ἐκπορεύεσθαι, πῶς δυνατὸν, ἐφ' ᾧ πλεῖω τὰ αἴτια θεωρεῖται, δι' ὧν ὑμνολογεῖται Πνεῦμα τοῦ Υἱοῦ καὶ Χριστοῦ, ἐπὶ τούτου ζητεῖν (2) καίτοι μηδὲ συναριθμουμένην τοῖς αἰτίοις ἀπαραίτητον τὴν ἐκπόρευσιν;

REFUTATIO.

XXXIII. Det tibi Dominus intelligentiam, quicunque tandem es, qui aliquando ista accuratius perlustraturus et expensurus es, ut comprehendas vim eorum, quæ hic a sapientissimo et veræ pietatis tenacissimo amatore Photio sunt disputata, et prorsus nulla alia re opus erit ad dignoscendum, non veritatis, sed vindictæ et contentionis causa ipsum contra Romanam Ecclesiam ejusmodi blasphemias, quas emisit, evomuisse. Considera, quo pacto penes Photium, Nicolao Papa ipsum haud recipiente, universa Romanorum Ecclesia in Deum injuria, impia

ΑΝΤΙΡΡΗΣΙΣ.

ΛΓ'. Δοίη σοι Κύριος σύνεσιν, ὦ ὅστις ποτ' ἂν εἶ ὁ τὰ παρόντα μέλλων ἐξεταστικώτερον ἐπιέναι, κατανοῆσαι τὴν δύναμιν τῶν ἐνταῦθα τῷ σοφωτάτῳ καὶ ἀκριβεῖ τῆς εὐσεβείας ἐραστῇ Φωτίῳ ῥηθέντων, καὶ τάχα (3) οὐκ ἄλλου δεήσῃ τινὸς πρὸς διάγνωσιν τοῦ μὴ πρὸς ἀλήθειαν, ἀλλ' ἀμυντικῶς καὶ πρὸς ἔριν (4) τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καταβλασφημῆσαι αὐτὸν, ὅσα γε κατ' αὐτῆς βεβλασφήμηκε. Σκόπει γὰρ ὅπως Νικόλαος ἦν ὁ τοῦτον μὴ προσιέμενος πάπας καὶ πᾶσα ἡ Ῥωμαϊκὴ Ἐκκλησία πρὸς τὸ θεῖον ὑβρίζουσα ἦν καὶ ἀσεβοῦσα καὶ παρανο-

(1) Laur. ποθὲν ἐρρήθη, ut Col. et Vat.
(2) Laur. ἐπὶ τὸ ζητεῖν.
(3) Cod. τάχου.

(4) Cf. Vecc. or. II de injusta depos. (G. O. II, 48.) Ad Theod. Sugd. L. III (ib. p. 148.)

Digitized by Google Распознавание текста ABK/FR

μοῖσα τὰ ἔσχατα, καὶ ὅπως Ἰωάννης ἦν ὁ τὴν εἰς τὸν πατριαρχικὸν θρόνον καθίδρυσιν αὐτοῦ ἐπευδοκῶν, καὶ πᾶσα αἵρεσις τῆς Ῥωμαϊκῆς ἀπελήλατο Ἐκκλησίας (1). Ἆρά γε ἀρχιερέων ταῦτα καὶ μιμητῶν τοῦ εἰρηνάρχου καὶ τῆς ἐκείνου διδασκαλίας ὑποφητῶν; Ὅμως ὥσπερ (2) τινὰ ἀπολογίαν ὑπὲρ τῆς εἰς τὸν πάπταν Ἰωάννην εἰρήνης προβάλλεται τὸ διὰ τῶν ἐκείνου τοποτηρητῶν τὸ τῆς πίστεως ἐκείνου ἀποδέξασθαι σύμβολον καὶ γνώμῃ καὶ γλώττῃ καὶ χερσὶν ἱεραῖς τῶν τοιούτων περιφανεστάτων καὶ θαυμασίων ἀνδρῶν ὑπογράψαι αὐτὸ καὶ ἐπισφραγίσασθαι. Ἀλλ' ἐγὼ μὲν χεχαριτωμένον μὲν τὸν ἄνδρα εἰπεῖν καὶ ἀνδρεῖον μὲν τὸν νοῦν, ἀνδρεῖον δὲ τὴν εὐσέβειαν, καὶ ἀδικίαν μισοῦντα καὶ καταβάλλοντα ὡς ἀληθῶς κατὰ τῆς ἀδικίας τοῦ σχίσματος ἀνδρισάμενον, οὐκ ἂν ποτ' ἀναβαλοίμην· τὸ δὲ τὸν Φώτιον τῆς ἔχθρας ἀνταλλάξασθαι τὴν εἰρήνην (3) διὰ τὸ τοὺς τοῦ πάπτα Ἰωάννου θεοσεβεῖς τοποτηρητὰς τὸ δίχα τῆς προσθήκης ἀναγινωσκόμενον παρ' ἡμῖν τῆς πίστεως σύμβολον ὑπογράψαι τε καὶ ἐπισφραγίσασθαι, δεξαίμην ἂν οὐδαμῶς· ἐπίκρυψις γὰρ τοῦτο τῆς ἀληθοῦς αἰτίας, καθ' ἣν ἡ κατὰ πάσης τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀνήφθη τῷ Φωτίῳ δυσμένεια (4), ἥτις ἦν ἡ τοῦ πάπτα Νικολάου κατὰ Φωτίου ῥοπή· τὸ δέ γε τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν τὸ τοιοῦτον δέξασθαι σύμβολον οὐκ ἀφορμὴ εἰρήνης γέγονε τῷ Φωτίῳ, ὅτι μηδὲ σκανδάλου αἴτιον ἦν τὸ μὴ πρότερον ἴσως αὐτὸ δέχεσθαι, διὰ τὸ καὶ τοὺς πρὸ τοῦ πάπτα Ἰωάννου τὸν ἐκκλησιαστικὸν τῆς Ῥώμης θρόνον κοσμοῦντας τὸ τοιοῦτον σύμβολον ἅγιον καὶ εὐσεβείας πλῆρες ὁμολογεῖν (5), ὅπερ οὖν καὶ οἱ ἐξ ἐκείνου μέχρι τοῦ νῦν καὶ γνώμῃ στέργουσι καὶ γλώσσῃ ἀνακηρύττουσι. Καὶ ἀπόδειξίς μοι τοῦ λόγου τὸ τῶν Εὐαγγελίων ἀμεταποίητον καὶ πᾶσα γραφὴ πατρικὴ ἡ τὸ Πνεῦμα λέγουσα ἐκ Πατρὸς ἐκπορεύεσθαι δίχα προσθήκης παρ' αὐτῶν (6) καὶ ἀναγινωσκομένη καὶ ὁμολογουμένη. Καὶ ἔστι τοῖς ἐξεταστικοῖς καὶ ζητητικοῖς διαγνῶναι τὸ μὴ ἀληθῶς ἐπ' αἰτίας ἐξ ἐκκλησιαστικῶν δογμάτων τὴν κατὰ Ῥωμαίων μάχην τὸν Φώτιον ἔρασθαι, καὶ ἀφ' ὧν ἐπιφέρει ἐν τοῖς ἑφεξῆς τοῦ παρόντος λόγου αὐτοῦ. Μετὰ γὰρ τὸ συστῆσαι τὸν πάπταν Ἰωάννην ἀνδρεῖον μὲν τὸν νοῦν, ἀνδρεῖον δὲ τὴν εὐσέβειαν καὶ πᾶσαν ἀδικίαν καὶ πᾶσαν δυσσέβειαν μισοῦντα καὶ καταβάλλοντα, ἀναμνηθεὶς ὥσπερ ὧν

et extremum in modum prævaricatrix exstitit, et Joanne ejus in patriarchalem thronum restitutionem approbante omnis hæresis a Romana evanuit Ecclesia. Hæccine pontifices decent et principis pacis imitatores et doctrinæ illius prædicatores? Attamen pro pace cum Joanne papa inita quasi apologiam instituit (*a*), dicens per suos legatos, hunc recepisse fidei symbolum et mente et lingua et sacris illorum illustrissimorum et admirandorum hominum manibus subscripsisse atque obsignasse. At ego quidem gratiosum hunc virum dicere, et virilem mente, virilem quoque pietate et iniquitatem odio persequentem ac profligantem, utpote vere contra schismatis iniquitatem viriliter præliantem, haud abnuerem; nullatenus vero admitto, Photium inimicitias cum pace commutasse, propterea quod pii Joannis papæ legati symbolum quod apud nos legitur absque additione subscripserint et obsignaverint. Sed veræ causæ hoc erat occultatio, propter quam contra Romanam Ecclesiam universam simultates ac inimicitiæ Photio exortæ fuerant, quæ in Nicolai papæ contra Photium decisione ac sententia fundatæ erant. Quod vero Romana Ecclesia ejusmodi symbolum recepit, id minime Photio ineundæ pacis causa fuit, quia neque (prioris) scandali causa in eo erat, quod antea fortasse illud haud admiserit, cum ii quoque Pontifices, qui ante Joannem papam, Romanam cathedram ornarunt, hoc idem sanctum symbolum et pietate plenum confessi fuerint; quod etiam il qui post eum ad hæc usque tempora successere et mente amplectuntur et lingua deprædicant. Et dictum meum demonstrabit Evangeliorum nulla facta commutatio, et cuncta Patrum scripta, quæ Spiritum tradunt ex Patre procedere, absque additione ab ipsis lecta ac probata. Et qui diligentem indaginem instituunt facile cognoscunt, non vere propter causam ecclesiasticorum dogmatum Photium contra Romanos pugnam suscepisse, idque etiam ex iis, quæ in progressu præsentis libri infert. Postquam enim Joannem papam laudavit virilem mente, virilem quoque pietate, omnem iniquitatem impietatemque omnem odio persequentem et profligantem (c. 89), quasi recordatus eorum, quæ antea contra Romanam Ecclesiam blasphemando dixerat, atque prorsus

(1) Paulo aliter eadem occurrunt L. III, ad Theod. c. 4 (l. c. p. 140).

(2) Hæc et sequ. usque ad vocem. ἐπισφραγ. l. c. ad. Theod. eodem pacto leguntur.

(3) Cf. Bec. l. c. p. 139.

(4) Eadem l. c. p. 139-140.

(5) Hæc et sequ. usque ad vocem ὁμολογουμένη apud Allat. l. c. p. 140.

(6) Allat. l. c. παρ' αὐτοῖς.

(*a*) Communiter schismatici hanc cum Romanis initam concordiam eo capite defendunt, quo hi errores quos Photius objecerat, deposuerint. Ita Jobus monachus Apologia citata Cod. Mon. 68 f. 52: Ἐκεῖνο δὲ μή μοι λέγε, ὅτι ἐπεὶ μὴ ἐκαίνισεν ἡ Ἐκκλησία τῆς Ῥώμης ἕτερόν τι παρὰ τὰ τῷ ἁγιωτάτῳ Φωτίῳ κατ' αὐτῶν γραφέντα ὡς ἡ ἐγκύκλιος τούτου ἐπιστολὴ παριστᾷ, παραδεκτέα, καθὼς ἐδέξατο αὐτὴν καὶ ὁ Φωτιος. Τὰ αὐτὰ μὲν γὰρ ἴσως καὶ νῦν βλασφημεῖ, ἅπερ τῇ ἐπιστολῇ τότε ὁ ἁγιώτατος ἐνέταξε Φώτιος· πλὴν οὐκ ἐπὶ τούτοις ἐμμένοντα τὸν πάπαν ἐδέξατο Φώτιος, ἀλλ' ὁμολογήσαντα διὰ τῶν αὐτοῦ τοποτηρητῶν ἀπαραλλάκτως τὸ ἅγιον σύμβολον καὶ ἀναθεματίσαντα τὸν προστιθέντα τι, ἢ ἀφαιροῦντα ἐξ αὐτοῦ: « Illud noli mihi dicere quia Ecclesia Romana non innovaverit aliud quidpiam præter ea quæ sanctissimus Photius contra illos scripto protulit, ut encyclica ejusdem ostendit epistola, recipiendam eam esse. Eadem enim et nunc fortasse blasphemat, quæ epistola sua tunc inseruit Photius. Attamen non in his persistentem papam recepit Photius, verum confitentem per suos legatos sacrum symbolum et anathemate percellentem eum, qui ad illud quidquam adderet vel ex eo quid subtraheret. »

Digitized by Google Распознавание текста АВК/FR

turpe arbitratus, ea omnia tanquam mendacia præterire propter unius viri Joannis papæ susceptionem, rursum (c. 90) ad commune Ecclesiæ sermonem dirigit, Romanosque (*a*) errore adhuc detentos appellat, atque cum aspide ad voces incantantium aures suas obturante comparat; multiplicem exhibere nititur differentiam inter locutiones quæ Spiritum Dei, Spiritum Patris, Spiritum ex Deo asserunt Spiritum sanctum, et eas, quæ manifestant ex Patre procedere, atque extremam exprobrat insaniam (ignorantiam) eorum qui nequeunt facillime conspicari, quod licet circa easdem personas dicatur Spiritus Dei et ex Deo, diversum tamen exhibet significatum vox ea quæ dicit ex Patre procedere Spiritum, et diversum quæ Spiritum Dei vel Domini vel quidlibet prædictorum enuntiat. Si enim adhuc quoque Romani errore circumacti sunt, postquam Joannes papa in pontificali eorum sede collocatus fuerat, et si Romani symbolum absque additione recitare noluerunt, qualis porro fuit ea impietatis atque iniquitatis profligatio, quam Joanni papæ suo Photius solemni testimonio adscripsit? Si vero, cum nihil ex iis quæ ad Ecclesiam pertinent a Joanne papa immutatum fuerit, hunc quidem Photius sibi proprium facit ac summis laudibus effert, Ecclesiæ vero plenitudinem et universitatem in partes inimicorum refert ac collocat, quomodo non manifestum est agere et sentire ipsum omnia prout ipsi libet?

Talia quoque sunt quæ de differentiis dicit locutionum, tum ejus quæ dicit Spiritum ex Patre procedere, tum ejus quæ Spiritum Dei et Domini vocat Spiritum sanctum. Nullam ex prædictis locutionibus verbis ipsis processionem indicare asseverat, sed manifeste aliud esse Spiritum ex Patre procedere legis ad instar statuit (pro lege certe statuere est magna cum fiducia et absque ulla verecundia differentias effingere, quas nemo Sanctorum dixit), et aliud vocibus ipsis significare voces definit, quæ Spiritum Dei et Domini et alia hujusmodi dicunt. Atque sic quidem Photius. Magnus autem Basilius, in quodam capite librorum, quos contra Eunomium exaravit ita perspicue loquitur: « Neque enim minus quidpiam habituri sumus ad cognoscendum Spiritum esse ex Deo, cum audimus eum Spiritum esse oris illius; sed nomen hoc sufficiens fuerit ad Spiritus ex Deo exsistentiam indicandam. » Cum igitur magnus Pater Basilius ipsam de Deo Spiritus exsistentiam indicari per vocem, quæ sanctum Spiritum Dei Spiritum dicit, perspicue asserat, quomodo non evidenter Photius ipsi, qui per magnum Basilium loquitur, Spiritui Dei contradicit, dum differentias jam dictas effingit? Magnus Basilius: « Spiritum Dei audientes, » inquit, « ex Deo Spiritum exsistere cognoscimus; » et Photius

A κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας προβεβλασφήμηκε καὶ αἰσχύνην ἄντικρυς ἡγησάμενος πάντα ἐκεῖνα ὡς ψευδῆ παριδεῖν διὰ τὴν ἑνὸς ἀνδρὸς τοῦ πάπτα Ἰωάννου ἀναδοχήν, πάλιν πρὸς τὸ κοινὸν τῆς Ἐκκλησίας τὸ τοῦ λόγου πρόσωπον ἀποστρέφει καὶ ἔτι συνισχημένους τῇ πλάνῃ τοὺς Ῥωμαίους ἀποκαλεῖ καὶ εἰς ἀσπίδα πρὸς τὰς τῶν ἐπᾳδόντων φωνὰς βύουσαν τὰ ὦτα παρεικάζει αὐτούς, καὶ πολλὴν διαφορὰν παραστῆσαι φιλονεικεῖ τῶν Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Πατρὸς καὶ Πνεῦμα ἐκ Θεοῦ λεγουσῶν ῥήσεων τὸ Πνεῦμα τὸ ἅγιον καὶ τῶν ἐκ Πατρὸς ἐκπορεύεσθαι αὐτὸ δηλουσῶν, καὶ ἐσχάτην κατηγορεῖ ἄνοιαν (1) τῶν μὴ ῥᾷον συνορᾷν ἐχόντων, ὡς εἰ καὶ περὶ τὰ αὐτὰ λέγεται πρόσωπα Πνεῦμα Θεοῦ καὶ ἐκ Θεοῦ, ἀλλ' οὖν ἕτερον ἡ λέξις παρίστησι B σημαινόμενον ἡ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ ἕτερον ἡ Πνεῦμα Θεοῦ ἢ Κυρίου ἢ τῶν εἰρημένων ἕναστον λέγουσα. Εἰ γὰρ καὶ ἔτι Ῥωμαῖοι πεπλάνηντο μετὰ τὸ τὸν πάπταν Ἰωάννην τῷ ἀρχιερατικῷ τῆς Ῥώμης θρόνῳ ἐγκαθεσθῆναι, καὶ εἰ μὴ Ῥωμαῖοι τὸ δίχα προσθήκης ἀναγινώσκειν τὸ σύμβολον κατεδέξαντο, ποία λοιπὸν ἦν ἡ τῆς δυσσεβείας καὶ ἀδικίας καταβολή, ἣν προσμεμαρτύρηκε Φώτιος; Εἰ δὲ μηδὲν τῶν τῆς Ἐκκλησίας τῷ πάπτᾳ Ἰωάννῃ ἐναλλαγὲν, αὐτὸν μὲν Φώτιος ἰδιοποιεῖται καὶ τοῖς ἐγκωμίοις ἐξαίρει, τὸ δὲ κοινὸν τῆς Ἐκκλησίας εἰς ἀντιδίκων τίθησι μοῖραν, πῶς οὐ πρόδηλόν ἐστιν, ἄγειν καὶ φρονεῖν αὐτὸν πάντα πρὸς τὸ αὐτάρεσκον·

C Οἷα δὲ καὶ ἅπερ περὶ τῶν διαφορῶν τῶν λέξεων λέγει τῆς τε ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι καὶ τῆς Πνεῦμα Θεοῦ καὶ Κυρίου λεγούσης τὸ Πνεῦμα τὸ ἅγιον, οὐδεμίαν τῶν εἰρημένων φωνῶν διϊσχυρίζεται ταῖς λέξεσιν ἑρμηνεύειν τὸ ἐκπορεύεσθαι, ἀλλ' ἕτερον περιφανῶς εἶναι τὸ ἐκπορεύεσθαι τοῦ Πατρὸς τὸ Πνεῦμα νομοθετεῖ· νομοθετεῖν γάρ ἐστι τὸ κατὰ πολλὴν ἄδειαν διαφορὰς αὐτὸν πλάττεσθαι, μηδενὶ τῶν ἁγίων ῥηθείσας· καὶ ἄλλο σημαίνειν τοῖς ὀνόμασι διορίζεται τὰς Πνεῦμα Θεοῦ καὶ Κυρίου καὶ τὰ ὅμοια λεγούσας φωνάς. Καὶ ὁ μὲν ταῦτα· ὁ δὲ μέγας Βασίλειος ἐν ἑνὶ κεφαλαίῳ τῶν κατ' Εὐνομίου ἀγώνων αὐτοῦ οὕτω λέγει σαφῶς· « Οὐδὲ γὰρ ἐλαττόν τι ἕξειν μέλλομεν εἰς τὸ γινώσκειν τὸ Πνεῦμα ὑπάρχειν ἐκ Θεοῦ, Πνεῦμα τοῦ στόματος αὐτοῦ D ἀκούοντες αὐτό, ἀλλ' ἱκανὸν καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ (2). » Τοῦ γοῦν μεγάλου Πατρὸς Βασιλείου αὐτὴν τὴν ἐκ Θεοῦ ὕπαρξιν τοῦ Πνεύματος δηλοῦσθαι διασαφοῦντος ἀπὸ τῆς λεγούσης φωνῆς Πνεῦμα Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον, πῶς οὐ προδήλως αὐτῷ τῷ διὰ τοῦ μεγάλου Βασιλείου λαλοῦντι Πνεύματι τοῦ Θεοῦ Φώτιος ἀντιλέγων ἐστὶν (3) ἐν ταῖς ἤδη ῥηθείσαις διαφοραῖς; « Πνεῦμα Θεοῦ, » φησὶν, « ἀκούοντες », ὁ μέγας Βασίλειος, « ἐκ Θεοῦ ὑπάρχειν τὸ Πνεῦμα γινώσκομεν (4)· » καὶ Φώτιος λέγει· « Ἕτερον ἡ λέξις παρίστησι ση-

(*a*) Romanos non speciatim reprehendit Photius, verum Occidentales universim.

(1) Fort. ἄγνοιαν ut apud Photium.

(2) Eadem Basilii verba ex L. IV c. Eun. L. III ad Theod. c. 7 G. O. I', 142.

(3) Paulo aliter l. c. c. 8, p. 143.

(4) Ib. c. 7, p. 143.

Digitized by Google Распознавание текста ABK/FR

μαινόμενον ἡ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ ἕτερον ἡ Πνεῦμα Θεοῦ ἢ Κυρίου αὐτὸ λέγουσα.» Καὶ πάλιν· « Οὐδεμία γε τῶν φωνῶν τῶν εἰρημένων τὸ ἐκπορεύεσθαι ταῖς λέξεσιν ἑρμηνεύει· καὶ γὰρ περιφανῶς ἕτερόν ἐστιν ἐκπορεύεσθαι τοῦ Πατρὸς τὸ Πνεῦμα, καὶ ἄλλο σημαίνουσι τοῖς ὀνόμασιν αἱ τὸ Πνεῦμα λέγουσαι τοῦ Θεοῦ καὶ Κυρίου καὶ τὰ ὅμοια.» Ποῖ ποτε τῶν Γραφῶν, σοφώτατε ἀνερ, ταύταις ταῖς διαφοραῖς ἐντετύχηκας; Πόθεν σοι γέγονε ταῦτα νομοθετεῖν; Εἰ γὰρ ὁ λέγων Πνεῦμα Θεοῦ, τὴν ἐκ Θεοῦ δηλοῖ τοῦ Πνεύματος ὕπαρξιν, κατ' ἐξηγητικὴν (1) ἀξιοπιστότερόν σου κατὰ πολὺ, τὸν μέγαν Βασίλειον, ποίαν ἕξουσι χώραν αἱ παρὰ σοῦ ῥηθεῖσαι διαφοραί;

16. Sed quid hæc interim narro, ipsius adversus veritatem studium indicare contendens, ex iis, quæ contra nos in tomis a se compositis digerit, et inter diurna colloquia in nostri contemptum declamat, tanquam qui nostram sedem contra jus omne violenter occupat, et liberam habet, quæcunque sibi libuerit, contra nos fandi facultatem : cum illius injustitiæ exsuperantiam et facta et actiones, quas nescio an alterius quam prædonis et tyranni, actiones quispiam nominaverit, abunde demonstrant. Nam si decretis ecclesiasticis legibusque obsecundans, dicere et intelligere de dogmatibus haberet in animo, nunquam ille sibi in omnibus libertatem usurpans, vel ut aptius dicam, contra omnes auctoritatem accipiens, nos qui ipsi contradicimus, et custodiis et carceribus constringeret. At nos nunc carceres et custodiæ singulis horis solertiores excipiunt; ille vero in throno sedet exsultans, et cum alloquiis utitur, in fraudem illicit; cum dogmata pandit, decipit, et decipitur. Tandem etiam tomos componit, et manuum suarum subscriptione munitos admitti cogit, et codices a se factos subscribere ob pietatem et timorem, ne a veritate aberrent, in aliud tempus differentes, uti sibi placuerit, pœnis multat. Quare non addo atrociora? Ex custodibus quæ sibi promittuntur, securitates haud sibi satis esse reputans, ne ullus omnium sive per præsens colloquium, sive scriptam, aut non scriptam interrogationem aliquid a nobis addiscat de perversis ab ipso paternis divinisque dogmatibus, consilio utitur valde scelesto, et quale nullus alius, ipsum si excipias, excogitaverit. Nam quæ a nobis ad confirmanda paterna dogmata dicta sunt criminans, et decreto sibi complacito damnans, nos et verborum et orationum parentes, ut illi visum est, e fidelium cœtu segregat, et uti abdicatos divulgat : quæ ipse perpeti dignus est, ea multa cum securitate ac libertate in nos patrans, eosque qui dicta nostra vel scripta vel laudibus extollere, vel publicare, vel aliquid in illis contemplari audent, anathemate, quod in illius caput vertatur, ferit. Separat nos ab Ecclesia, quales quis? Genuinos spurius et adulterinus. Abdicat a Christi ovili pastores lupus. Ejicit e sacerdotum choro profanus sacerdotes.

B

C

D

ιζ'. Ἀλλ' οὗτος μὲν παραχωροῦντος πάντως Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν, ὥσπερ κανόνας πάντας, καὶ πατρικὰ τυραννήσας προστάγματα, τὴν εἰς τὸν πατριαρχικὸν θρόνον ἐνίδρυσιν ἄθλον τῶν ἐπὶ κακῷ σπουδασμάτων ἔσχεν αὐτοῦ, οὕτω καὶ τῆς ὑγιοῦς τῶν

17. At hic, propter iniquitatum multitudinem sic Deo permittente, legibus universis et Patrum præceptis tyrannice violatis, in throno patriarchali sessionem suorum studiorum in male agendo præmium obtinuit, tum adversus sanam Patrum

Digitized by Google Распознавание текста ABBYY FR

doctrinam ac fidem frendens, novas absurdasque dogmatum dictiones introducit, et spuria dogmata et sententias Patribus nostris plane ignotas insinuat, et hæc omnia tomis editis divulgat, quos apte quispiam nuncupaverit columnam, novarum ipsius hæresum præconem, et ad illos subscribendos universos vi cogit, sicque multorum cogitationes subducit simpliciorum, quod in illius morum perversitatem penetrare nequeunt, firmiorum, quod resistere noxæ, quam ille potest violenter inferre, non valeant, quorum non mentes, sed manus illi obsequi aptissime quispiam dixerit. Verumtamen qui tarde ac inevitabiliter iniqueque agentium astutias prævertit Deus, vel ocius hoc tempore, vel deinceps post quam hac vita excesserimus, excitatis, qui integre dijudicabunt, nos ad confirmandam ex Patre per Filium processionem, verum scilicet et antiquum nostrorum Patrum dogma studia collocasse, illum vero ex æquilibri adversus nos malitia ab improbo dæmone inflatum, manifestos in sibi credentium perditionem hæreseon inflatus eructasse, et quæ illic tomis consignavit ædificia Chalanæ turrim demonstrabit, Ecclesiam vero propriam in paternis consuetudinibus ac dogmatibus conservans, partim confidenter et in medio et in communem omnium audientiam pronuntiatis, partim thesaurum in sacris Patrum nostrorum voluminibus repositis, omnes, qui illibatam fidem subduci sibi passi non sunt, regni cœlorum non fluxi sed stabilis dignos efficiet, precibus, quæ eum genuit, semper Virginis et Deiparæ, et omnium, qui veneranda nobis dogmata tradiderunt, divinorum Patrum nostrorum.

ORATIO II.

1. Secundum hoc adversus Cyprium certamen a nobis suscipitur. Tu vere fili, et dilectissime mi Theodore, quo primum adversus nos illius studium processerit, cum videris, nunc cum aspicis in responsionem nos secundo accingi, ne causam ignorato. Quæ enim prius occurrerunt, illa prius oppugnavimus; quæ vero secundo in nostram cognitionem venerunt, hac posteriori contradictione rejicimus. Et primum quidem viri illius adversus nos posteriora, inconsiderata more juvenum facinora innotuere, quod priorum notitiam nostri pro veritate dogmatis extra patriæ fines carceres ac custodiæ subtraxere, posteriorum nihil inter ortus et cognitionem nostram intercessit, quod post nostrum in regia congressum et restitutionem exercendis commerciis mutuis locus esset. Et hæc causa cogit nos ad secundum hoc certamen ineundum. Exordimur porro non æquali cum antagonista modo, decertaturi injuriis nempe ac dicteriis adversus illum veluti tutamentis ad vim arcendam acturi. Illius siquidem solius et alterius, qui neque verum neque philosophum sese gerendi medum calleat simili ratione decertare, quam cum

A Πατέρων καταφρυαξάμενος πίστεως, νέας καὶ ἀλλοκότους δογμάτων εἰσηγεῖται φωνὰς, καὶ δόγματα νόθα, καὶ λόγους οὓς οὐκ ἤδεσαν οἱ Πατέρες ἡμῶν ἐπεισάγει, καὶ ταῦτα πάντα τομογραφῶν, στήλην ἀντὶ τῆς τοιαύτης εἶποι τομογραφίαν τῆς αἱρεσιαρχίας αὐτοῦ κήρυκα, πρὸς τὴν δι' ὑπογραφῶν ἀκολούθησιν πάντας παραβιάζεται τὰ τῶν πολλῶν οὕτω κλέπτων φρονήματα, τῶν μὲν ἁπλουστέρων, ὅτι μὴ ταῖς αὐτοῦ ἐμβαθύναι ἔχουσι δυστροπίαις, τῶν δὲ στερεωτέρων, ὅτι μὴ ῥαντέχειν, ἐφ' οἷς τὴν ἐπὶ βλάβῃ πάντων ἰσχὺν περιβέβληται ἐξισχύουσιν, ὧν οὐδὲ τὰ φρονήματα, τὴν δὲ χεῖρα ἐπακολουθεῖν εἶποι ἄν τις αὐτῷ. Ὁ δὲ βραδέως μὲν, ἀδιάδραστα δὲ τὰς τῶν πονηρευομένων πονηρίας καταστρέφων Θεὸς ἀναστήσας ἢ διὰ τέλους ἀπάρτι, ἢ μετὰ τὴν ἐνθένδε

B ἀποδημίαν ἡμῶν τοὺς ἀῤῥεπῶς διαγνωσομένους, ὅπως μὲν ἡμεῖς ἐπὶ συστάσει τῆς ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύσεως, τοῦ ἀληθοῦς δηλονότι καὶ ἀρχαίου τῶν Πατέρων ἡμῶν δόγματος ἐσπουδάσαμεν, ὅπως δὲ οὗτος ἐξ ἀντιῤῥόπου τῆς καθ' ἡμῶν κακίας ὑπὸ τοῦ πονηροῦ ἐμπνευσθεὶς πρόδηλα ἐπ' ἀπωλείᾳ τῶν αὐτῷ πειθομένων ἐμπνεύσεις αἱρέσεων ἀπερεύξατο, τὰ μὲν τῶν τομογραφιῶν τούτου οἰκοδομήματα πύργον ἀποδείξει Χαλάνης, τὴν δὲ αὐτοῦ Ἐκκλησίαν ἐπὶ τοῖς πατρῴοις διατηρήσας ἔθεσί τε καὶ δόγμασιν, οἷς μὲν πεπαῤῥησιασμένως ἐπὶ τοῦ μέσου, καὶ εἰς κοινὴν πάντως ἀνηγορευμένοις ἀκρόασιν, οἷς δὲ ὡς θησαυρόν τινα κεκρυμμένον ταῖς ἱεραῖς ἀποτεταμιευμέναις τῶν

C Πατέρων ἡμῶν βίβλοις, πάντας τοὺς ἄσυλον τὴν ὑγιαίνουσαν ἑαυτοῖς πίστιν διατηροῦντας τῆς ἀσαλεύτου καταξιώσει τῶν οὐρανῶν βασιλείας, πρεσβείαις τῆς αὐτὸν τεκούσης ἀειπαρθένου καὶ Θεοτόκου καὶ πάντων τῶν τὰ σεπτὰ παραδεδωκότων ἡμῖν δόγματα θείων Πατέρων ἡμῶν.

ΛΟΓΟΣ Β'.

α'. Δεύτερος ἡμῖν οὗτος ὁ κατὰ τοῦ Κυπρίου ἀγών. Σὺ δὲ, γνήσιε υἱὲ φίλτατέ μοι Θεόδωρε, ἐφ' οἷς τὰ πρῶτα τῆς καθ' ἡμῶν προέβη σπουδῆς, δεύτερα τὰ πρὸς ἀπάντησιν ὁρῶν τὴν αἰτίαν μὴ ἀγνόει. Οἷς γὰρ ἐνετυχήκαμεν πρότερον, τούτοις καὶ ἀντικατέστημεν πρότερον, ἃ δὲ εἰς γνῶσιν ἡμῶν τὸ δεύτερον ἦκεν, ταῦτα καὶ διὰ τῆς ἐσύστερον ἀνατρίπομεν ἀντιῤῥήσεως. Πρῶτα δὲ ἡμῖν τὰ καθ' ἡμῶν

D δεύτερα τοῦ ἀνδρὸς ἐγνώσθησαν νεανιεύματα, ὅτι τὴν μὲν τῶν προτέρων γνῶσιν αἱ ὑπὲρ τοῦ ἀληθοῦς δόγματος ὑπερόριοι ἡμῶν ἐκώλυσαν φυλακαί. Τῶν δὲ δευτέρων οὐδὲν ἦν γενέσεως καὶ γνώσεως μεταξὺ, διὰ τὸ συνεπιδημεῖν ἀλλήλοις μετὰ τὴν ἐν μέσοις ἀνακτόροις συμπλοκὴν ἡμῶν καὶ ἀποκατάστασιν. Αὕτη μὲν οὖν αἰτία τοῦ δευτέρους ἡμᾶς ἐπὶ τὸν ἀγῶνα τοῦτον ἐλθεῖν. Ἐρχόμεθα δὲ οὐκ ἴσον τῷ ἀνταγωνιστῇ τρόπον ἀγωνισόμενοι, ὕβρεσι δηλονότι καὶ σκώμμασιν, ὡς ἀμυντηρίοις τισὶν ὅπλοις χρήσασθαι κατ' αὐτοῦ. Αὐτοῦ γὰρ μόνου καὶ ἄλλου τινὸς τῶν οὐδενὸς τῶν ὅσοι καὶ ἀληθῆ καὶ φιλόσοφον οἴδασιν, ὃν αὐτὸς μὴ εἰδὼς εἰδέναι ἐπαγγέλλεται τὸν τρόπον τοῦτον διαγωνίζεσθαι. Ἡμεῖς δ' ἐπεὶ ἓν τοῦτο μόνον οἴδαμεν τοῦ ἀγῶνος εἶναι τὸ

Digitized by Google Распознавание текста ABK/FR

κεφαλαιωδέστατον, τὴν τοῦ πατρικοῦ συστῆσαι ἀλήθειαν δόγματος, καθ' οὗ τόσον ἔπνευσεν οὗτος, ὡς μηδὲν ἡγεῖσθαι βιώσιμον, εἰ μὴ νέον ἑαυτὸν αἱρεσιάρχην τῇ τοῦ Θεοῦ καταστήσειεν Ἐκκλησίᾳ, πρὸς μὲν τὰς ὕβρεις καὶ βλασφημίας, ἃς πολλὰς οὗτος ὅτι μάλιστα, καὶ βαρείας καὶ ἄλλῳ τινὶ τυχὸν ἀνυποίστους τῶν, οἷος αὐτὸς μικροφυῶν τὴν γνώμην καὶ ἀγενῶν, τῆς ἡμῶν καταχέει μετριότητος, οὐδὲν ἄμεινον τοῦ παρὰ τοῦ Δαυῒδ κωφοῦ καὶ ἀλάλου διακεισόμεθα. Ὁπόσα δὲ ἀπὸ κοιλίας αὐτὸς κενοφωνεῖ δόγματα τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἀλλότρια, τοῦ παντὸς ἀποτέμνοντες λόγου οὗ καθ' ἡμῶν πρότερος οὗτος ἀντιῤῥητικῶς ἐῤῥαψῴδησεν, ἐπὶ του μέσου προθήσομεν, καὶ τῷ βουλομένῳ διαγινώσκειν παρήσομεν, εἰ μὴ διὰ γραφικῶν ἀποδείξεων τὸν αἱρέσεων αὐτοῦ παραστήσομεν ἔλεγχον. Ἀκουέτω γοῦν οὗτος ὅστις ἂν εἴη, καὶ διαγινωσκέτω.

β'. « Τὸ Πνεῦμα, » φησὶ, « τὸ ἅγιον ἐκ τῆς οὐσίας λεγόμενον τοῦ Πατρὸς, καλῶς ἂν ἔχοι καὶ εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι. Μία γὰρ, καὶ ὡς οὐσία οὐκ ἔστιν ὅπως ποτὲ διαίρεσιν δέχοιτο. Διότι δὲ μία τὸ ἐκ τῆς οὐσίας ὁμολογούμενον τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑπάρχειν ὁμολογεῖται. Πλὴν οὐ διὰ τοῦτ' ἤδη καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑποστάσεως τὸ Πνεῦμα, κἂν ὅτι μάλιστα ἐκ τῆς ὑποστάσεως; καὶ ἐκ τῆς οὐσίας λέγηται τοῦ Πατρός. » Τί φῂς; ὁ διαγινώσκων; ἆρα σοφίας ταῦτα ἐπάξια, ἣν ὁ ταῦτα λέγων βρενθύεται, οὐχ ὑπὲρ τοὺς νῦν ἅπαντας μόνον, ἀλλ' εἴπερ τις καὶ τῷ χρόνῳ ποτὲ τὸ ἐπὶ σοφίᾳ κλέος ἀπενεγκάμενος γέγονε; Τίς ποτε, ὦ οὗτος, πολλῶν ὄντων τῶν διὰ μέσου τοῦ χρόνου ἀναδειχθέντων παρὰ Θεοῦ ἡμῖν θεολόγων, τοιαῦτα ἐπὶ τῆς ἁγίας Τριάδος τεθεολόγηκε; « Καλῶς ἂν ἔχει, » φησὶ, « καὶ εὐσεβῶς τὸ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας λεγόμενον καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι, διὰ τὸ μίαν τὴν τοῦ Υἱοῦ καὶ Πατρὸς εἶναι οὐσίαν. » Εἴη ἂν εὐσεβέστερον κατὰ σὲ, εἰ καὶ ἐκ τῆς ἑαυτοῦ οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον λέγοιτο. Ἤ γὰρ τοῦτο ἀποδειχθὲν, ἀληθῶς τὸν ἀκροώμενον πείσει μὴ δι' ἄλλον τινὰ λόγον, διὰ δὲ μόνον τὸ τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ οὐσίας ἐνιαῖον ἐκ τῆς ἀμφοῖν λέγεσθαι τὸ Πνεῦμα οὐσίας; ἢ ἐὰν τὸ ἐντεῦθεν βλάσφημον πρόδηλον, ἐντεῦθεν ἀποδειχθήσῃ καὶ σὺ μεγάλης ἔνοχος εἶναι τῆς βλασφημίας. Καὶ τὸ τῆς οὐσίας ἀδιαίρετον αἴτιον τῆς θεολογικῆς ταύτης ῥήσεως προβαλλόμενος φανερῶς ἐλεγχθήσῃ κλέπτων, οὐχὶ πείθων τὸν ἀκροώμενον. Τίς γὰρ ἔσται ὁ σοῦ χεῖρον τὴν οὐσίαν διαιρῶν, ἐὰν τὴν οὐσίαν τοῦ Πνεύματος τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ διαιρήσεις, μὴ συγχωρῶν ἴσως καὶ ἐκ τῆς ἑαυτοῦ εἶναι οὐσίας τὸ Πνεῦμα; Διατί δὲ, εἰπὲ, ἐκ μὲν τῆς οὐσίας τὸ λεγόμενον τοῦ Πατρὸς καὶ ἐκ τῆς ὑποστάσεως λέγεται, ἐκ δὲ τῆς οὐσίας λεγόμενον τοῦ Υἱοῦ ἐκ τῆς ὑποστάσεως οὐ ῥηθήσεται; Οὐχὶ κἀνταῦθα λόγοις μόνοις τὸ τῆς οὐσίας ἀδιαίρετον φαίνει ὁμολογεῖν, ἀληθῶς ταύτην αὐτὸς διαιρῶν, καὶ τῆς Ἀρειανικῆς διαρέσεως χεῖρον; Ὁ μὲν γὰρ τῷ τοῦ Πατρὸς ὑστέρῳ, καὶ ὅτι γεγονότα

ille nesciat, scire se tamen profitetur. Nos vero, qui hoc solum tenemus, summam certaminis esse, paterni dogmatis veritatem constabilire, ad quod convellendum tantumdem hic insudavit, ut vivere se posse minime existimet, nisi novum se hæresiarcham in Ecclesia constituat, erga illius injurias ac blasphemias, quas innumeras ille atque immensas, et graves, et alteri, qui æque atque ille pusillo atque degeneri animo est, minime forte tolerabiles, in nostram mediocritatem effudit, non melius quam qui apud Davidem est surdus et mutus, agemus. Quæ vero ipse ex ventre nova eructat dogmata, a Dei Ecclesia prorsus aliena, ex oratione, quam ille primus nobis contradicens concinnavit, præsecantes in medium adducemus, volentique dijudicare relinquemus, annon firme per scripto traditas demonstrationes illius refutationem instituemus. Audiat igitur quicunque ille sit, atque dijudicet.

2. « Spiritus, » inquit, « sanctus, cum dicitur ex essentia Patris, recte pieque et ex essentia Filii dicetur. Una siquidem est, et uti essentia nullam divisionem admittet. Et quod una est, qui ex essentia Patris Spiritus esse affirmatur, et ex essentia Filii exsistere asseritur. Non propterea tamen Spiritus ex hypostasi Filii erit, licet asseveranter ex essentia et hypostasi Patris dicatur. » Quid hic ais, qui hæc dijudicas? Annon hæc digna sunt sapientia, quam horum assertor possidere sese jactat, non super omnes solum, qui nunc vitam agunt, sed super reliquos omnes qui aliis atque aliis temporibus sapientiæ fama nobilitati sunt? Quis unquam, o tu, cum multi sunt, qui hoc medio tempore a Deo nobis theologi constituti sunt, similia de divina Triade sanxit? « Bene, » ait, « pieque qui ex essentia Patris Spiritus dicitur, ex essentia quoque Filii dici, quod Patris et Filii una essentia est. » At magis pium esset, te judice, si et ex sua ipsius essentia Spiritus diceretur. Id enim si vere demonstretur, vere auditori suadebit, nullam ob aliam rationem, sed tantummodo ob unitatem essentiæ Patris et Filii ex utriusque essentia Spiritum dici: aut si inde blasphemia manifesta enascitur, demonstraberis tu quoque maximæ blasphemiæ obnoxius esse. Et essentiæ indivisibile causam hujusce theologicæ sententiæ proponens, palam deprehenderis subducens, non persuadens auditorem. Quis enim fuerit, qui te pejus essentiam diviserit, si essentiam Spiritus ab ea quæ est essentia Patris et Filii separabis, non concedens forte, et ex sui ipsius essentia Spiritum esse? Quare vero, dicito quæso, quod ex essentia Patris, et ex hypostasi illius dicitur; quod vero ex essentia Filii, ex hypostasi illius non dicetur? Annon hic quoque non ratione tantummodo, quod in essentia est indivisibile deprehenderis confiteri, vere ipsam subdividens, et Ariana divisione atrocius? Ille siquidem posterioritate Patris, et quod generatus esset ex Patre, non coæternum

Digitized by Google Распознавание текста ABK/FR

asserebat Patri Filium, quasi essentiam divideret, A condemnatus est. Tu vero alio modo sumi essentiam sanciens, cum ex Patris essentia Spiritus dicitur (est enim in hypostasi) alio modo cum ex essentia Filii (est enim absque hypostasi) multo majori mensura illius blasphemiam superas. Et sit hæc tua blasphemia prima. Quod vero subsequitur quale est?

παρὰ Πατρὸς, καὶ οὐ συναΐδιον ἔλεγε τῷ Πατρὶ τὸν Υἱὸν τὴν τῆς οὐσίας κατεδικάσθη διαίρεσιν. Σὺ δὲ, ἄλλως μὲν λαμβάνεσθαι τὴν οὐσίαν νομοθετῶν, ὅταν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον λέγοιτο, ἐνυπόστατον γὰρ, ἄλλως δ' ὁπηνίκα ἐκ τῆς τοῦ Υἱοῦ, ἀνυπόστατον γὰρ, πολλῷ τῷ μέσῳ τὴν ἐκείνου βλατφημίαν ὑπερελαύνεις Καὶ κείσθω βλασφημία πρώτη σοι αὕτη. Τὸ δ' ἑπαγόμενον οἷον;

3. « Essentia quidem, » ait, « cum quid commune est iis, de quibus dicitur, et non circumscriptum, nunquam simpliciter ab una persona definita, nunquam causa hypostasis fuerit. » Si vera hæc oratio est, quonam modo falsus non est (sed in eum, qui falsa memorat, condemnatio convertatur) Athanasius Ecclesiæ fulcrum, nunc, « proprium » vocans « fetum Filium, » nunc B « essentiam Patris principium et radicem, et fontem Filii » decernens, nunc: « Neque enim deformis est, » dicens, « adscita Filii essentia, neque ex non entibus introducta est, sed ex paterna essentia nata est, quemadmodum ex lumine splendor, et ex aqua vapor; » nunc: « Causa est Dei natura, » determinans, « et Filii et Spiritus, paternam essentiam principium, et radicem, et fontem Filii, » et rursus « causam Filii et Spiritus Dei naturam » Athanasius tradit. Et Cyprius: « Nunquam, » ait, « causa hypostasis essentia Dei fuerit. »

γ'. « Οὐσία μὲν, » φησὶ, « κοινόν τι οὖσα καθ' ὧν λέγεται, καὶ ἀπερίγραπτον, καὶ μήποτε καθοτιοῦν ἑνὶ προσώπῳ περιοριζομένη, οὐκ ἂν ποτε αἰτία ὑποστάσεως φαίνοιτο. » Εἰ ἀληθὴς ὁ λόγος, πῶς οὐ ψευδὴς (ἀλλ' εἰς τὸν ψευδόμενον τὸ κατάκριμα τρέποιτο) Ἀθανάσιος τῆς Ἐκκλησίας τὸ στήριγμα, νῦν μὲν « ἴδιον » ἀποκαλῶν « γέννημα τῆς τοῦ Πατρὸς οὐσίας καὶ τὸν Υἱὸν, νῦν δὲ τὴν τοῦ Πατρὸς οὐσίαν ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν » ἀποφαινόμενος « τοῦ Υἱοῦ· « καὶ νῦν μὲν, « Οὐ γὰρ ἐξωλές τί ἐστι, » λέγων, « ἡ τοῦ Υἱοῦ ἐφευρεθεῖσα οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔφυ, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα, καὶ ὡς τοῦ ὕδατος ἡ ἀτμὶς, » νῦν δὲ, « Αἰτία ἐστὶν ἡ τοῦ Θεοῦ φύσις, » θεολογῶν, « καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τὴν τοῦ Πατρὸς οὐσίαν ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν τοῦ Υἱοῦ, » καὶ πάλιν « αἰτίαν Υἱοῦ καὶ Πνεύματος τὴν τοῦ Θεοῦ φύσιν » Ἀθανάσιος θεολογεῖ. Καὶ Κύπριος, « Οὐκ ἂν ποτε, » φησὶν, « αἰτία ὑποστάσεως ἡ οὐσία φαίνοιτο τοῦ Θεοῦ. »

4. « At Nicæni Patres, » inquit, « ex essentia Patris Filium affirmantes, ex hypostasi quoque addiderunt, consubstantiale et causatum inde C comprobare volentes, et accipientes alium alio denotari. Nam si consubstantialis plana demonstratio est, cum ex essentia dicitur veluti ex causa, ergo cum dicitur, ex hypostasi, absque ulla contradictione confirmat. » Hic alius est blasphemiæ excessus. Novus siquidem theologus, vel ut aptius dicam, vaniloquus illud quod in hypostasi, et illud quod sine hypostasi est Patris et Filii essentiam dividens, prius cum determinat, ex essentia Patris in hypostasi esse Spiritum, tanquam consubstantiale causatum, ex essentia vero sine hypostasi Filii, tanquam qui non est causatus ab ipso, sed ut simplex consubstantialis, veluti si quis duo secundum paternam consubstantialitatem conjunxerit, D postmodum etiam ab ipso Patre essentiam hypostaseos dividere non veretur: « Quandoquidem, ait, ex Patris essentia Filium esse dicens, duplicem hanc sententiam dictione simili exprimit, ex essentia nempe quod ejusdem substantiæ est, ex Patre, Filii hypostasim causari novit. » Ego vero ex jam dictis cum ostenderim ex Patre Filium causari, quod ex essentia Patris est, si per easdem scripturas demonstravero eum consubstantialem esse Patri, quod ex hypostasi Patris est, utroque modo commentitiam ipsius divisionem refellam. Magnus enim in rebus divinis Basilius, « Non fratres, » ait, « dicimus Patrem et Filium, sed Patrem et Filium confitemur, unum vero idemque essentiæ, quandoquidem

δ'. « Ἀλλ' οἱ ἐν Νικαίᾳ, » φησὶ, « Πατέρες, ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἰπόντες, καὶ τὸ ἐκ τῆς ὑποστάσεως προστεθείκασι, τὸ ὁμοούσιον καὶ αἰτιατὸν ἐντεῦθεν παραστῆσαι βουλόμενοι, καὶ θάτερον θατέρου παρειληφότες δηλωτικόν. Εἰ γὰρ τοῦ ὁμοουσίου σαφὴς ἐστιν ἔνδειξις τὸ ἐκ τῆς οὐσίας εἰπεῖν, τὸ ἄρα ὡς ἐξ αἰτίας τὸ ἐκ τῆς ὑποστάσεως φάναι χωρὶς ἀντιλογίας παρίστησιν. » Ἄλλη αὕτη βλασφημίας ὑπερβολή. Ὁ γὰρ καινὸς θεολόγος, ἢ ματαιολόγος τὸ κυριώτερον, εἰς τὸ ἐνυπόστατον καὶ ἀνυπόστατον τὴν τοῦ Υἱοῦ καὶ Πατρὸς οὐσίαν διαιρῶν πρότερον ἐν τῷ νομοθετεῖν ἐξ ἐνυποστάτου μὲν τῆς τοῦ Πατρὸς εἶναι οὐσίας τὸ Πνεῦμα, ὡς ὁμοούσιον ἐξ αὐτοῦ αἰτιατόν· ἐξ ἀνυποστάτου δέ γε τῆς τοῦ Υἱοῦ, ὡς οὐχὶ δι' αὐτοῦ αἰτιατὸν, ἀλλ' ὡς ἁπλῶς ὁμοούσιον, ὥσπερ ἂν εἴ τις δύο τινὰ κατ' ἀδελφικὴν συνάψειεν ὁμοουσιότητα, ἐφεξῆς; καὶ ἀπ' αὐτοῦ διὰ τοῦ Πατρὸς τὴν οὐσίαν τῆς ὑποστάσεως ἀναισχυντεῖ διαιρεῖν. « Ἐπεὶ, » φησὶν, « ὁ τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς εἶναι λέγων οὐσίας διπλῆν ταύτην συναναφαινομένην ἔχει τῇ λέξει τὴν ἔννοιαν, κατὰ μὲν τὸ ἐκ τῆς οὐσίας τὸ ὁμοούσιον, κατὰ δὲ τὸ ἐκ τοῦ Πατρὸς τὸ τῆς τοῦ Υἱοῦ ὑποστάσεως σημαίνων αἰτιατόν. » Ἐγὼ δ' ἐκ τῶν ἤδη ῥηθέντων προαποδεδειχὼς αἰτιατὸν ἐκ Πατρὸς τὸν Υἱὸν εἶναι διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι, εἰ διὰ τῶν αὐτῶν ἀποδείξω γραφῶν καὶ ὁμοούσιον τῷ Πατρὶ διὰ τὸ ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς εἶναι, ἀμφοτέρωθεν τὴν ἐφευρημένην αὐτῷ ἀπελέγξω διαίρεσιν. Ὁ μὲν γὰρ πολὺς τὰ θεῖα Βασίλειος, « Οὐκ ἀδελφὰ, » φησὶ, « λέγομεν τὸν Πατέρα καὶ

Digitized by Google Распознавание текста ABK/FR

τὸν Υἱὸν, ἀλλὰ Πατέρα καὶ Υἱὸν ὁμολογοῦμεν· τὸ δὲ τῆς οὐσίας ταυτὸ, ἐπειδὴ ἐκ τοῦ Πατρὸς ὁ Υἱός. » Ὁ δὲ ἅγιος Κύριλλος, « Τὸ γὰρ ἐκ τοῦ Πατρὸς, » φησὶ, « γεγεννῆσθαι τὸν Υἱὸν ἀναγκάσει δὴ πάντας καὶ οὐκ ἐκόντας ἡμᾶς ἀποδοῦναι τὸ ὁμοούσιον αὐτῷ. » Τί φῂς, ὦ ὅστις ἂν εἶης ὁ διαγινώσκων; Εἰ τῆς ὑποστάσεως τὸ Πατήρ ἐστιν ὁμολογουμένως δηλωτικὸν, καὶ οἱ Πατέρες ἀπὸ τοῦ ἐξ αὐτῆς τὸν Υἱὸν εἶναι τὸ πρὸς τὸν Πατέρα συνάγουσιν ὅμοιον, ὅποι ψεύδους ταχθήσεταί σοι ὁ φιλοσοφῶν, ὡς « Ὁ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν λέγων διπλῆν ταύτην ἐμφαίνει συναναφαινομένην τῇ λέξει τὴν ἔννοιαν, κατὰ μὲν τὸ ἐκ τῆς οὐσίας τὸ ὁμοούσιον, κατὰ δὲ τὸ ἐκ τῆς ὑποστάσεως τὸ τοῦ Υἱοῦ δηλοῦσαν αἰτιατόν. »

ex Patre Filius est » Sanctus vero Cyrillus, « Namque ex Patre, » inquit, « generatum esse Filium, coget nos omnes etiam invitos illi consubstantialitatem tribuere. » Quid ais, quisquis es, qui hæc dijudicas? Si Patris nomen apud omnes in confesso est hypostasim significare, et Patres, quod ex ipsa Filius est, ejusdem cum Patre essentiæ colligunt, in quonam reponetur mendacio, qui philosophatur : « Qui ex essentia Patris Filium dicit, duplicem hanc sententiam dictione simili exprimit, ex essentia nempe, quod ejusdem substantiæ est, ex hypostasi causari Filium. »

ε'. Ἀλλ' ἴδωμεν, ὅπως αὐτὸς ἑαυτῷ καὶ τῇ ἀληθείᾳ περιπίπτει ἀλογώτατα ὁ σοφώτατος. « Εἰ καὶ μερίζομεν, » φησὶν, « ὑπόστασιν οὐσίας, ἀλλ' οὐχὶ σαρκίνῳ καὶ παχεῖ μερισμῷ οὐσίαν ὑποστάσεως διαιροῦμεν ἡμεῖς, οὐδ' ἑκατέρῳ χωρὶς θατέρου ἰδίαν ἀπονέμομεν ὕπαρξιν. Μόνῳ δὲ τῷ λόγῳ ἀποδιαστῶμεν, ἄλλως μὴ πεφυκότα, χωρίζεσθαι. » Καὶ εἰ μόνῳ τῷ λόγῳ, ἀντεπάγοντες ἡμεῖς λέγομεν· ταυτὸν δ' εἰπεῖν, μόνῃ τῇ ἐπινοίᾳ, ὡς ἀληθῶς ἔχει, ἡ οὐσία τῆς ὑποστάσεως διῄρηται· ἄλλως δὲ ταῦτα πέφυκε χωρίζεσθαι οὐδαμῶς, ἢ λόγῳ μόνῳ καὶ ἐπινοίᾳ μόνῃ ψιλῇ. Ἀλλὰ τρέποιτο εἰς κεφαλὰς ἀθέων τὸ βλάσφημον, ἡ τοῦ Πνεύματος πρόοδος ἐκ τῆς τοῦ Υἱοῦ ἔστω οὐσίας, ἐὰν ἐξ ἀνυποστάτου οὐσίας αὐτῆς πρόεισιν; ἢ ἐὰν ταῖς ἀληθείαις αὐταῖς πράγματι καὶ οὐσίᾳ καὶ φύσει ἐκ τῆς τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν οὐσίας, πῶς οὐκ οὐσία ἐνυπόστατος ἐξ ἀνυποστάτου ἔσται αὖτὸ τῆς οὐσίας τὸ προϊόν;

5. Sed consideremus quanam ratione sibi veritatique absurdissime sapientissimus hic contrarietur. « Licet, » ait, « dividimus hypostasim ab essentia, at non carnea crassaque divisione essentiam ab hypostasi partimur, neque alteri ab altero sejuncto propriam exhibemus exsistentiam ; tantummodo ea sola ratione sejungimus, quæ sejungi natura sua apta non sunt. » Et si sola ratione contra producentes nos dicimus, quod idem est ac dicere sola cogitatione, ut res vere se habet, essentia ab hypostasi dividitur : alia siquidem ratione hæc dividi natura sua apta non sunt, nisi ratione sola, et nuda sola cogitatione : sed blasphemia in capita impiorum convertatur, progressus Spiritus ex essentia Filii sit, si ex essentia absque hypostasi progreditur, aut si re ipsa vere et essentia et natura ex essentia Filii Spiritus est, quomodo non essentia in hypostasi ex essentia absque hypostasi progrediens Spiritus?

ς'. « Ἀλλ' εἰ τὴν αἰτίαν εἰς τὴν οὐσίαν ἀνοίσεις, » φησὶν, « οὐκ εἰς τὴν ὑπόστασιν, πῶς ὁ Πατὴρ μᾶλλον αἴτιος τοῖν δυοῖν, καὶ οὐχὶ καὶ αὐτὰ καὶ ἀλλήλων αἴτια καὶ τοῦ Πατρὸς, τὸ ἓν ἀπαραλλάκτως ἔχοντα κατὰ τὴν οὐσίαν; Καὶ πῶς εἰς τὴν Τριάδα ἡ τῆς ὑπερουσίου γονιμότητος ἔκφανσις στήσεται, εἴπερ τῆς οὐσίας ἁπλῶς ἐστι τὸ γόνιμον, καὶ οὐχὶ αὐτίκα ἀπειρία ἔσται προσώπων, πάντων ἐπίσης καὶ γεννώντων καὶ ἐκπορευόντων διὰ τὸ τῆς οὐσίας ταυτόν; » Ἐνταῦθα πρῶτα μὲν, καὶ εἰ μὴ τὴν αἰτίαν φαμὲν, εἰς τὴν οὐσίαν ἀνοίσει τις, πόθεν ἄλλοθεν τὸ τῶν αἰτιατῶν πρὸς τὸ αἴτιον ὁμοούσιον συναχθήσεται; Εἰ γὰρ ὡς ὁ κενοφωνῶν διατείνεται, ἡ οὐσία τῆς ὑποστάσεως ἐν τῷ τῆς αἰτίας λόγῳ διῄρηται, καὶ κατ' ἄλλον μὲν τὸν λόγον τῇ μακαρίᾳ Τριάδι τὸ ὁμοούσιον, κατ' ἄλλον δὲ τὸ αἴτιον καὶ αἰτιατόν ἐστι, τὸ αἰτιατὸν καὶ ὁμοούσιον διαιρεθήσονται· καὶ ταῦτα διαιρεθέντα καὶ τὴν Τριάδα συνδιαιρήσουσιν, οὐχ ἣν διαίρεσιν κατὰ τὴν εὐσεβῆ αὖτη ἔχει ὁμολογίαν, ἀλλὰ καινήν τινα καὶ ἀλλόκοτον ἄλλην, ὥστε τὸ μὲν αὐτῆς ὁμοούσιον κατὰ τὴν λόγῳ καὶ ἐπινοίᾳ νοουμένην διαίρεσιν τῆς οὐσίας ἀπὸ τῆς ὑποστάσεως εἶναι, τὸ δ' αἴτιον καὶ αἰτιατὸν κατὰ τὰς ὑποστάσεις ἁπλῶς ψιλὰς τῆς ὁμοουσιότητος. Ἔπειτα δὲ καὶ πῶς φαμεν, ἀλληλαίτια ἔσται τὰ πρόσωπα διὰ τὸ τῆς οὐσίας ταυτόν τε καὶ ἀπαράλ-

6. « Quod si causam, » inquit, « in essentiam referas, et non in hypostasim, quomodo Pater potius duorum causa erit, et non etiam ipsa mutuo sui ipsius causa erunt et Patris, cum unum æque sint prorsus secundum essentiam? Et quomodo in Triade supersubstantialis fecunditatis effusio sistetur, si essentiæ simpliciter fecunditatis est, et non statim innumera personarum multitudo exorietur, omnium æquali ratione et generantium et producentium propter unum ac idem essentiæ? » Hic primum quidem, etsi causam non dicimus, in essentiam quis non deferat, undenam aliunde eorum, quæ ex causa sunt, cum causa consubstantiale colligetur? Namque si, ut novator iste contendit, essentia ab hypostasi ratione causæ dividitur, et alio quidem modo in beata Triade consubstantiale, alio vero modo causa et causatum est, causatum et consubstantiale dividentur, et hæc divisa Triadem quoque simul una secum dividet, non ea divisione, quam ipsa sibi secundum piam confessionem vindicat, sed alia nova et prodigiosa, adeo ut ipsius consubstantiale secundum ratione et cogitatione divisionem intellectam essentiæ ab hypostasi sit, et causa et causatum secundum hypostases simpliciter nudas consubstantialitatis. Deinceps, quomodo dicimus personas mutuo sibi causas esse propter

Digitized by Google Распознавание текста ABK/FR

idem essentiæ, et prorsus simile? quomodo non innumera personarum multitudo, si propter easdem rationes essentiæ quispiam fecunditatem asseruerit? Tibi vero hæc edicenti faciem obvertentes dicimus: Nonne essentiæ in illis fateris per omnia simile? Non negabis, scio. Si itaque, ut tu contendis, est quædam ratio quæ suadeat, consequi essentiæ per omnia simile generationes personarum et processiones, vel nega Scripturas, quæ affirmant Filium nasci ex essentia Patris, et Spiritum procedere, vel concede ex essentia Filii alium generari Filium, et ex essentia Spiritus alium Spiritum procedere. Quod si non ex essentia Patris Filii generationem, similiter ex eadem Paracleti processionem ad causatum, solamque consubstantialis indicationem accipis, nihil de hoc reluctabimur. Concede, nobis generationem ex essentia Filii, et concede nobis ex essentia Spiritus processionem propter trium in essentia per omnia simile, et generationes has et processiones ad consubstantiale nos etiam non ad causatum, tibi gratum facientes, accipiemus. At plane non concedis. Et quomodo ejusdem essentiæ est cum Patre Filius et Spiritus, si hæc neque causa mutuo suiipsius sunt, neque alia ex seipsis quæ generentur, aut procedant, possident? Quod enim ejusdem naturæ est et essentiæ per omnia simile necessario poscit, te asserente, has generationes et processiones. Fieri nequit, ut hæc tria inter se ejusdem naturæ sint, ni, te judice, et ex Filii et Spiritus essentia Filius generaretur, et Spiritus processerit, si non secundum causam, sed tantummodo propter eamdem eorumdem cum Patre essentiam; id est, si isti sunt tuarum determinationum effectus, prorsusque non alii sunt. Tandem deorsum te deprimens, qui mente clarus es, et cogitationibus sublimis, et iis qui a nobis demisse propter theologiæ addecentem attentionem afferentur, animum applicans persentisce, quo in discrimine versaris. Namque est vere Filius ejusdem naturæ cum Patre, et est vere ejusdem naturæ cum Patre et Filio Spiritus sanctus, nullaque cogit necessitas propter essentiam in omnibus similem horum trium, communem facere etiam causatis paternæ essentiæ fecunditatem. Cum personarum proprietates et secundum essentiam singulis inesse creduntur, si nullum in illis accidens, neque deforis advenieus, et essentiæ per omnia simile non deperditur.

7. Rursus: « Si aliud est, » inquit, « generans uti generans, et aliud generatum ut generatum, itemque producens ut producens, et procedens ut procedens, secundum vero essentiam supersubstantialis Trinitas, qua et unitas est, et non aliud et aliud, quomodo secundum eam fuerit Pater, aut productor, aut Filius et Spiritus, aut causa et causatum, et non statim secundum essentiam et distinctiones et diversitates exorientur? » Quod non hæc tria in unam, ego dico, personam contrahantur propter unitatem essentiæ. Aut enim inter generantem et genitum, et producentem et produ-

λακτον; πῶς δ' οὐκ ἀπειρία προσώπων, εἰ διὰ τῶν αὐτῶν λόγων τῆς οὐσίας ἐρεῖ τις εἶναι τὸ γόνιμον, Σοὶ δὲ πρὸς ταῦτα λέγοντι τὸ πρόσωπον τρέψαντες λέγομεν· Οὐχὶ τὸ τῆς οὐσίας ἐν αὐτοῖς ὁμολογεῖς; ἀπαράλλακτον; Ὁμολογήσεις, οἶδα. Εἰ γοῦν, ὡς οὐ διατείνῃ, ἔστι τις λόγος ὁ πείθων ἕπεσθαι τῷ τῆς οὐσίας ἀπαραλλάκτῳ γεννήσεις προσώπων καὶ ἐκπορεύσεις, ἢ ἄρνησαι τὰς ἐκ τῆς τοῦ Πατρὸς οὐσίας λεγούσας Γραφὰς γεννώμενον τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἐκπορευόμενον, ἢ ὅς καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ γεννώμενον ἄλλον Υἱὸν, καὶ ἐκ τῆς τοῦ Πνεύματος ἄλλο Πνεῦμα ἐκπορευόμενον. Εἰ δὲ καὶ μὴ τὴν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γέννησιν τοῦ Υἱοῦ, ὡσαύτως δὲ καὶ τὴν ἐκ τῆς αὐτῆς τοῦ Παρακλήτου ἐκπόρευσιν, εἰς τὴν τοῦ αἰτιατοῦ, μόνην δ' ἁπλῶς τοῦ ὁμοουσίου δήλωσιν ἐκλαμβάνῃ, οὐδὲν ἐπὶ τούτῳ ζυγομαχήσομεν. Δὸς ἡμῖν γέννησιν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ δὸς ἡμῖν ἐκ τῆς τοῦ Πνεύματος οὐσίας ἐκπόρευσιν διὰ τὸ κατ' οὐσίαν ἀπαράλλακτον τῶν τριῶν, καὶ τὰς γεννήσεις ταύτας καὶ ἐκπορεύσεις εἰς τὸ ὁμοούσιον, καὶ ἡμεῖς οὐκ εἰς τὸ αἰτιατόν σοι χαριζόμενοι ἐκληψόμεθα. Ἀλλ' οὐ δίδως. Καὶ πῶς ὁμοούσια Υἱὸς καὶ Πνεῦμα Πατρὶ, εἰ ταῦτα μὴ οὔτε ἀλληλαίτια, οὔθ' ἕτερα τὰ ἐξ αὐτῶν γεννώμενα ἔχουσι καὶ ἐκπορευόμενα; Τὸ δὴ ὁμοφυὲς καὶ ἀπαράλλακτον κατ' οὐσίαν ἀναγκαίως ἀπαιτεῖ κατὰ σὲ τὰς γεννήσεις ταύτας καὶ ἐκπορεύσεις. Οὐκ ἔσται ὅπως ὁμοφυῆ ἀλλήλοις ἔσται τὰ τρία, εἰ μὴ κατὰ σὲ ἐκ τῆς Υἱοῦ καὶ Πνεύματος οὐσίας Υἱὸς γεννηθήσεται καὶ Πνεῦμα ἐκπορευθήσεται, εἰ μὴ κατ' αἰτίαν, ἀλλὰ διὰ μόνον τὸ πρὸς τὸν Πατέρα ὁμοούσιον τούτων. Εἰ τοιαῦτα τῶν σῶν διορισμῶν τὰ ἀποτελέσματα, πάντως δὲ τοιαῦτα, ἐπινεύσας κάτω ποτὲ, ὁ μετέωρος σὺ τὴν γνώμην καὶ τὸ φρόνημα ὑψηλὸς, καὶ τοῖς παρ' ἡμῶν ταπεινῶς διὰ τὴν θεολογίαν προσήκουσαν προσοχὴν εἰρημένοις προσεσχηκὼς ἀσθάνθητι, ὅποι φέρῃ κινδύνου. Ἔστι γὰρ ἀληθῶς ὁμοφυὴς ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ἔστιν ἀληθῶς ὁμοφυὲς Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐδεμία ἡ ἀνάγκη διὰ τὸ κατ' οὐσίαν ἀπαράλλακτον τῶν τριῶν κοινὸν δοῦναι καὶ τοῖς αἰτιατοῖς τῆς πατρικῆς οὐσίας τὸ γόνιμον. Ἐπεὶ αἱ τῶν προσώπων ἰδιότητες καὶ κατ' οὐσίαν ἑκάστῳ ἐνεῖναι πιστεύονται, εἴπερ μηδὲ συμβεβηκὸς ἐκεῖ, καὶ ἐπιγινόμενον ἔξωθεν, καὶ τὸ τῆς οὐσίας ἀπαράλλακτον οὐ λυμαίνονται.

ζ'. Πάλιν, « Εἰ ἕτερόν ἐστι, » φησὶ, « τὸ γεννῶν ὡς γεννῶν, καὶ ἕτερον τὸ γεννώμενον ὡς γεννώμενον, καὶ αὖ τὸ ἐκπορεῦον ὡς ἐκπορεῦον, καὶ τὸ ἐκπορευόμενον ὡς ἐκπορευόμενον, κατὰ δὲ τὴν οὐσίαν ἡ ὑπερούσιος Τριὰς ἥ ἐστι καὶ μονὰς, καὶ οὐχ ἕτερον καὶ ἕτερον· πῶς ἂν εἴη κατὰ ταύτην Πατὴρ, ἢ προβολεὺς, ἢ Υἱὸς καὶ Πνεῦμα, ἢ αἴτιον καὶ αἰτιατὸν, καὶ οὐκ ἂν αὐτίκα καὶ κατὰ τὴν οὐσίαν διακρίσεις καὶ ἑτερότητες ἀναφανήσονται; » Διὰ τὸ μὴ καὶ τὰ τρία εἰς ἓν, ἐγὼ φημι, συναλείφεσθαι πρόσωπον παρὰ τὸ τῆς οὐσίας ἑνιαῖον. Ἡ γὰρ τὴν τοῦ γεννῶντος πρὸς τὸ γεννώμενον, καὶ τοῦ ἐκπορεύοντος πρὸς τὸ ἐκ-

πορευόμενον ἑτερότητα διὰ τὴν τῆς οὐσίας ἑνότητα τῆς οἰκείας διδότω τις ἐξίστασθαι διαιρέσεως, ἢ μὴ δοῦναι τοῦτο δυνάμενος, μηδὲ τῆς οὐσίας φανταζέσθω διακρίσεις καὶ ἑτερότητας διὰ τὰς κατὰ τὸ γεννῶν καὶ γεννώμενον, καὶ ἐκπορεῦον καὶ ἐκπορευόμενον ἑτερότητας. Ὡς γὰρ οὐχὶ τῇ τῶν κλήσεων σχέσει καὶ τῇ εἰς πατρότητα καὶ υἱότητα διαιρέσει ἡ τῶν προσώπων οὐσία, ὧν ἡ διαίρεσις καὶ σχέσις, συνδιαιρεῖται· οὕτως οὐδὲ τῇ κατὰ τὸ γεννῶν καὶ γεννώμενον, καὶ ἐκπορεῦον καὶ ἐκπορευόμενον διακρίσει συνδιακρίνεται.

ctum diversitatem propter essentiæ unitatem, a propria divisione exire concedat quispiam, aut si id concedere nequit, neque essentiæ imaginetur distinctiones et diversitates propter generantis et geniti et producentis et producti diversitates. Quemadmodum enim appellationum relatione, et in paternitatem ac filiationem divisione personarum, quarum divisio est et relatio, essentia non dividitur, pari modo neque generantis et geniti, producentis et producti distinctione distinguitur.

η'. « Οὐχ ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, » φησὶ, « λέγομεν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, διὰ τοῦτο καὶ ἀρχὴν αὐτὸν καὶ αἰτίαν ὁμολογοῦμεν· ἀλλ' ὅτι ἀρχὴ φυσικὴ καὶ αἰτία τῶν οὐσιωδῶς ἐξ αὐτοῦ ὑποστάντων, διὰ τοῦτο καὶ ἐκ τῆς οὐσίας ἐκείνου αὐτά. » Σοφιστικώτερον μὲν χρώμενος ἐνταῦθα ὁ λόγος τῷ ἡγουμένῳ καὶ ἑπομένῳ κλέπτειν πειρᾶται τὸν ἀκροατὴν, οὐχὶ πείθειν. Ἐγὼ δὲ εἰ καὶ ἀπὸ τῶν φυσικῶς ὄντων ἁπάντων τὴν ἐπὶ τοῖς εἰρημένοις ἔχω παραστῆσαι ἀντιστροφήν· τί γὰρ ἂν τις πᾶν τὸ ἐκ τῆς οὐσίας τινὸς εἶναι λεγόμενον, ὡς ἐξ αἰτίου εἶναι λέγει αὐτό· καὶ ἀνάπαλιν πᾶν τὸ ὡς ἐξ αἰτίου τινὸς φυσικοῦ καὶ ὁμοφυοῦς τῷ αἰτίῳ εἶναι ὁμολογεῖ· ἀλλὰ ταύτην πρὸς τὸ παρὸν παριδὼν, καί τι πρὸς τὸν λόγον εἰπεῖν ἂν πρὸς τὸν λέγοντα· Εἴ τις τιθείη τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ τὸν Υἱὸν εἶναι, ἕπεσθαι ὡς ἡγουμένῳ τῷ αἰτίαν αὐτὸν εἶναι τῶν ἐξ αὐτοῦ. Ἡ γὰρ ἄχρι τῶν Γραφῶν τὸ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεσθαι, ἢ τούτου γε ὁμολογουμένου κατὰ τὸν σὸν ἀναγκαίως συναχθήσεται λόγον, κατὰ τὸ δι' Υἱοῦ αἰτιατὸν ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα τοῖς Θεολογήσασι Πατράσι ῥηθῆναι αὐτό. Εἰ γὰρ διότι ἐκ τοῦ Πατρὸς τὸ εἶναι Υἱῷ καὶ Πνεύματι, διὰ τοῦτο ἐκ τῆς τοῦ Πατρὸς ταὐτὰ οὐσίας, ἔσται καὶ ἐκ τῆς τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐσίας, διότι δι' Υἱοῦ τὸ εἶναι τῷ Πνεύματι. Οὗτος ὁ λόγος καὶ δίχα τῆς ἀναγκαίας τῶν σῶν λόγων ἀντιστροφῆς τὸ τῶν σῶν νοημάτων ἀπελέγξει παράλογον. Εἰ δέ γε καὶ πάλιν πάντα σὺ λέγων κατ' ἐξουσίαν, οὐ διὰ τὸ εἶναι δι' Υἱοῦ τὸ Πνεῦμα ἐκ τῆς τοῦ Υἱοῦ αὐτὸ εἶναι οὐσίας ἐρεῖς, διὰ δὲ τὸ ἁπλῶς ὁμοούσιον· ἀλλ' ἀπαντήσεταί σοι ὁ λόγος τὴν τοῦ ὁμοουσίου κἂν ἐνταῦθα προτείνων ἀντιστροφὴν, καὶ ὁμοίως αὐτῇ ἀντιστρέφειν ἀπαιτῶν κατ' ἀνάγκην ἐπὶ Υἱοῦ καὶ Πνεύματος τὸ ἐκ τῆς οὐσίας. Τίς γὰρ καὶ τῶν μικρὰ συνορᾷν δυναμένων οὐ πᾶσαν εἶναι ἀνάγκην ἐρεῖ, εἰ διὰ τὸ ὁμοούσιον ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, καὶ ἐκ τῆς τοῦ Πνεύματος τὸν Υἱὸν διὰ τὸ αὐτὸ λέγεσθαι;

8. « Non quod ex essentia Patris, » ait, « dicimus Filium et Spiritum, propterea et principium ipsum et causam confitemur, sed quod principium naturale et causa est eorum, quæ ex ipso essentialiter subsistunt, propterea que ea ex ipsius essentia. » Captiosas argutiolas hic oratio usurpans, antecedenti et subsequenti subducere conatur auditorem, non persuadere. Ego vero licet ex naturalibus omnibus conversionem ad jam dicta probare possim : quilibet enim, quidquid ex essentia alicujus esse dicitur, tanquam ex causa esse, affirmaverit; et vice versa, quidquid tanquam ex causa naturali ab aliquo est, ejusdem esse cum causa naturæ asseruerit : sed hisce in præsentia neglectis, aliquid addam ad sermonem asserentem, si quis posuerit ex essentia Patris Spiritum et Filium esse, consequi ac si illud præcederet, causam ipsum esse eorum, quæ ex ipso sunt. Aut enim dele e Scripturis, ex essentia Filii Spiritum dici, aut si id fateamur, necessario te asserente colligetur, secundum per Filium causatum ex Patre esse Spiritum a Patribus, qui illud decrevere, dictum fuisse. Namque si quod ex Patre Filius et Spiritus esse habent, propterea ex essentia hæc Patris sunt, erit et ex essentia Filii Spiritus, quod ex Filio esse Spiritus habet. Hæc ratiocinatio, etiam absque tuorum sermonum conversione necessaria, tuarum sententiarum absurda manifestabit. Quod si rursus, o tu qui omnia propria auctoritate blateras, non quod per Filium Spiritus est, ex ipsius essentia dici affirmaveris, sed simpliciter propter eamdem essentiam, sed occurret tibi ratiocinatio, consubstantialis hic etiam protendens conversionem, et similis modo eam convertens necessario de Filio et Spiritu illud ex essentia pronuntiabit. Quis enim ex iis qui res vel momenti alicujus intelligere possunt, non prorsus necessario dicet, si propter eamdem essentiam ex essentia Filii Spiritus sanctus dicitur, etiam ex essentia Spiritus Filium propter idipsum dici.

θ'. Ἐν μιᾷ τῶν τοῦ οἰκείου λόγου περικοπῶν ὥσπερ τι λῆμμα τοῦτο τίθησι πρότερον· « Πολλὰ μὲν τὰ τοῦ ἔκ τινος σημαινόμενα. Καὶ γὰρ τὸ ἐξ ὕλης, καὶ τὸ ἐκ τόπου, καὶ τὸ μετὰ τοῦτο, ἔστιν ὅτε καὶ τὸ ἐξ ἀρχῆς, καὶ τὸ ἐκ τῆς οὐσίας ὅθεν λέγεται, καὶ τὸ ὅθεν ἐκινήθη, καὶ πλεῖστα δὲ ἕτερα τὴν φωνὴν εὑρήσεις σημαίνουσαν. Ἀλλ' ἐν τοῖς περὶ Θεοῦ λόγοις Κύριλλος μὴ τῶν ἄλλων δεόμενος ἐπὶ τριῶν τούτων τὸ ἔκ τινος ἐκλαμβάνεται. Σημαίνει μὲν γὰρ παρ'

9. In una suæ orationis pericope hanc veluti sumptionem ante alia proponit : « Multæ sunt illius *ex aliquo* significata. Namque ex materia, et ex loco, et cum hoc, aliquando etiam ex principio, et ex essentia unde dicitur, et unde motum habuit, et pleraque alia hanc dictionem denotare comperies. Sed cum de Deo sermo est, Cyrillus aliorum minime indigens, de his tribus illud, *ex aliquo*, accipit. Significat enim apud illum id quod

Digitized by Google Распознавание текста ABBYY FR

ex aliquo subsistit, et essentiam consequitur, qui primus et proprius hujusce erit significatus, tanquam qui repræsentat, proprie ex aliquo exsistentiam. Notat etiam ex consubstantiali manifestationem, et quasi ostensionem, qua ratione dicimus Dominum, naturam ex nobis assumpsisse, aut nobis consubstantialem. Item ex aliquo videri motum accipere, vel quid simile. » Illis veluti sumptione orationi, ut jam diximus, præpositis subinfert : « Itaque cum Cyrillum audis, ex Patre exsistere Spiritum sanctum dicentem, illud indicare puta, eum subsistere, habere esse, procedere. Cum vero ex Filio, ad alium statim significatum recurre, nempe inde tanquam ex consubstantiali manifestari, et ostendi, et inde motum habere, videtur. » Age jam tu horum dictorum fidem exsolve. Quo in loco hæc ait Cyrillus? Et si Cyrillus non est, quis est qui ea Cyrilli esse dictitat? producantur scripturæ, et eas supra caput gestare non recusabimus. Quod si tuæ mentis ista sunt fetus et germina, et esse nulli dubium est, a te solo in honore habeantur, nec tantum a te, sed ab iis etiam, qui more pecudum tuis vestigiis insistere non indelectantur. Verumtamen tu nil novi etiam hic moliris, nisi quis novum reputaverit, quod dum in omnibus aliis auctoritate qua es dogmata effingas, hic nominatim Cyrillum rerum a te dictarum auctorem constituis. Ego vero, licet abunde tua hæc commenta esse ostendere possum, dum tu ostendere nequis ea Cyrillum dictasse, alia quoque ratione tuam contra veritatem stultitiam evulgabo, palam ante oculos ponens, quam ipsa ob absurditatem refutationem admittunt : « Cum ex Patre, » ais, « exsistere Spiritum Cyrillus dicit, indicat eum subsistere, habere esse; cum ex Filio, ex consubstantiali manifestari, ostendi, et inde motum habere. » Ego vero aio, si duabus dictionibus diversos significatus tribueres, aut eamdem dictionem ab uno theologo de Patre, ab alio de Filio dictam probare posses, aut ab uno eodemque de utroque in alia tamen pericope de Patre addita determinatione, quæ illud inferet, in alia de Filio, cum aliud inferente determinatione, fortasse aliquid dicere videreris, proferens quæ dicis. Quod si una et eadem dictio est, quæ inter alias ad explicandam alicujus essentialem productionem et exsistentiam præcipua, ac potissima est; quid ex aliquo essentialem productionem aptius repræsentabit, nisi illud ex hoc, hoc quid naturaliter exsistere et essentialiter? Si ab uno eodemque et in una eademque scriptionis pericope, de utraque persona accepta, et tantum ab omni determinatione exempta, maxime personas vinciens, et quasi in unitatem contrahens conjunctio firmat, ad quid contra tuum caput absurdas has determinationes effingis? Si diverso modo ex Patre et Filio Spiritus exsisteret, non sic propter conjunctionis et indifferentiam de utroque sanctus ostendisset; nunc quidem, ex Patre et Filio illum progredi decernens, nunc,

A αὐτῷ αὐτό τε τὸ ἐκ τινος ὑφίσταται, καὶ οὐσιοῦται, ὃ δὴ καὶ πρῶτον καὶ κυρίως τοῦδε ἂν εἴη σημαινόμενον, ὡς αὐτὴν παριστάνων τὴν τοῦ κυρίως ἐκ τινος ὕπαρξιν. Σημαίνει δὲ καὶ τὴν ὡς ἐξ ὁμοουσίου φανέρωσιν, καὶ οἷον ἀνάδειξιν, καθ' ὃν τρόπον φαμὲν τὸν Κύριον τὴν ἐξ ἡμῶν φύσιν ἀναλαβεῖν, ἤγουν τὴν ὁμοούσιον ἡμῖν· ἀλλὰ δὴ καὶ τὸ ἐκ τινος δόξαι κινηθῆναι, καὶ εἴ τί που παραπλήσιον. » Ταῦτα καθά τι λῆμμα, ὡς εἴρηται, τοῦ λόγου προειληφὼς, ἐπάγει· « Οὐκοῦν ὅταν Κυρίλλου ἀκούῃς ἐκ Πατρὸς ὑπάρχειν τὸ Πνεῦμα τὸ ἅγιον λέγοντος, ἐκεῖνό γε δηλοῦν νόμιζε, ὅτι ὑφίσταται, ὅτι ἔχει τὸ εἶναι, ὅτι ἐκπορεύεται. Ὅταν δὲ ἐκ τοῦ Υἱοῦ ἐπὶ τὸν ἄλλον αὐτίκα τὸν, τοῦ ὅθεν ὡς ἐξ ὁμοουσίου φανεροῦται καὶ ἀναδείκνυται, καὶ τὸν, ὅθεν κινεῖσθαι δοκεῖ, μετάβαινε τρόπον. » Ἄγε δή, ὦ οὗτος, τὴν τῶν λεγομένων δίδου πίστιν ἡμῖν. Ποῦ ταῦτα Κύριλλος; Εἰ δὲ μὴ Κύριλλος, τίς ὅτι Κυρίλλου ταῦτα; παρίτωσαν αἱ Γραφαὶ, καὶ ἄνω φέρειν κεφαλῆς οὐ παραιτησόμεθα. Εἰ δὲ σῆς διανοίας ταῦτα γενήματα, ὅτι δὲ σῆς ἀναμφίβολον, καὶ μόνῳ σοι πρεσβυέσθωσαν, εἰ δὲ μὴ μόνῳ, ἀλλὰ καὶ τοῖς δίκην αἱρουμένοις θρεμμάτων ὀπίσω σου φέρεσθαι. Ἀλλὰ τὰ μὲν οὐδὲν ξένον καινοῦθα ποιῶν, εἰ μή τις ξένον λογίσαιτο ὅτι ἐφ' ἅπασι τοῖς ἄλλοις κατ' ἐξουσίαν πλάττων τὰ δόγματα, ἐνταῦθα καὶ πρὸς ὄνομα Κυρίλλον τῶν σῶν προεστήσω πλασμάτων, εἰρήκεις τὰ εἰρημένα. Ἐγὼ δὲ καίπερ ἀρκούντως εἰς τὴν τῶν σῶν πλασμάτων ἀπόδειξιν μόνου τοῦ μὴ ἔχειν σε ἀποδεῖξαι ὅτι Κύριλλος ταῦτα, καὶ ἄλλως τὴν κατὰ
C τῆς ἀληθείας ἀπελέγξω σου ματαιότητα, ὑπ' ὄψιν φανερῶς θέμενος, οἷον ἐπὶ τῷ παραλόγῳ ἔχει ταῦτα τὸν ἔλεγχον. « Ὅταν ἐκ Πατρὸς, » λέγεις, « ὑπάρχειν τὸ Πνεῦμα Κύριλλος λέγει, ὅτι ὑφίσταται δηλοῖ, ὅτι ἔχει τὸ εἶναι. Ὅταν δ' ἐκ τοῦ Υἱοῦ, ὅτι ὡς ἐξ ὁμοουσίου φανεροῦται καὶ ἀναδείκνυται, ὅτι ἐκεῖθεν κινεῖται. » Ἐγὼ δὲ, Εἰ μὲν δυσὶ, φημὶ, λέξεσί τισι τὰς διαφόρους σημασίας ἐδίδους, ἢ τὴν αὐτὴν λέξιν παρ' ἄλλου τῶν θεολόγων ἐπὶ Πατρὸς, καὶ παρ' ἄλλου ἐπὶ τοῦ Υἱοῦ εἰρημένην παριστᾷν εἶχες, ἢ παρ' ἑνὸς μὲν καὶ τοῦ αὐτοῦ ἐπ' ἀμφοῖν· πλὴν ἐν ἄλλῃ μέν τινι περικοπῇ ἐπὶ Πατρὸς, καὶ μετὰ τοῦτο δέ τι ὀνομένου διορισμοῦ, ἐν ἄλλῃ δέ τινι ἐπὶ Υἱοῦ, καὶ μετὰ τοῦ ἄλλο τι δυναμένου διορισμοῦ, ἴσως ἂν ἐδόκεις τι λέγειν, λέγων ἃ λέγεις· εἰ δὲ μία ἡ λέξις καὶ
D αὐτὴ τὸ κατὰ πασῶν αἱ τήν τινος οὐσίωσιν δηλοῦσα, καὶ ὕπαρξιν ἔχουσα κράτος· τί γὰρ τὴν ἐκ τινος οὐσίωσιν παραστήσεις, εἰ μὴ τὸ ἐκ τοῦδέ τινος τόδε τι φυσικῶς ὑπάρχειν καὶ οὐσιωδῶς; Εἰ παρὰ τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ τῇ αὐτῇ καὶ μιᾷ περικοπῇ τῆς γραφῆς ἐπ' ἀμφοῖν τοῖν προσώποιν λαμβανομένη καὶ τόσον παντὸς ἐξῃρημένη διορισμοῦ, ὅσον ὁ τὰ πρόσωπα συνδέων, καὶ οἷον συνάγων εἰς ἑνότητα σύνδεσμος παριστᾷ, ἵνα τί κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τοὺς παραλόγους πλάττῃ διορισμούς; Εἰ διαφόρως ἦν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ὑπάρχον, οὐκ ἂν οὕτω τὸ διὰ τοῦ καὶ συνδέσμου ἀδιάφορον ἐπ' ἀμφοῖν ὁ Ἅγιος ἐπεδείκνυτο, νῦν μὲν ἐκ Πατρὸς καὶ Υἱοῦ αὐτὸ προϊέναι θεολόγων, νῦν δὲ προχεῖσθαι παρὰ

Υἱοῦ, καθὰ δὴ καὶ παρ' αὐτοῦ τοῦ Πατρός. Ἡμεῖς μίαν ταύτην διαίρεσιν οἴδαμεν καὶ πρεσβεύομεν Πατρὸς καὶ Υἱοῦ, ἣν αἱ κλήσεις αὐταὶ πατρότης ἔχουσι καὶ υἱότης, ὡρισμένα τὰ προσωπικὰ συνεπαγόμεναι πάντα ἰδιώματα· καὶ οὐκ ἂν ποτέ τις μίαν τινὰ τῶν τὴν διαίρεσιν ταύτην δηλουσῶν λέξεων εἰληφὼς ἐπ' ἀμφοῖν τοῖν προσώποιν συνημμένως οὕτως ἐρεῖ, ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἀγέννητα, ἢ ὁ Πατὴρ καὶ ὁ Υἱὸς γεννητά, ἢ τὰ καὶ τὰ, ὅσα τῆς διαιρέσεως. Διά τοι τοῦτο οὐδὲ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν τὸ Πνεῦμα εἰς δήλωσιν, ἧς βούλει διαφορᾶς, τῷ Ἁγίῳ εἰλῆφθαι διατεινόμεθα. Σὺ δὲ τὰ τοιαῦτα χρησμολογῶν εἰς ὁμωνυμίαν ἀπάγεις τὸ καὶ δαίμοσιν ἐς δεῦρο ἀνεπιχείρητον, αὐτὴν ἐκείνην τὴν τοῦ ἁγίου Πνεύματος κλῆσιν, ἣν αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς καὶ Λόγος τῷ Παρακλήτῳ ἀφώρισεν, ὅτε τοῖς μαθηταῖς τὸ τῶν ἐθνῶν προέτρεπε βάπτισμα. Πῶς γὰρ οὐχ ὁμωνυμία σαφής, εἰ ἐκ Πατρὸς μὲν ὑπάρχειν εἰρημένον τὸ Πνεῦμα τὸ ἅγιον, δηλοῖ τὸν Παράκλητον, ἐξ Υἱοῦ δὲ ἐν ὑποψοῦν τῶν ἅπερ αἱ πεπλασμέναι σοι φανερώσεις καὶ ἀναδείξεις βούλονται ἐνεργημάτων αὐτοῦ; Ἔτι εἰ κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ τὸ ἐξ ἀμφοῖν τὸ Πνεῦμα καὶ κινεῖσθαι, καὶ φανεροῦσθαι, καὶ ἀναδείκνυσθαι, ἢ κοινὸν ἔστω καὶ τὸ ὑφίστασθαι, καὶ σύμπαν ἡμῖν ἵσταται τὸ ζητούμενον· ἢ ἐὰν ἰδίως ἐπὶ μόνου τοῦ Πατρὸς ἡ τοῦ ὑφίστασθαι σημασία τῷ ὑπάρχειν ἀποκεκλήρωται, οὐδὲ τὸ κινεῖσθαι καὶ φανεροῦσθαι, καὶ ἀναδείκνυσθαι κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ, ἀλλ' ἰδίως καὶ αὐτὰ ἐπὶ μόνου ἀποκεκλήρωται τοῦ Υἱοῦ. Καὶ δὸς ταῦτα κατὰ τὸ πρόδηλον, ὁ νέος δογματιστής, καὶ ἡμεῖς σιωπήσομεν. Ἀλλὰ δοῦναι οὐκ ἔχεις· κατὰ πολλὴν δὲ τὴν ἐξουσίαν τὰ μὲν τῶν ἐκ Πατρὸς καὶ Υἱοῦ μετὰ τῆς συναφείας τοῦ *καὶ* λεγομένων κοινὰ εἶναι νομοθετεῖς, τὰ δὲ ἴδια, καὶ οὐκ οἶδα λοιπὸν εἴ τις ἄλλος τῶν πώποτε μνημονευομένων αἱρετικῶν τοιαῦτα κατὰ Θεοῦ βεβλασφήμηκεν.

A effundi a Filio, [illegible] unam tantum divisionem [illegible] Patris et Filii, quam in [illegible] tiones paternitas et [illegible], cum [illegible] ducunt determinatas personales [illegible] tates, et nunquam quispiam [illegible] nibus, quæ divisionem hanc notant, [illegible] utraque persona conjunctim ita enuntiant, [illegible] et Filius unigenita, aut Pater et Filius [illegible], aut hæc et hæc, quæ sunt divisionis. Propterea neque illud ex Patre et Filio Spiritum exsistere, ad notandam, quam ipse vis, differentiam a sancto assumptum esse contendimus. Tu porro similia veluti ex oraculo fundens ad homonymiam rapis, quam nec dæmones ad hoc usque tempus conatu ullo assecuti sunt, illam ipsam sancti Spiritus appellationem, quam ipse Dei Filius et Verbum Paracleto appropriavit, cum discipulis gentium baptisma committebat. Quomodo enim non erit aperta homonymia, si ex Patre quidem exsistere cum dicitur Spiritus sanctus, significat Paracletum; ex Filio vero singulas, quas commentitiæ istæ tuæ manifestationes et ostensiones innuunt, illius operationes. Præterea si commune est Patri et Filio, ex utroque Spiritum et moveri, et manifestari, et ostendi, aut commune sit quoque subsistere, et universa nostra quæstio finem habebit: aut si proprie in solo Patre significatum subsistendi exsistendi dictio obtinet, et moveri, et manifestari, et ostendi, communia non sunt Patri et Filio, sed proprie ipsa in Filio locum habent. Palam hæc nobis concedito recens natus dogmatum lator, et tacebimus. Sed non concedes, imo magna auctoritate hæc quidem quæ ex Patre et Filio cum additione conjunctionis *et*, communia esse decernis, alia vero propria, et non dum capio, an ullus alius ex iis, qui unquam commemorantur hæretici, simile in Deum blasphemias ejaculavit.

B

C

ι'. Καὶ χωρὶς τούτων ὅσον ἔχει τὸν ἔλεγχον, ἐξ οὗ παράγει πρὸς ἀνατροπὴν τῆς ὑπάρξεως ὑποδείγματος, τὴν ὡς ἐξ ὁμοσίου τοῦ Υἱοῦ φανέρωσιν. «Δηλοῖ,» φησί, «τοῦ Πνεύματος καὶ ἀνάδειξιν ὁ ἐξ Υἱοῦ ὑπάρχειν λέγων τὸ Πνεῦμα, καθ' ὃν καὶ ἡμεῖς λέγομεν τρόπον τὸν Κύριον τὴν ἐξ ἡμῶν φύσιν ἀναλαβεῖν, ἤτοι τὴν ἡμῖν ὁμοούσιον.» Ἐγὼ δὲ καὶ τί φημι ἄλλο· ἡ ἐκ τῆς ἡμῶν φύσεως γεγονυῖα φανέρωσις τοῦ Κυρίου καὶ ἀνάδειξις δηλοῦν βούλεται ἢ τὴν κατὰ τὸν ἄνθρωπον αὐτοῦ ὕπαρξιν· ὅτι γὰρ ἐκ τοῦ Ἀδαμιαίου φυράματος τὴν κατὰ σάρκα ὕπαρξιν ὁ Κύριος ἔσχεν, ἡ φανέρωσις αὐτοῦ καὶ ἀνάδειξις γέγονε, καὶ καλῶς ἔχει λοιπὸν ἑπόμενον τῇ κατὰ σάρκα ὑπάρξει τὴν κατὰ σάρκα φανέρωσιν καὶ ἀνάδειξιν ὁμολογεῖν τοῦ Κυρίου. Εἰ γοῦν οὕτω ταῦτα, ἔχοντως δὲ οὕτω, καὶ ἡ παρὰ τοῦ Υἱοῦ φανέρωσις τοῦ Πνεύματος καὶ ἀνάδειξις τὴν παρὰ τοῦ Υἱοῦ ὕπαρξιν κατὰ τὰς τῶν ἀποδείξεων τεκμηριώδεις παρίστησιν. Ὅτι γὰρ ἐκ τοῦ Υἱοῦ ὑπάρχει καὶ πεφανέρωται, καὶ ἀποδέδεικται παρ' αὐτοῦ, καὶ χορηγεῖται καὶ δίδοται,

D

10. Et præter hæc quam solide confutantur exemplo, quo ille ad convellendam exsistentiam utitur: « Veluti ex consubstantiali Filio manifestationem, » ait, « Spiritus notat et ostensionem, qui ex Filio exsistere Spiritum asserit, eo quo nos dicimus modo Dominum, quæ ex nobis erat, naturam assumpsisse, nobis nempe consubstantialem. » Ego vero aliud adnecto: ex nostra natura facta Domini manifestatio, et ostensio prorsus innuit, secundum hominem illius exsistentiam: nam quod ex Adamiæa massa secundum carnem Dominus exsistentiam habuit, illius manifestatio et ostensio facta est, hinc sequitur nos commode cum exsistentia secundum carnem, secundum carnem manifestationem et ostensionem Domini fateri. Hæc itaque, si ita se habent, ut omnino se habent, etiam ex Filio Spiritus manifestatio et ostensio ex Filio exsistentiam secundum conjecturales demonstrationes repræsentabit. Quod enim ex Filio exsistit, et manifestatur, et

Digitized by Google Распознавание текста АВК/FR

ostenditur, ab eodem quoque suppeditatur, et datur, et quidquid aliud de illius exsistentia asseritur, cum et de Patre consideratio non alia sit. Quodsi a Patre quidem hoc, a Filio vero alio modo, alius rursus blasphemiæ laqueus differentiarum opifici complicabitur. Neque enim datorem naturalem et suppeditatorem Spiritus Filium agnoscere reputabitur, sed administrum et servum manifestationis et ostensionis.

11. « Exsistere ex Filio, » ait, « Cyrillus dixit Spiritum, sed non propter ipsius ad essentiam productionem, sed propter gratiam ex Spiritu, quæ in Filio manet, fidelibus effulgentem. » Alius iterum hic est blasphemiæ excessus. Nam si spiritalium donorum effectus, effulgens in fidelibus gratia Spiritus est, et si hæc quidem absque hypostasi sunt, ex Patre vero et Filio exsistentis Spiritus appellatio hæc indicat, qua ratione et Spiritus ex utroque exsistens, absque hypostasi ab eisdem exsistere non intelligetur? Ni rursus eadem ratione unam eamdemque Spiritus appellationem in duo subdividat, eumdem Spiritum cum hypostasi ex Patre, sine hypostasi ex Filio, prodigiosa loquacitate enuntians? « Exsistit ex Filio, » ait, « Spiritus, sed cum suppeditatum illum intelligimus, cum missum, et datum, cum ad renovandam creaturam venientem. » Et si cum hæc, tum ex Filio Spiritum intelligemus, posteriora vero hæc sunt, et sub tempore cadunt, plane non ab æterno exsistere ipsum ex Filio quispiam dicet. Quodsi non ab æterno a Filio ab æterno exsistens a Patre, hoc enim nec ipse fateri recusat, quomodo dictio exsistere de duobus secundum idem accepta, eumdem Spiritum nunc rursus in illud quod absque principio est, et in illud quod sub principio cadit, non dividet?

12. « Ex Patre, » inquit, « Cyrillus scribit, Spiritum progredi veluti ex ore, et fonte Patre. Basilius item: Ex Deo esse dicitur Spiritus sanctus, non ut sunt omnia ex Deo, sed ut a Deo progrediens, non modo generationis ut Filius, sed ut Spiritus oris illius. » At nondum capio, quam ista in se continere adversus nostra dicta contrarietatem existimet. Etenim si ex ore progreditur Patris Spiritus, et oris Patris Spiritus est, ex Patre exsistentiam habet, ut ille ait, et sunt, quæ dicit ut dicit. Et si ex Deo esse asseritur, tanquam qui ex Deo progressus est, et ut Spiritus oris Dei, jam apertum remanet etiam ex Filio esse, et ex Filio habere exsistentiam ab æquo judice reputabitur, tanquam qui ex Filio progreditur, et Spiritus oris Filii est. Si vero quia fons Spiritus Pater est, propterea ex Patre Spiritus est, quare non et a Filio, cum eædem Scripturæ fontem ejusdem Spiritus Filium deprædicant?

13. Sed accedat Theodoretus, et Theodoreti increpationes. Quando quæ Theodoretus adversus Cyrillum scripsit, his verbis expressa: « Quod si

A καὶ εἴ τι τῶν ὑστέρων τῆς αὐτοῦ ὑπάρξεώς ἐστιν, ἐπεὶ καὶ παρὰ Πατρὸς οὕτως. Εἰ δὲ παρὰ Πατρὸς μὲν οὕτω, παρὰ δὲ Υἱοῦ ἄλλως, ἄλλη πάλιν βλασφημίας ἀγχόνη τῷ Δημιουργῷ πλακήσεται τῶν διαφορῶν. Οὐ γὰρ φυσικὸν δοτῆρα καὶ χορηγὸν τοῦ Πνεύματος τὸν Υἱὸν πρεσβεύειν διαγνωσθήσεται, ὑπηρέτην δὲ ἴσως καὶ λειτουργὸν τῆς φανερώσεως καὶ ἀναδείξεως;

ια'. « Ὑπάρχειν ἐκ τοῦ Υἱοῦ, » φησί, « τὸ Πνεῦμα Κύριλλος εἰρηκεν, ἀλλ' οὐ δι' αὐτὴν αὐτοῦ τὴν οὐσίωσιν, διὰ δὲ τὴν ἐκ τοῦ Πνεύματος τοῦ ἐν τῷ Υἱῷ μένοντος ἀπολάμπουσαν τοῖς πιστοῖς χάριν. » Ἄλλη πάλιν αὕτη βλασφημίας ὑπερβολή. Εἰ γὰρ τὰ τῶν πνευματικῶν χαρισμάτων ἀποτελέσματα ἡ ἀπο-
B λάμπουσα τοῖς πιστοῖς ἐστι χάρις τοῦ Πνεύματος, καὶ εἰ ταῦτα μὲν ἀνυπόστατα, ἡ δὲ τοῦ ἐκ Πατρὸς καὶ Υἱοῦ ὑπάρχοντος Πνεύματος κλῆσις ταῦτα δηλοῖ πῶς οὐχὶ καὶ τὸ ἐξ ἀμφοῖν ὑπάρχον Πνεῦμα ἀνυποστάτως ὑπάρχειν ἐξ αὐτῶν νοηθήσεται; εἰ μή πως καὶ πάλιν τὴν αὐτὴν καὶ μίαν κλῆσιν τοῦ Πνεύματος εἰς ἀμφότερα διαιρήσει τὸ αὐτὸ Πνεῦμα ἀνυποστάτως μὲν ἐκ Πατρὸς, ἀνυποστάτως δ' ἐκ τοῦ Υἱοῦ τερατολογῶν. « Ὑπάρχει ἐκ τοῦ Υἱοῦ, » φησί, « τὸ Πνεῦμα, ἀλλ' ὅταν ὡς χορηγούμενον νοῶμεν, ὅτον πεμπόμενον, καὶ διδόμενον, ὅταν ἐπὶ τὸ ἀνακαινίσαι τὴν κτίσιν ἐρχόμενον. » Καὶ εἰ ὅτε ταῦτα, τότε ὑπάρχειν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα νοήσομεν, ὕστερα δὲ ταῦτα καὶ ὑπὸ χρόνον, οὐχὶ καὶ ἀΐδίως ὑπάρχειν ἐρεῖ
C τις αὐτὸ ἐκ τοῦ Υἱοῦ. Εἰ δὲ μὴ ἀΐδίως ἐκ τοῦ Υἱοῦ, ἀΐδίως ὑπάρχον ἐκ τοῦ Πατρὸς, τοῦτο γὰρ οὐδ' αὐτὸς ὁμολογεῖν ἀναβάλλεται· πῶς; ἡ ὑπάρχειν λέξις ἐπ ἀμφοῖν εἰλημμένη κατὰ ταυτὸν, οὐχὶ τὸ αὐτὸ Πνεῦμα καὶ πάλιν εἰς τὸ ἔγχρονον καὶ ἄχρονον διαιρήσει;

ιβ'. « Ἐκ Πατρὸς, » φησί, « προϊέναι τὸ Πνεῦμα Κύριλλος γράφει, ὡς ἀπὸ στόματος καὶ ὡς ἀπὸ πηγῆς τοῦ Πατρός. Καὶ Βασίλειος πάλιν· Ἐκ τοῦ Θεοῦ εἶναι λέγεται τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ. » Καὶ οὐκ οἶδα τίνα ταῦτα τὴν ἐναντιότητα πρὸς τὸν ἡμέτερον ἔχειν δόξει λόγον. Εἰ γὰρ ὅτι ὡς ἀπὸ στόματος πρόεισι τοῦ
D Πατρὸς τὸ Πνεῦμα στόματος ὂν τοῦ Πατρὸς, τὴν ἐκ Πατρὸς ὕπαρξιν ἔχει κατὰ τὸν λέγοντα καὶ ἐπὶ τούτοις ἀληθῶς ἀληθεύοντα. Καὶ εἰ ἐκ τοῦ Θεοῦ εἶναι ὁμολογεῖται, ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, καὶ ὡς Πνεῦμα στόματος τοῦ Θεοῦ, εὔδηλον ὡς καὶ ἐκ τοῦ Υἱοῦ εἶναι, καὶ τὴν ἐξ Υἱοῦ ἔχειν τῷ εὐγνωμονοῦντι ὁμολογηθήσεται ὕπαρξιν, ὡς καὶ ἐκ τοῦ Υἱοῦ προὸν, καὶ Πνεῦμα στόματος ὂν τοῦ Υἱοῦ. Εἰ δ' ὅτι καὶ πηγὴ τοῦ Πνεύματος ὁ Πατήρ ἐστι, διὰ τοῦτο ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα, πῶς οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ, εἴπερ αἱ αὐταὶ Γραφαὶ πηγὴν τοῦ αὐτοῦ Πνεύματος ἀνακηρύττουσι τὸν Υἱόν;

ιγ'. Ἀλλὰ παρίτω καὶ Θεοδώρητος, καὶ αἱ Θεοδωρήτου ἐπιτιμήσεις. Ἐπεὶ γὰρ ἃ κατὰ Κυρίλλου Θεοδώρητος ἔφη αὐταῖς οὕτω λέξεσι λέγων· « Εἰ

Digitized by Google Распознавание текста АВК/FR

μὲν διὰ τοῦτο ἴδιον τοῦ Υἱοῦ ἔφη τὸ Πνεῦμα, ὅτι ὁμοφυὲς καὶ ἐκ Πατρὸς ἐκπορευόμενον, συνομολογήσομεν· εἰ δ' ὅτι ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχει, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀπορρίψομεν, » εἰς συμμαχίαν οὗτος προβάλλεται, μηδὲν αὐτῷ μέλον, ὅτι ἀναθέματι παρεδόθησαν. Πῶς γὰρ, ὃς οὐδὲ τὸ ἀπὸ τῶν κανόνων τοῖς ἀνιέρως τὰ ἱερὰ μεταχειριζομένοις ἐπισειόμενον δέδοικε τῷ πλημμελήματι ἐνεχόμενος; ἴδωμεν, εἰ μὴ ὡς ἐπὶ καλαμίνης ῥάβδου τῶν ἐπιτιμήσεων τούτων ἐστήρικται. « Θεοδώρητον καλῶς, » φησὶν, « ἐπιτιμῶντα εἰδὼς Κύριλλος, οὔτ' ἐφιλονείκησε, καὶ παρῆλθε τέως σιγῇ, δῆλον ἐκ τούτου ποιῶν μηδ' αὐτὸν τοὺς οὕτως οἰομένους ἀποδέχεσθαι. Ὅτι δ' ὅμως ἴδιόν ἐστι τοῦ Υἱοῦ τὸ Πνεῦμα, σφοδρῶς ἀγωνίζεται δεικνύναι, καὶ τοῦ λόγου ποιεῖται τὸν Ἀπόστολον μάρτυρα, καί φησιν· Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι καὶ τοῦ Υἱοῦ. » Εὖγε τοῦ καλῶς σοι τηρηθέντος ὀπαραποιήτου τῆς Κυρίλλου ἀπολογίας. Καὶ τί γὰρ ἄλλο τὴν τῶν ἐπιτιμήσεων Θεοδωρήτου συστήσει ἀνατροπήν; Ἐν μὲν γὰρ τῷ λέγειν Κύριλλος ὁ θειότατος, ὅτι « Ἐκ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, » διὰ τῆς εὐαγγελικῆς ταύτης μαρτυρίας τὴν ἐκ Πατρὸς τοῦ Πνεύματος συνίστησιν ὕπαρξιν· ἐν δὲ τῷ, « Ἀλλ' οὐδὲ ἀλλότριον τοῦ Υἱοῦ ἐστιν, » ἐπάγειν, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι αὐτὸ ὑπεμφαίνει. Καὶ συνομολογήσει μοι πᾶς, ὃς τοῦ παντὸς τὴν ἀλήθειαν προτιθέμενος τὸν λόγον ὁμολογεῖ, καθ' ὃν ἐστι τὸ Πνεῦμα ἴδιον τοῦ Υἱοῦ· εἰ δὲ βούλει καὶ σύ. Ὅπως δὲ καὶ σὺ, λέγω, σκόπει. Τί δοκεῖ σοι; Πυνθάνεται κατ' ἐρώτησιν ὁ λόγος ἀποτεινόμενός τι κρατεῖν, ὡς λῆμμα τῶν ἀναγκαίων ἐκεῖνο τῶν Ἀθανασίου ῥητῶν, ἐν ᾧ φησι, « τοιαύτην ἔχειν τὴν φύσιν καὶ τάξιν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα. » Ἢ τί ἄλλο ἐρεῖς; Κρατεῖν, οἶδα, ἐρεῖς, ἐπεὶ μηδὲν ἔχεις κάνταῦθα τῇ περιεργίᾳ χαρίσασθαι. Εἰ γοῦν τὴν χρῆσιν κρατεῖν χρὴ, πάντως δὲ χρὴ, εἰ μέμνησαι, καὶ πάλιν ἐρωτήσει ὁ λόγος σε, ὅτι τὴν ἄλλην τῶν Ἀθανασίου ῥήσεων τὴν, « Ἐπειδὴ ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ ἐστι, » λέγουσαν, « ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστι, » τῷ καθ' ἡμῶν, μᾶλλον δὲ κατὰ τῆς ἀληθείας σχεδιασθέντι σοι τόμῳ συμπεριέλαβες. Καὶ εἰ μὴ ὁμολογήσεις, αὐτίκα μάλα ὁ τόμος ἐμφανιζόμενος ἀπελέγξει σε· καὶ σκόπει λοιπὸν ἀπάρτι, εἰ μὴ τὸ ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα συνίστησι Κύριλλος, « ἐκπορεύεσθαι μὲν ἐκ Πατρὸς » λέγων « αὐτὸ, οὐ μέντοι γε ἀλλότριον εἶναι τοῦ Υἱοῦ; » Εἰ γὰρ διότι ἐκ τοῦ Θεοῦ ἐστιν ὁ Υἱὸς, καὶ μνημόνευε τῆς κατ' Ἀθανάσιον τῶν προσώπων ἀναλογίας, διὰ τοῦτο ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστι, τίς ἔσται ὁ πείθων λόγος μὴ καὶ τὸν θεῖον φρονεῖν Κύριλλον ἴδιον τῆς τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐσίας, ἐπειδὴ ἐκ τοῦ Υἱοῦ ἐστι; Τὸ τὸν Υἱὸν ἴδιον τῆς τοῦ Πατρὸς εἶναι οὐσίας ὡς ἑπόμενον ἡγουμένῳ τῷ ἐκ Πατρὸς αὐτὸν εἶναι Ἀθανάσιος τίθησι. Καὶ σὺ τὸ Πνεῦμα ἴδιον τῆς τοῦ Υἱοῦ εἶναι οὐσίας ὁμολογῶν, καὶ οὕτω διδοὺς τὸ ἑπόμενον, εἶτα τὸ τούτου ἡγούμενον, τὸ ἐκ τοῦ

propter hoc proprius Filii Spiritus est, quod ejusdem naturæ, et ex Patre procedit, et nos quoque fatebimur : si vero quod ex Filio exsistentiam habet, tanquam blasphemum hoc et impium rejicimus, » in sui auxilium hic producit, nihil curans, quod anathemati tradita sunt (quomodo enim curaret, cum quod a canonibus rebus sacris profane manus immittentibus infligitur, minime timeat, sceleri astrictus?) consideremus quam in arundineo harum increpationum baculo sibi stabilitatem promittit : « Theodoretum, » ait, « cum probe sese increpantem Cyrillus agnovisset, nullam movit contentionem, et silentio præteriit, aperte hoc indicans, neque se eos, qui ita opinarentur admittere. Nihilominus proprium esse Spiritum Filii vehementer conatur ostendere, et dicti sui testem adducit Apostolum, et ait : Procedit enim ex Deo et Patre Spiritus sanctus secundum Salvatoris vocem, non est vero alienus a Filio. » Euge, quod probe Cyrilli apologiam sartam tectam conservasti. Et quodnam aliud Theodoreti increpationum refutationem melius confirmaverit? Cum enim divinissimus Cyrillus dicit : « Ex Deo et Patre Spiritum sanctum procedere secundum Salvatoris vocem, » per Evangelicum hoc testimonium ex Patre Spiritus exsistentiam probat : cum vero, « Non alienus est a Filio, » subnectit, et ex Filio esse eum demonstrat. Et id una mecum fatebitur, quisquis reliquis aliis veritatem præponens rationem non inficiatur, ob quam Spiritus dicitur esse proprius Filii, et si vis tu quoque, quomodo vero *tu* inquam, considera. Quid tibi videtur? quærit secundum interrogationem oratio contendens, firmitatem habere, veluti sumptionem Athanasii dictum, quo ille ait, « talem habere naturam et ordinem Spiritum erga Filium, qualem habet Filius erga Patrem. » An aliud quid dices? Firmitatem dices habere, cum nihil hic habeas, quod tuæ curiositati satisfaciat. Si itaque dictum firmitatem habere necesse est, si memoria te non fallit, iterum a te oratio requiret aliud Athanasii dictum, asserens : « Quando Filius ex Deo est, proprius est essentiæ illius, » quod tuo adversum nos, potius vero contra veritatem temere concinnato tomo comprehendisti. Et si id non annueris, statim tomus in medio productus evincet te, et jam considera annon ex Filio esse Spiritum Cyrillus comprobat : « Procedere quidem illum ex Patre, « non vero eum alienum esse a Filio? » Nam si, quod ex Deo Filius est, et memoria recole Athanasianam personarum proportionem, propterea proprius illius essentiæ est, quæ ratio persuaserit divinum Cyrillum non tenere proprium esse Spiritum essentiæ Filii, quando ex Filio est? Filium proprium esse paternæ essentiæ, uti subsequens antecedentis, ex Patre eum esse, Athanasius ponit. Et tu Spiritum proprium Filii essentiæ asserens, et sic concedens subsequens, postmodum illius antecedens, ex Filio nempe

Digitized by Google Распознавание текста АВК/FR

esse illum, tollis? Quodsi et in illis etiam vellemus te refellere quibus decernis, « Proprium esse Patris Spiritum tanquam qui ex eo est, et consubstantialis; Filii vero quod ex eo nullo modo, sed quod consubstantialis, » quid ad hæc respondebis? Quomodo non horres? Quomodo non considéras, pœnas te Deo daturum, dum divisiones et determinationes ex propriis in Patrum dogmatibus illis apprime contrarias commiscris.

14. Age vero, auditor, ad expositionem pravarum interpretationum accedamus, quas admirabilis iste philosophus ad dicta Nysseni ad Ablabium ex cerebro profert. Namque hic prævertit veritatem, et putans nos omnes quasi somno oppressos, rem non posse capere, profert quæ profert : tu vero attente, annon male ille peragat, considera : « Non est propositum, » ait, « Nysseno Patrem processione Spiritus spoliare: spoliaret vero, si eum in Filium immutaret, immutationem vocans, si illud, quod per contiguum est nihil differre ab eo, quod ex contiguo est, intelligeretur. » Ego porro nullam reor esse rationem, quæ cogat inferre Patris et Filii in Spiritus progressu divisionem, donec mihi Scripturæ persuadent, quidquid ex Patre per Filium dicitur, uti ex uno Deo esse et dici. « Sed ex Filio, » ait, « Spiritus procedens, ex Patre nunquam processerit, sed potius generaretur, si et Filius, ex quo Spiritus, ex Patre generatur. » Et nondum intelligo, quid ad veritatem ista faciant. Quid enim impedit nos contra referentes dicere : « Et si per Filium procedit, non ex Patre processerit, sed potius generaretur? ut sic tuam adversus Patrem asserentem « per illud quod contiguum est, » impudentiam repræsentemus; aut Patris et Filii divisionem, illa dictione « per illud quod contiguum est, » concede et novas hasce generationes prodigiose confinge, aut si unionem utriusque dictio *per Filium* infert, nihil minus quam ex utroque hoc quidquid est affirmans esse temere ac prodigiose eas tu blateras. Per Filium ex Patre causatum Spiritum sanctum decernit, et novæ theologiæ effusus et insuperabilis, ut ipse opinatur, orator, « Si in Spiritus causatum, » inquit. « dictio per illud, quod contiguum est, respicit. non esset proprie causa Pater; cum aliud quidpiam ante Patrem causam habens, non in illum ut in proprie causam referretur. » Et nos quidem vilipendere existimat, non illum qui dixit : « Per illud quod contigue est, » cum non causam Patrem, et ante Patrem causam Spiritus Filium demonstrari ex voce ista comprobat. Namque si, quod per Filium Spiritus ex Patre est exsistentia, non in Patrem uti in proprie causam illa referretur : etsi propterea causa Spiritus Filius ante Patrem reputaretur, neque suppeditatio et datio Spiritus in Patrem uti proprie causam referretur : neque enim hæc quoque per Filium esse novus iste theologus inficiabitur. Aut itaque neque horum proprie Pater

A Υἱοῦ δηλονότι εἶναι αὐτὸ, ἀφαιρῇ; Εἰ δὲ καὶ ἐν ἐκείνοις ἐπιλαβέσθαι σου θελήσομεν ἐν οἷς λέγεις, « Ἴδιον μὲν τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα, ὡς ἐκεῖθεν καὶ ὁμοούσιον, τοῦ Υἱοῦ δὲ, ὅτι ἐκεῖθεν μὲν οὐδαμῶς, ὅτι δὲ ὁμοούσιον, » τί καὶ πρὸς ταῦτα ἐρεῖς; Πῶς οὐ φρίττεις; Πῶς οὐκ ἐννοῇ δίκας ὑφέξων Θεῷ ἐφ' οἷς μερισμοὺς καὶ διορισμοὺς οἴκοθεν αὐτὸς ἐπὶ τοῖς τῶν Πατέρων δόγμασι πλάττῃ, πολὺ τὴν κατ' ἐκείνων ἐναντιότητα ἔχοντας;

ιδ'. Δεῦρο δή, ὦ ἀκροατά, καὶ ἐπὶ τὴν ἀνάπτυξιν ἴωμεν, ὧν ἐπὶ ταῖς πρὸς Ἀβλάβιον τοῦ Νύσσης ῥήσεσιν ὁ θαυμάσιος οὗτος φιλόσοφος παρεξηγήσεων ποιεῖται. Ὁ μὲν γὰρ παραλογίζεται τὴν ἀλήθειαν, [καὶ] οἰόμενος [ὅτι] ὥσπερ βαθὺς ὑμᾶς πάντας ὕπνος κατεῖχε, λέγει ἃ λέγει· σὺ δὲ, εἰ μὴ κακῶς, σκόπει. « Οὐ σκοπός ἐστι τῷ Νύσσης, » φησὶ, « τὸν Πατέρα τὴν ἐκπόρευσιν ἀφελέσθαι τοῦ Πνεύματος· ἀφαιροῖτο δ' ἂν εἰς Υἱὸν ταύτην μετατιθέμενος, μετάθεσιν ὀνομάζων, εἰ τὸ διὰ τοῦ προσεχῶς μηδὲν διαφέρειν τοῦ ἐκ τοῦ προσεχῶς κρίνοιτο. » Ἐγὼ δὲ μηδένα οἶμαι διενίστασθαι λόγον τὸν διαίρεσιν Πατρὸς καὶ Υἱοῦ ἐπὶ τῇ τοῦ Πνεύματος προόδῳ συστήσοντα, ἕστ' ἂν με πείθωσιν αἱ Γραφαὶ, πᾶν εἴ τι ἐκ Πατρὸς δι' Υἱοῦ λέγεται, ὡς ἐξ ἑνὸς Θεοῦ εἶναι καὶ λέγεσθαι. « Ἀλλ' ἐκ τοῦ Υἱοῦ, » φησὶ, « τὸ Πνεῦμα ἐκπορευόμενον ἐκ τοῦ Πατρὸς οὐκ ἂν ἐκπορεύοιτο, γεννῷτο δὲ μᾶλλον, εἴπερ καὶ ὁ Υἱὸς ἐξ οὗ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς γεννητός. » Καὶ οὐκ οἶδα τί πρὸς τὴν ἀλήθειαν ταῦτα. Τί γὰρ κωλύει καὶ ἡμᾶς ἀντεπενεγκόντας εἰπεῖν· Καὶ εἰ δι' Υἱοῦ ἐκπορεύεται, οὐκ ἂν ἐκ τοῦ Πατρὸς ἐκπορεύοιτο, γεννῷτο δὲ μᾶλλον; ὡς ἂν οὕτω τὰς κατὰ τοῦ εἰπόντος Πατρὸς τὴν *διὰ τοῦ προσεχῶς* φωνὴν ἀναισχυντίας σου παραστήσωμεν, ἢ διαίρεσιν Υἱοῦ καὶ Πατρὸς κατὰ τὴν *διὰ τοῦ προσεχῶς* φωνὴν δῶς, καὶ τὰς καινὰς ταύτας τερατολόγει γεννήσεις· ἢ εἴπερ ἕνωσιν ἀμφοτέρων ἡ *δι' Υἱοῦ* φωνὴ δύναται, οὐδὲν ἧττον ἢ ὅσον καὶ ἐξ ἀμφοῖν αὐτῶν τόδε τι λέγουσα εἶναι, μάτην αὐτὰς τερατολογεῖς. Διὰ τοῦ Υἱοῦ αἰτιατὸν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ὁ Ἅγιος θεολογεῖ· καὶ ὁ τῆς νέας θεολογίας πλατὺς καὶ ἀνανταγώνιστος, ὡς οἴεται, ῥήτωρ, « Εἰ εἰς τὸ τοῦ Πνεύματος αἰτιατὸν, » φησὶν, « ἡ διὰ τοῦ προσεχῶς φωνὴ τείνει, οὐκ ἂν εἴη κυρίως αἴτιος ὁ Πατήρ· ἐπεὶ τό γε ἄλλο τι πρὸ τοῦ Πατρὸς ἔχον αἴτιον οὐκ ἂν εἰς ἐκεῖνον, ὡς εἰς κυρίως αἴτιον, ἀναφέροιτο. » Καὶ ἡμᾶς ἐξουθενῶν οἴεται οὐ τὸν τὸ *διὰ τοῦ προσεχῶς* εἰρηκότα, ὅτιν μὴ κυρίως αἴτιον τὸν Πατέρα, καὶ πρὸ τοῦ Πατρὸς αἴτιον τοῦ Πνεύματος ἀναφαίνεσθαι τὸν Υἱὸν ἀπὸ τῆς φωνῆς ταύτης κατασκευάζει. Εἰ γὰρ ὅτι διὰ τοῦ Υἱοῦ ἡ τοῦ Πνεύματος ἐκ Πατρός ἐστιν ὕπαρξις, οὐκ ἂν εἰς τὸν Πατέρα ὡς εἰς κυρίως αἴτιον ἀναφέροιτο αὕτη· καὶ εἰ διὰ τοῦτο αἴτιος τοῦ Πνεύματος ὁ Υἱὸς πρὸ τοῦ Πατρὸς κρίνοιτο, οὐδ' ἂν οὐδ' ἡ χορηγία καὶ δόσις τοῦ Πνεύματος εἰς τὸν Πατέρα ὡς εἰς κυρίως αἴτιον ἀναφέροιτο· οὐδὲ γὰρ καὶ ταῦτα διὰ τοῦ Υἱοῦ εἶναι ὁ καινὸς θεολόγος ἐχεῖ ἀρνήσασθαι. Ἢ γοῦν μηδὲ τούτων κυρίως ἐστὼ

αἴτιος ὁ Πατὴρ, καὶ ἡ πρὸ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ τούτων αἴτιος ἔστω, ὅτι διὰ τοῦ Υἱοῦ ταῦτα, ἢ ἀλλ' εἴπερ ἐν τούτοις τὸ βλάσφημον προφανὲς, μηδ' ἐπὶ τῇ φυσικῇ καὶ οὐσιώδει ὑπάρξει τοῦ Πνεύματος, ὅτι διὰ τοῦ Υἱοῦ αὐτῇ, ὁ τῆς ἀληθείας ἀντίπαλος τὰ μὴ κυρίως καὶ δεύτερα αἴτια ἀπὸ τῆς *δι' Υἱοῦ* ἀναπλαττέτω φωνῆς. Καὶ μή μοι τὰ σοφὰ προβαλλέσθω ἐκεῖνα, ἐν οἷς μεγαληγορῶν πολὺν τὸν τῶν ὕβρεων ὕθλον κατασκεδάζει τῶν ἀπὸ τῆς δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ δόσεως, καὶ χορηγίας τοῦ Πνεύματος τὴν δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ ὕπαρξιν κατὰ τὰς τεκμηριώδεις τῶν ἀποδείξεων συνιστώντων. Εἰ γὰρ καὶ θελήματος πληρώσεις ἀληθῶς ταῦτα, καὶ θελήματος δεύτερα, ἀλλὰ καινὸν οὐδὲν καὶ τῆς θεολογίας ἀλλότριον τὸ τοῦ Υἱοῦ ἀπὸ τοῦ Πατρὸς ἀδιαίρετον ἐπὶ τῇ προόδῳ τοῦ Πνεύματος, καὶ ἀπ' αὐτῶν συνιστᾷν. Καὶ ὅτι μὴ τῆς θεολογίας ἀλλότριον οὐκ ἄλλος ἢ οὗτος αὐτὸς συστήσει ὁ διὰ τοῦ προσεχῶς Υἱοῦ ἐκ Πατρὸς τὸ τοῦ Πνεύματος θεολογήσας αἰτιατόν. Ἐν γὰρ τοῖς πρὸς Εὐνόμιον Ἀντιῤῥητικοῖς ὁμοῦ μὲν τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ἰδιάζον ἀπὸ τοῦ μήτε μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι, καὶ ἀπὸ τοῦ δι' αὐτοῦ τοῦ Υἱοῦ ἐκ Πατρὸς πεφηνέναι θεολογῶν, ὁμοῦ δὲ καὶ τῆς ἐκ Πατρὸς διὰ τοῦ Μονογενοῦς ὑποστάσεως τῆς κτίσεως μνημονεύων· καὶ τὴν ἐντεῦθεν ἴσως ὑποπτευθησομένην τινὶ τῶν μικροψυῶν καὶ ἀναξίων τοῦ Πνεύματος ὁμοιότητα τούτου πρὸς τὴν κτίσιν διὰ λέξεων, ὧν αὐτὸς οἶδε, κάλλιστα ἀναιρῶν, δείκνυσιν ἐναργῶς, μηδὲν ἡμᾶς ἄτοπον ἢ διανοεῖσθαι ἢ λέγειν, ἐὰν τὸ τοῦ Πατρὸς καὶ Υἱοῦ ἀδιαίρετον κατὰ τὴν δι' Υἱοῦ παριστῶμεν φωνήν, ἀπὸ τοῦ καὶ τὸ ἅγιον Πνεῦμα διὰ τοῦ Υἱοῦ εἶναι αἰτιατὸν, καὶ τὴν κτίσιν διὰ τοῦ Υἱοῦ ποιητήν. Οὕτω μὲν οὖν καὶ ἀπὸ τῶν τοιούτων ἡμᾶς ὁ Νύσσης συνίστησιν, ἐφ' οἷς ὁ φιλοσκώμμων, καὶ μηδὲν τοῦ κακηγορεῖν πλέον εἰδὼς, ἐπιτιμᾷ τὰ ἡμέτερα.

15. Ὁ δὲ καὶ πάλιν τὴν τοῦ δόγματος συγχέειν ἀληθείαν τρόπον ἅπαντα σπεύδων, « Διὰ τὴν τῶν ὀνομάτων, » φησὶ, « σύνταξιν μόνην μετὰ τὸν Υἱὸν τὴν τοῦ Πνεύματος κλῆσιν προφέρουσαν, καὶ διὰ τὸ σχετικὰς καὶ ἀλλήλων ἐφελκυστικὰς εἶναι τὰς κλήσεις, τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ λέγω, οὐδέ τι τῶν ἀπάντων μεταξὺ καταδεχομένας τοῦ προσεχῶς καὶ ἀπὸ τοῦ προσεχῶς εἴρηται τῷ Ἁγίῳ. Ὅτι γάρ, φησὶν, ἡ τῶν ὀνομάτων δύναμις Υἱὸν ἀμέσως συνάπτουσα τῷ Πατρὶ εἴργει προσεχῶς τὸ Πνεῦμα εἰπεῖν· καὶ ὅτι ἡ πρόοδος τοῦ ἀριθμοῦ οὐδέποτ' εὐθὺς τῷ ἀριθμοῦντι δύο μετὰ μίαν προδεικνύει μονάδας· ἐκ μιᾶς δὲ εἰς ἑτέραν προάγει διὰ τοῦ τὸ προσεχῶς ὁ Υἱὸς τῷ Πατρὶ, οὐ διὰ τὴν ἀκολουθίαν τοῦ εἶναι. » Ἀλλ' εἰ ταῦθ' οὕτω, καὶ διὰ ταῦτα τὸ προσεχῶς καὶ διὰ τοῦ προσεχῶς ὁ διδάσκαλος ἔφη, οὐκ ἂν ὅτε τὴν ἀπὸ τοῦ αἰτίου καὶ αἰτιατοῦ μεταξὺ τῶν τριῶν προσώπων θεωρουμένην διαφορὰν ἐδίδασκε, ταῦτα εἰρήκει. Ἐν γὰρ τῇ τοιαύτῃ διαιρέσει ταῦτα θεολογῶν, καὶ τὸν μὲν Πατέρα τῷ αἰτίῳ ἀπὸ τοῦ Υἱοῦ διαιρῶν, Υἱὸν δ' αὖ ἀπὸ τοῦ Πνεύματος, τῷ προσεχῶς μὲν αὐτὸν, διὰ τοῦ προσεχῶς δὲ τὸ Πνεῦμα αἰτιατὰ εἶναι ἀπὸ Πατρὸς, ἀριδήλως

A causa sit, imo aut ante Patrem horum Filius causa sit, quod per Filium ista sint, aut si in hisce blasphemia palam est, neque in naturali, et essentiali exsistentia Spiritus, quod illa per Filium est, veritatis hostis non proprias, sed secundas causas a voce *per Filium* confingat, et non mihi cata illa proponat, quibus magna jactans ingentes injuriarum nugas effundit in eos, qui ex datione et suppeditatione Spiritus per Filium et ex Filio, per Filium et ex Filio exsistentiam secundum conjecturales demonstrationes argumentantur : licet enim voluntatis hæc sunt expletiones, et voluntatem subsequantur, et novi nihil est, neque a theologia alienum Filii a Patre indivisibile in progressu Spiritus etiam per ipsas comprobare. Et hoc non esse
B a theologia alienum non alius quam hic ipse confirmabit, qui per Filium, qui contiguus est, ex Patre Spiritum causari tradidit : nam in Antirrheticis adversus Eunomium simul Spiritus respectu Filii proprietatem ex eo, quod non uti Unigenitus ex Patre subsistit, et quod per ipsum Filium ex Patre apparet, decernit : simul etiam ex Patre per Unigeniti hypostasim creaturæ mentionem inducens, et, quæ inde forte in suspicionem venire poterat, dejectam et indignam hujus similitudinem cum creatura per dictiones, quas ipse novit, optime dirimens, ostendit patenter, nullum nos absurdum neque dicere, neque intelligere, si Patris et Filii indivisibile dictione per Filium insinuemus ; quod et Spiritus sanctus per Filium causatur, et creatura per Filium creatur. Hac igitur ratione et ex similibus nos Nyssenus confirmat in illis, quibus iste jocandi cum dicacitate studiosus, et præter maledicendi vim omnium ignarissimus nostra culpat.

15. Hic rursus modis omnibus veritatem dogmatis interturbare studens : « Propter nominum, » ait, « constructionem solam, quæ post Filium Spiritus appellationem affert, et propter relativas, et sese mutuo trahentes appellationes, Patris, inquam, et Filii, nullum medium inter sese admittentes, contigui, et per contiguum a sancto dictum est. Cum enim, » ait, « nominum vis Filium immediate conjungens Patri, impediat contiguum Spiritum dicere : et quod progressus numeri nunquam statim duas unitates post unam ostendit, ex una vero in aliam producit, propterea contigue Filius Patri est, non propter consequentiam exsistentiæ. » Quod si hæc ita se habent, propterea que contigue et per illud quod contiguum est, præceptor dixit, nunquam differentiam causæ et causati inter tres personas consideratam docens, similia dixisset. In simili siquidem divisione talia sanciens, et Patrem quidem a Filio causa dividens, Filium deinceps a Spiritu, quod contigue ipse, per illud autem quod contiguum est, Spiritum causari a Patre, manifesto demonstrat, propter exsistentiæ consequentiam tradere, non uti placet novorum dogma-

Digitized by Google Распознавание текста ABBYY FR

tum efficiori, propter nominum solam constructionem. Neque enim in nominibus, sed in rebus Patrum electiores fidem nostram esse tradunt. Quodsi prædicto garrulo asserente, appellationes simpliciter nostræ confessionis signum sunt, et non quæ per appellationes indicantur personæ, nondum conspicio, quæ poterit esse ratio persuadens unum verum Deum, et solum Deum tria esse. Ego enim naturali et essentiali illorum exsistentiæ unitatem comitari, et fateor et teneo, quam non aliud indicaverit, quam illud solum, quod habeat per Filium ex Patre exsistentiam, et subsistentiam Spiritus sanctus. At non ita tenens, nondum capio, quibus machinis et sermonum strophis condemnationem effugiet, in Triadem absque subsistentia solis nominibus et sola nominum enumeratione constanter credere: « Non ita, » ait, « appellatio Spiritus conjunctionem cum alio necessario infert, tanquam ex Patre et Filio, nisi quis Patris nomen in productorem immutaverit. Tum enim non Filium, sed ipsum productum contigue, » ait, « attrahi videbit. » Elegantes argutiolas! Verumtamen Damascenus, qui terrarum orbem propria theologia replevit, hæc minime approbaverit: « Productor enim, » ait, « per Verbum Pater. » Et ubinam suum locum obtinebit illud contigue in producto? « Nihil, » ait novus iste theologus, « veritatem immutaverit, si per id quod contigue est sanctus productum asserens, nihilominus et contigue illud esse intelligit. Productor enim Spiritus Pater est, et causam Spiritus dictio notat. Productor per Verbum, et non idem hæc dictio ullo modo exprimit. » Et undenam oratio auctoritatem consequetur ex scripto tradito testimonio? Et in quibus illud voluminibus latet, quæ licet multum laboraverimus ad hunc diem ignota occultantur? Sed ex necessaria ipsius consequentia? Et primum quidem nulla logicæ methodus, aut ratio necessario sequi probabit, illud quod contigue est, cum illo, quod per contiguum est, concordare. Secundum illius, qui id decrevit, auctoritas, quæ etsi id etiam ratio comprobaret, profecto majoris dignationis esset. Differentiam enim illius in duabus personis causatis inter illud, quod contigue est, et illud, per quod contigue est, cum palam asseruerit, qui illo fide dignior de dictionum concordia fuerit? Tertium si nullum esset discrimen, nunc quidem contigue, nunc per illud quod contigue est ex Patre, productum dici, qua ratione cum in plerisque theologicis dictis Filius dicatur contigue ex Patre, in nonnullis dictus etiam non est, per illud quod contigue est, et Spiritus qui per illud, quod contigue est, ex Patre, affirmatur, in una saltem aliquando scriptione non invenitur dictus contigue ex Patre? Cum etiam alias appellationum Patris et Filii mutua attractio, et relatio absque dubio sufficiat ad exprimendum ex Patre progressum Filii contigue, redundans et supervacaneum ostendit dictum asserens, contigue ex Patre Filium esse. Qui enim vel pusillum intelligunt, potius

παρίστησι διὰ τὴν τοῦ εἶναι ταῦτα διδάσκειν ἀκολουθίαν· οὕμενουν ὡς ὁ τὰ νέα πλαστουργῶν δόγματα βούλεται διὰ τὴν τῶν ὀνομάτων σύνταξιν μόνην. Οὐ γὰρ ἐν ὀνόμασι, φασὶν οἱ τῶν Πατέρων λογάδες, ἡ πίστις ἡμῶν, ἀλλ' ἐν πράγμασι. Καὶ εἴγε κατὰ τὸν ῥηθέντα κενολογοῦντα αἱ κλήσεις ἁπλῶς τὰ τῆς ὁμολογίας ἡμῖν εἰσι γνώρισμα, καὶ οὐχὶ τὰ ἐκ τῶν κλήσεων σημαινόμενα πρόσωπα, οὐχ ὁρῶ, τίς ἂν ἔσται ὁ πείθων λόγος ἕνα Θεὸν ἀληθινὸν, καὶ μόνον Θεὸν εἶναι τὰ τρία. Ἐγὼ γὰρ τῇ φυσικῇ αὐτῇ καὶ οὐσιώδει αὐτῶν ὑπάρξει τὴν συμφυΐαν ἀκολουθεῖν καὶ ὁμολογῶ καὶ φρονῶ, ἣν οὐδὲν ἄλλο τὸ παρισῶν πείθομαι, ὅτι μὴ μόνον τὸ διὰ τοῦ Υἱοῦ ἐκ Πατρὸς τὴν ὕπαρξιν καὶ οὐσίωσιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτος δὲ μὴ οὕτω φρονῶν οὐκ οἶδα τίσι μηχαναῖς καὶ στροφαῖς λόγων ἐκφύγῃ μὴ καταλλαγῆναι τὸ εἰς ἀνυπόστατον πιστεύειν Τριάδα, μόνοις ὀνόμασι καὶ μόνῃ ὀνομάτων ἀπαριθμήσει συνειλημμένην. « Οὐχ οὕτω, » φησὶν, « ἡ τοῦ Πνεύματος προσηγορία τὴν πρὸς ἕτερον ἀναγκαίαν συνάφειαν ὡς ἐκ Πατρὸς καὶ Υἱοῦ, εἰ μή τις βούλεται τὸ τοῦ Πατρὸς ὄνομα εἰς προβολέα μεταβάλλειν· τότε γὰρ οὐ τὸν Υἱὸν, αὐτὸ δὲ τὸ πρόβλημα προσεχῶς, » φησὶν, « ἐφελκόμενον ἕξῃς. » Τῶν κομψευμάτων! Ἀλλ' ὁ ἐκ Δαμασκοῦ τὴν οἰκουμένην τῆς οἰκείας πληρώσας θεολογίας οὐ ταῦτα βούλεται. « Προβολεὺς γὰρ, » φησὶ, « διὰ Λόγου τοῦ Πνεύματος ὁ Πατήρ. » Καὶ ποῦ τὴν οἰκείαν χώραν ἕξει τὸ προσεχῶς ἐπὶ τοῦ προβλήματος; « Οὐδὲν, » φησὶν ὁ καινὸς θεολόγος, « τὸ πρὸς τὴν ἀλήθειαν παραλλάττον, εἰ διὰ τοῦ προσεχῶς τὸ πρόβλημα λέγων ὁ Ἅγιος, ὅμως καὶ προσεχῶς ἐκ Πατρὸς αὐτὸ εἶναι νοεῖ. Προβολεὺς γὰρ τοῦ Πνεύματος ὁ Πατὴρ, καὶ τὸν αἴτιον τοῦ Πνεύματος ἡ λέξις σημαίνει. Προβολεὺς διὰ Υἱοῦ, καὶ οὐχὶ τὸ αὐτὸ κἀνταῦθα ἡ λέξις δύναται οὐδαμῶς. » Πόθεν ὁ λόγος τὸ πιστὸν ἕξει ἀπὸ γραφικῆς μαρτυρίας; Καὶ τίνες αἱ ταύτην φέρουσαι βίβλοι, καὶ τίς πολλὰ καμοῦσιν ἡμῖν ἀγνοηθεῖσαι μέχρι καὶ νῦν; Ἀλλ' ἀπὸ τῆς κατ' ἀνάγκην ἀκολουθίας αὐτοῦ; Καὶ πρῶτα μὲν οὐδεμία λογικὴ τις μέθοδος ἔσται, καθ' ἣν ἀναγκάσει ὁ λόγος τὸ προσεχῶς τῷ διὰ τοῦ προσεχῶς συμφωνεῖν· δεύτερον ἡ τοῦ ταῦτα θεολογήσαντος ἀξιοπιστία. Εἰ δέ τις καὶ ἦν ὁ τοῦτο κατασκευάσων λόγος, ἦν ἂν τὸ προτιμότερον ἔχουσα. Διαφορὰν γὰρ αὐτοῦ ἐπὶ τῶν δύο αἰτιατῶν προσώπων τὸ διὰ τοῦ προσεχῶς πρὸς τὸ προσεχῶς καθαρῶς εἰρηκότος, τίς ἐκείνου ἀξιοπιστότερος ἐπὶ τῇ τῶν λέξεων συμφωνίᾳ; Καὶ τρίτον εἰ μηδὲν ἦν διαφέρον νῦν μὲν προσεχῶς, νῦν δὲ διὰ τοῦ προσεχῶς ἐκ Πατρὸς τὸ πρόβλημα λέγεσθαι, τίς ὁ λόγος μὴ καὶ τὸν ἐν πολλαῖς τῶν θεολογιῶν προσεχῶς ἐκ Πατρὸς εἰρημένον Υἱὸν ἔστιν οὗ ῥηθῆναι διὰ τοῦ προσεχῶς, καὶ τὸ διὰ τοῦ προσεχῶς ἐκ Πατρὸς θεολογούμενον Πνεῦμα εὑρεθῆναι καὶ ἐν μιᾷ τινὶ πασῶν γραφῶν προσεχῶς ἐκ Πατρός; Ἄλλως τε τὸ τῶν κλήσεων, Πατρὸς καὶ Υἱοῦ, λέγω, ἐφελκυστικὸν ἀλλήλων καὶ σχετικὸν, ἀρκοῦν ὁμολογουμένως εἰς

Digitized by Google Распознавание текста ABK/FR

τὴν προσεχῶς ἐκ Πατρὸς τοῦ Υἱοῦ πρόοδον, περισσολογίαν τινὰ δείκνυσι τὴν προσεχῶς ἐκ Πατρὸς λέγουσαν τὸν Υἱὸν εἶναι θεολογίαν. Οἱ γὰρ καὶ σμικρὰ συνορᾷν ἔχοντες μᾶλλον ἐπὶ τῆς προόδου τοῦ Πνεύματος τὴν ἀπταιστον ἀπαιτεῖν θεολογίαν διαγνώσονται μὴ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλαχοῦ καὶ συχνότερον τὸ προσεχῶς τίθεσθαι. Ἐπεὶ γὰρ κατὰ τὸν ἐν Εὐαγγελίοις τύπον τῆς ἐκφωνήσεως τρίτον ἀεὶ τὸ τοῦ Πνεύματος προφέρεται ὄνομα, εἴπερ ᾔδεσαν ἀληθῶς οἱ τῆς θεολογίας κανόνες καὶ γνώμονες, οἱ τὰ λεπτὰ ταύτης διηρθρωκότες Πατέρες, μὴ τὴν τοῦ Υἱοῦ δηλοῦν ὕπαρξιν τὸ διὰ τοῦ προσεχῶς, μᾶλλον ἂν τὸ προσεχῶς ἐπὶ τῆς τοῦ Πνεύματος ὑπάρξεως ἐθεολόγουν. Νῦν δὲ τόσον μὴ εἰδέναι φαίνονται τοῦτο, ὡς ἐπὶ τῆς Υἱοῦ μᾶλλον ὑπάρξεως τὸ προσεχῶς καὶ ἀμέσως θεολογεῖν εἰς ἀκριβεστάτην παράστασιν τοῦ μὴ καὶ τὸ Πνεῦμα οὕτως ἐκ Πατρὸς εἶναι.

A in progressu Spiritus infallibilem theologiæ rationem poscere, dijudicabunt, non semel tantum sed sæpius, et plerisque in locis illud *contigue* poni. Nam cum secundum quæ in Evangeliis est, formam enuntiationis, tertium semper nomen Spiritus proferatur, si vere scissent theologiæ regulæ et cognitores, qui subtilia illius recte atque ordinate digesserunt, per illud : Quod contigue est, exsistentiam Filii non indicari, potius illud *contigue* in notanda Spiritus exsistentia usurpassent. At nunc tantum nescire videntur, ut potius in exsistentia Filii contigue, et immediate decernant, accuratissima probatione non ea ratione a Patre Spiritum esse.

ις'. « Ἀλλ' εἴη ἄν, » φησὶ Κύπριος, « οὐ τὴν ὕπαρξιν αὐτὴν, τὴν δὲ διὰ τοῦ Υἱοῦ ἔκφανσιν τοῦ Πνεύματος καὶ ἀπόλαμψιν ἐν τῇ διὰ τοῦ προσεχῶς φωνῇ διδάσκων ὁ Ἅγιος. » Ἐγὼ δ' ἔκφανσιν μὲν, καὶ ἀπόλαμψιν τοῦ Πνεύματος δι' Υἱοῦ ἐκ Πατρὸς οὐκ ἂν ποτε ἀναβαλλοίμην ὁμολογεῖν, πλὴν ὡς τῆς φυσικῆς ὑπάρξεως καὶ ταῦτα δηλωτικά· καὶ τὸ ἀληθὲς τῆς τῶν λέξεων συμφωνίας πᾶσα θεολογικὴ συστήσει γραφὴ, ἡ καὶ ἐπ' αὐτοῦ Υἱοῦ τὴν ἐκ Πατρὸς ὕπαρξιν διὰ τῆς ἐκφάνσεως καὶ ἀπολάμψεως παριστάνουσα. Εἰ δ' ὁ τῶν νέων θεολογιῶν διορίζεται νομοθέτης βουλήσεως καὶ θελήσεως εἶναι καὶ ταύτας δηλωτικὰς, ὡς αἱ χορηγίαι καὶ ἀποστολαὶ καὶ δόσεις, καὶ εἴ τι τοιοῦτον ἐπ' ἀνατροπῇ τῆς ὑπάρξεως προτείνεται παρ' αὐτοῦ, ἐπέσθωσαν οἱ βουλόμενοι. Τί πρὸς τὴν ἀλήθειαν καὶ ἡμᾶς, εἴ τινες θρεμμάτων δίκην ὀπίσω κενολόγου τινὸς ἐθέλουσι φέρεσθαι; φερέσθωσαν.

B 16. « Sed esto, » ait Cyprius, « non exsistentiam ipsam, sed per Filium Spiritus emicationem, sive effusionem in dictione, per illud, quod contigue est, doceat sanctus. » Ego vero effusionem, sive emicationem Spiritus ex Patre per Filium fateri nunquam effugerim, dummodo illa naturalem exsistentiam notat : et veritatem concordantium dictionum cuncta theologorum dicta comprobabunt, quæ de ipso Filio ex Patre exsistentiam per effusionem et emicationem exprimunt. [Si vero, uti novarum theologicarum dictionum lator determinat, voluntatem et consilium significant, quemadmodum suppeditationes, missiones, dationes, et quidquid aliud ad convellendam exsistentiam ab eodem producitur, et in medium non nimis caute affertur, quibus hæc complacita sunt, sequantur. Quid obest nobis et veritati, si quidam pecudum instar vana ac temeraria obloquentis vestigia sequuntur? sequantur.

ιζ'. Ἡμεῖς δ' ἄγε δὴ ἴδωμεν καὶ ὁ τελευταῖον ὥσπερ ἄμαχόν τι καὶ δυσαντίβλεπτον ἐπὶ τῇ τῆς ἀληθείας ἀνατροπῇ ὁ τῆς ἀληθείας δογματίζει ἀντίπαλος. « Τὸ προεπινοεῖσθαι τὸν Υἱὸν τοῦ Πνεύματος κατὰ τὸν τῆς αἰτίας λόγον οὐ, » φησὶ, « διὰ τὴν τοῦ εἶναι πρόοδον τῷ αὐτῷ Ἁγίῳ ῥηθῆναι, ἀλλ' ἐπειδὴ, » φησὶν, « αἴτιος μὲν Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, τῷ Πατρὶ δὲ, ᾗ Πατρὶ, εὐθὺς συνεπινοεῖται ὁ Υἱὸς κατὰ τὴν τῶν πρός τι φύσιν ἀπ' ἀλλήλων συναγομένων τῷ λόγῳ τῆς αἰτίας, ἤτοι τῆς πρὸς τὸν Πατέρα τὸν αἴτιον σχέσεως, προεπινοεῖται τοῦ Πνεύματος ὁ Υἱός. » Ἐγὼ δ' ἐν πολλοῖς τῶν ἐμῶν προεπινοεῖσθαι τοῦ Πνεύματος τὸν Υἱὸν κατὰ τὸν τῆς αἰτίας λόγον, κατὰ τὸ δι' Υἱοῦ ἐκ Πατρὸς τὴν οἰκείαν αὐτῷ ἔχειν αἰτίαν, ἐξηγησάμενος, ἐπεὶ ὁ αὐτός ἐστιν Ἅγιος ὁ καὶ διὰ τοῦ Υἱοῦ αἰτιατὸν αὐτὸ ἐκ Πατρὸς ἀριδήλως θεολογῶν, τῆς ἐξηγήσεως ταύτης οὐδὲν σαφέστερον ἤγημαι, ὅτι μηδ' ἀληθέστερον. Ὁ δὲ τὸν λόγον τῆς αἰτίας εἰς τὸ πρὸς ἀλλήλας ἐφελκυστικὸν τῶν κλήσεων ἀναφέρων, καὶ τὴν πρὸς τὸν αἴτιον Πατέρα σχέσιν δηλοῦν τὴν λέξιν διανιστάμενος πρὸς τῷ αἰνίγματι λέγειν παρόμοιον, ἔοικε καὶ τὴν τῆς αἰτίας λέξιν οὐκ εἰς δήλωσιν πραγματικῆς ὑπάρξεως, καθ' ἣν τὰ αἰτιατὰ

C

17, Age nunc vero nos et postremum illud consideremus, quod uti insuperabile et inexpugnabile ad refellendam veritatem, veritatis hostis veluti dogma proponit : « Præintelligi Filium Spiritu secundum causæ rationem, » ait, « non propter progressum ad esse a sancto dictum fuisse, sed quia causa Filii et Spiritus Pater est, cum Patre vero ut Patre una simul intelligitur Filius secundum naturam relationis invicem sese colligentes ratione causæ, aut ad Patrem, qui causa est, relationis præintelligitur Spiritu Filius. »

D Ego porro in plerisque meis scriptis præintelligi Filium Spiritu secundum causæ rationem, dum per Filium ex Patre propriam causam habet, cum exposuerim, quando idem sanctus est, qui per Filium causatum ipsum ex Patre palam decernit, hac expositione nihil planius duxerim, qua nec quidquam verius esse reor. At hic rationem causæ ad mutuam appellationum attractionem referens, et erga Patrem causam relationem dictione indicari contendens, præterquam quod ænigmati similia blaterat, videtur et causæ dictionem ad significandam realem exsistentiam, secundum quam causatæ personæ subsistentes ex subsistente causa sunt,

Digitized by Google Распознавание текста ABK/FR

accipere : et sic verbis nudis tantum Triadem profiteri. Nam si, cum dicimus causam Patrem, illius exsistentiam indicamus absque principio et causa, inde vere causata Filium et Spiritum, non absque principio, quod ea ex Patre sunt, essentialem enim et naturalem exsistentiam, absque tempore principium simul intelligentes, et confitentes, quomodo bonus iste probusque vir non propter ad esse progressum, sed ad notandam simpliciter sic erga causam Patrem relationem, magistrum hæc protulisse contendit, secundum causæ rationem Spiritu præintelligi Filium. Et præter hoc, si secundum hanc relativam rationem vera hæc sunt, et Pater Filio præintelligitur ratione causæ, Gregorii enim et hoc est, in qua alia causa ante ipsam et ad personam relatione ipse præintelligitur Filio? O errores, sive potius viri de industria mala molientis vanas contentiones! Neque enim virum veritatem ignorare suadeor, ni quispiam concesserit, in tantum eum errorem abductum fuisse, quod in eo suæ existimationis dæmonium locum ac sedem occupaverit. Nam ex ea vir laborat vere supra omnes, qui ex ea unquam laboraverunt.

18. Quam vero deinceps considerationem addit, præintelligi Spiritu Filium dicens eadem ratione, qua Unigenito præintelligitur causa, Pater scilicet absque ulla nota prætereunda est, ne talia, ut par est, increpare coacti, periculum subeamus in sermones, a lingua procaci et maledica in nos projectis similes abripi. Tu porro ad quem nostra hæc de improviso oratio ilt, sola jam dicta abundantem esse demonstrationem, cum judicaveris, adversus illius blasphemias, in quas illa effusa est, et accurate inde addiscens, novum hunc hæresiarcham nostris hisce temporibus apparuisse, una simul agnosce, quam fraudem in se contineat, quod ab ipso et illius asseclis enuntiatum est anathema adversus eos, qui unquam aliquid e nostris scriptionibus ausi fuerint, vel prædicare, vel laudare, vel omnino usurpare. Namque illius enumeratarum blasphemiarum apertam et sub oculis positam refutationem nostris hisce scriptis ille intelligens, et reprehensionem, quam propter eas incurrit, effugere modis omnibus comminiscens, tempus sui contra nos dominatus, uti tempus ad stabiliendas proprias hæreses arripit, et hac ratione dictum anathema pronuntiat, simile quid patrans ac si multis persuadere conaretur, pietatem se nullo in loco habere. Et hic quidem sic. At qui rectis rectus est, et cum perverso pervertens Deus in ejus caput hoc quoque convertit. Qui enim ipsa multitudine res profundius capiunt, hinc ardentius ad Scripturarum lectionem et studia inflammantur, et antequam reprehensio procedat reprehensionem manifesto non sine admiratione cognoscunt. Veluti enim quadam prænotione hanc apud se retinentes, quod concipiant, a multo eum tempore similibus supervacaneis operositatibus manus admovere, postquam conspexerint Scripturas in reprehensio-

πρόσωπα ὑφεστῶτα ἐξ ὑφεστῶτος αἰτίου εἰσὶν ἐκλαμβάνεσθαι, καὶ οὕτω μέχρι λόγων μόνων ψιλῶν τὴν Τριάδα φρονεῖν. Εἰ γὰρ αἴτιον λέγοντες τὸν Πατέρα τὸ τῆς αὐτοῦ ὑπάρξεως δηλοῦμεν ἄναρχον καὶ ἀναίτιον, αἰτιατὰ δὲ Υἱόν τε καὶ Πνεῦμα τὴν ἐκεῖθεν οὐκ ἄναρχον, κατὰ τὸ ἐκ Πατρὸς αὐτὰ εἶναι, οὐσιώδη καὶ φυσικὴν αὐτῶν ὕπαρξιν, τὸ κατὰ χρόνον συνάναρχον συνεπινοοῦντες καὶ συνομολογοῦντες, πῶς ὁ καλὸς οὗτος καὶ ἀγαθὸς οὐ διὰ τὴν τοῦ εἶναι πρόοδον, ἀλλ' εἰς δήλωσιν ἁπλῶς οὕτω τῆς πρὸς τὸν αἴτιον Πατέρα σχέσεως τὸν διδάσκαλον εἰπεῖν διατείνεται τὸν κατὰ τὸν τῆς αἰτίας λόγον προεπινοεῖσθαι τοῦ Πνεύματος τὸν Υἱόν; Καὶ χωρὶς τούτου, εἰ κατὰ τὸν σχετικὸν τοῦτον λόγον ἀληθῶς ταῦτα, καὶ ὁ Πατὴρ προεπινοούμενος τοῦ Υἱοῦ τῷ τῆς αἰτίας λόγῳ, Γρηγορίου γὰρ καὶ τοῦτο, κατὰ τὴν εἰς ποῖον ἄλλο αἴτιον πρὸ αὐτοῦ πρόσωπον σχέσιν προεπινοεῖται αὐτὸς τοῦ Υἱοῦ; Αἳ αἳ τῆς πλάνης, μᾶλλον δὲ τῆς ἐθελοκάκου τοῦ ἀνδρὸς ἐριθείας! Οὐ γὰρ ἀγνοεῖν τὸ ἀληθὲς αὐτὸν πείθομαι, εἰ μή πού τις δώσει τὴν τόσην αὐτὸν παθεῖν πλάνην παρὰ τὸ ἐνοικῆσαί οἱ τῆς οἰήσεως τὸ δαιμόνιον. Νοσεῖ γὰρ αὐτὴν ἀληθῶς ὁ ἀνὴρ ὑπὲρ τοὺς ὅσοι ποτὲ τοῦτο πεπόνθασιν.

ιη'. Ἦν δ' ἐφεξῆς ἐπὶ τοῖς αὐτοῖς ποιεῖται ἐπιστασίαν, προεπινοεῖσθαι τὸν Υἱὸν τοῦ Πνεύματος λέγων, καθ' ὃν λόγον καὶ τοῦ Μονογενοῦς προθεωρεῖται ἡ αἰτία, ὁ Πατὴρ δηλονότι, παρεατέον ἀνεπιτίμητον, ἵνα μὴ ἐπιτιμᾷν τὰ τοιαῦτα ἀξίως ἀναγκάζόμενοι, κινδυνεύσωμέν ποι παρασυρῆναι πρὸς λόγους ἐχοντάς τι παρεοικὸς πρὸς τοὺς παρ' αὐτοῦ κατὰ γλῶσσαν φιλολοίδορον εἰρημένους. Σὺ δὲ ὁ πρὸς ὃν ὁ ἡμέτερος οὗτος ἐσχεδίασται λόγος, καὶ μόνα τὰ ῥηθέντα ἀρκοῦσαν εἶναι ἀπόδειξιν διαγνοὺς τῶν καθ' οὗ ταῦτα καὶ ἐσχεδίασται βλασφημιῶν, καὶ ἀκριβῶς ἐντεῦθεν καταμαθών, ὅπως νέον τοῦτον αἱρεσιάρχην ὁ χρόνος τῇ καθ' ἡμᾶς ἀνέδειξε γενεᾷ, συνδιάγνωθι καὶ οἷον ἔχει τὸν δόλον τὸ παρ' αὐτοῦ καὶ τῶν αὐτοῦ αἱρεσιωτῶν ἐκφωνηθὲν ἀνάθεμα κατὰ τῶν ἀναγορεῦσαί ποτε, ἢ ἐπαινέσαι τῶν ἡμετέρων γραφῶν τολμησόντων. Τὸν γὰρ τῶν ἀπηριθμημένων βλασφημιῶν αὐτοῦ ἔλεγχον σαφῆ καὶ ὑπόψιον ἀντικρυς ταῖς ἡμετέραις κατανενεκὼς οὗτος ἐκεῖνος γραφαῖς, καὶ τὸν ἐξ αὐτῶν ἔλεγχον διαδρᾶναι πάντα τρόπον ἐπιτεχνώμενος, τὸν καιρὸν τῆς καθ' ἡμῶν ἐξουσίας αὐτοῦ ὡς καιρὸν τῆς τῶν αὐτοῦ αἱρέσεων ἁρπάζει συστάσεως, καὶ τοιουτοτρόπως τὸ ῥηθὲν ἀνάθεμα ἐκφωνεῖ, ὅμοιόν τι ποιῶν, ὥσπερ εἰ πείθειν τοὺς πολλοὺς ἐπεχείρει μηδὲν ἔργον ἡγεῖσθαι τὸ εὐσεβεῖν. Ἀλλ' οὗτος μὲν οὕτως· ὁ δὲ τοῖς εὐθέσιν εὐθὺς, καὶ μετὰ στρεβλοῦ διαστρέφων Θεὸς κατὰ τῆς αὐτοῦ καὶ τοῦτο περιέτρεψε κεφαλῆς. Οἱ γὰρ βαθύτερόν τι τῶν πολλῶν συνιέναι δυνάμενοι ἐντεῦθεν καὶ μᾶλλον πρὸς τὸ ἐπὶ τῇ ἀναγνώσει τῶν Γραφῶν διανίστανται περισπούδαστον, καὶ πρὸ τοῦ τὸν ἔλεγχον ἐπελθεῖν, τὸν ἔλεγχον γινώσκοντες ἀντικρυς τὸ θαυμάσιον. Ὥσπερ γάρ ἔν τινι προλήψει τοῦτον παρ' ἑαυτοῖς ἔχοντες παρὰ τὸ κατανοεῖν ἐκ πολλοῦ τοῦ φόβου ταῖς τοιαύταις ἐγχειρεῖν περιεργασίαις αὐτὸν, μετὰ τὸ ἐγκύψαι ταῖς εἰς τὸν ἔλεγχον ὁδηγούσαις Γραφαῖς, οὐδὲν

Digitized by Google Распознавание текста ABK/FR

δυσχερὲς ἐφ' ὅτῳ οὖν τῶν ἀναγινωσκομένων ἐπὶ τῇ A nem ducentes, nulla ipsis difficultas remanet, dum
καταγνώσει τῶν αὐτοῦ αἱρέσεων ἔχουσιν· οὕτω singula legunt, ad condemnandas illius hæreses.
θεὸς, οὕτως ἡ πάντα νικῶσα ἀλήθεια. Καὶ σὺ Θεῷ Sic Deus, sic omnia vincens veritas. Et tu Deo et
καὶ τῇ ἀληθείᾳ εὐχαριστεῖν σὺν ἡμῖν μὴ παυόμενος, veritati gratias agere una nobiscum ne cesses, et
καὶ τὴν εἰς τέλος ταύτης ἐπισπεύδειν ἀποκατάστασιν restitutionem citius advenire exorare neglectui tibi
εὔχεσθαι μὴ ἀμέλει. ne sit.

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΕΙΡΗΝΗΣ

—

EJUSDEM

DE PACE ECCLESIASTICA

FRAGMENTUM.

(Apud Allatium, de utriusque Ecclesiæ perpetua in dogmate de Purgatorio consensione, p. 591. Romæ 1655, 8°.)

—

Εἰ μὲν ἄρτι πρώτως ὁ περὶ τῆς ἐν τῷ Συμβόλῳ B Namque si nunc primum de additione in Sym-
προσθήκης λόγος μέσον Γραικῶν τε καὶ Ἰταλῶν bolo inter Græcos et Latinos differentia circumfer-
ἐκινεῖτο, τάχ' ἂν γυμνὸς ἁπάσης ἄλλης ζητήσεως retur, forte nuda ab omni alia quæstione per-
ἐγυμνάζετο, εἴτε τις αὐτῷ παραφθορὰ τῆς ἀκριβείας tractaretur, an aliqua in Symbolo adulteratio
ἐντήκεται, εἴτε μέχρι λέξεως τῆς διαφορᾶς δοκούσης accuratæ fidei impingatur, an etiam controversia,
πρὸς τὸ τῆς ἐννοίας οὕτως ὑγιαίνει ἀδιάφθορον· non ultra dictionem protensa, sententiæ integritatem
ἐπεὶ δὲ ἐξ αὐτῶν τῶν τοῦ Φωτίου χρόνων ὁ λόγος conservat? Verumtamen cum ab ætate ipsa Photii
οὕτω τὴν κακὴν ἀναῤῥήξας ὠδῖνα προῆλθεν εἰς φῶς, similis discrepantia disruptis membranis exclusa
εἴπερ ὁ νῦν περὶ τούτου προκείμενος λόγος παρα- est, si circa hoc proposita oratio demonstrabit non
στήσειε τοῖς φιλίστορσιν, ὡς αὐτὸς ἀμφότερα Φώ- incuriosis, eumdem Photium in ratione scandali
τιος τῷ λόγῳ τοῦ σκανδάλου ἐγένετο πατήρ τε καὶ utrumque fecisse, et procreasse illud, et de-
ἀναιρέτης, οὐδενὸς ἄλλου τάχα τῷ εὐγνώμονι ἀκρο- struxisse, nullo alio æquus auditor indigebit, sed
ατῇ ἢ μόνης αὐτῆς δεήσει τῆς ἱστορίας διαγνῶναι ex sola historia discernet, gratis et absque ulla
ὡς μάτην, καὶ ἐπ' οὐδενὶ εὐλόγῳ αἰτίᾳ αἱ Ἐκκλη- causa, quæ rationi consentanea sit, Ecclesias inter
σίαι ἀλλήλαις τοσοῦτον χρόνον ἐκπεπαλέμωντο. Εἰ δὲ C sese per tot annos inimicitias atque simultates
ὁ τοῖς παροῦσιν ἐντευξόμενος λόγοις οὐχ ἕξει τὸ τοῦ exercuisse. Si vero qui sermones hos nostros
σκανδάλου διαγνῶναι ἀλόγιστον, οἷς μέλλει παρὰ excurrit, scandali nullam causam, quæ rationi con-
ταῖς ἱστορίαις ἐντυχεῖν Φωτίῳ, νῦν μὲν ὡς πρὸς sentanea sit, dignoverit ex iis quæ in historiis
ἀπειλὴν σχίσματος τὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας legerit de Photio, nunc quidem schisma minitante,
ἔθιμα ὑποτεινομένῳ ἐν ταῖς πρὸς τὸν πάππαν δηλαδὴ Romanæ Ecclesiæ consuetudines proponeret, in iis
Νικόλαον ἐπιστολαῖς, ὅτε τῶν τῆς ἀναδοχῆς ἐλπίδων nempe, quas ad papam Nicolaum dedit epistolas,
ἔτι ἀπηώρητο· νῦν δὲ ὅτε ἡ ἔρις ἐκορυφοῦτο, αἱρε- dum adhuc se recipiendum esse spe lactaretur.
σιν καὶ ἀσέβειαν τὰ τοιαῦτα τῆς Ῥωμαϊκῆς Ἐκ- Nunc vero, cum turbæ litesque intentæ accresce-
κλησίας ἔθη ἀποκαλοῦντι· ὅτε δὲ αὖθις ἡ τῆς εἰρή- rent, hæresim et impietatem similes Ecclesiæ Ro-
νης αὐτῷ προσεμειδία γαλήνη, θείαν τε καὶ ἁγίαν manæ consuetudines nuncupante quandoque etiam
καὶ εὐσεβείας διδάσκαλον τὴν Ῥωμαϊκὴν Ἐκκλησιαν cum rursus pacis ipsi tranquillitas arridebat, divi-
ἀνακηρύττοντι· ἀλλὰ τὸ τῆς διαγνώσεως ἐντελὲς nam et sanctam et magistram pietatis Romanam
ἕξεις τοῖς μετὰ τὴν ἱστορίαν ῥηθησομένοις, ὅτε τὸ Ecclesiam prædicante, dignotionem perfectam ex
τοῦ ἀγῶνος ὑποδυσόμεθα λογικώτερον, ἐγκύψας ἐπι- iis, quæ post historiam apponemus cum certamen

Digitized by Google Распознавание текста ABK/FR

magis ex ratione conflligentes subibimus, accuratius animum advertens consequetur. Historiæ vero facta cursim percurrentibus hunc in modum se habent.

Rexebat patriarchalem sedem Ignatius, vir tantæ sanctimoniæ, ut illius memoria ad hæc usque tempora in Ecclesia, ea, qua solent, dignatione, qui Deo complacuerunt, colatur. Sedi cupiditatis oculos adjicit Photius, vir in omni rerum cognitione luculenter versatus, et sapientia pectus munitus: sed cum non probe fecisset, in sede collocatum subnovens, et semetipsum intrudens, Ignatius Nicolao pontifici eo tempore apostolicam sedem gubernanti denuntiat: sequiturque a sancto defensore viro sancto, injuriam passo, indigentique patrocinium. Litteræ redduntur ad Photium, quibus imponitur, ut dignitatem injuriam passo, et cathedram restituat. Photius, et qui id aliter fieri poterat, si quorum ipse desiderio tenebatur, ea libere possidendi facultas adimebatur? et adversus Ecclesiam Romanam dolorem concipit, nec tamen illum excludit, sed adhuc divisionis improbum fetum in utero gestat, et spe meliori sublevatus, sibi consilium fermat, aut concupitorum particeps factus, una cum nondum edito cordis fetu commori, aut illis frustratus, parturam excludere, et divisionis abortum abjicere in apertam Ecclesiarum dissensionem. Quod et subsecutum est in noxam, væ mihi, nostræ nationis, nostrique imperii. Dum enim his litteris papam Nicolaum sibi conciliare nititur, et pontifex adversus injustitiam leonis instar fremens, vulpeculæ lenociniis non emollitur, Photius ad vindictam concitatus cum non haberet, quibus pontificem ulciscerctur; quid enim ipse poterat in papæ personam peragere? immenso siquidem intervallo distanti vel minimum ulciscendi facultas non erat, commune bellum inter Ecclesias comminiscitur, et pugnam inter utramque implacabilem suscitat. Qua vero ratione? Ab Italis in Symbolo dictionis factam additionem non paucos ante annos optime callens, ut magni Maximi ad Marinum Cypri presbyterum litteræ testimonio sunt: sciens item reliquas omnes consuetudines, quæ apud illos in usu erant, et quibus videntur a nobis dissentire, et silentio omnia contegens, non amore, quo cum illis vinciretur, sed justitia ipsa cogente, si tamen justum erat, illam sequi ea, cum quibus, qui ante eum omnes fuerunt, cum Romanis pacem amplectebantur, post inimicitias illas, sive, ut aptius dicam, post Deo exosam erinnym, veluti nefaria omnia publicat; et ex iis omnibus unum multiforme scriptionis genus componens, circularem epistolam veluti columnam quamdam ecclesiis universis, simile scriptionis genus erexit. Et ut plana rerum harum inquisitoribus isthæc oratio faciat, Epistolæ quædam decerpens, suis adaptabit particulis: sed cum jam antea asseveraverim, Romanorum mores et consuetudines non ignoratas a Photio, antequam Romanæ Ecclesiæ bellum indiceret, hoc ex litteris ad sanctissi-

μελέστερον. Τὰ δὲ τῆς ἱστορίας, ἐπιδρομάδην εἰπεῖν, τοῦτον ἔχει τὸν τρόπον.

Ἐκόσμει τὸν πατριαρχικὸν θρόνον Ἰγνάτιος, ἀνὴρ ἐς τοσοῦτον ἐλληλακὼς ἁγιότητος, ὡς καὶ τὴν αὐτοῦ μνήμην τῇ Ἐκκλησίᾳ ἐς δεῦρο τελεῖσθαι κατὰ τὸ ἀφωρισμένον ἀξίωμα τοῖς εὐηρεστηκόσι Θεῷ. Ἐποφθαλμίζει τῷ θρόνῳ Φώτιος, ἀνὴρ πολὺς μὲν τὴν γνῶσιν, καὶ τὴν σοφίαν οὐκ ἀγενὴς, τοῦτο δὲ μὴ καλῶς, δεδρακὼς, τὸ ἀπώσασθαι μὲν τοῦ θρόνου τὸν ἐπ' αὐτοῦ, ἑαυτὸν δὲ εἰσωθίσαι. Ἀναφέρει τὰ τῆς δυναστείας Ἰγνάτιος τῷ τὸν ἀποστολικὸν τότε θρόνον κοσμοῦντι Νικολάῳ τῷ πάππᾳ. Ἕπεται ἡ ὀφειλομένη ἀντίληψις παρὰ τοῦ ἁγίου ἀντιλήπτορος τῷ ἠδικημένῳ, καὶ ἐπιδεεῖ ταύτης, ἁγίῳ ἀνδρί. Ἥκουσιν ἐς Φώτιον γράμματα, ὑπεκστῆναι τῷ ἠδικημένῳ τῆς τιμῆς καὶ καθέδρας ὑποτιθέμενα. Δυσμεναίνει πρὸς τὰ γράμματα Φώτιος. Καὶ πῶς γὰρ οὔ; εἷς ὧν ἐπεθύμει, ἀπολαύειν οὐ συνεχωρεῖτο ἐλευθερίως. Συλλαμβάνει πόνον κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. Καὶ ὅμως οὔπω τὴν ὠδῖνα ἐκρήγνυσιν· ἀλλ' ἔτι τὸ τῆς διαστάσεως πονηρὸν κυοφόρημα ἐγγάστριον ἔχει, καὶ τῶν ἐλπίδων αἰωρηθεὶς, βουλὴν ἑαυτῷ ἵστησιν ἢ τῶν καταθυμίων ἐπιτυχὼν συναποθανεῖν ἀτελεσφορήτῳ τῆς καρδίας τῷ κυήματι, ἢ τούτων ἀποτυχὼν, τὴν ὠδῖνα ἐκρῆξαι, καὶ τὸ τῆς ἔριδος ἔκτρωμα προαγαγεῖν εἰς λαμπρὰν διάστασιν τῶν Ἐκκλησιῶν. Ὃ δὴ καὶ γίνεται ἐπὶ κακῷ, οἴμοι! τοῦ γένους ἡμῶν καὶ τῆς ἡμετέρας ἀρχῆς. Ὡς γὰρ ὁ μὲν γράμμασι τὸν πάππαν ἐδεξιοῦτο, ὁ δὲ, λεόντειον κατὰ τῆς ἀδικίας ὁρῶν, ἀλωπεκισμοῖς οὐκ ἐμαλακίζετο, διανίσταται πρὸς ἄμυναν Φώτιος, καὶ μὴ ἔχων οἷς ἀμυνεῖται τὸν λυποῦντα πάππαν· τί γὰρ καὶ εἶχεν εἰς αὐτὸ τὸ τοῦ πάππα διαπράξασθαι πρόσωπον; ἀπείρῳ τῷ διαστήματι ἀποδεὶς τοῦ καὶ μικρὸν γοῦν τι ἀμυντικὸν ἐνδείξασθαι πρὸς αὐτὸν, κοινὸν πόλεμον ἀμφοτέραις ἐπινοεῖται ταῖς Ἐκκλησίαις, καὶ μάχην μέσον ἀμφοτέρων ἀναῤῥιπίζει ἀκήρυκτον. Καὶ ὁ τρόπος οἷος; Τὴν παρ' Ἰταλῶν ἐν τῷ Συμβόλῳ γενομένην προσθήκην τῆς λέξεως εἰδὼς πρὸ χρόνων οὐτι μετρίων παρ' αὐτῶν γενομένην, ὡς τὰ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου γράμματα μαρτυρεῖ τοῦ μεγάλου Μαξίμου, εἰδὼς δὲ καὶ τὰ λοιπὰ πάντα ἔθη αὐτοῖς ἐμπολιτευόμενα, οἷς δοκοῦσι πρὸς ἡμᾶς διαφέρεσθαι, καὶ σιωπῇ πάντα ταῦτα στέγων, οὐ χάριτι ἴσως τῇ πρὸς Ῥωμαίους, ἀλλὰ τῷ δικαίῳ αὐτῷ, εἴ γε δίκαιον ἕπεσθαι αὐτὸν, οἷς οἱ πρὸ αὐτοῦ πάντες τὴν μετὰ Ῥωμαίων εἰρήνην ἠσπάζοντο, μετὰ τὴν ἔχθραν ἐκείνην, ἢ τὴν θεομισῆ ἐριννύν. εἰπεῖν οἰκειότερον, πάντα ταῦτα ὡς ἀθέμιτά τινα ἐκπομπεύει, καὶ ἐξ αὐτῶν ἁπάντων ἕν τι πολύμορφον εἶδος συνθέμενος, δι' ἐπιστολῆς ἐγκυκλίου οἱονεί τινα στήλην ταῖς ἐκασταχοῦ τῆς οἰκουμένης ἐκκλησίαις τὸ τοιοῦτο πολύμορφον ἀνεστήλωσεν εἶδος. Καὶ ἵνα τοῖς ζητητικοῖς τῶν τοιούτων γνώριμα καταστήσῃ ταῦτα ὁ λόγος, τεμάχιά τινα τῆς ἐπιστολῆς ἀποδιελὼν ταύτης τοῖς ἑαυτοῦ ἐπισυνάψειε μέρεσιν. Ἀλλ' ἐπεὶ φθάσας ὁ λόγος εἰρήκει εἰδέναι τὰ τῶν Ῥωμαίων ἔθη τὰ

Digitized by Google Распознавание текста ABBYY FR

Φώτιον, πρινὴ τὸν κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας πόλεμον ἄρασθαι· τοῦτο δὲ ἐκ τῆς πρὸς τὸν ἁγιώτατον πάππαν Νικόλαον ἐπιστολῆς τοῖς διαπιστοῦσιν ἀποδειχθήσεται, ἣν αὐτὸς Φώτιος ἐπὶ τῶν τῆς ἀναδοχῆς ἐλπίδων ἀπαιωρούμενος πρὸς ἐκεῖνον ἀπέλυσε· δέον ἐστὶ πρὸ τῆς ῥηθείσης ἐγκυκλίου ὀλίγ' ἄττα τῆς τοιαύτης ἐπιστολῆς μέρη ἐγκαταστρῶσαι τῷ λόγῳ, ὡς ἂν γνωσθὲν οὕτως ἐν εἰδήσει πάντων εἶναι τὸν Φώτιον πρὸ τῆς λαμπρᾶς καὶ καθαρᾶς μάχης γένοιτο τοῖς δικάζειν εἰς εὐθύτητα βουλομένοις συνιδεῖν, ὡς, εἰ μὴ ὁ τῆς κακίας πυρσὸς εἰς περιφανὲς ἀνετινάσσετο καὶ αἰθέριον, οὐκ ἂν ἡ ῥηθεῖσα ἐγκύκλιος ἐπιστολὴ τὴν οἰκουμένην παρ' αὐτοῦ πεμφθεῖσα διέδραμε. Τίνα δὲ ἅπερ ὁ λόγος παραγαγεῖν βούλεται μέρη τῆς πρὸς τὸν πάππαν Νικόλαον ἐπιστολῆς Φωτίου εἰς παράστασιν τοῦ πάντα τὰ τῶν Λατίνων ἔθιμα πρὸ τοῦ σχίσματος καὶ εἰδέναι τὸν Φώτιον, καὶ σιωπᾶν; Ἐκεῖνα ταῦτα, ἅπερ ἐπὶ λέξεως ἔχουσιν οὕτως·

« Ἐπεὶ δὲ δι' ἡμᾶς σὺν ἡμῖν καὶ οἱ πρὸ ἡμῶν ἅγιοι καὶ μακάριοι Πατέρες συνδιαβεβλῆσθαι κινδυνεύουσιν, ὡς Νικηφόρος καὶ Ταράσιος (ἐκ λαϊκοῦ γὰρ καὶ οὗτοι τοῦ σχήματος εἰς τὸ τῆς ἀρχιερωσύνης ἄκρον προέβησαν, οἱ τῆς καθ' ἡμᾶς γενεᾶς ἀειφανεῖς λαμπτῆρες, καὶ τῆς εὐσεβείας διαπρύσιοι γεγόνασι κήρυκες, βίῳ καὶ λόγῳ κρατύναντες τὴν ἀλήθειαν), τὰ λείποντα τῷ λόγῳ προσθεῖναι χρεὼν ἡγησάμην, πάσης αἰτίας κρείττους, καὶ πάσης διαβολῆς ἀνωτέρους τοὺς μακαρίους ἐκείνους ἄνδρας ἐπιδεικνύς. Εἰ δ' οὐδ' ἄλλοι τινὲς τούτους ὑπαιτίους τολμῶσι φάναι· τὸ ἐκ λαϊκῶν δὲ πρὸς ἀρχιερωσύνην ἐλθεῖν κρατύνουσι πρόσκομμα, μέμφονται μὲν, οἷς οὐ μέμφονται, ἐκ λαϊκῶν γὰρ καὶ οὗτοι προήχθησαν· οἷς δὲ πάλιν τιμῶσι καὶ τεθήπασι, τὸ ψέγειν ἐκφεύγουσιν. Ἀλλ' οὗτοι Ταράσιος ἢ Νικηφόρος ἐν κοσμικῷ βίῳ ἀστέρων δίκην διαλάμποντες, καὶ πρὸς ἀρχιερατικὴν ἀρχὴν γεγονότες ἀπόλεκτοι, παρὰ κανόνα καὶ τύπον ἐκκλησιαστικὸν τῆς Ἐκκλησίας προέστησαν; Μὴ μοι γένοιτο τοιαύτην ἀφεῖναι φωνὴν, μηδ' ἄλλου λέγοντος ἀκοῦσαι. Οὗτοι γὰρ τῶν κανόνων ἀκριβεῖς φύλακες, τῆς εὐσεβείας ὑπέρμαχοι, τῆς δυσσεβείας κατήγοροι, φωστῆρες ἐν κόσμῳ, κατὰ τὸ θεῖον λόγιον, λόγον ζωῆς ἐπέχοντες. Εἰ δ' ὅτι κανόνας οὐκ ᾔδεισαν, οὐκ ἐφύλαξαν, οὐδεὶς ἂν δίκαια ποιῶν ἐπιμέμψοιτο. Ἀλλ' ὅτι φύλακες ὧν παρέλαβον ἐχρημάτισαν, ἐν τούτῳ παρὰ Θεοῦ ἐδοξάσθησαν. Τὸ μὲν γὰρ τὰ δοθέντα συντηρεῖν γνώμης ἐστὶ καθαρᾶς, καὶ τὴν κακοποιὸν ἀποπεμπούσης προαίρεσιν· τὸ δ' ἃ μὴ παρείληφέ τις, χρείας μὴ καλούσης, νομοθετεῖν, ἢ φυλάττειν ἐπιχειρεῖν, νεωτεροποιοῦ διανοίας καὶ ῥεμβομένης ἐστὶ περιττεύματα. Μέτρῳ γὰρ ἕκαστος οἰκείῳ καὶ κανόνι συνέχεταί τε καὶ κατευθύνεται. Πολλοὶ κανόνες ἄλλοις μὲν παραδέδονται, ἑτέροις δὲ οὐδὲ γνώριμοι. Ὁ παραλαβὼν καὶ ἀθετῶν δίκης ἄξιος. Ὁ δὲ μηδ' ἐγνωκὼς ἢ μὴ παραδεξάμενος πῶς ὑπεύθυνος; Πολλαὶ δὲ καὶ νομοθεσίαι οἷς μὲν ἐτέθησαν, ἐφυλάχθησαν, καὶ Θεοῦ θεράποντας τοὺς φύλακας ἀπεδείξαντο· οἱ δὲ μὴ παρειληφότες, καὶ διὰ τοῦτο μηδὲ τὸν νοῦν πρὸς αὐτὰ ἐπιστρέψαντες, οὐδὲν ἔλαττον θεοφιλεῖς ἐγνωρίσθησαν. Καὶ κατὰ χεῖρας τὰ παραδείγματα.

Cum autem iterum cum suprascriptis sancta apostolica Ecclesia Romana dicit et prædicat, quod septem sunt ecclesiastica sacramenta, baptismus, de quo dictum est supra ; sacramentum confirmationis, quod per manus impositionem episcopi conferunt chrismando renatos ; pœnitentia, eucharistia, sacramentum ordinis, matrimonium, et extrema unctio, quæ secundum doctrinam B. Jacobi infirmantibus exhibetur : dicimus et de iis hæc : Baptismum recipimus, et confitemur, sicut secundum confirmationis sacramentum, licet apud Ecclesiam Romanam per impositionem manuum soli episcopi conferant chrismando renatos, apud nos autem indifferenter prælati et presbyteri hoc faciunt : tamen nos eam quæ hactenus apud nos obtenta fuit consuetudo, in ipsa ordinatione conservantes, quod a Romana Ecclesia super ipsa sit, sanctificativum et perfectivum esse confitemur. Pœnitentiam et ipsam amplectentes confitemur et recipimus. Eucharistiam et ipsum sacramentum Eucharistiæ, per sanctam Ecclesiam Romanam ex azymo pane confectum, secundum ipsius antiquam consuetudinem per ipsam hactenus veneratam, similiter illud, quod per nos conficitur sacramentum dicimus esse indistanter ; credentes et nos ipsum azymum panem in ipso sacro officio Eucharistiæ vere transsubstantiari in corpus Domini nostri Jesu Christi, et vinum in sanguinem ejus per suam sanctissimi Spiritus virtutem et operationem ; a nobis iterum ex fermentato confectum pane, sacramentum etiam illud cognoscimus. Quod et conservantes sicut a principio nobis traditum : credimus similiter ipsum panem vere transsubstantiari in corpus, et vinum in sanguinem Domini nostri Jesu Christi per sanctissimi Spiritus, ut dictum est, virtutem et operationem. Sacramentum ordinis et ipsum amplectentes confitemur et recipimus. Matrimonium, de quo tenet ipsa Ecclesia Romana, quod nec unus vir plures uxores simul, nec una mulier simul habere permittitur plures viros ; soluta vero lege matrimonii per mortem alterius conjugum, secundas, et tertias, et deinde nuptias legitime factas (5) successive licitas esse dicit, si impedimentum canonicum, et causa alia non obsistat : recipimus eodem modo, et de ipso idem dicimus nos Extremam unctionem etiam ipsam recipimus, similiter cum aliis, quæ et a nobis celebrata eptapapadum (6) nominatur. Unum summatim dicamus : cum hæc omnia sic veneretur, et prædicet dicta sancta Ecclesia Romana, credimus et dicimus, quod vere, fideliter et orthodoxe docet et prædicat ipsa sancta Ecclesia Romana : tamen et

(5) Erat sine dubio Græce, καὶ τοὺς ἑξῆς γάμους, hoc est, *et consequentes nuptias.*

(6) Cor. *euchæleum*. Nam Græce εὐχέλαιον.

Digitized by Google Распознавание текста ABK/FR

sic debemus nos permanere incommutabiliter in ritibus, qui a principio obtenti sunt in Ecclesia nostra. Hæc omnia suprascripta ad confirmationem plenissimam exponentes abnegationis schismatis et puræ ac veræ nostræ obedientiæ ad primatum Ecclesiæ Romanæ, et repræsentationem et demonstrationem, quod concors sit plenissime et sine defectu nostra Ecclesia secundum fidei orthodoxæ intellectum sanctæ apostolicæ Matris omnium ecclesiarum Ecclesiæ Romanæ, nostra bulla consueta roboravimus, mense Aprilis, quintæ indictionis, sexti milleni septimi centeni octogesimi quinti anni (7), secundo anno pontificatus nostri.

(7) Annus Græcorum 6785 respondet nostro 1277.

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ ΑΔΙΚΙΑΣ, ΗΣ ΥΠΕΣΤΗ, ΤΟΥ ΟΙΚΕΙΟΥ ΘΡΟΝΟΥ ΑΠΕΛΑΘΕΙΣ

—

EJUSDEM

DE INJUSTITIA QUA AFFECTUS EST, A PROPRIO THRONO EJECTUS.

(Græcia orthod. t. II.)

—

α'. « Ἐσιώπησα, μὴ καὶ εἰσέτι σιωπήσωμαι, » Ἐκ τοῦ Ἡσαΐου ῥητῶν τὸν νῦν ἀπόλογον προοιμιάσομαι. Καὶ Σολομὼν δέ μοι τῷ προοιμίῳ ἐπισυγχροτήσει, καιρὸν σιωπῆς καὶ καιρὸν λόγου σαφῶς ὁρισάμενος. Ὅτι δὲ μὴ ἀπὸ λόγου τὸ τῆς σιωπῆς ἠρετισάμεθα πρόσκαιρον, τὸν λόγον εἰς καιρὸν ἀποταμιεύοντες, ὁ εὐγνώμων διακρινεῖ τῶν ἡμετέρων λόγων ἀκροατής. Πολλῶν δὲ τῶν εὐχῶν ἡμῖν χρεία εὐγνωμόνων ἀκροατῶν ἐπιτεύξασθαι, ὅτι γε ἡ διαβολή, πρὸς ἣν καὶ ἀπολογούμεθα, οὐχ ἕνα, καὶ δύο, καὶ δέκα, καὶ τρὶς, ἢ δεκάκις, ἢ καὶ ἑκατοντάκις τοσούτους ἴσχυσε καθ' ἡμῶν ἐκταράξαι, ἀλλὰ σύμπαν τὸ καθ' ἡμᾶς ἔθνος σχεδὸν, καὶ οὐκ ἂν ῥᾳδίως ἐξέσται ἡμῖν πρὸς τοσοῦτον διαβολῆς ἀνταγωνίσασθαι μέγεθος, εἰ μή γε ἄνωθεν ὁ τῆς ἀληθείας ἐπευδοκοίη Θεός. Ναὶ γὰρ καὶ τοῦτο πεποιθὼς ἀληθῶς, πρὸς τὸν ἀπόλογον ἀποδύομαι, ἑμαυτόν τε παρ' αὐτοῦ ἐπὶ ταῖς δικαίαις ἀπολογίαις κατευθύνεσθαι προσδοκῶν, καὶ τοὺς ἀκροατὰς ἐκεῖθεν ὁδηγεῖσθαι πιστεύων πρὸς τὸ τῆς διαγνώσεως ἀρρεπὲς, καὶ δή μοι ἐγχειρητέον τῷ λόγῳ. Περὶ τῆς μέσον ἡμῶν τε καὶ Ἰταλῶν ἐκκλησιαστικῆς ἑνώσεως, ὡς περὶ ἀδήλου μηδενὶ πράγματος, οὐδὲν πρὸς τὸ παρὸν πλέον ἐρῶ, ἢ ὅτι γέγονεν, ὡς ἄρα καὶ γέγονε, καὶ ἡμεῖς, οἷς οἴδε λόγοις ἢ τὰ καθ' ἡμᾶς διεξάγουσα Πρόνοια, τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως ἐπιστεύθημεν θρόνον, καὶ τὸ διὰ τὴν ῥηθεῖσαν ἕνωσιν σκάνδαλον ἀνερράγη, καὶ ὁ τῆς κακίας πυρσὸς ἐπὶ μέγα ἤρετο καθ' ἑκάστην, καὶ λαοὶ ἀπ' ἀλλήλων ἐσχίζοντο, καὶ ἱερεῖς ἱερέων διεστέλλοντο, καὶ μυρία ἄλλα ἐπλημμελεῖτο δεινὰ, οἷς ὁ τῆς κακίας εὑρετὴς ἐγεγήθει, καὶ ἐπεγάννυτο. Τί γοῦν πρὸς ταῦτα, ὦ πρὸς τῆς Τριάδος αὐτῆς! ἡμᾶς ἔδει ποιεῖν; Ἀναπεσεῖν, καὶ ὕκνῳ δοῦναι τὰ

1. Diuturno silentio ad hæc tempora usus, meamne in posterum vocem comprimam? Ex Isaiæ verbis præsentis orationis exordium sumam. Salomon quoque proœmio, silentii et loquendi tempora præscribens, suppetias feret. Nos vero non præter rationem silentium ad tempus voluntarie nobis indixisse, benignus æquusque nostrorum sermonum æstimator auditorque dijudicabit. Multis autem precibus nobis opus est, ut benignos auditores nanciscamur, quod calumnia, cui respondere præparamur, non unum vel duo, vel decem et tres aut decies vel centies tot alios adversum nos commovere potuit, sed totam fere hanc nostram gentem, et non ita facile nobis fuerit, ad tantæ calumniæ magnitudinem contra decertare, nisi desuper veritatis Deus opem tulerit, in quo cum spem nostram posuerimus, ad responsionem accingimur, et nosmetipsos ab eodem in justis his responsionibus dirigendos fore existimantes, certoque tenentes, auditores inde ad rectum judicium dirigi, hanc nostram orationem aggredimur. De unione inter nostram et Latinorum Ecclesiam, cum res omnibus pateat, nihil in præsentia dixero, nisi quod peracta est, eo modo, quo facta est, et nobis rationibus, quas Providentia dirigens hæc nostra novit, patriarchicus Constantinopoleos thronus concreditur, et scandalum propter dictam unionem latius manavit et improbitatis facula singulis diebus magis ac magis excrevit, et populi ab seipsis scindebantur, et sacerdotes a sacerdotibus dividebantur, et prope innumera alia mala committebantur, quibus improbitatis auctor exsultans, lætitia differebatur. Quid igitur ad hæc, per Triadem ipsam, nobis intentandum erat? Cedere, et segui-

Digitized by Google Распознавание текста ABK/FR

tiei nostra committere, et veluti aliis magis incumbere, dissidium negligere? Equidem, licet alteri id allubescebat, mihi non placuit. Quare totis viribus incumbebamus, omnibus persuadere, ut congregationibus interessent, communionibus non destituerentur, mutuam unionem non despicerent, fraternam concordiam non læderent, et nostri isti conatus, non tantum adhortationum non scriptis colloquiis immorandum, sed scriptionibus etiam navandam esse operam, suadebant. Et cum penes omnes scandali reputaretur causa potissima, quod Romana Ecclesia Symbolo fidei addidisset illud, *ex Filio quoque Spiritum sanctum procedere*, videbatur mihi peropportunum, aliquas Patrum actiones in memoriam revocare, in quibus Patres nostri antiqui, qui in rebus ecclesiasticis uti lumina egregia refulserunt, dispositione utentes, multitudinem Christianorum haud exiguam, et integras Ecclesias mutuis dissidiis abscisas, ad pacem et concordiam, quod eos sejungebat stolido dissidio sublato, conduxerunt.

2. Et inter alia mente revolvebamus, qua ratione divinus et magnus Athanasius, has easdem Ecclesias, de quibus universi nostri sermones agitantur, in conjunctione, quæ in Deo est, conservavit, quod in dictione *hypostasis* inter utrasque exarserat, optime scandalo exsoluto : et quomodo magnus Basilius pro dictione, *Deus*, inter eos, qui ita asserebant, et eos, qui renuebant id dicere, dissidium exortum sedavit, necnon magnus rebus theologicis pertractandis Gregorius Judæorum gentem, si *assumpti* vocem, prò Christo intelligentes, una nobiscum voluissent collocari, prompto et alacri animo excepisset. Hæc igitur sedulo considerantes, magna equidem incendebamur cura, accurata scriptoque tradita oratione demonstrare, nihil absurdi sequi, si Romanæ Ecclesiæ pacem amplecteremur, licet ea affirmet, ex Patre et ex Filio, nos vero ex Patre per Filium Spiritum sanctum procedere : et nos non nimium a via Patrum in similibus dispositionibus aberrantes, dixisse et accurasse, quæ a magno Athanasio in dicta dispensatione factitata sunt, ex illis, quæ in libro a nobis de eadem re concinnato continentur, abunde probabitur. Cum post præsentem injustitiæ, qua affecti sumus, narrationem, non ut hæreticos, quod calumniæ caput potissimum est, et Græcorum hostes, Ecclesiarum pacem pertractasse, et eam, ut qui eam disposuit enarrat, amplexatos fuisse, nostra responsione manifestum fiet. Nunc vero propositæ a nobis orationis seriem prosequentes, dicimus a nobis inter utrasque Ecclesias pacem, vestigiis Patrum insistentibus procuratam fuisse : sed alio modo rerum fusus retortus est, et repentina immutatione, de qua nunc sermonem instituere, tempus non est, cum propriam illa, ut verum fatear, narrationem exposcat, omnes una simul nostri generis homines, viri, mulieres, senes, juvenes, puellæ, vetulæ pu-

καθ' ἑαυτοὺς, καὶ ὥσπερ ἄλλῳ τῳ πλέον ἡμῶν μέλον τὸ σχίσμα περιορᾶν ; Οὐκ ἔμοιγε τέως, εἰ καὶ ἄλλῳ οὕτω δοκεῖ. Ἡμεν γοῦν, ὅπερ ἔδει, πρόθυμοι πρὸς τὸ ξύμπαντας πείθειν ἀνθρώπους τῶν συνάξεων μὴ ἀπολιμπάνεσθαι, τῶν κοινωνιῶν μὴ ἀποστερεῖσθαι, τὴν ἀλλήλων ἕνωσιν μὴ περιορᾶν, τὴν ἀδελφικὴν ὁμόνοιαν μὴ λυμαίνεσθαι· καὶ τὸ περὶ ταῦτα ἡμῶν πρόθυμον οὐ μέχρι τῆς δι' ὁμιλιῶν ἀγράφων παραινέσεως ἵστασθαι ἡμᾶς εἶα, ἀλλὰ καὶ τῆς διὰ γραφῶν ἀνέπειθεν ἅπτεσθαι. Καὶ ἐπεὶ ἓν τοῦτο μόνον ἐδόκει πᾶσι τοῦ σκανδάλου αἰτιώτατον, τὸ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἐν τῷ Συμβόλῳ προσθεῖναι τῆς πίστεως τὸ, *καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι*, δεῖν μοι ἐδόκει διά τινος μνήμης πράξεων πατρικῶν, δι' ὧν οἱ πάλαι ἐν τοῖς ἐκκλησιαστικοῖς διαλάμψαντες Πατέρες ἡμῶν, οἰκονομίᾳ τινὶ χρώμενοι, πλήθη Χριστιανῶν οὐκ ὀλίγα, καὶ ὅλας ἐκκλησίας σχιζομένας ἀπ' ἀλλήλων πρὸς εἰρήνην τε καὶ ὁμόνοιαν ἐξ ἔχθρας συνῆπτον καὶ διαστάσεως, τοῦ ματαίου σκανδάλου τοὺς πολλοὺς ἀφίστασθαι ἀναπείθειν.

β'. Καὶ δῆτα ἡμῖν εἰς ἔννοιαν ἤρχετο ὅπως ὁ θεῖος καὶ μέγας ἀληθῶς Ἀθανάσιος αὐτὰς ταύτας τὰς Ἐκκλησίας, ὑπὲρ ὧν ὁ πᾶς λόγος ἡμῖν, πρὸς τὸν ἐν Θεῷ συνετήρησε σύνδεσμον, τὸ ἐπὶ τῇ λέξει τῆς *ὑποστάσεως* μέσον ἀμφοτέρων ἀναῤῥαγὲν σκάνδαλον διαλυσάμενος ἄριστα· ὅπως ὁ μέγας Βασίλειος ἐπὶ τῇ, *Θεὸς*, φωνῇ μέσον τῶν οὕτω λεγόντων, καὶ τῶν μὴ οὕτω λέγειν θελόντων τὸ ἄσχιστον διετήρησεν· ὅπως ὁ πολὺς τὴν θεολογίαν Γρηγόριος τὸ Ἰουδαίων ἔθνος ἕτοιμος ἦν ἀποβαλεῖν, εἴγε τὴν τοῦ *ἠλειμμένου* φωνὴν ἀντὶ τῆς Χριστοῦ δεξάμενοι οὗτοι ἠξίουν μεθ' ἡμῶν τάττεσθαι. Ταῦτα οὖν λογιζομένοις ἡμῖν μεγάλη ἀληθῶς ἐγένετο ἡ σπουδὴ δι' ἐπιμελοῦς ἀποδεικνύειν λογογραφίας ἄτοπον εἶναι μηδὲν τῆς Ῥωμαϊκῆς τὴν εἰρήνην στέργειν Ἐκκλησίας ἡμᾶς, αὐτῆς μὲν ἐκ Πατρὸς λεγούσης, καὶ ἡμῶν δ' ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. Καὶ ὅτι μὲν οὐ *πόῤῥω* τῆς ἐπὶ ταῖς τοιαύταις οἰκονομίαις ὁδοῦ τῶν Πατέρων πλανώμενοι ταῦτα ἡμεῖς ἐλέγομέν τε καὶ ἐσπουδάζομεν, τὰ περὶ τῆς τῷ μεγάλῳ διανυσθείσης οἰκονομίας Ἀθανασίῳ ἐν τῇ πονηθείσῃ ἡμῖν βίβλῳ διειλημμένα συστήσει, ἐπὰν ἡμεῖς καὶ ἀπολογούμενοι μετὰ τὴν παροῦσαν τῆς ἡμῶν ἀδικίας ἀφήγησιν, μὴ ὡς αἱρετικοὶ κατὰ τὸ τῆς διαβολῆς κεφαλαιωδέστατον, καὶ τῶν Ῥωμαίων ἐχθροὶ, τὴν τῶν Ἐκκλησιῶν σπουδάσαι εἰρήνην, τῷ λόγῳ ταῦτα, ὡς αὐτὸς ἐκεῖνος ὁ οἰκονομήσας διέξεισι. Τὸ δὲ νῦν ἔχον κατὰ τὸν εἱρμὸν τοῦ προκειμένου ἡμῖν λόγου φαμὲν, ὡς ἡμῖν μὲν ἡ μέσον τῶν ἀμφοτέρων Ἐκκλησιῶν εἰρήνη τὸν ὅμοιον οὕτω τοῖς Πατράσιν ἐσπουδάζετο τρόπον, ἄλλως δ' ὁ τῶν πραγμάτων μετεκέκλωστο ἄτρακτος, καὶ ἐν ἀθρόᾳ μεταβολῇ περὶ ἧς νῦν καὶ λέγειν οὐκ ἔστι καιρὸς, ἰδίος τῆς πρὸς ἀφήγησιν δεομένης λογογραφίας ὡς ἀληθῶς, ξύμπαντες ὁμοῦ τῆς ἡμῶν γενεᾶς ἄνθρωποι ἄνδρες, γυναῖκες, γέροντες, νέοι, κόραι, πρεσβύτιδες μάχην, καὶ οὐκ

Digitized by Google Распознавание текста ABK/FR

εἰρήνην, διάστασιν, καὶ οὐ σύνδεσμον, τὴν εἰρήνην ἡγήσαντο. Εἶτα τί; Ὀλίγοι τινὲς τῶν τῷ καιρῷ τὰ πρόσφορα δυναμένων, μεγάλης φροντίδος ἔθεντο ἔργον τὸ κοινὸν καθ' ἡμῶν ἅπαν πλῆθος διερεθίσαι· καὶ δὴ οὕτω τὴν πρὸς τοῦτο βουλὴν αὐτῶν ἴσχυσαν διεκπερατῶσαι, ὡς ἀναγκασθῆναι ἡμᾶς διὰ προσδοκίαν θανάτου, σχεδὸν ἤδη πρὸ ὀφθαλμῶν ἐπηρτημένου ἡμῖν, τῶν ἐκκλησιαστικῶν ἀναχωρῆσαι.

γ'. Τάχα γὰρ ἔδοξεν ἡμῖν, οὕτω πεποιηκόσι, τὸ τῆς καθ' ἡμῶν ὀλόγου μανίας οἴδημα διαμαλάξαι ποσῶς. Τὸ δ' ἄλλως καὶ παρὰ τὰς ἐλπίδας ἀπέβη. Ὃν γὰρ κοινὴ τῶν ἀρχιερέων ψῆφος τοῦ πατριαρχικοῦ κατέσπασε θρόνου, πρινὴ τούτῳ ἐγκαθιδρῦσαι ἡμᾶς, τοῦτον φέροντες αὖθις ἔθεντο ἐπ' αὐτόν· κἀνταῦθα τὸ ποίημα τοῦ διηγήματος. Εἶχε μὲν γὰρ ἡμᾶς ἡ μονὴ, ἣ φέροντες δεδώκαμεν ἑαυτοὺς, ἐκεῖνον δὲ ἡ κλίνη, οὐ γὰρ ὁ θρόνος, ὅτι μηδ' ἐκαθέσθη, ἀλλ' ἐτέθη ἐπὶ τὸν θρόνον, ὡς ἔφημεν. Καὶ ταῦτα, οὐχ ἵνα ἐκείνῳ μῶμόν τινα ἐντεῦθεν προστρίψαιμεν, ἀπαγγέλλομεν. Ἅπαγε· πόρρω γὰρ παντὸς τοιούτου ἡμεῖς, ὅπουγε εἰ καὶ σκοπὸν τοιοῦτον ἦμεν, ἀλλ' οὐδὲν ἐφ' ἑαυτοῦ τὸ πρᾶγμα, τόγε εἰς ἐκεῖνον ἦκον, εἶχεν ἐπίμωμον· τίς γὰρ ὁ μῶμος ἄνθρωπον ἐγγὺς ὄντα θανάτου ἀναισθητεῖν; ἀλλὰ ταῦτά φαμεν, ἵνα τῆς καθ' ἡμῶν κακίας τὴν ὑπερβολὴν παραστήσαιμεν, ὡς τῶν αὐτὴν καθ' ἡμῶν σπουδαζόντων μὴ πρός τι λυσιτελὲς τῷ κοινῷ, πρὸς ἓν δὲ μόνον ὁρώντων, τὸ τοῦ οἰκείου θρόνου ἡμᾶς ὀπώσασθαι. Εἶχε μὲν οὕτως ἐκεῖνον ἡ κλίνη, μηδ' ὅποι εἴη, καὶ ὅποι διάγοι, ἐπαισθανόμενον. Πάλαι γὰρ τῷ μακρῷ τῆς νόσου σύμπαν αὐτῷ αἰσθήσεως ἀπέσβη ἐμπύρευμα. Μοναχῶν δέ τινων ἄθροισμα συγκεκροτημένον περὶ αὐτὸν, πάσης μὲν κανονικῆς εἰδημοσύνης ἀμέθεκτον ὄν, πολλὴν δὲ τὴν καθ' ἡμῶν ἔχον δυσμένειαν, ὡς τῶν ἀρχῆθεν τῆς ἡμῶν κοινωνίας ἀπερρωγότων τυγχάνον, ψήφισμά τι καθ' ἡμῶν σχεδιάζει, καὶ τοῦτο ὡς ὑπ' αὐτοῦ ἐκείνου ἐξενεχθὲν καθαίρεσιν ἀκανονιστως ὀνομάζουσι καὶ ἀθέσμως. Εἶτα τοῖς πυλωροῖς καὶ ὑπηρέταις παρακελεύονται τοῦ ναοῦ, καὶ οἱ τῶν ἐν προνάοις πύργων ἀπηωρημένοι, χάλκεοι τῶν κοινῶν συνάξεων ἄτερ λόγου καὶ φωνῆς κήρυκες διακωδωνίζουσι, καὶ τὸν ξύγκλυδα καὶ χυδαῖον τοῦ πολιτικοῦ πλήθους προκαλοῦνται λαόν. Καὶ τίς ἂν ἀριθμήσειεν, ὅποι καὶ προκεχώρηκε πλήθους ἡ ἄθροισις; Ἐπληροῦτο τὰ ἔνδον, τὰ ἔξω πάντα, τὰ μέρη τοῦ θείου σηκοῦ· καὶ οὐ μόνον τὰ κάτω ἐδάφη τῆς ἐκ διαφόρου ἡλικίας καὶ τάξεως συγκεκροτημένης ἐπληροῦτο πληθύος, ἀλλ' ἐπεὶ καὶ αἱ παρ' ἑκάτερα, καὶ πρὸς δυσμὰς τοῦ ναοῦ πρὸς ὕψος ὀλίγον τῆς μεσονάου στοᾶς ἀπεδέον ἀνιδρυμέναι οἰκοδομαὶ, ἐδάφη ἔχουσιν ἴδια κίοσι, καὶ ταῖς ἐπὶ κιόνων στοαῖς μετέωρα, ὑπανεχόμενα ἐξ ἡρμοσμένου λίθου, καὶ αὐτὰ διηυθετισμένα, ὄχλου παντοίου μεστὰ καὶ ταῦτα ἐγίνετο.

δ'. Ἀλλὰ πρινὴ τῶν μετὰ τὴν ἄθροισιν ταύτην ἀφηγημάτων ἡμᾶς ἅψασθαι, πρότερον πρὸς τοῦτο τέως ἀπαντητέον. Ἀκήκοέ τις τῶν νῦν ἢ τῶν πάλαι τὸν Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον, παρὰ

gnam, non pacem, divisionem, non conjunctionem dictam pacem existimarunt. Quid tum inde? Pauci, qui in auctoritate erant, maxime incubuerunt, et toto nixu procurarunt, ut universum adversum nos populum inflammarent, et sic sua consilia opere etiam præstare potuere, ut coacti simus ob exspectationem mortis, quæ jam fere nobis ante oculos imminebat, dominatui ecclesiastico cedere.

3. Namque videbatur nobis, si id egissemus, efferatæ contra nos rabiei tumorem aliqua ex parte emollitum iri. Hoc vero aliter atque ipsi sperabamus, evenit. Quem enim unanimi præsules sententia ex patriarchico throno deturbaverant, antequam in illo nos collocassent, eum rursus convehentes, in eo posuere. Et hoc est narrationis caput. Tenebat nos monasterium, cui nosmetipsos concredidimus, illum vero lectus, non thronus, cum non sederit, sed appositus fuerit, ut diximus, et hæc, non ut infamiæ notam illi appingamus, narramus. Absit! longe enim a similibus absumus: nam etiamsi id nobis in animo esset, res ipsa, quoad ejus poterat, criminis alicujus notam non subit. Quam enim reprehensionem homo incurreret, si ille morti proximus stupens non persentiscit; sed hæc dicimus, ut improbitatis excessum repræsentemus, dum qui adversus nos similia moliebantur, non utilitati publicæ, sed illi tantummodo a nimium advertebant, ut nos ex proprio throno disjicerent. Habebat igitur illum lectus, nec ubi esset, nec in quo degeret loco, agnoscentem. A multo siquidem tempore morbo prægravatus, universum sensuum suscitabulum amiserat. Monachorum vero circa eum cœtus effusus, nulla canonum scientia præditus, et plane infans, sed erga nos nimium hostiliter exardens, tanquam qui ab initio a nostra communione abscisus sese segregaverat, decretum contra nos extemplo profudit: et hoc ac si ab eo pronuntiatum fuisset, depositionem, nullo canonum jure servato, et contra fas omne, nuncupant. Tum ostiariis, et administris templi præcipiunt, ut qui in pronais super turres dependent, ænei publicarum congregationum absque sermone, et voce præcones, ingenti strepitu remugientes, confusam, et vilem civitatis plebeculam advocent. Et quis numerum multitudinis, quæ ibi congesta est, explicaverit? Interiora omnia, exteriora sacrosancti templi constipabantur concurrentium numero: nec tantummodo infima pavimenta multitudine diversæ ætatis ac ordinis congregata replebantur, sed ex utraque parte, et occidua et media templi porticu parum distantium structurarum propria pavimenta columnis, et super columnis super sese erectis interstincta ex adaptato lapide eminentia, et bene digesta, cujuscunque generis plebeculæ plena erant.

4. Sed antequam congressus hujus narrationem exordiamur, primum hoc præponendum videtur. Audiitne quispiam ex iis qui nunc vivunt, vel antiquitus vitam egerunt, Constantinopolitanum ar-

Digitized by Google Распознавание текста ABK/FR

chiepiscopum ab iis, qui nec episcopi, multo minus sacerdotis dignitate præsigniti sunt, deponi? Et tamen adversus nos decretum a similibus extemplo pronuntiatum est, et nemo ex iis, qui stuporem hominis bene callent, dictis nostris adversabitur. Ego nihilominus et jus simile ad causæ defensionem aptissimum præteriens, sicut est ab eo contra nos sententia lata, hunc in modum respondeo. An est canonum ullo præscripto statutum, eum, qui in occupando throno æmulus erat, unum tantummodo, et nullo præsidum suffragio approbatum, vel plausu exceptum contra eum, qui nullo synodico decreto erat obnoxius, sententiam depositariam dicere? Dicite per Deum, quibus canonum observatio demandata est, si canonibus ista præcipiuntur, si jura similia mandant, si Patrum ista constitutionibus innituntur. Namque prorsus addecebat, ni nomen solum apud vos canones obtinent, aut juste, aut, sed aliud, vestræ pietati parcens, silentio prætereo, suspensionem prius contra nos a vobis decerni : sicque communibus calculis propter ejusdem adversantem discordantemque ab aliis dispositionem excogitatam priore reprobato secundum in sede substituere. At nunc cum nihil tale peractum sit, surda condemnatione nos quidem monasterium, thronus vero, nisi aptius sit dicere, lectus, illum excepit.

5. Et hoc quidem primum contra jura commissum facinus est, ante nostram scilicet synodalem condemnationem nostrum in throno æmulum intromittere. Verum oratio ea quæ post multitudinem congregatam gesta sunt, recolat. Recitabantur, quæ ab ipsis contra canones et jus omne nuncupabantur, depositiones : nos a nullo antea judicatos, tanquam in certis ac indubitatis paternorum dogmatum prævaricationibus criminabantur, et hæreticos et Græcorum hostes, o justitia, et omnia aspicientes Domini oculi! pietatis magistros, et qui jam annis ante elapsis suam erga Græcos benevolentiam demonstraverant, ubique locorum impudenter conclamabant. Quid multis opus? ita hæc enuntiata vilis plebeculæ rabiem in nos concitarunt, ut per tres dies integros continuo diffideremus, an cujus diei vivi matutinum aspeximus, illius etiam finem eodem modo intueremur. Homo siquidem rationis, quæ est in sui definitione, expers, absurdas accusationes adversus aliquem jactatas exaudiens, si momenta calumniæ accusationisque non dignoverit, subito et absque mora ex calumnia criminationibus exortis incenditur : quod si accusatio ab aliquo in dignitate constituto, et præcellente emanarit, inflammatio illa majores vires acquirit, dignitate facile fidem conciliante, cum qui similibus animum adverunt, dignoscere non possint, aliquando veritatem, quam in se continere debet dignitas et auctoritas, ab ira et rabie, quæ sunt perturbationes humani animi interverti : aliquando etiam, cum cognitio a dignitate longe est, ad men'acem, et temerariam ejusmodi homi-

A τῶν μή τοί γε ἐπισκόπου, ἀλλὰ μηδὲ ἱερέως ὄνομα περικειμένων καθαιρεθῆναι; Ἀλλ' ἡ καθ' ἡμῶν ἀπόφασις παρὰ τοιούτων ἐσχεδιάσθη, καὶ οὐδεὶς τῶν τὸ ἀναίσθητον τοῦ ἀνδρὸς ἐκείνου εἰδότων πρὸς τὸν ἡμέτερον τοῦτον ἀπαντήσεται λόγον. Ἐγὼ δὲ καὶ τὸ τοιοῦτον παρατρέχων δικαιολόγημα, ὡς εἰ παρ' αὐτοῦ ἐκείνου ἐσχεδιάσθη τὰ καθ' ἡμῶν, οὕτω τὴν πρὸς ταῦτα ποιοῦμαι ἀπάντησιν. Κανονικῆς ἐξείχετο τῆς διαταγῆς τὸν ἐπὶ τῷ θρόνῳ ἀντίζηλον, ἕνα καὶ ταῦτα ὄντα, καὶ παρὰ μηδενὸς τῶν ἀρχιερέων παρακροτούμενον, κατὰ τοῦ μή τινι συνοδικῇ ἀποφάσει παρακινηθέντος τοῦ θρόνου, γνώμας καθαιρετικὰς ἀποφαίνεσθαι; Εἴπατε οἱ πρὸς Θεὸν τῶν κανόνων πεπιστευμένοι τὴν φυλακήν, εἰ κανονικὰ ταῦτα, εἰ ἔνθεσμα, εἰ τῶν πατρικῶν οὐκ ἔξωρα διατάξεων. B Πάντως γὰρ ἔδει, εἰ μὴ ἁπλῶς ὄνομα οἱ παρ' ἡμῖν κανόνες εἰσὶν, ἢ δίκαιος, ἢ, ἀλλὰ τὸ ἕτερον φειδοῖ τῆς ὑμῶν σεβασμιότητος ἀποσιωπῶ, ἀργίαν ἡμῶν καταψηφίσασθαι ὑμᾶς πρότερον, καὶ οὕτω τὸν κοιναῖς ταῖς ψήφοις, διὰ τὸ πρὸς τὴν ἀντίρροπον οἰκονομίαν ἀσύμφωνον αὐτοῦ ἀποδοκιμασθέντα τὸ πρὶν, ἀντικαταστῆσαι τῷ θρόνῳ τὸν δεύτερον. Νῦν δὲ τοιούτου μηδενὸς γεγονότος, κωφῇ τῇ καταδίκῃ ἡμᾶς μὲν ἡ μονὴ, ὁ δὲ θρόνος, εἰ μή γε προσῳδέστερόν ἐστιν εἰπεῖν, ἡ κλίνη, ἐκεῖνον ἐλάμβανε.

ε. Καὶ τοῦτο μὲν οὕτω πρῶτον ἐφ' ἡμῖν γέγονε τὸ ἀδίκημα, τὸ πρὸ τῆς καθ' ἡμῶν συνοδικῆς διαγνώσεως, ἀντικαταστῆναι τῷ θρόνῳ τὸν ἡμῶν ἐπὶ C τούτῳ ἀντίζηλον. Ὁ δὲ λόγος τῶν μετὰ τὴν ἄθροισιν τοῦ πλήθους ἤδη ἐπιμνησθήτω. Ἀνεγινώσκοντο μὲν αἱ παρ' αὐτοῖς ἀκανονίστως, καὶ ἀθέσμως ὀνομαζόμεναι καθαιρέσεις, τοὺς δὲ παρὰ μηδενὸς ἀνακριθέντας ἡμᾶς, ὡς ἐπὶ ὁμολογουμέναις πατρικῶν δογμάτων παραβάσεσι ἠτιῶντο, αἱρετικοὺς καὶ τῶν Ῥωμαίων ἐχθροὺς, ὦ δίκαι, καὶ οἱ πανθ' ὁρῶντες ὀφθαλμοὶ τοῦ Θεοῦ! τοὺς τῆς εὐσεβείας διδασκάλους, καὶ τὸ ἑαυτῶν ἐν πολλοῖς κατὰ καιροὺς ἀποδείξαντες φιλορώμαιον, πάντη ἀνειδῶς ἀπεκάλουν. Καὶ τί τὰ πολλά; Οὕτω ταῦτα λεγόμενα τὴν καθ' ἡμῶν μανίαν τοῦ πλήθους ἀνῆψεν, ὡς ἐπὶ τρισὶν ὅλαις ἡμέραις μηδὲ θαρρεῖν ἔχειν ἡμᾶς, ἢ ἡμέρας τὸ ἐωθινὸν εἶδομεν ζῶντες, ταύτης D καὶ τὸ τέλος ὁμοίως ἰδεῖν. Οὗτος γὰρ ἄνθρωπος τὸν μὲν ἐκ τοῦ ὅρου αὐτοῦ λόγου μὴ εὐμοιρῶν. ἀτόπους τινὰς κατηγορίας ἐνωτιζόμενος προτεινομένας κατά τινος, μηδεμίαν ῥοπὴν τῇ τῆς συκοφαντίας καὶ διαβολῆς διακρίσει διδοὺς, τάχιστα ὡς ἐπ' ἀληθέσι τοῖς ἐκ διαβολῆς αἰτιάμασιν ἐξανάπτεται. Εἰ δὲ καὶ παρ' ἀνδρὸς αἱ κατηγορίαι ἔκ τινος περιφανείας τὸ δοκεῖν ἔχοντος, μᾶλλον ἡ ἀναψις, τὸ πρὸς πίστιν εὐπαράδεκτον εἰσάγοντος τοῦ ἀξιώματος, ἅτε τοῦ τοῖς τοιούτοις προσέχοντος μὴ συνιδεῖν ἔχοντος, ὡς ποτὲ μὲν ἦν ὀφείλουσιν ἀληθείαν αἱ περιφάνειαι καὶ τὰ ἀξιώματα, ταύτην θυμὸς, καὶ ὀργὴ, πάθη δύτα ἀνθρώπινα, ὑφαιροῦσι, ποτὲ δὲ γνῶσις προσήκουσα τῷ ἀξιώματι, πρὸς ψευδῆ καὶ ἄλογον τοὺς τοιούτους ἀνάγει κατηγορίαν, οὐχ ὡς

Digitized by Google Распознавание текста ABK/FR

ἡ ἀλήθεια βούλεται, ἀλλ' ὡς αὐτοὶ νοοῦσι πρὸς τὸ κατηγορεῖν ἐρχομένους. Εἰ δὲ καὶ ὡς περὶ Θεοῦ καὶ πίστεως προφέρονται τὰ αἰτιάματα, οὐ μέτρῳ τινὶ πρὸς ὀργὴν ἐστι τότε τὸ ἀνθρώποις ἀλογώτερον ἀναπτόμενον. Τάχα γὰρ ὁ τοιοῦτος τὰ μεγάλα οἴεται θεραπεύειν Θεὸν, εἰ μέχρι σφαγῆς καὶ αἵματος τὸν κατηγορούμενον τὰ τοιαῦτα μετέλθῃ, εἰς ὅπερ δὴ κινδύνου παρ' ὀλίγον ἤλθομεν καὶ ἡμεῖς. Ἐπὶ γὰρ τρισὶν ὅλαις ἡμέραις θαῤῥεῖν οὐκ εἴχομεν ἀκριβῶς, ἧς ἡμέρας τὸ ἑωθινὸν εἴδομεν ζῶντες, ταύτης καὶ τὸ τέλος ὁμοίως ἰδεῖν.

A nes accusationem inducí, qui, non ut veritas requirit, sed ut illis volupe est, ad accusandum accedunt. Quod si de Deo, et fide accusationes instituuntur, tum mensura aliqua, quod in homine est magis rationis expers, incenditur : namque maximum se cultum Deo præstare existimat, si usque ad necem, et sanguinem accusatum de similibus puniat, ad quod ferme periculum nos tantum non devenimus. Per tres enim integros dies, ut diximus, nimis male metuebamus, an diei, cujus matutinas horas vivi aspeximus, finem eadem conditione videremus.

ς'. Μετὰ δὲ τὴν αὐτῶν τρίτην, τὰ ἐκ τῶν ῥηθέντων κωδώνων ἦχουν πάλιν κηρύγματα, καὶ πάλιν ἀτάκτου πλήθους ὁρμὴ, καὶ πάλιν ἀνδρῶν, οὐ πάντων μὲν, οὐκ ὀλίγων δὲ τέως φονώντων ἄθροισμα παμμιγὲς, ναοὺς ἐπλήρου, καὶ πρόναα, καὶ τοῦ ναοῦ τὰ μετεωρότερα, καὶ ταῦτα μάλιστα κατ' ἐξαίρετον, ὡς ἐκεῖσε τῆς τῶν ἀρχιερέων ὁμηγύρεως γινομένης, διὰ συζήτησιν τάχα τῶν καθ' ἡμᾶς. Ἐγὼ δ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ὅπως ἂν αὐτῷ καὶ χρησαίμην οὐκ ἔχω. Ὧν γὰρ κατηγορῆσαι βούλομαι δικαστῶν, τούτων ὑπερηγορῆσαι πείθει με ἡ ἀλήθεια, καὶ οὐκ οἶδ' ὁποτέρωσε ῥέψω, εἴτε πρὸς κατηγορίαν, διὰ τὸ ἄδικον τῆς πράξεως τέλος, εἴτε πρὸς ὑπερηγορίαν διὰ τὸ πρὸς τὴν πρᾶξιν ἀκούσιον. Οὐ γὰρ ἑκόντες ἦλθον πρὸς τοὔργον, ἀλλ' ἄκοντες πρὸς αὐτὸ συνηλάθησαν, καὶοὐχ ὡ, δικασταὶ ποιεῖν συγκεχώρηντο, ἀλλ'ὡς κατάδικοι πάσχειν ἠπείληντο, εἰ μὴ τὰ ἅπαξ ἀθέσμως καὶ ἀκανονίστως ἀποφανθέντα καθ' ἡμῶν ἐπιβεβαιώσωσιν. Ἡ δὲ ἀπειλὴ οὐ χρημάτων, οὐ κτημάτων, οὐ τῆς ἀρχιερωσύνης αὐτῆς ἔκπτωσις ἦν, ἀλλὰ θάνατος, καὶ οὗτος ἀπηνὴς καὶ βιαιότατος. Οἷς γὰρ ἐδόκει μετὰ τὴν ἡμῶν καταδίκην τὴν πᾶσαν ἐπ' αὐτοὺς τρέψαι κακίαν, ὡς ὁ χρόνος ἀκριβῶς παρέστησεν ὕστερον, ἐκεῖνοι τῶν, ὡς εἴρηται, χυδαίων καὶ φονικῶν ἀνδρῶν τὰς συναγωγὰς ᾠκονόμουν, ὡς ἄν, εἴ τίς που μικρὸν πρὸς τὰ παρακελευόμενα ὑπογρύξειε, θάνατον τὸ ἐπιτίμιον ὑποσταίη. Τί γοῦν εἶχον ποιῆσαι οἱ πρὸς ἄλογον μανίαν πλήθους, καὶ ὁρμὴν ἀκάθεκτον, ἀντέχειν οὐκ ἐξισχύοντες; Τί ἄλλο γε ἢ τοῦ καιροῦ ἐνδοῦναι τῇ δυναστείᾳ, καὶ μὴ ἐπιχειρεῖν ὀλίγαις ῥανίσιν ὕδατος φλόγα ὅλην εἰς αἰθέριον ὑψουμένην σβεννύειν; Τέως δ' οὖν οὕτω καὶ ἐπὶ τοιούτοις εἶχε τούτους τὸ δικαστήριον, καὶ ἡμῖν τὸ λοιπὸν τὰ λείποντα τῶν ἀδικημάτων ἀφηγητέον, καὶ ὅποι ταῦτα κατήντησεν.

6. Die vero, qui tertium consequebatur, rursus eædem cum campanarum strepitu proclamationes audiebantur : rursus inordinatæ multitudinis impetus, rursus hominum non omnium, attamen non paucorum, cædem minitantium, confusanea, atque miscellanea mistura, et inconstans congressus templa complebant, et porticus, et templorum partes erectiores, ad quas potissimum concurrebant, cum in illis præsulum cœtus congrederetur, res nostras dijudicaturus. Ipse vero cum huc oratione devenerim, quomodo ea uti debeam, non liquet. Quorum enim judicum accusationem instituo, horum defensionem suscipere veritas ipsa persuadet, et nescio quam in partem propendendum mihi sit, sive ad accusationem ob injustum actionis exitum, sive ad defensionem, ob actionem non sponte sed coacte perfectam. Neque enim sponte ad opus accesserunt, sed inviti compulsi sunt, et illis non tanquam judicibus sententiam dicere concedebant, sed uti reis metuenda minitabantur, ni semel præter jus omne fasque contra nos scripta decreta constabilirent. Et minæ erant non pecuniarum, non possessionum, non ipsius pontificatus amissio, sed mors, eaque crudelis et quam maxime violenta. Quibus enim videbatur, post nostram condemnationem malum esse in se omne convertendum, quod postmodum tempus subsequens aperte demonstravit, illi, ut dictum est, vilium, et truculentorum hominum congressus procurabant, ut si quis aliquando vel minimum præ his, quæ præcipiebantur, hisceret, morte multaretur. Quid igitur acturi erant, qui in vesanam rabiem, et perditum multitudinis impetum contraire non poterant? Quid aliud, nisi violentiæ cedere, neque intentare paucis aquæ guttis flammam integram ad æthera usque excitatam exstinguere? Tandem hoc modo, ei hisce de rebus ad tribunal ventum est, nobisque interim quæ reliqua sunt, injustitiæ, quemnam finem nacta sunt, enarrandum.

ζ'. Εἶχε μὲν γὰρ ταῦτα, ὡς ἔφην, ἀρχὴν τὸ πρὸ τῆς καθ' ἡμῶν συνοδικῆς διαγνώσεως ἀντικαταστῆναι τῷ θρόνῳ τὸν ἡμῶν ἐπὶ τούτῳ ἀντίζηλον, καὶ προσέτι παρ' αὐτοῦ καὶ μόνου τὴν καθ' ἡμῶν ἐξενεχθῆναι ἀπόφασιν, καὶ τὸ δὴ μεῖζον, τὸ μηδὲ παρ' αὐτοῦ, ἀλλὰ παρ' ἀνδρῶν ἀνιέρων, καὶ τούτων παλαιᾷ τῇ καθ' ἡμῶν κακίᾳ προστετηκότων, ὡς ἐπ' ὀνόματι αὐτοῦ ταύτην σχεδιασθῆναι, τὴν δ' ἐπὶ τὸ πλέον ἔσχηκε πρόοδον, ἐκ τῶν, ὡς ἤδη ἀπαγγελοῦ-

7. Horum itaque principium fuit, ut dixi, ante synodale decretum contra nos latum, loco nostri in thronum nostrum promovere æmulum, necnon ab ipso, eoque solo contra nos sententiam publicari, et quod immanius est, neque ab ipso, sed ab hominibus profanis, et his antiquæ adversum nos improbitati deditis, sub nomine nihilominus illius dictari, quæ usque quo processerit ex factis ipsis enuntiabimus. Quartus dies erat, ex quo, quæ ab

Digitized by Google Распознавание текста ABK/FR

illis depositio nomen habuit, pronuntiata fuerat, cum nos ad tribunal vocamur : *Audi, cælum, et auribus percipe, terra !* Depositus accersitur ad respondendum, qui decreto condemnatus est, ad illi contradicendum; a throno etiam ante sententiam latam ejectus, ad depulsandam calumniam. Sed quo scopo ? ut quæ ille respondendo, contradicendo, injuriam depulsando protulisset, non absque ratione prolata esse existimata, proprium robur haberent. Et quis tandem eorum roboris finis futurus erat ? Patriarchicus thronus ? Sed hic antea ablatus est, alius super illo jacet : namque generaliori nomine cathedram ipsam vocitamus. Et quisnam etiam ex iis, qui ad intelligendum ineptissimi sunt, inania, quæcunque nos in nostri defensionem sive justa sive vera adduxissemus futura non dignovisset ? Tu vero, nuntii præcipiebant, absque ullo præsulatus signo ad nostrum procedito tribunal. Gratia sit vobis ob hanc veritatem, neque enim dicam, injustitiam. Hinc enim veritatem apertissime ostendistis, vos, non ut judicaretis, sed ut contra nos præter fas latam sententiam stabiliretis congregatos fuisse. O amorem fraternum a vobis tanti habitum ! Probe igitur vereque supra veluti ex vobis innocens declaratus, in his, quæ injuste passus sum, pro vestra dignitate respondi. Neque enim nostræ innocentiæ parva declaratio est, cum res supradictæ modo quo diximus processerint.

8. Sed quæ subsecuta sunt, fortasse quispiam magis ex canonum legumque præscripto actitata esse existimabit ? Qui æquo animo audis, orationi attendito. Ut enim secundum canones nobis nuntii missi sunt, qui hoc etiam in se canonicum continebant, cum non per præsules, sed laicos quosdam et administros clericos, facti sunt, Pauli vocem nos mutuo accipientes, ut Paulus clamans, Cæsarem appellavit, ita et ipse Cæsarem appello auditorem rerum mearum, et perturbationis expertem cognitorem. Voces has nostras cum illi, qui mala omnia in nos moliebantur, nuntii attulissent, inde reversi, Haud fas est, inquiunt, tibi vel solo imperatoris aspectu frui. Ne id cogites, neque inde tibi utilitatem aliam exspectes. Annon etiam hoc, interrogabo enim te, quem oratio mea æquum auditorem appellavit, magnam ad jus observandum, meorum judicum propensionem ostendit ? An vero si homicida, sive aliorum, quæ acerrimis pœnis prohibentur, facinorum patrator, imperatoris audientiam appellasset, pro quibus se injustitia affectum ab iis, qui calculum tulerant, cognovisset, ob appellationem criminis notam incurrisset ? At nobis hoc quoque crimen reputatum est : necdum capio quodnam aliud judicium reus præ illo, quod imperatoris est, appellabit. Etenim si cum, qui judicio sistitur, patriarcha est, crimen, adversus Græcos odium, et in dogmatibus error, supervacaneum quid et prope inutilis imperatoris auditio reputata est, in quanam alia persona, et in quo alio judicio, qui similibus obnoxii reputan-

μεν, γεγενημένων. Τετάρτη μὲν γὰρ ἦν, ἐξότου ἡ παρ' αὐτοῖς ὀνομασθεῖσα καθαίρεσις ἀνεγνώσθη, καὶ ἡμεῖς πρὸς δικαστήριον ἐκαλούμεθα. Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ. Ὁ καθαιρεθεὶς πρὸς ἀπολογίαν καλεῖται, ὁ τὴν ἀπόφασιν καταδικασθεὶς πρὸς τὴν ὑπὲρ αὐτοῦ ἀπάντησιν, ὁ τοῦ θρόνου καὶ πρὸ τῆς ἀποφάσεως ἐξωσθεὶς πρὸς δικαιολογίαν. Ἵνα τί γέγνηται; Ἵνα τὰ πρὸς ἀπολογίαν, καὶ ἀπάντησιν, καὶ δικαιολογίαν αὐτοῦ εὐλογοφανῆ νομισθέντα τὴν οἰκείαν ἰσχὺν ἔξει. Καὶ τί ἂν εἴη τῆς τούτων ἰσχύος τὸ τέλος; ὁ πατριαρχικὸς θρόνος; Ἀλλ' οὗτος προαφῃρέθη, ἄλλος ἐπ' αὐτοῦ κεῖται. Τῷ γὰρ γενικωτέρῳ τὴν καθέδραν ταύτην καλοῦμεν ὀνόματι Καὶ τίς οὐκ ἂν καὶ τῶν πάντη δυσκινήτων πρὸς τὸ νοεῖν ἔωλα ἡμῖν ἀποβήσεσθαι διαγνοίη πάνθ' ὅσα ἡμεῖς καὶ δίκαια, καὶ ἀληθῆ ὑπεραπολογησόμεθα ἑαυτῶν; Σὺ δὲ, τὰ μηνύματα ἔλεγον. δίχα παντὸς ἀρχιερατικοῦ σημείου πρὸς τὸ ἡμέτερον ἀπάντησον δικαστήριον. Χάρις ὑμῖν τῆς ἀληθείας ταύτης· οὐ γὰρ ἀδικίας ἐνταῦθα ἐρῶ. Ἐντεῦθεν γὰρ τὴν ἀλήθειαν ἀριβῶς παρεστήσατε, ὡς οὐχὶ δικάσαι, ἀλλὰ κυρῶσαι τὴν καθ' ἡμῶν ἀθέσμως ἐξενεχθεῖσ ν ψῆφον ἠθροίσθητε. Εὖγε ὑμῖν τῆς εἰς τοῦτο φιλαδελφίας ! Καλῶς ἄρα καὶ ἀληθῶς; φθάσας ἀνωτέρω, ὡς παρ' ὑμῶν δεδικαιωμένος, ἐφ' οἷς ἠδίκημαι, τῆς ὑμῶν ὑπεργόρηκα τιμιότητος. Ἡ γὰρ ὀλίγη τις ἡμῶν ἡ δικαίωσις; κανονικῶς οὕτω πάντων τῶν ἤδη ῥηθέντων παρηκολουθηκότων;

η'. Τάχα δ' ἀλλὰ τὰ ἑξῆς κανονικώτερά τις οἰήσεται προβῆναι καὶ ἐνθεσμότερα; Καὶ δὴ πρόσεχέ μοι τῷ λόγῳ, ἑαύτου μόνους ἐπακροώμενος. Ὡς γὰρ κανονικὰ πρὸς ἡμᾶς οὕτω γεγόνασι τὰ μηνύματα, ἔτι καὶ τοῦτο κανονικὸν ἔχοντα τὸ μὴ διὰ ἀρχιερέων, ἀλλὰ διὰ λαϊκῶν τινων καὶ κληρικῶν διακόνων γενέσθαι, τὴν Παύλου φωνὴν ἡμεῖς δανεισάμενοι, ὡς ὁ Παῦλος βοῶν, ἀπελογησάμεθα, Καίσαρα ἐπεπέκλητο, οὕτω κἀγὼ βασιλέα ἐπικέκλημαι ἀκροατὴν τῶν κατ' ἐμὲ καὶ ἀπροσπαθῆ διαγνώμονα. Τὴν γοῦν φωνὴν ταύτην τοῖς πάντα τὰ καθ' ἡμῶν δεινὰ ἐξαρτύουσιν οἱ ἀγγελιαφόροι διακομίσαντες, ἐπανῆλθον ἐκεῖθεν, Ἢ μὴν, λέγοντες, οὐκ ἂν σοι δῶ; ἐξέσται καὶ μόνης τῆς βασιλικῆς ὄψεως ἀξιωθῆναι. Μὴ τοῦτο οἶου, μή τι ἔσεσθαί σοι ὄφελος ἐντεῦθεν προσδόκα. Ἆρ' οὖν οὐχὶ καὶ τοῦτο, προσερήσομαι γάρ σε, ἂν ὁ λόγος εὐγνώμονα προσεκαλέσατο ἀκροατὴν, μεγάλην παρίστησι τὴν πρὸς τὸ δίκαιον ῥοπὴν τῶν ἐμῶν δικαστῶν; Τάχα γὰρ εἰ καὶ ἀνδροφόνος τις, ἢ καί τι ἄλλο τῶν εἰς ἔσχατον ἀπηγορευμένων εἰργασμένος κακῶν, τὴν τοῦ κρατοῦντος ἐπεκαλεῖτο ἀκρόασιν, ἐφ' οἷς ᾤετο παρὰ τῶν ἀποφηναμένων τὴν κατ' αὐτοῦ ψῆφον ἀδικηθῆναι, οὐκ ἂν ἐπετιμήθη τῆς ἐπικλήσεως; Ἡμῖν δὲ καὶ τοῦτο ἔγκλημα ἐλογίσθη, καὶ οὐκ οἶδεν, ὁποίᾳ ἑτέρᾳ δίκῃ τὴν τοῦ βασιλέως ἐπίκλησιν ἐπιβοήσεται ὁ κρινόμενος. Εἰ γὰρ, ὅτε τὸ μὲν ἐπὶ τῇ δίκῃ πρόσωπον πατριάρχης, τὸ δ' ἔγκλημα ἔχθρα κατὰ Ῥωμαίων, καὶ δογμάτων παραφορὰ, περιττόν τι, καὶ εἰς οὐδὲν συντελοῦν ἡ τοῦ βασιλέως ἀκρόασις ἐλογίσθη, ἐπὶ ποίῳ ἂν ἑτέρῳ προσώπῳ, καὶ ἐφ' ἑτέρᾳ ποίᾳ δίκῃ οἱ ταῦτα λογιζόμενοι τὴν

Digitized by Google Распознавание текста ABK/FR

τοῦ βασιλέως παρουσίαν δικαιώσωσιν; Γέγονε δ' οὖν ἐφ' ἡμῖν οὕτω καὶ τοῦτο· καὶ τότε μὲν ἐπὶ τοιούτοις ἡ τε σύνοδος διελύθη, καὶ τὸ καθ' ἡμῶν διεσκεδάσθη συνέδριον.

θ'. Κατὰ δὲ τὴν ἐξ ἐκείνης τρίτην πρὸς τῇ συνοδικῇ ὁμηγύρει καὶ τῇ ἀρχοντικῇ συνελεύσει, ἡ αὐτὴ καὶ πάλιν μετὰ τῆς αὐτῆς κακίας τῶν πολλῶν τοῦ πλήθους, εἰ καὶ μὴ πάντων, ὁρμή τε καὶ συνδρομή, καὶ μηνυταὶ πάλιν, καὶ τοῖς πρότερον ὅμοια τὰ μηνύματα. Ἡμεῖς δὲ Θεῷ μὲν τὸ πρῶτον ἑαυτοὺς ἀναθέμενοι, σκέμμασι δὲ τὸ δεύτερον, οἷς ἡμῖν ἐδόκει συμφέρειν χρησάμενοι, καὶ τὸ ἀπελθεῖν πρὸς τοὺς καλοῦντας, καὶ τὸ μὴ ἀπελθεῖν ὁμοίως ἐπικίνδυνον ἐωρῶμεν, τὸ μὲν εἰ μετὰ τῆς ὑπὲρ ἡμῶν ἔσται ἀπολογίας, τὸ δὲ ὡς πᾶσαν ἄδειαν παρέξον τοῖς διαβάλλουσι τὰ ἡμέτερα. Ἡ μὲν γὰρ μετὰ τῆς ἀπολογίας ἡμῖν παρουσία εἶχεν ἂν πρὸς ἡμέτερον κίνδυνον ἀνάψαι τὰ πλήθη, ὅτι γε τὸ ἐν τούτοις ἀλογιστότερον οὐχ ὑπερηγορίαν ἡμῶν, τῆς δὲ κοινῇ σπουδαζομένης ἐπιχειρήσεως κατηγορίαν καὶ ἀναίρεσιν ταύτην λογίσασθαι ἔμελλε, καὶ οὐχ ἑαυτοὺς συνιστᾷν· τοῖς δὲ Λατίνοις προσβοηθεῖν οὕτω ποιοῦντες ἐνομίσθημεν ἄν, καὶ τάχ' ἂν διὰ τοῦτο καὶ θυσίαν Θεῷ προσφέρειν ἠγήσατο ὁ πικρῷ θανάτῳ παραδώσων ἡμᾶς. Τοιοῦτον γάρ, ὡς ἔφημεν, ἄνθρωπος, ἀλογώτερον ἀκροώμενος, ὅταν τι ἐπὶ τοῖς περὶ Θεοῦ καὶ πίστεως αἰτιῶτο ζητήμασι. Τὸ δὲ μὴ ἀπελθεῖν ὅλως ἐπιπλέον ἂν εἰς τὸν εἰρημένον τοὺς καθ' ἡμῶν ἠρέθισε κίνδυνον, ὡς πίστιν τάχα τῶν καθ' ἡμῶν αἰτιαμάτων δυνάμενον παρασχεῖν. Ὅτι γοῦν ἐπικίνδυνα ταῦτα ἐδόκουν ἡμῖν καὶ ἀμφότερα, τρίτην ἄλλην ὁδεῦσαι διέγνωμεν. Τὸ γὰρ ἐπὶ πᾶσι τοῖς ἡμετέροις ἔθεσιν ἀπαράτρωτον, καὶ τὴν ἀπαράθραυστον τῆς ἡμῶν εὐσεβείας συντήρησιν ἑαυτοῖς συνειδότες, δέον ἐλογισάμεθα, τὴν μὲν ἀπέλευσιν μὴ ἀναβάλλεσθαι, μίαν δὲ μόνην ἀπολογίαν τὴν τῆς οἰκείας πίστεως ὁμολογίαν ποιήσασθαι, πρὸς ἅλλο δὲ πᾶν πρὸς τῶν ἀντιδιατιθεμένων ἡμῖν ἐριστικῶς προσφερόμενον ἀποσιωπῆσαι, καὶ πρὸς πᾶσαν ἐπελθοῦσαν, καὶ ἐπελευσομένην ἡμῖν ἀδικίαν, μηδὲν πρὸς τὸ παρὸν παραφθέγξασθαι. Καὶ γέγονε τοῦτο. Καὶ εἶχεν ἡμᾶς τὸ δικαστήριον οὐ δικασθησομένους, ἀλλ' ἢν προπεπόνθαμεν καταδίκην, βεβαιότερον ἴσως ἀποισομένους· δι' ἣν, ὡς ἔοικε, μόνον τὴν ἡμετέραν παρουσίαν κατεπειγόντων τῶν ἡμῖν ἐξυφαινόντων τὰ πάνδεινα, τὸ καὶ ἀτιμίαν ἐπὶ τῇ ἀδικίᾳ προστρίψαι ἡμῖν. Οἷα γὰρ εἴπομεν; οἷα δὲ καὶ ἠκούσαμεν;

ι'. Αὐτίκα πρώτως περὶ ὧν ἐλογογραφήσαμεν περὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἀνεκρινόμεθα. Καὶ ἦν μὲν ἡ σπουδὴ τοῖς ἀντιδικοῦσι στάδιον διαλέξεως ὑπανοῖξαι, καὶ μέγαν ἀντιῤῥήσεως συγκροτῆσαι ἀγῶνα, ὡς ἂν διὰ παρεξηγήσεων, αἷς αὐτοὶ νομοθετικώτερον πλέον ἢ ἀποδεικτικώτερον ἐπὶ ταῖς θεολογικαῖς τῶν Πατέρων χρῶνται φωναῖς, τὸ ἀλογώτερον τοῦ πλήθους καταδημαγωγήσωσι, καὶ οὕτω τὴν καθ' ἡμῶν δῆθεν ἀπενέγκωνται νίκην· ἡμῖν δ' ὅτι τὸ τυρευόμενον τούτοις οὐκ ἠγνοεῖτο· τὸ δ' ἦν

A tur, præsentiam imperatoris appellabunt? Hac igitur ratione hoc quoque de nobis transactum est: tum deinceps synodus dissoluta est, et adversus nos conctus congressus dissipatus

9. Tertia postmodum die synodalis congregatio cum principum assistentia cogitur, iterumque cum eadem multorum ex vili plebecula improbitate, et si non omnium, impetus, et concursus, et nuntii prioribus non absimiles. Nos porro Deo nosmetipsos primum committentes, et animo postmodum, quæ nobis utilia esse videbantur, revolventes, et ad accersentes accessum, et in spernendis imperiis contumaciam, æque periculosum esse deprehendebamus; illum, si cum nostra defensione comitaretur; hanc, tanquam quæ nostra calumniantibus plenam faculiatem omnia agendi concessisset. Namque nostra præsentia cum defensione poterat ad nostra damna multitudinem concitare, quod in ea pars, quæ minus ratione uteretur, non nostri defensionem, sed conatus adversus nos publici accusationem, et demolitionem illam esse reputasset: et nos non nobis suppetias ferre, sed Latinis esse adjumento, si id ageremus, existimaremur. Et forte etiam ob hanc eamdem causam sacrificium Deo offerre opinatus quispiam, neci nos pessimæ tradidisset: talis enim homo est, et nulla ratione duce res dijudicat, cum de Deo ac fide quæstio est, et judicium constituitur. Et contumacia magis ac magis in noxam nostram excitasset, tanquam quæ crimina adversus nos in judicium delata, uti vera constabilisset. Cum itaque utraque nobis periculosa viderentur, tertium inire consilium decrevimus. Namque cum in omnibus nostris consuetudinibus invulneratam et nostræ pietatis infractam integritatem conservatam a nobis apprime teneremus, facto opus esse judicavimus, accessum nempe non diutius protrahere. et satis pro nobis responsum, si nostræ fidei professionem emitteremus, reliqua vero omnia, quæ nobis adversarii contentiose opponerent, silentio pertransiremus, et ad omne, quod injuste passi eramus, vel imposterum toleraturi essemus, nihil tum responderemus. Quod et factum est. Et ad tribunal accessimus non judicandi, sed quam antea condemnationem subivimus, firmius reportaturi, ob quod, ut videbatur, tantummodo nostram præsentiam studiose poposcebant, qui atrocissima quæque in nos moliebantur, et nobis præter injustitiam infamiæ quoque notam inurebant. Quæ enim tum diximus? quæ et audivimus?

10. Statim illa, quæ nos de unione ecclesiastica scripto tradidimus, in judicium vocata sunt. Et adversariis tantum illud incumbebat, disputationis stadium aperire, et ingens contradictionis certamen constituere, ut per pravas interpretationes, ad quas construendas illi nomothetarum magis more, quam demonstrationum methodis Patrum vocibus utuntur, vesaniorem plebeculæ multitudinem quasi lenocinio allicerent, sicque adversus nos victoriam reportarent. Nos porro eo-

Digitized by Google Распознавание текста ABK/FR

rum machinæ, et molimina cum non præterirent, A erant vero, iram populi contra nos succendere, qui ab antiquo tempore famæ apud eosdem vulgatæ hærebant ad unionem stabiliendam maximum in modum ab eodem modo habitam studium nos nec exiguum contuliase. Et responsio quidem, utcunque illa fuerit, ita se habuit : Si de fide nos hodie inquirimur, palam et libere vocem sustollentes dicimus, credere, et profiteri, et tenere quemadmodum sancta catholicaque Ecclesia profitetur, et tenet, a qua sacro lavacro abluti sumus, a qua sincerum fidei lac hausimus, a qua sermones dogmaticos didicimus, quos ab infantia ipsa ad canitudinem hanc capitis peræqua ætatibus proportione pertractavimus, prius addiscentes, et postmodum docentes. Ad hæc vero, quæ subsecuta est B eorum responsio, hoc in loco digerere, ineptum prorsus existimo. Namque Christianos nos et orthodoxos esse judices declararunt, nihilominus præsulatus privationem decreverunt, nescio qua ratione, et unde moti, ad simile decretum prolapsi sunt, et plane non aliunde, neque rebus aliis, nisi iis, quas supra præmemoravimus. Neque enim poterant vix compotis animi multitudinis rabiei, et effrenatæ appetitioni resistere, quam in se quisque convertendam fore putabat, si vel minimum illis obstitisset, quæ adversus nos potentes alioquin viri intentabant. Condemnatio itaque, uti diximus, nec aliam ob causam hæc fuit.

11. Nos vero, qui tum propter jam adductas rationes nihil respondimus, nunc palam apertoque, ut omnes audiant, ore respondemus. Addecebatne, o universi sacerdotes, et qui divinorum canonum, et sanctarum constitutionum scientiam tenetis, sacerdotio eum privari, qui prælaudatam fidei professionem et animo credit, et lingua deprædicat? Orthodoxum nobis, o judex, Christianismum attestaris, et sacerdotium adimis? Forte dices, quod pro ecclesiastica unione scripta publicaverim. Bene, bene, si nostra sententia non rectam sinceramque, et excellentissimo quodam modo pietatem præseferret : si res vestras improbavimus : si alienum ab Ecclesia dogma introduximus. Quod si in his omnibus innoxii, et animo et mente sumus, et summa nostri scripti tractatio non alia erat, quam utriusque Ecclesiæ nexus, bene et admodum utiliter Dei gratia procedens : si quæcunque diximus, aut scripsimus mediatores nos, et pacificatores, non novorum dogmatum assertores comprobant, et non ut contra veritatem impudens audaxque lingua calumniantium contendit, quare indignum illis qui patiuntur, indignum et illis, qui ita decreverunt, de nostri sacerdotii ademptione decretum latum est?

12. Et qua de causa contradicens asserit, cum volumen tuum igni traderetur, illius defensionem aggressus non es, nec adustioni tete opposuisti? At tempus illud auditionem non admittebat, cum omnia turbato rerum ordine confusione tumultuque jactarentur, et seditionis auctores vilem plebeculam nos discerpere, et in frusta concidere

τὸ τὰ πλήθη πρὸς τὴν καθ' ἡμῶν ὀργὴν ἀναφθῆναι, ἐκ παλαιᾶς προκατειλημμένα τῆς φήμης, παλλὰ πρὸς τὴν μισουμένην αὐτοῖς ἐκκλησιαστικὴν σπεύδειν ἡμᾶς ἕνωσιν. Τοιαύτη τις γέγονεν ἡ ἀπολογία. Εἰ περὶ πίστεως ἡμεῖς σήμερον ἀνακρινόμεθα, ἔφημεν, ἐν παῤῥησίᾳ βοῶμεν πιστεύειν, καὶ ὁμολογεῖν, καὶ φρονεῖν ὡς ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία φρονεῖ, καὶ ὁμολογεῖ, παρ' ἧς τὸ βάπτισμα ἐδεξάμεθα, παρ' ἧς τὸ ἄδολον γάλα τῆς πίστεως ἐποτίσθημεν, παρ' ἧς τοὺς δογματικοὺς λόγους ἐμαθητεύθημεν, οὓς ἔξ ἔτι νηπίου καὶ εἰς τήνδε τὴν πολιὰν ἀναλόγως τῶν ἡλικιῶν ἑκάστῃ διήλθομεν, μανθάνοντες πρότερον, καὶ διδάσκοντες ὕστερον. Καὶ ἡ μὲν ἀπολογία ἡμῶν αὕτη· τὴν δ' ἀμοιβαίαν πρὸς ταύτην ἀπόκρισιν ἀκόλουθον ἐξενεχθῆναι κατὰ τὸ ἁρμόδιον οὐδαμῶς οἶμαι. Ὀρθοδόξου γὰρ Χριστιανισμοῦ παραδοχὴν οἱ δικάζοντες τῆς ἀρχιερωσύνης στέρησιν ὑμᾶς ἐδικαίωσαν, οὐκ οἶδ' ὅπως, καὶ ὅθεν εἰς τὴν τοιαύτην κινηθέντες ἀπόφασιν, πάντως δ' οὐκ ἄλλοθεν, ἀλλ' ἐξ ὧν προειρήκαμεν. Οὐ γὰρ οἷοί τε οὐδαμῶς ἦσαν πρὸς ἄλογον μανίαν πλήθους καὶ ὁρμὴν ἀντέχειν ἀκάθεκτον, ἣν ἐφ' ἑαυτὸν ἕκαστος ἐπισπεύσασθαι ᾤετο, εἴ τί που καὶ μικρὸν ἐνισταίη, πρὸς ἅπερ οἱ τὰ καθ' ἡμῶν δυνάμενοι ἤθελον. Ἀλλ' ἡ μὲν ἀπόφασις τοιαύτη, καὶ διὰ τοιαῦτα.

ια'. Ἡμεῖς δὲ ὅπερ τότε δι' οὓς ἔφημεν λόγους, ἀπολογήσασθαι οὐκ ἐδοκιμάσαμεν, νῦν εἰς λαμπρὸν προτείνομεν τὸν ἀπόλογον. Ἔδει, ὦ πάντες ἱεροί, ὦ πάντες κανόνων θείων καὶ πατρικῶν εἰδήμονες διατάξεων, ἱερωσύνην ἀφαιρεθῆναι τὸν τὴν ῥηθεῖσαν ὁμολογίαν καὶ ψυχῇ φρονοῦντα καὶ γλώσσῃ κηρύττοντα; Ὀρθόδοξον ἡμῖν προσμαρτυρεῖς τὸν Χριστιανισμὸν, ὁ δικάζων, καὶ τὴν ἱερωσύνην ἡμῶν ἀφαιρῇ; Ὅτι γε, ἴσως ἐρεῖς, τὰ περὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἐλογογράφησας. Καλῶς, καλῶς, εἰ μὴ τὸ φρόνημα ἡμῶν τῆς ἄκρας εἴχετο εὐσεβείας, εἰ τὰ ἡμέτερα ἐθετήκαμεν, εἰ ἀλλότριον δόγμα τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεισεφθείραμεν. Εἰ δ' ἐπὶ τούτοις πᾶσιν ἀθῷοι καὶ ψυχὴν καὶ γνώμην ἡμεῖς, καὶ σύμπαν τὸ τῆς λογογραφηθείσης ὑφ' ἡμῶν πραγματείας κεφάλαιον ἡ πρὸς εἰρήνην ἑκατέρων τῶν Ἐκκλησιῶν ἦν συμβολή, καλῶς τῇ τοῦ Χριστοῦ χάριτι, καὶ λίαν συμφερόντως προβαίνουσα, εἰ πάνθ' ὅσα καὶ εἴπομεν, καὶ ἐγράψαμεν, καὶ διαλλάκτας ἡμᾶς οὖσαν κενοφωνιῶν παριστῶσι δογματιστῶν, ὡς ἡ κατὰ τῆς ἀληθείας θρασυνομένη γλῶττα τῶν ἡμᾶς διαβαλλόντων ἀνακηρύττει, ἵνα τί ἀναξία μὲν τῶν πασχόντων, ἀναξία δὲ τῶν ποιούντων ἐπ' ἀφαιρέσει τῆς ἡμῶν ἱερωσύνης ἐξηνέχθη ἡ ἀπόφασις;

ιβ'. Καὶ πῶς, φησὶν ὁ ἀντιλέγων, ἡμῖν πυρὶ παραδιδομένης τῆς βίβλου τῆς σῆς, πρὸς τὴν εἰς τοῦτο οὐκ ἔστης ἀντίῤῥησιν; Ὅτι οὐδ' ὁ καιρὸς ἐτύγχανεν ἀκροάσεως, ἀλλ' ἀκαταστασία τὸ πᾶν, καὶ σύγχυσις εἶχε καὶ θόρυβος, καὶ τὸν χυδαῖον λαὸν οἱ ἀνάπται διασπάσαι ἡμᾶς, καὶ διαμερίσαι φύρδην παρώτρυνον. Καὶ πάλιν οὐδ' ὅτι πυρὸς τροφὴ τὰ γράμματα

Digitized by Google Распознавание текста ABK/FR

γέγονε, τὸ ἐπὶ τῇ διαστροφῇ τῶν νοημάτων ἔγκλημα διαφεύξῃ, Οὐ τοῦτο ἔγωγε, βέλτιστε, οὐδὲ ἐνενοήθη μοι τοῦτο· ὅτι δὲ ἐντεῦθεν τὸ σὸν περίεργον ἀπελέγχεται, καὶ μάλα τρανῶς φημι. Καὶ τί γὰρ ἄλλο, ἢ ἵνα τὴν ἐκ τῆς βίβλου σύστασιν ἡμᾶς ζημιώσῃς, ἐπραγματεύσω, καὶ ἵνα τοῖς πολλοῖς ἐντεῦθεν δόξαν παράσχῃς μεγάλων ἀληθῶς ἀτοπημάτων καὶ ἀσεβειῶν περιληπτικὴν εἶναι τὴν βίβλον; Ἀλλ' εἰς μάτην σοι πρὸς τοῦτο τὰ ἐνέδρα. Οὐ γὰρ ἔμελλε Θεὸς τοὺς ἐν εἰλικρινεῖ τῇ ἁπλότητι ζῶντας δούλους αὐτοῦ παρίδειν. Σὺ μὲν γὰρ χθὲς καὶ πρὸ τρίτης ἴσως τὸ τοιοῦτον ἐσκαιώρησας βούλευμα· Θεὸς δ' ὁ τὰ πάντα πρὶν γενέσθαι εἰδὼς πόρρωθεν τῆς ἀληθείας προσῳκονόμει τὴν σύστασιν. Οὐκ ὀλίγοι μὲν γὰρ τῶν εἰς τὰ μέρη τῆς Ἀνατολῆς παρ' ἡμῶν χειροτονηθέντων ἀρχιερέων ἀντίγραφα τῆς βίβλου ταύτης κομισάμενοι ἔχουσιν, οὐκ ὀλίγοι δὲ μοναχοὶ τῶν ἐν διαφόροις τῆς γῆς μέρεσι παροικούντων. Καὶ εἰ Θεὸς ἄνωθεν εὐδοκεῖ, καὶ θύρα μοι δικαστηρίου ἀῤῥεποῦς ἀνοιγῇ, ῥᾷον ἡμῖν ἔσται συμμαχουμένοις ὑπὸ τοῦ Πνεύματος, συκοφάντας καὶ τῆς ἀληθείας ἐχθροὺς ἀποδεῖξαι τοὺς ἡμᾶς διαβάλλοντας. Ἡ γὰρ πᾶσα ἡμῶν ἡ ἐν τοῖς λόγοις σπουδὴ διὰ τὸ κοινῇ λυσιτελοῦν τῇ ἡμετέρᾳ βασιλείᾳ καὶ ἡγεμονίᾳ ἐγίνετο· καὶ πρὸς ἓν τοῦτο μόνον ἐώρα τὸ σκοπιμώτατον, πεῖσαι τὸ ἀντιλέγον μὴ ἀντιβαίνειν πρὸς τὴν εἰρήνην, ἅτε μηδὲν τῆς εὐσεβείας λυμαινομένης, ἐφ' οἷς Λατίνοις μὲν ἐκ Πατρὸς καὶ Υἱοῦ, ἡμῖν δὲ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ὁμολογοῦμεν,

ιγ'. Ποίαν ὁ ἀντιλέγων, καὶ τῆς εὐσεβείας ἡμᾶς παραβάτας ἀποκαλῶν, καὶ τῶν Ῥωμαίων ἐχθρούς, ἕξει καθ' ἡμῶν τὴν ἰσχύν; Λύκος πάντως χανὼν εἰς μάτην ἀπελεγχθήσεται, ἐπὰν ἡμεῖς τὴν τῶν Ἐκκλησιῶν εἰρήνην ἐπὶ παραδείγματι ταῖς τῶν Πατέρων ἡμῶν κοινωφελέσιν οἰκονομίαις, ἃς θεοκινήτως ἐκεῖνοι πρὸς ἕνωσιν τῶν Ἐκκλησιῶν κατὰ καιροὺς ἀπειργάζοντο, ἀποδείξαμεν. Ὅτι δὲ ἐκ τοῦ, ὡς εἰς παράδειγμα τὰς πάντων παρ' αὐτῶν Πατέρων γεγενημένας οἰκονομίας ἡμᾶς ἀφορᾷν, εἰς τοῦτο τῆς ἐγχειρήσεως ἐληλύθαμεν, τὰ παρ' ἡμῖν, ὡς καὶ ἄνωθεν προεπηγγειλάμεθα, πρὸς τὸ παρὸν εὑρισκόμενα, ὀλίγα τῆς πονηθείσης ἡμῖν βίβλου συστήσει τεμάχια. Οὕτω γὰρ ἐν μέρει ἐπὶ λέξεως αὖτη διαλαμβάνει. Αὐτίκα τὸν τοῦ ἐκκλησιαστικοῦ στερεώματος ἥλιον, τὸν πολὺν καὶ μέγιστον Ἀθανάσιον, οὗ καὶ ὁ λόγος ἀῤῥητος, καὶ ὁ τρόπος ἀμίμητος, ἐπεὶ ἐν ταῖς ἡμέραις αὐτοῦ σκάνδαλον οὐ τὸ τυχὸν ἀνερράγη μέσον τῶν Ἐκκλησιῶν τούτων αὐτῶν, περὶ ὧν νῦν ὁ λόγος ἡμῖν, εὑρίσκομεν τὴν καταλλαγὴν ἀμφοτέρων οὐδενὶ τῳ ἄλλῳ τρόπῳ διοικονομισάμενον, ἀλλ' ἢ τὸ συνηγορῆσαι τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἐφ' οἷς οἱ κατὰ τὴν ἑῴαν εἰς ἀντίπαλον μοῖραν τοὺς ἐν ἐκείνῃ κεκοίκασι. Καὶ τίς ἡ συνηγορία; Αὐτὸς ἐκεῖνον ἐνταῦθα παρίτω, καὶ ταῖς τῇ αὐτοῦ γλώσσῃ ἐκφωνηθείσαις λέξεσιν ἀπαγγελλέτω ἡμῖν. Ἐν γὰρ τῷ πρὸς Ἀντιοχεῖς τόμῳ οὗτος οὕτω φησίν· *Οὓς γὰρ μέμφονται τινες ὡς τρεῖς λέγοντας ὑποστάσεις διὰ τὸ ἀγράφους καὶ ἀπόπτους ἐντεῦθεν εἶναι τὰς*

A concitarent. Rursusque licet scripta igni supposita fuerint, an propterea, quod illis impingitur, dogmatum eversionis crimen effugies? Non hoc ego, o optime, neque id unquam mente revolutum est mea: sed hinc supervacaneam tuam operositatem deprehendi apertissime dico. Et quidnam aliud attendisti, quam ut nos volumine spoliares, prætereaque ut multis inde suspectum redderes, quasi illud absurdas impietates, easque immanes vere in se contineret? Sed fraudes in cassum decidere. Neque enim Deus servos suos, et pura simplicitate viventes neglecturus erat. Namque tu heri, et nudius tertius tuo corde astutiam concepisti. At Deus qui antequam fiant, res agnoscit, de longe veritatis confirmationem præparabat. Perplures si-

D quidem a nobis præsules ordinati hujusce volumnis exempla ad Orientem una secum detulerunt, nec pauci monachi in variis terrarum partibus habitantes. Quodsi Deus desuper annuerit, et integri rectique judicii semel aditus patuerit, facile nobis fuerit, a Spiritu auditis, calumniatores, et veritatis hostes nostros accusatores ostendere. Nam universum nostrum studium, quod in scribendo posuimus, publicæ, et vestri imperii ac dominatus utilitatis causa impensum est; illiusque potissimus fuit scopus, illi adversantibus, ne contrairent unioni persuadere, cum nullo modo pietas læderetur, dum Latini, ex Patre et Filio, nos vero, ex Patre per Filium Spiritum sanctum procedere profitemur.

C 13. Quod adversarius, et qui nos veritatis prævaricatores nuncupat, et Græcorum hostes, nullius roboris esse, lupus prorsus frustra hiasse deprehendetur, cum nos Ecclesiarum unionem exemplo desumpto ex Patrum nostrorum valde proficuis dispositionibus, quas illi a Deo moti pro unione Ecclesiarum, præscriptis temporibus usurparunt, demonstraverimus. Nos porro veluti in exemplum omnes sanctorum Patrum dispositiones aspicientes, similia aggressos fuisse quæ, ut etiam supra promisimus, nunc inveniuntur a nobis compositi voluminis frusta comprobabunt, quæ ad verbum ita se habent. Et ante alios ecclesiastici firmamenti solem multum et maximum

D Athanasium, cujus est et sermo inexsuperabilis, et modus inimitabilis, cum sua ætate scandalum non contemnendum exortum fuisset inter has easdem Ecclesias, de quibus est oratio nostra, utriusque reconciliationem reperimus, nullo alio modo dispositam, quam defensione suscepta Romanæ Ecclesiæ super iis, pro quibus ab orientalibus occidentales in oppositam partem trahebantur. At quænam fuerit defensio? Idem ipse præsens suis illam verbis pronuntiet. Namque tomo ad Antiochenos hæc continet: *Illis enim, qui nonnullos incusabant, ut trium hypostaseon affirmatores, cum hujusmodi voces in Scripturis non reperirentur, ac proinde suspectæ videri possent, auctores fuimus, ne amplius in Nicænam confes-*

Digitized by Google Распознавание текста АВК/FR

stionem inquirerent, sed tamen de istis ob pervicaciam rixandi quæstio est habita, interrogatique sunt, Num ex Arianorum sententia alienas peregrinasque, ac diversæ a se invicem substantiæ personas esse velint? an ut alii hæretici sub istis vocibus tria principia et tres deos constituant? Et post eorumdem ad interrogata responsionem, et vocum ab ipsis prolatarum piam rectamque expositionem, subdit: *Approbata igitur istiusmodi et interpretatione et excusatione, vicissim quoque et eos examinavimus, qui ab istis in culpam devocabantur, quasi dicerent esse unam hypostasim, sciscitantes ab illis, Num pro Sabelliano dogmate ea mente loquerentur, et sublatos vellent ex Trinitate Filium et Spiritum sanctum?* Tum eorumdem responsionem in oratione digerit, demumque sententiæ concordans cum diversitate dictionum collaudans, infit: *Quinimo et illi, qui eo crimine postulati erant, quod tres hypostases inducerent, cum istis in eamdem sententiam convenerunt, vicissimque illi, qui unam hypostasim asseverarant, istorum interpretationi acquieverunt.* Et post alia atque alia subnectit: *Cum igitur istiusmodi illorum fuerint sententiæ, adhortamur vos, ne eos, qui ita confitentur, talemque interpretationem suis dictionibus accommodant, vos temere condemnare, aut rejicere velitis, ut suspectæ mentis homines. Cæterum cum illos tolerandos non censebitis, consuletis illis, qui recte interpretantur, et recte sentiunt, ne ulterior ulla inter vos adhibeatur disquisitio, neque verborum pugnis studeatis ad nullam prorsus utilitatem, sed sensus cogitationesque pietatis exhibere. Nam qui ita affecti non sunt, sed tantummodo super istiusmodi vocibus contentiose rixantur, hi profecto nihil aliud agunt, quam quod proximis suis turbidam subversionem propinant, ut inimici, et discordiarum et schismatum æmulatores.* Necnon: *Impietas quidem modis omnibus abrogatur, licet eam variis verbis, et probabilibus argutiolis circumvestire quis tentet: pietatem autem colere justum omnes confitentur, et si peregrinis quibusdam vocibus utantur, dummodo dicens piam sententiam teneat, illisque quod in animo habet, pie pronuntiet.* Rursumque post alia: *Itaque, si verba isti hæc veluti peregrina abjudicant, teneant sententiam secundum quam synodus ita scripsit: Quod licet voces non ita in scriptione reperiantur, sed, ut antea dictum est, ex scriptione sententiam sortiantur, eamque pronuntiatæ significant, apud eos, qui pietati aures integras conservarunt.*

14. Hæc Athanasianæ linguæ sonori tonitrus instar tonantis strepitus, cum de Ecclesiarum unione scriberemus, voluminis partem fecimus, nunc vero cum de iis, quæ passi sumus, respondemus, peropportuna defensio fuerit, quam hic

A λέξεις, ἠξιοῦμεν μηδὲν πλέον ἐπιζητεῖν τῆς κατὰ Νίκαιαν ὁμολογίας. ἀνακρίνειν δὲ ὅμως διὰ τὴν φιλονεικίαν, μὴ ἄρα ὡς οἱ Ἀρειομανῖται λέγουσιν, ἀπηλλοτριωμένας καὶ ἀλλοτριοουσίους ἀλλήλων, ἢ ὡς ἄλλοι αἱρετικοὶ τρεῖς ἀρχὰς καὶ τρεῖς θεοὺς λέγουσιν, οὕτω καὶ οὗτοι φρονοῦντες τρεῖς ὑποστάσεις λέγουσι; Καὶ κατὰ τὴν ἐπὶ τῇ ἀνακρίσει ταύτῃ ἀπολογίαν τῶν τὰς τρεῖς ὑποστάσεις λεγόντων, καὶ μετὰ τὴν παρ' αὐτῶν προενεχθεῖσαν ἑρμηνείαν τῶν λέξεων εἰς ἔννοιαν εὐσεβῆ, ἐπιφέρει· Ἀποδεξάμενοι δὲ τούτων τὴν ἑρμηνείαν τῶν λέξεων, καὶ τὴν ἀπολογίαν ἀνεκρίναμεν τοὺς αἰτιαθέντας παρὰ τούτων ὡς λέγοντας μίαν ὑπόστασιν, μὴ ἄρα ὡς Σαβέλλιος φρονεῖ, οὕτω καὶ οὗτοι λέγουσιν ἐπὶ ἀναιρέσει τοῦ Υἱοῦ B καὶ τοῦ ἁγίου Πνεύματος; Εἶτα καὶ τὴν αὐτῶν ἐπὶ τῇ ἀνακρίσει ταύτῃ ἀπολογίαν καταστρωνύει τῷ λόγῳ, καὶ ἐφεξῆς τῷ συμφώνῳ τῆς ἐννοίας ἐπὶ τῷ διαλλάττοντι τῶν λέξεων ἐπιθειάζων, φησίν· Ἀμέλει κἀκεῖ οἱ αἰτιαθέντες, ὡς εἰρηκότες τρεῖς ὑποστάσεις, συνετίθεντο τούτοις, καὶ αὐτοὶ δὲ οἱ εἰρηκότες μίαν ὑπόστασιν, τὰ ἐκείνων ὥσπερ ἠρμήνευσαν, καὶ ὡμολόγουν. Καὶ προβαίνων τοῖς ἤδη ῥηθεῖσιν ἐπισυνείρει· Τούτων τοίνυν οὕτως ὁμολογηθέντων, παρακαλοῦμεν ὑμᾶς τοὺς μὲν οὕτως ὁμολογοῦντας, καὶ διερμηνεύοντας οὕτω τὰς λέξεις, ἃς λέγουσι, μὴ κατακρίνετε, μηδὲ προπετῶς ἀποβάλλεσθε, ἀλλὰ μᾶλλον εἰρηνεύοντας καὶ ἀπολογουμένους προσλαμβάνεσθε, τοὺς δὲ μὴ βουλομένους οὕτως ὁμολογεῖν, καὶ διερμηνεύειν τὰς λέξεις, τούτους κωλύετε, καὶ ἐντρέπετε, ὡς ὑπόπτους τῷ φρονήματι. Τούτων δὲ μὴ ἀνεχόμενοι συμβουλεύετε κἀκείνοις τοῖς ὀρθῶς διερμηνεύουσί τε καὶ φρονοῦσι, μηδὲν πλέον ἀλλήλους ἀνακρίνειν, μηδὲ λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον, μήτε ταῖς τοιαύταις λέξεσι διαμάχεσθαι, ἀλλὰ τῷ φρονήματι τῆς εὐσεβείας συμφωνεῖν. Οἱ γὰρ μὴ οὕτω διανοούμενοι, ἀλλὰ μόνον ἐπὶ τοῖς τοιούτοις λεξειδίοις φιλονεικοῦντες, οὐδὲν ἕτερον ποιοῦντές εἰσιν, ἢ ποτίζουσιν ἀνατροπὴν θολερὰν τὸν πλησίον, ὡς φθονοῦντες τῇ εἰρήνῃ, καὶ ἀγαπῶντες τὰ σχίσματα. Καὶ ἔτι· Τὸ μὴ ἀσεβεῖν παντελῶς κεκύλυται, κἂν ποικίλοις ῥήμασι καὶ πιθανοῖς σοφίσμασι περιβάλλειν αὐτό τις ἐπιχειρῇ· τὸ δὲ εὐσεβεῖν ὅσιον πυρὰ πᾶσιν ὡμολόγηται, κἂν ξενιζούσαις λέξεσί τισι χρήσηται, ἕως μόνον ὁ λέγων εὐσεβὲς ἔχει τὸ φρόνημα, καὶ δι' αὐτῶν ὃ νενόηκεν εὐσεβῶς βούλεται σημαίνειν. Καὶ αὖθις μεθ' ἕτερα· Οὐκοῦν εἰ τὰ ῥήματα ταῦτα ὡς ξένα προφασίζονται οὗτοι φρονήτωσαν τὴν διάνοιαν, καθ' ἣν ἡ σύνοδος οὕτως ἔγραψεν· Ὅτι, εἰ καὶ μὴ οὕτως ἐν ταῖς γραφαῖς εἰσιν αἱ λέξεις, ἀλλὰ, καθάπερ εἴρηται πρότερον, τὴν ἐκ τῶν γραφῶν διάνοιαν ἔχουσι, καὶ ταύτην ἐκφωνοῦνται σημαίνουσι τοῖς ἔχουσιν εἰς εὐσέβειαν τὴν ἀκοὴν ἀλόκληρον.

ιδ'. Ταῦτα τῆς Ἀθανασίου βροντοφώνου γλώττης τὰ ἀπηχήματα λογογραφοῦσι μὲν ἡμῖν τὰ περὶ τῆς τῶν Ἐκκλησιῶν ἑνώσεως τῆς βίβλου μέρος. Νῦν δ' ἐφ' οἷς πεπόνθαμεν ἀπολογουμένοις, ἀπολογος γενόμενα εὔκαιρος, ὃν καὶ μέχρι τοῦδε στῆσαι κατὰ

Digitized by Google Распознавание текста АВК/FR

τὸ παρὸν ἐπιχρίνω. Τὴν γὰρ αὐτοῦ ἐπὶ πλέον ἐλπίζων ἐξάπλωσιν, εὔχομαι, εἴπως ἂν Θεὸς ἔτι ζῶντας ἡμᾶς ἐπ' ἀκροατῶν ἀγωνίσασθαι τιμώντων εὐθύτητα περί τε τῆς ἡμῶν εὐσεβείας περί τε τῆς φιλορωμαιότητος εὐδοκήσειε διὰ τὴν ἐπί δυσὶν ὅμως ἢ τρισὶ μάρτυσιν Εὐαγγελικὴν πίστιν τῶν εἰρημένων, προσθήσω δὴ τοῖς ἀκροαταῖς ὑμῖν εἰς ἀνάμνησιν, καὶ τὰ ἐν προοιμίοις μοι ἐπὶ τῇ ὁμοίᾳ δυνάμει προανατεταγμένα, ὅπως δηλαδὴ ὁ πολὺς τὰ θεῖα Βασίλειος, τὰ κατὰ τὴν Ἐκκλησίαν, ἧς ἀκρογωνιαῖος καὶ συνδέτης λίθος Χριστὸς ὁ Θεός, διοικονομούμενος, τοὺς μὴ λέγοντας Πνεῦμα Θεὸν, ἐν ἄλλαις δὲ φωναῖς τὸ ἴσον ἐμφαίνοντας, τοῖς Θεὸν αὐτὸ τρανῇ τῇ γλώττῃ ἀνακηρύττουσι, συγκατήλαττεν. Ἀλλὰ δὴ καὶ ὅπως ὁ τῆς θεολογίας φερώνυμος τὴν αὐτὴν ὁδὸν τῆς τῶν μερῶν τούτων καταλλαγῆς μετερχόμενος, μηδὲ τὸ Ἰουδαίων ἔθνος ἀποβαλεῖν ἄν, εἰ τὴν τοῦ *ἠλειμμένου* φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι, εἰς πλάτος ἐλογογράφει καὶ διαῤῥήδην. Ταῦτα τοῖς προαναταχθεῖσι προσθεὶς, ἱκανὰ τὴν ἡμῶν, ὡς οἶμαι, ὄντα δεφένδευσιν ἐφ' οἷς καὶ ἡμεῖς τὴν ἐκ Πατρὸς δι' Υἱοῦ τοῦ παναγίου ἐκπόρευσιν Πνεύματος, μηδὲν τῆς, ἐξ ἀμφοῖν διαφέρειν ἀποδεικνύντες ἀπὸ Γραφῶν, πρὸς τὴν τῆς ἐκκλησιαστικῆς οἰκονομίας εἰρήνην δεδώκαμεν ἑαυτοὺς, τὸν λόγον πέρατι δίδωμι. Σὺ δ', ὦ πατριαρχῶν δυὰς, ὧν ὁ μὲν τὴν Ἀλεξάνδρου, ὁ δὲ τὴν Ἀντιοχέων κοσμεῖτε, οὓς νῦν ἡ Κωνσταντίνου ἔχει παρ' ἑαυτῇ, μνήσθητε ὡς ἔστιν ὁ δικάσων ἡμᾶς οὐκ ἄλλως, ἢ ὡς δικάζομεν, καὶ ὁ εὐθύνας ἀπαιτήσων ἡμᾶς, καθὼς ἡμεῖς τὸν πλησίον εὐθύνομεν. Καὶ εἴγε μὴ ἐπαχθὲς ὑμῖν ἐναγομένοις παρ' ἡμῶν εἰς ἔννοιαν, ὧν ἀκριβῶς οἴδατε, λογίσασθε, τί μὲν αἱ κανονικαὶ διατάξεις, καὶ οἱ πατρικοὶ θεσμοὶ διατάττονται, τί δὲ ἡμεῖς ἀκανονίστως καὶ ἀθέσμως πεπόνθαμεν.

terminare propono. Sed illius profusiorem tractationem moliturum me sperans, exopto, dummodo Deus concesserit, et vita permiserit, ante auditores, qui integritatem colant, de nostra pietate, et in Græcorum nationem benevolentia, certamen inire. Propter nihilominus in duobus vel tribus testibus evangelicam dictorum fidem, vobis auditoribus in memoriam inducam, quæ statim in orationis exordio, ab eadem sententia minime discordantia collocavi : quomodo nempe magnus in rebus divinis pertractandis Basilius, res Ecclesiæ, cujus lapis angularis et colligator Christus est, disponens, eos, qui non asserebant Spiritum Deum, sed aliis vocibus id exprimebant, quæ eum aperte clara voce Deum intonabant, invicem conciliabat; necnon quomodo, cui ex theologia nomen est, Gregorius similem viam easdem partes conciliandi iniens, neque Judæorum gentem ejiciendam, si *deuncti* vocem, loco Christi ad tempus sibi concedi postulantes, in nostrum numerum atque ordinem ascribi vellent, longiori sermone et palam prosequebatur. Hæc suprapositis addens satis superque esse pro nostra defensione opinor, si nos ex Patre per Filium sanctissimi Spiritus processionem, nihil differre a sententia, quæ illum ex utroque fatetur demonstrantes ex scripto traditis testimoniis, ad ecclesiasticæ unionis dispensationem nosmetipsos dedidimus, finem orationi imponam. Vos vero, o patriarchæ, quorum alter Alexandrinam, alter Antiochenam Ecclesiam adornatis, et quos nunc apud se Constantinopolis tenet, reducite in memoriam nos ab alio eadem ipsa lance, qua judicamus fore judicandos, et rationes a nobis reposcendas modo, quo nos in proximi gesta inquirimus. Et si non videtur odiosum, per nos vobis in mentem reduci, quæ optime per vos ipsos nostis, animo et cogitatione convertite, quid canonum constitutiones, et Patrum sancita præcipiunt; quid item nos præter canones et jura perpessi sumus.

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ, ΠΩΣ ΜΕΝ ΕΝ ΔΕΥΤΕΡΩ ΑΠΟΛΟΓΗΤΙΚΟΣ, ΕΦ ΗΠΕΡ ΑΔΙΚΙΑ ΥΠΕΣΤΗ, ΠΩΣ ΔΕ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΠΙ ΠΑΡΕΞΗΓΗΣΕΣΙ ΡΗΣΕΩΝ ΤΙΝΩΝ ΓΡΑΦΙΚΩΝ.

EJUSDEM

ORATIO, PARTIM SECUNDO APOLOGETICA PRO INJUSTITIA QUA AFFECTUS EST, PARTIM ANTIRRHETICA AD PRAVAS EXPOSITIONES NONNULLARUM SCRIPTO TRADITARUM AUCTORITATUM.

α'. Τὰ μὲν οὖν ἐφ' οἷς ἀδίκως τοῦ οἰκείου ἡμεῖς ἀπηλάθημεν θρόνου ἐν τούτοις, ἐν οἷς καὶ οὐχ ὡς τὴν εὐσέβειαν προδιδόντες, οὐδ' ὡς τῶν Ῥωμαίων

1. Res itaque, pro quibus injuste nos solio pulsi sumus, hunc in modum se habuere, in quibus non uti pietatis proditores, neque uti Græ-

Digitized by Google Распознавание текста ABK/FR

corum hostes, sicuti calumniatores contendunt, sed ut Græcis amicos, nullaque in parte vulnerata pietate, et meliora nostro imperio ac dominatui providentes, Romanæ Ecclesiæ pacem procurasse, ad compendium verba conferentes, narravimus. Verum cum auctoritates, quas recentiores theologi in colloquiis ad dogmata spectantibus proponunt, aliæ diversæque sint, nec concordent cum iis, quibus nostra responsione satisfecimus abunde in volumine, quod antea de hac materia scripsimus, nunc iterum peculiari sermone illis respondendum nobis esse videtur. Multos porro esse, nec me fallit, qui orationem aliter et Patrocli haud dubie obtentu, nostram in Græcos benevolentiam referri proponique a nobis existimant; quare mihi videtur parvum ad tempus de rebus dogmaticis responsione dilata, pauca quædam orationi præponere, quibus plane apertum fiet, ecclesiasticam pacem nos vere propter Græcorum benevolentiam procurasse. Quod ubi prius demonstravero, sequetur postea de plano, qui sua non destituetur demonstratione, erga pietatem noster cultus innoxius, cum oratio, uti dogmata requirunt procedens, recens natarum in theologicis dictis interpretationum examine facto, et his refutatis, proditores magis pietatis, et Græcorum hostes, qui nobis contradicunt, ostendet.

A ἐχθροὶ, ὡς οἱ διαβάλλοντές φασιν, ὡς φιλορώμαιοι δέ γε, τῆς εὐσεβείας λυμαινομένης οὐδὲν, κατὰ τὴν ἐπὶ τὸ κρεῖττον πρόνοιαν τῆς ἡμῶν βασιλείας καὶ ἡγεμονίας, τὴν εἰρήνην τῆς Ῥωμαϊκῆς πραγματεύσασθαι Ἐκκλησίας, ἐπιτομώτερον διεξῆλθομεν. Ἐπεὶ δὲ ἐπὶ ταῖς ἐπιβολαῖς, ἃς οἱ νέοι θεολόγοι ἐπὶ τοῖς δογματικοῖς προτείνουσι λόγοις, ἄλλαις οὔσαις ὡς τὰ πολλὰ παρὰ τὰς, αἷς καὶ ἀπηντήσαμεν, πρὸς ἃς καὶ ἱκανῶς ἐν τῇ παρ' ἡμῶν λογογραφηθείσῃ βίβλῳ πρότερον διενέστημεν, λόγον ἴδιον καὶ πάλιν δοῦναι ἡμᾶς χρή. Πολλοὺς δ' αὐτὸς εἶναι οὐκ ἀγνοῶ, τὸν λόγον ἄλλως καὶ Πάτροκλον ἔντικρυς πρόφασιν τὸ φιλορώμαιον ἡμᾶς οἰομένους προβάλλεσθαι, δοκεῖ μοι τέως ἐπὶ σμικρὸν τὸν ἐπὶ τοῖς δογματικοῖς ὑπερθεμένῳ λόγοις ἀπόλογον, ὀλίγα τινὰ τοῦ λόγου προανατάξασθαι, δι' ὧν ἂν ἀποδειχθείη τὴν τῶν Ἐκκλησιῶν εἰρήνην ἀληθῶς ἡμᾶς σπουδάσαι διὰ φιλορωμαιότητα. Τούτου γέρ μοι καὶ προαποδειχθέντος, ἀκολουθήσει λοιπὸν ὁμαλῶς δευτέρας ἀξιουμένου τῆς ἀποδείξεως τοῦ πρὸς τὴν εὐσέβειαν ἡμῶν ὑγιοῦς, ἐπὰν ὁ λόγος, δογματικῶς προβαίνων, τὸν ἔλεγχον τῶν νεοφανῶν ἐπὶ ταῖς θεολογικαῖς πιστοῖτο ῥήσεσιν ἐξηγήσεων, τῆς εὐσεβείας προδότας καὶ τῶν Ῥωμαίων ἐχθροὺς ἀποδεδεῖχθαι μᾶλλον τοὺς ἀντιλέγοντας.

2. Ilis igitur, auditor qui in te judicium suscipis, animum advertens, ante omnia attente considera, nos ex historia, quam nemo oppugnaverit, nostræ, qua cum Græcis conjungimur, amicitiæ argumenta defensionemque suscipere. Namque vita et sermone præcelebris, et apostolorum principis cognominis Petrus, patriarchicum Antiochiæ thronum exornans, cum Michael Cerularius, sub quo Ecclesiarum schisma prorupit, Constantinopolitanum obtinebat, pro schismate indolens, et malorum omnium atrocissimum reputans, ad hunc Cerularium scribens, inter alia dicit: *Oro, obsecro, precans efflagito, et mente tuos sanctos pedes amplector, ut, de exquisito studio aliquid demittens, tua sancta beatitudo rebus ipsis sese accommodet. Timor enim est, ne dum illa scissum consuere studet, majorem scissuram efficiat, et collapsum erigere tentans, graviorem lapsum efficiat.*

β'. Πρὸς ταῦτα καὶ γοῦν ὁ δικάζων βλέπων ἀκροατὴς πρόσεχε δὴ τὰ πρῶτα ἡμῖν ἐξ ἱστορίας ἀναντιῤῥήτου ποιοῦσι τῆς ἀποδείξεως, τὴν τῆς ἡμῶν αὐτῶν ὑπερηγορίαν φιλορωμαιότητος. Ὁ γὰρ ἐπιφανὴς καὶ βίῳ καὶ λόγῳ καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων ὁμώνυμος Πέτρος, ὁ τὸν πατριαρχικὸν τῆς Ἀντιοχείας θρόνον κοσμῶν, ὅ τε ὁ Κηρουλάριος Μιχαὴλ, ἐφ' οὗ τὸ τῶν Ἐκκλησιῶν ἀνιάτου σχίσμα ἐπὶ τὸν τῆς Κωνσταντίνου ἐδείκνυτο, ἐπὶ τῷ σχίσματι δυσχεραίνων, καὶ τῶν κακῶν αὐτὸ μέγιστον ἁπάντων ἡγούμενος, τοιάδε τινὰ, πρὸς τὸν τοιοῦτον Κηρουλάριον ἐπιστέλλων, τῆς ἐπιστολῆς ἐν μέρει φησί· *Παρακαλῶ καὶ ἱκετεύω, καὶ δέομαι, καὶ νοερῶς τῶν σῶν ἁγίων ἐράπτομαι ποδῶν, ἵνα τοῦ ἄγαν ἀκριβοῦς ἡ θεοειδὴς ἐνδοῦσα μακαριότης σου σ. νέλθῃ τοῖς πράγμασι. Δέος γὰρ μή ποτε, ῥάψαι τὸ διερρωγὸς βουλομένη, χεῖρον τὸ σχίσμα ποιήσῃ, καὶ τὸ καταπεπτωκὸς ἀνορθῶσαι σπουδάζουσα, μείζω τὴν πτῶσιν ἐργάσηται.*

3. *Animo porro volve, annon clare hinc, et longa hac duntaxat separatione ac dissensione, et a nostra hac Ecclesia, magni hujusce et primi apostolici throni abruptione, factum est, ut omnis generis mala apud homines cumulate redundarint, universus terrarum orbis graviter laborarit, regna omnia inturbata vacillarint, ubique ejulatibus, et lacrymis, et ingentibus æruminis, dire atque inhumane conflictata sint, peste ac fame continuis regiones et urbes excruciatæ, nulloque in loco unquam noster exercitus approsperatus sit.* Quid ad hæc igitur tu dices, quem mihi hac oratione judicem elegi? Annon satis ista

γ'. *Σκέψησον δὲ, εἰ μὴ ῳαιρεῶς ἐντεῦθεν, ἤγουν ἐκ τῆς μακρᾶς ταύτης διαστάσεως καὶ διχοστασίας καὶ τοῦ τῆς καθ' ἡμῶν ἁγίας Ἐκκλησίας, τὸν μέγαν τοῦτον καὶ πρῶτον ἀποστολικὸν θρόνον ἀποῤῥαγῆναι συνέβη, πᾶσαν ἐν τῷ βίῳ κακίαν πληθυνθῆναι, καὶ τὸν σύμπαντα κόσμον ἔχειν κακῶς, καὶ ὅπως αἱ βασιλεῖαι πᾶσαι τῆς γῆς ταραγμέναι εἰσὶ, καὶ παντοχόθεν θρῆνος, καὶ οὐαὶ πολὺ, καὶ λιμοὶ, καὶ λοιμοὶ συνεχεῖς κατὰ χώραν καὶ πόλιν, καὶ οὐδαμῆ σὺν δαμῶς ὡς ἐπίπαν τὰ ἡμέτερα εὐοδοῦνται στρατεύματα.* Τί οὖν πρὸς ταῦτα, ὡς σὺ φῂς, ἂν ἑαυτῷ

Digitized by Google Распознавание текста ABK/FR

δικαστὴν ὁ λόγος ἐφίστησιν; Ἆρ' ἱκανῶς ἔχει ταῦτα, συστῆσαι φιλορωμαίους ἀκριβῶς εἶναι τοὺς τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν ἐπισπεύδοντας, ὧν ἡ διάστασις πληθυσμὸς κακίας ἐν τῷ βίῳ ἐγεγόνει, καὶ οὐαὶ πολὺ, καὶ θρήνων παραιτία πολλῶν; Πάντως οὐδείς, μὴ ἀναιδῶς ἀντιβαίνειν θέλων πρὸς τὴν ἀλήθειαν, μὴ ὡς φιλορωμαίους ἡμᾶς τὴν εἰρήνην τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐρεῖ πραγματεύσασθαι. Εἰ δὲ τοῦτο ἡμεῖς, εὔδηλον ὡς τὸ ἐναντίον ἐχθροὶ, καὶ μισορώμαιοι πάντες οἱ ἀντιλέγοντες, καὶ πλείονος ἔτι χρεία τοῦ λόγου λοιπὸν πρὸς ἀπόδειξιν τῆς αὐτῶν μισορωμαιότητος οὐδενός. Καίτοι γε ἅπερ ὁ ἅγιος ἐκεῖνος καὶ προφητικὸς ὡς ὄντως ἀνὴρ κατ' ἐκεῖνο καιροῦ ἐξῆρε κακὰ, καπνὸς τοῦ μέλλοντος ἦσαν πυρὸς, ὃ τῆς ἡμῶν ἀρχῆς καὶ ἡγεμονίας ἐξ ἐκείνου καὶ εἰς τὸ νῦν ἄλλοτε ἄλλο μέρος ἐπιὸν σύμπαν αὐτὸ ἐπιβόσκεται. Ἔτι γὰρ τότε Συρίας ἁπάσης καὶ Μεσοποταμίας ἄρχοντες ἦμεν· ἔτι πᾶσα Ἰβηρία τοῖς ἡμῶν ὑπέκειτο αὐτοκράτορσιν· ἔτι τὰ σχοινίσματα ἡμῶν ἐς Δάνουβιν ἐκτεινόμενα Βουλγαρίαν πᾶσαν καὶ τὴν παρὰ Τριβαλλῶν οἰκουμένην ἐντὸς περιέκλειον· ἔτι Κύπρος, καὶ Κρήτη σὺν αὐτῇ Σικελίᾳ, αἱ τῶν νήσων περιφανέστεραι, Καλαβρία τε καὶ τῆς Ἰταλίας τὸ πλέον, τοῖς Ῥωμαίων βασιλεῦσιν ἐδούλευον. Τί γὰρ ἂν τις Πελοποννήσους ἀπαριθμοίη, καὶ νήσους Εὐβοίας, καὶ ὅσαι τῷ Αἰγαίῳ καὶ Ἀδριατικῷ πελάγει σποράδην διαλαμβάνονται; Νῦν δὲ ὅποι τὰ ἡμέτερα συνεστάλη, αἰσχύνη καὶ ὅλως λέγειν ἐστίν.

δ'. Ἀλλ' οἶδα σφύζοντα πρὸς ἀντίρρησιν τὸν ἐν εἰδήσει τῆς εἰρημένης ὄντα ἐπιστολῆς. Τάχα γὰρ ἀντιπροσταίη ἂν ἡμῖν ὁ τοιοῦτος ἑτέρωθεν, καὶ μέρους αὐτῆς ἄλλου ἐπιδραξάμενος, ἐν ᾧ τὴν προσθήκην φαίνεται κακίζων ὁ ἐπιστέλλων, τούτου μόνου ἕσται, καὶ κατὰ θεῖον τάχα καὶ θερμότερον πίστεως ζῆλον τὴν διάστασιν τῆς ἑνώσεως ἀνθαιρεῖσθαι ἐρεῖ. Ἡμεῖς δ' ἐξ ὧν μὲν προειρήκαμεν, τῆς τε ἡμῶν αὐτῶν φιλορωμαιότητος, τῶν ἀντιδίκων τὰς ἀποδείξεις ποιησάμενοι μισορωμαιότητος, τῇ δὲ τῆς εὐσεβείας ἐνεχομένους παραστῆσαι αὐτοὺς προδοσίᾳ, ἔτι ὀφείλοντες, τὴν μὲν ὀφειλὴν ἀποδοῦναι καθυφιστάμενοι, ἐπὰν ὁ λόγος δογματικῶς, ὡς ἔφημεν, προῖὼν τὸν τῶν νεοφανῶν ἐπὶ ταῖς θεολογικαῖς ποιοῖτο ῥήσεσιν ἐξηγήσεων ἔλεγχον, ἀναρτήσομεν· τὸ δέ γε παρὸν, ἐπεὶ τῆς ἐν τῇ διειλημμένῃ ἐπιστολῇ περικοπῆς ἐκείνης ἐμνήσθημεν, ἣν ποιήσαι τ' ἂν ἴσως, ὡς πρὸς αὐτοῦ τὰ μάλιστα οὖσαν, ὁ ἀντιλέγων περὶ πολλοῦ, τὸν δικαστήν σε καὶ ἀκροατὴν μὴ παροδικῶς, ἀλλὰ καὶ πάνυ πρὸς ἀκρίβειαν ἐπιστατικῶς, τὰ ἐν τῷ μέρει τούτῳ τῆς ἐπιστολῆς ἐπιέναι ἀξιώσομεν. Καὶ ἄκουε δή. Ὡς γὰρ ὁ ῥηθεὶς Κωνσταντινουπόλεως ὅλως τῆς διαστάσεως ὢν, ἐπὶ πολλοῖς ἄλλοις αἰτιάμασιν, ὧν οὐδένα λόγον ὁ Ἀντιοχείας ποιεῖται, καὶ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ἀπηριθμήσατο, Ἔγωγε, ὁ Ἀντιοχείας αὐταῖς φησι λέξεσιν, *ἵνα τὴν ἐμὴν γνώμην ἐρρωμένως γνώμην, εἰ τὴν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην διωρθώσαντο, οὐδὲν ἂν ἕτερον ἐπεζήτουν, ἀδιάφορον καταλιπὼν σὺν τοῖς ἄλλοις καὶ τὸ περὶ*

A probant, Græcorum amicos esse, qui Ecclesiarum unionem summo studio procurant, quarum dissidium miseriarum omnium, et lacrymarum, et ejulatuum causa fuit? Prorsus nemo, ni inverecunde veritatem oppugnat, nos non veluti Græcorum amicos, Romanæ Ecclesiæ unioni navasse operam affirmabit. Quod si nos Græcorum amore id pertractavimus, manifestum remanet, eorum, qui illi sese opponunt, acerrimum odium in Græciam ostendi: neque pluribus opus est ad demonstrandum hoc eorum in Græciam odium, et mirandam ab eadem animi alienationem. Et nihilominus quas sanctus ille vir, et vere prophetico spiritu afflatus ærumnas ea tempestate exposuit, futuræ flammæ fumus fuere, quæ nostræ ditionis atque imperii ab B eo usque ad hoc tempus in aliam atque aliam partem irrumpens, universa depascitur. Nam tum Syria universa atque Mesopotamia in manu nostra erant: adhuc Iberia omnis nostris subjecta erat imperatoribus: adhuc ditionis nostræ termini ad Danubium extensi, Bulgariam universam, et quæ a Triballis habitabatur, regionem in sese concludebant: adhuc Cyprus, et Creta, et Sicilia ipsa, insularum celebriores, Calabria, et Italiæ potissima pars Græcorum imperio serviebant. Non est opus hic referre et Peloponnesum, et Eubœam insulam, et tot alias, quas Ægæum et Adriaticum mare sparsim præterfluit. Nunc vero uti res nostræ contractæ sunt, pudor est prorsus dicere.

C 4. Sed video jam micantem, et tantum non ad contradicendum inflammatum eum, qui hanc epistolam recte tenet. Neque is forte aliunde nobis sese opponet, et partem illius aliam, in qua videtur additionem scriptor criminari assignans, affirmabit, eo solo, et divino forte ac ardenti fidei zelo dissidium unioni præponere. Nos vero ex iis, quæ diximus de propenso nostro in Græcos studio, et adversantium in eosdem malevolentia, demonstrationibus petitis, cum præterea eosdem pietatis propriæ proditores ac desertores ostendere debeamus, debitum persolvemus, cum oratio eo devenerit, ubi de dogmate agens, recentium in rebus theologicis interpretationum dicta examinabimus. At nunc cum pericopes illius epistolæ men- D tionem fecerimus, quam mirum in modum suas tutari partes adversarius contendet, te judicem et auditorem exorabimus, non in transitu et per transennam, sed accurato studio atque attento animo, quæ in hac epistolæ parte continentur, percurrere. Et jam mentem applica. Ut diximus, Constantinopolitanus cum esset divisioni addictissimus, inter alias multas criminationes, ad quas Antiochenus animum non advertit, et additionem in Symbolo factam enumerat: *Ego*, his iisdem verbis Antiochenus respondet, *ut meam sententiam exponam: si additionem in Symbolo correxerint, nihil ultra ab ipsis exquirerem, inter alia et quæstionem de azymis veluti indifferens relinquens. Et aperte ostendi, cum ad Venetiarum episcopum scriberem,*

Digitized by Google Распознавание текста АВК/FR

Cœnam ante Pascha factam esse, in qua Salvator noster et Dominus Jesus Christus sacræ mystagogiæ mysterium discipulis tradidit, quo tempore azyma comedere secundum legem non erat, quod et divinam tuam beatitudinem approbasse laudo; ne totum quærentes, totum amittamus. Attente considera dictionem, qui hæc æquo animo dijudicas: *Si in sancto Symbolo factam additionem correxerint*, dixit, non vero: Si inde impietatem oblitteraverint, aut: Inde adversus Deum blasphemiam ejecerint, quod qui nunc sapientes reputantur, et pietatis zelo inflammantur contendunt; sed: *Si additionem correxerint.* Reliquum est itaque ut prudens auditor in lenitatis pacisque spiritu consideret, quo tandem correctionis propositum illi tendebat. Ego plane eum et quod videbatur in additione delictum facili negotio neglecturum existimo, si vel pusillum pacis spiritum, in eo, ad quem litteras dabat, contineri prospexisset, idque colligo nec male ex illis, quæ ille in alia epistolæ parte verbis hisce digerit: *Bonum enim est, nos ad æquitatem propensos, et potissimum ubi neque Deus, neque fides in periculo vertitur, semper ad pacem et fratrum amorem inclinari: fratres enim nostri isti sunt, et non admodum exactum discussionem verborum indagare in gentibus, quæ aliena lingua utuntur, ut a nobis requiritur, qui in dicendi arte exercitamur.* Et rursus: *In sanctissimo monasterio Studii cinguntur diaconi, rem aggressi, quæ ecclesiasticæ traditioni non consonat. Et considera, licet tu multum insudaveris, et laborem insumpseris, non potuisse te consuetudinem illam, quæ solis illis in usu est, evellere. Quod si illis, quæ in nostra manu sunt, non possumus modum imponere, quanam ratione immanem illam gentem et sublimem a propriis consuetudinibus dimovere poterimus?*

5. Ex his et aliis colligo, modum de correctione additionis, quem Antiochenus Constantinopolitano suggerit. Eorum præterea, qui ante nos schisma promoverunt, scripta curiose volutans, inde etiam colligo, me a recto non aberrare, cum similia de divino illo viro edissero, illiusque de correctione propositum non aliud quam quod dixi fuisse existimo. Invenio siquidem Theophylactum quemdam Bulgariæ archiepiscopum, dicendi quoque arte celebrem, tantummodo in Symbolo additionem reprobantem, in aliis vero omnibus scriptis et publicis colloquiis dubio procul eam permittentem, et nunquam eum simile quid reor permissurum, si pietatem in hac parte lædi sapiens ille vir opinatus fuisset. Sed recens etiam et fere hac nostra ætate factum adjiciatur. Blemmidem illum invenio, dicendi gravitate et copia magnum, cujusque sapientiam etiam quam maxime infensi in ingentem gloriam pervenisse fatebuntur, scriptum de hoc argumento ab se conciunatum direxisse ad Bulgariæ quemdam archiepiscopum electum, quamvis is-

A τῶν Ἀζύμων ζήτημα, καὶ φανερῶς ἔδειξα δι' ὧν πρὸς τὸν ἐπίσκοπον Βενετίας ἐπέστειλα, πρὸ τοῦ Πάσχα γενέσθαι τὸ δεῖπνον, ἐν ᾧ ὁ Σωτὴρ ἡμῶν καὶ Κύριος Ἰησοῦς Χριστὸς τὸ τῆς θείας μυσταγωγίας τοῖς μαθηταῖς παρέδωκε μυστήριον, καθ' ὃν καιρὸν οὐκ ἦν νόμιμον ἄζυμα ἐσθίεσθαι, ὃ δὴ καὶ τὴν σὴν θεοειδῆ μακαριότητα συναινῶ καταδέξασθαι, ἵνα μὴ τὸ πᾶν ἐκζητήσαντες, τὸ πᾶν ἀπολέσωμεν. Σκόπει τὴν λέξιν, ὁ τοῖς παροῦσιν εὐγνωμόνως ἐνδιατιτῶν· *Εἰ τὴν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην διωρθώσαντο*, ἔφη· οὐκ εἶπεν, Εἰ τὴν ἐντεῦθεν ἀσέβειαν ἀπετρίψαντο, εἰ τὴν ἐντεῦθεν ἀπεβάλοντο ἀθεΐαν, ὅπερ οἱ νῦν σοφοὶ, οἱ νῦν τῆς εὐσεβείας διάπυροι φασι ζηλωταὶ, ἀλλ', *Εἰ τὴν προσθήκην διωρθώσαντο.* Λείπεται οὖν τὸν συνετὸν ἀκροατὴν ἐν πνεύματι πραότητος καὶ εἰρήνης B διασκοπεῖν, ἐπὶ τίσιν ἂν καὶ ἦν ὁ τῆς διορθώσεως τῷ εἰρηκότι σκοπός. Ὡς ἔγωγε ταχὺ ἂν ἐκεῖνον, καὶ τὴν ἐκ τῆς προσθήκης δοκοῦσαν πλημμέλειαν λογίζομαι παριδεῖν, εἴ γε μικρόν τι τοῦ τῆς εἰρήνης πνεύματος, καὶ τὸν πρὸς ὃν ἐπέστελλε μετέχοντα κατενόει, ἔχων, ὃ λογίζομαι συνορᾶν, ἐξ ὧν ἐν ἄλλῳ τῆς ἐπιστολῆς ἐκεῖνος μέρει οὕτω αὐτολεξεὶ φησι· *Καλὸν γὰρ πρὸς τὸ καλοθελὲς ὁρῶντας ἡμᾶς, καὶ μᾶλλον ἔνθα μὴ Θεὸς, ἢ πίστις τὸ κινδυνευόμενον, νεύειν ἀεὶ πρὸς τὸ εἰρηνικόν τε καὶ φιλάδελφον. Ἀδελφοὶ γὰρ καὶ ἡμῶν οὗτοι, καὶ μὴ τοσαύτην ἀκρίβειαν ἐπιζητεῖν ἐν ἀλλογλώσσοις ἔθνεσιν, ἣν αὐτοὶ περὶ λόγους ἀναστρεφόμενοι ἀπαιτούμεθα·* καὶ πάλιν· *Ἐν τῇ εὐαγεστάτῃ μονῇ τοῦ Στουδίου ζώννυνται οἱ διάκονοι,* C *πρᾶγμα ποιοῦντες ἐκκλησιαστικῇ παραδόσει ἀνακόλουθον. Καὶ ὅρα, ὅπως σὺ παλλὰ σπουδάσας καὶ κοπιάσας, τὴν τοιαύτην οὐκ ἠδυνήθης ἐκκόψαι μονολόγιστον συνήθειαν. Καὶ εἰ τῶν ὑφ' ἡμᾶς τελούντων περιγενέσθαι οὐ δυνάμεθα, πῶς τὸ μέγιστον ἐκεῖνο ἔθνος, καὶ ὑψηλὸν τῶν ἰδίων ἐθίμων ἐκστῆσαι δυνησόμεθα;*

ε'. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων συνορᾶν ἔχω, ὅπως τὰ περὶ τῆς διορθώσεως τῆς προσθήκης ὁ Ἀντιοχείας τῷ Κωνσταντινουπόλεως ὑπετίθετο. Προσέτι δὲ καὶ τὰς τῶν πρὸ ἡμῶν ἐπισυγκροτούντων τὸ σχίσμα γραφὰς πολυπραγμονῶν, κἀκεῖθεν ἔχω συνάγειν τοῦ εἰκότος μὴ ἁμαρτάνειν, τοιαῦτα περὶ D τοῦ θείου ἀνδρὸς ἐκείνου διανοούμενος, κἀπὶ τοιῶδε τὰς περὶ τῆς διορθώσεως ὑποθήκας ἐκείνου ὑπάρχειν τῷ σκοπῷ λογιζόμενος. Εὑρίσκω γὰρ Θεοφύλακτόν τινα ἀρχιεπίσκοπον Βουλγαρίας, πολὺ δὲ ἦν καὶ οὗτος ἐν λόγοις, ἐν τῷ Συμβόλῳ μόνῳ τῆς προσθήκης κακίζοντα, ἐν ἄλλαις δὲ ἁπάσαις γραφαῖς τε καὶ διαλέξεσι ἀνενδοιάστως ἐνδιδόντα αὐτὴν, καὶ μὴ ἄν ποτε οὕτω πρὸς τὴν τοιαύτην ἔνδοσιν διατεθῆναι διαγινώσκω, εἴγε τὴν εὐσέβειαν τοῦτο τὸ μέρος κολοβοῦσθαι ὁ σοφὸς ἐκεῖνος ἥγετο ἀνήρ. Ἐπὶ δὲ τούτῳ νεώτερον καὶ ὅσον τῆς καθ' ἡμᾶς; ἔστιν εἰπεῖν, τὸν Βλεμμίδην εὑρίσκω ἐκεῖνον, οὗ πολὺ τὸ ἐν λόγοις κλέος ἐστὶν, οὗ τὴν σοφίαν οὐδ' ὁ πάνυ ἀπεχθῶς διακείμενος μὴ ἐπὶ πολὺ προελθεῖν δόξης διαβαλεῖ, γραφήν τινα περὶ τῆς ὑποθέσεως ἐγχαράτ-

Digitized by Google Распознавание текста ABK/FR

τοντα ταύτης πρός τινα Βουλγαρίας μὲν ἀρχιεπίσκοπον τῷ χρόνῳ ἀναδειχθέντα, διὰ δὲ βίου θεοφίλειαν πρὸς ὄρος τὸν Ἄθω ἀναχωρητικῶς ἑλόμενον ζῆν, οὗ καὶ αὐτοῦ τῆς ἐν λόγοις περιουσίας πολλοὶ μὲν τῶν εἰσέτι ζώντων οἱ μάρτυρες, ἀκριβὴς δὲ ἀπόδειξις, ἅπερ τῷ βίῳ μετὰ θάνατον ἐκεῖνος καταλέλοιπεν οἰκεῖα συγγράμματα· Ἰάκωβος ἡ κλῆσις ἦν τῷ ἀνδρί. Πρὸς τοῦτον ὁ Βλεμμίδης ἐπιστέλλων ἐκεῖνος, τὴν τῶν Ἐκκλησιῶν διάστασιν ἀποδύρεται, τὴν κατὰ τῶν αἰτίων αὐτῆς ἐντεῦθεν παριστῶν ἑαυτοῦ ἀγανάκτησιν. Ποιῶν δὲ οὕτω, δίδωσί μοι νοεῖν μὴ ἄν ποτε τοιαῦτα πρὸς ἐκεῖνον λέγειν, καὶ γράφειν, εἰ μὴ κἀκεῖνον ἤδη ἐπὶ τῇ τῶν Ἐκκλησιῶν ὀδυνώμενον διαστάσει, ὡς καὶ ἕτερός τις ἐκ τῆς τῶν γραμμάτων ἔχει συνιδεῖν περιλήψεως. Νικήτας δέ τις τὴν κλῆσιν ἐν ἰδίοις καιροῖς τοὺς ἀρχιερατικοὺς τῆς Θεσσαλῶν μητροπόλεως οἰακας ἐγκεχειρισμένος, διάλεξίν τινα συντίθεται Γραικοῦ δῆθεν καὶ Ἰταλοῦ, κἀὶ τὸ κράτος τῷ Ἰταλῷ ἀπονέμει, εὐφυῶς πως τὸν αὐτὴν μετιόντα ἐνάγων πρὸς τὸ ἱλαρῶς ἐπὶ τῇ ἑνώσει διατεθῆναι. Ἦσαν γὰρ, ἦσαν ὡς ἀληθῶς οὐκ ὀλίγοι τῶν πρὸ ἡμῶν ἀποδεχόμενοι μὲν τὴν ἕνωσιν ταύτην, μὴ ἐγχειρῆσαι δὲ ὅμως ἀποτολμῶντες αὐτῇ, ὃ ἅπερ οἱ ἐγχειρήσαντες ἡμεῖς ταύτῃ πεπόνθαμεν. Τούτους πάντας, ἐξ ὧν εἶπον, καὶ ἐξ ὧν τοῖς ἰδίοις συγγράμμασι παρεδήλωσαν, ἱλαρῶς ἐπὶ τῇ τῶν Ἐκκλησιῶν ἑνώσει διατιθεμένους εὑρίσκων, συνάγω μὲν ἐντεῦθεν, καὶ ἀσφαλῶς, ὡς οἶμαι, τοῦ εἰκότος μὴ ἁμαρτάνειν διανοούμενος, ἅπερ δὴ καὶ εἶπον διανοεῖσθαι περὶ τοῦ θείου ἐκείνου ἀνδρὸς, ἐφ' οἷς τῶν Ἐκκλησιῶν ἐκεῖνος ἐπισπεύδων τὴν ἕνωσιν ἐν μέρει τῆς περὶ τούτου ἐπιστολῆς, τὸ, *Εἰ τὴν προσθήκην διωρθώσαντο*, εἴρηκε.

A divino instinctu percitus, in monte Atho solitariam vitam agere elegisset, hujus etiam in orationibus præstantiam multi adhuc superstites contestantur. Sed nulla certior erit demonstratio quam ipsius scripta, quæ post ipsius mortem omnium manibus teruntur; nomen erat viro Jacobo. Ad hunc Blemmida scribens, et ecclesiastica dissidia deplorans, ipsius in dissidii causas indignationem exponit. Quo mihi satis innuere videtur, nunquam similia eum vel dicturum, vel scripturum fuisse, nisi etiam illum agnovisset hoc Ecclesiarum dissidium moleste ferre, ut etiam alius quispiam ex iis, quæ in litteris continentur, perspiceret. Nicetas quoque sua ætate archieratica Thessalonicensis metropoleos tenens gubernacula colloquium Græci Latinique concinnavit, et potiores partes Latino attribuit, apte quodammodo Græcum adducens ad unionem hilariter suscipiendam. Erant siquidem, erant et vere iique quam plurimi ante nos, qui hanc unionem amplectebantur, sed illi manus apponere non audebant, ob ea ipsa quæ nos, qui manus apposuimus, perpessi sumus. Hos omnes ex iis, quæ illi in propriis commentariis exsecuti sunt, hilari vultu, in Ecclesiarum unionem propensos fuisse inveniens colligo, et certissime, ut reor, me a recto non aberrare, et præcipue dum considero, quæ supra jam me dixi considerare de divino illo homine, quibus ille Ecclesiarum unionem studiose procurans in parte suæ epistolæ, in qua de ea pertractat, scripsit : *Si additionem correxerint.*

Β

C

Ϛ'. Διαγινώσκω δὲ καὶ αὐτοὺς τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ὅλως κακίζοντας, οὐχ ὅτι τὸ τῆς εὐσεβείας λυμαίνεται καθαρὸν, ἀλλ' ὅτι γεγονυῖα, ὡς ἄρα καὶ γέγονε, τοῦ μεγάλου, καὶ οὐ τοῦ τυχόντος παραιτία σκανδάλου ἐγένετο. Εἰ δέ τις καὶ βαθύτερον, εἴτ' οὖν διερευνητικώτερον τὰ τοῦ πράγματος ἐθέλει διασκοπῆσαι, οὐ τὴν προσθήκην ἀρχήν τινα ὥσπερ καὶ ῥίζαν τοῦ σκανδάλου εὑρήσει, ἄλλας δὲ καὶ ἄλλας ἐκ καιρικῶν περιπετειῶν σκανδάλων αἰτίας, ἄλλοτε ἄλλοθεν ἀναφαινομένας, καὶ τὴν προσθήκην, ὁποῖα τῆς ἔριδος τὰ ἐκτόκια, ἁπλῶς οὕτω παραῤῥιπτομένην ἑαυτῶν ἐν μέσῳ ἐχούσας. Καὶ εἰ τοῦτο διασκοπηθὲν οὕτως ἔχον ἀναφανῇ, πόσον οὐκ ἂν τὸ πρὸς τὴν ἕνωσιν ἐπιῤῥεπὲς ἡμῶν δεφενδεύσει, καὶ εἰς τοῦτο σπουδὴν ἡμῶν ἀνεπίληπτον παραστήσει; Αὐτίκα ἡ τοῦ Ἀντιοχείας Πέτρου ἐπιστολὴ, καλεῖ γὰρ ἡμᾶς ἡ τοῦ λόγου ῥύμη καὶ πάλιν εἰς μνήμην αὐτῆς, ἀγνοεῖν ἀριδήλως ὁμολογεῖ, *ὅπως καὶ δι' ἥντινα τὴν αἰτίαν ἡ τοῦ πάππα ἐξεκόπη ἀναφορὰ*, πολλὰ πρότερον ἐπιμεμφομένη τῷ τοῦ Κωνσταντινουπόλεως χαρτοφύλακι, ὡς ἐν τοῖς πρὸς τὸν τοιοῦτον Ἀντιοχείας γράμμασι διαλαβόντι, *ἀπὸ τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου τὴν ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφορὰν ἐκκοπῆναι τοῦ πάππα*. Εἰ γοῦν ἡ ἐν τῷ Συμβόλῳ προσθήκη εἰς τόσον ἦν βλασφημίας τορυφουμένη, ὅσον οἱ νῦν

6. Certum interea scio, eosdem hos ipsos additionem in Symbolo culpæ obnoxiam facere, non quod pietatis puritatem commaculet, sed quod utcunque facta sit, gravem peperit et periculosam offensionem. Et si quis altius curiosiusque res perpendet, additionem hanc nunquam offensionis causam originemque fuisse, sed inter alias atque alias ex tempore varietatum atque eventuum offensionum causas alio atque alio tempore, et variis rerum cursibus et perturbationibus enatas, hanc quoque additionem, veluti simultatis abortum temere projectam, et utcunque reperiet. Quod si id quoque meditate consideratum ita se habere compertum fuerit, quare non et nostram ad unionem propensionem tuebitur, nostrumque in ea procuranda studium inculpatum ostendet? Et ne longe abeam, ipsa Petri Antiocheni epistola, sermonis siquidem impetus ejus nos memoriam recolere inducit, aperte fatetur nescire se, *quomodo et qua de causa papæ commemoratio abrogata sit*, cum antea pluribus questus esset de Constantinopolitano chartophylace, quod in litteris ad hunc Antiochenum datis asseruerit, *a sancta sexta œcumenica synodo ex sacris diptychis papæ commemorationem erasam fuisse*. Si igitur additio in Symbolo tanta impietatis nota laboraret, quanta eam hujus ævi

D

Digitized by Google Распознавание текста ABK/FR

sapientes, et zelotæ, et veritatis studio incensi amatores notant, ipsaque esset, ut existimatur, offensionis vere pars potissima, qua ratione percelebris ille vir unquam enuntiasset, *ignorare se, quomodo, et qua de causa papæ commemoratio derasa sit* : et cum testem se sine ulla exceptione præbeat, papam ante annos quinque et quadraginta una cum aliis patriarchis inter sacra Missarum solemnia in Byzantina urbe commemoratum fuisse, quamnam probationis vim non exhibebit, asserenti, non veluti præcedentem et magnam solamque Ecclesiarum offensionem, additionem ab initio reputatam fuisse? Namque, ut vides, aperte dicentis auctoritas comprobat, sua ætate apud eos papæ commemorationem fuisse.

A σοφοί, οἱ νῦν ζηλωταί, οἱ νῦν τῆς ἀληθείας διάπυροι λέγουσιν ἐραστάι, καὶ εἴπερ αὕτη τὸ κορυφαιότατον, ὡς δοκεῖ, τοῦ σκανδάλου ἦν ἀληθῶς, πῶς ἂν ὁ παλὺς ἐκεῖνος; ἀνὴρ *ἀγνοεῖν* εἰρήκει ποτὲ, *ὅπως καὶ δι' ἥντινα τὴν αἰτίαν ἡ τοῦ πάπα ἐξεκόπη ἀναφορά.* Ὅτι δὲ μάρτυρα ἑαυτὸν δίδωσιν ἀπαράγραπτον τοῦ τὸν πάππαν ἐν Κωνσταντινουπόλει πρὸ χρόνων πέντε καὶ τεσσαράκοντα μετὰ τῶν ἄλλων ἐν τῇ θείᾳ μυσταγωγίᾳ πατριαρχῶν ἀναφέρεσθαι, πόσην οὐ παρέξει τοῦτο τὴν σύστασιν τῷ λέγοντι, μὴ ὡς προηγούμενόν τι, καὶ μέγα, καὶ μόνον σκάνδαλον τῶν Ἐκκλησιῶν τὴν προσθήκην λογισθῆναι ἀρχῆθεν; Ἰδοὺ γὰρ κατὰ τὸ ταύτῃ πρόδηλον, ἡ τοῦ λέγοντος ἀξιοπιστία συνίστησιν, ἐπὶ τῶν ἡμερῶν αὐτοῦ τὴν τοῦ πάππα εἶναι ἀναφορὰν παρ' ἡμῖν.

7. Nos porro tempus examinantes, ex quo additio facta est, ad tempora Cerularii, quo et Antiochenus iste vitam celebris agebat, et dissidium, quod nunquam postea placari potuit, initium habuit, illud equidem reperire facile non est, quod non exacte teneamus imperatorem, sub quo Leo papa, nescio quas ob causas, et qua ratione additionem istam in Symbolo fieri decreverit. Verum illud a Monomachi imperio, sub quo jam dicta omnia peracta sunt, retrocedentes reperimus, a Constantis Heraclii nepotis imperio, sub quo et magnus Maximus florebat, qui quatuor centum ferme aut circiter anni numerantur, et tum veluti primum contradictionis principium de additione ætate sancti Maximi offendemus, eamque non ultra progressam, quod tantum qui Byzantii erant, papæ, qui præerat, synodalia decreta perstringerent. Offensionis vero tum obortæ causam eam esse, quod Orientales ob Monothelitarum hæresim infestarentur, idque apertissimum esse cognoscimus, et, ut quilibet alius cognoscere potest, qui non perfunctorie magni Maximi ad Marinum Cypri presbyterum epistolam percurrerit. Ex eo ad Photium ducentorum annorum spatium et multo plurium, per quod pax Ecclesiis arrisit, excurrit, qui rursus additionem calumniatur. Verum illius quoque causam non aliam plane agnoscimus, quam Photii per Romanum pontificem, res Ignatii tutantem e patriarchali sede ejectionem. Hinc enim ille, nec aliunde ingentia illa atque gravissima adversus Romanam Ecclesiam oblocutus est scripsitque. Et Photium quidem non zelo divino, sed rabie et simultate non bona percitum ad similia adactum fuisse, fusius in libro a nobis edito, et satis aperte demonstravimus. Quidquid tamen sit, neque tum obortum scandalum diuturniores moras habuit : sed idem auctor et progenuit, et radicitus exstirpavit, et magna, et tantum non œcumenica synodo correctionis veneno ad vulnus scandali medicas adhibuit manus.

B ζ'. Ἡμεῖς δὲ, τὸν χρόνον διασκοπούμενοι, ἐξ οὗ ἡ προσθήκη ἄχρι καὶ εἰς τὸν τοῦ Κηρυλαρίου, ἐν ᾧ καὶ αὐτὸς, οὗτος ὁ Ἀντιοχείας ἦκμαζεν, ὅθεν καὶ τὸ ἀδιάλλακτον τοῦ σχίσματος ἦρξατο, τοῦτον μὲν εὑρεῖν οὐ πάνυ εὐχερὲς ἔχομεν, διὰ τὸ μὴ σαφῶς ἡμᾶς τὴν βασιλείαν εἰδέναι, ἐν ᾗ ὁ πάππας Λέων τὴν προσθήκην τοῦ Συμβόλου, οὐκ οἶδα οἷς λόγοις, καὶ οἷῳ τρόπῳ γενέσθαι ἐπέκρινε· τὸν δὲ ἀπὸ τῆς τοῦ Μονομάχου βασιλείας ἐν ᾧ τὰ ῥηθέντα πάντα ἐγίνετο, εὑρίσκομεν κατ' ἀναποδισμὸν μέχρι τῆς Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου ἀρχῆς, ἐφ' οὗ δὴ Κώνσταντος ὁ μέγας ἦκμαζε Μάξιμος, ὀλίγον ἢ οὐδὲν τοῦ τῶν τετρακοσίων ἀριθμοῦ ἀποδέοντα· καὶ πρώτην ὥσπερ ἀρχὴν ἀντιῤῥήσεως ἐπὶ τῇ προσθήκῃ C ἐν ταῖς ἡμέραις τοῦ μεγάλου Μαξίμου γεγονυῖαν εὑρίσκομεν, καὶ ταύτην εἰς οὐδὲν πλέον προκεχωρηκυῖαν κατανοοῦμεν, ὅτι μὴ ἐς ὅσον μόνον τοὺς ἐν Κωνσταντινουπόλει τῶν τοῦ τότε πάππα ἐπιλαβέσθαι συνοδικῶν. Τὴν δ' ἀφορμὴν τοῦ τότε σκανδάλου, διὰ τὸ τοῦ Ἀνατολικοὺς ἐπὶ τῇ τῶν Μονοθελητῶν αἱρέσει διενοχλεῖσθαι κατὰ τὸ πάντῃ πρόδηλον εἶναι διαγινώσκομεν, ὡς ἔστι καὶ ἄλλον πάντα διαγνῶναι, τὸν μὴ παρέργως πρὸς Μαρίνον πρεσβύτερον Κύπρου ἐπιστολὴν τοῦ μεγάλου μετιόντα Μαξίμου. Χρόνος δ' ἐξ ἐκείνου ἐς Φώτιον τὴν διὰ μέσου ἄγων εἰρήνην, τῆς διπλῆς ἑκατοντάδος πολύ τι μέρος ὑπερελαύνων, καὶ πάλιν τὴν προσθήκην κακίζων εὑρίσκεται Φώτιος. Καὶ τὴν δὲ πάλιν τὴν ἀφορμὴν ἐκ τοῦ τὸν Φώτιον τοῦ πατριαρχικοῦ ἀπωθεῖσθαι θρόνου παρὰ τοῦ τῆς Ῥώμης D προέδρου ἐπ' ἀντιλήψει τοῦ Ἰγνατίου εἶναι οὐκ ἀγνοοῦμεν. Ἐντεῦθεν γὰρ καὶ δι' οὐδὲν ἄλλο τὰ μεγάλα καὶ πάνδεινα κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἶπε, καὶ ἔγραψε Φώτιος. Καὶ ὅπως μὲν οὐ κατά τινα θεῖον ζῆλον, ἀλλὰ κατ' ἔριν οὐκ ἀγαθὴν εἰς τὰ τοιαῦτα Φώτιος προήχθη, πλατύτερον ἐν τῇ παρ' ἡμῶν ἐκτεθείσῃ βίβλῳ, καὶ πάνυ σαφῶς παρεστήσαμεν. Τέως δὲ οὐδὲ τὸ ἐπ' αὐτοῦ σκάνδαλον ἐπιπολὺ παρετάθη, ἀλλ' αὐτὸν καὶ γενέτορα ἔσχε, καὶ ἀναιρέτην, καὶ διὰ μεγάλης οὕτος καὶ ἀντικρὺς οἰκουμενικῆς συνόδου τῷ φαρμάκῳ τῆς διορθώσεως τὸ τοῦ σκανδάλου τραῦμα ἴάσατο.

8. Itemque a Photio ad Cerularium tempus intercurrens, et septuaginta supra et centum annos exsuperans, tranquillum et placidissima pace

η'. Καὶ πάλιν ἐξ ἐκείνου καὶ ἐς τὸν Κηρουλάριον χρόνος ὁ διὰ μέσου τὸν ἑβδομηκοστὸν σὺν τῷ ἑκαστοστῷ ὑπερεκτεινόμενος, εἰρήνη βαθεῖα τὰς

Digitized by Google Распознавание текста ABK/FR

ἀμφοτέρας περιεχόρευεν Ἐκκλησίας. Ἀλλὰ καὶ τὸ ἐπ' αὐτοῦ δὴ τοῦ Κηρουλαρίου Μιχαὴλ σκάνδαλον ἐκ κοσμικῶν πραγμάτων ἔσχε τὰς ἀφορμάς, ὡς μαθεῖν ἔστι τὸν πολυπραγμονῆσαι βουλόμενον, ἅπερ ἱστόρηται διακύκησας ὁ Ἰταλὸς Ἀργυρός. Τίς οὖν τῶν μὴ ὡς ἔτυχε ταῦτα καθιστορηύντων, οὐκ ἂν ἐκ μόνου τῶν ἀριθμῶν τῶν χρόνων, ὧν διὰ μέσου κατ' ἄλλας ἀφορμὰς σκάνδαλον ἡ προσθήκη παῤῥησιαζομένη συνεστέλλετο πάλιν, καὶ ὑπεπόδιζε, διαγνοίη μὴ ταύτην εἶναι τὸ προηγούμενον καὶ μέγα καὶ μόνον σκάνδαλον τῶν Ἐκκλησιῶν; Διαγνοὺς δὲ ὁ τοιοῦτος ἁπλῶς οὕτω, καὶ ὡς ἐν παρέργῳ κατὰ καιροὺς εἰς ἀφορμὴν σκανδάλου προτείνεσθαι τὴν προσθήκην μεταξὺ Γραικῶν καὶ Λατίνων, καὶ παροράσθαι πάλιν αὐτὴν, ὡς ἔχουσαν ἴσως μέγα βλάβος οὐδέν, πῶς οὐκ ἂν ἱλαρώτερον διατεθείη τοῖς τὴν ἕνωσιν αὐτῶν ἐπισπεύδουσι; Τοίνυν καὶ ἡμῖν ταῦτα πάντα ἀπηριθμήθη, αὐτὸ βουλομένοις συστῆσαι, τὸ μὴ οὕτω μέγα καὶ τοῖς πρὸ ἡμῶν ὡς τοῖς νῦν τὸ τῆς προσθήκης αἴτίαμα κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας λογίζεσθαι, ὡς ἂν ἐντεῦθεν καὶ παραστήσαιμεν μὴ οὕτω ἡμᾶς ἐκκυλισθῆναι τοῦ δέοντος, ὡς τοῖς ἀντιδικοῦσι δοκεῖ, δι' ἣν σπουδὴν ἐπὶ τῇ τῶν Ἐκκλησιῶν ἑνώσει ἐνεδειξάμεθα.

θ'. Εἰ δέ γε μικρὸν ἡμεῖς ὑπερθέσθαι προθέμενοι τὸν ἐπὶ τοῖς δογματικοῖς ἡμῶν λόγοις ἀπόλογον, καὶ ὅσον τὸ ἡμῶν φιλορώμαιον παραστῆσαι ἐπὶ πλέον τάχα ἢ προσῆκε, τὴν ὑπερηγορίαν τὴν ταύτης ἡμῶν ἐποιησάμεθα φιλορωμαιότητος, ἅτε τὴν ὕλην εὐχερῶς ποριζομένου τοῦ λόγου, καὶ ἔτι πλείω τοῖς ῥηθεῖσιν ἐπισυνείρειν οὐκ ἀποροῦντος, εἰ μή γε ἀναγκαιότερος ἡμῖν ἐδόκει ἀγὼν ὁ ὑπὲρ τῶν δογματικῶν ἀπόλογος συγγνώμην ἐπὶ τούτῳ αἰτοῦμεν. Τὴν μέντοι ἀνωτέρω γενομένην κἀκ τούτων πάντων συγκροτουμένην, τὴν τῶν ἀντιδοκούντων ἀπόδειξιν μισορωμαιότητος, εἰς μνήμην ἄγοντές σοι καὶ πάλιν τῷ δικαστῇ τε καὶ ἀκροατῇ, ἵνα λοιπὸν ἀπάρτι, καὶ ἦν ἐπὶ τῇ προδοσίᾳ τῆς αὐτῶν εὐσεβείας ὑπάστημεν, προστεθῇ, γινώμεθα δὴ καὶ πρὸς τῷ ἐπηγγελμένῳ ἐλέγχῳ ὧν ἐπὶ ταῖς θεολογικαῖς οὗτοι νεοφανῶν ποιοῦνται ῥήσεων ἐξηγήσεων. Τί γάρ ἐστιν ὃ τῶν ἄλλων πάντων ὕστερον ἐφευρόντες φασί; *Τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον οὐ φασι, τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν σημαίνειν τοῦ Πνεύματος, ἀλλὰ τὸ διὰ τοῦ Υἱοῦ διήκειν αὐτὸ ἐκπορευόμενον ἐκ Πατρός.* Ἐγὼ δὲ τί ἐστι τὸ *διήκειν* τοῦτο οὐκ οἶδα, καὶ ὅθεν αὐτοῖς ἡ τοῦ *διήκειν* τούτου ἔννοια ἦκε, διαπορῶ. Καὶ πάντα λογισμὸν ἔνδον ἀνακινῶν, εἰ πῶς ἂν ἔξω, κἂν γοῦν ἀμυδρῶς τι νοῆσαι περὶ αὐτοῦ οὐδέν τι πλέον τῆς ἀπορίας ἔχων εὑρίσκομαι· πλὴν εἰ μή τινα ῥύσιν νοοῦσι θεότητος καθ' ἣν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα προΐεναι ἐροῦσιν. Ἀλλὰ τοῦτο τῆς τῶν λεγόντων οὐκ ἔστι συνέσεως. Συνετοὺς γὰρ εἶναι τοὺς ἄνδρας ὁμολογῶ, ἀληθῶς μέντοι ὑπὸ κακίας ἀμαυρουμένους τὴν σύνεσιν. Ὅτι δὲ ὅμως γε συνετοί, σφόδρα διαπορῶ, ὅθεν οἱ τοιοῦτοι ὄντες κινούμενοι τὴν λέξιν ταύτην τοῦ, *διή-*

A salutare Ecclesiis effulsit. Sed et scandalum sub Michaele Cerulario prognatum sæcularia negotia peperere, ut curiosus addiscere poterit ex iis, quæ perturbasse admodum in historia traditur Argyrus Italus. Quis igitur ex iis, qui similia mature diligenterque percurrunt, vel ex sola annorum enumeratione, per quos aliis atque aliis scandalorum causis obortis, additio hæc in publicum educta, audacterque exprobrata atque objecta, rursus comprimebatur et retrocedebat, non dijudicabit, eam non fuisse, neque præcedens, neque magnum, neque solum Ecclesiarum scandalum? Et cum plane cognoverit, temere et quasi aliud agentes ad inchoanda promovendaque scandala inter Græcos et Latinos additionem objectasse, rursusque denuo eamdem neglexisse, quasi ipsa nullam in se noxam B occluderet, annon hilarius affectus eos, qui unionem affectant, amplexabitur? Hæc singula itaque a nobis commemorata sunt, ut illud comprobaretur, non ita gravem additionis accusationem erga Romanam Ecclesiam iis, qui ante nos fuere, quemadmodum iis, qui nunc vitam agunt, existimatam fuisse: illudque præterea non ita nos a recto atque decoro dimotos fuisse, ut adversariis videtur, cum studia nostra pro unione Ecclesiarum ineunda collocavimus.

9. Quodsi paululum nos de dogmatibus sermonem, et de iis responsionem differre proponentes, tantumque ut nostram in Græcam nationem benevolentiam probaremus, fusius nihilominus longiusque quam addecebat, nostræ in Græcos benevolentiæ defensionem protraximus, materiam nobis oratione suppeditante, et plura præterea dictis superaddere in promptu habente, nisi nos magis necessarium certamen ad se vocaret, de dogmatibus nempe responsio, si quid erratum in hoc est, æquo animo ignoscite. Supra porro firmatam, et his omnibus constabilitam de adversariorum in Græcos odio demonstrationem in memoriam tibi rursus judici et auditori revocantes, et nunc suo ordine quam pro eorumdem pietatis proditione noxam sustinuimus, adjiciatur, apponamus jam manus promisse refutationi novarum interpretationum, quas illi de theologicis dictis pronuntiant. Quid enim est, quod nunc demum omnium postremum D commenti sunt? *Ex Patre per Filium Spiritum sanctum procedere asserunt, non notare ex Patre per Filium exsistentiam Spiritus, sed per Filium pervadere ipsum ex Patre procedentem.* Ego vero, quidnam sit hoc *pervadere*, nondum novi, et undenam ipsis hujuscemodi persuasionis cogitatio in mentem advenit, nondum capio, et omnia animo circumvolvens, ut ipsius vel imbecillam sententiam assequar, nihilo minus in eadem semper dubitatione atque obscuritate circumvolvor: nisi ipsi fluxum quemdam Deitatis intelligant, secundum quem ex Patre per Filium Spiritum procedere dicunt. Verumtamen hoc asserentium prudentiæ evidenter adversatur. Fateor siquidem prudentes homines esse, licet improbitate eorumdem vere

Digitized by Google Распознавание текста ABK/FR

sapientes, et zelotæ, et veritatis studio incensi amatores notant, ipsaque esset, ut existimatur, offensionis vere pars potissima, qua ratione percelebris ille vir unquam enuntiasset, *ignorare se, quomodo, et qua de causa papæ commemoratio derasa sit* : et cum testem se sine ulla exceptione præbeat, papam ante annos quinque et quadraginta una cum aliis patriarchis inter sacra Missarum solemnia in Byzantina urbe commemoratum fuisse, quamnam probationis vim non exhibebit, asserenti, non veluti præcedentem et magnam solamque Ecclesiarum offensionem, additionem ab initio reputatam fuisse? Namque, ut vides, aperte dicentis auctoritas comprobat, sua ætate apud eos papæ commemorationem fuisse.

A σοφοί, οἱ νῦν ζηλωταί, οἱ νῦν τῆς ἀληθείας διάπυροι λέγουσιν ἐρασταί, καὶ εἴπερ αὐτὴ τὸ κορυφαιότατον, ὡς δοκεῖ, τοῦ σκανδάλου ἦν ἀληθῶς, πῶς ἂν ὁ παλὺς ἐκεῖνος; ἀνὴρ *ἀγνοεῖν* εἰρήκει ποτὲ, *ὅπως καὶ δι' ἥντινα τὴν αἰτίαν ἡ τοῦ πάπα ἐξεκόπη ἀναφορά.* Ὅτι δὲ μάρτυρα ἑαυτὸν δίδωσιν ἀπαράγραπτον τοῦ τὸν πάππαν ἐν Κωνσταντινουπόλει πρὸ χρόνων πέντε καὶ τεσσαράκοντα μετὰ τῶν ἄλλων ἐν τῇ θείᾳ μυσταγωγίᾳ πατριαρχῶν ἀναφέρεσθαι, πόσην οὐ παρέξει τοῦτο τὴν σύστασιν τῷ λέγοντι, μὴ ὡς προηγούμενόν τι, καὶ μέγα, καὶ μόνον σκάνδαλον τῶν Ἐκκλησιῶν τὴν προσθήκην λογισθῆναι ἀρχῆθεν; Ἰδοὺ γὰρ κατὰ τὸ ταύτῃ πρόδηλον, ἡ τοῦ λέγοντος ἀξιοπιστία συνίστησιν, ἐπὶ τῶν ἡμερῶν αὐτοῦ τὴν τοῦ πάππα εἶναι ἀναφορὰν παρ' ἡμῖν.

7. Nos porro tempus examinantes, ex quo additio facta est, ad tempora Cerularii, quo et Antiochenus iste vitam celebris agebat, et dissidium, quod nunquam postea placari potuit, initium habuit, illud equidem reperire facile non est, quod non exacte teneamus imperatorem, sub quo Leo papa, nescio quas ob causas, et qua ratione additionem istam in Symbolo fieri decreverit. Verum illud a Monomachi imperio, sub quo jam dicta omnia peracta sunt, retrocedentes reperimus, a Constantis Heraclii nepotis imperio, sub quo et magnus Maximus florebat, qui quatuor centum ferme aut circiter anni numerantur, et tum veluti primum contradictionis principium de additione ætate sancti Maximi offendemus, eamque non ultra progressam, quod tantum qui Byzantii erant, papæ, qui præerat, synodalia decreta perstringerent. Offensionis vero tum obortæ causam eam esse, quod Orientales ob Monothelitarum hæresim infestarentur, idque apertissimum esse cognoscimus, et, ut quilibet alius cognoscere potest, qui non perfunctorie magni Maximi ad Marinum Cypri presbyterum epistolam percurrerit. Ex eo ad Photium ducentorum annorum spatium et multo plurium, per quod pax Ecclesiis arrisit, excurrit, qui rursus additionem calumniatur. Verum illius quoque causam non aliam plane agnoscimus, quam Photii per Romanum pontificem, res Ignatii tutantem e patriarchali sede ejectionem. Hinc enim ille, nec aliunde ingentia illa atque gravissima adversus Romanam Ecclesiam oblocutus est scripsitque. Et Photium quidem non zelo divino, sed rabie et simultate non bona percitum ad similia adactum fuisse, fusius in libro a nobis edito, et satis aperte demonstravimus. Quidquid tamen sit, neque tum obortum scandalum diuturniores moras habuit : sed idem auctor et progenuit, et radicitus exstirpavit, et magna, et tantum non œcumenica synodo correctionis veneno ad vulnus scandali medicas adhibuit manus.

B ζ'. Ἡμεῖς δὲ, τὸν χρόνον διασκοπούμενοι, ἐξ οὗ ἡ προσθήκη ἄχρι καὶ εἰς τὸν τοῦ Κηρουλαρίου, ἐν ᾧ καὶ αὐτὸς, οὗτος ὁ Ἀντιοχείας ἦκμαζεν, ὅθεν καὶ τὸ ἀδιάλλακτον τοῦ σχίσματος ἤρξατο, τοῦτον μὲν εὑρεῖν οὐ πάνυ εὐχερὲς ἔχομεν, διὰ τὸ μὴ σαφῶς ἡμᾶς τὴν βασιλείαν εἰδέναι, ἐν ᾗ ὁ πάππας Λέων τὴν προσθήκην τοῦ Συμβόλου, οὐκ οἶδα οἷς λόγοις, καὶ οἵῳ τρόπῳ γενέσθαι ἐπέκρινε· τὸν δὲ ἀπὸ τῆς τοῦ Μονομάχου βασιλείας ἐν ᾧ τὰ ῥηθέντα πάντα ἐγίνετο, εὑρίσκομεν κατ' ἀναπόδισμὸν μέχρι τῆς Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου ἀρχῆς, ἐφ' οὗ δὴ Κώνσταντος ὁ μέγας ἤκμαζε Μάξιμος, ὀλίγον ἢ οὐδὲν τοῦ τῶν τετρακοσίων ἀριθμοῦ ἀποδέοντα· καὶ πρώτην ὥσπερ ἀρχὴν ἀντιῤῥήσεως ἐπὶ τῇ προσθήκῃ ἐν ταῖς ἡμέραις τοῦ μεγάλου Μαξίμου γεγονυῖαν εὑρίσκομεν, καὶ ταύτην εἰς οὐδὲν πλέον προχεχωρηκυῖαν κατανοοῦμεν, ὅτι μὴ ἐς ὅσον μόνον τοὺς ἐν Κωνσταντινουπόλει τῶν τοῦ τότε πάππα ἐπιλαβέσθαι συνοδικῶν. Τὴν δ' ἀφορμὴν τοῦ τότε σκανδάλου, διὰ τὸ τοῦ Ἀνατολικοὺς ἐπὶ τῇ τῶν Μονοθελητῶν αἱρέσει διενοχλεῖσθαι κατὰ τὸ πάντη πρόδηλον εἶναι διαγινώσκομεν, ὡς ἔστι καὶ ἄλλον πάντα διαγνῶναι, τὸν μὴ παρέργως πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου ἐπιστολὴν τοῦ μεγάλου μετιόντα Μαξίμου. Χρόνος δ' ἐξ ἐκείνου ἐς Φώτιον τὴν διὰ μέσου ἄγων εἰρήνην, τῆς διπλῆς ἑκατονταέτους πολύ τι μέρος ὑπερελαύνων, καὶ πάλιν τὴν προσθήκην κακίζων εὑρίσκεται Φώτιος. Καὶ τὴν δὲ πάλιν τὴν ἀφορμὴν ἐκ τοῦ τὸν Φώτιον τοῦ πατριαρχικοῦ ἀπωθεῖσθαι θρόνου παρὰ τοῦ τῆς Ῥώμης προέδρου ἐπ' ἀντιλήψει τοῦ Ἰγνατίου εἶναι οὐκ ἀγνοοῦμεν. Ἐνταῦθεν γὰρ καὶ δι' οὐδὲν ἄλλο τὰ μεγάλα καὶ πάνδεινα κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἶπε, καὶ ἔγραψε Φώτιος. Καὶ ὅπως μὲν οὐ κατά τινα θεῖον ζῆλον, ἀλλὰ κατ' ἔριν οὐκ ἀγαθὴν εἰς τὰ τοιαῦτα Φώτιος προήχθη, πλατύτερον ἐν τῇ παρ' ἡμῶν ἐκτεθείσῃ βίβλῳ, καὶ πάνυ σαφῶς παρεστήσαμεν. Τέως δὲ οὐδὲ τὸ ἐπ' αὐτοῦ σκάνδαλον ἐπιπολὺ παρετάθη, ἀλλ' αὐτὸν καὶ γενέτορα ἔσχε, καὶ ἀναιρέτην, καὶ διὰ μεγάλης οὗτος καὶ ἀντικρὺς οἰκουμενικῆς συνόδου τῷ φαρμάκῳ τῆς διορθώσεως τὸ τοῦ σκανδάλου τραῦμα ἴασατο.

C

D

8. Itemque a Photio ad Cerularium tempus intercurrens, et septuaginta supra et centum annos exsuperans, tranquillum et placidissima pace

η'. Καὶ πάλιν ἐξ ἐκείνου καὶ ἐς τὸν Κηρουλάριον χρόνος ὁ διὰ μέσου τὸν ἑβδομηκοστὸν σὺν τῷ ἑκαστοστῷ ὑπερεκτεινόμενος, εἰρήνη βαθεῖα τὰς

Digitized by Google Распознавание текста ABK/FR

ἀμφοτέρας περιεχώρησεν Ἐκκλησίας. Ἀλλὰ καὶ τὸ ἐπ' αὐτοῦ δὴ τοῦ Κηρουλαρίου Μιχαὴλ σκάνδαλον ἐκ κοσμικῶν πραγμάτων ἔσχε τὰς ἀφορμὰς, ὡς μαθεῖν ἔστι τὸν πολυπραγμονῆσαι βουλόμενον, ἅπερ ἱστόρηται διακύκησας ὁ Ἰταλὸς Ἀργυρός. Τίς οὖν τῶν μὴ ὡς ἔτυχε ταῦτα καθιστορούντων, οὐκ ἂν ἐκ μόνου τῶν ἀριθμῶν τῶν χρόνων, ὧν διὰ μέσου κατ' ἄλλας ἀφορμὰς σκάνδαλον ἡ προσθήκη παρρησιαζομένη συνεστέλλετο πάλιν, καὶ ὑπεπόδιζε, διαγνοίη μὴ ταύτην εἶναι τὸ προηγούμενον καὶ μέγα καὶ μόνον σκάνδαλον τῶν Ἐκκλησιῶν; Διαγνοὺς δὲ ὁ τοιοῦτος ἁπλῶς οὕτω, καὶ ὡς ἐν παρέργῳ κατὰ καιροὺς εἰς ἀφορμὴν σκανδάλου προτείνεσθαι τὴν προσθήκην μεταξὺ Γραικῶν καὶ Λατίνων, καὶ παροράσθαι πάλιν αὐτὴν, ὡς ἔχουσαν ἴσως μέγα βλάβος οὐδὲν, πῶς οὐκ ἂν ἱλαρώτερον διατεθείη τοῖς τὴν ἕνωσιν αὐτῶν ἐπισπεύδουσι; Τοίνυν καὶ ἡμῖν ταῦτα πάντα ἀπηριθμήθη, αὐτὸ βουλομένοις συστῆσαι, τὸ μὴ οὕτω μέγα καὶ τοῖς πρὸ ἡμῶν ὡς τοῖς νῦν τὸ τῆς προσθήκης αἴτιαμα κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας λογίζεσθαι, ὡς ἂν ἐντεῦθεν καὶ παραστήσαιμεν μὴ οὕτω ἡμᾶς ἐκκυλισθῆναι τοῦ δέοντος, ὡς τοῖς ἀντιδικοῦσι δοκεῖ, δι' ἣν σπουδὴν ἐπὶ τῇ τῶν Ἐκκλησιῶν ἑνώσει ἐνεδειξάμεθα.

θ'. Εἰ δέ γε μικρὸν ἡμεῖς ὑπερθέσθαι προθέμενοι τὸν ἐπὶ τοῖς δογματικοῖς ἡμῶν λόγοις ἀπόλογον, καὶ ὅσον τὸ ἡμῶν φιλορώμαιον παραστῆσαι ἐπὶ πλέον τάχα ἢ προσῆκε, τὴν ὑπερηγορίαν τὴν ταύτης ἡμῶν ἐποιησάμεθα φιλορωμαιότητος, ἅτε τὴν ὕλην εὐχερῶς ποριζομένου τοῦ λόγου, καὶ ἔτι πλείω τοῖς ῥηθεῖσιν ἐπισυνείρειν οὐκ ἀποροῦντος, εἰ μή γε ἀναγκαιότερος ἡμῖν ἐδόκει ἀγὼν ὁ ὑπὲρ τῶν δογματικῶν ἀπόλογος συγγνώμην ἐπὶ τούτῳ αἰτοῦμεν. Τὴν μέντοι ἀνωτέρω γενομένην κἀκ τούτων πάντων συγκροτουμένην, τὴν τῶν ἀντιδοκούντων ἀπόδειξιν μισορωμαιότητος, εἰς μνήμην ἄγοντές σοι καὶ πάλιν τῷ δικαστῇ τε καὶ ἀκροατῇ, ἵνα λοιπὸν ἀπάρτι, καὶ ἣν ἐπὶ τῇ προδοσίᾳ τῆς αὐτῶν εὐσεβείας ὑπέστημεν, προστεθῇ, γινώμεθα δὴ καὶ πρὸς τῷ ἐπηγγελμένῳ ἐλέγχῳ ὧν ἐπὶ ταῖς θεολογικαῖς οὗτοι νεοφανῶν ποιοῦνται ῥήσεων ἐξηγήσεων. Τί γάρ ἐστιν ὃ τῶν ἄλλων πάντων ὕστερον ἐφευρόντες φασί; *Τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον οὐ φασι, τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν σημαίνειν τοῦ Πνεύματος, ἀλλὰ τὸ διὰ τοῦ Υἱοῦ διήκειν αὐτὸ ἐκπορευόμενον ἐκ Πατρός.* Ἐγὼ δὲ τί ἐστι τὸ *διήκειν* τοῦτο οὐκ οἶδα, καὶ ὅθεν αὐτοῖς ἡ τοῦ *διήκειν* τούτου ἔννοια ἦκε, διαπορῶ. Καὶ πάντα λογισμὸν ἔνδον ἀνακινῶν, εἰ πῶς ἂν ἔξω, κἂν γοῦν ἀμυδρῶς τι νοήσαι περὶ αὐτοῦ οὐδέν τι πλέον τῆς ἀπορίας ἔχων εὑρίσκομαι· πλὴν εἰ μή τινα ῥύσιν νοοῦσι θεότητος καθ' ἣν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα προΐεναι ἐροῦσιν. Ἀλλὰ τοῦτο τῆς τῶν λεγόντων οὐκ ἔστι συνέσεως. Συνετοὺς γὰρ εἶναι τοὺς ἄνδρας ὁμολογῶ, ἀληθῶς μέντοι ὑπὸ κακίας ἀμαυρουμένους τὴν σύνεσιν. Ὅτι δὲ ὄντως γε συνετοὶ, σφόδρα διαπορῶ, ὅθεν οἱ τοιοῦτοι ὄντες κινούμενοι τὴν λέξιν ταύτην τοῦ, *διή-*

A salutare Ecclesiis effulsit. Sed et scandalum sub Michaele Cerulario prognatum sæcularia negotia peperere, ut curiosus addiscere poterit ex iis, quæ perturbasse admodum in historia traditur Argyrus Italus. Quis igitur ex iis, qui similia mature diligenterque percurrunt, vel ex sola annorum enumeratione, per quos aliis atque aliis scandalorum causis obortis, additio hæc in publicum educta, audacterque exprobrata atque objecta, rursus comprimebatur et retrocedebat, non dijudicabit, eam non fuisse, neque præcedens, neque magnum, neque solum Ecclesiarum scandalum? Et cum plane cognoverit, temere et quasi aliud agentes ad inchoanda promovendaque scandala inter Græcos et Latinos additionem objectasse, rursusque denuo eamdem neglexisse, quasi ipsa nullam in se noxam B occluderet, annon hilarius affectus eos, qui unionem affectant, amplexabitur? Hæc singula itaque a nobis commemorata sunt, ut illud comprobaretur, non ita gravem additionis accusationem erga Romanam Ecclesiam iis, qui ante nos fuere, quemadmodum iis, qui nunc vitam agunt, existimatam fuisse: illudque præterea non ita nos a recto atque decoro dimotos fuisse, ut adversariis videtur, cum studia nostra pro unione Ecclesiarum ineunda collocavimus.

9. Quodsi paululum nos de dogmatibus sermonem, et de iis responsionem differre proponentes, tantumque ut nostram in Græcam nationem benevolentiam probaremus, fusius nihilominus longiusque quam addecebat, nostræ in Græcos benevolentiæ defensionem protraximus, materiam nobis oratione suppeditante, et plura præterea dictis superaddere in promptu habente, nisi nos magis necessarium certamen ad se vocaret, de dogmatibus nempe responsio, si quid erratum in hoc est, æquo animo ignoscite. Supra porro firmatam, et his omnibus constabilitam de adversariorum in Græcos odio demonstrationem in memoriam tibi rursus judici et auditori revocantes, et nunc suo ordine quam pro eorumdem pietatis proditione noxam sustinuimus, adjiciatur, apponamus jam manus promissæ refutationi novarum interpretationum, quas illi de theologicis dictis pronuntiant. Quid enim est, quod nunc demum omnium postremum commenti sunt? *Ex Patre per Filium Spiritum sanctum procedere asserunt, non notare ex Patre per Filium exsistentiam Spiritus, sed per Filium pervadere ipsum ex Patre procedentem.* Ego vero, quidnam sit hoc *pervadere*, nondum novi, et undenam ipsis hujuscemodi persuasionis cogitatio in mentem advenit, nondum capio, et omnia animo circumvolvens, ut ipsius vel imbecillam sententiam assequar, nihilo minus in eadem semper dubitatione atque obscuritate circumvolvor: nisi ipsi fluxum quemdam Deitatis intelligant, secundum quem ex Patre per Filium Spiritum procedere dicunt. Verumtamen hoc asserentium prudentiæ evidenter adversatur. Fateor siquidem prudentes homines esse, licet improbitate eorumdem vere

Digitized by Google Распознавание текста АВК/FR

prudentia obscuretur. Quoniam vero nihilominus prudentes sunt, diu mecum multumque suspensas habeo rationes, undenam similis sortis homines moti *pervadendi* dictionem adinvenerint, ad sanctissimi et vitæ principis Spiritus ex Patre per Filium essentialem exsistentiam destruendam, et cum multa curiosius examino, tandem anteceptam animo opinionem similium inventionum causam esse dijudico. Et quodnam aliud a recto securoque judicio unquam aberrare faciet animum, qui alias prudenter de incidentibus judicium ferre potest? Et hujus signum certissimum est, quod non apud aliquos hoc modo, apud alios vero alio, de dissidio Latinorum atque Græcorum propter res ecclesiasticas enuntiatur, sed apud omnes uno ore asseritur, eadem in lance esse, a pietate abscedere, et Latinos pietatem colere asseverare. Intervallum siquidem schismatis adeo longum vesanam hanc opinionem corroboravit, ut quidam cum de congressu atque dissidio, vel aliqua alia actione, in quibus Latinus et Græcus conveniunt, sermonem habent, sic pronuntient, Christianus quidam et Latinus hunc vel in hunc modum, hoc vel illud inter se collocuti sunt aut peregerunt.

10. Quando igitur omnes nostri animo ita præoccupati sunt, ut ad differentiam Christiani Latini nomen contra opponant, quid ibi prorsus excogitari poterit satis ad utrasque partes conciliandas? Quid vero hæc profero de iis, qui similia et dicere, et inquirere apti sunt, ubi et mulieres et pueri adhuc in gynæceis immorantes, et viri, qui nihil præter agriculturæ et vilis alicujus artificii scientia pollent, in maximo scelere ponunt, et de crimine eos accusant, qui vel hiscere audent, ad ecclesiasticam pacem comprobandum? Quod enim inter sanctos in theologicis scientissimum reperi, Gregorium, inquam, Nyssenum, de exsistentia Filii Dei, quæ ea ætate in controversia erat dicentem: *Abiit quispiam in balineum, non quomodo ex balineo Dominus suus utilitatem capiat, discere inquirit, sed an ex iis, quæ non sunt, an vero ex iis quæ sunt, Filius sit, interrogat. Abiit alius in macellum, et non quantum sit illius pretium, quod venale proponitur, indagat, sed quæstionem de iis quæ sunt, et de iis quæ non sunt cum iis, qui ibi reperiuntur, movet*; hoc etiam nunc in omnibus et per omnia fere peragi comperio, et pueri in ludis litterariis, et mulieres in convictibus inter se fusi colique gratia, necnon agricolæ cæterique alii, vilibus artificiis addicti, unum idque prius et potius habent, dijudicare et inquirere de iis, qui Spiritum ex Filio adstruunt. Quibus itaque tu, quem oratio judicem appellat et cognitorem, nos subjacere opinaris, qui a mulieribus et pueris, alioque similium homuncionum genere in examen vocamur, quod Romanæ nostram Ecclesiam conciliare conamur, et ab eo, quod par est, ne hilum quidem decedere putamus, licet illi dicant, Spiritum ex Patre et Filio procedere, nostri vero, qui res theologicas tractaverunt sancti Patres, ex Patre et Filio eum emergere, præterea effundi et exsilire, nonnullis etiam in locis, naturaliter et es-

A *κειν, ἐφεῦρον, εἰς ἀναίρεσιν τάχα τῆς δι' Υἱοῦ ἐκ Πατρὸς οὐσιώδους ὑπάρξεως τοῦ παναγίου καὶ ζωαρχικοῦ Πνεύματος. Πολλὰ δὲ τὸν περὶ τούτου πολυπραγμονῶν λόγον, μόλις τὸ προκατειλημμένον τῇ δόξῃ αἴτιον εἶναι τῶν τοιούτων ἐφευρημάτων διαγινώσκω. Καὶ τί γὰρ ἄλλο τῆς ἀσφαλοῦς διαγνώσεως ἀποπλανήσει ποτὲ ψυχήν, συνετῶς διακρίνειν τὰ παρεμπίπτοντα δυναμένην; Καὶ τούτου ἐχέγγυον ἀσφαλὲς ἔχω τὸ μὴ παρὰ μὲν τοῖς οὕτω τὴν ἐπὶ τοῖς ἐκκλησιαστικοῖς λογίζεσθαι Γραικῶν καὶ Λατίνων διάστασιν, παρὰ δὲ πᾶσιν ἁπλῶς ἴσον λογίζεσθαι τῆς εὐσεβείας ἐκπεσεῖν, καὶ Λατίνους εἰπεῖν εὐσεβεῖν. Τοσοῦτον γὰρ τὸ τοῦ σχίσματος χρόνιον τὴν ἄλογον ταύτην ἐπεκράτυνε δόξαν, ὥς τινα;*

B *περὶ συνελεύσεως ἢ διαστάσεως ἄλλης ἠστινοσοῦν διαθέσεως Λατίνων καὶ Γραικῶν εἰπεῖν βούλεσθαι, καὶ λέγειν ὡς Χριστιανός τις καὶ Λατῖνος οὕτως, ἢ τόδε ἢ τόδε πρὸς ἀλλήλους εἶπον, ἢ διεπράξαντο.*

ι'. *Ὅπου γοῦν ἐς τοσοῦτον πάντως τῶν ἡμετέρων προκατελήφθησαν, ὡς εἰς διαστολὴν Χριστιανοῦ τὸ τοῦ Λατίνου λογίζεσθαι ὄνομα, τί ἂν ὅλως ἐκεῖ λογισθείη πρὸς καταλλαγὴν τῶν ἀμφοτέρων μερῶν ἱκανόν; Καὶ τί λέγω περὶ τοιαῦτα λέγειν καὶ ζητεῖν ἀξίων, ὅπου καὶ γυναῖκες καὶ παῖδες, ἔτι περὶ τὴν γυναικωνῖτιν ἀναστρεφόμενοι, καὶ ἄνδρες τῶν ὅλως οὐδὲν γεωργικοῦ ἢ ἄλλου τινὸς βαναύσου βίου*

C *πλέον εἰδότων μεγάλου ἐγκλήματος κρίνουσι, τοὺς μικρὸν γοῦν τι τολμῶντας ὑπογρύξαι πρὸς τὴν τῆς ἐκκλησιαστικῆς εἰρήνης συναίνεσιν; Ὅπερ γὰρ τὸν ἐν ἁγίοις θεολογικώτατον εὗρον, τὸν Νυσσης λέγω Γρηγόριον, περὶ τῆς κατ' ἐκεῖνο καιροῦ λογοποιούμενον ὑπάρξεως τοῦ Υἱοῦ τοῦ Θεοῦ λέγοντα· οὕτος γάρ, Ἀπῆλθέ τις ἐς βαλανεῖον, φησὶ, καὶ οὐχ ὅπως ἕξει θεραπείαν ὁ Κύριος αὐτοῦ ἐκ τοῦ βαλανέως μαθεῖν ἀπαιτεῖ, ἀλλ' εἰ ἐξ ὄντων ἢ ἐξ οὐκ ὄντων ὁ Υἱος, ἐρωτᾷ. Καὶ ἀπῆλθέ τις ἐς*

D *τὴν μακέλλην, καὶ οὐχὶ πόσον τιμᾶται τὸ ἐπ' αὐτῆς προτιθέμενον ὤνιον, λογοπραγεῖ, ἀλλὰ τὸ ἐξ ὄντων καὶ ἐξ οὐκ ὄντων εἰς ζήτησιν μετὰ τῶν ἐκεῖ εὑρισκομένων προτίθεται·* τοῦτο καὶ νῦν ἐν πᾶσι καὶ διὰ πάντων σχεδὸν εὑρίσκω γινόμενον, καὶ παῖδες μὲν ἐς διδασκαλεῖα, γυναῖκες δὲ ἐν αἷς ποιοῦνται συνδιαγωγαῖς μετ' ἀλλήλων ἡλακάτης ἕνεκα καὶ ἀτράκτου, ἔτι δὲ γεωργοὶ καὶ ἄλλο πᾶν ὁτιοῦν μετιόντες βάναυσον ἐπιτήδευμα, ἐν οὕτοι πάντες τῶν μετὰ χεῖρας τίθενται προὐργιαίτερον τὸ ἀνακρίνειν καὶ πολυπραγμονεῖν περὶ τῶν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα εἶναι λεγόντων. Τί οὖν σὺ, ὃν ὁ παρὼν ἐμὸς λόγος εἰς δικαστὴν προκαλεῖται, καὶ διαγνώμονα, πάσχειν ἡμᾶς οἴει, ὑπὸ γυναικῶν, καὶ παίδων, καὶ ἄλλων τοιούτων ἀνακρινομένους ἀνθρωπαρίων, ἐφ' οἷς ἡμεῖς τῇ Ῥωμαϊκῇ τὴν καθ' ἡμᾶς Ἐκκλησίαν ὑπετιθέμεθα σπένδεσθαι, καὶ τοῦ εἰκότος μηδὲν οἴεσθαι διαμαρτάνειν, διὰ ἐκείνους μὲν λέγειν, τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, τοὺς δὲ παρ' ἡμῖν θεολογικοὺς πάντας ἁγίους ἐκ Πατρὸς καὶ

Digitized by Google Распознавание текста ABK/FR

Υἱοῦ προΐέναι αὐτό, ἔτι δὲ προχεῖσθαι, καὶ πηγάζειν, ἔστι δὲ οὗ φυσικῶς, καὶ οὐσιωδῶς ὑπάρχειν ἐκ Πατρὸς καὶ Υἱοῦ; Πόθεν μοι λόγων ἀναστομωθήσονται φλέβες, ὡς ἂν ἱκανῶς τὰ τοιουτοτρόπως προστριβόμενά μοι σκώμματα διηγήσωμαι; Κατὰ γὰρ τὸν Δαυὶδ εἰπεῖν, *Οἱ καθήμενοι ἐν πύλαις κατ' ἐμοῦ ἠδολέσχουν, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον* · ἀλλ' ἡμεῖς μὲν Θεοῦ συναιρομένου ἠνέγκαμεν ταῦτα, μανίαν δήμων ὑπέστημεν, θυμοῦ κοσμικῶν ἀρχόντων ἔργον γεγόναμεν, βάρος ἀδίκου ἀποφάσεως ἐβαστάσαμεν.

ια'. Σὺ δ' ἐπὶ Θεῷ τῇ ἀληθείᾳ; ἐφόρῳ καὶ μάρτυρι δίκασον ἀρρεπῶς, εἰ δίκαια ταῦτα, εἰ ἀληθῶς, καὶ ὡς ἔδει, πεπόνθαμεν, ἄνθρωποι, μηδὲν μὲν ἐφ' οἷς ἡ καθ' ἡμᾶς Ἐκκλησία ἐνασμενίζει ἔθεσι νεοχμοῦντες, τὴν εὐσέβειάν τε συντηρεῖν ἀπὸ τῶν θείων ἀποδεικνύντες Γραφῶν, τὴν δὲ μετὰ τοῦ μεγαλοδυνάμου τῶν Λατίνων ἔθνους εἰρήνην καὶ ὁμόνοιαν, διὰ μεγάλην τῆς ἡμῶν ἀρχῆς καὶ βασιλείας ὠφέλειαν συνεργοῦντες. Δίκασον μὲν οὖν, ὡς ἄρα καὶ βούλει, σὺ ἐπὶ τούτοις. Ἐγὼ δὲ καὶ τῶν νέων θεολόγων ἐπιβολὰς, ἃς τῶν ἄλλων τάχα ἰσχυροτέρας ἐκ νέου ἐφεῦρον, ἐπεξεργασαίμην ἄν, ὡς καὶ προσεθέμην. *Τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, οὗ φασι τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν σημαίνειν τοῦ Πνεύματος, ἀλλ' οὕτω λέγεσθαι τοῦτο, ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα διήκει.* Καὶ εἰ μέν τι ἄλλο πρὸς σαφήνειαν τῆς *διήκειν* λέξεως ἔχουσι λέγειν, αὐτοὶ λεγόντων, καὶ εἰς οἰκείαν προτεινόντων δεφένδευσιν· εἰ δὲ ἀφ' ἡμῶν μαθεῖν βούλονται, ὅπως ἡμεῖς τὴν λέξιν ταύτην καταδεχόμεθα δέξασθαι τῶν ἄλλων γραφικῶν ῥήσεων ἐπαξίως, ὅσαι τὴν δι' Υἱοῦ ἐκ Πατρὸς τοῦ παναγίου δηλοῦσι Πνεύματος ὕπαρξιν ἡμῶν λεγόντων, ἀκουόντων αὐτοὶ, ὡς ὀπηνίκα ἡμεῖς τὸν ἅγιον Κύριλλον ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν, *ἐν τῷ Υἱῷ φυσικῶς τε καὶ οὐσιωδῶς διῆκον παρὰ Πατρὸς τὸ Πνεῦμα* θεολογοῦντα εὑρίσκομεν, οὐδὲν ἄλλο συνορᾷν ἔχομεν, ἢ ὅτι οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ἐκ τοῦ Πατρὸς, πρὸς ὃν πάντα τὰ ἑαυτοῦ ἀναφέρει ὁ Υἱὸς, τὸ Πνεῦμα ἔχων ἐστί. Καὶ ὅταν τῷ μεγάλῳ Βασιλείῳ ἐν τῷ δεκάτῳ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων ἐντυγχάνωμεν λέγοντι ὡς *Ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ βασιλικὸν ἀξίωμα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Μονογενοῦς ἐπὶ τὸ Πνεῦμα διήκει*, οὐδὲν ἄλλο νοοῦμεν, ἢ ὅτι οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ἐκ τοῦ Πατρὸς, πρὸς ὃν πάντα τὰ τοῦ Πνεύματος ἀναφέρεται, ταῦτα πάντα διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἔχει τὸ ἅγιον, ὥσπερ καὶ τὴν φυσικὴν καὶ οὐσιώδη ἑαυτοῦ ὕπαρξιν. Εἰ μὴ γὰρ τὴν τοιαύτην διὰ τοῦ Υἱοῦ ὕπαρξιν εἶχεν, οὐκ ἂν διὰ τοῦ Υἱοῦ καὶ ταῦτα ἔχειν ἐλέγετο.

ιβ'. Καὶ τί τοσαῦτα περὶ τοῦ *διήκειν* φαμὲν, ἐνὸν διὰ πολλῶν ἄλλων ῥήσεων γραφικῶν ἀναπάντητα παραστῆσαι μηδὲν ἄλλο ἢ τὴν δι' Υἱοῦ ἐκ Πατρὸς τοῦ παναγίου Πνεύματος ὕπαρξιν τὴν δι' Υἱοῦ σημαίνειν ἐκπόρευσιν; Ὁ γὰρ θεῖος καὶ μέγας ἀλη-

A sentialiter, ex Patre et Filio? Undenam mihi sermonum venæ aperientur, ut dicteria, quæ in me simili modo jaciuntur, narrare queam? ut cum Davide eloquar, *Qui sedebant in portis contra me garriebant, et in me canebant bibentes vinum*[1]; sed nos auxiliante Domino omnia toleravimus, populorum rabiem sustinuimus, sæcularium principum iracundiæ negotium ac studium facti sumus, injusti decreti pondus portavimus.

11. Tu porro ante Deum veritatis præsidem et testem judica, neutram in partem inclinans, an juste hæc, vere et ut addecebat passi sumus nos, qui nihil in iis, quas nostra Ecclesia amplectitur B consuetudines, innovamus, et pietatem divinarum Scripturarum testimoniis demonstramus, pacem vero et concordiam cum Latinorum gente præpotente ob magna nostri dominatus atque imperii commoda procuramus. Judicium itaque tu, ut allubescit, de hisce ferto. Ego autem novorum theologorum aggressiones et conatus, quos cæteris validiores ab ipsa juventute adnotavi, sicuti mihi proposui, expediam. *Ex Patre per Filium Spiritum procedere* inquiunt *non notare ex Patre per Filium Spiritus exsistentiam, sed ita dici, quod ex Patre per Filium Spiritus pervadit.* Quod si quid aliud habent ad dictionis *pervadendi* majorem explanationem, in conspectum ac lucem ipsi proferant, et in propriam defensionem proponant. C Quod si a nobis discere cupiunt, ut nos dictionem illam, et quo significatu accipimus, ab aliis scripto traditis dictionibus non alieno, quæ per Filium ex Patre sanctissimi Spiritus exsistentiam astruunt, nos audiant, cum apud sanctum Cyrillum in Thesauris, *in Filio naturaliter et essentialiter pervadere ex Patre Spiritum*, traditum comperimus, nihil aliud intelligere, nisi non ex seipso, sed ex Patre, ad quem omnia sua refert Filius, Spiritum habere: et cum nobis magnus Basilius in decimo octavo ad Amphilochium capite occurrit, dicens: *Naturalis bonitas et quæ secundum naturam est, sanctificatio et regia dignitas ex Patre per Unigenitum ad Spiritum pervadit*, tantummodo comD prehendere, non a seipso, sed ex Patre, ad quem omnia Spiritus referuntur, ea omnia per Filium possidere Spiritum sanctum, quemadmodum naturalem et essentialem suam exsistentiam. Nisi enim similem per Filium exsistentiam haberet, nunquam illa per Filium habere diceretur.

12. Et quid tot de dictione *pervadendi* aggerimus, cum liceat multis aliis scripto traditis testimoniis absque ulla contradictione probare, nihil aliud per Filium ex Patre sanctissimi Spiritus exsistentiam notare, quam processionem per Filium?

[1] Psal. LXVIII, 13.

Digitized by Google Распознавание текста ABK/FR

Divinus siquidem et vere magnus Athanasius scribit, *Haud poterat in Trinitatis gloria Spiritus glorificari, nisi processione esset ex Patre per Filium, sed ex Deo factus, ut inquiunt.* Annon qui hæc cognoscis auditor, quæ sunt exsistentiæ Spiritus hic decernit, et quam Ariani ex creatione referebant generationem, ipse in processionem Deo addecentem adduxit, aut etiam quod ab his *pervadere* dicitur manifestat? Sanctus Cyrillus: *Sanctum vero Spiritum nuncupabis, qui ex Deo Patre per Filium effunditur naturaliter, et veluti in similitudine ex oribus spirationis propriam nobis exsistentiam denotat.* Estne reliquum quidpiam in dictæ exsistentiæ significationem? Nyssenus item: *Hoc quidem est immediate ex primo, hoc vero per id, quod contiguum et immediatum est ex primo*, diversumne hic modum exsistentiæ utriusque causati, an aliud quid præter hunc innuit? Prorsus nullum. Et illud, *Quod contigue et immediate ex primo*, loco illius *pervadere* assumunt. Et si illud, *Quod contigue ex primo est*, de illius exsistentia dicitur, plane et quod illi respondet *vero* exsistentia, et non illud quod ab ipsis enuntiatur, *pervadere* significat. Cum vero divinus Damascenus *productorem omnia manifestantis Spiritus per Verbum Patrem* vocat, productio ista per Filium estne naturalis et essentialis Spiritus exsistentia, an memoratissimum hoc eorum *pervadere*? Quid enim differt productorem aut causam Spiritus per Verbum Patrem assereré? Prorsus qui veritatem in honore habet, nihil ipsa differre enuntiabit. Et si per Filium ex Patre exsistentia sanctissimi Spiritus non esset, quando fons Spiritus Filius dictus fuisset?

13. Verumtamen dicet, Si probe cui cognomentum ex theologia est, in imaginem divinæ Trinitatis exemplum ex sole desumpsit, haud fas est dicere, ex Patre exsistentiam per Filium Spiritum sanctum habere, cum neque per radium lumen exsiliens, ex sole exsistentiam habeat. De his itaque quid opinabitur quispiam quam suæ opinionis amantem, et plane vesanam contentionem esse? Neque enim mihi suadeo, eos veritatis ignaros, sed multitudini præconceptæ opinioni deditæ adulantes, ad similia deferri. Quis etenim, si mente intellectuque polleat, per radium productionem luminis, non illius per radium exsistentiam affirmabit? Nam si per radium ex sole luminis exsistentia non esset, nunquam radii lumen, lumen ipsum diceretur: at nunc et lumen radii, et ex radio, lumen dicimus; et hoc non aliunde quam quod per illum sui exsistentiam habet. Vel undenam, dicito mihi, duo causata, duo scilicet radii ex uno sole sunt: pari modo duo causata ex eodem sole, radius et lumen, et de duobus radiis dici nequit, radii, aut per radium, aut ex radio ipsorum alterum, quod de radio et lumine, lumen radii, et per ipsum et ex ipso asseritur? Ego porro existimo, quicunque sal in pectore habet, cum absque ulla

A θῶς Ἀθανάσιος ἐν οἷς φησιν, Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς δι' ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν. Ἆρ' οὖν, διαγνῶμον ἀκροατὰ, τὰ περὶ τῆς τοῦ Πνεύματος ὑπάρξεως θεολογεῖ, ἣν Ἀρειανοὶ μὲν εἰς τὴν ἐκ ποιήσεως διαφέρον γένεσιν, αὐτὸς δὲ εἰς πρόοδον ἀνῆγε Θεῷ πρέπουσαν, ἢ τὸ παρ' αὐτῶν λεγόμενον *διήκειν* ἐν τούτοις δηλοῖ; Ὁ ἅγιος Κύριλλος, ἐν οἷς λέγει, Ἅγιον δὲ Πνεῦμα προσερεῖς, τὸ ἐκ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν, ἀφίησί τι λεῖπον ἕτερον εἰς τὴν τῆς εἰρημένης ὑπάρξεως δήλωσιν; Ὁ Νύσσης ἐν οἷς φησι· Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ B πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, τὸν διάφορον τῆς τῶν ἑκατέρων αἰτιατῶν ὑπάρξεως τρόπον, ἢ ἄλλο τι παρὰ τοῦτον σημαίνει; Πάντως γὰρ οὐχί. Καὶ τὸ, Τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, εἰς τὸ *διήκειν* ἐκλήψονται· εἰ δὲ τὸ, Τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, περὶ τῆς αὐτοῦ ὑπάρξεως εἴρηται, καὶ ὁ πρὸς τὸν μὲν ἀποδιδόμενος δὲ ὑπάρξεως, καὶ οὐ τοῦ παρ' αὐτοῖς λεγομένου *διήκειν*, σημαντικός ἐστιν. Ὅταν δὲ ὁ θεῖος Δαμασκηνὸς *προβολέα τοῦ ἐκφαντορικοῦ Πνεύματος διὰ τοῦ Λόγου τὸν Πατέρα* καλεῖ, ἡ προβολὴ αὕτη ἡ διὰ τοῦ Υἱοῦ φυσικὴ καὶ οὐσιώδης τοῦ παναγίου Πνεύματος ὕπαρξις. ἢ τὸ πολυθρύλλητον *διήκειν* ἐστί; Τί γὰρ διαφέρει προβολέα ἢ αἴτιον τοῦ Πνεύ- C ματος διὰ τοῦ Λόγου τὸν Πατέρα εἰπεῖν; Πάντως ὁ τιμᾷν τὴν ἀλήθειαν εἰδὼς διαφέρειν ἐρεῖ ταῦτα μηδέν. Καὶ εἰ μὴ διὰ τοῦ Υἱοῦ ἡ ἐκ Πατρὸς ὕπαρξις τοῦ παναγίου Πνεύματος ἦν, πότε ἂν πηγὴ τοῦ Πνεύματος, ἐῤῥέθη ὁ Υἱός;

ιγ'. Ἀλλ' εἰ καλῶς, φησὶν, ὁ τῆς θεολογίας ἐπώνυμος εἰς τὴν τῆς θείας Τριάδος εἰκόνα τὸ κατὰ τὸν ἥλιον παράδειγμα ἐξελάβετο, οὐκ ἔστιν εἰπεῖν, δι' Υἱοῦ τὴν ἐκ Πατρὸς ὕπαρξιν τὸ Πνεῦμα ἅγιον ἔχειν τὸ ἐπεὶ μηδὲ τὸ διὰ τῆς ἀκτῖνος προϊὸν φῶς ἐξ ἡλίου δι' αὐτῆς τὴν ἐκεῖθεν ὕπαρξιν ἔχει. Τί γοῦν ἄλλο πρὸς ταῦτα ἔστιν οἰήσασθαι ἢ ἐθελογνώμονα τῶν ταῦτα λεγόντων καὶ παράλογον πεισμονήν; Οὐ γὰρ ἀγνοεῖν τὸ ἀληθὲς αὐτοὺς πείθομαι, τοῖς δὲ τὸ προκατειλημμένον τῇ δόξῃ πάσχουσι πλήθεσι χαρι- D ζομένους, πρὸς τὰ τοιαῦτα ἐκφέρεσθαι. Τίς γὰρ φρένας ἔχων καὶ νοῦν τὴν διὰ τῆς ἀκτῖνος πρόοδον τοῦ φωτὸς μὴ τὴν δι' αὐτῆς ὕπαρξιν αὐτοῦ εἶναι ἐρεῖ; Εἰ γὰρ μὴ διὰ τῆς ἀκτῖνος ἡ ἐξ ἡλίου τοῦ φωτὸς ὕπαρξις ἦν, οὐκ ἄν ποτε τῆς ἀκτῖνος φῶς ἐῤῥέθη τὸ φῶς· νῦν δὲ καὶ φῶς ἀκτῖνος, καὶ ἐκ τῆς ἀκτῖνος τὸ φῶς λέγομεν· καὶ τοῦτο οὐκ ἄλλοθεν ἀλλ' ἢ ἐκ τοῦ τὴν ὕπαρξιν δι' αὐτῆς ἔχειν αὐτό. Ἢ πόθεν, εἰπέ μοι, δύο αἰτιατὰ ἐξ ἑνὸς ἡλίου αἱ δύο ἀκτῖνές εἰσιν· ὡσαύτως δὲ δύο αἰτιατὰ ἐκ τοῦ αὐτοῦ ἡλίου, ἀκτίς τε καὶ φῶς, καὶ ἐπὶ μὲν τῶν δύο ἀκτίνων λέγειν οὐκ ἔστι τῆς ἀκτῖνος, ἢ διὰ τῆς ἀκτῖνος, ἢ ἐκ τῆς ἀκτῖνος τὴν ἑτέραν αὐτῶν, ἐπὶ δὲ τῆς ἀκτῖνος καὶ τοῦ φωτὸς τὸ φῶς; τῆς ἀκτῖνος, καὶ δι' αὐτῆς, καὶ ἐξ αὐτῆς λέγεται; Εἰωγε οἶμαι πάντα τὸν, ὡς εἴρηται, νοῦν ἔχοντα συνθέσθαι

Digitized by Google Распознавание текста АВК/FR

ἀναντιῤῥήτως δι' ἄλλο μηδὲν ἀλλ' ἢ διὰ τὸ τὴν ὕπαρξιν διὰ τῆς ἀκτῖνος ἔχειν τὸ φῶς. Ὅθεν καὶ τὸ κωλύον οὐδὲν καὶ πηγὴν φωτὸς τὴν ἀκτῖνα εἰπεῖν. Ἔτι δὲ πόθεν, εἰπέ μοι, ἐπὶ μὲν τῶν δύο αἰτιατῶν ἀκτίνων ἔστι, τὴν ἑτέραν τῆς ἑτέρας ἐπινοῆσαι χωρὶς, ἐν τῷ ἅμα προϊέναι αὐτάς, ἐπὶ δὲ τῶν δύο τούτων αἰτιατῶν τῆς ἀκτῖνος καὶ τοῦ φωτὸς οὐκ ἔστι τὸ ἕτερον τοῦ ἑτέρου ἐπινοῆσαι χωρίς; Πάντως καὶ τοῦτο οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τοῦ τῶν μὲν ἀκτίνων μηδεμίαν τῆς ἑτέρας χρῄζειν πρὸς ὕπαρξιν, τὸ δὲ φῶς κατὰ πᾶσαν τὴν ἀνάγκην τῆς ἀκτῖνος εἰς τὴν οἰκείαν ὕπαρξιν χρῄζειν. Ἄνελε γὰρ ἀκτῖνα, καὶ φῶς ἡλιακὸν οὐκ ἔσται. Ἀλλ' οὐδέ τι τῶν ὅσα φωτοβόλα εἰσὶν ἄνευ τῆς αὐτῷ φυσικῶς προσούσης ἀκτῖνος, ὡς ἐπὶ τῶν ἄλλων ἀστέρων, καὶ ἐπ' ἀνθράκων ἔστιν εἰδεῖν, τὸ οἰκεῖον ἀφίησι φῶς. Τὸ γοῦν οὗ χωρὶς τόδε εἶναι οὐ δύναται, πῶς οὐκ εἰς τὴν τοῦδε ὕπαρξιν ἐν τῷ δι' Υἱοῦ φωνῇ ἐκληφθήσεται;

ιδ'. Καὶ ἡμεῖς μὲν ἔχομεν ἃ λέγομεν, κἀξ ἑτέρων γραφικῶν συστῆσαι παραδειγμάτων· ἐπεὶ δὲ αἱ παρὰ τῶν ἐχθρῶν μαρτυρίαι τὸ ἀξιοπιστότερον ἐπάγονται πανταχοῦ, τί ἂν ἐροῦσι, φαμὲν, ὅταν τὸν ἐπὶ τῇ κατὰ τῶν Ἰταλῶν ἀντιῤῥήσει τὴν τῆς παρ' αὐτῷ ἀνοματοθέτῃ ἱερᾷ Ὁπλοθήκῃ ὀνομασθείσῃ συγγραψάμενον βίβλον, τὸν Καματηρὸν λέγω ἐκεῖνον, εὑρίσκουσιν ἐν τῇ ἐπιστασίᾳ τοῦ λέγοντος ῥητοῦ, *Ἐκ Πατρὸς τὸ Πνεῦμα δι' Υἱοῦ προχεόμενον φυσικως*· οὕτως αὐτολεξεὶ λέγοντα, *Σημείωσαι κἀνταῦθα τὴν φυσικὴν τοῦ Πνεύματος πρόχυσιν, ἐκ τοῦ Πατρὸς δογματιζομένην διὰ τοῦ Υἱοῦ, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ;* Καὶ πάλιν ἐν ἑτέρᾳ ἐπιστασίᾳ, τὸ *διὰ τοῦ Υἱοῦ* λεγόμενον, καὶ τὸ, *Μεγάλη δὲ πάντως ἡ τοῦ ἐξ αὐτοῦ πρὸς τὸ δι' αὐτοῦ διαφορὰ*, προσεπάγοντα, *ἄνθρωπε ὅστις ἂν ᾖς*, ὁ τὸ *διήκειν* τοῦτο οὐκ οἶδ' ὅπως ἐπινοησάμενος, τὸν τοιάνδε καὶ τοσήνδε βίβλον κατὰ τῶν Ἰταλῶν συγγραψάμενον, λόγιον μὲν ἄνδρα, καὶ σοφὸν ἀληθῶς, ἐθελοκακοῦντα δὲ ὅμως, τὴν δι' Υἱοῦ εὑρίσκεις δεχόμενον ὕπαρξιν, καὶ σὺ πρὸς φορὰν οὕτω δυσχεραίνεις ἀλήθειαν;

ιε'. Εἰ δέ σοι δοκεῖ ἀντειπεῖν ἡμῖν ἐπὶ τούτοις, Διὰ τί καὶ ἡμεῖς οὐκ ἀκολουθοῦμεν αὐτῷ, ἐφ' οἷς πρὸς τὴν ἐξ ἀντιλέγει; ἀκούσεις, Διὰ τὸ καὶ αὐτὸν προδήλως· ὁμολογεῖν ὡς τὴν ἐξ ἐπὶ τοῦ Υἱοῦ οἱ ἅγιοι πάντες ἀντὶ τῆς *διὰ* ἐκλαμβάνονται. Εἰ γὰρ ἡ ἐξ ἀντὶ τῆς *διὰ*, τὸ κωλύον πάντως οὐδὲν καὶ ἀντὶ τῆς ἐξ ἐκλαμβάνεσθαι τὴν *διὰ*. Τὴν γὰρ τῶν τοιούτων προθέσεων ἀντιπεριχώρησιν καὶ ὁ μέγας ἡμῖν συστήσει Βασίλειος, ἐν οἷς ταύτας πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίστασθαι σαφῶς ἐκδιδάσκει. Πρὸς δὲ καὶ ὁ ἅγιος Κύριλλος ἐν οἷς ἐπὶ τοῦ Πατρὸς ἀντὶ τοῦ Υἱοῦ ἐκδεχόμενος τὸ *δι' οὗ*, *ἀδιαφορεῖν ἐσθ' ὅτε περὶ τὰς λέξεις τὴν θείαν* λέγει *Γραφὴν, μηδὲν ἀδικοῦσιν τὸ ὑποκείμενον*. Ἀλλὰ καὶ τὸ παρὰ τοῦ αὐτοῦ ἁγίου Κυρίλλου εἰρημένον ἐν ἄλλοις, τὸ *πάντα δι' ἀμφοῖν ἐν ἴσῳ ἐνεργεῖσθαι καὶ κατορθοῦσθαι*· καὶ πάλιν τὸ ἐν ἄλλοις, *τὸ τὴν ζωὴν δι' ἀμφοῖν εἰς ἡμᾶς ἐν ἴσῳ ἰέναι τοῦ Πατρὸς δη-*

A contradictione, sed sua assensione atque approbatione dicturum, non ob aliam causam, quam quod per radium existentiam lumen habet. Hinc est quod nihil impediat, et fontem luminis radium asserere. Præterea responde sodes: Undenam in duobus causatis radiis nec difficulter unum absque altero intelligimus, dum una simul prodeunt; in aliis vero duabus causatis radio et lumine unum absque alio intelligi minime potest? Hoc prorsus non aliunde est, quam quod nullus ex radiis alius ope indiget ad sui exsistentiam. At lumen necessario ad sui exsistentiam lumine indiget. Demito enim radium, et lumen solare nullum erit. Sed nec reliqua etiam quæ lumen ejaculantur, sine naturali B ipsis insito radio, ut in aliis stellis, et carbonibus observare licet, proprium lumen emittunt. Illud itaque absque quo hoc esse nequit, quinam ratione in illius existentia, cum per Filium dicitur, non assumetur?

14. Nos etiam dicta nostra ex aliis scripto traditis exemplis comprobare possumus. Quando vero ex adversariis petita testimonia majorem fidem rebus in omnibus merentur, quid inquient, cum eum, qui Italis contradicens volumen concinnavit, et sacrum Armamentarium nuncupavit, Camaterum, inquam, in animadversione dicti illius asserentis, *ex Patre per Filium Spiritum effundi naturaliter*, his iisdem verbis disserentem audiunt: *Nota etiam in hoc loco naturalem Spiritus effusionem ex Patre per Filium decretam, non autem ex Filio?* Rursumque in alia animadversione, *Per Filium effunditur*, quibus postmodum subdit: *Magnum est discrimen inter hæc duo, ex ipso, et per ipsum?* Mi homo, quisquis fueris, hoc *pervadere* nescio qua ratione commentus, qui simile tantumque volumen adversus Italos scripsit, eruditum equidem virum verequeque sapientem, licet erga Latinos iniquo animo fuerit, per Filium exsistentiam amplectentem conspicis, et nihilominus tu tantam veritatis lucem non sustines?

15. Quod si nobis objicias, Quare non et ipsi eumdem sequimur, cum *ex* præpositionem oppugnat? audies, Quoniam et ipse aperte fatetur, præpositionem *ex* de Filio sanctos omnes loco illius *per* accipere. Quod si *ex* loco illius *per* accipiatur, nihil erit impedimento, quin loco illius *ex*, *per* desumatur. Harum siquidem præpositionum mutuam unius pro altera acceptationem magnus Basilius comprobabit, cum aperte doceat ad mutua significata denotanda unam pro alia sumi. Ad hæc sanctus Cyrillus loca, quæ de Patre pronuntiant *per quem*, quod de Filio dicitur amplectens, *indifferenter*, ait, *plerumque dictionibus abusionis modo uti divinam Scripturam, nullam vim inferentem subjecto*. Sed et quod locis in aliis ab eodem sancto Cyrillo reperitur, *omnia per utrumque æquatione absolvi et effici*; et alibi rursus: *vitam per utrumque ad nos pari modo provenire, Patrem scilicet et Filium*, secure admodum stabiliunt loco

Digitized by Google Распознавание текста ABBYY FR

illius *ex*, *per* desumi. Namque *ex utroque* ambo jam proposita dicta quod ipse insinuat *per utrumque* plane denotant. Præterea theologiæ cognominis dictam permutationem ad ea, quæ præpositiones istæ significant, comprobat, dicens : *Idem vere mihi et de voce Deus et Dominus sermo est ; necnon præpositionibus ex quo, per quem, et in quo, ad quarum artificiosam rationem deitatem nobis exigis, hanc quidem Patri tribuens, alteram Filio, tertiam Spiritui sancto. Quid enim tu fecisses, si firme una uni attribueretur, cum omnes de singulis dicantur, ut curiosis planum est ? tu per has et dignitatis et naturæ inæqualitatem introducis ?*

A λογότι καὶ τοῦ Υἱοῦ, βεβαίως πάνυ τοι συνιστῶσι τὸ ἀντὶ τῆς ἐξ ἐκλαμβάνεσθαι τὴν διά. Τὸ γὰρ ἐξ ἀμφοῖν ἄμφω τὰ εἰρημένα δι' ἀμφοῖν ἐνταῦθα δηλοῦσι σαφῶς. Ἐπὶ δὲ τούτοις καὶ ὁ τῆς θεολογίας ἐπώνυμος τὴν ῥηθεῖσαν ἀντιμετάστασιν πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα τῶν προθέσεων τούτων συστήσει ἐν οἷς λέγει· Ὁ δὲ αὐτός μοι καὶ περὶ τῆς Θεὸς φωνῆς καὶ Κύριος Λόγος. Ἔτι δὲ τῶν προθέσεων τῆς ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ, ἃς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ Θεῖον, τὴν μὲν τῷ Πατρὶ διδοὺς, τὴν δὲ τῷ Υἱῷ, τὴν δὲ τῷ ἁγίῳ Πνεύματι. Τί γὰρ ἂν ἐποίησας, παγίως ἑκάστου τούτων ἑκάστῳ γενεμημένου, ὁπότε πάντων πᾶσι συντεταγμένων, ὡς δῆλον τοῖς φιλοπόνοις, τοσαύτην σὺ διὰ τούτων εἰσάγεις καὶ τῆς ἀξίας καὶ τῆς φύσεως ἀνισότητα ;

16. Sed euge, cum opportune hujusce magni B dictum in memoriam adduximus. Namque orationis impetum hoc præpedit, et aperta dicendi libertate nos eloqui persuadet adversus eos, qui nos impietatis crimine infamant. O judicia, et leges, et quæ ex hominibus abiisti veritas ! Cavete ne vos tandem potius damnatæ alicujus hæresis in Ecclesia assertores sitis. Etenim si pessimus Aetius condemnatus est, quod astruere conabatur, quæ diverso modo enuntiantur, diversa quoque esse natura : ideoque colligebat, alterius esse naturæ Patrem, propterea quod de eo *ex* enuntiabatur, et alterius Filium, cui *per* attribuitur : hinc diviniloquus Pater noster *ex* et *per* æquales vires habere comprobare nititur ; et magnus Basilius multos in hoc asserendo sermones impendit, quid aliud exspectare possumus, cum diverso modo de Filio *per* dici contenditur, eaque dividitur a simili significatu præpositionis *ex*, quam oblitteratam jam hæresim rursum vivam facere ? Sed hæc quidem per excursum, ut innuimus, dicta sint.

Ἀλλ' εὖγε ἧς κατὰ καιρὸν τοῦ μεγάλου τούτου Πατρὸς ἐμνήσθημεν ῥήσεως. Τὴν γὰρ τοῦ λόγου ῥύμην ἴστησιν ἡμῖν αὕτη, καὶ μετὰ λαμπρᾶς τῆς παῤῥησίας λέγειν ἡμᾶς πείθει πρὸς τοὺς βλασφημίαν ἐγκαλοῦντας ἡμῖν. Ὦ δίκαι, καὶ νόμοι, καὶ ἡ ἐξ ἀνθρώπων οἰχομένη ἀλήθεια ! Ὁρᾶτε μήποτε μᾶλλον ὑμεῖς αἱρέσεώς τινος ἀπηγορευμένης τῇ Ἐκκλησίᾳ προΐστασθε. Εἰ γὰρ διὰ τὰ τὸν κάκιστον Ἀέτιον προκληματίσασθαι, τὰ διαφόρως ἐκφωνούμενα διάφορα εἶναι καὶ κατ' οὐσίαν, καὶ παρὰ τοῦτο συνάγειν τὸν Πατέρα ἄλλης εἶναι φύσεως διὰ τὸ ἐξ οὗ, καὶ τὸν Υἱὸν ἄλλης διὰ τὸ δι' οὗ, ὅ τε θεορῥήμων Πατὴρ ἡμῶν τὸ τῆς ἐξ καὶ διὰ ἐσπούδασεν ἰσοδύναμον, ὅ τε μέγας Βασίλειος πολλοὺς τοὺς εἰς τοῦτο κατεβάλετο λόγους, τί ἂν ἄλλο C συνορᾶν εἴη ἐκ τοῦ ἀφορισμένως τὴν ἐπὶ τοῦ Υἱοῦ λεγομένην διὰ τῆς πρὸς τὴν ἐξ ἀποδιαιρεῖν ἰσοδυναμίας, ἢ τὸ πάλιν τὴν πάλαι σβεσθεῖσαν αἵρεσιν ἀναζῆν ; Ἀλλὰ ταῦτα μὲν κατὰ παρέκβασιν, ὥσπερ ἡμῖν εἴρηται.

17. Series vero orationis rursus in memoriam revocat, vos non probe asserere, processionem per Filium non per Filium ex Patre sanctissimi Spiritus exsistentiam denotare. Namque Blemmides ille, qui ingentem gloriam et dicendo graviter, et copiose disserendo assecutus est, ut antea diximus, cujus sapientiam nec qui in eum iniquissimo animo fuerit, in crimen adducere poterit, et sibi nomen celebre comparasse negare audebit, de hoc argumento orationes conscripsit integras, in quibus inter alia hæc quoque exprimit : *Veluti itaque actio Filii et Dei Verbi Spiritus sanctus ab æterno elucet ab inso, quod idem est dicere per ipsum a Patre ;* statimque subdit : *Elucere vero in rebus theologicis notare exsistentiam, quæ neque passioni obnoxia est, neque tempori comm nsuratur. Et magnus Basilius in secundo Antirrhetico ostendit :* rursusque in aliis ait : *Alii ex sanctis viris radicem nuncupant Patrem, ramum Filium, et fructum Spiritum sanctum, sancti Spiritus per Filium a Patre exsistentiam demonstrantes.* Et hunc in modum sapiens ille vir de exsistentia Spiritus decrevit. Nobis vero post hujusce ab adversariis tantumdem nobis objecti *per-*

ιζ'. Ὁ τοῦ λόγου εἱρμὸς εἰς ἀνάμνησιν ὑμᾶς ἄγει καὶ πάλιν τοῦ μὴ καλῶς ὑμᾶς λέγειν τὴν δι' Υἱοῦ ἐκπόρευσιν μὴ τὴν δι' Υἱοῦ ἐκ Πατρὸς ὕπαρξιν τοῦ παναγίου δηλοῦν Πνεύματος, καὶ ὁ Βλεμμίδης γὰρ ἐκεῖνος, οὗ πολὺ τὸ ἐν λόγοις εἶναι κλέος φθάσαντες ἔφημεν, οὗ τὴν σοφίαν μηδὲ τὸν πάνυ ἀπεχθῶς διακείμενον διαβαλεῖν ἔχειν εἰρήκαμεν μὴ ἐπὶ πολὺ προελθεῖν δόξῃς, λόγους ὅλους περὶ τῆς ἐννοίας D συνεγράψατο ταύτης, ἐν οἷς καὶ αὐτολεξεὶ οὕτω λέγων· Ὡς οὖν ἐνέργεια τοῦ Υἱοῦ καὶ Θεοῦ Λόγου τὸ Πνεῦμα τὸ ἅγιον ἀϊδίως ἐκλάμπει παρ' αὐτοῦ, ταὐτὸν δ' εἰπεῖν, δι' αὐτοῦ πυρὰ τοῦ Πατρὸς, παραυτίκα ἐπάγει, ὅτι δὲ τὸ ἐκλάμπειν ἐν θεολογίᾳ παραστατικόν ἐστι τῆς ἀπαθοῦς, καὶ ἀχρόνου ὑπάρξεως, καὶ ὁ μέγας Βασίλειος δείκνυσιν ἐν δευτέρῳ τῶν Ἀντιῤῥητικῶν. Καὶ πάλιν ἐν ἄλλοις φησίν· Ἕτεροι δὲ τῶν ἱερῶν ἀνδρῶν ῥίζαν μὲν ὀνομάζουσι τὸν Πατέρα, κλάδον τὸν Υἱὸν, καὶ καρπὸν τὸ Πνεῦμα τὸ ἅγιον, τὴν τοῦ ἁγίου Πνεύματος διὰ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς ὑποδεικνύοντες ὕπαρξιν. Καὶ οὕτω μὲν κἀκεῖνος ὁ σοφὸς τῷ ὄντι ἀνὴρ τὰ περὶ τῆς ὑπάρξεως ταύτης τεθεολόγηκεν. Ἡμῖν δὲ μετὰ τὸν τοσ-

Digitized by Google Распознавание текста ABK/FR

οὗτον ἔλεγχον τοῦ παραλόγως τοῖς ἀντιλέγουσι προτεινομένου *διήκειν* μνημονευτέον ἀπάρτι καὶ ὧν οὗτοι γραφικῶν ἀντέχονται ῥήσεων, πρὸς τὸ τὴν δι' Υἱοῦ Πνεύματος ὕπαρξιν κατασείειν τάχα ἐντεῦθεν. Εἰ γὰρ διὰ τοῦ Υἱοῦ, φασὶ, τοῦ Πνεύματός ἐστιν *αἴτιος* ὁ Πατήρ, πῶς ὁ μὲν θεολόγος Γρηγόριος ἐν τῷ εἰς τὸν κατάπλουν τῶν Αἰγυπτίων λόγῳ, *Πάντα*, ἔφη, *ὅσα ὁ Πατὴρ ἔχει, τοῦ Υἱοῦ ἐστι πλὴν τῆς αἰτίας*; ὁ δὲ ἅγιος Μάξιμος ἐν τῇ ὑπὲρ τῶν Ἰταλῶν πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου ἐπιστολῇ τὸ, *Ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τοῦ Πνεύματος σφᾶς ἑαυτοὺς ἀπέδειξαν· μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν, ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προΐέναι δηλώσωσιν· ὁ δὲ Δαμασκηνὸς τὸ Οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Μόνος γὰρ αἴτιος ὁ Πατήρ.*

A *vadere* redargutionem, memoranda sunt dicta scripto tradita, quibus isti insistunt, ad convellendam per Filium Spiritus exsistentiam, et potissimum hæc. Nam si per Filium, aiunt, causa est Spiritus Pater, qua ratione theologus Gregorius in oratione de Ægyptiorum adnavigatione dixit: *Quæcunque Pater habet Filii sunt, excepta causa?* sanctus item Maximus pro Italis ad Marinum Cypri presbyterum epistola: *Ex quibus causam non facere Filium Spiritus semetipsos demonstrarunt; unam siquidem norunt Filii et Spiritus causam Patrem, sed ut per ipsum processionem ostendant.* Damascenus vero, *Non uti ex ipso, sed uti per ipsum ex Patre procedentem: solus enim causa Pater est.*

ιη'. Ταῦτα μὲν ἅπερ ἡμῖν οὗτοι προτείνουσιν, ὡς αὐτοῖς δυσαντίβλεπτα. Ἡμεῖς δὲ πρὸ τῶν ἄλλων πρὸς τὸ δοκοῦν αὐτοῖς τοῦ Θεολόγου εἶναι ῥητὸν ἀντιλέγοντες, σφάλμα τῶν τὰς βίβλους ἀντιγραφόντων εἶναι αὐτὸ λέγομεν, ὁποῖα πολλοὶ οἱ μετὰ τὸ σχίσμα τὰς βίβλους γράφοντες ἐκακούργησαν, περὶ ὧν καὶ ἐν τῇ παρ' ἡμῶν ἐκτεθείσῃ βίβλῳ πλατύτερον διειλήφαμεν. Ἐν γὰρ πολλαῖς καὶ ἀξιοπίστοις οὐ, *πλὴν τῆς αἰτίας*, ἀλλὰ, *πλὴν τῆς ἀγεννησίας* εὕρηται γεγραμμένον· καὶ αἱ οὕτως ἔχουσαι βίβλοι τὴν κατὰ τῶν ἄλλων ἰσχὺν ἔχουσιν, ἐξ ὧν ὁ ἅγιος ἐν ἄλλοις διαφόροις αὐτοῦ συγγράμμασι, περὶ τῶν ἐν τῇ ἁγίᾳ Τριάδι ἰδιοτήτων θεολογῶν, *τὴν ἀγεννησίαν* πανταχοῦ εἰς ἰδιότητα διορίζεται τοῦ Πατρός. Ὁ γὰρ αὐτὸς ἐν τῷ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας λόγῳ αὐτοῦ, *Πνεῦμα ἐκ Θεοῦ*, φησὶ, *τὴν ὕπαρξιν ἔχον, παραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱοῦ δὲ γεννήσεως, τὰ δ' ἄλλα καὶ, συμφυὲς, καὶ σύνθρονον, καὶ ὁμόδοξον*· οὐκ εἶπε *τῆς αἰτίας*, ἀλλὰ *τῆς ἀγεννησίας παραχωροῦν τῷ Πατρί*. Καὶ πάλιν ἐν τῷ εἰς Ἥρωνα τὸν φιλόσοφον· *Ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπεμψις*. Καὶ πάλιν ἐν τῷ περὶ Πνεύματος λόγῳ· *Τί γὰρ οὐ δύναται τῶν μεγάλων; Τί δὲ οὐ προσαγορεύεται ὧν Θεὸς, πλὴν ἀγεννησίας, καὶ γεννήσεως; ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι Πατρὶ καὶ Υἱῷ, ἵνα μὴ σύγχυσις ᾖ παρὰ θεότητι*. Καὶ πάλιν ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ· *Τί μοι μακρολογεῖν; Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ πλὴν ἀγεννησίας· πάντα ὅσα ὁ Υἱὸς τοῦ Πνεύματος πλὴν γεννήσεως*. Οὕτω γοῦν καὶ ἐν τοσαύταις γραφαῖς ἰδιότητα τοῦ Πατρὸς *τὴν ἀγεννησίαν*, καὶ οὐ τὴν ἀπολύτως οὕτω λεγομένην *αἰτίαν* ὁ μέγας Γρηγόριος θεολογῶν, οὐ συγχωρεῖ ὡς ἀληθῆ τὴν τὸ *πλὴν τῆς αἰτίας*, ἔχουσαν βίβλον πιστεύεσθαι.

B 18. Et hæc quidem sunt, quæ ipsi nobis proponunt tanquam visu aspera, et quæ refutari non valeant. Nos vero ante alia illis, quod ipsis videtur germanum esse Theologi dictum, contradicentes, asserimus errorem esse eorum, qui libros exscripsere, quales eosque multos librorum, post dissidium exscriptores malitiose commiscerunt, de quibus in libro a nobis edito res fusius pertractavimus. Namque in multis et fide dignis voluminibus non, *excepta causa*, sed, *excepta ratione ingeniti* scriptum comperitur: et volumina, in quibus ita exaratum legitur, aliis, in quibus aliter scriptum est, majorem fidem merentur, cum sanctus in aliis variisque suis scriptis de proprietatibus in sancta Triade agens, *rationem ingeniti* in omnibus C proprietatem esse Patris decernat. Idem enim in oratione de ordine in colloquiis servando, *Spiritus ex Deo*, ait, *exsistentiam habens, cedens Patri quidem rationem ingeniti, Filio rationem generationis: reliquis vero in aliis ejusdem naturæ et sedis et gloriæ exsistens*: non dixit, *causam*, sed *rationem ingeniti cedens Patri*. Rursusque in Heronem philosophum: *Proprium quidem est Patris non esse genitum, Filii generatio, Spiritus emissio.* Itemque oratione de Spiritu: *Quid enim ex iis, quæ ingentia sunt, non habet in potestate? Quibus non insignitur nominibus, cum Deus sit, præter rationem ingeniti genitique? Namque addecebat proprietates reservari Patri et Filio, ne confusio in Deitate oriretur.* Necnon oratione in Pentecosten: *Quid mihi verbis* D *opus est? Quæcunque Pater habet, Filii sunt, excepta ratione ingeniti; quæcunque Filius item Spiritus sanctus, excepta ratione geniti.* Hac itaque ratione, et tot in scriptis proprietatem Patris *rationem ingeniti*, et non absolute sic dictam *causam* magnus Gregorius decernens, non permittit verbum illud, *excepta causa*, continentem librum fidem sibi vendicare.

ιθ'. Εἰ δὲ τοῦ εἰκότος οὐ πόρρω λόγου, καὶ δι' ἄλλων ῥήσεων πατρικῶν τὰς θεολογικὰς ταύτας ῥήσεις συγκροτηθῆναι· ὁ Δαμασκηνὸς ἐν τῷ ὀγδόῳ τῶν θεολογικῶν κεφαλαίων, *Υἱὸς δὲ*, φησὶ, *καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως διὰ τὸ τέλειον*,

19. Quod si non longe videtur a proposito, aliis etiam Patrum testimoniis dicta hæc theologica comprobentur. Damascenus octavo theologico capite, *Filius*, ait, *et character paternæ hypostasis, quia et perfectus est, et in propria subsistens per-*

Digitized by Google Распознавание текста ABBYY FR

sona, et quod in omnibus similis sit Patri, unam si rationem ingeniti excipias. Et rursus ibidem, *Per Patrem habet Filius et Spiritus quæcunque habent, ideoque habent, quod Pater illa habet, præter rationem ingeniti, geniti, et procedentis. In his enim solis hypostaticis proprietatibus inter se differunt sanctæ tres hypostases, non natura, sed characteristica propriæ hypostasis nota absque divisione discernuntur.* Et adversus libros, in quibus *excepta causa* circumfertur, eorum qui *excepta ratione generationis* continent, robur hoc est. Nobis autem de dicto sancti Maximi plurima suppetunt dicenda, sed ea, quod in Damascenicis prolixiores sumus, percurrentes, hoc tantummodo ad contradicentes dicimus : Annon volupe nobis fuerit, magnum Maximum sequi patrocinium Romanorum suscipientem, qui tum ex Patre et Filio Spiritum procedere affirmabant, nihilque differre ex Patre per Filium, et ex utroque edocentem, quibus in illa epistola ex Filio procedere in illud, per Filium procedere, desumitur ?

καὶ ἐνυπόστατον, καὶ κατὰ πάντα ὅμοιον εἶναι τῷ Πατρὶ πλὴν τῆς ἀγεννησίας. Καὶ πάλιν ἐν τῷ κεφαλαίῳ· *Διὰ τὸν Πατέρα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα πάντα ἃ ἔχει, τουτέστι διὰ τὸ τὸν Πατέρα ἔχειν αὐτὰ πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως. Ἐν ταύταις γὰρ μόναις ταῖς ὑποστατικαῖς ἰδιότησι διαφέρουσιν ἀλλήλων αἱ ἅγιαι τρεῖς ὑποστάσεις οὐκ οὐσίᾳ, τῷ δὲ χαρακτηριστικῷ τῆς ἰδίας ὑποστάσεως ἀδιαιρέτως διαιρούμεναι.* Ἀλλ' ἡ μὲν κατὰ τῶν, αἷς τὸ, *πλὴν τῆς αἰτίας*, ἐμφέρεται βίβλων ἰσχύς, τῶν τὸ, *πλὴν τῆς ἀγεννησίας*, ἐχουσῶν ἥδε. Ἡμεῖς δὲ πρὸς τὸ τοῦ μεγάλου Μαξίμου πολλὰ μὲν εἰπεῖν ἔχοντες, διὰ δὲ τὸ μέλλειν τοῖς τοῦ Πατρὸς ἡμῶν τοῦ Δαμασκηνοῦ ἐμπλατυνθῆναι, παρατρέχοντες ταῦτα, τοῦτο μόνον πρὸς τοὺς ἀντιλέγοντας ἐπὶ τούτῳ φαμέν. Ὑμῖν δὲ οὐχ ἁγνοητὸν τῷ μεγάλῳ Μαξίμῳ κατακολουθεῖν ὑπερηγοροῦντι Ῥωμαίων, ἐφ' οἷς καὶ τότε ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἔλεγον ἐκπορεύεσθαι, καὶ οὐδὲν διαφέρειν τὸ ἐκ Πατρὸς δι' Υἱοῦ πρὸς τὸ, ἐξ ἀμφοῖν, ἐκδιδάσκοντι, δι' ὧν ἡ ἐπιστολὴ τὸ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, εἰς τὸ δι' Υἱοῦ προϊέναι σαφῶς ἐκλαμβάνεται ;

20. Mihi, nisi etiam vobis hunc sanctum Patrem sequi optatissimum est, cujus precibus munitus ac constipatus Damascenici dicti interpretationem aggredior. Nemo ex vobis affirmabit divinum hunc Patrem, quæcunque et magnus Basilius, et Nyssenus, et cui a theologia nomen est, de rebus divinis enuntiarunt, ignorasse : id si ita est, neque quæ illi de dictarum præpositionum viribus paribus, de quibus supra diximus, plane aperteque dictarunt. Si hæc itaque optime callebat sanctus hic, et ita illa tenebat, ut ad Dei Genitricem canticum adaptans diceret, *Ex te Deus massa mea circumvestitus est :* nunc vero, *Per te, Mater et Virgo, lumen mundo universo eluxit,* quis omnium dijudicabit, secundum eorum oppositionem, et non secundum aliam rationem, qua reliqua omnia simul dicta concordari possunt, res divinas eum tradidisse, et tum potissime cum scripsit : *Non veluti ex ipso, sed uti per ipsum ex Patre procedens?* Qua quidem oratione, ad determinandum hypostases præpositionum determinatione profertur, si quis non perfunctorie dictum illud percurrerit, quod theologiæ cognominis enuntiat : *Illius ex quo, et per quem, et in quo naturas ne dividant; neque enim præpositiones decidunt, aut ordo nominum, sed designant unius inconfusæque naturæ proprietates.* Hic porro quæ personarum proprietates designat præpositionum determinatio a Damasceno assumitur, idque manifestum fit ex eo, quod subdit, *Solus enim causa Pater.* Ob primam scilicet causam *ex* Patri apposuit, *per* vero Filio : nam cum primæ principalique causæ confessio introducitur in iisdem locis omnibus dictio per Filium locum etiam habet ; quare, *Solus enim causa Pater,* statim subjunxit, idem faciens, juxta ac si diceret : Principalis siquidem primaque causa solus Pater est, illique præterea addecet, quæ primam hanc proprie-

κ'. Ἐμοὶ δ' ἀλλ' εἰ μὴ καὶ ὑμῖν, ἕπεσθαι τῷ ἁγίῳ τούτῳ Πατρὶ, τῶν πάνυ εὐκταίων, οὗ δὴ καὶ ταῖς εὐχαῖς ἥδη καθωπλισμένος, ἐπὶ τῷ τοῦ θείου Δαμασκηνοῦ ῥητῷ ὑμῖν ἀπαντήσομαι. Οὐδεὶς ὑμῶν πάντως ἐρεῖ, τὸν θεῖον ἀγνοεῖν τοῦτον Πατέρα, ὅσα ὁ μέγας Βασίλειος, ἔτι δὲ ὁ Νύσσης καὶ ὁ τῆς θεολογίας ἐπώνυμος τεθεολογήκασι· καὶ εἰ τοῦτο, οὐδ' ὅσα περὶ τοῦ ἰσοδυνάμου τῶν προθέσεων οὗτοι, περὶ οὗ καὶ ἀνωτέρω εἰρήκαμεν, σαφῶς διηκρίνησαν. Εἰ γοῦν ἥδει ταῦτα ὁ ἅγιος οὗτος, καὶ τόσον ἥδει, ὡς καὶ αὐτὴν πρὸς τὴν Θεομήτορα, νῦν μὲν ψάλλοντα λέγειν, *Ἐκ σοῦ Θεὸς τὸ φύραμά μου ἡμφιάσατο,* νῦν δὲ, *Διὰ σοῦ, μῆτερ Παρθένε, φῶς ἀνέτειλε πάσῃ τῇ οἰκουμένῃ,* τίς τῶν ἁπάντων διακρινεῖ, κατὰ τὴν πρὸς ἐκείνους ἀντίθεσιν, καὶ οὐ καθ' ἕτερόν τινα λόγον, καθ' ὃν ἂν ἐξέσται τὰ πάντα ὁμοῦ ῥητὰ συμφωνεῖν, θεολογῆσαι καὶ τοῦτον, τὸ *οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον;* Εἰη δ' ἂν ὁ λόγος οὗτος, ὁ ἐπὶ τῷ διωρισμῷ τῶν ὑποστάσεων, τῶν προθέσεων τούτων διορισμὸς, εἰ τῷ μὴ παρέργως τὸ ῥητὸν ἐκεῖνο ἀναγνώσκεται, ἐν ᾧ ὁ τῆς θεολογίας ἐφη ἐπώνυμος, *Τοῦ ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ, μὴ φύσεις τεμνόντων, οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων, ἀλλὰ χαρακτηριζόντων μᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας.* Οὗτος δὴ ὁ τὰ; ἰδιότητας τῶν προσώπων χαρακτηρίζων τῶν προθέσεων διορισμὸς, ὁ τῷ Δαμασκηνῷ παραληφθεὶς, ἐνταῦθά ἐστι, καὶ δῆλον ἀπὸ τοῦ καὶ τὸ, *Μόνος γὰρ αἴτιος ὁ Πατὴρ,* ἐπάγειν αὐτόν. Ὅτι γὰρ διὰ τὸ ἀρχικὸν αἴτιον τὴν *ἐξ* ἀνέθετο τῷ Πατρὶ, τὴν δὲ *διὰ* τῷ Υἱῷ διὰ τὴν τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν, πανταχοῦ τὴν δι' Υἱοῦ φωνὴν ἔχειν, καὶ τὸ, *Μόνος γὰρ αἴτιος ὁ Πατὴρ,* ἐπήγαγε παρευθὺς, ταὐτόν τι ποιῶν, ὥσπερ εἰ ἔλεγε· Τὸ γὰρ ἀρχικὸν αἴτιον μόνος ὁ Πατήρ ἐστι, καὶ τούτῳ προσήκει λοιπὸν ἡ τὴν ἀρχι-

Digitized by Google Распознавание текста ABK/FR

κὴν ταύτην δηλοῦσαν ἰδιότητα πρόθεσις. Οὕτω δὲ τοῦδε τοῦ ῥητοῦ ἐκλαμβανομένου, καὶ ἡ *διὰ πρόθεσις* τὸ πρὸς τὴν ἐξ ἰσοδύναμον ἑαυτῆς οὐκ ἀποβαλεῖται, καὶ τὸ ῥητὸν σὺν πολλῇ τῇ ἀδείᾳ λοιπὸν πρὸς τὰ τοῦ μεγάλου Βασιλείου καὶ τῶν ἄλλων ἁγίων, ὅσοι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα θεολογοῦσι, συμβιβασθήσεται. Εἰ γὰρ καὶ ὑμῶν τινος ἤκουσα εἰρηκότος, πρὸς τὰ τοῦ Δαμασκηνοῦ ῥητὰ ὡς πρὸς κανόνα τὰς λοιπὰς τῶν ἁγίων ἀπευθύνεσθαι ῥήσεις, ἀλλὰ κανὼν ἡ τοῦ μεγάλου Βασιλείου μάλιστα ῥῆσις ταῖς τοῦ Δαμασκηνοῦ ἔσται. Ὅτι καὶ αὕτη κανόνος φύσις ἐστὶ, τὰ ὕστερα πρότερον ἀπευθύνεσθαι, ὅπου ἀμφότερα ταῦτα συμβιβάζεσθαι ἀνάγκη ἐστί· καὶ διὰ τοῦτο τὸ, *Οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ*, εἰς τὴν ἔννοιαν δεῖ ἀπευθύνειν, καθ' ἣν ἂν συμφήσῃ, οἷς ὁ μέγας ἔφη Βασίλειος, ὅτε *δευτερεύειν Υἱοῦ τὸ Πνεῦμα τεθεολόγηκεν, ὡς παρ' αὐτοῦ ἔχον τὸ εἶναι, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον.*

κα'. Εἰ δέ τῳ δοκεῖ πρὸς τὸ πάνυ ὁρᾷν ἄτοπον, τὴν τῶν *ἐκ τοῦ Υἱοῦ*, καὶ *οὐκ ἐκ τοῦ Υἱοῦ* ῥητῶν συμφωνίαν, ἀλλ' ὁ τοῦτο λογιζόμενος ἔστω, εἰωθὼς τῇ θείᾳ εἶναι Γραφῇ ἑκάτερον ἐναντιοφωνεῖν δοκούντων, πρὸς οἰκείαν ἔννοιαν ἀποτείνειν. Γρηγόριος μὲν γὰρ τῶν Νυσσαίων ὁ πρόεδρος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ, *Τὸ ἀπαράλλακτον*, φησὶν, *ὁμολογοῦντες τῆς φύσεως τὴν κατὰ τὸ αἴτιον, καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα.* Ὁ δὲ ἅγιος Κύριλλος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν, *Αἴτιον δὲ καὶ αἰτιατόν*, φησὶν, *οὐδὲ ὀνομάσαι θέμις, πρέποι δ' ἂν μᾶλλον ἐπὶ Θεοῦ Πνεῦμά τε εἰπεῖν, καὶ γεννηθέντα Υἱόν.* Πάλιν μὲν ὁ Θεολόγος Γρηγόριος, ἐν τῷ περὶ τοῦ Υἱοῦ πρώτῳ λόγῳ, *Διὰ τοῦτο*, φησὶν, *ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητόν.* Ὁ δὲ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς, *Οὐ τοίνυν*, φησὶν, *ἀγέννητον προσαγορευτέον μᾶλλον ἡμῖν ἢ Πατέρα, εἴγε μὴ μέλλοιμεν σοφώτεροι τῶν διδαγμάτων εἶναι, τοῦ Σωτῆρος εἰπόντος, « Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, » ἀλλ' οὐχὶ τοῦ ἀγεννήτου.* Κἂν τοῦτοι; δοκοῦσι μὲν οἱ τοῦ αὐτοῦ Πνεύματος ὄντες εἰς ἐναντιοφωνίαν τινὰ κατὰ τὸ πρόχειρον τῆς ἐννοίας ὁρᾷν, ὁ δὲ ἀκριβὴς τῶν δογμάτων διορισμὸς συμβιβάζει τὰ παρ' αὐτῶν εἰρημένα. Καθότι ὁ μὲν Νύσσης τὸ αἴτιον, καὶ αἰτιατὸν ἐπὶ τῆς ἁγίας Τριάδος ὡς ἐπὶ τῶν ὁμουσίων εἰρημένα παραλαμβάνει· ὁ δὲ ἅγιος ταῦτα Κύριλλος ἀποτρέπεται, ὡς ἐπὶ δημιουργοῦ καὶ ποιημάτων λεγόμενα· καὶ πάλιν καθότι ὁ μὲν θεολόγος Γρηγόριος ὡς ὑποστατικὰς ἰδιότητας τὸ ἀγέννητον δογματίζει, καὶ γεννητόν· ὁ δὲ μέγας ταῦτα Βασίλειος ἀποπέμπεται, ὡς κακῶς παρὰ τῶν Εὐνομιανῶν εἰσαγόμενα, ὡς φύσεως τμητικὰ δῆθεν, καὶ διαφόρων οὐσιῶν παραστατικά. Οὕτω δὴ καὶ τὸ, *ἐκ τοῦ Υἱοῦ*, καὶ, *οὐκ ἐκ τοῦ Υἱοῦ*, καθ' ὃν εἴρηται διορισμὸν ἡ *ἐκ* ἔχειν πρὸς τὴν *διὰ*, ὁμαλῶς

[a] Matth. xxviii, 19.

A tatem præpositio notat. Hac porro ratione dicto simili intellecto, et præpositio *per* æquales suas vires cum *ex* non amittet, et dictum multa cum securitate cum dictis magni Basilii aliorumque sanctorum, qui ex Filio Spiritum decernunt, componetur. Licet enim ab aliquo ex vestris audiverim asserente, ad Damasceni dicta veluti ad regulam reliqua alia sanctorum dicta dirigenda esse, attamen magni Basilii dictum dictorum Damascenicorum regula fuerit quod et regulæ natura hæc sit, posteriora a prioribus dirigi, si quando necessitas urgeat, ut illa invicem conferantur, propterea- B que illud, *non tanquam ex ipso, sed tanquam per ipsum*, in eam sententiam trahendum est, qua concordabit cum illis, quæ magnus Basilius decrevit, tum scripsit, *secundas partes post Filium obtinere, tanquam qui ab eo habeat, quod sit, et ab eo accipiat, et nobis enuntiet, et prorsus ab illa causa pendeat.*

21. Quod si non nemini reputabitur absona extra modum, atque absurda dictorum *ex Filio*, et, *non ex Filio* concordia, qui hæc concipit, audiat, solere divinas Scripturas, cum duo sibi contraria esse judicantur, ad proprium ac legitimum intellectum trahere. Gregorius siquidem Nyssenus antistes, oratione ad Ablabium, *Immutabilitatem naturæ confitentes*, inquit, *non imus inficias secundum causam et causatum differentiam.* Sanctus Cyrillus C secundo libro ad Hermiam : *Causam et causatum neque fas est nominare. Addecetque potius in Deo Spiritum dicere, et natum Filium.* Rursusque Theologus Gregorius oratione prima de Filio : *Propter hoc nostris terminis insistentes ingenitum genitumque introducimus.* Magnus Basilius in Antirrheticis : *Non itaque ingenitum potius nobis appellandum est, quam Patrem, nisi præceptionibus Christi sapientiores esse velimus, qui dixit, « Abeuntes baptizate in nomine Patris [a], » non autem ingeniti.* Et si in istis, q ci ejusdem Spiritus sunt in contradictionem aliquam secundum sententiæ opportunitatem videantur respicere, attamen exquisita dogmatum determinatio dicta eorumdem conciliat, exponens, Nyssenum causam et causatum in sancta Triade ac D si de consubstantialibus dicta sint accipere, quæ sanctum Cyrillum ac si de rerum omnium opifice et de creaturis enuntientur respuisse : rursumque Gregorium Theologum veluti hypostaticas proprietates ingenitum atque genitum definire, magnum vero Basilium ab illis abhorrere tanquam Eunomianorum commentis, quæ naturam scinderent, et diversas essentias repræsentarent. Pari modo et illa *ex Filio*, et, *non ex Filio* secundum eam, quam diximus determinationem habere præpositionem *ex*, respectu præpositionis *per* facili negotio conciliabuntur. Cum enim quispiam *ex Filio* pro eo quod est *per Filium* Spiritum sanctum esse asserit, ni-

Digitized by Google Распознавание текста ABK/FR

hil a veritate aberrat cum vero *ex Filio* tanquam ex principali ac prima causa, a recto præter modum decidet, et qui similem lapsum vitare cupit, ex Patre per Filium, non autem ex Filio Spiritus processionem affirmabit : quod et divinus egit Joannes, principalem causam solam vere Patrem sciens, et secundum hanc sententiam de harum præpositionum determinatione minute ac subtiliter disputans, apte admodum illud, *Solus enim causa Pater*, annexuit. Hunc vero propter primam ac principalem causam tantummodo Patrem causam vocasse, manifestum fit ex iis, quæ dictum præcedunt : habetur enim, *productorem per Filium*, quod idem est, ac si dixisset, Patrem esse causam Spiritus per Filium : qui enim per Filium causa est, quanam ratione aliter esse potest nisi secundum principalem rationem causæ solus causa Spiritus dicetur ? Sed et magnus Basilius in decimo sexto ad Amphilochium capite dicens : *Et nemo existimet me enuntiare tres principales hypostases. Rerum enim unum principium est, per Filium operans, et in Spiritu perficiens*, dicta jam a nobis manifesto confirmat. Quantum enim intelligentia potis est, duas hypostases ab una et prima in rerum principio discernit. Namque sententia quæ non asserit ipsas primas et principales, theologicæ regulæ accurate adhærens, ob primam ac principalem causam soli Patri rerum principium decernit, relinquens una cum eo intelligi et Filium et Spiritum, in quibus per Filium operari, et in Spiritu perficere Pater dicitur. Modo quippe silentio prætereo, nec illa annumerare animus est, quomodo solus invisibilis, solus bonus, solus sapiens, quæ in Scriptura de Patre asseruntur : necnon et quod apud evangelistas Matthæum et Marcum Dominus dicit : *De die illa et hora nemo novit, neque angeli qui in cœlo sunt, neque Filius nisi solus Pater* [a] illudque præterea, quod in Ecclesia ab omnibus inter officiorum solemnia concinitur, in quo *solius Dei sanctum* canimus *Spiritum*, quod etiam ad horum intelligentiam nonnihil confert. Quod enim in confesso est etiam Filii esse, soli Patri ascribitur. Et quanam alia ratione id asseveraretur, nisi de principali causa Patre dictionem hanc quispiam explanaverit ?

πάντη συμβιβασθήσονται. Ὅταν μὲν γὰρ *ἐκ τοῦ Υἱοῦ*, ἀντὶ τοῦ *διὰ τοῦ Υἱοῦ* λέγῃ τις εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, τῆς ἀληθείας δ' ἁμαρτάνει οὐδέν· ὅταν δ' *ἐκ τοῦ Υἱοῦ*, ὡς ἐξ ἀρχικοῦ καὶ πρώτου αἰτίου, καὶ πάνυ τοῦ εἰκότος ἔξω πεσεῖται, καὶ ὁ τὴν διαμαρτίαν ταύτην θέλων φυγεῖν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, οὕμενουν ἐκ τοῦ Υἱοῦ τὴν τοῦ Πνεύματος πρόοδον θεολογήσει, ὅπερ οὖν ὁ θεῖος πεποίηκεν Ἰωάννης, ἀρχικὸν αἴτιον μόνον ἀληθῶς τὸν Πατέρα εἰδὼς, καὶ κατὰ τὴν ἔννοιαν ταύτην, τὸν τῶν προθέσεων λεπτολογήσας διορισμὸν, καὶ προσφυῶς πάνυ τῇ τοιαύτῃ ἐννοίᾳ, καὶ τὸ *Μόνος αἴτιος ὁ Πατὴρ*, ἐπαγαγὼν παρευθύς. Ὅτι δὲ διὰ τὸ ἀρχικὸν αἴτιον μόνον αἴτιον οὗτος τὸν Πατέρα τεθεολόγηκε, δῆλον ἀπὸ τοῦ μικρῷ πρόσθεν τῆς ῥήσεως ταύτης, *προβολέα διὰ τοῦ Λόγου*, ταύτην δ' εἰπεῖν, αἴτιον τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ τὸν Πατέρα καλεῖσθαι. Ὁ γὰρ διὰ τοῦ Υἱοῦ αἴτιος πῶς ἂν ἄλλως ὅτι μὴ κατὰ τὸ ἀρχικὸν τῆς αἰτίας μόνος αἴτιος ῥηθείη τοῦ Πνεύματος ; Ἀλλὰ καὶ ὁ μέγας Βασίλειος ἐν τῷ ἕκτῳ καὶ δεκάτῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων λέγων, *Καὶ μηδεὶς οἰέσθω με τρεῖς εἶναι λέγειν ἀρχικὰς ὑποστάσεις. Ἀρχὴ γὰρ τῶν ὄντων μία, διὰ Υἱοῦ ἐνεργοῦσα, καὶ τελειοῦσα ἐν Πνεύματι*, τὸ ῥηθὲν προδήλως συνίστησιν. Ὅσον γὰρ τὸ τῆς ἐννοίας ἐστὶ πρόχειρον, τὰς δύο ὑποστάσεις ἀπὸ τῆς μιᾶς καὶ πρώτης ἐπὶ τῇ τῶν ὄντων ἀρχῇ διαιρεῖ. Τοῦτο γὰρ τὸ μὴ ἀρχικὰς εἶναι λέγειν αὐτὰς, ἀλλ' ἡ ἀκριβέστερον τοῦ θεολογικοῦ ἐξεχομένη κανόνος ἔννοια, διὰ τὸ ἀρχικὸν αἴτιον μόνῳ τῷ Πατρὶ τὴν τῶν ὄντων ἀφορίζει ἀρχὴν, ἐῶσα συνεπινοεῖσθαι αὐτῷ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ἐν οἷς διὰ τοῦ Υἱοῦ ἐνεργεῖν, καὶ ἐν Πνεύματι τελειοῦν ὁ Πατὴρ λέγεται. Ἐῶ γὰρ ἄρτι ἀπαριθμεῖν, ὅπως τὸ, μόνος ἀόρατος, καὶ τὸ, μόνος ἀγαθὸς, καὶ τὸ, μόνος σοφὸς, ἐπὶ τοῦ Πατρὸς παρὰ τῇ Γραφῇ λέγονται. Ἔτι δὲ ὅπως παρὰ τοῖς εὐαγγελισταῖς Ματθαίῳ, καὶ Μάρκῳ ὁ Κύριος λέγων εὑρίσκεται, τὸ *Περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν τῷ οὐρανῷ, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος*. Οὐδὲ τὸ ἐπ' Ἐκκλησίας παρὰ πάντων ἐν ταῖς θείαις ᾠδόμενον ὑμνῳδίαις, ἐν ᾧ *μόνου Θεοῦ ἅγιον* ψάλλομεν *Πνεῦμα*, ἀσυντελὲς πρὸς τὴν τοιαύτην ἔννοιαν ἔσται. Τὸ γὰρ ὁμολογουμένως καὶ τοῦ Υἱοῦ ὂν μόνου τοῦ Πατρὸς ἐνταῦθα ἐρρέθη. Καὶ πῶς ἂν ἄλλως, εἰ μὴ διὰ τὸ ἀρχικὸν τοῦ Πατρὸς τὴν λέξιν διευκρινήσῃ τις ;

22. Magnus porro Athanasius de synodo Ariminensi ad Afros epistola, solum fontem aquæ viventis, et nemo dubitaverit, Spiritum sanctum esse hanc aquam viventem, Patrem vocans, non ob aliam equidem rationem quam propter principalem causam Patrem intelligere dictum, nobis facultatem fecerit, cum et ipse potissimum in aliis reperiatur fontem Spiritus Filium nuncupare. Verumtamen antiquis Patribus illud, *ex Filio*, loco illius, *per Filium*, agnosci et dici aperte constat, quod et magnus Basilius, et in theologicis pertractandis

κβ'. Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῇ περὶ τῆς ἐν Ἀριμήνῳ συνόδου πρὸς τοὺς Ἄφρους ἐπιστολῇ αὐτοῦ, μόνην πηγὴν τοῦ ζῶντος ὕδατος · καὶ οὐδεὶς ἀμφιβάλλει, μὴ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ζῶν τοῦτο ὕδωρ εἶναι · τὸν Πατέρα καλέσας, διατί ἂν ἄλλο, ἢ ὅτι μὲν διὰ τὸ ἀρχικὸν τοῦ Πατρὸς τὸ ῥητὸν ἐάσῃ νοῆσαι ἡμᾶς· ἐπειδὴ καὶ μάλιστα αὐτός ἐστιν ὁ καὶ τὸν Υἱὸν ἐν ἄλλοις πηγὴν τοῦ Πνεύματος ἀριδήλως ἀποκαλῶν ; ὅτι δὲ τοῖς πάλαι Πατράσι τὸ, *ἐκ τοῦ Υἱοῦ*, ἀντὶ τοῦ, *διὰ τοῦ Υἱοῦ*, ἐπιγινωσκόμενον ἦν, δῆλον καὶ ἀπὸ τοῦ τὸν μέγαν Βασίλειον,

[a] Matth. XXIV, 36 ; Marc. XIII, 32.

Digitized by Google Распознавание текста ABK/FR

καὶ τὸν θεολογικώτατον Νύσσης μηδ' ὅλως διὰ πάντων ὧν κατ' Εὐνομίου συνεγράψαντο Ἀντιῤῥητικῶν, ἀντειπεῖν ἐκείνῳ πρὸς τὴν ἐκ τοῦ Υἱοῦ ῥῆσιν, ἀλλὰ πᾶσαν τὴν κατ' ἐκείνου ποιεῖσθαι ἀντίῤῥησιν, ἐφ' οἷς κτίσμα καὶ ποίημα τοῦ Υἱοῦ τὸ Πνεῦμα ὁ μάταιος ἐβλασφήμει. Καὶ τὴν τῶν λόγων τοιούτων ἀλήθειαν ἐπιγνώσεται, ὁ τὰ εἰρημένα ἐπιστατικώτερον ἐπισκεψόμενος Ἀντιῤῥητικά. Καίτοι γε εἰ μὴ ἀκωλύτως ἐθεολογεῖτο τὸ, ἐκ τοῦ Υἱοῦ, οὐκ ἄν τι ἄλλο πρὸς καταβολὴν τῆς Εὐνομίου αἱρέσεως οἱ Πατέρες οὗτοι ἰσχυρότερον ἔσχον εἰπεῖν ἔχοντες, ὡς Εἰ καὶ ποίημα λέγειν ἀποτολμᾷς τὸ Πνεῦμα, Εὐνόμιε, διατί μὴ τοῦ Πατρὸς, ἀλλὰ τοῦ Υἱοῦ ποίημα λέγεις αὐτὸ, μήτε διὰ τοῦ Υἱοῦ εἶναι ὁμολογούμενον;

A celeberrimus Nyssenus in omnibus, quæ adversus Eunomium scripto ediderunt Antirrheticis, nunquam dictioni ex Filio contradixerunt, sed omnem suam refutationem adversus eumdem concinnarunt, in eo tantum sitam, quod ille Filii creaturam ac facturam Spiritum esse futiliter et blaspheme pronuntiaret. Et verborum hujuscemodi veritatem agnoscet, qui attentius dicta Antirrhetica consideraverit. Et nihilominus nisi libere assereretur illud ex Filio, nihil ad Eunomii hæresim convellendam validius Patres habuissent, cum possent dicere : Licet facturam audes asserere Spiritum, Eunomie, quare non Patris, sed Filii facturam illum astruis, cum neque per Filium, neque ex Filio asseratur?

κγ'. Τοσαῦτα καὶ ἐπὶ τῷ τοῦ θείου Δαμασκηνοῦ εἰπόντες ῥητῷ, ἀπάρτι πρὸς ὑμᾶς τοὺς ταῖς θείαις Γραφαῖς ἐπηρεαστικώτερον ἐπιφυομένους, οὐκ οἶδ' ἐφ' ᾧ τινι κέρδει φαμὲν μὴ οὕτως ὑμᾶς, μὴ πρὸς τῶν αὐτὰς θεολογησάντων Πατέρων, μὴ πρὸς τῆς ἀληθείας, μεθ' ἧς ἐκεῖνοι ταύτας ἐθεολόγησαν, μὴ πρὸς τῆς Τριάδος αὐτῆς, δι' ἣν ἐκεῖνοι πολλὰ ἐπὶ ταῖς θεολογίαις ταύταις ἐμόγησαν, ἀρκοῦσιν ἃς ἄλλοι διαστροφὰς κατὰ καιροὺς ἀπειργάσαντο. Ὁ μὲν γὰρ τὸ, *τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου*, τῶν τοῦ Νύσσης λόγων ἀπῆλειψεν· ὁ δὲ τῶν τοῦ μεγάλου Βασιλείου τὸ, *Παρ' αὐτοῦ ἔχον τὸ εἶναι*, τὸ παρὰ τοῦ Υἱοῦ δηλονότι τὸ Πνεῦμα εἶναι τὸ ἅγιον· ἕτερος ὅπου ὁ Νύσσης, *ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πνεύματι μόνῳ προσοῦσαν πιστεύσηται*, ἔγραψε, τῷ *Πατρὶ* μεταποιήσας ἔθηκεν· ἄλλος τὸν αὐτὸν Νύσσης εὑρὼν, *προθεωρεῖσθαι τὸν Υἱὸν τῆς τοῦ Πνεύματος ὑποστάσεως, κατὰ τὸν τῆς αἰτίας λόγον* θεολογοῦντα, τὸ, *Πνεύματος*, εἰς τὸ, *Πατρὸς* μετεποίησε· καὶ πάλιν ὅπου ὁ αὐτὸς, *τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖσθαι*, εἰρήκει, ὁ μεταποιῶν ταῖς διὰ σιδήρου ξυσμαῖς τὴν ἐξ δίεγραψε πρόθεσιν· καὶ πάλιν ἕτερος, ἐν οἷς ὁ ἅγιος Ἐπιφάνιος ἔφη· *Εἰ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πνεύματος πιστεύεται*, ἔγραψε. Τοσούτων οὖν καὶ πρὸς τούτοις ἑτέρων ἐν ταῖς γραφαῖς γεγονότων ἐπισφαλῶν, μὴ καὶ ὑμεῖς ἐπηρεαστικῶς ταῖς ἐννοίαις αὐτῶν ἐπιφύεσθε.

B 23. His de divi Damasceni dicto examinatis, nunc ad vos, qui divinis Scripturis magis ac magis improbe ac contentiose adhæretis, nescio quo usu, dicimus : Ne hoc modo vos geratis, ne per Patres ipsos, qui eas exposuerunt, ne per veritatem, cum qua illi eas examinarunt, ne per Triadem ipsam, in qua illi asserenda extra modum insudarunt : satis sunt, quas alii alio atque alio tempore perversitates commenti sunt. Alius siquidem illud, *quod vero ex illo, quod continue est ex primo*, ex scriptis Nysseni erasit : alius ex commentariis magni Basilii, *Qui ab ipso quod sit habet*, a Filio scilicet Spiritum sanctum esse : alius ubi Nysseni verba erant, *ut processionis tantum proprietatem Spiritui soli inhærentem confirmaret*, *Patri* litteris C immutatis apposuit : alius cum reperisset decernentem eumdem Nyssenum, *Filium præintelligi Spiritus hypostasi secundum causæ rationem*, loco *Spiritus*, *Patris* supposuit : rursumque ubi idem, *Spiritum ex Filio esse attestari* dixerat, qui mutationem attentavit, ferro utens, præpositionem *ex* oblitteravit; itemque alius ubi sanctus Epiphanius dicit : *Quod si Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, sive ab utroque. Si Christus ex Spiritu creditur*, reposuit. Tot itaque ac tantis et præter has aliis in scriptura tentatis perfectisque perversitatibus, ne vos, inquam, contentiose eorum sententiis mordicus obsecundemini.

κδ'. Οἷον δὲ κἀκεῖνο παρατηρῆσαί ἐστιν· οἱ τὰς κατὰ Λατίνων κατὰ καιροὺς ἀντιῤῥήσεις ἐν ἰδίαις συγγραφαῖς ἐκτιθέμενοι, μὴ ἐξ ἀποδείξεων γραφικῶν εἰς ἄτοπόν τι περιστᾶν τὸ παρ' αὐτῶν λεγόμενον ἔχοντες, ἰδίας αὐτοὶ δογμάτων ἀρχὰς ἐνεπλάσαντο ὑπ' ἀρχηγῷ Φωτίῳ καὶ πρώτῳ τούτων εἰσηγητῇ· καὶ οὐκ ἄν τις ὡς εἰς ἄτοπόν τι ἀπαγόμενον ἀποδεῖξαι ἔχῃ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ, εἰ μή ἕνα μίαν τῶν πεπλασμένων τούτων προκαλεῖται ἀρχῶν. Τῶν δὲ τῆς μιᾶς μὲν τὸ ψεῦδος τῆς, *Πᾶν*, λεγούσης, *τὸ ἐπὶ τῆς Τριάδος λεγόμενον ἢ ἑνός τινι ἢ τῶν τριῶν*, ὑπὸ τοῦ τῆς θεολογίας ἐπωνύμου λαμπρῶς ἀπελέγχεται ἐν οἷς ἐκεῖνος, *Κοινὸν*, φησὶ, *Υἱῷ μὲν καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ*

D 24. Quale fuerit et illud animadversione minime indignum : Qui adversus Latinos aliis atque aliis temporibus contradictiones in propriis commentariis digesserunt, cum non possent ex scripto traditis demonstrationibus in absurdum, quod ab illis asseverabatur, deducere, propria dogmatum principia confinxisse, sub eorum duce Photio, primoque similium introductore; nullumque esse qui absurdum in se continere dictum illud, ex Patre et Filio demonstraverit, ni unum ex conflictis hisce principiis assumpserit; et unus quidem, ex illis, quod asserit, *Quidquid de Trinitate dicitur, aut unius est aut trium*, falsitas a Theologo Gregorio aperte refellitur, cum ille dicat : *Commune*

Digitized by Google Распознавание текста ABK/FR

enim est Filio et Spiritui sancto ex Patre esse. Quod si commune Filio et Spiritui sancto, duobus solis, ex Patre causam agnoscere, et hoc ab uno Patre, qui absque causa est, secernuntur; ubinam veritas latet, quæ in universali propositione prætenditur, *Nihil esse duabus personis in Trinitate commune?* Alteram etiam, *Quidquid de divinis hypostasibus dicitur, aut est hypostaticum, aut naturale*, communiter non pauca Patrum testimonia convellunt, quibus proprietates hypostaticæ naturaliter unicuique personæ inesse demonstrantur. Neque enim quod talis proprietas hypostatica est Patri, aut Filio, aut Spiritui sancto, propterea naturalis non est: natura enim et non positione Pater Pater est, quæ est suarum proprietatum prima, et natura Filius est Filius et non positione, quæ est suarum proprietatum potissima: et Spiritus sanctus naturaliter ex Patre procedit, et processiva suæ hypostasis proprietas naturaliter, soli illius hypostasi inest. Propterea quæ dicendum non erat, *Quidquid de divinis dicitur hypostasibus, aut est hypostaticum, sive proprium, quod idem fuerit, aut naturale.* Commune enim hypostaticis non vero naturale opponitur. Simul enim et communia et hypostatica naturaliter divinis hypostasibus insunt, et extraneum, et secundum accidens nullum in illis locum habent. Tertiam conflictarum propositionum decernentem, *hypostaticam Patris proprietatem esse, producere, aut emittere, quomodocunque id appellare placuerit, Spiritum sanctum*, testimonia illa redarguunt, in quibus Patris et Filii unitas in omnibus, quæ ex Patre per Filium dicuntur, apparet. Mihi vero duo tantum in præsentia producta satis superque erunt. Magnus Basilius octavo ad Amphilochium capite hæc habet: *Per Filium Patrem procreare, neque imperfectam Patris procreationem astruit, neque infirmam Filii operationem connotat, sed voluntatis unum ostendit idemque, adeo ut per Filium vox primariæ causæ confessionem contineat, non ad insinuandum causam effectricem assumatur.* Magnus item Athanasius oratione quarta adversus Arianos hunc in modum disserit: *Elargiente Patre gratiam et pacem, eam et Filius elargitur, una enim eademque gratia est ex Patre in Filio: uti est unum lumen solis et radii, et illuminatio solis per radium est. Propterea et Paulus ad Thessalonicenses scribens, « Ipse Deus et Pater noster et Dominus Jesus Christus dirigat viam nostram ad vos* [1], » *unionem Patris et Filii conservavit: neque enim dixit, dirigant, quasi a duobus id concederetur, sed, dirigat, ut ostenderet eam a Patre per Filium tradi.* Cum itaque magnus Basilius duarum personarum unionem in voluntate ex dictione *per Filium* manifestavit, et magnus Athanasius earumdem in elargienda a Patre per Filium gratia unionem, ex eo quod tradatur a Patre per Filium, comprobavit, nihil in posterum ex his, quæ ex Patre per Filium dicuntur,

[1] I Thess. III, 11.

τοῦ *Πατρός*. Εἰ γὰρ κοινὸν Υἱῷ καὶ ἁγίῳ Πνεύματι, τοῖς δυσὶ μόνοις τὸ ἐκ Πατρὸς αἰτιατὸν, καὶ τούτῳ τοῦ ἑνὸς ἀναιτίου Πατρὸς ἀποδιαστέλλονται, ποῦ τὸ ἀληθὲς τοῦ εἰς καθόλου πρότασιν ποιουμένου *Μηδέν τι εἶναι τοῖς δυσὶ προσώποις ἐπὶ τῆς ἁγίας Τριάδος κοινόν*. Τὴν δ' ἑτέραν τὴν, *Πᾶν τὸ ἐπὶ τῶν θεαρχικῶν λεγόμενον ὑποστάσεων ἢ ὑποστατικόν ἐστιν, ἢ φυσικόν*, λέγουσαν, κοινῶς αἱ πολλαὶ τῶν Πατέρων ἀπελέγχουσι χρήσεις, δι' ὧν πάντα τὰ ὑποστατικὰ ἰδιώματα φυσικῶς ἐνυπάρχειν ἑκάστῳ προσώπῳ ἀποδείκνυται. Οὐ γὰρ ὅτι ὑποστατικὸν τὸ τοιόνδε ἰδίωμα τῷ Πατρὶ, ἢ τῷ Υἱῷ, ἢ τῷ ἁγίῳ Πνεύματι, διὰ τοῦτο οὐ φυσικόν. Φύσει γὰρ καὶ οὐχὶ θέσει Πατὴρ ὁ Πατὴρ, τῶν αὐτοῦ ἰδιωμάτων τὸ πρῶτον, καὶ φύσει Υἱὸς ὁ Υἱὸς, οὐ θέσει τῶν ἰδιωμάτων αὐτοῦ τὸ ἐξαίρετον· καὶ τὸ Πνεῦμα τὸ ἅγιον φυσικῶς ἐκ Πατρὸς ἐκπορεύεται, καὶ ἡ ἐκπορευτικὴ τῆς ὑποστάσεως αὐτοῦ ἰδιότης φυσικῶς τῇ μόνῃ αὐτοῦ ἐνεστιν ὑποστάσει. Οὐκ ἔδει γοῦν διὰ ταῦτα λέγειν, *Πᾶν τὸ ἐπὶ τῶν θεαρχικῶν λεγόμενον ὑποστάσεων ἢ ὑποστατικόν ἐστι, ταυτὸν δ' εἰπεῖν ἴδιον, ἢ φυσικόν*. Τὸ γὰρ κοινὸν τοῖς ὑποστατικοῖς, οὗμενουν τὸ φυσικὸν ἀντιδιαστέλλεται. Ὁμοῦ γὰρ τά τε κοινὰ τά τε ὑποστατικὰ φυσικῶς ταῖς θεαρχικαῖς ἐνυπάρχουσιν ὑποστάσεσιν· εἴπερ μηδὲν τῶν θέσει, καὶ ἔξωθεν, καὶ κατὰ τὸ συμβεβηκὸς ὑπαρχόντων, χώραν ὅλως ἐπ' αὐτῶν ἔχει. Τὴν δὲ τῶν πεπλασμένων προτάσεων τρίτην, *τὴν εἰς ὑποστατικὴν ἰδιότητα τοῦ Πατρὸς διοριζομένην, τὸ προβάλλειν ἢ ἐκπορεύειν, ὅπως ἂν τις καὶ βούλοιτο λέγειν, τὸ Πνεῦμα τὸ ἅγιον*, ἐκείναι τῶν χρήσεων ἀπελέγχουσιν, ἐν αἷς ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ ἑνότης ἐπὶ πᾶσιν, ὅσα ἐκ Πατρὸς δι' Υἱοῦ λέγεται, ἀναφαίνεται. Καὶ εἰσὶ μὲν ἀληθῶς αὗται πολλαὶ, ἐμοὶ δὲ δύο μόναι κατὰ τὸ παρὸν παραληφθεῖσαι ἀρκέσουσιν. Ὁ μὲν γὰρ μέγας Βασίλειος ἐν τῷ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων οὕτω φησί· Τὸ *διὰ τοῦ Υἱοῦ δημιουργεῖν τὸν Πατέρα οὔτε ἀτελῆ τοῦ Πατρὸς τὴν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ Υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν, ἀλλὰ τὸ ἡνωμένον τοῦ θελήματος παρίστησιν, ὥστε ἡ δι' Υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται.* Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν τετάρτῳ λόγῳ οὕτω διέξεισι· *Διδόντος τοῦ Πατρὸς χάριν καὶ εἰρήνην, αὐτὴν καὶ ὁ Υἱὸς δίδωσι· μία γὰρ καὶ ἡ αὐτὴ χάρις ἐστὶ παρὰ τοῦ Πατρὸς ἐν Υἱῷ, ὡς ἔστιν ἓν τὸ φῶς τοῦ ἡλίου, καὶ τοῦ ἀπαυγάσματος, καὶ τὸ φωτίζειν τοῦ ἡλίου διὰ τοῦ ἀπαυγάσματος γίνεται. Διὰ τοῦτο καὶ Παῦλος πρὸς τοὺς Θεσσαλονικεῖς λέγων· « Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς, » τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐφύλαξεν· οὐ γὰρ εἶπε, κατευθύναιεν, ὡς παρὰ δύο διδομένης, παρὰ τούτου καὶ τούτου,

Digitized by Google Распознавание текста ABBYY FR

ἀλλὰ κατευθύναι, ἵνα δείξῃ, ὅτι ὁ Πατὴρ δι' Υἱοῦ δίδωσι ταύτην. Ὅτι γοῦν ὁ τε μέγας Βασίλειος τὴν ἐπὶ τῷ θελήματι τῶν δύο προσώπων ἑνότητα ἀπὸ τῆς δι' Υἱοῦ φωνῆς διηυκρίνησεν, ὁ τε μέγας Ἀθανάσιος τὴν ἐπὶ τῇ διδομένῃ παρὰ Πατρὸς καὶ Υἱοῦ χάριτι ἑνότητα αὐτῶν ἀπὸ τοῦ ἐκ Πατρὸς δι' Υἱοῦ δίδοσθαι αὐτὴν διεσάφησεν· οὐδὲν λοιπὸν τῶν ὅσα ἐκ Πατρὸς δι' Υἱοῦ λέγεται, συγχωρεῖται ἄλλως καὶ ἐπὶ ἑνότητι τοῦ Πατρὸς νοεῖσθαι διὰ τοῦ Υἱοῦ ἐστιν ὁ Πατήρ, πῶς ἐστι δυνατὸν εἰς ἢ ἐκπορεύειν; εἴ τι γὰρ ἰδίως ὁ Πατὴρ ἔχει, τοῦτο οὐκ ἔχει διὰ τοῦ Υἱοῦ, καὶ εἴ τι διὰ τοῦ Υἱοῦ, τοῦτο οὐκ ἰδίως. Ταύτην ἀληθῶς καὶ οὐκ ἄλλην ἡ

A permittit intelligi quam unionem Patris et Filii. Quare si Spiritus productor per Filium Pater est, qua ratione fieri potest, ut in hypostaticam ipsius proprietatem producere, aut emittere deferatur? si quid enim proprie Pater habet, illud per Filium non habet, et si quid per Filium, hoc vero non proprie. Hanc vere, nec aliam dogmatum ratio exquisita intelligentiam poscit.

κε'. Μὴ οὖν ὑμεῖς, ὅπερ ἔφην, τοῖς τε τὰς θείας κατὰ καιροὺς διεστρεβλωκόσι Γραφὰς, τοῖς τε ἰδίας ἀφ' ἑαυτῶν ἀρχὰς δογμάτων πλασαμένοις ἑπόμενοι, ἐπηρεαστικῶς καὶ αὐτοὶ ταῖς ἐννοίαις αὐτῶν ἐπιρύεσθε. Τί γὰρ τὸ ὄφελος πρὸς φανερὰν ὑμᾶς ἀντιλέγειν ἀλήθειαν; Τί δὲ τὸ κέρδος ἀσεβεῖς ἡμᾶς καὶ ἀθέους παρ' ὑμῶν ἀνέδην ἀποκαλεῖσθαι, ὅτι γε οὐδὲν κοινὸν λέγομεν εἶναι τὸ μετὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἰρηνεύσειν ἡμᾶς, Λατίνων μὲν *ἐκ Πατρὸς καὶ Υἱοῦ* λεγόντων *τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα*, ἡμῶν δὲ *ἐκ Πατρὸς καὶ Υἱοῦ προχεῖσθαι*, καὶ *προϊέναι*, τὰ γὰρ ἄλλα ἐῶ νῦν, πρεσβευόντων; Καὶ γοῦν εἰ καὶ τἄλλα παρατρέχομεν διὰ τὴν ἐπὶ πολὺ τοῦ λόγου ἐπέκτασιν, ἀλλὰ τάς δύο ταύτας ῥήσεις οὐδὲ νῦν ἀνεπισκέπτους ἐάσω. Ἔγωγε τέως, ὅταν τῷ μεγάλῳ ἐντύχω Κυρίλλῳ περὶ τοῦ Κυρίου λέγοντι πρὸς Ἑρμείαν ἐν τῷ ἕκτῳ τῶν πρὸς αὐτόν· *Ἀρά σοι σαφὲς τὸ παροισύεν ἐστι λόγιον, καὶ προσδέδορκας, ὅτι μὲν Πνεῦμα ἀληθείας ὠνόμασε τὸν Παράκλητον; ἔφη γε μὴν ὡς πρόεισιν ἐκ Πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ Πατρός.* Καὶ πάλιν ὅταν ἐν αὐτὸν εὑρίσκω ἐν τῷ αὐτῷ καὶ πρὸς τὸν αὐτὸν λέγοντα· *Συνίης οὖν ὅπως ὡς ἴδιον ἐπαγγέλλεται καταπέμψειν ἡμῖν τὸ ἐκ τοῦ Πατρὸς καὶ Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, προχεῖσθαί γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρός,* ἔνθους ὑφ' ἡδονῆς γίνομαι, καὶ συνυβρίζεσθαι αὐτῷ, καὶ συνβουλευεῖσθαι, ὁ πάντων ἀχρειότατος τῷ τῶν πολλῶν, εἰ καὶ μὴ πάντων ἀγιώτατος. Οὐ γὰρ ἐμὸν τοφαίνεσθαι τὰ τοιαῦτα φαντάζομαι, καὶ μήτε ὑν λόγων ἐπιμέμψεο τούτων, θειότατε ἅγιε Κύριε, μηδ' αὐθαδείας καὶ ἀλόγου με γράψεο θράους· οὐ γὰρ ἐγὼ, ἀλλ' οἱ παραλόγως ἐπηρεάζοντες ὡς ταῦτα ἐξενεχθῆναί με διηρέθισαν. Εἰ γὰρ ὁ ριος ἐν Εὐαγγελίοις *παρὰ τοῦ Πατρὸς ἐκπο-*ευεσθαι, ἔφη, *τὸ Πνεῦμα δὲ ἅγιον* εἰπεῖν λέγει Κύριον, νῦν μὲν ὅτι *τὸ Πνεῦμα πρόεισιν ἐκ* τρὸς, νῦν δὲ ὅτι *προχεῖται αὐτὸ ἐκ Πατρὸς*, ς ἔτι ἐπὶ τῷ τῶν λέξεων τούτων ἰσοδυναμένῳ ς τὸ ἐκπορεύεσθαι ἀμφιβαλῶ; Πάντως εἰ μὴ ὁ ος οὐδέν τι διαφέρειν ᾔδει τὸ ἐκπορεύεσθαι ς τὸ προχεῖσθαι, καὶ προϊέναι, οὐκ ἂν εἰρήκει μὲν ὅτι ὁ Κύριος ἐν Εὐαγγελίοις *προϊέναι ἐκ Πατρὸς* ἔφη *τὸ Πνεῦμα*, νῦν δ' ὅτι *ἐκ Πα-ς προχεῖσθαι αὐτὸ* διωρίσατο.

25. Ne itaque vos iis, qui divinas præscriptis temporibus Scripturas præverterunt, neque illis, qui ex semetipsis propria dogmatum principia commenti sunt, animum advertentes, contentiose eorumdem sententiis addicamini. Quæ enim utilitas fuerit apertam veritatem oppugnare? Quis usus, nos impios, atheosque a vobis impudenter compellari, quod nihil immundum dicamus esse, nos in Ecclesiæ Romanæ unione vivere, dum Latini dicunt, *ex Patre et Filio Spiritum procedere*, nos vero, *ex Patre per Filium effundi procedereque*, in reliquis vero eadem sentiamus? Et licet alia percurramus propter immodicam orationis prolixitatem, nihilominus duo hæc dicta in præsentia absque consideratione non præteribo. Ego enim cum magnum offendo Cyrillum de Domino dicentem sexto ad Hermiam libro: *Annon adductum eloquium apertum est, percepistique, Spiritum veritatis Paracletum nominasse? dixit equidem, eum prodire ex Patre, propria sibi omnia, quæ Patris sunt, ostendens.* Itemque cum ipsum offendo eodem libro et ad eumdem dicentem: *Percipis itaque quomodo uti proprium promittit nobis mittere Spiritum, qui ex Patre est, et Spiritum quidem veritatis nuncupat, illum vero effundi ex ipso Patre decernit*, animo equidem ob lætitiam rapior, dum una cum eo simul injuria afficior, et una simul nihili pendor, qui omnium vilissimus sum, nec omnium sanctissimus: neque enim mei muneris est similia decernere, nec mihi tantumdem arrogo, et ne pro his sermonibus queraris de me, divinissime Cyrille, neque mihi temeritatis, et vesanæ audaciæ crimen opponas, invitum siquidem me ad similia, qui absone absurdeque talia proponunt, compulerunt. Etenim si Dominus in Evangelio, *a Patre Spiritum sanctum*, dixit, *procedere*, ipse dixisse asserit, nunc *Spiritum prodire ex Patre*, nunc *effundi ex Patre*, qua ego ratione in posterum de dictionibus istis dubitavero, et an æquis viribus polleant in controversia ponam? Omnino sanctus, si quid discrimen esse inter procedere, et prodire, et effundi cognovisset, nunquam dixisset, nunc Dominus in Evangeliis dixit, *ex Patre Spiritum sanctum prodire*, nunc *ex Patre effundi* determinasset.

ς'. Εἰ γοῦν καὶ ὑμεῖς τῷ εἰρηνικῷ Χριστῷ

26. Igitur si vos discipuli Christi pacifici esse

Digitized by Google Распознавание текста ABK/FR

cuperetis, et in pace convenire, nunquam illam in aliud tempus protraheretis; nunc vero præpotentis nationis odia et simultates, paci, nescio qua ratione, væ mihi, præponentes, hoc unum solum susquedeque et colloquiis in omnibus suggeritis, eosdem ex Patre et Filio Spiritum procedere, ut prorsus manifestum est, decernere. Ego vero præ aliis, quæ alio atque alio tempore elocutus sum, nunc etiam addam, ab ipso prædicationis initio, post traditiones evangelicas et apostolicas, licet multæ res theologicæ pertractatæ sint, et annus trecentesimus et ultra præterierit ad ætatem magni Athanasii, neminem sanctorum per Filium, aut ex Filio Spiritum sanctum exsilire aut emanare, aut quid simile pronuntiasse, sed cum ab ipso principium habuissent magno Basilio auctore, et Nysseno, et magno Epiphanio, et Joanne Chrysostomo longum post tempus in apertum dictiones processisse; itemque ab ætate magni Athanasii ad ætatem magni Maximi cum alii trecentum et amplius anni præteriissent, neminem ex iis, qui de theologicis scripsere, per Filium Spiritum procedere dixisse, sed primum ipsum post tot annos hoc enuntiasse; subsecuto postmodum tempore, et fere post centum annos sanctum Tarasium hoc idem suis scriptis inseruisse: tum deinceps magnum Damascenum, et demum universam Ecclesiam communiter. Qui ergo pacate vereque similia considerat, ad benevolentiam et pacem amplectendam facili negotio traducetur. Omne siquidem dogma non statim ipsis dictionibus a primis Patribus, ut nunc enuntiatur, dictatum est, sed ut tempus et occasio disputationibus exortis concessit. Sic consubstantiale ex aliis atque aliis scripto traditis auctoritatibus Patres collegerunt: sic Trinitatis in omnibus comparem potentiam, et æqualem honorem: sic Deiparæ vocem, et alia, quorum in præsenti non ita facilis est enumeratio. Potest itaque dicere, qui ad pacem propensior est, quemadmodum maximus Maximus annis subsecutis post tercentum jam dictos, quod ante ipsum a Patribus pronuntiatum fuerat, per Filium exsilire, in illud, per Filium procedere immutavit, ita etiam apud Latinos Patres permultos cum Augustino, et Hieronymo, hos siquidem inter alios uti præcipuos et Photius ita dicere, et veluti dogma proponere affirmat, et hi inter eos, quos Ecclesia quoque nostra recipit absque ulla hæsitatione numerantur, quod Patres nostri exsilire et effundi ex Patre et Filio dixerant, in illud, ex Patre et Filio procedere, transvexisse, cum o linguæ angustiam forte ipsis aliud non suppeteret.

μαθητεύειν ἠβούλεσθε, συνελθεῖν πρὸς τὴν εἰρήνην οὐκ ἂν ἀνεβάλλεσθε. Νῦν δ' ὅτι τῆς μεγαλοδυνάμου γενεᾶς ταύτης τὴν ἔχθραν οὐκ οἶδα πῶς τῇ εἰρήνῃ, φεῦ! ἀνθαιρεῖσθε, ἐν τοῦτο μόνον ἄνω καὶ κάτω, καὶ πανταχοῦ τῶν λόγων προφέρετε, πῶς οἱ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα κατὰ τὸ πάντη πρόδηλον τεθεολογήκασιν. Ἐγὼ δὲ πρὸ; οἷς περὶ τούτου ἄλλοτε ἔφην, ἔχω καὶ νῦν εἰπεῖν, ὡς πῶς ἀπ' αὐτῆς ἀρχῆς τοῦ κηρύγματος μετὰ τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς παραδόσει;, πολλῶν θεολογιῶν ῥηθεισῶν, καὶ χρόνου ὑπὲρ τὸν τρὶς ἑκατὸν, μέχρι τοῦ μεγάλου Ἀθανασίου παρῳχηκότος, οὐδεὶς τῶν ἁγίων δι' Υἱοῦ ἢ ἐξ Υἱοῦ τὸ Πνεῦμα προΐεναι τὸ ἅγιον ἢ πηγάζειν, ἢ τὸ τῶν τοιούτων ἐθεολόγησεν, ἀλλ' ἐξ αὐτοῦ ταῦτα ἀρξάμενα διὰ τοῦ μεγάλου Βασιλείου, τοῦ Νύσσης τε, καὶ τοῦ μεγάλου Ἐπιφανίου, ὡσαύτως δὲ καὶ Ἰωάννου τοῦ Χρυσορρήμονος καθεξῆς προαχώρησαν. Καὶ πάλιν, πῶς ἀπὸ τῶν τοῦ μεγάλου Ἀθανασίου ἡμερῶν ἄχρι τοῦ μεγάλου Μαξίμου, κάνταῦθα δὲ τὴν τριττὴν ἑκατοντάδα χρόνος ὑπερανέβη, οὐδεὶς τῶν μέχρις αὐτοῦ θεολογησάντων, διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι ἔφη τὸ Πνεῦμα. Πρῶτος δὲ αὐτὸς τοῦτο μετὰ τοσάδε τε θεολόγηκεν ἔτη· ἐφεξῆς δὲ μετὰ ἕτερα ἔτη ὀλίγου τῶν ἑκατὸν δέοντα ὁ ἅγιος Ταράσιος ταῖς οἰκείαις γραφαῖς τοῦτο διέλαβεν· εἶτ' ὁ μέγας Δαμασκηνὸς, καὶ οὕτω λοιπὸν πᾶσα ἡ Ἐκκλησία κοινῶς πάντως. Ὁ μετὰ τῆς εἰρήνης καὶ ἀληθείας τὰ τοιαῦτα διασκοπούμενος πρὸς τὸ καλὸν θελὲς ἐντεῦθεν ὁδηγηθήσεται. Πᾶν γὰρ δόγμα οὐκ αὐτολεξεὶ ἀπὸ τῶν πρώτων παραυτίκα Πατέρων, ὡς νῦν ἔχει, ἐῤῥέθη, ἀλλ' ὡς ὁ καιρὸς πρὸς τοὺς κινουμένους λόγους ἐδίδου. Οὕτω γὰρ τὸ ὁμοούσιον ἐξ ἄλλων γραφικῶν ῥήσεων τοῖς Πατράσι συνήχθη· οὕτω τὸ τῆς Τριάδος κατὰ πάντα ὁμότιμον· οὕτω ἡ Θεοτόκος φωνὴ, καὶ τἆλλα, ὧν δυσχερὴς ἐν τῷ παρόντι ἡ ἀπαρίθμησις. Ἔστι γοῦν εἰπεῖν τὸν τὸ εἰρηνικώτερον μετιόντα, ὡς καθάπερ ὁ μέγιστος Μάξιμος μετὰ τοὺς ἐπέκεινα τῶν τριακοσίων χρόνους τὸ παρὰ τῶν πρὸ αὐτοῦ Πατέρων θεολογούμενον δι' Υἱοῦ προΐεναι εἰς τὸ δι' Υἱοῦ ἐκπορεύεσθαι ἐθεολόγησε· οὕτω καὶ οἱ παρὰ Λατίνοις Πατέρες Αὐγουστῖνος σὺν πολλοῖς ἄλλοις, καὶ Ἱερώνυμος· τούτους γὰρ κατ' ἐξαίρετον καὶ Φώτιος οὕτω λέγειν, καὶ δόγμα τίζειν συνίστησιν· οὗτοι δὲ τῶν παρὰ τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ δεκτῶν ὁμολογουμένως εἰσί· τὸ παρὰ τοῖς αὐτοῖς Πατράσιν ἡμῶν προΐεναι, καὶ προχεῖσθαι ἐκ Πατρὸς, καὶ Υἱοῦ θεολογηθὲν, εἰς τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι ἔφρασαν, μηδ' ἄλλως ἔχοντες ἴσως διὰ τὸ στενὸν τῆς γλώττης εἰπεῖν.

27. Magni porro Athanasii querimonias de iis, qui ob syllabas dictionesque nihil veritatem dogmatis lædentes Ecclesiarum dissidia procurant: necnon et Gregorii Theologi, et magni Basilii satis abunde in nostro volumine comprehendimus: nec de his plura hic addere in animo est. Verumtamen orationis faciem ad te convertentes, quem in proœmio nostrorum sermonum cognitorem

κζ'. Ὅπόσα δὲ ὁ μέγας Ἀθανάσιος τοῖς διὰ συλλαβὰς καὶ λέξεις μηδὲν τὴν τοῦ δόγματος ἀλήθειαν ἀδικούσας τὰ τῶν Ἐκκλησιῶν αἱρουμένοις σχίσματα ἐπιμέμφεται· ἔτι δ' ὁ τῆς θεολογίας ἐπώνυμος τῷ αὐτῷ Βασιλείῳ τῷ πάνυ ἀρκούντως ἐν τῇ ἡμετέρᾳ διειλήφαμεν βίβλῳ, καὶ πλέον οὐδὲν περὶ τούτων λέγειν βουλόμεθα. Ἀλλὰ τὸ τοῦ λόγου πρόσωπον πάλιν πρὸ; σὲ τρέψαντες, ὃν ἐν προοιμίοι; τῶν ἡμ

τέρων λόγων διαγνώμονα προεκαλεσάμεθα, πρὸς Θεοῦ σε καὶ τῆς ἀληθείας ὁρκίζομεν, τοῦ εὐθέος μηδὲν παρεγκλίναντα, διαγνῶναι ἀπάρτι, εἰ παρὰ τῶν ἡμῖν ἀντιλεγόντων δικαίως ἡμεῖς τῆς εὐσεβείας προδόται καὶ τῶν ὁμογενῶν λεγόμεθα Ῥωμαίων ἐχθροί, καὶ οὐχὶ αὐτοὶ ταῦτά εἰσι μᾶλλον καὶ δικαιότερον. Τοὺς γὰρ λόγους, καθ' οὓς ἂν τῶν ἐγκλημάτων δικαίως αὐτοῖς προσάψῃς; ἑκάτερον, ἔχεις ἱκανῶς ἀποδοθέντας παρ' ἡμῶν, ἔκ τε ὧν ἡ τοῦ θείου τῆς Ἀντιοχέων προέδρου, καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων ὁμωνύμου ἐπιστολὴ, καθ' ἱστορίαν ἡμῖν ἐχορήγησεν, ἔκ τε ὧν ἐν τοῖς τοῦ λόγου ἀγῶσι θεογραφικῶν διειλήφαμεν χρήσεων εἰς ἀπόδειξιν τῆς ἣν ἐπισφαλῶς ἀρνοῦνται ὑπάρξεως τοῦ παναγίου Πνεύματος δι' Υἱοῦ ἐκ Πατρός. Οὐ μικρὸν δὲ ἴσθι πρὸς τὴν ἑαυτῶν προβαλλομένους ἡμᾶς σύστασιν καὶ τὸ μὴ τὴν ὁδὸν ταύτην, ὡς νέαν καὶ ἀρτιτριβῆ ἀντικρυς ὁδεῦσαι ἡμᾶς, ἀλλ' ὡς ἅπαξ παρὰ τοῦ μεγάλου Μαξίμου διοδευθεῖσαν. Ἐκεῖνος γὰρ πρῶτος αὐτὴν καὶ ἔτεμε, καὶ διώδευσε, ὁ τῶν Λατίνων ἐλευθέραν πάντως ὑπερηγορῶν γλῶττῃ, ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι λεγόντων τὸ Πνεῦμα, καὶ εἰς τὸ ἐκ Πατρὸς δι' Υἱοῦ τὴν ὑπερηγορίαν ἑαυτοῦ ἀποτείνων. Καὶ σὺ μὲν τὸ τῆς διαγνώσεως οὕτως ἀπροσπαθὲς τήρησον· οἱ δὲ τὰ καθ' ἡμῶν ἀπόφημα θρασεῖ καὶ ἀπυλώτῳ ἀπερευξάμενοι στόματι, ἢ καὶ τολμηρᾷ χειρὶ γραφῇ παραδόντες αὐτὰ, ἐκεῖ ἀντικαταστήσονταί μοι, ὅπου κριτὴς ὁ τῶν ἐννοιῶν καθίσει, καὶ ἐνθυμήσεων ἐταστής. Οὐ γὰρ δὴ κἀκεῖ τῆς ἐκπορεύσεται ἀνθέξονται λέξεως, καὶ ὅσα ἐνταῦθα ἡμῖν περὶ ταύτης διενοχλήσουσιν, ἀλλὰ καὶ πρὶν ἡμᾶς περὶ ταύτης ἀπολογήσασθαι, ἅτε κριτὴς ἐννοιῶν ὁ κριτὴς, πρὸς τὴν ἔννοιαν πάντως ἀπίδῃ, καθ' ἣν ἡμεῖς τὴν τῶν Ἐκκλησιῶν εἰρήνην διεπραγματευσάμεθα, καὶ περὶ ἡμῶν μετὰ τῆς αὐτῶν ἐμφύτου ἀποφανεῖται χρηστότητος.

compellavimus, per Deum et ipsam veritatem obtestamur, ne a recto vel minimum declinans, ab hac hora dijudices, an juste nos a nostris adversariis pietatis proditores, et nostræ nationis, Græcorum nempe, hostes nuncupamur, et non ipsi potius et magis jure optimo sunt? Rationes enim ob quas utraque commemorata crimina ipsis appingas, habes a nobis abunde tibi expositas, tum ex iis, quæ divini Antiochenæ Ecclesiæ præsulis, et principis apostolorum cognominis epistola continet, et nobis ex historia subministravit, tum ex iis, quæ in ipso orationis certamine dicta sanctorum scripto edita collegimus ad demomstrandum sanctissimi Spiritus per Filium ex Patre exsistentiam, quam ipsi temere et non absque errore inficias eunt. Nec parvi momenti est, et velim scias, quod nos horum ad comprobationem proponimus, hanc viam non uti novam, nec uti jam nunc recens tritam ex professo ingressos esse, sed semel a magno Maximo calcatam, ipse siquidem primus illam et aperuit et pertransivit, qui libera lingua Latinorum defensionem suscepit, qui tradebant Spiritum ex Patre et Filio procedere, defensionem in illud ex Patre per Filium continuare, extendit. Et tu quidem sine ullo affectu dignotionem perficito. Qui vero contra nos inominata, et quæ dicto exprimere nefas est, audaci effrenoque ore eructarunt, aut temeraria manu scripto commiserunt, ex adverso constituentur, ubi judex cordium et cogitationum cognitor sedebit. Neque enim ibi pro dictione *procedendi* contra sese opponent, et quas nobis hic pro ea molestias exhibuerunt, renovabunt, sed et antequam nos de ea defensionem exordiamur, veluti cogitationum judex, apud quem judicium stabit, cogitationem prorsus introspiciet, qua nos Ecclesiarum pacem promovimus, et de nobis sua innata bonitate sententiam proferet.

ΤΟΥ ΑΥΤΟΥ

ΑΠΟΛΟΓΙΑ.

ΥΠΕΡ ΤΟΥ ΜΗ ΕΙΣ ΑΝΑΤΡΟΠΗΝ ΤΩΝ ΗΜΕΤΕΡΩΝ ΕΘΩΝ ΔΕΞΑΣΘΑΙ ΤΗΝ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΕΝΩΣΙΝ, ΑΛΛ' ΕΙΣ ΕΙΡΗΝΗΝ ΤΗΝ ΕΝ ΧΡΙΣΤΩ, ΔΙΑ ΤΟ ΣΥΜΦΩΝΕΙΝ ΑΥΤΑΣ ΑΛΛΗΛΑΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΔΟΓΜΑΤΟΣ ΕΝΝΟΙΑΝ.

EJUSDEM

APOLOGIA.

NULLO MODO NOSTRAS CONSUETUDINES DESTRUI, SI ECCLESIARUM UNIONEM ACCEPTAMUS, SED AD CONCILIANDAM IN CHRISTO PACEM MULTUM CONDUCERE, QUOD INTER SE IN ASSERENDO DOGMATE CONVENIUNT.

(Græcia orthod. II, 94.)

α'. Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω ῥήματα ἐκ στόματός μου. Οὐρανὸν καὶ γῆν ἐγὼ

1. Attende, cœlum, et loquar: et audiat terra verba oris mei. Cœlum et terram hodie meorum

Digitized by Google Распознавание текста ABK/FR

sermonum in audientiam provoco. At undenam mihi vocem adsciscam, cujus strepitum termini omnes finesque hauriant? Quod si similem vocem non nanciscar, quomodo votis meis ipse satisfaciam, qui cœlum et terram hodie ad meorum sermonum audientiam provocare motu quodam animi concitus sum? Verum qui piscatores legit, tantumque eorum virtutis imbecillitati ingessit, ut in omnem terram eorum sonus exierit, et in fines orbis terræ verba eorum processerint, vocis meæ remissum ac tenue virtutis suæ abundantia corroborabit, et universorum corda, apud quos meus hic sermo perveniet, ad amplectendum veritatem præparabit. Etenim si Deus veritas est, nam cum veritas audit, delectatur, et eum veritatem nuncupare, me David edocet, diriget sermones meos apud eos, qui per totum terrarum orbem a Christo sibi nomen assumunt, cum ad omnes, qui ubicunque terrarum Christiana compellatione gestiunt, non tantum ad præscriptas gentes et urbes, sed ad eos, qui in speluncis et montibus inhabitant, mendacii propugnator suæ calumniæ adversus nos retia tetendit.

2. Quænam porro calumnia, et quænam adversus eam nostra, qui eam perpetimur, responsio est? Eia agite, audite, omnes gentes, auribus percipite, omnes, qui habitatis terram, scitis equidem omnes, nemoque est qui id nesciat, quæ inter Dei Ecclesias senioris, inquam, Romæ, et junioris hujusce nostræ intercesserunt, diuturnas inimicitias, ita annuente pacis auctore Christo, qui colligit, et ut cohæreant facit, in bene fortunatam illam antiquam amicitiam conversas fuisse. Scitis præterea Satanam qui bonis invidet, et proprias simultates Christi paci opponit, qui semper omnes Christi asseclas insectatur atque oppugnat, plurimos ad pacem impediendam non modicum excitasse, et ut pacis commoda labefactaret, illud, licet non subsisteret, machinamentum invenisse. Rumorem in aures omnium influit, episcopum Constantinopolitanum suo patrocinio Ecclesiam Romanam, et quod ab illa in Symbolo additum fuerat defendere, ut Ecclesiam Græcorum simile Symbolum cum eadem additione recitare compellat. Et hujusce famæ alæ semel motæ, et per universum terrarum orbem incontinenti impetu circumvolitantes, calumniam adversus nos structam in omnium aures inge-runt.

3. Et hæc est calumnia contra nos. De ea vero responsionem, pro qua universum terrarum orbem ad audientiam provocavimus, non verborum verisimilitudine pertractabimus, quam in humanæ sapientiæ suadela suam quispiam digerens, sæpius subdole comminiscitur, sed veritatem demonstrabimus Ecclesiæ luminum ac magistrorum gestis factisque, ad quæ nos veluti in exemplum aspicientes, ad sermones hosce deve-

σήμερον τῶν ἐμῶν προκαλοῦμαι λόγων ἀκροατάς. Καὶ πόθεν μοι ἔσται φωνὴν ἐκρῆξαι πάντα δυναμένην περιιχῆσαι τὰ πέρατα; Καὶ εἰ μὴ τοιαύτης εὐπορήσω φωνῆς, πῶς τὴν ἔφεσιν ἀποπλήσαιμι, καθ' ἣν οὐρανὸν καὶ γῆν ἐγὼ σήμερον εἰς τὸ τῶν ἐμῶν λόγων ἀκροατήριον κεκίνημαι προσκαλέσασθαι; Ἀλλ' ὁ τοὺς ἁλιεῖς ἐκλεξάμενος, καὶ ἐπὶ τοσοῦτον τὸ ἀσθενὲς αὐτῶν ἐνισχύσας, ὡς εἰς πᾶσαν τὴν γῆν τὸν φθόγγον αὐτῶν ἐξελθεῖν, καὶ ὡς εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα ἀκουτισθῆναι αὐτῶν τὸ τῆς ἐμῆς φωνῆς ἀδρανὲς τῷ περιόντι τῆς αὐτοῦ δυνάμεως ἐνισχύσει, καὶ τὰρ ἁπάντων καρδίας, οἷς ὁ ἐμὸς οὗτος ἐνηχηθήσεται λόγος πρὸς τὴν τῆς ἀληθείας ὑποδοχὴν ἑτοιμάσει. Εἰ γὰρ θεὸς ἀληθείας ἐστὶν, ὅτι καὶ ἀλήθεια καλούμενος χαίρει, ἐπεὶ καὶ ἀλήθειαν αὐτὸν προσαγορεύεσθαι διδάσκει με ὁ Δαυΐδ, κατευθυνεῖ τοὺς λόγους ἡμῶν ἐνώπιον τῶν ἁπανταχοῦ τῆς οἰκουμένης Χριστιανῶν, ὅτι καὶ πρὸς τοὺς ἁπανταχοῦ γῆς τῶν ἀπὸ Χριστοῦ κεκλημένους ὀνόματι, οὐ μόνον εἰς ἔθνη διωρισμένους καὶ πόλεις, ἀλλὰ καὶ μέχρι τῶν ἐν σπηλαίοις οἰκούντων καὶ ὄρεσιν ὁ τοῦ ψεύδους ὑπερασπιστὴς τὰ τῆς αὐτοῦ διαβολῆς καθ' ἡμῶν ὑφήπλωσε δίκτυα.

β'. Τίς δὲ ἡ διαβολὴ, καὶ τίς ἡ ἐπὶ ταύτῃ παρ' ἡμῶν τῶν διαβληθέντων ἀπολογία; Δεῦτε ἀκούσατε πάντα τὰ ἔθνη· ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ἴστε πάντως οἱ πάντες, καὶ ὅστις ἀγνοεῖ τῶν ἁπάντων ἐστὶν οὐδείς, ὅπως ἡ μέσον τοῦ Χριστοῦ Ἐκκλησιῶν, τῆς παλαιοτέρας, φημὶ, Ῥώμης, καὶ τῆς νέας τε καὶ ἡμετέρας μακροχρόνιος ἔχθρα, τῇ τοῦ εἰρηνάρχου εὐδοκίᾳ Χριστοῦ, τοῦ τὰ διεστῶτα συνδέοντος, καὶ συνάπτοντος εἰς τὴν εὐκληρίαν τῆς παλαιᾶς ἐκείνης ἀπανῆλθεν εἰρήνης. Ἴστε δὲ καὶ ὅπως ὁ τοῖς ἀγαθοῖς ἀεὶ βασκαίνων Σατὰν, ὁ τὴν οἰκείαν ἔχθραν τῇ τοῦ Χριστοῦ ἀντεπεξάγων εἰρήνῃ, ὁ πᾶσιν ἀεὶ τοῖς τοῦ Χριστοῦ ἀντιστρατευόμενος καὶ ἀντιμαχόμενος, οὐκ ὀλίγα τοὺς πολλοὺς διεκύμανε τὸν τῆς εἰρήνης ἐμποδισμὸν, οὐκ εἶχε πῶς ἂν τοῦ τῆς εἰρήνης ἀγαθοῦ περιγένηται, πάντων ὑποστατὸν μηχάνημα τῆς αὐτοῦ κακίας ἐπάξιον ἐφευρίσκει. Καὶ τὸ μηχάνημα φήμην τινὰ ταῖς ἁπάντων ἀκοαῖς διακωδωνίζει, ὡς ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως συνηγορῶν ἐστι τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ ἐπὶ τῷ Συμβόλῳ παρὰ τῶν Ῥωμαίων γενομένῃ προσθήκῃ, ἵνα καὶ τὴν τῶν Γραικῶν Ἐκκλησίαν ἀναπείσῃ τὸ τοιοῦτον Σύμβολον μετὰ τῆς αὐτῆς προσθήκης ἀναγινώσκειν. Καὶ τὸ τῆς φήμης πτερὸν ἅπαξ λυθὲν, καὶ ἀκατασχέτῳ ῥύμῃ πρὸς τὴν οἰκουμένην ἅπασαν διαπτὰν, τῆς καθ' ἡμῶν διαβολῆς πᾶσαν ἀκοὴν ἐμπιπλᾷ.

γ'. Καὶ ἡ μὲν καθ' ἡμῶν διαβολὴ αὕτη. Ἡ δ' ἐπὶ ταύτῃ ἀπολογία, ὑπὲρ ἧς καὶ τὸ παγκόσμιον ἀκροατήριον προσκαλούμεθα, οὐ πιθανότητι συγκροτηθήσεται λόγων, οὓς ὁ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης διεξάγων τὰ καθ' αὐτὸν, ἔστιν ὅτε σοφίζεται, ἀλλ' ἀπόδειξιν τῆς ἀληθείας ποιήσεται τὰ παρὰ τῶν τῆς Ἐκκλησίας φωστήρων καὶ διδασκάλων γεγενημένα πάλαι καὶ πεπραγμένα, πρὸς ἃ γε ὡς εἰς ἀρχέτυπον ὁρῶντες ἡμεῖς ἐπὶ τοὺς λόγους ἥλθομεν τούτους ὑπὲρ

Digitized by Google Распознавание текста ABK/FR

ὧν ἡ καθ' ἡμῶν συκοφαντία πανταχοῦ διακεκωδώνιται. Ἁπλοῖ γὰρ ὄντες ἡμεῖς καὶ τὴν κατὰ Χριστὸν ἁπλότησα ὡς ἱμάτιον ἀμφιεννύμενοι ἀπερίεργον τὴν ἀπολογίαν ποιησόμεθα, τῆς ἀῤῥητοῦς τῶν ἀκροατῶν διαγνώσεως ἀναρτήσαντες, ἐπιστῆσαι καὶ ἀκριβώσασθαι, εἴτε κατὰ τὸν τῇ Ἐκκλησίᾳ παραδοθέντα τύπον ὑπὸ τῶν Πατέρων συνηγορεῦντες ἡμεῖς ἐσμεν τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ ἐπὶ τῇ ἐν τῷ Συμβόλῳ παρὰ τῶν Ῥωμαίων γενομένῃ προσθήκῃ, εἴτε κατά τινα ἰδιόῤῥυθμίαν γνώμης, καὶ ὡς οἱ διαβάλλοντές φασι, περιῤῥόνησιν ἐθῶν τε καὶ τάξεων πατρικῶν. Αὐτίκα τὸν τοῦ Ἐκκλησιαστικοῦ στερεώματος ἥλιον, τὸν πολὺν καὶ μέγιστον Ἀθανάσιον, οὗ καὶ ὁ λόγος ἀῤῥητος, καὶ ὁ τρόπος ἀμίμητος, ἐπεὶ ἐν ταῖς ἡμέραις αὐτοῦ σκάνδαλον οὐ τὸ τυχὸν ἀνεῤῥάγη μέσον τῶν Ἐκκλησιῶν τούτων αὐτῶν, περὶ ὧν νῦν ὁ λόγος ἡμῖν, εὑρίσκομεν τὴν καταλλαγὴν ἀμφοτέρων οὐδενὶ τῷ ἄλλῳ τρόπῳ διοικονομησάμενον, ἀλλ' ἢ τῷ συνηγορῆσαι τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἐφ' οἷς οἱ κατὰ τὴν Ἑῴαν πρὸς ἀντίπαλον μοῖραν τοὺς ἐν ἐκείνῃ κεκρίκασι. Καὶ τίς ἡ συνηγορία; αὐτὸς ἐκεῖνος ἐνταῦθα παρίτω, καὶ ταῖς τῇ αὐτοῦ γλώσσῃ ἐκφωνηθείσαις λέξεσιν ἀπαγγελλέτω ἡμῖν. Ἐν γὰρ τῷ πρὸς Ἀντιοχεῖς τόμῳ οὕτω φησίν· *Οὓς γὰρ ἐμέμφοντό τινες, ὡς τρεῖς λέγοντας ὑποστάσεις διὰ τὸ ἀγράφους καὶ ὑπόπτους ἐντεῦθεν εἶναι τὰς λέξεις, ἠξιοῦμεν μηδὲν πλέον ἐπιζητεῖν τῆς κατὰ Νίκαιαν ὁμολογίας· ἀνακρίνειν δὲ ὅμως τούτους διὰ τὴν φιλονεικίαν, μὴ ἄρα ὡς οἱ Ἀρειομανῖται λέγουσιν ἀπηλλοτριωμένας καὶ ἀλλοτριουσίους ἀλλήλων· ἢ ὡς ἄλλοι αἱρετικοὶ τρεῖς ἀρχὰς καὶ τρεῖς θεοὺς λέγουσι.* Καὶ μετὰ τὴν παρ' αὐτῶν προενεχθεῖσαν ἑρμηνείαν τῶν λέξεων εἰς ἔννοιαν εὐσεβῆ ἐπιφέρει· *Ἀποδεξάμενοι δὲ τούτων τὴν ἑρμηνείαν τῶν λέξεων, καὶ τὴν ἀπολογίαν ἐκρίναμεν τοὺς αἰτιασθέντας παρὰ τούτων ὡς λέγοντας μίαν ὑπόστασιν, μὴ ἄρα ὡς Σαβέλλιος φρονεῖ, οὕτω καὶ οὗτοι λέγουσιν ἐπὶ ἀναιρέσει τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Εἶτα καὶ τὴν αὐτῶν ἐπὶ τῇ ἀνακρίσει ταύτῃ ἀπολογίαν καταστρωννύει τῷ λόγῳ, καὶ ἐφεξῆς τῷ συμφώνῳ τῆς ἐννοίας ἐπὶ τῷ διαλλάττοντι τῶν λέξεων ἐπιζειάζων φησίν· *Ἀμέλει κἀκεῖ οἱ αἰτιασθέντες ὡς εἰρηκότες τρεῖς ὑποστάσεις συνετίθεντο τούτοις· καὶ αὐτοὶ δὲ οἱ εἰρηκότες μίαν ὑπόστασιν κατ' ἐκείνων ὥσπερ ἡρμήνευσαν καὶ ὡμολόγουν.* Καὶ προβαίνων τοῖς ἤδη ῥηθεῖσιν ἐπισυνείρει· *Τούτων τοίνυν οὕτως ὡμολογηθέντων, παρακαλοῦμεν ὑμᾶς, τοὺς μὲν οὕτως ὁμολογοῦντας καὶ διερμηνεύοντας οὕτω τὰς λέξεις, ἃς λέγουσι, μὴ κατακρίνητε, μηδὲ προπετῶς ἀποβάλλεσθε, ἀλλὰ μᾶλλον εἰρηνεύοντας καὶ ἀπολογουμένους προσλαμβάνεσθε τοὺς δὲ μὴ βουλομένους οὕτως ὁμολογεῖν καὶ διερμηνεύειν τὰς λέξεις, τούτους κωλύετε καὶ ἐντρέπετε ὡς ὑπόπτους τῷ φρονήματι. Τούτων δὲ μὴ ἀνεχόμενοι συμβουλεύετε κἀκείνοις, τοῖς ὀρθῶς διερμηνεύουσί τε καὶ φρονοῦσι, μηδὲν πλέον ἀλλήλους ἀνακρίνειν, μηδὲ λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον, μήτε ταῖς τοιαύταις*

A nimus, quorum causa adversus nos structa calumnia ubique locorum diffusa est. Namque cum nos simplices simus, quæ Christi est, simplicitate circumamicti, absque ullo artificio responsionem edemus, neutram in partem propenso auditorum judicio committentes, ut attento animo examinetur atque dijudicetur, an forma a Patribus Ecclesiæ traditam Ecclesiam Romanam pro additione, ab eadem in Symbolo facta, defendimus, an vero propria sententia temere moti, et, ut accusatores contendant, nostrarum consuetudinum ac paternorum ordinum neglectu. Et ante alios ecclesiastici firmamenti solem, gravem in rebus agendis et maximum Athanasium, cujus sermo inexpugnabilis, et vitæ ratio inimitabilis est, cum suo ævo scandalum non leve inter has easdem Ecclesias, de quibus nos modo verba facimus, exortum esset, earumdem reconciliationem nullo alio modo peregisse invenimus, quam Romanæ defensione de iis suscepta, pro quibus rem Orientales in contrariam partem trahentes Romanos condemnabant. Quæ vero fuerit defensio, idem hic veniens suamet lingua dictatis vocibus nobis significet. Namque ad Antiochenos tomo hunc in modum edisserit: *Illis enim, qui nonnullos incusabant, ut trium hypostaseon affirmatores, cum hujusmodi voces in Scripturis non reperirentur, ac proinde suspectæ videri possent, auctores fuimus, ne amplius in Nicænam confessionem inquirerent: sed tamen de istis ob pervicaciam rixandi quæstio est habita, interrogatique sunt, num ex Arianorum sententia alienas peregrinasque, ac diversæ a se invicem substantiæ personas esse velint; an ut alii hæretici tria principia, et tres deos constituent.* Et post eorum in vocibus similibus rectam ac piam interpretationem subdit: *Approbata igitur ejusmodi interpretatione ac responsione, vicissim quoque et examinavimus, qui ab istis in culpam devocabantur, quasi dicerent, esse unam hypostasim, sciscitantes ab illis, num pro Sabelliano dogmate ea mente loquerentur, ut sublatos vellent ex Trinitate Filium et Spiritum sanctum.* Tum eorumdem responsionem suggerit: statimque concordans sententiæ cum dictionum dissidio laudans, connectit: *Quinimo et illi, qui eo crimine postulati erant, quod tres hypostases inducerent, cum istis in eamdem sententiam convenerunt, vicissimque illi qui unam hypostasim asseverarant, istorum interpretationi acquieverunt.* Et prosequens orationem, jam dictis illa quoque superaddit: *Cum igitur istiusmodi illorum fuerit confessio, adhortamus vos ne eos, qui ita confitentur, talemque interpretationem suæ confessioni accommodant, vos temere condemnare ac rejicere velitis, sed potius admissa illorum excusatione recipiendos putetis: eos contra qui talem confessionem non edunt, neque tali interpretatione in istis verbis utuntur, arcere vos vellemus, et adversari, ut suspectæ mentis homines. Cæterum cum illos tolerandos non censebitis, consuletis illis, qui recte interpretantur, et recte sentiunt; ne ulterior ulla inter vos adhi-*

Digitized by Google Распознавание текста ABK/FR

bratur disquisitio, neque verborum pugnis studeatis ad nullam prorsus utilitatem, sed sensus cogitationesque pietatis exhibere. Nam qui ita affecti non sunt, sed tantummodo super istiusmodi voculis contentiose rixantur, et aliud quidpiam præterquam quod Nicææ scriptum est, requirunt, hi profecto nihil aliud agunt, quam quod proximis suis turbidam subversionem propinant, ut inimici, et discordiarum schismatumque æmulatores. Item: *Impietas quidem modis omnibus abrogatur, licet eam variis verbis et probabilibus argutiolis circumvestire quis tentet. Pietatem autem colere justum omnes confitentur, et si peregrinis quibusdam vocibus utantur, dummodo dicens, piam sententiam teneat, illisque, quod in animo habet, pie enuntiet.* Rursumque post alia: *Itaque si verba illi hæc veluti peregrina abjudicant, teneant sententiam, secundum quam synodus ita scripsit. Quod licet voces non ita in Scripturis reperiantur, sed, ut antea dictum est, ex Scripturis sententiam, sortiantur, eamque pronuntiatæ significant apud eos, qui pietati aures integras conservarunt.* Hi Athanasianæ linguæ instar tonitru fulgurantis strepitus, quem nos prælucidum terrarum orbis lumen sua ætate similibus dispositionibus, ac sententiis concordiam Ecclesiarum perficientem cum invenissemus, magni momenti esse, illius vestigiis insistere, existimantes, et veluti duce eo lumine illustrari, similibus illius in ædificationem Ecclesiarum, cujus lapis angularis et colligator Christus Deus est, dispositionibus ad Romanæ Ecclesiæ unionem nosmetipsos tradidimus, pugnis verborum ad nullam utilitatem, et dictionum, oppugnationibus, in quibus sensus cogitationesque pietatis Romanæ Ecclesiæ cum nobis concordant neglectis, ne et ipsi audiamus, voculis contentiose rixari, et subversionem turbidam, ut pacis inimicos, et discordiarum schismatumque æmulatores proximis propinare.

4. Agite igitur, sermonum meorum auditores, neutram in partem propensi, per Triadem ipsam, per universas cœlestes virtutes, dijudicate, an calculos juste contra nos ferunt, qui magnum nobis crimen appingunt, cum Ecclesia Romana sentire in iis, quæ illa quam piissime confitetur: licet enim Romani arguantur duo principia et duas causas in sanctissima Triade statuere, sed accusationem amoliuntur, cum unum principium et unam causam se tenere profitentur. Athanasius cum Romana Ecclesia concordat, eamque defendit, cum nullum prævium habeat suæ defensionis exemplum, neque factum præcedens quod imitaretur; tumque cum Itali in potissimis errare reputabantur, tanquam qui de Sabellismo suspecti erant, uti unius hypostasis in sancta Triade assertores. Et nos paternarum ordinationum prævaricationis insimulamur, qui veluti discipuli Athanasium sequimur, et ad illius actiones veluti in archetypum et exemplar nos conformamus. Ego quidem

A λέξεσι διαμάχεσθαι, ἀλλὰ τῷ φρονήματι τῆς εὐσεβείας συμφωνεῖν. Οἱ γὰρ μὴ οὕτω διανοούμενοι, ἀλλὰ μόνον ἐπὶ τοῖς τοιούτοις λεξειδίοις φιλονεικοῦντες, οὐδὲν ἕτερον ποιοῦντές εἰσιν, ἢ ποτίζουσιν ἀνατροπὴν θολερὰν τὸν πλησίον, ὡς φθονοῦντες τῇ εἰρήνῃ, καὶ ἀγαπῶντες τὰ σχίσματα. Καὶ ἔτι· Τὸ μὲν ἀσεβεῖν παντελῶς κεκώλυται, κἂν ποικίλοις ῥήμασι, καὶ πιθανοῖς σοφίσμασι περιβάλλειν αὐτό τις ἐπιχειρεῖ· τὸ δ' εὐσεβεῖν ὅσιον παρὰ πᾶσιν ὡμολόγηται, κἂν ξενιζούσαις λέξεσί τισι χρήσηται, ἕως μόνον ὁ λέγων εὐσεβὲς ἔχει τὸ φρόνημα, καὶ δι' αὐτῶν, ὃ νενόηκεν, εὐσεβῶς βούλεται σημαίνειν. Καὶ αὖθις μεθ' ἕτερα· Οὐκοῦν εἰ τὰ ῥήματα ταῦτα ὡς ξένα προφασίζονται οὗτοι, φρονείτωσαν τὴν B διάνοιαν, καθ' ἣν ἡ σύνοδος οὕτως ἔγραψεν, ὅτι εἰ καὶ μὴ οὕτως ἐν ταῖς Γραφαῖς εἰσιν αἱ λέξεις, ἀλλὰ καθάπερ εἴρηται πρότερον, τὴν ἐκ τῶν Γραφῶν διάνοιαν ἔχουσι, καὶ ταύτην ἐκφωνούμεναι σημαίνουσιν τοῖς ἔχουσιν εἰς εὐσέβειαν τὴν ἀκοὴν ὀλόκληρον. Ταῦτα μὲν τῆς Ἀθανασίου βροντοφώνου γλώττης τὰ ἀπηχήματα. Ἡμεῖς δὲ ἐπὶ τοιαύταις οἰκονομίαις καὶ ἐπὶ τοιούτοις διανοήμασι τὸν διαφανῆ τῆς οἰκουμένης φωστῆρα ἐκεῖνον εὑρίσκοντες τὴν καταλλαγὴν τῶν Ἐκκλησιῶν ἐν ταῖς αὐτοῦ ἡμέραις διοικονομησάμενον, καὶ μέγα ἡγούμενοι κατόπιν ἐκείνου βαίνειν, καὶ ὡς ὁδηγῷ φωτὶ ἀναυγάζεσθαι τοῖς παρ' ἐκείνου διῳκονομημένοις εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομήν, ἧς ἀκρογω- C νιαῖος καὶ συνδέτης λίθος Χριστὸς ὁ Θεός, πρὸς τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καταλλαγὴν δεδώκαμεν ἑαυτούς, τὸ λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον διαπτύσαντες, τὸ ταῖς λέξεσι διαμάχεσθαι, ἐφ' οἷς τῷ φρονήματι τῆς εὐσεβείας συμφωνοῦσαν ἡμῖν τὴν τῆς Ῥώμης Ἐκκλησίαν κατενοήσαμεν, ἀποπέμψαντες, ὡς ἂν μὴ ἀκούσωμεν καὶ αὐτοὶ φιλονεικοῦντες εἶναι τοῖς λεξειδίοις, καὶ ἀνατροπὴν θολερὰν τὸν πλησίον ποτίζοντες, ὡς φθονοῦντες τῇ εἰρήνῃ καὶ ἀγαπῶντες τὰ σχίσματα.

δ'. Δεῦτε οὖν, ὦ τῶν ἐμῶν λόγων ἀκροαταί, δικάσατε ἀῤῥεπῶς πρὸς τῆς Τριάδος αὐτῆς, πρὸς πάσης ἐπουρανίου δυνάμεως, εἴ γε δικαίας τὰς καθ' ἡμῶν ἐκφέρουσι ψήφους οἱ μέγιστον ἡμῖν προσάπτοντες ἔγκλημα, τὸ συνηγορεῖν τῇ Ῥωμαϊκῇ Ἐ- D κκλησίᾳ, ἐφ' οἷς τὸ τῆς ἐννοίας εὐσεβέστατον διομολογεῖ, κατηγορουμένους μὲν ὡς ἐπὶ δόξῃ δύο ἀρχῶν καὶ δύο αἰτίων ἐπὶ τῆς μακαρίας Τριάδος, ἀποβαλλομένους δὲ τὴν κατηγορίαν κατὰ τὸ μίαν ἀρχὴν καὶ μίαν αἰτίαν πρεσβεύειν καὶ διομολογεῖν. Ἀθανάσιος τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ συνηγορεῖ, μηδὲν ἔχων τῆς συνηγορίας ἀρχέτυπον, καὶ πρὸς μηδὲν ἄλλο παράδειγμα τὴν αὐτοῦ ἀπευθύνων συνηγορίαν, καὶ ταῦτα ἐφ' οἷς Ἰταλοὶ τὰ μέγιστα προσπταίειν ἐδόκουν. Σαβελλιασμοῦ γὰρ παρεῖχεν ὑπόνοιαν μιᾶς ὑποστάσεως ἐπὶ τῆς Τριάδος ὁμολογία. Καὶ ἡμεῖς παραβάσιας τῶν πατρικῶν διατάξεων ἐγκαλούμεθα, ὡς μαθηταὶ διδασκάλῳ Ἀθανασίῳ ἑπόμενοι, καὶ πρὸς τὰς ἐκείνου πράξεις, ὡς εἰς παράδειγμα καὶ ἀρχέτυπον, τὰς ἑαυτῶν ἀπευθύνοντες. Ἐγὼ μὲν

Digitized by Google Распознавание текста ABBYY FR

οἶμαι μὴ πλειόνων ἔτι δεηθῆναί με λόγων ἀποδείξεως ἕνεκα τοῦ μὴ κακῶς μηδ' ἐπισφαλῶς τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας συνηγορίαν ποιεῖσθαι ἡμᾶς, τὸ τῶν λέξεων παρορῶντας ἀσύμφωνον, καὶ τὸ τῆς ἐννοίας ἁρπάζοντας σύμφωνον, διὰ τὸ θεοφιλὲς τῆς εἰρήνης καὶ ἔνθεσμον· εἰ δὲ διὰ τὴν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν εὐαγγελικὴν πίστιν τῶν λεγομένων δέει καὶ ἑτέρους τῶν τῆς εὐσεβείας διδασκάλων παραγαγεῖν συνηγοροῦντας μέντοι, οὐ μέντοι γε μέχρι καὶ τοῦ μεταστῆσαι τοὺς ἀντιλέγοντας εἰς τὸ, ἐφ' ᾧ καὶ τὴν συνηγορίαν ἐποιοῦντο, ἀλλὰ μέχρι τῆς εἰρήνης τῶν μερῶν ἀμφοτέρων τὸν ὅλον σκοπὸν τῆς οἰκείας διαθέσεως ἀποτείνοντας, ὡς τοῦ εἰρηνάρχου Χριστοῦ μιμητὰς τοῦ τὰ διεστῶτα συνδέοντος· καὶ συνάπτοντος, καὶ ὁ πολὺς τὰ θεῖα Βασίλειος ἐνταυθοῖ παραχθήσεται, καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἀξιώνυμος ἐπισυγκροτήσει τοῖς εἰρημένοις. Ὁ μὲν γὰρ ὁ πολὺς τὰ θεῖα Βασίλειος τοὺς μὴ λέγοντας τὸ Πνεῦμα Θεὸν συγκαταλλάξαι σπεύδει τοῖς Θεὸν αὐτὸ καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ τρανῇ τῇ γλώττῃ ἀνακηρύττουσιν· ὁ δὲ μέγας ἐν θεολόγοις Γρηγόριος τὴν αὐτὴν ὁδὸν τῆς τῶν μερῶν τούτων καταλλαγῆς μετερχόμενος, οἷς λέγει προσεπιφέρει. Μηδὲ γὰρ τὸ τῶν Ἰουδαίων ἔθνος ἀποβαλεῖν ἂν, εἰ τὴν τοῦ εἰλημμένου φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι. Ἀλλ' οὔτε ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος συνηγορῶν τοῖς μίαν ὑπόστασιν λέγουσιν, ἐπὶ τοσοῦτον συνηγόρει ἐκείνοις, ἐφ' ὅσον μεταστῆσαι τοὺς τὰς τρεῖς δογματίζοντας ὑποστάσεις εἰς τὴν ἐκείνων ὁμολογίαν· οὔτε ὁ μέγας Βασίλειος εἰς σπονδὰς καταλλάττων εἰρηνικὰς τούς τε Θεὸν ἀνεπισκιάστως τὸ Πνεῦμα ὁμολογοῦντας, καὶ τοὺς μὴ Θεὸν αὐτὸ λέγοντας, ἐν ἄλλαις δὲ φωναῖς τὸ ἴσον ἐμφαίνοντας, συνηγορῶν ἦν τοῖς μὴ λέγουσι Πνεῦμα Θεὸν, ὥστε πρὸς τὴν αὐτὴν δόξαν καὶ τοὺς λέγοντας μεταστῆσαι· ἀλλ' οὐδὲ τῆς θεολογίας ἐπώνυμος, τότε εἰς αὐτὸν ἦκον, τὸ Ἰουδαίων παραδεχόμενος ἔθνος, εἰ τὴν *τοῦ εἰλημμένου* φωνὴν δεξάμενον ἀντὶ τῆς Χριστοῦ, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι, συνηγορῶν ἐπὶ τῇ φωνῇ ταύτῃ τῇ *τοῦ εἰλημμένου*, ὥστε πείθειν καὶ τοὺς μήπω λέγοντας μετέπειτα χρῆσθαι αὐτῇ. Καὶ ἡμεῖς τοίνυν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης συνηγοροῦντες ἐπὶ τοσοῦτον συνηγοροῦμεν, ἐφ' ὅσον μεταστῆσαι εἰς τὸ λέγειν, ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, τοὺς ἀρχῆθεν καὶ ἐς δεῦρο ἐν τῷ Συμβόλῳ τῆς πίστεως ἀναγινώσκοντας, ἐκπορευόμενον αὐτὸ ἐκ Πατρός. Ἀλλ' ὡς οἱ τῆς οἰκουμένης φωστῆρες ἐκεῖνοι πρὸς τὸ τῆς ἐννοίας σύμφωνον ἀφορῶντες μέχρι τῆς εἰρήνης τὴν τῆς συνηγορίας σπουδὴν ἐπεδείκνυντο· οὕτω καὶ ἡμεῖς ὡς μαθηταὶ διδασκάλοις ἐκείνοις ἑπόμενοι, οὐ τῇ λέξει, ἀλλὰ τῇ ἐννοίᾳ τὸ πᾶν τῆς καταλλαγῆς χαριζόμενοι μέχρι τῆς εἰρήνης τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ συνηγοροῦμεν. Ἀλλ' οἱ μὲν συκοφαντεῖν ἕτοιμοι, καὶ διαβάλλειν εὐχερεῖς πάντα, συκοφαντείτωσαν, διαβαλλέτωσαν. Ἔστιν ὁ δικάσων Θεός. Ἔστι πάντως κριτής, παρ' οὗ τὰς εὐθύνας καὶ τῶν λόγων, καὶ τῶν τρόπων εἰσπραχθησόμεθα. Ἡμεῖς

opinor, non esse pluribus opus, ad demonstrandum nos, non male, sed tuto Romanæ Ecclesiæ defensionem suscepisse, in dictionibus discrepantiam negligentes, et arripientes, quæ in sententia est, concordiam, propter pacem, qua Deus tantummodo delectatur, et leges approbant. Quod si propter Evangelicum dictum de duobus vel tribus testibus ad dicta confirmanda, opus est, et alios pietatis doctores adducere, qui non ut contradicentes ad acceptanda deducant ea, quorum ipsi defensionem suscipiebant, sed ad pacem inter utrasque partes tantum conciliandam, proprii propositi scopum intendebant, uti Christi pacis auctoris dissita colligantis; et una cohærere facientis imitatores, et in divinis rebus pertractandis eximius Basilius, et cui merito a theologia nomen est, Gregorius, ad jam dicta comprobanda producentur. Divinus namque Basilius non asserentes, Spiritum Deum esse simul, cum illis collocare contendit, qui eum Deum, et Patri Filioque consubstantialem deprædicant, et rebus theologicis magnus Gregorius eamdem partium unionis viam iniens, post alia atque alia annectit, neque Judæorum gentem rejicere se, dummodo *assumpti* vocem pro Christo omissis aliis inquisitionibus acceptantes, una cum nobis vellent collocari. Sed neque divinus Athanasius consentiens cum unam hypostasim affirmantibus, tantumdem illis assensum præbebat, ut tres hypostases decernentes in eorum confessionem pertraheret : neque magnus Basilius fœdera concilians, eos, qui palam atque aperte Spiritum Deum fatebantur, cum iis qui eumdem Deum non fatebantur, sed aliis vocibus pariter æqualiterque respondentibus sic defendebant, ut in non asserentium, Spiritum esse Deum, sententiam, asserentes eum Deum esse traduceret : sed neque, cui a theologia nomen est, quantum in se erat, Judæorum gentem amplectens, si *assumpti* vocem pro Christo accipientes, una cum nobis numerari vellent, partes eorum ita in voce *assumpti* agebat, ut tandem et illud non enuntiantes, in posterum enuntiare compelleret : nos etiam, cum tutamur Romanam Ecclesiam, tantumdem tutamur, ut eos qui a principio ad hæc usque tempora in fidei Symbolo recitant, ex Patre Spiritum procedere, adducamus, ut recitent ex Patre Filioque procedere; sed veluti illa terrarum orbis luminaria ad concordem sententiam respicientes, conflandæ tantum paci sua defensione studium ponebant : sic et nos veluti discipuli magistros illos sequentes, non dictioni, sed sententiæ totum negotium pacis indulgentes, unionis tantum gratia Romanæ Ecclesiæ partes defendimus. Sed qui prompti sunt ad calumniandum, et ad accusandum omnia propensi calumnientur, accusent. Erit qui judicabit Deus. Est prorsus judex, cui et sermonum et vitæ rationem reddemus. Nos porro hanc apologiam persolvimus, ne quid scandali simplicium cordibus irrepat, qui nihil sani præconum more pronuntiant, vobis, quos mea næc

Digitized by Google Распознавание текста АВК/FR

oratio in audientiam provocavit, sic dicimus: quemadmodum in hujusce apologiæ proœmio, promisimus apologiam hanc nostram non in verborum verisimilitudine, et sermonibus persuasibilibus, quos in humanæ sapientiæ suadela quispiam sua dirigens, sæpius subdole comminiscitur, confecimus, sed ad veritatem demonstrandam, Ecclesiæ luminum ac magistrorum olim gesta factaque proposuimus. Quod si testem quoque poposcitis, testem ipsum Deum a nobis datum accipientes, nec animum illis, qui paratam ad criminandum linguam habent, advertite: sed veritatem sollicite indagantes, Ecclesiæ pacem retinete, dum scitis multam esse mercedem repositam illam procurantibus, et comprobantibus retributionis die ab auctore pacis et principe.

Δὲ τὴν παροῦσαν ἀπολογίαν ποιησάμενοι, ὡς ἂν μή πού τι ἐνστάξει σκάνδαλον ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς οἱ μηδὲν ὑγιὲς διακηρυκεύοντες πρὸς ὑμᾶς, οὓς ὁ ἐμὸς λόγος εἰς ἀκροατὰς αὐτοῦ συνεκάλεσεν, οὕτω φαμέν. Ἐπεὶ καθὼς ἐν τοῖς τοῦ παρόντος ἀπολογητικοῦ προοιμίοις ἐπηγγειλάμεθα τὴν ὑπὲρ ἡμῶν ἀπολογίαν οὐ πιθανότητι λόγων ἐποιησάμεθα, οὓς ὁ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης διεξάγων τὰ καθ' αὑτὸν ἐστὶν ὅτε σοφίζεται, ἀλλ' εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν τὸ παρὰ τῶν τῆς Ἐκκλησίας φωστήρων καὶ διδασκάλων γεγενημένα πάλαι, καὶ πεπραγμένα προεβαλλόμεθα. Ὑμεῖς τὸν ἡμέτερον τοῦτον ἀπόλογον, εἰ δεῖσθε καὶ μάρτυρος ἐπὶ Θεῷ δεξάμενοι μάρτυρι, μηκέτι τοῖς πρὸς διαβολὴν τὴν γλῶτταν ἡτοιμασμένοις προσέχοιτε, ἀλλὰ τοῦ ἀληθοῦς ἐρευνηταὶ γινόμενοι ἀκριβεῖς, τῆς τῶν Ἐκκλησιῶν εἰρήνης ἀντέχεσθε, εἰδότες, ὡς πολὺς ἀπόκειται ὁ μισθὸς τοῖς συγκροτοῦσιν αὐτὴν ἐν τῇ τῆς ἀνταποδόσεως ἡμέρᾳ παρὰ τοῦ εἰρηνάρχου Χριστοῦ.

ΙΩΑΝΝΟΥ

ΤΑΠΕΙΝΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΠΙΣΗΜΕΙΩΣΙΣ ΤΩΝ ΑΥΤΟΥ ΑΠΑΣΩΝ ΒΙΒΛΩΝ

ΚΑΙ ΓΡΑΦΩΝ ΣΥΜΦΩΝΙΑΣ.

—

JOANNIS

HUMILIS EPISCOPI CONSTANTINOPOLITANI

DE OMNIBUS SUIS LIBRIS,

ET SCRIPTIONUM SUARUM CONSENSIONE, ANIMADVERSIO.

(Græcia orthod. II, p. 1.)

—

1. Et hunc quoque librum accipite, animo meo chare ac intime domine Theodore, quem in res ecclesiasticas debacchatus turbo fructum intellectus mei ostendit, et propter eum, exsilia et carceres mearum manuum laborem esse fecerunt. Licet enim et ab oculis confectis senio, et manibus non dissimilibus similis conatus abhorreret, attamen cum necessitas ingens voluminis exemplar posceret, atque id nostrorum administrorum manibus effici non posset (et quomodo id esset, cum a veritatis hostibus omnium prorsus aspectus, custodibus exceptis, denegatur?) Deo, cujus gratia nostra hæc incommoda toleramus, omnia committentes, operi et manus apposuimus, et tandem ad exitum, qui nobis propositus fuerat, perduximus. Habeto tibi igitur mea manu voluminis exscribendi ne-

α'. Καὶ τὴν παροῦσαν δέξαι δὴ βίβλον, φίλον μοι ψυχῆς ἐνδιαίτημα, Κῦρι Θεόδωρε, ἣν ἡ μὲν τοῖς ἐκκλησιαστικοῖς ἐπισυμβᾶσα ταραχὴ καρπὸν τῆς ἐμῆς ἀνέδειξε διανοίας, ἡ δὲ διὰ ταῦτα ἐξορία καὶ φυλακὴ καὶ τῶν ἐμῶν χειρῶν πόνον εἰργάσαντο. Εἰ γὰρ καὶ πρεσβυτικοῖς ὀφθαλμοῖς, καὶ χερσὶν ὁμοίαις, ἀπᾴδον ἦν τὸ ἐγχείρημα, ἀλλ' ἐπεὶ πολλή τις ἀνάγκη τὸ τῆς βίβλου ἀπῄτει ἀντίγραφον, τοῦτο δὲ ταῖς τῶν ἐξ ἔθους ὑπηρετούντων ἡμῖν χερσὶν ἀνυσθῆναι οἷόν τε οὐκ ἦν (καὶ πῶς γάρ, εἴγε παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν, μηδὲ θέας τῶν ἁπάντων οὐδενὸς πλὴν τῶν φυλάκων μόνον ἐπαξιούμεθα;) Θεῷ, ὑπὲρ οὗ ταῦτα πάσχομεν, τὸ πᾶν ἀναθέμενοι, καὶ ἐπιχειρήκαμεν τῷ ἔργῳ, καὶ τοῦ τέλους οὐκ ἠστοχήκαμεν. Δέξαι οὖν ταύτην τὴν πρὸς τὴν αὐτουργίαν τοῦ ἀντιγράφου ἀνάγκης τὸ αἴτιον, τὴν πικρὰν καὶ ἀπὸ-

Digitized by Google Распознавание текста ABBYY/FR

θρωπον εἰδὼς φυλακήν. Εἰ δὲ καὶ τὸν τῆς ἀντιγραφῆς αὐτῆς λόγον ἐθέλεις μαθεῖν, τοῦτο μεταποίησιν γίνωσκε εἶναι πολλῶν τῆς πρωτοτύπου βίβλου μερῶν. Ἵνα τί γένηται; Ἵνα τινὰ τῶν οἰκονομικωτέρων ἡμῖν ἐν τῇ πρωτοτύπῳ βίβλῳ διαληφθέντων ὑπὸ τῶν ἐν ἀντιγράφῳ ἀκριβεστέρων σχοίη τὴν διόρθωσιν.

β'. Ἐπεὶ γὰρ τὸ διὰ παντὸς τοῦ κατὰ τῶν τῆς ἀληθείας ἐχθρῶν ἀγῶνος ἡμῖν περισπούδαστον, ἐκεῖνό γε ἦν, τὸ πάντα τὰ παρ' αὐτῶν ἐπὶ διαβολῇ τοῦ ὀρθοῦ προτεινόμενα δόγματος μὴ ταῖς οἰκοθεν, ἀλλὰ ταῖς ἐκ τῶν πατρικῶν θεολογιῶν ἐννοίαις ἀνατρέπειν καὶ διαλύειν, κἂν που καί τινος ἡμῖν οἰκονομίας δεήσῃ, καὶ ταύτην μὴ ἂν ἄλλως ἢ κατὰ μίμησιν τῶν ἐκείνοις οἰκονομηθέντων μεταχειρίσασθαι (ὡς γὰρ ὁ τῆς θεολογίας ὅρος τε καὶ κανὼν ἄντικρυς Γρηγόριος, ἡ τοῦ πνεύματος ἀνάπαυλα, ἔφη, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι γέγονε, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωσθῆναι, ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς διασκέψεως, οἷον κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασιν) οὔτε τὸ οἰκονομικῶς εἰπεῖν τινα κατὰ καιρὸν παρελείπομεν τὸν προσήκοντα, οὔτ' αὐτοῦ καιροῦ τὴν ἀκρίβειαν ἀπαιτοῦντος, ταύτην παρείδομεν.

γ'. Αὐτίκα τὸ ἐξ ἀρχῆς πρώτην οἰκονομίαν ἔδοξε μετελθεῖν, ὅτι γε οἱ τῆς ἀληθείας ἐχθροὶ τὰ μωρὰ καὶ ἄλογα πλήθη ἐξ ἀρχαίας εἰδότες προλήψεως, ἐπὰν ἀκούσειαν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον, καὶ πρὸς μόνην δυσχεραίνοντα τὴν φωνήν, αὐτοὶ μὲν ὡς τὴν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπόρευσιν τοῦ Πνεύματος λέγοντας ἡμᾶς, καὶ διδάσκοντας διαβάλλοντες, τοῦτο δὴ τὸ πρόχειρον τῆς καθ' ἡμῶν ἐποιοῦντο σπουδῆς. Ἡμεῖς δὲ δέον ὂν τῆς φωνῆς ἡμᾶς ταύτης ἀντέχεσθαι, καὶ ἐπὶ συστάσει ταύτης ἀντιπροτείνειν ὁπόσα ὁ ἠγαπημένος καὶ ἐπιστήθιος Εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει ἐκ Πατρὸς καὶ Υἱοῦ δηλῶν τὸ Πνεῦμα ἐκπορευόμενον, ἔφη, ἀλλὰ δὴ καὶ ὅσα ἄλλα τῆς Γραφῆς ῥητὰ τὴν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπόρευσιν ἀριδήλως διατρανοῖ, ἃ πάντα εἴσεται ὁ ζητητικὸς, ἐν οἷς ἡμεῖς τὴν ἀντίρρησιν τοῦ δεκάτου ἕκτου τῶν τοῦ Μοσχάμπαρ ἐσχεδιάσαμεν κεφαλαίων, τοῦτο μὲν οὐχ ἑτοίμως ἤμενή ποιοῦντες, τὸ δὲ πρὸς τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν ἀναντίρρητον κατανοοῦντες αὐτῶν, καὶ ταύτην μηδὲν τῆς ἐξ ἀμφοῖν διαφέρειν εἰδότες ὡς ἀκριβῶς, αὐτοὶ μὲν τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν στέργειν, καὶ πρεσβεύειν, τὴν δὲ καταλλαγὴν τῶν ἐξ ἀμφοῖν λεγόντων αὐτὴν διὰ τὸ τῆς ἐξ καὶ *διὰ* ἰσοδύναμον, ἀνεπιλήπτως ποιήσασθαι, πλατεῖ τῷ στόματι ἐπαῤῥησιαζόμεθα· ὥσπερ ἂν εἰ καὶ ὁ μέγας Ἀθανάσιος παρὰ τῶν τὰς τρεῖς ὑποστάσεις λεγόντων διενοχλούμενος, ὡς μὴ καλῶς δῆθεν τὴν πρὸς τοὺς μίαν ταύτην φρονοῦντας καταλλαγὴν μετερχόμενος τοὺς διενοχλοῦντας πάντας ἐμφράττειν εἶχεν, ὡς αὐτὸς μὲν τῆς τῶν τριῶν ὑποστάσεων αἰτίας καλὴν ἐπίστασθαι καὶ σχαιὰν φυλακήν. Quod si exscriptionis quoque rationem intelligere aves, scito eam non aliam fuisse, quam prototypi multis in partibus immutationem. Quonam vero scopo et fine? Ut nonnulla, quæ in prototypo a nobis ad res, quæ tum urgebant, accommodatius pertractata fuerant, ab iis quæ in exemplari continentur, accuratius corrigerentur.

2. Cum enim in universis adversus veritatis hostes certaminibus illud præ omnibus summo studio ante oculos fuerit, quæcunque illi rectum dogma criminantes proponebant, non ex propriis, sed ex Patrum theologicis sententiis ac dictis, refellere ac dissolvere, et sicubi œconomia opus esset, eamdem illorum æmulatione, circa quæ œconomiam usurparunt, sequi (quemadmodum enim theologiæ apex et regula vere Gregorius, spiritusque mansio dixit, minimas actiones a scriptoribus non esse temere scripto traditas, et ad hæc usque tempora memoria conservatas, sed ut nos et commentaria, et rerum similium rudimenta haberemus, et si quando consultandi tempus occurrerit, veluti regulas quasdam, et exemplaria aliqua quæ præcesserant, sequeremur) neque œconomice digerere, neque cum tempus exquisitam rerum tractationem exigeret, eam tempore opportuno negleximus.

3. Et statim ab initio primam hanc œconomiam sequi visum est. Cum enim veritatis hostes vesanam, nec rationis compotem multitudinem scirent, ob antiquam, quæ ipsam præoccupaverat, opinionem, dum audit, ex Patre, et Filio Spiritum procedere, vel solam ipsam vocem intolerantur ferre, nosque criminari, qui ex Patre et Filio processionem, et affirmamus, et alios edocemus, hanc suorum conatuum contra nos ansam arripuerunt: nos vero, cum dictam vocem sustinere atque defendere deberemus, et in illius probatione contra opponere quæcunque dilectus, et qui in pectus Domini recubuit, evangelista in Apocalypsi, ex Patre et Filio Spiritum procedere astruens, dixit; imo et reliqua Scripturæ omnia dicta, quæ ex Patre et Filio processionem manifesto exprimunt, et plane ea omnia comperiet curiosus in iis, quæ nos adversus decimum sextum Moschamparis caput dictavimus, hoc non ita propenso animo fecimus, ut cum ex Patre per Filium processionem adeo manifestam, ut illi contradici nequeat, intelligeremus, eamque nihil ab ea, quæ est ex utroque differre, apprime sciremus, nos ex Patre per Filium processionem amplecti, et asserere, illisque qui ex utroque illam asseverant, propter præpositionum *ex* et *per* pares ac æquales vires, nullum læsæ fidei crimen inuri, aperto ore profiteremur; uti magnus Athanasius, licet ab iis qui tres hypostases dicebant, turbaretur, quasi non bene cum iis, qui unam illam tenebant, societatem iniisset, infestantium omnium ora compressisset, si dixisset, scse trium hypostaseon pro-

Digitized by Google Распознавание текста ABK/FR

fessionem tueri, unam vero asserentium, propter hypostasis varia significata amicitiam, absque reprehensione amplexatum fuisse, quod illi sententiæ suæ non repugnarent.

4. Et hanc quidem œconomiam primi exemplaris nostri sermones conservant. Secunda nec minimum quidem distat a prima. Nam ex Patre per Filium, ideoque ex utroque exsistentiam vivifici Spiritus, ex scripto traditis, quas nec adversarii ipsi inficias iverint, sententiis demonstrantes, indeque Romanæ Ecclesiæ inculpatum dogma colligentes, ex una causa Patre et Filio esse Spiritum asserentis, non palam similem vocem scripto tradebamus, sed in plerisque nostrarum scriptionum partibus, dictas scripto traditas sententias digerentes, continuo colligebamus, ex uno esse Deo, quam vocem ab omnibus hilariter excipi cognoscebamus. Quam porro ob causam negotium sic transigebamus? Œconomia utentes, quam cui a theologia nomen est, magno Basilio vendicat, cum de illo tradit: *Sic ille in judicio sermones suos disponere judicabat, paululum, ac belli tempus, et hæreticorum potentiam aliquantisper tolerare, quoad libertatis tranquillitatisque tempus successisset, dedissetque linguæ confidentiam.* Cum enim nihil differat ex uno Deo, vel ex una causa hoc, quidquid est, esse asserere, si quidquid ex Deo et per Deum esse affirmatur, tantummodo secundum causæ rationem, nec alterius cujuspiam dicitur: adnectoque jam orationi meæ, reliquum theologici dicti, quemadmodum magnus Pater noster Basilius, et rebus agendis eximius: *Cum veritatis hostes nudam et apertam de Spiritu vocem, quod esset Deus, criminari satagerent, quod quidem tametsi verum erat, impium tamen ab illis, atque impio impietatis antistiti reputabatur, hinc in aliis quidem vocibus scripto traditis, et testimoniis minime dubiis, sed idem sonantibus, sic contradicentes coercebat, ut contra hiscere non auderent, sed propriis illi vocibus colligarentur: propriam autem vocem in aliud tempus differebat, nullum inde futurum incommodum existimans, si parumper vocibus immutatis, dictionibus aliis idem edoceretur. Quod non in verbis potius, quam in rebus nostra salus consistat.* Pari ratione nos quoque uti alumni, et administri magistri dominique Basilii vestigiis insistentes, ex uno Deo proponentes, quod faciliter apud adversarios locum inveniebat, quod ex una causa asserebat, in aliud tempus deferebamus, illud prorsus probe tenentes, cum opportunum tempus institisset, a dictionum vi æquali eodemque significatu exhibendam nobis libertatem, et confidentiam exquisiti dogmatis asserendi.

5. Et tandem, uti exspectabatur, evenit. Namque non longo interjecto intervallo, tempus vere nobis serenitatis ac libertatis nullum incidit, quod theologiæ cognominis libertatis et confidentiæ tempus existimabat, incidit nihilominus, quod et ex tempestate in ipso exorta, et in ipso potentatus

A λογίας ὑποστάσεων ἀντεχόμενος, τὴν δὲ καταλλαγὴν τῶν μίαν λεγόντων ὑπόστασιν διὰ τὸ ἀπὸ τῶν σημασιῶν τῆς ὑποστάσεως ἐπὶ συνδρομῇ τοῦ αὐτοῦ φρονήματος σύμφωνον ἀνεπιλήπτως ποιούμενος.

δ'. Πρώτην μὲν οὖν ταύτην οἰκονομίαν οἱ τῆς πρωτοτύπου ἡμῶν βίβλου ἔχουσι λόγοι· δευτέραν δὲ τῆς πρώτης ἀποδέουσαν οὐδαμῶς, ὅτι γε τὴν ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ κατὰ τοῦτο καὶ ἐξ ἀμφοῖν ὕπαρξιν τοῦ ζωαρχικοῦ Πνεύματος, ἐξ ὧν οἱ ἀντιδικοῦντες αὐτοὶ γραφικῶν ὡμολόγουν ἀποδεικνύντες ἡμεῖς, κἀντεῦθεν τὸ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας συνάγειν ἔχοντες ἀνεπίληπτον, ἐξ ἑνὸς αἰτίου τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα λεγούσης εἶναι τὸ ἅγιον, οὐχὶ τρανῶς τὴν τοιαύτην ἐλογογραφοῦμεν φωνήν, ἀλλ' ἐν πολλοῖς τῶν ἡμετέρων γρι- B φῶν μέρεσι τὰς εἰρημένας καταστρωννύντες γραφικὰς ῥήσεις συμπέρασμα πανταχοῦ τοῦ ὡς ἐξ ἑνὸς ἐποιούμεθα Θεοῦ, ἅτε δὴ πάντας τὴν τοιαύτην ὁρῶντες ἱλαρῶς προσιεμένους φωνήν. Τί τοῦτο ποιοῦντες; Τὴν οἰκονομίαν μετιόντες, ἣν ὁ τῆς θεολογίας ἐπώνυμος τῷ μεγάλῳ Βασιλείῳ προσμαρτυρεῖ ἐν οἷς περὶ αὐτοῦ φησιν· Ὡς *οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει τῶν δικαίων ἐνόμιζε, μικρὸν ὅσον τὸν τοῦ πολέμου διαφέρων καιρὸν, καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας καὶ τῆς ἀληθείας ἐπιλάβῃ καιρὸς, καὶ δῷ τῇ γλώσσῃ τὴν παῤῥησίαν.* Ἐπεὶ γὰρ διαφέρει μηδὲν ἐξ ἑνὸς Θεοῦ, ἢ ἐξ ἑνὸς αἰτίου, τόδε τι εἶναι εἰπεῖν, εἴγε πᾶν τὸ ἐκ Θεοῦ καὶ διὰ τοῦ Θεοῦ εἶναι λεγόμενον C κατὰ μόνον τὸν τῆς αἰτίας, ἥκιστα κατὰ λόγον ἕτερον λέγεται· καὶ τῷ λόγῳ ἤδη προστίθημι τὸ τῆς θεολογικῆς ἐπίλοιπον ῥήσεως, ὥσπερ ὁ μέγας Πατὴρ ἡμῶν Βασίλειος ὁ πολύς· *Τῶν τῆς ἀληθείας ἐχθρῶν ζητούντων λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἰη Θεὸς, ὅπερ ὄν ἀληθὲς ἀσεβὲς ἐκείνοις ὑπελαμβάνετο, καὶ τῷ κακῷ προστάτῃ τῆς ἀσεβείας, αὐτὸς ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς, καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταυτὸν δυναμέναις οὕτως ἤγχε τοὺς ἀντιλέγοντας, ὡς μηδ' ἀντιβαίνειν ἔχειν, ἀλλ' οἰκείαις συνδεῖσθαι φωναῖς· τὴν δὲ κυρίαν φωνὴν τέως ὑπερετίθετο, μηδεμίαν εἶναι ζημίαν ἡγούμενος, εἴτε μικρὸν τῶν λέξεων ὑπαλλαττομένων, φωναῖς ἄλλαις τὸ ἴσον διδάσκεται· ὅτι μηδ' ἐν* D *ῥήμασι μᾶλλον ἢ πράγμασιν ἡ σωτηρία ἡμῖν·* οὕτω καὶ ἡμεῖς, οἱ ὡς μαθηταὶ καὶ δοῦλοι τῷ διδασκάλῳ καὶ δεσπότῃ Βασιλείῳ ἑπόμενοι, τὸ ἐξ ἑνὸς Θεοῦ προτείνοντες, διὰ τὸ εὐπαράδεκτον, τὸ ἐξ ἑνὸς αἰτίου ἀνεβαλλόμεθα πρὸς καιρὸν, ἐκεῖνο πάντως καλῶς λογιζόμενοι, ὡς, ἐπὰν ὁ προσήκων ἡμῖν ἐνσταίη καιρὸς τὸ τῶν λέξεων ἰσοδύναμον παράσχοι ἂν ἡμῖν τὴν ἐπὶ τῷ ἀκριβεῖ τοῦ δόγματος παῤῥησίαν.

ε'. Ὅπερ οὖν, ὡς προσεδοκᾶτο, καὶ γέγονεν. Οὐ πολὺ γὰρ τὸ ἐν μέσῳ, καὶ καιρὸς μὲν ἀληθῶς αἰθρίας καὶ ἐλευθερίας ἡμῖν ἐπέστη οὐδείς, ὃν ὁ τῆς θεολογίας ἐπώνυμος καιρὸν εἶναι παῤῥησίας ἠγεῖτο, ἐπέστη δὲ ὅμως ὁ μάλιστα ὑπὸ τοῦ ἐν αὐτῷ χειμῶνος, καὶ τῆς ἐν αὐτῷ δυναστείας αὐτὴν ἀπαιτῶν.

Digitized by Google Распознавание текста ABK/FR

Ὅτε μὲν γὰρ τὰ περὶ τῆς ἐκκλησιαστικῆς ἐλογο- A
γραφεῖτό μοι πρώτως εἰρήνης, ἐλπίς τις ἐπὶ τοῖς
ἀντιλέγουσι περιθάλπουσά με μεταβολῆς. Ὁ γὰρ
ἀγαθῷ συνειδότι οὐδὲν οὕτω ῥᾴδιον ἔχων εἰς τὸ πᾶ-
σης ἐθελοβούλου ἰδιορρυθμίας τὴν ἀλήθειαν ἀνταλ-
λάττεσθαι, τί ἂν ἄλλο περὶ τῶν ἄλλων διανοηθείη
ποτέ; ὥσπερ τις ἀγαθὴ ἀνέπειθε σύμβουλος τῶν,
ὡς εἴρηται, πατρικῶν μεμνῆσθαι οἰκονομιῶν, καὶ
παντὶ σθένει τὰς πρὸς τοὺς ἀντιλέγοντας ὁμιλίας
ἐξομαλίζοντα, δι' ἐκείνων ταύτας τῶν λόγων ποιεῖ-
σθαι, οἷς ἱλαρώτερον οὗτοι τὰς ἀκοὰς προσέχουσι
μάλιστα. Μέντοι γε καὶ τοὺς ῥηθέντας οἰκονομικοὺς
μετῆειν λόγους ἐγώ.

deposceret. Cum enim primum de ecclesiastica unione, et pace commentabamur, spes erat nos circumfovens eos, qui contraria asse.ebant, esse immutandos. Qui enim proba conscientia id unum sibi proposuit, propriæ et voluntariæ opinioni reliquis posthabitis veritatem præponere, quid unquam de aliis excogitasset? Is veluti bonus consiliarius suasisset, prædictarum Patrum œconomiarum mentionem inducere, et omni studio adversus contradicentes, eum qui cum aliis in collocutionem venit, sermones emollientem, per ea ita orationem dirigere, quibus illi potissimum, et magis hilariter aures præbuissent. Ideoque et supra laudatas œconomiarum rationes ipse usurpabam.

ς'. Ὅτε δὲ τῶν πραγμάτων ἀλλοιωθέντων, τὰ B
ἐκκλησιαστικὰ τὴν, ὡς ἅπασιν ἔγνωσται, φαυλοτά-
την σύγχυσιν συνεχύθη, καὶ οἱ τοῦ ψεύδους ἡγε-
μόνες καὶ ἀρχηγοὶ μετὰ τὴν ἐν μέσοις ἀνακτόροις
ἀντιπρόσωπον ἡμῶν πρὸς αὐτοὺς ἅμιλλαν, τόσον
τοῦ ἀληθοῦς κατηναιδεύσαντο δόγματος, ὥστε καὶ
γραφαῖς τὰ πρόδηλα τῆς αὐτῶν αἱρέσεως παρα-
δοῦναι, καὶ τόμους ἐκθέσθαι, ἢ στήλας ἀναστῆσαι τῆς
αὐτῶν ἀσεβείας, εἶποι τις ἂν κυριώτερον καιρὸν
εἶναι τοῦτον τῆς ἐπὶ τῇ ἀκριβείᾳ τοῦ δόγματος
παῤῥησίας ἡμεῖς λογισάμενοι, ἐν ἰδίῳ τε τόμῳ τὰ
ῥηθέντα δόγματα διελάβομεν, καὶ ὁ τόμος τὸν τρί-
τον τῶν τοῦ Κυπρίου αἱρέσεων ἀναπληροῖ ἔλεγχον,
καὶ τὴν βίβλον ἀντιγραφῇ παραδοῦναι τῶν δεόντων
διέγνωμεν, ὡς ἂν ὁ τόμος οὗτος, τῆς ἀντιγράφου
γεγονὼς μέρος, τὸ ἱκανὸν πρὸς ἐπισημείωτιν ἕξει, C
ὧν ἡμεῖς μεταποιήσεων ἐπὶ πολλοῖς τῶν προτέρων
λόγων ἡμῶν ἐποιησάμεθα μέρεσιν. Ἔστι μὲν οὖν
τῶν οἰκονομικωτέρως εἰρημένων λέξεων τὰς ἀκρι-
βεστέρας ἀνταλλαττόμενοι, ἔστι δὲ οὗ καὶ περικο-
πὰς ὅλας αὐτῶν διαγράφοντες.

6. Cum vero rebus immutatis negotia ecclesiastica, pessimæ confusioni, ut omnes norunt, obnoxia facta sunt, et mendacii duces et auctores, post certamen a nobis adversa facie in media aula cum illis initum, tantumdem in verum dogma inverecunde debacchati sunt, ut scriptione etiam hæresim palam facere, et tomos scribere, vel, ut quis aptius diceret, columnas, et cippos propriæ impietatis erigere, auderent, hoc esse tempus exquisiti dogmatis asserendi, et loquendi libertatis rati, peculiari tomo dicta dogmata complexi sumus, et tomus tertium Cyprii hæreseon argumentum absolvit, et volumen exscriptoribus tradere necessarium esse duximus, ut tomus iste libri exscripti pars facta, satis abundeque insinuaret, qua de causa nos, quæ in plerisque partibus primarum nostrarum lucubrationum alias diximus, immutavimus. Namque in nonnullis dictiones, quas œconomiæ attendentes, apposuimus, in aliis exactiore studio moti immutavimus, et in nonnullis pericopas quoque integras expunximus.

ζ'. Σὺ γοῦν, τὴν βίβλον ταύτην δεξάμενος, ἐπεὶ τὰ
προηγησάμενα τῆς πρωτοτύπου ἀντίγραφα ἐς τόσον
μέτρου προελθεῖν οἶδας, ὡς ἐν πολλαῖς τῶν ἡμετέρων
γενέσθαι αὐτὰ πόλεων, ἴσθι μὲν τῇ νέᾳ ταύτῃ ἐπιψη-
φιζομένους ἡμᾶς τὰ πρωτεῖα, μὴ μέντοι γε καὶ ἀργίαν
ἁπασῶν καταψηφιζομένους ἐκείνων. Εἰ γὰρ καὶ τῶν
ἀκριβεστέρων περιληπτική ἐστιν αὕτη, ἀλλ' ἡ ἐν αὐτῇ
ἐπισημείωσις τῶν ἐν ἐκείνοις οἰκονομικώτερον εἰ-
ρημένων κἀκείνας ἐπικυροῖ. Ἐπεὶ καὶ πολλὰ τῶν D
ἐκταδικώτερον ἐν ἐκείναις διειλημμένων πρὸς τὸ
συνεσταλμένον ἐν ταύτῃ ἔστιν εὑρεῖν· καὶ οὐ δεῖ
πάντως τὴν συστολὴν ταύτην εἰς ἀργίαν λογίζεσθαί
τινα τῶν ἁπάντων, ἀλλὰ τὸν λόγον εἰδότα τῆς
συστολῆς τῆς ἡμετέρας καρπὸν διανοίας ἡγεῖ-
σθαι, ἐπ' οὐδεμιᾷ ἐναντιοφωνίᾳ, καὶ τὰς ἐν αἷς
ἡμεῖς τὸ πλατυκώτερον τοῦ λόγου δεδώκαμεν. Ὁ δὲ
τῆς συστολῆς λόγος, ὅτι μετὰ τὸ τὰς κατὰ Φω-
τίου, καὶ τοῦ Μεθώνης, Φουρνῆ τε, καὶ τοῦ Βουλ-
γαρίας, ἔτι δὲ καὶ τῆς τοῦ Καματηροῦ βίβλου ἰδίως,
καὶ αὖ παρὰ μέρος μετὰ τὸ τὰς κατὰ τοῦ Μοσχάμ-
παρ λογογραφῆσαι ἡμᾶς ἀντιῤῥήσεις, ἄλλων πάλιν
ὥσπερ ἐξ ὑπαρχῆς πολεμίων τῆς ἀληθείας ἀναφα-
νέντων, ὁ Κύπριος οὗτος, καὶ οἱ περὶ τὸν Κύπριον,

7. Tu igitur librum hunc accipiens, cum quæ præcesserunt primi originalis exemplaria in eum numerum excreverunt, uti bene calles, ut ad multas urbes nostras delata, omnibus præ manibus sint, scito, nos recenti huic novoque volumini potiores partes deferre; neque propterea illa omnia suspendere. Licet enim hoc accuratiora contineat, quæ tamen in eo est, de iis, quæ in illis magis œconomiæ attendentes scripsimus, animadversio, etiam hæc ipsa constabilit. Cum multa in illis fusius pertractata, compendiosius in isto digerantur: neque propterea isto compendio illa suspendi quispiam existimet; sed compendii ratione comperte teneat, nostri intellectus hunc fetum, nullam in se contrarietatem continere, etiam in illis, quæ in primis fusius concinnavimus. Et compendii causam teneto. Postquam adversus Photium, Methonensem, et Bulgariæ archiepiscopum, necnon Camateri librum seorsim, rursusque etiam separatim Moschamparis, contradictiones nostras scripsissemus, aliis atque aliis denuo veritatis adversariis deprehensis, Cyprio nempe, et qui Cyprium sequebantur, contra eos certamen a nobis merito

Digitized by Google Распознавание текста ABK/FR

extorsit, longis ac prolixis refutationibus eosdem convellere.

8. Et cum in uno, qui nunc tibi in manibus traditur, libro, tum quæ præcesserunt omnia, tum quæ post modum subsecuta sunt, comprehendere statuissemus, multa in ipso, necessitate coacti, ex illis expunximus, quorum amputatione nullum impedimentum inferri veritati cognoscebamus : licet enim in Photium, Methonensem, Phurnem, necnon Bulgariæ archiepiscopum contradictiones in compendium redegimus, nihil quod demonstrationis vim obtineret, negleximus, quæ inde subsequitur veritatis mutilatio? Quod si primum, cum adversus Camaterum contradictionem instituimus, tum ad verbum disputationem exaravimus, quam ille personam imperatoris induens, quasi illa inter ipsum imperatorem, et qui tum Constantinopoli aderant, pro tractanda pace ecclesiastica cardinales instituta esset, confinxit, latius atque uberius scripto demandavimus, si hanc, in novis libri exemplaribus, universam ablegantes, tantummodo testimoniorum productorum, et de iisdem animadversionum illius rationem habuimus : pariterque, si tum singulas adductarum auctoritatum pericopas, ut ille exposuit, apponentes, quam ille in singulis dictis animadversionem adnectebat, nostram refutationem subdebamus, postmodum ex iis pericopis amputavimus partes illas, quæ scilicet, quod ad propositum nostrum faceret, nihil continebant, quis propterea libros de contrarietate insimulabit? Non alio modo et in antirrheticis adversus Moschamparem nos gessimus, nostram enim contradictionem integram nulla sui parte immutatam in utroque volumine, quemadmodum in Camatero, conservavimus, partes capitum illius, quæ tantummodo vana loquacitate sine ullo usu et temere stridebant, et nullum in se sanum, et cui contradici opus esset continebant, abscidimus. Habes jam claram patentemque universam exscriptionis rationem, quam nos hac nostra scriptione ad te transmittimus, et satis aptam, ad constabiliendum, nostra commentaria nulla in re sibi contraria esse, observationem a nobis persolutam.

ὁ κατ' αὐτῶν ἀγὼν ἡμᾶς δικαίως ἀπῄτησε διὰ πολυστίχων καὶ αὐτοὺς ἀνατρέψαι τῶν ἀντιῤῥήσεων.

Η'. Καὶ ἐπεὶ ἐν μιᾷ τῇ ἄρτι σοι ἐγχειριζομένῃ νέᾳ βίβλῳ πάντα ὁμοῦ τά τε πρότερα τά θ' ὕστερα διαλαβεῖν δεῖν ἔγνωμεν, τὰ πολλὰ ἐν αὐτῇ παρείδομεν ἐξ ἀνάγκης, ὧν τῇ ἐπιτομῇ οὐδένα ἐνεῖναι συνεωρῶμεν ἐμποδισμὸν εἰς τὴν τοῦ ἀληθοῦς κατανόησιν. Εἰ γὰρ τὰς κατὰ Φωτίου, καὶ τοῦ Μεθώνης, Φουρνῆ τε, καὶ τοῦ Βουλγαρίας βραχυλογήσαντες ἀντιῤῥήσεις, οὐδὲν τῶν ὅσα τὸ ἀναγκαῖον τῆς ἀποδείξεως εἶχον παρείδομεν, τίς ἡ ἐντεῦθεν τῆς ἀληθείας κολόβωσις; Εἰ δὲ καὶ τῆς τοῦ Καματηροῦ βίβλου τὴν ἀντίῤῥησιν μετιόντες τὰ πρῶτα, τότε μὲν καταστρωννύντες αὐτολεξεὶ τὴν διάλεξιν, ἣν ἐκεῖνος τὸ τοῦ αὐτοκράτορος ὑποδυσάμενος πρόσωπον, ὡς μέσον δῆθεν προβᾶσαν αὐτοῦ τε ἐκείνου τοῦ αὐτοκράτορος, καὶ τῶν περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐπιδημούντων τότε τῇ Κωνσταντίνου Καβδηναλίων ἐπλάσατο, πλατυκώτερον αὐτὴν ἐλογογραφήσαμεν. Εἰ δέ γε τὰ νέα τῆς βίβλου ἀντίγραφα πᾶσαν ταύτην παραιτησάμενοι μόνων τῶν γραφικῶν ἡμεῖς ῥήσεων, καὶ τῶν ἐπὶ ταῖς ῥήσεσι πεφροντίκαμεν ἐπιστασιῶν· ὡσαύτως δὴ καὶ εἴ γε τότε μὲν ἑκάστην περικοπὴν γραφικῆς ῥήσεως, ὡς αὐτὸς ἐκεῖνος ἐξέθετο, ἐκτιθέμενοι, καὶ ἣν ἐφ' ἑκάστην τῶν ῥήσεων οἰκείαν αὐτὸς προσῆπτεν ἐπιστασίαν τὸν ἡμέτερον ἐπήγομεν ἔλεγχον, ἐσύστερον δὲ τῶν περικοπῶν τινας ἐπετέμομεν, ἐν οἷς δηλονότι μέρεσι περιεῖχόν τι αἱ τοιαῦται, μετὸν τῆς προκειμένης ἡμῖν σπουδῆς οὐδαμοῦ, τίς ἂν τῶν βίβλων καταγνοίη ἐναντιότητα; Τὴν αὐτὴν δὲ καὶ ἐπὶ τοῖς κατὰ τοῦ Μοσχάμπαρ Ἀντιῤῥητικοῖς ἐβαδίσαμεν, πᾶσαν μὲν ἡμετέραν ἀντίῤῥησιν ἀπαραποίητον ἐν ἑκατέρᾳ τῶν βίβλων τετηρηκότες, ὡς ἐν τοῖς τοῦ Καματηροῦ, ὁπόσα δὲ μέρη τῶν αὐτοῦ κεφαλαίων μόνην τὴν ἐν ματαίῳ εἶχον πολυλογίαν, ἐφ' οἷς οὐδὲν εἶναι καιριον διεγινώσκομεν εἰς ἀντίῤῥησιν, ἐπιτεμόντες. Ἔχεις ἐντελῶς ἤδη ἀπαγγελθέντα σοι τὸν τῆς ἀντιγραφῆς ἅπαντα λόγον, ὃν ἡμεῖς ἰδίας τῆσδε τῆς πρὸς σὲ γραφῆς ἠξιώσαμεν, ἱκανὴν τοῦ μηδὲν τὰς ἡμετέρας βίβλους ἐναντιοφωνεῖν, πραγματευσάμενοι τὴν ἐπισημείωσιν.

ΤΟΥ ΑΥΤΟΥ

ΔΙΑΘΗΚΗ.

—

EJUSDEM TESTAMENTUM.

(Græcia orthod. tom. I.)

Multi in exsilio et carcere ex hominum vita migrantes, cum forte nihil præterea habeant de quo

Πολλοὶ τῶν ἀνθρώπων ἐν ἐξορίαις καὶ φυλακαῖς τὸν ἴδιον καταλύοντες βίον, εἰ καὶ μηδὲν ἴσως ἔτε-

Digitized by Google Распознавание текста ABK/FR

ρον ἔχουσιν, ἐφ' ᾧ ἂν καὶ διαθῶνται, ἀλλ' ὡς ἐν τύπῳ γοῦν διαθήκης τὴν τοῦ ἐγκλήματος ἐξάρνησιν διατίθεται, ἐφ' ᾧ ἂν τις αὐτῷ καὶ τύχοι τὴν ἐξορίαν καὶ φυλακὴν καταδικασθείς· ἐντεῦθεν, οἶμαι, οὐδὲν πραγματευόμενοι ἕτερον ἢ τὸ τῆς κακουργίας, δι' ἣν οἱ πολλοὶ τὰς τοιαύτας καταδίκας ὑφίστανται, ἀποτριβόμενοι ὄνειδος. Ἐμοὶ δὲ τῷ ταπεινῷ καὶ ἁμαρτωλῷ, τοῦ τε θρόνου, ὃν τοῖς ἀῤῥήτοις Θεοῦ κρίμασιν ἔλαχον, διωχθέντι, τάς τε μέχρι θανάτου ἐξορίας καταδικασθέντι, καὶ φυλακὰς οὐ μόνον μέλει οὐδὲν ἐν χρείᾳ γεγονότι πτωχῆς καὶ πενιχρᾶς διαθήκης τὸ τούτων μοι παραίτιον ἔγκλημα ἐξαρνήσασθαι, ἀλλὰ καὶ τόσον διὰ σπουδῆς ἡ ὁμολογία, ὅτι καὶ τὴν ἐπιτελεύτιον φθάνων ἀνάγκην, καὶ διατίθεμαι, καὶ ὁμολογῶ. Ὡς γὰρ τοῖς ἄλλοις εἰς ἀποσκευὴν ὀνείδους τοῦ ἐπὶ κακουργίᾳ τοῦ ἐγκλήματος ἡ ἀπάρνησις, οὕτως ἐμοὶ πρὸς τὸν αὐτὸν σκοπὸν ἡ ἀπολογία. Ἐπεὶ γὰρ τὸ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν τοῦ Πνεύματος τοῦ ἁγίου ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν φρονεῖν, καὶ πρεσβεύειν με, ἔγκλημα ἐλογίσθη μοι τῆς τοῦ πατριαρχικοῦ ἐκπτώσεως θρόνου, καὶ τῶν ἐπὶ ταύτῃ ἕως θανάτου ἐξοριῶν, καὶ φυλακῶν ἄξιον, οὐ φεύγω τὸ ἔγκλημα, οὐκ ἀπαρνοῦμαι ὡς μῶμον, ὡς ὄνειδος οὐκ ἀποσκευάζομαι, κἂν τινι ἐπάξιον ὕβρεως, ἐγὼ τοιοῦτον ὕβρεως στέφανον ἀναδεῖσθαι οὐκ ἀπαναίνομαι. Πῶς γὰρ ἂν καὶ ἀρνησαίμην ὀνειδισμὸν ἐπὶ δόγματι, ὅπερ καὶ εἰς ὀνειδισμὸν αὐτοῦ τοῦ Χριστοῦ οἱ ἀντιλέγοντες ἡμῖν περιτρέπουσιν; Εἰ γάρ τινα ὀνειδισμὸν τοῦ Χριστοῦ, φησὶν ἡ Γραφή, τοῦτον οὐκ ἄλλον ἐγὼ φημι τὸν τριοῦτον εἶναι ὀνειδισμόν. Οἱ γὰρ ὑπὸ τῆς στενοχωρίας τοῦ τῶν Γραφῶν ἐλέγχου ἀναγκαζόμενοι τὴν δι' Υἱοῦ ἐκπόρευσιν πατρικὸν εἶναι δόγμα ὁμολογεῖν, καὶ μηδὲ εἰς τὴν τῆς ἐκπορεύσεως ὁμωνυμίαν ὀρθοποδοῦντες, ὡς ἀπὸ τῆς αὐτῆς τῶν Γραφῶν στενοχωρίας ἀγχόμενοι, τῶν ὑποστατικὴν τοῦ Πατρὸς ἰδιότητα τὴν ἐκπόρευσιν διατρανουσῶν· ὅμως μέντοι, ἐκ μόνου τοῦ Πατρὸς ἀναισχυντοῦντες λέγειν τὸ Πνεῦμα ἔχειν τὴν ὕπαρξιν παντὶ σθένει ἀνάγκης ἀποδεικτικῆς ἀπελέγχονται κατ' αὐτὴν τὴν ἐκπόρευσιν, ταυτὸν δὲ εἰπεῖν τὴν ὕπαρξιν, ἣν, ὡς αὐτοί φασιν, ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα ἔχειν τὸ ἅγιον ὀργανικῶς δεῖκνον αὐτὸ φρονεῖν διὰ Υἱοῦ, ὡς ἐπόμενον τούτῳ συναναφαίνεσθαι τῷ φρονήματι, καὶ τὸ μέχρι λόγων ψιλῶν ἴδιον Υἱοῦ, ἀληθῶς δὲ ἀλλότριον αὐτοῦ πρεσβεύειν αὐτό. Ἐπεὶ λόγος ἔσται ὁ πείσων οὐδεὶς ἴδιον εἶναι Υἱοῦ τὸ μὴ ἐξ αὐτοῦ, ἤτοι δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχον τὴν ἑαυτοῦ. Ὅτι γοῦν τὰ δύο ταῦτα ἔκτοπα ὡς ἀληθῶς ἀσεβήματα, ὀργανική τε ὑπηρεσία τοῦ Υἱοῦ τῷ Πατρὶ ἐπὶ τῇ ἐκπορεύσει τοῦ Πνεύματος, ἀλλοτριότης τε τοῦ Πνεύματος ἐξ Υἱοῦ ἀναγκαστικῶς ἀποδείκνυνται, ἐξ ὧν φασιν οἱ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα ἔχειν τὴν ὕπαρξιν, λέγοντες καὶ τὴν δι' Υἱοῦ ἐκπόρευσιν κατὰ τὴν ἀπὸ τοῦ τῶν Γραφῶν ἐλέγχου στενοχωρίαν σὺν τῷ ἰδιάζοντι τῆς ἐκπορεύσεως ἀπαρνεῖσθαι μὴ ἔχοντες, εἰς ὀνειδισμὸν ἐγὼ φημι τοῦ Χριστοῦ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν περιτρέπειν αὐτούς. Τί γὰρ ἂν

testentur, nihilominus sub testamenti forma facinus abnegant, ob quod in exsilium, aut carcerem deducti sunt, eo solummodo scopo, ut maleficii probrum, cujus causa multi similes pœnas luunt, ex sese abjiciant. Mihi autem humili et peccatori, deque sede, quam ineffabili Dei judicio obtinueram, pulso, et exsiliis, et carceribus ad extremum usque spiritum condemnato, tantum abest, ut curæ sit, cum miserum egensque testamentum conficere debeam, ut malorum mihi causam, ob quod in judicium vocor, crimen abnegem, ut etiam studio id affirmem, et extrema mortis necessitate pressus, tester atque confitear. Quemadmodum enim aliis ad amolitionem dedecoris, facinoris abnegatio plurimum facit; sic mihi ad eumdem scopum responsio vertitur. Quando enim a Patre per Filium processionem Spiritus sancti, a Patre per Filium exsistentiam sentire, et asserere delictum mihi, pro quo e patriarchico solio depellerer, appictum est, dignumque exsilio et carcere, quibus tandem e vita truderer: facinus non detrecto, non inficior ut opprobrium, et dedecus non amolior, et si in quoquam infamia dignum reputatur, illius infamiæ corona cingi minime recuso. Qua enim ipse ratione dedecus pro dogmate recusarem, quod in dedecus ipsius Christi nobis adversantes convertunt. Etenim si aliquod dedecus Christi Scriptura enuntiat, hoc ipse nullum aliud esse affirmo. Illi quippe qui a Scripturarum examine veluti in angustias redacti, coguntur, per Filium processionem Patrum esse sententiam affirmare: nec recte in processionis homonymia ambulantes, tanquam ab iisdem Scripturis arctati hypostaticam Patris proprietatem processionem edicentibus, ex solo Patre inverecunde nimis, exsistentiam Spiritum habere asserentes omni necessariæ demonstrationis vi redarguuntur contra ipsam processionem. Idem enim est dicere exsistentiam, quam, ut ipsi aiunt, ex solo Patre habet Spiritus sanctus, instrumentaliter per Filium transiens, ita ut hanc sententiam consequi videatur, eosdem verbis tantum nudis proprium Filii Spiritum, re tamen vera, ab ipso alienum constituere, cum nulla fuerit ratio, quæ suadere valeat, proprium esse Filii, quod ex ipso non est, aut per ipsum propriam exsistentiam non habet. Hæc itaque duo absurda ac impia, ut verum fatear, dicta, instrumentale Patri ministerium Filii in processione Spiritus, et Spiritus ex Filio alienatio, necessarie demonstrantur ex iis, quæ dicunt, qui ex solo Patre Spiritum exsistentiam habere asserunt, et per Filium processionem, quando jam id sententiarum exacto examine fateri coguntur, cum proprietate processionis inficias ire non valentes, in opprobrium, ut ego dico, Christi ex Patre per Filium processionem convertunt. Quid enim in Christi opprobrium quispiam excogitaret iniquius, quam proprium ipsius Spiritum, qui vera ipsius est gloria, ut ipse Patris, ab eo alienare? Et quid in opprobrium Christi comminisci posset immanius,

Digitized by Google Распознавание текста ABK/FR

quam ministeriale eumdem organum Patris fateri? Plane hæc Ariana sunt. Et hoc ego vitans, opprobrium non refugio, etsi non nemini dedecus videatur, ex Patre per Filium processionem, ex Patre per Filium exsistentiam tenere palamque profiteri. Hanc confessionem huic meo testamento præfigo : deinceps vero testor, non opes, non divitias, non possessiones, quibus omnibus una cum throno spoliatus sum, propriis alienisque distribuens. Sed hæc, quæ mihi nunc suppetunt, modica et dejecta iis, qui in carcere una mecum usque perstiterunt, quorum unus filii, alius administri loco est, ad arbitrium meum dispertior.

A εἰς ὀνειδισμὸν Χριστοῦ καὶ γένοιτο χεῖρον τοῦ τὸ ἴδιον αὐτοῦ Πνεῦμα, ὅπερ ἡ ἀληθὴς αὐτοῦ ἐστι δόξα, ὡς αὐτὸς τοῦ Πατρὸς αὐτοῦ, ἀλλοτριοῦν; Καὶ τί ἂν εἰς ὀνειδισμὸν Χριστοῦ καὶ γένοιτο χεῖρον τοῦ ὑπηρετικὸν αὐτὸν πρεσβεύειν ὄργανον τοῦ Πατρός; ; Ἀρειανισμὸς πάντως ταῦτα λαμπρός. Καὶ τοῦτον φεύγων ἐγὼ τόν τε ὀνειδισμὸν οὐκ ἀναίνομαι, ἂν τινι αἰσχύνη δοκῇ τὴν ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπόρευσιν ἐκ Πατρὸς δι' Υἱοῦ ὕπαρξιν φρονεῖν καὶ πρεσβεύειν με, τήν τε ὁμολογίαν ταύτην τῆς παρούσης μου διαθήκης προανατάττω. Ἐφεξῆς δὲ διατίθεμαι οὐ πλοῦτον, οὐ χρήματα, οὐδὲ κτήματα. Πάντα γὰρ συναφῃρέθην τῷ θρόνῳ, οἰκείοις διανέμων καὶ ἀλλοτρίοις. Τὰ δὲ προσόντα μοι βραχέα καὶ πενιχρὰ τοῖς ἐν τῇ φυλακῇ συμπαραμείνασί μοι παισὶν, ὧν ὁ μὲν εἰς τάξιν υἱοῦ μοι λελόγισται, εἰς ὑπηρέτην δέ μοι ὁ ἕτερος κατὰ τὴν ἐνοῦσάν μοι διαμερίζω ἐπίκρισιν.

Joannes, humilis miseratione divina archiepiscopus Constantinopolitanus, sed ob verum Patrum dogma, ex Patre scilicet per Filium processionem Spiritus sancti, exsilio carcereque ad mortem usque multatus, hoc meum testamentum propria manu scripsi subscripsique.

B Ἰωάννης ταπεινὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, διὰ δὲ τὸ ἀληθὲς τῶν Πατέρων δόγμα, τὴν ἐκ Πατρὸς δηλονότι δι' Υἱοῦ ἐκπόρευσιν τοῦ Πνεύματος τοῦ ἁγίου, τὴν ἕως θανάτου ἐξορίαν καὶ φυλακὴν καταδικασθείς, οἰκειοχείρως τὴν παροῦσάν μου διαθήκην γράψας ὑπέγραψα.

ANNO DOMINI MCCLXXV

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ

ΤΟΥ ΜΕΛΙΤΗΝΙΩΤΟΥ

ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΕΝΩΣΕΩΣ ΛΑΤΙΝΩΝ ΤΕ ΚΑΙ ΓΡΑΙΚΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΔΙΑ ΤΟΥ ΥΙΟΥ,

ΛΟΓΟΣ Α

SAPIENTISSIMI MAGNÆ ECCLESIÆ CHARTOPHYLACIS

CONSTANTINI MELITENIOTÆ

DE ECCLESIASTICA UNIONE LATINORUM ET GRÆCORUM, ET DE PROCESSIONE SPIRITUS SANCTI PER FILIUM,

ORATIO I.

(Leo Allat. *Græc. orthod.* t. II.)

Audi, cælum, et loquar, et audiat terra verba ex ore meo[1]. Tempus siquidem est eadem cum beatissimo Moyse, licet non ex pari affectu, nec de rebus similibus, orationem exordiri. Quando qui-

C *Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.* Καιρὸς γὰρ μοι τὰ αὐτὰ τῷ μακαριωτάτῳ Μωϋσῇ φθέγξασθαι, κἂν οὐκ ἐκ διαθέσεως ἴσης, οὐδὲ ἐφ' ὁμοίοις τοῖς πράγμασιν.

[1] Deut. xxxii, 1.

Digitized by Google Распознавание текста ABK/FR

Ἐπείπερ ὁ μὲν ἐπὶ λαῷ παθαινόμενος ἀπειθοῦντι καὶ ἀντιλέγοντι τοῖς τοῦ Κυρίου προστάγμασιν, τὸν οὐρανὸν μαρτύρεται καὶ τὴν γῆν ἐγὼ δὲ γηθόμενος ἐφ' οἷς ἐποίησε νῦν μεγαλείοις εἰς ἡμᾶς ὁ κρείττων σε καὶ ὑπὲρ ἡμᾶς. Καὶ ὁ μὲν ὡς ὀνειδίσων τὸν γογγυστὴν Ἰσραὴλ, ἐγὼ δ' ὡς τῷ δεσπόζοντι τῶν ὅλων ἀνθομολογησόμενος. Ἀλλὰ τίνα τὰ ῥήματα τῆς ἐν ἀγαλλιάσει πρὸς τὸν Ὕψιστον ἀνθομολογήσεως; Ἅπερ αὐτὸς ἐκεῖνος ὁ θεολήπτης ἀπαρχὴν τῆς πρὸς τοὺς παραπικραίνοντας ἐπιπλήξεως ἐποιήσατο. *Θεὸς, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις. Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Δίκαιος καὶ ὅσιος ὁ Κύριος*, ὅς, ἵνα τὸ ἀπὸ τοῦδε τοῖς τοῦ προφήτου καὶ νομοθέτου προσαρμότω τὰ ἐμαυτοῦ, σπλάγχνοις φιλανθρώποις ἐπικαμφθείς, οὐκ εἴασεν ἡμᾶς ὀπίσω τῶν οἰκείων θελημάτων πορεύεσθαι κατὰ τοὺς πολλοὺς τοὺς ἐν ταῖς παρῳχημέναις ἔμπροσθεν γενεαῖς, οἳ καὶ τὰ δοκοῦντα περὶ τοῦ τῆς ὑπερουσίου Τριάδος ἑνὸς, τοῦ παναγίου καὶ ζωαρχικοῦ λέγω Πνεύματος, ἀπὸ κοιλίας ἠρεύγοντο, πλατεῖ καὶ ἀνέτῳ τῷ στόματι τὴν ἄφραστον αὐτοῦ θεολογοῦντες ἀφ' ἑαυτῶν ὕπαρξιν, καὶ λογομαχοῦντες, φεῦ! ἐπὶ καταστροφῇ τῶν Ἐκκλησιῶν εἰς οὐδὲν χρήσιμον, τὸ ὀλεθριώτατον τῶν ἁπάντων καὶ ἐπικινδυνότατον, ἀλλ' ἐπισκοπῇ κρείττονι λόγου καὶ διανοίας ἐπισκεψάμενος, ὥσπερ αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις παρεκελεύσατο τοῖς πᾶσιν, *Ἐρευνᾶτε*, » προτρεπόμενος, *τὰς Γραφὰς*, τοῦτο τὰ νῦν ἔργον θέσθαι σπουδαιότατον ἡμᾶς διανέστησε, τὰς τῶν ἁγίων Πατέρων παρασκευάσας γραφὰς μετελθεῖν, αἷς δῆτα καὶ μετ' ἐπιμελείας ἐγκύψαντας ἀρίστως ἐπιβαλεῖν τῷ Πνεύματι καθωδήγησεν· ἐξ ὧν τὴν μέχρι τοῦδε κρυπτομένην ἀποκαλυφθέντες ἀλήθειαν κατελάβομεν, καὶ συνήφθημεν ἐν τῷ παρόντι τοῖς τῆς πρεσβυτέρας Ῥώμης ἀληθῶς καὶ κατὰ Χριστὸν, οἷς δὴ πρὸ βραχέος τρόπος ἡμᾶς οἰκονομίας συνέδησεν, ἀπορῥαγέντας αὐτῶν διὰ κενῆς ἐκ μακροῦ, τοῦτο τοῦ Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν πάντως παραχωρήσαντος ἐπ' ἀπωλείᾳ τοῦ γένους ἡμῶν.

A dem ille pro populo indolens refragante, et præceptis Dominicis contradicente, cœlum terramque in testimonium advocat; ego vero lætitia exsultans pro magnificis in nos ab eo, qui nobis melior et supra nos est, patratis : ille et te increpans Israelem obmurmurantem, ego uti rerum omnium Domino gratias acturus. Sed quænam verba fuerint erga excelsissimum illum, dum subsultamus gaudio, gratiarum actionis? Illa eadem, quæ afflatus ille Numine objurgationis adversus sui ipsius animum offendentes initium fecit : *Deus, vera opera illius, et omnes viæ ejus judicia : Deus fidelis et non est injustitia in eo, justus et rectus Dominus* [1], » qui, ut inde mea ad prophetæ illius et legumlatoris verba adaptem, visceribus misericordiæ motus, B non deseruit nos, ut post voluntates proprias ambularemus, sicuti plerique qui ante nos superioribus generationibus præcesserunt, qui complacita sibi de uno supersubstantialis Trinitatis, sanctissimo inquam et vivifico Spiritu, ex ventre eructarunt, lato effrenoque ore inenarrabilem illius ex seipsis exsistentiam decernentes, et verbis contendentes, væ illis! in Ecclesiarum perniciosam destructionem, quod omnium est maxime noxium et periculosum; sed meliore rationis et intelligentiæ inspectione visitans, uti ipse Dominus in Evangeliis præcipit omnibus : *Scrutate Scripturas* [2], ante omnia et præcipue excitavit, effecitque ut nos sanctorum Patrum scripta percurreremus, illisque C non indiligenter inspectis, optimam eorum perceptionem Spiritu conduxit, et ad hæc usque tempora occultata veritate deprehensa, cum senioris Romæ asseclis vere et secundum Christum conjuncti in præsentia sumus, quibus nos paulo ante œconomiæ modus colligavit, ab eisdem temere per multum ante tempus disjunctos, hoc Deo propter innumera nostra scelera ad internecionem generis nostri permittente.

β'. Ἐντεῦθεν γὰρ πάντα συνέπεσεν ἡμῖν τὰ δεινὰ, καὶ τὰ τῆς εὐκληρίας τῆς παλαιᾶς ἀνατέτραπται, τὸ μὲν τῶν τῆς Ἄγαρ ἀπογόνων καταδραμόντων τὰς καθ' Ἕω πλείους πόλεις καὶ χώρας ἡμῶν, καὶ ταύτας ποιησαμένων ἑαυτῶν καταγώγια, ναὶ μὴν καὶ κατεχόντων ἐς δεῦρο τυραννικῶς, ὡς ἔνθα τὰ τοῦ Χριστοῦ πρότερον ἐνηργεῖτο θεῖα μυστήρια τὰ τοῦ μιαροῦ Μωάμεδ ἐκτελεῖσθαι νῦν δργια, καὶ τοὺς ἱεροὺς καὶ σεβασμίους ναοὺς τοῦ Θεοῦ πονηρῶν καὶ ψυχοβλαβῶν δαιμόνων εἶναι κατοικητήρια, τῷ τὴν μυσαρὰν καὶ βέβηλον τοῦ Μαχούμετ κλῆσιν ἐν τούτοις ἀνακηρύττεσθαι σφόδρα κακῶς, ἐν οἷς ποτε τὸ μέγα καὶ φρικτὸν ἀνευφημεῖτο πάνυ καλῶς τοῦ Σωτῆρος ἡμῶν ὄνομα· τὸ δὲ καὶ τῶν Ἰταλῶν ὑσμόθεν ἐπελθόντων ἡμῖν, παρ' ὧν πρῶτα μὲν τὸ μεῖζον καὶ χείριστον, ὥνπερ ὑπέστημεν, τῆς Κωνσταντίνου, φεῦ! ἅλωσις. Ὧ τίς καθ' Ἱερεμίαν τὸν

2. Hinc enim noxæ omnes nos oppressere, et felicitas antiqua et prospera in infortunium versa est, partim quod ab Agare oriundi plerasque Orientis urbes, regionesque nostras vastaverint; D inque illis sedes et tabernacula collocaverint, et ad hanc ætatem tyrannide premant adeo, ut ubi antea Christi divina mysteria efficiebantur, nunc impuri Mahometi cæremoniæ peragantur, et sacrosanctæ et venerandæ Numinis ædes, in pravorum, et animis nocentium dæmonum habitationes evaserint, quod in illis exsecranda profanaque Mohameti appellatio proclametur, pessime profecto, in quibus aliquando magnum et terribile Salvatoris nostri nomen probissime concinebatur : partim quod Italis ex occiduis partibus in nos irrumpentibus, maximum illud ac omnium perniciosissimum pertulimus, Constantinopolitanæ, heu! urbis exci-

[1] Deut. xxxii, 4. [2] Joan. v, 39.

Digitized by Google Распознавание текста АВК/FR

dium. Quis uti Jeremias in plangendis ac delacrymandis calamitatibus præcellens, solusque lamentationes infortuniis exæquare apprime eximius, nostras calamitates pro dignitate collacrymabit, et pro iis quæ nobis obvenere miserabiliter planget? Hinc subsecuta est per universam partem occiduam urbium et regionum, earumque omnium, direptio et eversio : nec alio modo, si quæ versus Orientem remanserant, impiorum Agarenorum crudelem dominatum subiere, exceptis paucis quibusdam, quæ Romani imperii antea pars minima exstitere, in magnam sortem tum nostris, qui ex plurimis paucissimi periculum vitarunt, reputatæ sunt, quibus res imperii in angustum contracta parvis concluditur terminis. Tot tantaque ardua et difficultatum plena, quorum vel sola memoria excruciat animum, ita permittente Numine perpessi sumus postquam a Romanis fratribus nos (quod utinam nunquam factum fuisset!) dissociavimus.

3. Sed nunc recens, cum prorsus nos revocari voluit, qui mortificat Deus, et rursus vivificat, in concordiam sic concessimus, ut una Christianorum Ecclesia in duas multo abhinc tempore, in Latinos nempe et Græcos, actoris malorum Satanæ improbitate divisa, rursum in unum pure convenerit, et sententiarum contrarietate omnino dispulsa, una iterum facta sit. Namque licet heri aut nudius tertius nos cum Romanis associavimus, et pacem nihil habituram insidiarum composuimus, nihilominus aliqui eos quasi in pietate integros nondum sibi in antiquam concordiam redegerunt, quod necdum de Spiritu sancto sacræ Patrum voces omnibus, quemadmodum nunc, innotuerant. Sed quis narrabit potentias Domini, auditas faciet laudationes ejus, quas in generationes et generationes operatus est, et nunc etiam operatur? Quis multijugam illius sapientiam enuntiabit, qua ille nostra ordinans, providentia sibi nota plane dirigit? Cum enim aliquando, uti illi complacitum fuit, misericordiarum Pater, et totius consolationis Deus, propter divitem illius in nos misericordiam, duos magnos et præclarissimos Ecclesiæ oculos a se invicem a multo tempore male disjunctos denuo bene convenire constituit, ut una in fidei firmamento ambularent, et in faciem universæ terræ resplenderent, et fulgoris immensitate reliquæ piorum gentes discernerent, non statim nec repente, licet momento temporis omnia possit, sed veluti in primæva rerum universarum creatione, sic et nunc paulatim sibi beneplacita complet.

4. Et primum quidem pacem inter nos ipsos, quam vel auribus percipere a multo tempore non potuimus, pacis princeps et pater indicit, in eam pluribus sæpenumero animos nostros accersens, et concordiam cum Romanis, in quibus Deum colimus, nonnullos minime capere conspiciens, tanquam præoccupatos cognitione, propter ea quæ majores nostri contentiosis et litigiosis disputationibus, non

A πολὺν ἐν ὀδυρμοῖς τε καὶ δάκρυσι, τὸν καὶ μόνην ἐξισοῦν εἰδότα τοὺς θρήνους τοῖς πάθεσι, τὴν ἡμετέραν τηνικαῦτα κατ' ἀξίαν ἀποκλαύσεται συμφοράν, κἀπὶ τοῖς συμβᾶσιν ἐλεεινῶς ὀλοφυρόμενος κλαύσεται; Μετὰ δὲ τοῦτο κατάσχεσις τῶν ἀνὰ πᾶσαν ἑσπέραν πόλεων καὶ χωρῶν, καὶ τούτων ἁπάσων, τῶν μὲν κατασκαφή, τῶν δὲ πόρθησις· ὡσαύτως καὶ τῶν εἴ τι; ἐναπελείφθη πρὸς ἀνατολὰς τοῖς ἀθέοις Ἀγαρηνοῖς, πλὴν τινῶν εὐαριθμήτων, εἰ καὶ τῆς βασιλείου πρώην ἐπικρατείας μέρος οὖσαι βραχύτατον, εἰς κλῆρον μέγαν γεγόνασι τότε τοῖς καθ' ἡμᾶς λίαν ὀλίγοις ἐκ πολλῶν κομιδῇ διαφυγοῦσι τὸν κίνδυνον, οἷς καὶ περιέστη τὰ τῆς ἀρχῆς ἐς στενὸν οὕτως, μικροῖς ὁρίοις περιγραφόμενα. Τοσαῦτα καὶ τοιαῦτα τὰ δυσχερῆ τε καὶ μεστὰ χαλεπότητος, ἃ καὶ νῦν B εἰς μνήμην ἰόντα πλήττει μου τὴν ψυχήν, κατὰ θείαν παραχώρησιν ὑπηνέγκαμεν, διαζευχθέντες τῶν ἀπὸ Ῥώμης ἀδελφῶν, ὡς μὴ ὤφελεν.

γ'. Ἀλλὰ τούτοις ἀρτίως, ἡνίκα τέλεον ἡμᾶς ἐπανακληθῆναι τεθέληκεν ὁ θανατῶν Θεὸς, καὶ πάλιν ζωογονῶν, εἰς ὁμοφροσύνην συνεληλύθαμεν, ὥστε τὴν μίαν τῶν Χριστιανῶν Ἐκκλησίαν εἰς δύο πάλαι διαιρεθεῖσαν εἴς τε τοὺς Λατίνους καὶ τοὺς Γραικοὺς ἐπηρείᾳ τοῦ ἀρχεκάκου Σατὰν, παλινδρομῆσαι πρὸς τὸ αὐτὸ καθαρῶς, καὶ μίαν αὖθις γενέσθαι, τὸ δίχονοεῖν ἀποβαλοῦσαν παντάπασιν. Εἰ γὰρ καὶ χθὲς καὶ πρότριτα πρὸς τοὺς ἐν Ῥώμῃ ἡμεῖς κατηλλάγημεν, καὶ φίλια φρονεῖν πρὸς αὐτοὺς συνεθέμεθα, πλὴν ἀλλ' οὔπω τινὲς προσήκαντο τούτους, καὶ ὡς ὑγιαίνοντος τὴν εὐσέβειαν, ὅτι μηδ' οὕτως αἱ περὶ τοῦ C παναγίου Πνεύματος ἱεραὶ φωναὶ τῶν Πατέρων ἀνακεκαλυμμέναι τοῖς πᾶσιν ἦσαν, καθάπερ καὶ νῦν. Ἀλλὰ τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ, ἃς κατὰ γενεὰς καὶ γενεὰς εἰσέτι καὶ νῦν ἐργάζεται; Τίς τὴν πολύτροπον αὐτοῦ σοφίαν ἐξείπῃ, μεθ' ἧς διεξάγων εὐθύνει σαφῶς τὰ ἡμέτερα λόγοις οἷς ἐπίσταται διοικήσεων; Ἐπείπερ γάρ ποτε καὶ ηὐδόκησεν ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως διὰ πλούσιον αὐτοῦ περὶ ἡμᾶς ἔλεος τοὺς δύο μεγάλους τῆς Ἐκκλησίας καὶ περιφανεῖς ὀφθαλμοὺς ἀλλήλων ἐκ παλαιοῦ διαστάντας κακῶς, συνελθεῖν αὖθις καλῶς, ὥστε συνοδεύειν ἐν τῷ τῆς πίστεως στερεώ- D ματι, καὶ λάμπειν ἐπὶ προσώπου πάσης τῆς γῆς, ὅπως ἂν τῷ δασεῖ τῆς αἰγλης εἰλικρινέστερον ὁρῷεν καὶ τὰ λοιπὰ τῶν εὐσεβούντων ἐθνῶν, οὐκ εὐθὺς οὐδὲ παραχρῆμα, καίπερ ἐν ἀκαρεῖ τὰ πάντα δυνάμενος, ἀλλ' ὥσπερ ἐν ἀρχῇ τῆς τῶν ὄντων συστάσεως, οὕτω καὶ νῦν κατὰ μικρὸν τὰ τῆς βουλήσεως ἐκπληροῖ.

δ'. Καὶ πρῶτα μὲν εἰρήνην ἐν ἡμῖν αὐτοῖς, ἣν ἀκοῦσαι συχνὸς ἐξ ὅτου χρόνος οὐκ ἔσχομεν, ὁ τῆς εἰρήνης ἄρχων λαλεῖ καὶ Πατὴρ παρακαλέσας εἰς ταύτην πολλὰ πολλάκις τὰς ἡμετέρας ψυχὰς, κατὰ τὴν ἐφ' οἷς τὸ Θεῖον πρεσβεύομεν μετὰ τῶν Ῥωμαίων ὁμόνοιαν μηδέπω χωροῦντας ἐνίους εἰδὼς, ἅτε προκατειλημμένους τὴν γνῶσιν, ἐξ ὧν οἱ πρὸ ἡμῶν ἐριστικῶς ἅμα καὶ φιλονείκως, οὐκ ἀποδεικτι-

Digitized by Google Распознавание текста ABK/FR

κῶς οὐδὲ φιλαληθῶς κατὰ τούτων συνέγραψαν. Καὶ διὰ ταῦτα πᾶν τοὐναντίον περὶ αὐτῶν φρονοῦντας καὶ λέγοντας, σπείσασθαι τῷ τέως παρασκευάζει τούτοις ἡμᾶς ἐπὶ συμβάσεσι μηδέν τι τὸ παράπαν ἐπικοινωνούσαις τοῖς ἱεροῖς δόγμασιν. Ἵνα τί γένηται, καὶ τίνα τρυγήσῃ τὴν ἐπικαρπίαν ἐντεῦθεν, ὁ πάντα προνοίας μέτροις ἐπιστατῶν ; ἵνα καιροῦ καλοῦντος, τοιούτοις εἰς τὴν πρὸς αὐτοὺς ἡμᾶς λαβὼν ἡμερότητα, καὶ τὴν ἔνδον γαλήνην τῶν λογισμῶν οἷα τῆς κατὰ τούτων ἐνούσης ἡμῖν ἀρχαίας κακίας ἀποσκορακισθείσης τοτέλεον, ῥᾳδίως ὑπαγάγῃ τοῖς ἔμπροσθεν, καὶ τὴν κατ' εὐσέβειαν οὕτως ἕνωσιν ἀπεργάσηται, τὰ περὶ τοῦ δόγματος, ὡς ἔχει, κατὰ λεπτὸν εἰς τὸν ἡμέτερον νοῦν ἐμβαλών, ἐξ ὧν οἱ τοῦ Πνεύματος ἐν διαφόροις γρᾳφαῖς αὐτῶν θεολογοῦντες ἐφιλοσόφησαν.

demonstrationibus, vel veritatis amore adversus Romanos concinnarunt, propterea que oppositum omne de iis sentientes, et obloquentes, prius hos nobiscum ad pactionem adigit iis conditionibus, quæ cum sacro dogmate nihil haberent commune. Quo tandem scopo, et quem inde fructum decerpturus, omnia providentiæ mensura gubernat? Ut tempore postmodum opportuno, ita affectos nos assumens, in mansuetam et internam cogitationum tranquillitatem, nostro adversus eos antiquo odio prorsus dissoluto, facili negotio deduceret, et sic pietatis unionem absolveret, rebus dogmatis, uti se habent, paulatim in nostram mentem immissis, occasione sumpta ex iis, quæ Spiritui dediti scriptionibus suis variis philosophati sunt.

ε'. Ταῦτ' ἄρα καὶ τοιαύτας ὁ τῶν ἡμετέρων ψυχῶν οἰκονόμος πόῤῥωθεν, ὥσπερ ἀεὶ νόμος αὐτῷ, προκαταβάλλει τὰς ἀφορμὰς, τὸν θεοστεφῆ καὶ μέγιστον ἡμῶν αὐτοκράτορα τοῦ ἔργου τούτου θερμὸν ἀντιλήπτορα προστησάμενος, ὃς οἷον τὸν ζῆλον καὶ τὴν ὑπὲρ τῆς εἰρήνης προθυμίαν καὶ σπουδὴν ἐνεδείξατο, τίς ἱκανὸς τῷ λόγῳ περιλαβεῖν ; οὐ μὴν ἀλλ' οὐδὲ τὴν ἐν τούτοις ὑπὲρ ἄνθρωπον αὐτοῦ καρτερίαν οὐδενὶ τῶν ἁπάντων ἰσχὺς ἔσται διεξελθεῖν. Οὐ γὰρ ὁμοῦ τε προσετάγη θεόθεν ὑπηρετῆσαι τῷ λειτουργήματι, καὶ ὁμοῦ τοῖς ὑπ' αὐτὸν ἐντειλάμενος ἥρκεσεν, ὥσπερ ἂν εἴ τις ὑπολάβοι τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν ἐξουσίαν ἀποσκοπῶν, ἀλλὰ πάντας σχεδὸν ἀνθισταμένους εὑρὼν, καὶ ὅτι χρόνος μακρὸς ἀφ' οὗ τὰ τοῦ σχίσματος, ὡς νόμον τὸ παράλογον ἔθος τοῦτο κρατύνειν ἐθέλοντας, τῇ τούτων ἀσθενείᾳ συγκαταβαίνει, καὶ μακροθύμως μετέρχεται τὰ τοῦ πράγματος. Καὶ νῦν μὲν πείθειν ὁ βασιλεὺς τοὺς ὑπηκόους ἐπιχειρεῖ, νῦν δ' ἀνέχεται τῶν ὑπὸ χεῖρα μεγαλοφρόνως ὁ δεσπότης ἀντιλεγόντων αὐτῷ, τοῦτο μὲν τῇ οἰκείᾳ κανταῦθα συνήθως χρηστότητι χρώμενος, τοῦτο δὲ καὶ διακρίσει διδοὺς ἑαυτὸν, οἷς ὅτι τὸ τῆς ἔχθρας μεσότοιχον πολυετές τε καὶ μακροχρόνιον, ἐξ ὧν καὶ πάντα τρόπον ἐπείγεται γενέσθαι τῆς εἰρήνης ὑμᾶς. Ἐν τούτῳ τοῦ σκοποῦ διημερεύων ἀεὶ, καὶ νύκτας ὅλας ἀγρυπνος διαχαρτερῶν, ἕως εἰ καὶ μὴ πάντας, ἐπεὶ μηδὲ πάντων ἡ γνῶσις, καὶ τοῦ λυσιτελοῦντος ἡ κατανόησις· τὸ γοῦν πλεῖστον καὶ κράτιστον μέρος τοῦ τῆς Ἐκκλησίας πληρώματος συναγαγὼν εἰς ταυτὸ, καὶ μιᾶς γνώμης τε καὶ βουλῆς τούτους ἀπεργασάμενος τῇ τοῦ εἰρηνάρχου Χριστοῦ συνεργείᾳ καὶ χάριτι, τὴν μετὰ τῆς τῶν Ῥωμαίων Ἐκκλησίας εἰρήνην θεοφιλῶς ἐκτετέλεκεν. Ἀλλὰ τὰ μὲν κατὰ τὸν ἡμέτερον αὐσονάρχην τὸν θεοστεφῆ τε καὶ θεομεγάλυντον, ὅπως θερμότατα λίαν ἀγωνισάμενος μεθ' ὅσης τε τῆς κατὰ ψυχὴν διαπύρου, καὶ συντομωτάτης ὁρμῆς, καὶ μεθ' οἵας τῆς ὑπομονῆς καὶ μεγαλοψυχίας τὴν εἰρήνην κατώρθωσεν, οὐ τοῦ παρόντος λέγειν καιροῦ. Μόλις γὰρ ἂν καὶ ἰδίᾳ τις πραγματείᾳ τὰ περὶ τούτων παραστήσειε τρανῶς.

5. Hæc itaque, nec absimiles nostrorum animorum dispensator, eminus, uti ipse suevit, causas projicit, per Deum coronato, maximoque nostro imperatore hujusce operis fervido protectore constituto, qui quantum zelum, et pro pace ardorem ostenderit, et curam posuerit, quis potis fuerit sermone exprimere? Imo ipsius supra humanas vires assidua studia verbis prosequi nemini omnium fas fuerit. Neque enim simul divinitus imperium accepit, ut ministerio asserviret, et simul subditis præcipiens, veluti si quis in datam sibi desuper auctoritatem respiciens, mandata exsecutus est: sed cum omnes fere sibi adversari comperisset, et, quod jam tempus longum præteriisset, ex quo dissidium exortum fuerat, absurdam hanc consuetudinem æque atque legem stabilire conarentur, ad eorum infirmitatem ac nutum totum se fingit et accommodat, et toleranter nimis negotium conficit. Et nunc quidem sibi obnoxios imperator blande illicere aggreditur: nunc eorum qui sub illius potestate erant, Dominus non absque animi magnitudine adversos conatus sustinet, partim propriam etiam in hoc pro more suo bonitatem usurpans, partim discretione multa metiens, quod simultatis atque inimicitiæ interstitium per multos annos et diuturnitate sua obduruerat. Quare modis omnibus et sedulo studio ad conciliandam nobis pacem convertitur, in hoc proposito continuo integros dies insumens, et noctes integras insomnes ducens, donec, etsi non omni, neque enim omnium cognitio, neque utilis comprehensio est, majore ac potiore ecclesiastici complementi parte in unum coacta, et Christi pacis auctoris ope et gratia eorum consiliis sententiisque ad suam voluntatem adductis, cum Romana Ecclesia pacem, uti Deo placuerat, absolvit. Sed quomodo imperator hic noster, qui a Deo coronatus est, et sua incrementa suscepit, vehementissima incitatione et ardore insatiato decertaverit, et quam fervido, et contentioso animi impetu, et qua tolerantia et magnanimitate pacem perfecerit, non est præsentis temporis scribere. Vix enim et singulari quispiam de hisce tractatione, omnia perspicue memoraverit.

Digitized by Google Распознавание текста ABK/FR

6. Dei porro mirabilia qui illum ad hæc impulit, ad quæ supra orationem converteram, undenam mihi sermonum fontes erumpent et cognitionis venæ recludentur, ut, etsi non pro dignitate, hæc enim et mentem et cogitationem exsuperant, humana nihilominus lingua et intellectu congruenter commemorem, et non tantumdem ab eorum magnitudine cadam, quantum aliis, qui infra terram obambulant, et sensibus asserviunt, inferior sum? Non prorsus aliunde mihi obveniet, quam a Spiritu, vitam demortuis inspirante, dum, ut cum Isaia eloquar, impura labia circumferam et multis peccatorum sordibus obruar, benignitati tamen illius fidens, quod propter misericordiarum pelagus Numen peccatores non aversatur, si ad ipsum rursus convers. animo inclinemur, indeque os reserans, ut Deiparens David canit, odorem attraham, iterumque Christo, indeque enata gratia complear, qua uti carbone nutritus, et corde atque sensibus depurgatus, ascensiones in ipso disponam, et cum divino præcone Paulo narrabo sapientiam multos annos absconditam, quam auctoritate qua est, occulta revelans Deus per hæc media dignis alio atque alio tempore retegens, uti qui examinandis libris animum addixit, ex multis addiscere valet, extremis hisce diebus nobis omnibus per divinarum Scripturarum expositionem manifestavit, inde nobis comparans et perfectiorem et absolutiorem, quam antea unquam fuerat, communionem. Uti siquidem est Rex regum et Dominus dominantium Deus, sic per eum, qui nunc et merito imperium moderatur, et quem invenit æque atque Davidem, vere hominem juxta cor suum, disciasa ab antiquo tempore Ecclesiæ Christi membra in unum probe conjungens, in vinculo charitatis pacem primum firmavit.

7. Oportebat igitur non multo post et universum circa nos suæ providentiæ mysterium manifestari, ostendique Romanam Ecclesiam in pietatis sanctitate nihil a nostra differre. Quid ergo ille operatur, et quomodo vere admirabilia et occulta sua consilia in lucem producit? Ex iis, qui antea rem oppugnabant, virum tum doctrina, tum dicendi vi in ecclesiastico cœtu facile principem (gradus enim et ordinis vel mentionem inducere nos haud paratos, prorsus supervacaneum duco), ut quondam magnum Paulum excitat, non pacem solummodo denuntiantem, et reliqua omnia bona, quæ post pacis præconia ex sacris Scripturis collegit, dum non uti alii multi in facto substitit, neque tantum in ea bene promovenda acquievit, sed curiosa mentis indagine sanctorum Patrum scripta exponens, ad ulteriora illius processit, et finem eorum quæ examinabantur apprehendens, complementum paci secundum Christum vere sincereque apposuit. Hunc adversæ partis antea, zelo ad honesta quæque prorsus bono, tum etiam propugnatorem agnitum, qui prævidet omnia ante quam fiant prædeA ς'. Τὰ δὲ τοῦ κινήσαντος αὐτὸν εἰς τοῦτο Θεοῦ, πρὸς ἃ καὶ ἄνωθεν ὥρμημαι, πόθεν μοι πηγαὶ ῥαγήσονται λόγων, καὶ φλέβες ἀναστομωθήσονται γνώσεως, ὡς ἂν, εἰ καὶ μὴ κατ' ἀξίαν, ὑπερβαίνει γὰρ ταῦτα πάντα νοῦν καὶ διάνοιαν, ὅμως ἀνθρωπίνῃ γλώττῃ καὶ φρενὶ καταλλήλως ἐκδιηγήσωμαι, καὶ μὴ παρὰ τοσοῦτον ἀπολειφθῶ τῆς τούτων μεγαλειότητος παρ' ὅσον ἑτέρου τῶν κάτω βαινόντων καὶ δουλευόντων αἰσθήσει φαίνεσθαι δεύτερος; Οὐκ ἄλλοθεν πάντως ἢ παρὰ τοῦ καὶ τοῖς νεκροῖς ζωὴν ἐμπνέοντος Πνεύματος, ὅπερ εἰ καὶ καθ' Ἡσαΐαν εἰπεῖν ἀκάθαρτα χείλη περιφέρω, καὶ πολὺν ἁμαρτιῶν ἐπισύρομαι βόρβορον, ἀλλ' οὖν τῷ φιλαγάθῳ τούτῳ θαῤῥήσας, ὅτι μηδ' ἀποστρέφεται τὸ Θεῖον τοὺς πλημμελοῦντας διὰ πέλαγος οἰκτιρμῶν, μόνον ἂν πρὸς B αὐτὸ καὶ πάλιν ἐπιστρεφόμενοι νεύωμεν, κἀντεῦθεν ἀνοίξας τὸ στόμα, καθά που φησιν ὁ θεοπάτωρ Δαυΐδ, ἑλκύσω τὴν εὐωδίαν, τὸ τῆς Γραφῆς εἰπεῖν, καὶ αὖθις Χριστοῦ, καὶ τῆς ἐκεῖθεν οὕτως ἐμπλησθήσομαι χάριτος, δι' ἧς ὡς δι' ἄνθρακος ψωμισθέντος μοι, τήν τε καρδίαν καὶ τὰ αἰσθητήρια καθαρθείς, ἀναβάσεις ἐν αὐτῇ διαθήσομαι, καὶ λαλήσω, κατὰ τὸν θεοκήρυκα Παῦλον, σοφίαν τὴν ἔτεσι πλείστοις ἀποκεκρυμμένην, ἣν ὁ κατ' ἐξουσίαν ἀποκαλύπτων βαθέα Θεὸς διὰ μέσων τούτων τοῖς ἀξίοις παραγυμνώσας κατὰ καιροὺς, ὡς ἔνεστι τῷ περὶ τὴν ἐξέτασιν τῶν βίβλων προστετηκότι μαθεῖν ἐκ πολλῶν, ἐπ' ἐσχάτων τούτων ἡμερῶν πᾶσιν ἡμῖν διὰ τῆς τῶν θείων Γραφῶν ἀναπτύξεως ἐφανέρωσε, πρὸς ἐντελεστέραν ἔνθεν ἡμᾶς κοινωνίαν, καὶ μείζονα τῆς C πρώτης μετακαλούμενος. Ὡς γὰρ ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων Θεὸς, οὕτω διὰ τοῦ νῦν βασιλεύοντος ἐπὶ γῆς ἀξιοπρεπῶς, ὃν εὗρεν ὡς τὸν Δαυΐδ ἀληθῶς ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ, τὰ διερρωγότα τὸ παλαιὸν μέλη τῆς Ἐκκλησίας Χριστοῦ συνάψας καλῶς ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης τὴν εἰρήνην καταρχὰς ἐπρυτάνευσεν.

ζ'. Ἔδει δὲ ἄρα μετ' οὐ πολὺ καὶ τὸ πᾶν τῆς περὶ ἡμᾶς αὐτοῦ προμηθείας ἀποκαλύψαι μυστήριον, καὶ δεῖξαι τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν τῆς ἡμετέρας κατὰ τὴν τῆς εὐσεβείας λόγον μηδὲν διαφέρουσαν, τί ποιεῖ, καὶ πῶς εἰς φῶς ἐξάγει τὰ τῆς θαυμασίας τῷ ὄντι καὶ κρυφίου ταύτης βουλῆς; Ἐξ αὐτῶν τῶν πρώην ἀνθεστηκότων ἄνδρα τὸν τὰ D πρῶτα φέροντα τῆς ἐκκλησιαστικῆς ὁμηγύρεως ἐπί τε σοφίᾳ καὶ λόγοις αὐτοῖς, τὸν γὰρ τοῦ βαθμοῦ καὶ τῆς τάξεως καὶ μνησθῆναι κομιδῇ περιττὸν, ἐξαίφνης ὥς ποτε τὸν μέγαν Παῦλον ἀνίστησιν, οὐχ εἰρήνην εὐαγγελιζόμενον μόνον, ἀλλὰ καὶ ἄλλο πᾶν ἀγαθὸν, ὅπερ ἐκ τῶν θείων Γραφῶν μετὰ τὸ ταύτην ἐπαινέσαι συνέλεξεν, ἐπεὶ μηδ' ἐναπέμεινεν ὡς οἱ πολλοὶ τῷ γεγονότι, μηδὲ στῆναι μέχρι τῆς οἰκονομίας τῆς καὶ αὐτῆς καλῶς προβάσης ἠγάπησεν, ἀλλὰ τῇ τοῦ νοὸς πολυπραγμοσύνῃ τὰς τῶν ἁγίων Πατέρων ἐξηγήσας γραφὰς, ἐπὶ τὸ πλέον ταύτης διέθη, καὶ τὸ τῶν ζητουμένων τέλος καταλαβὼν τὸ πλήρωμα τῆς κατὰ Χριστὸν εἰρήνης, ὡς ἀληθῶς διεπράξατο. Τοῦτον καὶ τῆς ἐναντίας μοίρας πρὸ τοῦδε τῷ περὶ τὰ καλὰ πάντως ζήλῳ καὶ τότε

Digitized by Google Распознавание текста ABK/FR

γνωριζόμενον πρόμαχον, ὁ προειδὼς πάντα πρὶν γενέτεως αὐτῶν προώρισεν ἀρχιερατικῶς ἐν τῷ παρόντι προστῆναι τῆς Ἐκκλησίας αὐτοῦ, καὶ δοῦναι πίστιν περὶ τῶν προκειμένων ὑμῖν ἐξ ὕψους ἀποκαλυφθέντα τήν τε διάνοιαν καὶ τὸ βάθος τῶν θείων Γραφῶν, ἀρχηγοῦ κἀνταῦθα τοῦ κραταρχοῦντος ἡμῶν χρηματίσαντος, ὃς πρῶτος καὶ μόνος ἔβαπτε μὲν ἀρχῆθεν τῆς ἀληθείας αὐτὸς, ὡς ἐκ τῶν ὕστερον τούτων ἐγνώκαμεν, οἰκοθεν, μᾶλλον δὲ θεόθεν μαρμαρυγάς τινας φωτισμοῦ περὶ ταύτης δεχόμενος, οὐκ εἶχε δὲ καὶ τοῖς ἄλλοις αὐτοῖς ἐκλάμψαι τρανῶς, ἅτε μηδ' εὐπορῶν ὅλως τοῦ συγκροτοῦντος ἐπὶ τούτῳ, καὶ συναρήγοντος· ἀμέλει τοι καὶ γραφικὰς ἀπορίας ἐν τῷ μέσῳ προτείνων, καὶ τὰς αὐτῶν λύσεις πάντοθεν εἰσπραττόμενος, ὅτι μὴ τὸν ἰσχύοντα συμβιβάζειν τὸν νοῦν τοῦ γράμματος εὕρισκε, τοῦ μὲν κατὰ σκοπὸν πρὸς μικρὸν ἀνεκόπτετο, τῆς δὲ τῶν Γραφῶν ἐρεύνης οὐκ ἀφίστατο τέλεον, τοῦ Θεοῦ πάντως αὐτὸν εἰς τοῦτο παραβιβάζοντος, ἵνα τὸ φέγγος τῆς ἀληθείας ἐκ τοῦ συνεχῶς ταύταις ἐνασχολεῖσθαι καὶ τοῖς τῶν ἀντιλεγόντων ἐναστράψειεν ὄμμασιν, ὅπερ δὴτα καὶ οὐκ εἰς μακρὰν γέγονεν. Ὁ γάρ τοι τὸν πρώην ἐκεῖνον ζῆλον πολὺς μετὰ βραχὺ θεόθεν καὶ αὐτὸς ἐμπνευσθεὶς τὴν θείαν ἐπιμελῶς προτεθύμηται Γραφὴν διελθεῖν, ἣν καὶ τὸν τρόπον τοῦτον ἐπισκεψάμενος ἐπέστησε τὸν νοῦν πολλαχοῦ, καὶ τοῖς λογισμοῖς ἐμβαθύνας, τῆς τε τοῦ δόγματος ἀκριβείας ἐφίκετο, καὶ τοῖς πᾶσιν εἰς τοὐμφανὲς τὴν τῶν ἀδήλων γνῶσιν κατέστησεν, τὸν ζῆλον δεόντως πρὸς τοὐναντίον μεταβαλὼν, καὶ θερμότερον ἐνταῦθα τοῦτον ἢπερ ἐκεῖσε κτησάμενος, ὅσον καὶ μεγίστην ἐκ τῶν γραφικῶν μαρτυριῶν τὴν πληροφορίαν ἐπλούτησε. Καὶ νῦν τῶν λογικῶν Χριστοῦ προβάτων ποιμὴν γεγονὼς, διδάσκαλος τῆς ἀληθείας ἡμῖν ἀναδείκνυται. Δι' οὗ καὶ πρὸς ζήτησιν τῶν ἱερῶν λογίων πάντας τοὺς ὀλιγώρως αὐτῶν τὸ πρότερον ἔχοντας διεγείρας, ὁ ποιῶν πάντα καὶ μετασκευάζων Θεὸς πλὴν ὀλίγων τινῶν, ἐπειδὴ καὶ τῆς κακίας μεῖναι κατάλειμμα, καὶ ἐν τῷ παρόντι τὸ πᾶν τῆς ἰσχύος αὐτῇ πᾶσαν θεόπνευστον Γραφὴν, τὴν ἐς δεῦρο μηδὲ γινωσκομένην πολλοῖς, εἰ μὴ τὰ πλείω ταύτης εἰδέναι φαίη τις ἐξ ὀνόματος, εἰς τὸ μέσον παρήγαγε, καὶ παῤῥησίας ταύτην ἀπολαύειν ἠξίωσεν. Ἐξ ἧς ἡ τῶν Ῥωμαίων Ἐκκλησία, βαθαὶ τῶν ἀφάτων τοῦ Θεοῦ δωρεῶν! διεγνώσθη πρεσβεύειν ὀρθῶς, καὶ κατὰ τὸν νοῦν τῶν ἁγίων Πατέρων φρονεῖν. Ἔνθεν τοι καὶ πᾶσα σκανδάλου πρόφασις ἡμῖν περιῄρηται, καθάπερ ἱστὸς ἀράχνης διαλυθεῖσα, καὶ εἰς τὸ μηδὲν καταντήσασα. Τὰ δὲ τῆς εἰρήνης περιπολεῖ προφανῶς, μηδεμίαν ἀφορμὴν διδόντα διαστάσεως πρόξενον· ἐπείπερ οὓς ἐναντιογνωμονεῖν ὑμῖν κατὰ τὸ σέβας πρὶν ὑποπτεύοντες ὡς ἐχθροὺς ἀσπόνδους ἀπεσειόμεθα, τούτους ἀρτίως ὁμοδόξους εἶναι κατανενοηκότες, ναὶ γὰρ ὁμοδόξους ἡμῖν τοὺς τῆς Ἐκκλησίας τῶν Ῥωμαίων καλῶ, καὶ καλῶν οὐδέποτε παύσομαι, εἰ καί τινες ἢ κακίᾳ στοιχοῦντες, ἢ καὶ ἀγνοίᾳ καθυπαγόμενοι διαῤῥήγνυνται, στέργομεν ὡς ἀδελφοὺς, καὶ καθάπερ οἰκεῖα μέλη πρῶτά τε καὶ τιμιώτερα

terminavit, in præsentia uti præsulem addecet, Ecclesiæ suæ antistare, et de propositis nobis, ex alto et sententias et divinarum Scripturarum profunda edoctum fidem facere, in his quoque nostro imperatore principem locum occupante, qui primus solusque a principio non extra veritatis limites incedebat, uti ex iis quæ secuta sunt, didicimus, de propriis, imo ex Numine radios quosdam illuminationis pro hac ipsa accipiens, licet aliis præclare lumen addere non posset, tanquam qui in hoc negotio, qui sibi opem auxiliaque deferret, nullum habebat : sedulo tamen ex scriptis petitas difficultates proponens in medio, earumque solutiones undequaque conquirens, cum qui sententiam scripto adaptaret non reperiretur, a proposito sibi scopo minimum deflectebat, sed a Scripturarum investigatione non recedebat, Deo prorsus ipsum in id promovente, ut veritatis lumen ex continua earum inquisitione contradicentium oculos illumineret, quod tandem nec multo post exitum habuit. Qui namque primo illo zelo invalescebat, paulo post ipse quoque Numine afflatus, divinam diligenter Scripturam percurrere sibi in animo posuit, quam et hac ratione meditans, multis in locis animum fixit, et considerationibus profunda expiscans, accuratam dogmatis notitiam habuit, et omnibus in apertum haud ita rerum patentium cognitionem communicavit, zelum in contraria convertens, et eo fervidiorem hic quam ibi consecutus, quo et longe maxima ex scriptis testimoniis certitudine ditaretur. Et nunc ratione præditarum Christi ovium pastor effectus, veritatis magister nobis innotescit, per quem et ad sacrorum Eloquiorum investigationem omnes, qui illis examinandis se negligenter tradebant, excitans, qui facit omnia et transmutat Deus, paucis quibusdam exceptis, quando et improbitatis reliquias permanere oporteat, et præsenti hoc tempore vim illius omnem adaperiens, universam divinitus inspiratam Scripturam ad hæc usque tempora multis non agnitam, ni illius pleraque quispiam scire nomine tenus præsumpserit, in medium adduxit, fecitque, ut illa confidenter et libere inter homines versaretur. Qua Romana Ecclesia, papæ inenarrabilium Dei donorum ! recte sentire, et ad mentem sanctorum Patrum decernere dijudicata est : indeque totius scandali occasio, uti araneæ tela dissoluta et ad nihilum deducta, sublata est, et pax aperte familiarissimeque congreditur, nullam exhibens causam, quæ dissidium afferat, cum quos alia atque nos circa cultum tenere antea suspicati, quasi hostes irreconciliabiles a nobis repellebamus, eos nunc ejusdem cum nobis esse sententiæ agnoscentes, sic enim Romanæ Ecclesiæ asseclas nuncupo, et semper in posterum nuncupandi nullum finem faciam, licet nonnulli aut improbitati addicti, aut ignorantia distracti, dirumpantur, uti fratres diligimus, et veluti propria membra prima, et aliis honoratiora amplectimur, parum curantes de iis, qui ex propriis de dogmate

Digitized by Google Распознавание текста ABBYY FR

decernere audent, tanquam qui vere vana atque inania conantur, et non insistunt sanctorum Patrum vestigiis, qui sanctissimo Spiritu tum ob carnis puritatem, tum ob mentis sinceritatem afflati, optima quæque et pro dignitate tradiderunt.

8. Hæc, Deus universi conditor, tua erga nos, qui in sæculorum fine plane pervenimus, miracula (sic non cessasti de iis, quos propriis tuis manibus effinxisti, modis omnibus benemereri, tuamque curam nobis ostendere), quæ nunquam deprehenderunt nostri majores, sive erga divinas Scripturas ignavia, sive etiam erga Latinos simultate. Multa etenim sunt, quæ inter nos et illos dissidia concitarunt, et nobilior animi pars, si insitas inimicitias habet, conturbata in veritate ipsa cæcutit. Hæc tu nos in præsentia probe, et utiuti sunt, addiscere tuo beneplacito effecisti, et argumenta rerum aliter exorsus, quæ tua est varia ac multiplex sapientia, et tuæ cognitionis profunditas, alium finem et exitum habere sed multo meliorem præparasti, et longe disjunctissimos ac dispersos vere in unum collectos, in unum ovile deduxisti. Et rursus ecce unus grex nos omnes ex variis diversisque nationibus conflatus, cujus pastor Christus est, unigenitum tuum Verbum, qui nostram formam uti nos ipsi propter viscera misericordiæ tuæ suscepit, pro quibus quæ tandem tibi gratiarum actiones reponentur ? quam etiam tibi debitam a nobis benevolentiam reddemus, qui bonis omnibus refertus es, et omnem gratiam exsuperas, et rerum humanarum, omnibus abundantissime affluens, plane non indiges ? Non utique possumus ob ea, et quæ nunc peregisti, gratiam infra etiam dignitatem reponere, eoque potissimum, quod ad dicendum minime idonei sumus, cum etiam si cœlestem aut supercœlestem vocem consequeremur, neque tum solvendo erimus. Sic, omnipotens et sublimissime Domine, tuorum in nos beneficiorum magnitudo sermone omni potior est. Sed hæc de hisce satis superque. Neque enim ad hæc comprobanda luculentiore oratione mihi opus est.

9. Postquam vero addecentem Deo gloriam, uti fieri potuit, de rebus gestis exhibuimus, et ingentium in nos beneficiorum mentione inducta, et illius ad hæc usque tempora mirabilibus humano generi denuntiatis, par esse videtur nunc demum et orationem in eos convertere, qui non eadem quæ nos tenent, et zelum habent sed non ex cognitione, ut divinus Apostolus ait, quorum quidam sanctorum Patrum voces audientes, non tamen percipientes insitam in illis sententiam, sed temere eas intelligentes, pacem adeo probe Ecclesiarum divina ope factam calumniantur et criminantur, et loca per omnia pererrantes de nobis male loquuntur, cum sint eorum de quibus determinant ignarissimi.

A τῶν ἄλλων ἐνστερνιζόμεθα, βραχέα τῶν οἰκοθεν κατατολμώντων δογματίζειν ἄρτι φροντίζοντες, ἵτε κενεμβατούντων ὡς ἀληθῶς, ἀλλὰ μὴ τοῖς θεοφόροις κατακολουθούντων Πατράσιν, οἱ τῷ παναγίῳ Πνεύματι διά τε καθαρότητα σαρκὸς καὶ νοὸς εἰλικρίνειαν ἐμπνεόμενοι, κάλλιστα καὶ πρὸς ἀξίαν ἐθεολόγησαν.

B η'. Τοιαῦτα, Θεὲ δημιουργὲ τοῦ παντὸς, καὶ τὰ πρὸς ἡμᾶς σου τεράστια τοὺς εἰς τὰ τέλη τῶν αἰώνων σαφῶς καταντήσαντας (οὕτως οὐ διέλειπες, οὓς χερσὶν ἰδίαις διέπλασας παντοίως εὐεργετῶν, καὶ τὴν οἰκείαν κηδεμονίαν ἡμῖν ἐνδεικνύμενος), ἅπερ οὐ συνεῖδον οἱ πρὸ ἡμῶν ἢ ῥᾳστώνῃ τῇ πρὸς τὰς θείας Γραφὰς, ἢ καὶ τῇ πρὸς τοὺς Λατίνους ἐναντιότητι. Πολλὰ γὰρ τὰ μέσον ἡμῶν τε κἀκείνων τὴν διαμάχην κατεργασάμενα, καὶ φιλεῖ συνθολοῦσθαι δι' ἔχθραν τὸ ἡγεμονικὸν τῆς ψυχῆς, μὴ συνορῶν τὴν ἀλήθειαν. Ταῦτα τὸ παρὸν ἠὐδόκησας καταμαθεῖν ἡμᾶς εἰς ἀκρίβειαν, καὶ τὰ τῆς ὑποθέσεως ἄλλως ἀρξάμενος κατὰ τὴν σὴν ποικίλην ἐπιστήμην, καὶ τὸ βάθος τῆς σῆς σοφίας καὶ γνώσεως, εἰς ἕτερον καταλῆξαι πέρας βέλτιον πολλῷ παρεσκεύασας, καὶ συνῆξας εἰς ἓν ἀληθῶς τοὺς διεσπασμένους ἐπὶ μακρὸν, καὶ τοὺς ἐσκορπισμένους εἰς τὴν αὐτὴν μάνδραν συνήλασας. Καὶ πάλιν ἰδοὺ μία ποίμνη πάντες ἡμεῖς ἐκ διαφόρων συνισταμένη καὶ πολυειδῶν τῶν ἐθνῶν, ἧς ποιμὴν ὁ Χριστὸς ὁ μονογενής σου Λόγος, ὁ μορφωθεὶς διὰ σπλάγχνα ἐλέους σου τὸ καθ' ἡμᾶς καὶ ἡμέτερον, ὑπὲρ ὧν C ποῖός σοι λόγος εὐχαριστίας προσενεχθήσεται ; τίνα δέ σοι καὶ τὴν ὀφειλομένην ἡμῖν εὐγνωμοσύνην προσοίσομεν τῷ ὑπερπλήρει παντὸς ἀγαθοῦ, τῷ πάσης ἐπέκεινα χάριτος, ὃς οὐδενὸς τῶν ἀνθρωπίνων χρῄζεις κατ' οὐδένα τρόπον, ὑπάρχων ἐν πᾶσιν ἀνενδεής ; Οὐκ ἔστιν ὅπως διὰ ταῦτα καὶ τῶν νῦν σοι πεπραγμένων χάριν οὐκ ἔλαττον τὸ κατ' ἀξίαν ἀφοσιώσασθαι δυνηθείημεν, καὶ μᾶλλον ὅτι πολὺ καὶ τῆς ἐν τῷ λέγειν ἁπλῶς ἱκανότητος ἀποδέομεν, ὅπου γε κἂν οὐράνιόν τινα, καὶ συνόλως ὑπερουράνιον ἀνελαβόμεθα τὴν φωνὴν, οὐδὲ τότε τὸ χρεὼν ἀπεπλήσαμεν. Οὕτω, πανσθενὲς ὕψιστε Κύριε, πάντα λόγον ὑπεραίρει τὸ τῶν πρὸς ἡμᾶς εὐεργετημάτων σου μέγεθος. Ἀλλὰ τὰ μὲν περὶ τούτων ἐνταῦθα κείσθω. Καὶ γὰρ οὐδὲ μακροτέρων δεῖσθαι δοκῶ μοι ῥημάτων D πρὸς τὴν τῶν λεγομένων παράστασιν.

θ'. Ἐπεὶ δὲ τὴν ἀνήκουσαν ὡς οἷόν τε δόξαν ἐπὶ τοῖς γενομένοις ἀνεπέμψαμεν τῷ Θεῷ τῶν εἰς ἡμᾶς μεγαλοδωρεῶν αὐτοῦ μνημονεύσαντες, καὶ καταγγείλαντες τοῖς πᾶσι τὰ τούτου καὶ ἐς δεῦρο θαυμάσια, δίκαιον ἂν εἴη τὸ ἀπὸ τοῦδε τρέψαι τὸν λόγον καὶ πρὸς τοὺς τἀναντία φρονοῦντας ἡμῖν, καὶ ζῆλον μὲν ἔχοντας, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, ὃ φησὶν ὁ θεῖος Ἀπόστολος, ὧν οἱ μὲν τὰς τῶν ἁγίων Πατέρων φωνὰς ἀκούοντες, οὐ μὴν συνιέντες, τὸν ἐγκείμενον αὐταῖς νοῦν, ἀλλὰ σφαλερῶς αὐτὰς ἰκλαμβάνοντες, τὴν οὕτω καλῶς καὶ σὺν Θεῷ προβᾶσαν εἰρήνην τῶν. Ἐκκλησιῶν συκοφαντοῦσι καὶ διαβάλλουσι· πρὸς δὲ καὶ πάντῃ περιερχόμενοι κακῶς ἡμᾶς λέγουσιν, οὐκ εἰδότες περὶ τίνων διαβεβαιοῦν-

Digitized by Google Распознавание текста ABK/FR

τας παντάπασιν· οἱ δὲ δι' ἀπειρίαν ὅλως Γραφῶν οὐδὲ προσιδεῖν ἡμᾶς στέγουσιν, μή τοί γε προσομιλῆσαι καὶ διαλεχθῆναι τὰ εἰκότα περὶ τῶν ζητουμένων ἡμῖν. Περὶ γὰρ τῶν ἄλλων, οἱ διὰ κακίαν καὶ μῖσος, εἰσὶ γὰρ, εἰσί τινες καὶ τοιοῦτοι, τοῦ Σατὰν ἐνδεικνυμένου κάνταῦθα τὴν οἰκείαν ἐνέργειαν, φεύγουσιν ἡμᾶς βδελυττόμενοι, τί χρὴ καὶ λέγειν, οὓς ἀνορθώσασθαι μόνον τοῦ τοὺς νεκροὺς ζωοποιοῦντος Θεοῦ, σαφῶς ἤδη τῷ φθόνῳ καταπεσόντας, καὶ κινδυνεύσαντας; Οἷς καὶ δάκρυα μᾶλλον συμπαθείας ἁρμόζουσιν ἢ λόγοι πρὸς τὸ κρεῖττον μεθέλκοντες· ὅτι μηδὲ πείσουσι, κατὰ τὸν εἰπόντα σοφὸν, οὐδ' ἢν πείσωσιν. Οὕτω τῇ πρὸς τὸ καλὸν μετουσίᾳ τεθνήκασι, τῇ βασκανίᾳ τὴν γνώμην κατ' ὀλίγον τακέντες καὶ ταύτῃ σαφῶς εἰς τὸ παντελὲς ὑπορρέυσαντες. Ἀλλ' ἐκεῖνοι μὲν ἐβλίφθων τοῦ λόγου τούτου μακρὰν, ὡς ἀνιάτως τῆς προαιρέσεως ἔχοντες· πρὸς δὲ τοὺς ἄλλως διακειμένους, οἱ καὶ τὴν θεραπείαν ἔτι τυχὸν προσδοκήσιμοι, καὶ γὰρ εἰκὸς ὀψὲ καὶ μόλις ἅψασθαί τι τῆς αὐτῶν καρδίας ῥῆμα σωτήριον, τὸν λόγον ποιητέον ἡμῖν, ἐν ᾧ καὶ τὰς γραφικὰς χρήσεις, αἷς ἐντυχοῦσιν ὁδηγηθῆναι πρὸς τὴν ἀλήθειαν ἁπλαιῶς ἐξεγένετο, κατατάξομεν, τὰ παρ' ἑαυτῶν συντιθέντες, καὶ τὸν νοῦν αὐτῶν ὡς δύναμις ἀναπτύσσοντες. Ἔστι δ' ὅπου καὶ τὰ τῶν ἐναντίων ἀνθυποφέροντες, καὶ ταῦτα κατὰ τὴν ἐν ἡμῖν χορηγίαν τοῦ Πνεύματος λύοντες, ὡς ἂν οἱ μὲν δι' ἄγνοιαν τούτων ἀποπηδῶντες ἡμῶν διδαχθῶσιν ἴσως κἀκ μόνης τῆς τῶν θείων φωνῶν ἀκροάσεως, μὴ φοβεῖσθαι φόβον, οὗ μή ἐστι φόβος, κατὰ τὸν ψαλμογράφον Δαυΐδ, ἢ μᾶλλον τὴν ἐπαινετὴν δειλίαν ἔνδον ἐν καρδίᾳ συλλαβόντες, καὶ ὠδινήσαντες, πνεῦμα σωτηρίας ἐκτέκοιεν, ἐν τῷ προσδραμεῖν ἑτοίμως, καὶ τὰς ψυχὰς ὀπίσω κολληθῆναι τῶν ἡμετέρων. Οἱ δὲ ταύτας παρεξηγούμενοι ταῖς ὀρθαῖς ἡμῶν καὶ ἀδιαπτώτοις ἐννοίαις, ἂν ἄρα καὶ συγκαταθέσθαι δυνηθεῖεν αὐταῖς, τῆς προτέρας καταγνόντες ἑαυτῶν ὑπολήψεως τὸ ἀκριβὲς τοῦ δόγματος μεταμάθωσι, καὶ μὴ τολμῶσι λέγειν ὡς ἐγώ τινος ἐπιθυμήν αὐτῶν, ἀβασανίστως ἡμᾶς τὰς τῶν ἁγίων Πατέρων δεξαμένους φωνὰς, τὰ δόξαντα συνάγειν κακῶς, ἀλλ' ἓν καὶ τὸ αὐτὸ φρονοῦντες γένοιντο μεθ' ἡμῶν, καὶ κοινῇ τὴν Τριάδα δοξάσωμεν, τὴν μίαν θεότητά τε καὶ δύναμιν, περὶ ἧς ἤδη καὶ πρὶν τοῦ ζητήματος εἰσβαλεῖν, βραχέα διεξελθεῖν ἡγησάμενος δεῖν, οὕτω γὰρ ἂν ὁ λόγος εὐοδωθείη πρὸς τὸ προκείμενον, αὐτὴν ἐκείνην ἐπικαλοῦμαι τὴν τοὺς ἀσυνέτους καὶ ἀσόφους συνετίζουσαν καὶ σοφίζουσαν, ἐν ᾗ πάντες οἱ τῆς γνώσεως ἀπόκρυφοι θησαυροὶ κατὰ τὸν μέγαν Ἀπόστολον, λόγον μοι παρασχεῖν ἐν ἀνοίξει τοῦ στόματος, ἵνα τοῦ προσήκοντος, ὡς οἷόν τε κατευστοχήσας δυνηθείην εἰπεῖν τι τῆς θείας μεγαλοπρεπείας ἐπάξιον.

ι'. Ἵλαθι δέ μοι τὸ φοβερὸν τοῖς πᾶσιν ὄνομα καὶ φρικτὸν, Θεὲ καὶ Κύριε τοῦ παντὸς, ἀγέννητε Πατὴρ, Υἱὲ μονογενὲς, καὶ Πνεῦμα συμφυές τε καὶ σύνθρονον, ἡτῶν ὄντων ὑπεράρχιος ἀρχὴ καὶ ὑπέρχρονος, τὸ τριλαμπὲς κράτος καὶ ἀμερὲς, ἡ ὁμο-

A Alii Scripturarum experientia destituti, nec oculis nos aspicere sustinent, tantum abest, ut consuetudine nostra delectentur, et de rebus dubiis agitata in commune congressi deferant. De aliis enim qui ob improbitatem et odium, sunt enim, sunt etiam nonnulli ita affecti, qui Satana hic quoque suam vim commonstrante, nos abhorrentes fugiunt, quos plane, jam invidentia oppressos, et infortunio demersos in sanam mentem reducere, solius Dei mortuos vivificantis fuerit, quid dicendum est? Hos lacrymæ potius commiserationis decent, quam ad meliora illicientes sermones, quod non persuadebunt, ut sapiens ille dixit, etiamsi persuadeant: sic in boni communione emortui sunt, livore paulatim mente tabefacti, eoque plane reducti in nihilum. Sed isti quidem ex hac oratione longe protrudantur, tanquam qui insanabili ingenio sunt; ad alios vero qui aliter affecti sunt de quorum sanitate non desperamus, tandem enim aliquando corda eorum a salubri verbo commovenda fore putamus, convertenda nostra oratio est, in qua et scripto tradita testimonia, in quæ dum nos incidimus, veritatem ipsam absque errore penitius introspeximus, digeremus, nostra componentes, eorumque sententiam, uti fieri potest, exponentes, nonnullis etiam in locis adversariorum contradictiones afferentes, easque uti nobis concedet Spiritus, dissolventes, ut qui propter ignorationem a nobis desiliunt, doceantur vel ex sola divinarum vocum auditione ex sese timorem, ubi timor non est, abjicere, uti Psalmorum scriptor David insinuat; sive potius laudabili timore suo corde trepidantes, et salutis spiritum concipientes, fetum efficere, dum prompte ad nos confugerint, ex animo menti nostræ conglutinati. Qui vero ea prave interpretantur, rectis nostris ac firmis cogitationibus, si tamen illis assensum præbere valuerint, priore sua opinione amandata, accurata dogmatis scientia instruantur, nec audeant dicere, ut ego ex nescio quo eorumdem audivi, nos absque ullo examine dicta Patrum excipientes, quæ nobis videntur, male colligere, sed unum et idem sentientes nobiscum depaciscantur, et simul una omnes Trinitatem glorificemus, deitatem unam et potestatem, de qua antequam quæstionem ipsam aggrediar, breviter aliquid disserendum esse existimans, sic enim oratio ad rem sibi propositam concinne dirigetur, eamdem ipsam invoco, quæ stultos atque insipientes prudentes sapientesque facit, in qua omnes cognitionis thesauri, sic magnus ait Apostolus, sunt, ad propinandum mihi in aperitione oris verba, ut ad id, quod consentaneum est, sic uti fieri potest, collimans, dignum divinæ magnitudinis aliquid dicere valeam.

10. Propitium vero sis mihi, tremendum horrendumque omnibus nomen, Deus et Domine universi, Pater ingenite, Filî genite, Spiritus ejusdem cum illis naturæ, et in eadem sede collocatus. Rerum supra omne principium et supra omne tempus prin-

Digitized by Google Распознавание текста ABK/FR

cipium, potestas trino fulgore indivise coruscans, simul imperium tenens auctoritas et robur, si erga te excelsissimum, vitam sanctificantem atque illuminantem, audacter linguam terrigena solvo, prorsus inexpurgatus, et, ut moderatius loquar, qui nunc expurgor, neque enim contemptu, non ita insaniam, neque infinitæ tuæ atque inaccessibilis gloriæ ignoratione, ad rem aggredior, sed tuæ bonitatis pelago fidens, qua vel sola cum nihil exsisterem ipso rerum initio effinxisti, et quotidie delinquentem sustinens, conversionem exspectas. Est ergo sermo de Deo, o amici, valde difficilis, et comprehensionem omnem exsuperat, non tantum nostri, quorum intellectui affectuum caligine obtenebrato clara visio non conceditur, sed iis etiam qui in speculationibus profecere, quod puram animi cogitationem conservarunt. Quantum nihilominus ad nostram mentem pervenit ex iis, qui spiritui addicti declaraverunt, duplex et secundum diversum modum innotuit, alter unitati essentiæ sive naturæ proprius est, alter trinitati personarum, sive hypostaseon, quod idem est dicere. Unus enim essentia et natura cum Deus sit, in tribus hypostasibus, sive personis agnoscitur, Pater, Filius, et Spiritus sanctus sua proprietate hæc sunt et dicuntur, unumquodque secundum se considerata Deus perfectus : rursusque hæc tria Deus unus cognoscitur, dum neque secundum proprietates divisio aliam naturam ingeneret, neque secundum essentiam unio hypostaseon confusionem, uti Arius insaniæ cognominis, et a mente deductus Sabellius, sibi mutuo adversantes, hic divinitatis concisionem, ille personarum commistionem impie decreverunt. Vitæ siquidem princeps datrix, ac sanctissima Trias dividitur indivise, et divisim conjungitur, quod admirabile est. Nihilominus Pater principio et causa caret : neque enim ex aliquo est. Filius vero et Spiritus, licet si tempus spectes, etiam ipsa nullum sui principium habent : quomodo enim sub tempore temporum factor et creator? Secundum porro aliam rationem non absque principio, cum non sint absque causa : utraque siquidem ex Patre, sed non similiter, neque pari modo : cum necessarium sit in his quoque discrimen esse, ut et hæc inter seipsa discernantur; indeque Trinitas vere trinitas sit, quemadmodum essentia unitas est.

11. Quare Filius quidem generatur, Spiritus vero, ut a Deo tradita eloquia dicunt, procedit, diversæ appellationes de diversis exsistentiis. Sed hic dissidiorum inter nos causa apparet, ob quam nationes integræ multo ab hinc tempore, quæ ante alias Christo nomina dederunt, indeque sibi nomen indiderunt, Latini inquam et Græci, a seipsis disjunctæ separatæ sunt, unaque cum illis reliquæ omnes Christianorum nationes abductæ sunt, sic improbitate Satanica ingentes tempestates, et sævi fluctus Ecclesiam oppressere, misereque vehemens turbo afflixit, atque jactavit. Inde rerum nostrarum attritio et interitus consecuta sunt, quæ utique

A βασίλειος ἐξουσία καὶ δύναμις, εἰ πρὸς σὲ τὸν Ὕψιστον, τὴν ἁγιαστικὴν ζωὴν καὶ φωτιστικήν, τολμήσας λύω τὴν γλῶτταν ὁ γηγενής, μηδὲν μηδόλως προκαθαράμενος, ἢ τόγε μετριώτερον εἰπεῖν καθαιρόμενος. Οὐδὲ γὰρ ὀλιγωρίᾳ, μὴ οὕτω μανείην αὐτός, οὔτε μὴν ἀγνοίᾳ τῆς ἀπείρου καὶ ἀπροσίτου σου δόξης ταύτην ποιοῦμαι τὴν ἐπιχείρησιν, τῷ δὲ πελάγει θαῤῥῶν τῆς σῆς ἀγαθότητος, δι' ἣν καὶ μόνην μηδὲν ὄντα με καταρχὰς ἐπλαστούργησας, καὶ καθημέραν πλημμελοῦντος ἀνέχῃ μου, τὴν ἐπιστροφὴν ἐκδεχόμενος. Ἔστι μὲν οὖν ὁ περὶ θεοῦ λόγος, ὦ οὗτοι, καὶ πάνυ τοι δυσχερὴς καὶ δυσέφικτος οὐ μόνον ἡμῖν οἷς τὸ φρονοῦν ἐκ τῆς τῶν παθῶν ἀχλύος ἐπιπροσθούμενον οὐ συγχωρεῖται τηλαυγῶς καθορᾶν, ἀλλὰ καὶ τοῖς ἐν θεωρίᾳ διαβεβηκόσιν, ἐκ τοῦ καθαρὸν τηρῆσαι τὸ τῆς ψυχῆς λογιζόμενον. Ὅσον δ' οὖν ὅμως εἰς τὸν ἡμέτερον ἦκε νοῦν, ἐξ ὧν οἱ τοῦ πνεύματος διετράνωσαν, διττὸς ἀναπέφανται, καὶ κατὰ τρόπον διάφορον, ὁ μὲν τῷ μοναδικῷ τῆς οὐσίας πρέπων, εἶτ' οὖν τῆς φύσεως, ὁ δὲ τῷ τριαδικῷ τῶν προσώπων, ταὐτὸν δὲ φάναι, τῶν ὑποστάσεων. Εἷς γὰρ κατ' οὐσίαν καὶ φύσιν ὢν ὁ Θεὸς ἐν τρισὶν ὑποστάσεσι καὶ προσώποις γνωρίζεται, Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα ἅγιον, ἰδιαζόντως ἐστί τε ταῦτα καὶ λέγεται, Θεὸς τέλεος ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, καὶ πάλιν εἰς τὰ τρία Θεὸς γινωσκόμενος, οὔτε τῆς κατὰ τὰς ἰδιότητας διαιρέσεως ἐργαζομένης ἀλλοτρίωσιν φύσεως, οὔτε τῆς κατ' οὐσίαν ἑνώσεως σύγχυσιν ὑποστάσεων, ὡς Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος, καὶ Σαβέλλιος ὁ ματαιόφρων ἐξ ἐναντίας ἀλλήλοις ἰόντες, ὁ μὲν κατατομὴν θεότητος, ὁ δὲ συναλοιφὴν προσώπων ἀσεβῶς ἐδογμάτισαν. Διαιρεῖται γὰρ ἀδιαιρέτως ἡ ζωαρχικωτάτη καὶ παναγία Τριὰς, καὶ συνάπτεται διῃρημένως, ὃ καὶ παράδοξον. Πλὴν ὁ μὲν Πατὴρ ἄναρχός τε καὶ ἀναίτιος, οὐ γάρ ἐστινος. Ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα, κἂν εἰ κατὰ χρόνον, καὶ ταῦτα συνάναρχα· πῶς γὰρ ὑπὸ χρόνον ὁ τῶν χρόνων ποιητὴς καὶ δημιουργός; κατὰ γοῦν ἕτερον λόγον οὐκ ἄναρχα, διόπερ οὐδὲ ἀναίτια. Καὶ ἄμφω γὰρ ἐκ Πατρὸς, οὐ μὴν ὡσαύτως, οὐδὲ κατὰ τρόπον τὸν ὅμοιον, ἐπείπερ ἀνάγκη κἀν τούτοις εἶναι διαφοράν, ἵνα καὶ ταῦτα πρὸς ἄλληλα διακρίνωνται. Κἀντεῦθεν ἡ Τριὰς ἀληθῶς ᾖ τριὰς, ὥσπερ κατ' οὐσίαν ἐστὶ μονάς.

ια'. Οὐκοῦν ὁ μὲν Υἱὸς γεννᾶται, τὸ δὲ Πνεῦμα, καθὼς τὰ θεοπαράδοτα λόγιά φασιν, ἐκπορεύσται, διάφοροι κλήσεις ἐπὶ διαφόροις ὑπάρξεσιν. Ἀλλ' ἐνταῦθα καὶ τὰ τῆς διαφωνίας ἡμῖν ἀναφαίνεται, δι' ἣν πάλαι μὲν ἔθνη διέστησαν ἀπ' ἀλλήλων ὁλόκληρα, τὰ πρώτως τῶν ἄλλων ἀπὸ Χριστοῦ τὴν προσηγορίαν πλουτήσαντα, Λατῖνοί τέ φημι καὶ Γραικοί. Καὶ τούτοις τ' ἄλλα πάντα τῶν Χριστιανῶν γενῶν συναπῄχθησαν, μεγάλης ζάλης καὶ τρικυμίας τὴν Ἐκκλησίαν καταλαβούσης ἐξ ἐπηρείας Σατανικῆς, καὶ πολλοῦ κατασχόντος ταύτην σάλου καὶ κλύδωνος, ἐξ ὧν φθορὰ καὶ συντριβὴ τῶν ἡμετέροις συνήντησε πράγμασιν, ὡς προβῆναι ταῦτα

Digitized by Google Распознавание текста АВК/FR

καὶ πρὸς πάντελῆ τὸν ἀφανισμὸν καὶ τὴν ἐξολόθρευσιν, καθάπερ εἰπόντες ἔφθημεν ἄνωθεν, εἰ μὴ Κύριος ἐναργῶς ἡμῶν ἀντελάβετο, καὶ νῦν δὲ μετὰ τὴν τῆς ἀληθείας εὕρεσιν, καὶ κατάληψιν, ἣν τὸ Πνεῦμα τὸ ἅγιον ἐχορήγησε, τῶν ἡμετέρων τινὲς τῆς προτέρας γνώμης καὶ αὖ ἀντεχόμενοι, βλασφημίαν τοῖς ἐκ τῆς τῶν Ῥωμαίων Ἐκκλησίας ἐπεγκαλοῦσι, ὅτι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα πρεσβεύουσιν, καὶ τὸν κατὰ Θεὸν ἡμῶν ἐνωθέντων τούτοις κακῶς ἀποσχίζονται, σκάνδαλον ὡς ἐπίπαν καὶ ταραχὴν οἰκουμενικὴν ἐμποιῆσαι σπουδάζοντες. Γυμνῆς γὰρ ἅπαξ τῆς ἄνω ῥηθείσης εὐαγγελικῆς λαβόμενοι τοῦ Σωτῆρος φωνῆς, ἀμέσως ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα λέγουσιν ἐκπορεύεσθαι, μήτε τῇ πρὸ ταύτης πάσῃ περικοπῇ τὸν νοῦν ἐφιστάνοντες, δι' ἧς τοῖς προσέχουσιν ὁπωσοῦν οὐκ ἐκτὸς ὑπάρχειν τοῦ Υἱοῦ τὸ Πνεῦμα καταλαμβάνεται, καὶ τὰς καθ' ἑκάστην ἀναγινωσκομένας ἐπ' Ἐκκλησίας τοῦ μεγάλου Παύλου, τοῦ τῆς εὐσεβείας προστάτου, ῥήσεις, αἳ τῆς αὐτῆς διανοίας εἰσὶν παρατρέχοντες, τὰς δὲ περὶ τούτου τῶν θεοφόρων Πατέρων Γραφὰς, ἐν αἷς ἀριδήλως εἶναι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα κηρύττεται μηδαμῶς μελετήσαντες, ἀλλ' ἑαυτοῖς κενοφωνίαν εἰς ἀρέσκειαν ἀνθρώπων ἐπινοήσαντες.

ιβ'. Ἡμεῖς δέ φαμεν, ταῖς θεοφθόγγοις τῶν ἁγίων ἑρμηνείαις ἑπόμενοι, τούτων δὲ τὴν ἐν Εὐαγγελίοις οὐκ ὀλίγα τοῦ Κυρίου φωνὴν, καὶ τὰς ἀποστολικὰς ῥήσεις οὐχ ἧττον δι' αὐτῆς ἀναπτύσσουσιν, ἃς καὶ προϊόντος τοῦ λόγου σχεδὸν πάσας κατὰ καιρὸν ἑκάστην ἐκθήσομεν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, διὸ καὶ παρὰ τοῦ Υἱοῦ, ὡς διὰ τοῦ Υἱοῦ λαμβάνει τὴν ὕπαρξιν. Ὁ μὲν γὰρ Υἱὸς ἀμέσως πρόεισιν ἐκ Πατρὸς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ· καὶ τοῦτό ἐστι τὸ μέσον τούτων τὴν διαφορὰν ἐργαζόμενον, καθ' ἣν ὁ μὲν Υἱὸς ὑπάρχει, καὶ μόνος γεννητὸς ἐντεῦθεν προσαγορεύεται, τὸ δὲ τοῦθ' ὅπερ καλεῖται Πνεῦμα ἅγιόν ἐστί τε, καὶ μόνον ἐκπορευτὸν ὀνομάζεται. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ Γρηγόριος ὁ πάνυ τῆς τῶν Νυσσαέων Ἐκκλησίας ὁ πρόεδρος, ὃς, διὰ μιᾶς πόλεως ταύτης πάντα τὰ τοῦ κόσμου πέρατα τοῖς οἰκείοις περιλαβὼν δόγμασιν, ἐν τῇ πρὸς Ἀβλάβιον αὐτοῦ θεολογίᾳ τάδε φησί· *Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν· τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου, καὶ τὸ ἐξ αἰτίου δὲ ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου.* Καὶ ταῦτα μὲν Γρηγόριος ὁ Νύσσης μάρτυς τῶν εἰρημένων ἄνωθεν ἀξιόχρεως, ἐξ ὧν ἡμῖν πιστεύεται καὶ καλῶς τὸ Πνεῦμα διαφέρειν πρὸς τὸν Υἱὸν ἐν τῷ δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχειν παρὰ Πατρός. Ἐπείπερ εἰ μὴ τοῦτο, πάντως ἂν ἦν Υἱὸς καὶ αὐτὸς γεννητός. Ἤ τίς ὁ λόγος τοῦτον μὲν Υἱὸν εἶναι, τὸ δὲ Πνεῦμα καὶ οὐχ Υἱόν; Δότω τις ἑτέραν μεταξὺ τὴν διαφορὰν, ἐξ ἧς καὶ τὰς κλήσεις διαφόρους, ὡς εἰκὸς, ἕξουσι, καὶ ἡμεῖς σιωπήσομεν.

A pervenissent ad integram perditionem atque internecionem, ut supra commemoravimus, ni Deus clare nobis suppetias tulisset. Et tunc etiam post repertam deprehensamque veritatem, quam Spiritus sanctus elargitus est, ex nostris nonnulli priorum sententiam propugnantes, Romanæ Ecclesiæ asseclis blasphemiæ crimen inurunt, quod ex Filio Spiritum asserunt, et a nobis, qui secundum Deum illis adhæsimus, male dissociantur, et scandalum et turbas universales ingenerare contendunt. Nuda siquidem, quam supra posuimus, evangelica Salvatoris voce apprehensa, immediate ex Patre Spiritum dicunt procedere, neque ad universam præcedentem pericopem animum advertentes, qua vel quomodocunque attendentibus non extra Filium B Spiritus exsistentiam esse deprehenditur; et quæ singulis diebus in Ecclesia magni Pauli pietatis assertoris dicta, eamdem sententiam insinuantia leguntur, levi manu percurrentes, nec non de hac eadem re scripta divinarum Patrum, in quibus quam apertissime per Filium, et ex Filio esse Spiritum prædicatur, nullo modo considerantes, novas sibi voces, ut hominibus placeant, effingunt.

12. Nos porro diviniloquas sanctorum interpretationes sequentes, necnon eorumdem, et Apostoli dicta non pauca evangelicam Domini vocem exponentia, quæ procedente oratione fere omnia suo tempore apponemus, dicimus, Spiritum sanctum ex Patre per Filium, ideoque ex Filio, quasi per C Filium accipere exsistentiam. Filius enim immediate ex Patre progreditur, Spiritus vero sanctus per Filium, et hoc medium horum est, quod differentiam operatur, secundum quam Filius exsistit, et solus genitus inde appellatur, hoc vero qui nuncupatur Spiritus sanctus est, et solus procedens dicitur. Dictum meum testimonio suo comprobat magnus Nyssenæ Ecclesiæ præsul Gregorius, qui ex una hac urbe omnes orbis terrarum fines suis dogmatibus complevit, in his quæ de Deo scribit, epistola ad Abiabium: *Immutabilem et per omnia similem naturam confitentes, discrimen causæ et effectus non inficiamur, in quo solum disjungi alterum ab altero deprehendimus; cum credamus hoc* D *quidem causam esse, illud ex causa, et illius quod ex causa est, aliud rursus discrimen comprehendimus: namque hoc quidem est immediate a primo, hoc vero per illud quod contigue est ex primo.* Et hæc quidem testis supradictorum fide dignus Nyssenus Gregorius, quibus a nobis creditur et probe, Spiritum differre a Filio, quod per ipsum exsistentiam habet a Patre. Quandoquidem si id non esset, prorsus et ipse esset Filius genitus. Aut quænam ratio fuerit, hunc quidem Filium esse, illum vero Spiritum et non Filium? Proferat quispiam aliam inter illos differentiam; ex qua et appellationes diversas, ut conveniens est, assequantur, et nos tacebimus. Sed nullus aliam proferre unquam poterit, quousque divinus hic Pater apud omnes asscritor

Digitized by Google Распознавание текста ABK/FR

veritatis esse magister, qui in hoc solo discrimen Filii et Spiritus constituit, quod, *hoc quidem est immediate a Patre, hoc vero per illud, quod contigue est ex primo*, quod idem est dicere, per Filium. Hæc itaque cum ita se habeant, non erit qui contra se opponat, si modo sapientia commendatur, et sapit pleno pectore; alias longissime a recta via aberraverit

13. Spiritum vero sanctum per Filium exsistere ex Patre præter hoc Ecclesiæ lumen, qui in multis aliis suis scriptis aperte hæc eadem decrevit, ut procedens oratio manifestabit, ab omnibus fere sanctis Patribus, quorum commentaria uti lapides a Deo incisas Dei Ecclesia tenere determinavit, simili ratione pertractatum est : et dogma hoc erat commune et universale a priscis temporibus veluti in thesauro illi conservatum, licet nunc nescio qua causa multi illud non admittant, et hæc post tantam veritatis inquisitionem, illiusque inventum. Et primum magnus in rebus theologicis pertractandis Basilius, cui ab omnibus omnia conceduntur, in uno ex suis ad sanctum Amphilochium capitibus, hæc habet : *Quomodo igitur separabuntur, quæ separari nequeunt, Verbum Dei, et Spiritus ex Deo per Filium?* Quis magnum hunc pietatis præconem audiens, non statim dictis assenserit, illisque addictus consecratusque dogma pro viribus propugnaverit, fidei suæ ducem similem sequens, quem magnis illis Patribus non minus Numen honoribus adauctum illustravit, quod sæpenumero plurima pro pietate certamina iniit, idque clarissime demonstrant ejusdem adversus hæreticos contradictiones, linguas universas improbas atque impias reprimentes, in quibus quandoque de re nobis proposita disserit, ut ex alio quoque capite colligere possumus. Dubitantibus enim : *Quare non et Spiritus sanctus filius Filii?* magnus hic occurrit, ac si illi prorsus everterent, illum esse per Filium, et absurdum quod inde sequebatur destruens, respondet : *Non quod non sit ex Deo per Filium*, et causam addit : *Sed ne multitudo innumera Trinitas, et filios ex filiis, ut in hominibus fit, habere reputaretur.* Illud porro *per Filium* stabiliens Scripturæ sacræ auctoritatem subjungit : *Propterea ex Deo Spiritum esse aperte prædicavit Apostolus dicens, Spiritum qui ex Deo est, accepimus, et per Filium apparere planum fecit, cum Filii Spiritum illum nuncupavit, quemadmodum Dei, et mentem Christi vocat, uti et Dei Spiritum, quemadmodum hominis.* Quosnam insaniæ fines non excesserit, qui verba hæc audiens in melius sententiam non mutat? et potissimum cum magnus iste Pater Paulum, os Christi, suam confirmantem sententiam adducat, dum dictata ab eo de Spiritu videtur interpretari, quibus, ut antea dixi, et evangelicam vocem considerate illa pervestigantibus explanat, si nihil aliud illa quam dictata a

Ἀλλ' οὐκ ἂν ἰσχύσειεν οὐδεμίαν ἄλλην οὐδεὶς ἐξειπεῖν· ἕως ἂν ὁ θεσπέσιος οὗτος Πατὴρ ὁμολογεῖται παρὰ πᾶσι τῆς ἀληθείας εἶναι διδάσκαλος, ὃς ἐν τούτῳ μόνῳ τὴν διαφορὰν Υἱοῦ καὶ Πνεύματος περιέστησεν ἐν τῷ *τὸν μὲν προσεχῶς εἶναι παρὰ Πατρὸς, τὸ δὲ διὰ τοῦ προσεχῶς*, ταὐτὸν δὲ εἰπεῖν, διὰ τοῦ Υἱοῦ. Τοῦτο μὲν οὖν οὕτως ἔχον, οὐκ ἔστιν ὅστις ἂν ἀντείποι τῶν εὐσυνέτων καὶ τὸ φρονεῖν σταθηρῶν, πλὴν εἰ μή που τῆς εὐθείας μακρὰν ἐκδεδράμηκεν.

ιγ'. Ὅτι δὲ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχει παρὰ Πατρὸς πρὸς τῷ ϛωστῆρι τούτῳ τῆς Ἐκκλησίας, ὃς ἐν πολλοῖς καὶ ἄλλοις τῶν αὐτοῦ λόγων τὰ περὶ τούτου σαφῶς ἐδογμάτισεν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει, καὶ τοῖς πᾶσι σχεδὸν τῶν ἁγίων Πατέρων, ὧν τὰ συγγράμματα καθάπερ πλάκας θεογράφους ἡ Ἐκκλησία Θεοῦ κατέχειν διέγνωκεν, οὕτω τεθεολόγηται; καὶ δόγμα τοῦτο κοινὸν ἦν καὶ καθολικὸν ἀνέκαθεν ἀποτεθησαυρισμένον αὐτῇ, κἂν νῦν οὐκ οἶδα τί παθόντες οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παραδέχονται καὶ ταῦτα μετὰ τὴν τῆς ἀληθείας τοσαύτην ἐξέτασιν, καὶ τοιαύτην ἀνεύρεσιν. Αὐτίκα γὰρ ὁ πολὺς τὰ θεῖα Βασίλειος, ᾧ καὶ τὸ παρὰ πάντων ἐν ἅπασι συγκεχωρηκὸς, ἔν τινι τῶν πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον αὐτοῦ κεφαλαίων οὕτω φησί· *Πῶς ἂρ οὖν χωρίζοιτο τὰ ἀχώριστα, Λόγος Θεοῦ καὶ Πνεῦμα ἐκ Θεοῦ δι' Υἱοῦ;* Τίς τοῦ μεγάλου τούτου τῆς εὐσεβείας κήρυκος κατακούσας, οὐκ ἂν εὐθὺς ἐφέψηται τοῖς ῥηθεῖσιν, ὧν καὶ γενόμενος ὅλος, ἀντιποιήσαιτο τοῦ δόγματος ὅση δύναμις, τοιοῦτον ἔχειν τῆς πίστεως καθηγεμόνα βουλόμενος, ὃν οὐδενὸς ἧττον τῶν ὑπὲρ λίαν Πατέρων τὸ Θεῖον ἐδόξασεν, ἅτε πολλὰ πολλάκις ὑπὲρ τῆς εὐσεβείας ἀγωνισάμενον, καὶ τοῦτο παρισῶς τρανῶς αἱ πρὸς τοὺς αἱρετικοὺς ἀντιῤῥήσεις, αἱ πᾶσαν γλῶσσαν ἀποστομίζουσαι πονηρὰν καὶ παράκμον, ἐν αἷς ἔστιν οὗ καὶ περὶ τοῦ προκειμένου διέξεισιν, ὡς ἐν ἑτέρῳ τῶν αὐτοῦ κεφαλαίων δυνατὸν κατιδεῖν. Πρὸς γὰρ τοὺς λέγοντας, *Διατί μὴ τὸ Πνεῦμα τὸ ἅγιον Υἱὸς τοῦ Υἱοῦ;* φθάνει προαπαντῶν ὁ μέγας, ὡς ὄφθεν ἀναιροῦντας τὸ εἶναι συνόλως αὐτὸ δι' Υἱοῦ, καὶ τὸ ἄτοπον ἀπαγορεύων φησί· *Οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ*, καὶ τὴν αἰτίαν ἐπάγων, οὕτω προστίθησιν· *Ἀλλ' ἵνα μὴ νομισθῇ πλῆθος ἄπειρον ἡ Τριὰς, υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα.* Τὸ δὲ *δι' Υἱοῦ* μετ' ὀλίγα συστῆσαι θέλων, ἀπὸ χρήσεως γραφικῆς ἐπιφέρει· *Διὰ δὴ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος, λέγων ὅτι τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν, καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ, καὶ νῦν Χριστοῦ προσειπὼν καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου.* Ποίας ἂν ἀπολίποι μανίας ὑπερβολὴν ὁ τῶν παρόντων ῥημάτων ἀκροασάμενος, ἔπειτα μὴ τὴν γνώμην μεταθέμενος πρὸς τὸ βέλτιον; καὶ μᾶλλον ἐπείπερ ὁ μέγας Πατὴρ καὶ Παῦλον τὸ τοῦ Χριστοῦ στόμα παράγει τὴν ἑαυτοῦ συνιστῶντα διάνοιαν. ἐν οἷς

Digitized by Google Распознавание текста ABK/FR

τὰς ὑπαγορευθείσας αὐτῷ περὶ τοῦ Πνεύματος ῥήσεις ἐξηγούμενος φαίνεται, δι' ὧν, ὡς προείρηταί μοι, καὶ τὴν εὐαγγελικὴν ἀναπτύσσει τοῖς ἐπισκεμμένως διεξιοῦσι ταύτας φωνὴν, εἴπερ οὐκ ἄλλο τὸ παρ' αὐτῆς σημαινόμενον, ἀλλ' ὅπερ αὐταί· τὸ γὰρ παρὰ τῷ Εὐαγγελίῳ *Πνεῦμα τῆς ἀληθείας*, *Πνεῦμα* κατὰ Παῦλον *Υἱοῦ, καὶ νοῦς Χριστοῦ*. Χριστὸς δὲ ἡ ἀλήθεια. Καλῶς τοιγαροῦν προλαβόντες ἐλέγομεν εἰς αὐτὴν ἐκείνην τὴν ἐν Εὐαγγελίοις περικοπὴν, ἀλλὰ δὴ καὶ τὰς ἀποστολικὰς ῥήσεις προσπταίειν τοὺς ἀντιδιατιθεμένους ἡμῖν ἐκ τῆς Κυριακῆς τάχα φωνῆς ὡς παρέργως μετιόντας τὰ περὶ τούτων, καὶ μὴ μετὰ τῆς προσηκούσης ἐπιστασίας καὶ διασκέψεως. Ὅμως εἰ καὶ μὴ πρώην, εἰς τὸ ἐξῆς γοῦν δοκῶ μηδένα τῶν πάντων, ὅσοι μὴ διὰ τέλους ἰδιορρύθμως πρὸς πάντα λόγον ἀντιβαίνειν ἐγνώκασι, τούτων τι παραδραμεῖν ἀνεξέταστον, μήτε μὴν εἰς γνῶσιν αὐτῶν ἀφικόμενον, μεῖναι τῆς οἰκείας ἐθελοδούλου γνώμης εἰσέτι κακῶς ἐξεχόμενον, τρέψαντα δὲ τὴν ἔλεγχον ἔνστασιν οἶμαι πάντα τοιοῦτον, εἰς θαῦμα μεταβαλεῖν τὴν προαίρεσιν, καὶ μεθ' ἡμῶν γενέσθαι τῶν τῆς ἀληθείας ὑπασπιστῶν, ἣν ὁ θεῖος οὗτος ἀνὴρ δυνάμει λόγου καθυποδείξας ἡμῖν, ὑπερμαχεῖν αὐτῆς τρόπον τινὰ προετρέψατο, τὴν κοινὴν πιστούμενος ἔννοιαν, ἤτις εἶχεν ἀεὶ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λαμβάνειν τὴν ὕπαρξιν, ὡς δῆλον κἀκ τῆς τῶν ἀπορούντων διανοίας ἐστίν. Ἐπεὶ τίς ὁ λόγος τὴν αἰτίαν τούτους ζητεῖν, *ὅτιπερ οὐχ Υἱὸς τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον*, εἰ μὴ δι' αὐτοῦ τοῦτο κεκτῆσθαι τὴν ὕπαρξιν ὁμολογουμένως ἐπρέσβευον, καὶ παρὰ πᾶσι τὸ τοιοῦτον δόγμα κρατεῖν ἀναμφιβόλως καὶ στερρῶς ἤδεσαν; τοῦτο δὲ πάντως κἂν τῆς πρὸς αὐτοὺς ἀπολογίας ὁ τὴν οὐράνιον σοφίαν παριόντι πλουτήσας τῆς ἀρετῆς οὕτως ἔχειν παραστησάμενος ἐβεβαίωσεν, ἀληθείας καὶ δυνάμεως γέμοντα φθεγξάμενος ῥήματα. Τὰ μὲν δὴ τοῦ μεγάλου Βασιλείου τοιαῦτα, καὶ οὕτως ἱκανῶς ἔχοντα πεῖσαι ψυχὴν συνθέσθαι τοῖς ὀρθοῖς τούτου δόγμασιν, ἅτε πολὺ πλουτοῦντα τὸ ἰσχυρόν.

A Paulo notat. Qui enim in Evangelio : *Spiritus veritatis* audit [1], Paulo *Filii Spiritus*, et *Christi mens* est. Christus vero veritas est. Bene itaque supra dicebamus, in illa ipsa Evangelii pericope, quin in apostolicis etiam dictis, errare sese nobis opponentes, dum Dominicam hanc vocem producunt, tanquam qui temere similia tractant, nec in eorum examine addecente consideratione atque investigatione utuntur. Nihilominus licet id non antea egerint, in posterum tamen tempus, nullum ex hisce, qui non ad finem usque proprio arbitrio ducti, quidquid affertur, oppugnare constituerunt, horum nihil absque inquisitione prætermissuros : neque cum in eorum cognitionem venerit, in propria, et quam sibi male præfixerunt, opinione permansuros : sed nulla ratione nixam contentionem immutaturos omnes existimo, et electionem admiratos una nobiscum futuros veritatis propugnatoribus, quam divinus iste vir, vi facultateque dicendi demonstratam aliquo modo defendere adhortatur, communem sententiam confirmans, qua semper indubitatum erat, per Filium Spiritum sanctum exsistentiam accipere, uti manifestum fit ex eorum, qui addubitant, mente. Qua enim ratione causam illi perquirent : *Quare non filius Filii Spiritus sanctus*, nisi ii per ipsum exsistentiam possidere sine controversia censerent, et apud omnes simile dogma absque ulla dubitatione firmum ac stabile esse cognoscerent? Hoc prorsus ex responsione sua ad eosdem, cœlesti sapientia abunde pro suis maximis clarissimisque virtutibus ditatus demonstrans, veritatis virtutisque plena verba locutus confirmavit. Et hæc quidem magni Basilii sunt, ea firmitate prædita, eamque vim habentia, ut rectis illius dogmatibus assensum præstare animos cogant.

ιδ'. Τίνα δὲ καὶ τὰ τῷ Νύσσης Γρηγορίῳ, τῷ μηδὲν ἧττον ἀδελφῷ τῆς τε τῆς πίστεως ὁμολογίαν ἢ τὴν σχέσιν τῆς φύσεως ἐν διαφόροις δογματισθέντα περὶ τούτου συγγράμμασιν, ἃ καὶ μικρὸν πρόσθεν παραθεῖναι προϊόντος τοῦ λόγου καθυπεσχόμεθα; Συνῳδὰ καὶ ταῦτα, καὶ τὸ πᾶν σύμφωνα, τό τε σθένος οὐκ ἀποδέοντα τῶν προειρημένων, καὶ τοιαύτην περιζωννύμενα τὴν ἀλήθειαν. Ἐν γὰρ τῷ πρώτῳ λόγῳ τῶν αὐτοῦ πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν ταῦτα διαλαμβάνων, καὶ οὗτός φησι· *Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος νοεῖται. Ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται· δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται, οὐχ ὑστερίζον τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτὲ τὸν Μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν*

14. Quæ vero Nyssenus Gregorius non minus confessione fidei, quam naturæ habitudine frater in variis de hac re commentariis decernit, et paulo ante procedente oratione digerere promisimus? Congruunt et illa profecto, et quam consimilia sunt, quam possunt omnibus, nec minus antea productis validiora, nec dissimili veritate vallata. Primo namque suorum adversus Eunomium Antirrheticorum libro hæc continentur : *Pater quidem sine principio et ingenitus intelligitur; ex eo vero immediate et indivise unigenitus Filius cum Patre simul intelligitur : per hunc autem et cum ipso, antequam inanis et non subsistens in medio perceptio incidat, statim Spiritus sanctus junctim concipitur, non post Filium exsistentia subsistens, ut aliquando Unigenitus absque Spiritu concipiatur, sed ex rerum omnium Deo et ipse suæ essentiæ causam habens, unde et unigenitum lumen oritur, per verum autem lumen elucescens, neque di-*

[1] Joan. xvi, 17.

Digitized by Google Распознавание текста ABBYY FR

stantiæ, neque naturæ diversitate a Patre sive ab Unigenito dividitur. Et multis aliis annexis rursus ait: *Ex unige ito sole alium solem, Filium scilicet simul cum primi intellectione per generationem una cum ipso effulgentem, eidemque per omnia æqualem: et rursus aliud simile lumen Spiritum eodem modo, non temporis aliquo intervallo a genito lumine dissectum, sed per illud splendens, ac hypostaseos causam habens ex primo illo exemplari lumine.* Hisce nil usquam clarius aut manifestius fuerit, quibus omnes non admodum contentionibus ob stultitiam deditos persuaderi profecto necessarium est. Namque his se opponere et adeo patentia contentiose refellere conari, non absimile fuerit contendenti, cum prælucidum atque hilarem diem videt, noctem profundam ac nigerrimam esse. Sic cæcutire hic videbitur non minus animi oculis, quam ille vere corporis, quod neque pati, neque proferre, nec etiam auribus accipere, qui pleno pectore sapiunt, supplices orant. Extremæ siquidem amentiæ hoc indicium fuerit, cujus notam nescio quanam poterit ratione effugere, divinissimi hujusce Patris dictis contra ire præsumens, qui suprema, et quæ supra nos sapientia est, præcellit, et de similibus aperte pronuntiat, quorum nihil potest excogitari divinius. Et mea quidem sententia ad dictorum sublimitatem vel pertingere posse, magnum est et plane donum divinum. Quapropter mihi persuadere non cesso, consuleremque aliis, qui excipiendis adhortationibus pronas aures habent, ne vim verbis inferant, neque longius extendant. Bonum etenim est in hisce immanentes securitatem summo nixu accurare. Securitas vero est dogmata tuto posita sequi, quæ mente sua divinus hic vir cæterique a rerum materiatarum affectibus sublati sincere accurateque comprehenderunt, et scripto omnibus tradiderunt, ultra vero ea comminisci et ex se contradictiones confingere in perditionis præcipitium agit, in quod incidere horrendum, et potissimum iis, qui malitia non ignoratione labuntur: quod nemini unquam succedat. Ita sit, Deus et omnium Domine.

A ἔχον τοῦ εἶναι ὅθεν καὶ τὸ μονογενὲς ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε διαστήματι οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς ἢ τοῦ Μονογενοῦς ἀποτέμνεται. Καὶ μετὰ πολλὰ πάνυ πάλιν φησίν· Ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν νοοῦμεν ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα· καὶ πάλιν· Ἕτερον τοιοῦτον φῶς, κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. Τούτων οὐδὲν οὐδαμῶς ἐκδηλότερον ἢ τρανότερον, οἷς καὶ πάντας, ὅσοι μὴ τῶν ἄγαν ἐριστικῶν δι' ἀπόνοιαν, ἐντεῦθεν ὀφθῆναι προσῆκει καταπειθεῖς. Τὸ γὰρ ἀντιτείνειν καὶ πρὸς ταῦτα καὶ φιλονεικεῖν τοῖς τοσοῦτον προφανέσιν ἀντικαθίστασθαι, παρόμοιον πάντως, εἴτις ἂν τηλαυγῆ καὶ φαιδρὰν ἡμέραν ὁρῶν, νύκτα βαθεῖαν εἶναι ταύτην λέγοι καὶ μέλαιναν. Οὕτω τυφλώττειν ὁ τοιοῦτος δόξειεν ἂν τοὺς τῆς ψυχῆς ὀφθαλμούς, ὡς ἐκεῖνος ἀληθῶς τοὺς τοῦ σώματος. Ὃ μὴ παθεῖν, μηδ' ἀκοῦσαι τῶν εὐκταιοτάτων τοῖς εὐφρονοῦσι καθέστηκεν. Τῆς γὰρ ἐσχάτης ἀλογίας τοῦτο τεκμήριον, ἣν οὐκ οἶδα πῶς ἂν δυνηθείη φυγεῖν ὁ τοῖς ῥηθεῖσι τῷ θειοτάτῳ τούτῳ Πατρὶ προθυμούμενος ἀντιφέρεσθαι, τοιούτῳ μὲν ὄντι τὴν ἀνωτάτω καὶ ὑπὲρ ἡμᾶς σοφίαν, περὶ τοιούτων δὲ διαλεγομένῳ περιφανῶς, ὧν οὐδὲν τῶν πάντων ἐπέκεινα. Καὶ μὴν ἐμοὶ μέγα καὶ τὸ δύνασθαι μόνον τοῦ τῶν B λεγομένων ὕψους ἐφικνεῖσθαι, καὶ φανερῶς δῶρον Θεοῦ. Διὸ καὶ πείθων ἐμαυτὸν οὐ διαλείπω, συμβουλεύσαιμι δ' ἂν καὶ τοῖς ἄλλοις, ὅσοι τὰς ἀκοὰς ἕτοιμοι πρὸς ὑποδοχὴν παραινέσεως, μὴ βιάζειν ἐπιπλέον ὑπερεκτείνεσθαι. Καλὸν γὰρ τούτοις ἐμμένοντας τῆς ἀσφαλείας φροντίζειν ὁλοσχερῶς. Ἀσφάλεια δὲ τὸ τοῖς κειμένοις στοιχεῖν δόγμασιν, ἃ τὸν ἑαυτοῦ νοῦν ὁ θαυμάσιος οὗτος ἀνὴρ, καὶ ὅσα κατ' αὐτὸν ἕτεροι τῆς προσπαθείας τῶν ὑλικῶν καθάπαξ ἀπάντων κατέλαβον ἀκριβῶς, καὶ διὰ γραφῆς τοῖς πᾶσι παραδεδώκασι. Τὸ δὲ προσεξευρίσκειν τούτοις ἄλλα τινὰ, καὶ πλάττειν ἀντιλογίας ἀφ' ἑαυτῶν, πρὸς ἀπολείας τοῦτο φέρει κρημνὸν, εἰς ὃν καὶ τὸ ἐμπεσεῖν φοβερὸν, καὶ μάλιστα τοῖς διὰ κακίαν, ἀλλὰ μὴ δι' ἄγνοιαν ὀλισθήσασιν. Ὃ καὶ μηδενί ποτε γένοιτο, θεὸς καὶ Κύριε τοῦ παντός.

15. Satis sunt vel sola hæc magnorum horum D hominum, fraternam in his, quæ Spiritus sunt, concordiam conservantium æquis auditoribus ad Spiritus per Filium exsistentiam comprobandam; verumtamen oratio reliquorum quoque divinorum Patrum dicta in medium afferre concupiscit, qui sanctissimo Spiritu commoti suis singuli temporibus, ut gratia concessit, omnes de rebus divinis egerunt: pluribus siquidem testimoniis sententia confirmata majorem certitudinem assequetur. Accedant igitur Ægypti lumina, qui Alexandriæ orti, inde divina sua doctrina mundum universum illuminarunt, tum pietatis fundamentum, immortalitatis nempe cognominis, tum Cyrillus in astruendis dogmatibus maximus propriam et hi de hoc

ιε'. Ἀρκεῖ καὶ μόνα τὰ τῶν μεγάλων τούτων ἀνδρῶν τὴν ἀδελφικὴν κἂν τοῖς τοῦ Πνεύματος τηροῦντων ὁμόνοιαν τοῖς εὐγνωμόνως ἀκροωμένοις τὴν ἐκ Πατρὸς παραστῆσαι δι' Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν· ὁ δὲ λόγος βούλεται καὶ τὰ τῶν λοιπῶν θεοφόρων Πατέρων εἰς μέσον προσενεγκεῖν, οἳ τῷ πνεύματι κινούμενοι Πνεύματι καιροῖς ἰδίοις, ὡς ἐχορήγησεν ἡ χάρις ἑκάστῳ, πάντες ἐθεολόγησαν. Ὅσῳ γὰρ πλείους αἱ μαρτυρίαι, τοσούτῳ καὶ τὸ βέβαιον αὐτῷ προσγενήσεται. Παρίτωσαν τοίνυν οἱ τῆς Αἰγύπτου φωστῆρες, οἱ κατ' Ἀλεξάνδρειαν ἀνατείλαντες, κἀκεῖθεν τοῖς θείοις αὐτῶν διδάγμασι τὸν κόσμον ἅπαντα καταυγάσαντες, ἥ τε κρηπὶς τῆς εὐσεβείας ὁ τῆς ἀθανασίας ἐπώνυμος· ὁηλαδὴ, καὶ Κύριλλος ὁ δογματικώτατος, τὴν οἰκείαν καὶ οὕτω

Digitized by Google Распознавание текста ABK/FR

περὶ τούτου διάνοιαν ἐξαγγέλλοντες, ὧν μὲν προγενέστερος ἐν οἷς ἔλεγχον τὸν περὶ Μελέτιον ἐκτίθεται καὶ Εὐσέβιον, Ἦν δὲ ἀδύρατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα, λέγει, δοξάζεσθαι μὴ προοδικῶς ὃν ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν. Ὀρθοδόξου δὲ πάλιν καὶ Μακεδονίου διάλεξιν ἐκτιθέμενος, οὕτω φησίν· Ἐὰν οὖν δειχθῇ τῆς αὐτῆς εἶναι φύσεως καὶ θεότητος τῷ Υἱῷ καὶ τῷ Πατρὶ τὸ Πνεῦμα τὸ ἐξ αὐτοῦ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐκχυθὲν, καὶ προσκυνητὸν καὶ λατρευτὸν ἀποδειχθήσεται. Κύριλλος δὲ μεθύστερον ἐν μὲν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελικοῦ ῥητοῦ τοῦ λέγοντος, Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος. Ὅσπερ γάρ ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ, διδάσκει, φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός. Ὁ αὐτὸς εἰς τὸ, Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ· Προείρηκα γὰρ, φησὶν, εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν. Οὐκ ἂν οὖν ἄρα καθάπερ ἐγὼ προερεῖ τὰ ἐσόμενα, μὴ οὐχὶ πάντως ἐν ἐμοί τε ὑπάρχον, καὶ δι' ἐμοῦ προϊόν. Τὸ, Ἐκεῖνος ἐμὲ δοξάσει, πάλιν ἐπεξηγούμενος, Ἐπειδὴ δὲ ὁμοούσιόν τέ ἐστι τῷ Υἱῷ, λέγει, καὶ πρόεισι θεοπρεπῶς δι' αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ' ἅπασι τελεωτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν· διὰ τοῦτό φησιν ὅτι « Ἐκ τοῦ ἐμοῦ λήψεται· » καὶ προβαίνων μικρὸν αὖθις φησι· Προϊὸν γὰρ δι' αὐτοῦ φυσικῶς, ὡς ἴδιον αὐτοῦ μετὰ πάντων, ὧν ἔχει τελείως, λαμβάνειν λέγεται τὰ αὐτοῦ. Τί δέ; καὶ τὴν Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι ῥῆσιν σαφηνίζων μυσταγωγεῖ· Διὰ τοῦτο εἶπεν ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν, τὸ Πνεῦμα δηλονότι τὸ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ. Ταῦτα μὲν οὖν ἀπὸ τῆς κατὰ τὸν Εὐαγγελιστὴν Ἰωάννην ἱερᾶς ἑρμηνείας Κυρίλλου τοῦ σοφοῦ συνελέγησαν, ὃς, ἑαυτῷ πανταχοῦ σύμφωνος ὤν, ἐν μὲν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν αὐτοῦ λόγων ταῦτα διαλαμβάνει ῥητῶς· Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπροῆς τὴν ἰδίαν ἡμῖν ὑποσημαίνων ὕπαρξιν. Ἐν δὲ τοῖς πρὸς Παλλάδιον, ἅπερ καὶ αὐτὰ κατὰ πεῦσίν εἰσι καὶ ἀπόκρισιν, αὖθις οὕτω διέξεισι· Τρεπτὸν δὲ οὗ τι που τὸ Πνεῦμά ἐστι· ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα.

ις'. Τί πρὸς τὴν ἐξ ἀμφοῖν φωνὴν τοῦ θείου τούτου Πατρὸς εἴποιεν ἂν οἱ τὴν δι' Υἱοῦ μήτε συνόλως παραδεχόμενοι, καὶ προσέτι σφόδρα κακίζοντες; Ὁ μὲν γὰρ ἐξ ἀμφοῖν εἶναι λέγει τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν ἑρμηνείαν ἀθρόον ἐπήγαγεν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ, δι' ἣν ἑρμηνείαν οὐδὲ τὴν ἐκ κἀπὶ τοῦ Υἱοῦ πρόθεσιν ἀποβάλλεται, καλῶς ποιῶν, καὶ τῆς ἑαυτοῦ μεγαλοφυΐας ἐπαξίως παντάπασιν· ἐπείπερ οἶδε μὴ λυμαινομένην μηδαμῶς τὴν εὐσέβειαν, ὅταν δηλαδὴ καθὼς αὐτὸς ἐξηγήσατο

A sententiam ferentes: horum antiquior in Refutatione contra hypocrisim Meletii et Eusebii tradit: *Atqui impossibile erat in Trinitatis gloria Spiritum conglorificari, nisi ex Deo per Filium progrediendi modo, non autem fiendi ratione ex Deo sit, ut ipsi aiunt.* Orthodoxi item et Macedoniani Disputationem prosequens, scribit: *Itaque si ostensum fuerit ejusdem esse divinitatis Spiritum cum Filio et Patre, qui ex Patre per Filium effusus est, et adorandus et colendus esse demonstrabitur.* Recentior vero Cyrillus in expositione dicti evangelici Joannis: *Cum itaque Paracletus venerit* [8], docet: *Quemadmodum proprius est Spiritus Filii naturaliter in ipso exsistens, et per ipsum progrediens, ita est et Patris.* Idem in illud: *Neque enim loquetur a*

B *se ipso: Prædixi enim*, ait, *et si non valetis omnia addiscere. Non itaque uti ego futura prædicet, nisi prorsus in me exsisteret, et per me progrederetur* [8a]. Necnon et illud, *Ille glorificabit* [9], explanans inquit: *Cum vero ejusdem essentiæ cum Filio sit, et progrediatur, uti addecet Deum, per ipsum, omnem suam in omnibus perfectissimam operationem et virtutem possidens, propterea dicit,* « *De meo accipiet* [7]. » Et paucis annexis, *Progrediens enim per ipsum naturaliter, ut proprius ipsius cum omnibus, quæ possidet, perfecte, dicitur habere quæ illius sunt.* Vis plura? Dictum illud, *Quæcunque habet Pater mea sunt*, explicans enuntiat: *Propterea dixi vobis, quod de meo accipit, et annuntiabit vo-*

C *bis* [8], *Spiritus nempe, qui per ipsum, et in ipso est.* Hæc itaque ex sacra in Joannem evangelistam Expositione sapientis Cyrilli decerpta sunt, qui in omnibus sibimetipsi concors in secundo ad Hermiam libro hæc ipsissima verba continet: *Sanctum porro Spiritum dixeris qui ex Deo et Patre per Filium effunditur, et ut exemplo id explicem, respirationis suam nobis exsistentiam indicans.* In libris etiam ad Palladium, secundum interrogationem et responsionem concinnatis in hunc modum edisserit: *Mutabilis vero nullo modo Spiritus est: quodsi mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, præterea et Filii essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus.*

D 16. Quid ad divini hujusce Patris *ex ambobus* vocem respondebunt, qui illam *per Filium* nullo pacto admittunt, quinimo vehementer criminantur? Hic enim ex ambobus esse asserit Spiritum sanctum, simulque expositionem connectit, *nempe ex Patre per Filium*, qua nec præpositionem *ex* in Filio repudiat, optime sane, prorsusque pro dignitate suæ magnificentiæ locutus, cum satis calleat, nullo modo pietatem lædi, quando nempe eam præpositionem uti ille interpretatus est, quispiam

[8] Joan. xv, 26. [8a] Joan. xvi, 13. [9] ibid. 14. [7] Joan. xiv, 15. [8] ibid. 15.

Digitized by Google Распознавание текста АВК/FR

intellexerit. Neque enim pietatis nostræ cultus circa voces, sed circa dictionum significationem versatur. Hi porro et *per*, de qua nullus male suspicabitur, improbe equidem de his judicantes, vitant. Qua enim ratione conjunctum atque Trinitatis vitæ principis indivisum demonstrabunt, si per Filium Spiritum ex Patre esse non dixerint? Verumtamen de Trinitatis indiviso conjunctoque, et potissimum de præpositione *ex*, quod eam concorditer plerique Patrum usurparunt, et ante alios divinissimus Cyrillus, qui etiam ex Filio Spiritum sanctum esse tradiderunt, non est præsentis temporis dicere. De his etenim tractabimus suo loco.

17. Nunc porro dictis insistentes asseveramus, per Filium a Patre Spiritum sanctum exsistere clarius aliis Damascenum melodum concinnum elegantemque, et uti sua appellatio præsefert, divina gratia repletum, præconis instar pronuntiasse. Hic enim in uno ex suis Hymnis de hoc apertius edisserens, veluti a sanctis, qui antiquo tempore illustres habiti sunt, exacta diligentia observatum effatum accipiens, sic clamat ad Dominum : *Propitium nobis concede Spiritum communicatorem bonitatis, ex Patre per te progredientem.* Et hæc nemini non nota sunt, quibus vel minima cura est, in sacris ædibus congregari, tanquam quæ sæpius clara altaque voce concinuntur; et dictum nemo plane poterit etiam prætextu ignorantiæ refutare. Et enuntiatum hoc ab antiquis magistris, veluti paternam hæreditatem ad ipsum pervenisse, abunde supra demonstravimus, cum eorum primos fere illud tradidisse probavimus. Ostendemus etiam nunc, si modo placet, adducto teste Gregorio, qui miraculis claruit, et a quibus sibi cognomen vindicavit : Dominus enim dixit : *Duobus testibus vel tribus stabit omne verbum*[9], tot scilicet numero ad probandum idoneos esse declarans; nos vero similem numerum, namque harum rerum copia redundamus, duplicantes, hunc sextum adducimus, cui etiam præ aliis fides præstatur; is in oratione de Fide secundum partes hoc habet : *Confitemur consubstantialem esse Patri Filium et Spiritum, hoc est unam deitatem, naturaliter manente Patre ingenito, genito autem ex Patre Filio, et Spiritu sancto ex essentia Patris per Filium æterne emisso.*

18. Oportebat eos, qui semel contrariæ factioni sese dediderunt, et a nostra consuetudine dispari studio dissociantur, si non antea, saltem hoc tempore similibus dictis consternatos, et morigeros nobis factos, nostris nutibus, vel solam tanti viri venerationem reveritos obtemperare. At hi, ut mihi constat, dictionem *emisso* arripientes, oppositiones a multo tempore conceptas et in præcordiis fotas,

[9] Matth. XVIII, 16.

A ταύτην τις ἐκλαμβάνηται. Μηδὲ γὰρ εἶναι τὸ σέβας ἡμῖν περὶ τὰς φωνὰς, περὶ δὲ τὴν σημασίαν τῶν λέξεων. Οἱ δὲ καὶ τὴν *διά*, καθ' ἣν οὐδεμία τις ὑπόνοια πονηρὰ, φεύγουσι, κακῶς περὶ τούτων διανούμενοι. Πῶς γὰρ ἂν τὸ συναφὲς καὶ ἀμέριστον τῆς ζωαρχικῆς Τριάδος ἐμφήνωσι, μὴ δι' Υἱοῦ τὸ Πνεῦμα παρὰ Πατρὸς εἶναι λέγοντες; Ἀλλὰ περὶ μὲν τοῦ τῆς Τριάδος ἀμερίστου καὶ συναφοῦς, καὶ πολλῷ πλέον περὶ τῆς *ἐκ*, ὅτι καὶ ταύτῃ συμφώνως οἱ πλείους τῶν Πατέρων ἐχρήσαντο, καὶ μᾶλλον ὁ ἐνθειώτατος Κύριλλος, καὶ ἐξ Υἱοῦ δεδωκότες εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, οὐ τοῦ παρόντος λέγειν καιροῦ. Καὶ γὰρ ἐν οἰκείῳ τόπῳ καὶ περὶ τούτων διαληψόμεθα.

B ιζ'. Νῦν δὲ τῆς ἀκολουθίας τῶν προειρημένων ἐχόμενοι λέγομεν ὅτι τὸ δι' Υἱοῦ παρὰ Πατρὸς ὑπάρχειν τὸ Πνεῦμα τὸ ἅγιον τρανότερον τῶν ἄλλων ἐκήρυξεν ὁ Δαμασκόθεν σοφὸς μελῳδὸς, ὁ κατὰ τὴν ἑαυτοῦ κλῆσιν θείας χάριτος ἔμπλεως. Οὗτος καὶ γάρ ἐστιν ὅπου τῶν οἰκείων ὕμνων ἐναργέστερον τὰ περὶ τούτου διεξιὼν, ὡς παρὰ τῶν ἀνέκαθεν διαπρεψάντων ἁγίων ἐξηκριβωμένην τὴν θεολογίαν δεξάμενος, οὕτω βοᾷ πρὸς τὸν Κύριον· *Ἵλεων ἡμῖν Πνεῦμα μεταδοτικὸν ἀγαθότητος ἐκ Πατρὸς διὰ σοῦ προερχόμενον.* Καὶ τοῦτο σαφῶς ἴσασι πάντες, ὅσοις τι μέλει τῶν ἐν τοῖς ἱεροῖς οἴκοις συνάξεων, ἅτε πολλάκις ἐπ' Ἐκκλησίας καὶ διαπρυσίως ᾀδόμενον· καὶ τὴν ῥῆσιν οὐκ ἔστι παρακρούσασθαι τούτων τινὰ προσποιησάμενον ἄγνοιαν.

C Τὸ μέντοι καὶ τὴν τοιαύτην θεολογίαν ἐκ τῶν ἄνωθεν διδασκάλων, ὥς τινα πατρῷον κλῆρον εἰς αὐτὸν κατελθεῖν, ἱκανῶς μὲν καὶ προφθάσαντες ἐδηλώσαμεν, ἐξ ὧν τοὺς πρώτους τούτων σχεδὸν οὕτω παραδόντας αὐτὴν παρεστήσαμεν. Δείξομεν δὲ καὶ τὸ παρὸν, εἰ δοκεῖ, παραλαβόντες εἰς μαρτυρίαν καὶ Γρηγόριον τὸν ἐν θαύμασι διαλάμψαντα, παρ' ὧν καὶ τὴν ἐπωνυμίαν ἐπλούτησεν. Ὁ μὲν γὰρ Κύριος, *Διὰ δύο μαρτύρων, ἢ καὶ τριῶν στῇ*, εἶπε, *ῥῆμα σταθήσεται*, τὸ ἀποχρῶν αὐτῶν εἰς βεβαίωσιν τάχα παραδηλῶν· ἡμεῖς δὲ, τὸν τοιοῦτον ἀριθμὸν κατὰ πολλὴν εὐπορίαν διπλασιάσαντες, ἕκτον ἤδη τοῦτον παράγομεν, ἔχοντα πολὺ πρὸς τοῖς ἄλλοις τὸ ἀξιόπιστον, ὃς ἐν τῷ τῆς κατὰ μέρος Πίστεως αὐτοῦ λόγῳ ταῦτά φησιν· *Ὁμολογοῦμεν*

D *ὁμοούσιον τῷ Πατρὶ εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τουτέστι μίαν θεότητα φυσικῶς ἀγεννήτου μένοντος τοῦ Πατρὸς, γεννηθέντος δὲ τοῦ Υἱοῦ ἐκ Πατρὸς, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος.*

ιη'. Ἔδει τοὺς ἅπαξ εἰς ἀντιτεταγμένην μοῖραν ἀποκριθέντας, καὶ τῆς συναυλίας ἀπορραγέντας ἡμῶν, εἰ καὶ μὴ πρώην, νῦν γοῦν ἀκούσαντας, καταπτῆξαι, καὶ πειθηνίους ἑαυτοὺς ἡμῖν παρασχεῖν, τὸ τοῦ ἀνδρὸς καὶ μόνον εὐλαβηθέντες αἰδέσιμον. Οἱ δ', ὡς ὁρῶ, καὶ μᾶλλον τῆς ἐκπεμφθέντος δραξάμενοι λέξεως, τὰς ἀντιθέσεις, ἃς ἐκ πολλοῦ συλλαβόντες ὠδίνον ἔνδοθεν, ἄρτι φανερῶς ἐκρηγνύουσι·

Digitized by Google Распознавание текста ABK/FR

καί φασι μηδὲν τυγχάνειν σὺν τῇ παρούσῃ, μηδὲ τὰς τῶν ἀναγεγραμμένων χρήσεων πλείους πρὸς τὸ προκείμενον· ὅτι μὴ τὸ *εἶναι* ταύταις, ἢ τὸ *ὑπάρχειν* ῥητῶς πρόσκειται. Τῇ μὲν γὰρ τὸ *πεφηνέναι*, ταῖς δὲ τὸ *ἐκλάμπειν*, ἑτέραις τὸ *προχεῖσθαί* τε καὶ *ἐκχεῖσθαι*, ταῖς μετ' αὐτὰς τὸ *προΐεσθαι*, τῇ δὲ τὸ *προέρχεσθαι*, καὶ ταύτῃ τὸ *ἐκπέμπεσθαι* παρὰ τῶν ἁγίων ἀπονενέμηται. Τούτων δ' οὐδὲν τὴν ὕπαρξιν σημαίνει τοῦ Πνεύματος, ἕκαστον δὲ τὸ τούτῳ κατάλληλον· τὸ *πεφηνέναι* τὴν αὐτοῦ πρὸς ἡμᾶς ἔκφανσιν· τὸ *ἐκλάμπειν* τὴν εἰς τὸν κόσμον ἀῤῥήτου τούτου φωταύγειαν· τὸ *προχεῖσθαί* τε καὶ *ἐκχεῖσθαι* τὴν τῶν χαρισμάτων αὐτοῦ τοῖς ἀξίοις διανομήν· τὸ *προΐεσθαι*, πρὸς δὲ καὶ *προέρχεσθαι* τὴν ἐν ἡμῖν αὐτοῦ θείαν ἐπέλευσιν· τὸ δὲ *ἐκπέμπεσθαι* τὴν τούτου τοῖς μαθηταῖς ἐπαγγελθεῖσαν παρὰ τοῦ Σωτῆρος ἀποστολήν· ἃ πάντα διὰ τοῦ Υἱοῦ γεγενῆσθαι πιστεύομεν, μηδενὸς αὐτῶν τὴν τοῦ Πνεύματος σημαίνοντος ὕπαρξιν. Καὶ ταῦτα μὲν οὗτοι, μήτε περὶ ὧν διατείνονται τὸ παράπαν γινώσκοντες, καὶ τὰς μεταξὺ τοῦ τε μεγάλου Βασιλείου, καὶ τοῦ θείου Πατρὸς Ἀθανασίου ῥήσεις, ἐν αἷς τὸ *εἶναι* πρόσκειται κακούργως ἀποκρυψάμενοι. Περὶ γὰρ τῆς πρώτης οὐδαμῶς διαφέρεσθαι δέον ἡμᾶς, ὡς ἀπολύτου κειμένης, καὶ δίχα τινὸς ὅλως ῥήματος, εἰ καὶ δυνάμει κἀν ταύτῃ τὸ *ὑπάρχειν* ἐστὶ κατὰ τοὺς περὶ ταῦτα δεινοὺς ἀναγκαίως νοούμενον. Ὅμως οὗτοι μὲν διὰ τῶν τοιούτων τὴν οἰκείαν γνώμην παρέστησαν· ἐγὼ δὲ τοῖς διαληφθεῖσι προστίθημι καὶ τἄλλα τὰ τούτοις ἑπόμενα, τὸ *ἀναβλύζειν* δηλαδή, τὸ *πηγάζειν*, καὶ εἴ τί περ ἕτερον ὅμοιον, ἅπερ πανταχοῦ τῆς θείας Γραφῆς ἐπὶ τοῦ Πνεύματος εὑρίσκεται λαμβανόμενα· ταῦτα πάντα τὴν αὐτοῦ δηλοῦν λέγων ὕπαρξιν· καὶ τοῦτο δειχθήσεται κατὰ τὸ παντελῶς ἀναμφίβολον, ἐξ ὧν συχνοὶ τῶν ἁγίων, κἀπὶ τῆς ἐκ Πατρὸς ὑπάρξεως τοῦ Υἱοῦ τὰς τοιαύτας φωνὰς παρειλήφασιν, ὧν αἱ ῥήσεις μικρὸν ὕστερον ἐνθάδε καταστρωθήσονται. Νῦν δὲ τέως καὶ τῶν ἀναγεγραμμένων ἐν μιᾷ τινι χρήσεων τὸ τοιοῦτον ὁρᾶται τοί· οὐ παρέργως ἀναγινώσκουσιν. Τὸ γὰρ *ἐκλάμπειν* ὁ Νύσσης Γρηγόριος πρότερον ἐπὶ τοῦ Υἱοῦ, καὶ τότε δεόντως ἐπὶ τοῦ Πνεύματος τέθεικεν, ἵνα πᾶσαν ἀντιλογίας ἀποκλείσῃ τοί· φιλέρισι πρόφασιν. Οὐ γὰρ δὴ κἀπὶ τοῦ Υἱοῦ τὸ ψυχρὸν αὐτῶν ἐκεῖνο νόημα χώραν ἕξειν πῃ̃ς νομισθήσεται τοῖς τῶν ἀκροατῶν ἐπιγνώμοσιν. Ἀφίημι γὰρ λέγειν, ὅτι καὶ τὸ *προχεῖσθαι*, καὶ τὸ *ἐκπέμπεσθαι* προσκείμενά τινα τούτοις ἔχοντα, τοῦτο μὲν τὸ *ἀϊδίως*, ἐκεῖνο δὲ τὸ *φυσικῶς* καὶ *οὐσιωδῶς* τὰς ῥηθείσας ἐννοίας τούτων οὐ παραδέχονται. Πῶς γὰρ τὸ Πνεῦμα φυσικῶς καὶ οὐσιωδῶς προχεόμενον ἐπὶ τῶν χαρισμάτων ληφθήσεται; Πῶς δὲ καὶ ἀϊδίως ἐκπεμπόμενον ἐπὶ τῆς ῥοδον, κἂν εἰ τῶν ὑπεναντίων καὶ οὕτω κρατῇ κατὰ

ιθ'. Ἤδη δὲ καὶ τὰς τῶν ἁγίων περὶ τῶν προλεχθέντων ἐκθεῖναι ῥήσεις οὐκ ἄκαιρον. Ὁ μὲν γὰρ ἀκράδαντος στῦλος τῆς Ἐκκλησίας Ἀθανάσιος ὁ μέγας, οὗ πλεῖστα τὰ ὑπὲρ τῶν ὀρθῶν δογμάτων παλαίσματα, τῆς εὐσεβείας ὁ γενναῖος ἀγωνιστὴς

A nunc palam exponunt [illegible] laudatum testimonium [illegible] eorum, quæ supra allata [illegible] positum facere, quod in [illegible] *exsistere* nominatim proferatur, [illegible] *apparere*, aliis *elucere*, aliis *profundi* et *effundi* nonnullis *provenire* et *progredi*, et [illegible] *emitti* a sanctis appositum est. Horum vero [illegible] Spiritus exsistentiam, sed unumquodque, quod sibi respondet et congruum est, significat : *apparere*, illius ad nos apparitionem; *elucere*, illius in terrarum orbem inenarrabilem illuminationem : *profundi* et *effundi*, donorum illius erga dignos distributionem ; ad hæc, *provenire*, et *progredi*, divinum B illius in nos adventum ; *emitti* tandem illius apostolis a Salvatore promissam missionem, quæ omnia per Filium patrata esse credimus, cum nullum horum Spiritus exsistentiam notat. Et hi quidem hæc, eorum, de quibus contendunt, prorsus ignari, et dictis inter ea magni Basilii et divini Patris Athanasii digestis, in quibus *esse* adjunctum est, malitiose silentio involutis : namque de primo nulli dubium esse debet, licet absolute prolatum sit, et absque ullo prorsus verbo, virtute siquidem verbum *exsistere* continet, ut qui in rebus hisce exerciti sunt, et perspicaces intelligunt. Et hi per similia propriam sententiam expressere : verum ego jam allatis, et quæ illa subsequuntur, superaddam, nempe *erumpere*, *scaturire*, et si quid aliud simile ubique in divinis Scripturis accepta de C Spiritu reperiuntur; astruens illa omnia illius exsistentiam comotare : et hoc ita esse absque ullo dubio demonstrabitur, cum plerique sancti hasce voces de Filii ex Patre exsistentia usurpaverint, quorum dicta paulo post hac eadem oratione describentur. Verum nunc interim in uno ex jam adductis testimoniis clarum apparet illis, qui similia non temere et indiligenter versant. *Elucere* namque Nyssenus Gregorius prius de Filio, tum deinceps, uti par erat, de Spiritu posuit, ut omnem contradictionis ansam contentiosis eriperet. Neque enim in Filio frigidum eorum consilium locum ullo modo habere ab æquis lectoribus reputabitur. Præterea siquidem dicere, et *profundi*, et *emitti* cum adnexa D sibi nonnulla præferant, hoc quidem *æterne*, illud vero *naturaliter*, et *essentialiter*, dictas eorumdem cogitationes non admittere. Qua enim ratione Spiritus naturaliter et essentialiter effusus, de donis accipietur? Et quomodo æterne emissus de missione intelligetur? Sed hæc quidem in transitu, quæ de adversariis multo roboris intervallo victoriam ferre poterunt.

ἀποστολῆς νοηθήσεται; Πλὴν ταῦτα μὲν κατὰ πάπολλὴν περιουσίαν δυνάμεως.

19. Sed jam sanctorum de prædictis testimonia apponere non inopportunum fuerit. Inconcussa enim Ecclesiæ columna magnus Athanasius, cujus pro rectis dogmatibus pleraque narrantur certamina, generosus pietatis athleta et propugnator,

Digitized by Google Распознавание текста ABK/FR

oratione de sempiterna exsistentia Filii et Spiritus, *apparere* vocem de Filii ex Patre exsistentia usurpans, hæc habet : *Igitur neque Filius Verbum in corde Patris, sed Verbum vivens a vivente Deo, æterna generatione apparens, absque principio Patri conjunctus.* Cyrillus in rebus theologicis decernendis summus, oratione ad Valerianum episcopum, hunc in modum elocutus est : *Sanctus quidem secundum naturam cum sit, quemadmodum et Pater, qui ex ipso apparuit unigenitus Filius, sanctificatus fuisse dicitur a Patre, cum ut homo apparuit.* Idem *elucere* non alio modo accipiens in uno ex capitibus suis de perpetuitate Filii hæc ipsissima verba habet : *Qui vero supra omnia ascendit Deus, elucescere faciens ex semetipso indivise Filium.* Et in alio : *Pater ex semetipso elucescere fecit Filium indivise et inseparabiliter.* Et in alio : *Quemadmodum Spiritus sanctus non subit circa essentiam divisionem diversos in donis modos emittens, sic et generativam essentiam Dei, nemo ex iis qui sapiunt injuria affici asseverabit, aut divisionem, aut efluxum aliquem subiisse, unum et solum ex seipsa elucere Filium efficientem.* Divus rursus ac magnus in rebus divinis exponendis Athanasius oratione de Dionysio episcopo, ostendens *effundi* etiam de Filii ex Patre exsistentia desumi, hæc invenitur dixisse : *Fons bonorum omnium Deus est, fluvius vero profusus Filius, scripto consignatur : efluxus enim mentis Verbum, et ut hominum exemplo id exprimam, ex corde per os effunditur.* Item sanctissimus et divinissimus Cyrillus in uno ex supra laudatis capitibus, non alium significatum habere *progredi* ostendit, his iisdem verbis : *Hic enim ex essentia Patris progrediens, genitorem illico Patrem ostendit.* Et in alio : *Quemadmodum Pater sine principio est, ita et qui ex essentia illius progressus est, Verbum sine principio est.* Item in alio : *Sic et Filius Dei indivise ex Patre progressus, character est perpetuitatis illius.* Illic item in alio horum capitum *emitti* ex Patre exsistentiæ attribuens, hunc in modum orationem direxit : *Quæ enim passio circa solem agnoscitur, cum lumen generat ? quæ circa ignem separatio contingit, cum ex se illuminationem emittit ? Quodsi hæc generant quidem indivise, et absque passione quæ ex se sunt, emittunt, annon multo magis eorumdem opifex suæ naturæ lumen emittit ?* Ad hæc hic idem iterum in uno ex iisdem capitibus etiam *provenire* in eodem significatu accipiens, hisce verbis eloquitur : *Universum Filii esse ex essentia Patris provenit.* Præterea hic idem *erumpere* de ipsa Filii exsistentia in uno ex iisdem jam dictis capitibus accipit, dum ait : *Erat igitur Genitori coæternus Filius uti ex quodam fonte paterna essentia erumpens.* Ecclesiæ rursus lumen divinissimus Athanasius eidem significationi *scaturire* adaptans, Patrem *fontem Filii* nuncupavit his verbis, epistola ex synodo Hierosolymitana ad Alexandrinos : *Cognoscunt, qui Arianam hæresim unathemati subjecerunt, non creaturam, sed ex*

καὶ ὑπέρμαχος, ἐν τῷ περὶ τῆς ἀϊδίου ὑπάρξεως τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος λόγῳ, τὸ *πεφηνέναι* τιθεὶς, κἀπὶ τῆς ἐκ Πατρὸς ὑπάρξεως τοῦ Υἱοῦ ταῦτά φησι· *Τοίνυν οὐδὲ ὁ Υἱὸς Λόγος ἐν καρδίᾳ τοῦ Πατρὸς, ἀλλὰ Λόγος ζῶν ἀπὸ ζῶντος Θεοῦ ἀϊδίῳ γεννήσει πεφηνὼς, ἀνάρχως τῷ Πατρὶ συνών.* Ὁ δὲ θεολογικώτατος Κύριλλος ἐν τῷ πρὸς Οὐαλεριανὸν ἐπίσκοπον λόγῳ, καὶ οὗτος οὕτω πως εἴρηκεν· *Ἅγιος γὰρ ὢν κατὰ φύσιν καθάπερ ἀμέλει καὶ ὁ Πατὴρ ὁ ἐξ αὐτοῦ πεφηνὼς Υἱὸς μονογενὴς ἠγιάσθαι λέγεται παρὰ τοῦ Πατρὸς, καθὸ πέφηνεν ἄνθρωπος.* Ὁ αὐτὸς τὸ ἐκλάμπειν καὶ ταύτῃ διδοὺς ἔν τινι τῶν περὶ τῆς ἀϊδιότητος τοῦ Υἱοῦ κεφαλαίων αὐτοῦ, τοιαῦτα πρὸς ἔπος διέξεισιν· *Ὁ δὲ ἄνω πάντων ἀναβεβηκὼς* Θεὸς *ἐκλάμψας ἀμερίστως ἐξ αὐτοῦ τὸν Υἱόν.* Καὶ ἐν ἄλλῳ· *Ὁ Πατὴρ ἐξέλαμψεν ἐξ αὐτοῦ τὸν Υἱὸν ἀμερίστως καὶ ἀδιαστάτως.* Καὶ ἐν ἑτέρῳ· *Ὥσπερ τὸ Πνεῦμα τὸ ἅγιον οὐ μερισμὸν ὑπομένει περὶ τὴν οὐσίαν διαφόρους ἐκπέμπον τοῖς ἐν τοῖς χαρίσμασι τρόπους· οὕτω καὶ τὴν γεννητικὴν οὐσίαν τοῦ Θεοῦ οὐκ ἄν τις τῶν εὐφρονούντων ἀδικεῖσθαι φήσειεν, ἢ μερισμὸν, ἢ ἀπόῤῥοιάν τινα παθεῖν ἔνα καὶ μόνον ἐξ αὐτῆς ἐκλάμψασαν Υἱόν.* Ὁ μέγας αὖθις τὰ θεῖα καὶ πολὺς Ἀθανάσιος ἐν τῷ περὶ Διονυσίου τοῦ ἐπισκόπου λόγῳ τὸ προεῖσθαι δεικνὺς ὅτι κἀπὶ τῆς ἐκ Πατρὸς ὑπάρξεως ἐκλαμβάνεται τοῦ Υἱοῦ τάδε λέγων εὑρίσκεται· *Πηγὴ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ὁ Θεὸς, ποταμὸς δὲ προχεόμενος ὁ Υἱὸς ἀναγέγραπται.* Ἀπόῤῥοια γὰρ νοῦ Λόγος, καὶ ὡς ἐπ' ἀνθρώπων εἰπεῖν ἀπὸ καρδίας διὰ στόματος ἐξοχετεύεται. Πάλιν ὁ ἐν ἁγίοις ἐνθεώτατος Κύριλλος ἔν τινι τῶν εἰρημένων ἄνωθεν κεφαλαίων αὐτοῦ τὸ *προέρχεσθαι* καὶ ταύτῃ παριστάνων εἶναι κατάλληλον, ταῦτ' ἔφησεν ἐπὶ λέξεως· *Ὁ μὲν γὰρ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προελθὼν, Πατέρα εὐθὺς ἔδειξε τὸν γεννήσαντα.* Καὶ ἐν ἑτέρῳ· *Ὥσπερ ὁ Πατὴρ ἄναρχος, οὕτω καὶ ὁ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν Λόγος ἄναρχος.* Καὶ ἐν ἄλλῳ· *Οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀμερίστως ἐκ τοῦ Πατρὸς προελθὼν χαρακτὴρ ἐστι τῆς ἀϊδιότητος αὐτοῦ.* Οὗτος ἐν ἄλλῳ τῶν τοιούτων κεφαλαίων αὐτοῦ τὸ *ἐκπέμπεσθαι* τῇ τοῦ Υἱοῦ παρὰ Πατρὸς ὑπάρξει προσνέμων οὑτωσί πως ἐφθέγξατο· *Ποῖον γὰρ πάθος περὶ τὸν ἥλιον ὁρᾶται γινόμενον, ὅτε τίκτει τὸ φῶς; Ποῖος συμβαίνει περὶ τὸ πῦρ μερισμὸς, ὅταν ἐκπέμπει τὸν ἐξ αὐτοῦ φωτισμόν; Εἰ δὲ ταῦτα γεννᾷ μὲν ἀμερίστως, ἐκπέμπει δὲ τὰ ἐξ αὐτῶν ἀπαθῶς, οὐ πολλῷ μᾶλλον ὁ τούτων ποιητὴς τῆς ἑαυτοῦ φύσεως ἐκπέμπει τὸ ἀπαύγασμα;* Πρὸς τούτοις ὁ αὐτὸς καὶ πάλιν ἔν τινι τῶν αὐτοῦ κεφαλαίων, καὶ τὸ *προιέναι* κἀπὶ ταύτης ἐκλαμβανόμενος, ταῦτα κατὰ ῥῆμα διέξεισι· *Σύμπαν τὸ εἶναι τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας πρόεισι.* Καὶ μὴν καὶ τὸ *ἀναβλύζειν* ὁ τοιοῦτος ἐπ' αὐτῆς τῆς ὑπάρξεως τοῦ Υἱοῦ τίθησιν ἔν τινι τῶν διαληφθέντων αὐτοῦ κεφαλαίων οὕτω διατρανῶν· *Ἦν ἄρα τῷ γεννή-*

Digitized by Google Распознавание текста ABK/FR

σαντι συναΐδιος ὁ Υἱὸς, ὥπερ ἀπό τινος πηγῆς τῆς πατρῴας ἀναβλύζων οὐσίας. Ὁ τῆς Ἐκκλησίας αὖθις φωστὴρ ὁ θειότατος Ἀθανάσιος, τὸ πηγάζειν προσαρμόζων αὐτῇ, πηγὴν τὸν Πατέρα τοῦ Υἱοῦ κέκληκεν οὕτως εἰπὼν ἐν τῇ πρὸς τοὺς Ἀλεξανδρεῖς ἀπὸ τῆς συνόδου τῆς ἐν Ἱεροσολύμοις ἐπιστολῇ· *Γινώσκοντές εἰσιν οἱ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες, μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν Λόγον, καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ.* Τούτων ἐνῆν καὶ πλείω προθεῖναι τοῖς βουλομένοις ἀπὸ τῆς θείας Γραφῆς ἐκλεξάμενον· ὅμως τὸν κόρον φεύγων τὸν ἀπὸ τοῦ πλήθους τῶν λεγομένων τοῖς ἀκροαταῖς ἐκτικτόμενον, ἀποχρῆν ἡγοῦμαι καὶ ταῦτα τοῖς γε μὴ πάντη κακοσχόλοις, ἢ ταπεινοῖς τὴν διάνοιαν.

A *essentia natum esse Verbum, et essentiam Patris principium, et radicem, et fontem esse Filii.* Possem hic plura addere cupientibus ex divinis Scripturis collecta, sed satietatem vitans, quæ ex abundantia et multitudine dictorum auditoribus ingeneratur, hæc sufficere existimo iis, qui otio suo male non utuntur, nec humi cogitationibus repunt.

κ'. Ἐπέκεινα δὲ τῶν ῥηθέντων τὸ *περφηνέραι*, καὶ τὸ *πηγάζειν*, ὅτι κἀπὶ τοῦ Πνεύματος λαμβανόμενα τὴν ὕπαρξιν τούτου σημαίνουσιν, ὁ μέγας Βασίλειος παραστήσει τοῖς πᾶσιν ἀριδηλότατα. Καὶ γὰρ ἐν τῷ περὶ τοῦ Πνεύματος αὐτοῦ λόγῳ ταῦτά φησιν· *Τὸ Πνεῦμα τὸ ἅγιον οὐδὲν ἐν ἑαυτῷ ἐπίκτητον ἔχον ἐστὶν, ἀλλ' ἀϊδίως πάντα ἔχον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πεφηνὸς, αἴτιον αὐτὸν ἔχον, ὡς πηγὴν ἑαυτοῦ, κἀκεῖθεν πηγάζον· πηγὴ δὲ αὐτὸ τῶν προσιρημένων ἀγαθῶν. Ἀλλ' αὐτὸ μὲν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι· τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν. Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ.* Ποῦ ποτέ εἰσιν οἱ πάντα τοῖς ἑαυτῶν λογισμοῖς ἐπιτρέποντες, καὶ ὅπερ ἂν αὐτοῖς δόξαι, τοῦτο τῶν ζητουμένων ἑφ' ἑκάστῳ τιθέμενοι, καὶ τὴν οἰκείαν γνώμην ὡς νόμον στέργοντες καὶ κρατύνοντες, οἱ μήτε θέλοντες ἐπαΐειν, εἴ πού τις καὶ λέγειν ἔχοι τι χρήσιμον οἰκοθεν, καὶ τῶν θείων Γραφῶν προτεινομένων, ὡς ἀσπὶς τὰ ὦτα πρὸς ἐπᾴσματα βύοντες; Ἰδοὺ γὰρ ἐν τῷ παρόντι πρὸς τοῖς ῥηθεῖσι καὶ ἕτερον δόγμα τῷ θείῳ τούτῳ Πατρὶ συγκατασκευάζεται, περὶ οὗ πολὺς λόγος πολλάκις ἑκατέροις τοῖς μέρεσι. Κοινῶς γὰρ ὁμολογουμένου, καὶ παρὰ πᾶσι τοῦ τὴν τοῦ Πνεύματος χορηγίαν γίνεσθαι δι' Υἱοῦ τοῖς πιστοῖς, οἱ πλείους αὐτῶν, ἵνα μὴ λέγω πάντες, ἐπείπερ εὐγνωμονοῦσιν, ὡς ἐγῷμαι, τὸ γοῦν μέρος τοῦτό τινες, τὰ τοῦ Πνεύματος χαρίσματά φασιν ἀποτετμημένως παρέχεσθαι δι' Υἱοῦ τοῖς πρὸς οὓς τὸ Πνεῦμα λέγεται δίδοσθαι· καὶ τὰ τῆς μαρτυρίας, ὅτι πνεύματα καλοῦνται καὶ τὰ χαρίσματα, παρευθὺς ἐπὶ γλώττης ἐξ Ἡσαΐου τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν, « *Καὶ ἐπαναπαύσεται,* » περὶ τοῦ Κυρίου προλέγοντος, « *ἐπ' αὐτὸν ἑπτὰ πνεύματα, πνεῦμα σοφίας, πνεῦμα γνώσεως,* » καὶ τὰ ἑξῆς. Ταῦτα γοῦν ὁρέγεσθαι δι' Υἱοῦ τοῖς εὐσεβέσι φασὶν, οὐ μὴν αὐτὸ τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ συνταττόμενον καὶ συναριθμούμενον, ὅπερ καὶ Θεός ἐστι τέλειος, ἐπεὶ μὴ δυνατὸν φύσιν ἀνθρώπου χωρῆσαι Θεόν. Τί συνάγειν ἐντεῦθεν τάχα πειρώμενοι; Τὸ τῇ ψευδεῖ ταύτῃ προτάσει συμπεραινόμενον πάντως ἄτοπον· ὡς, εἴπερ μὴ δι' Υἱοῦ προσνέμεσθαι τὸ Πνεῦμα τοῖς ἀξίοις νομίζεται, σχολῇ γ' ἂν ὑπάρχειν δι' αὐτοῦ πιστευθήσεται.

B 20. Præ his porro dictis, *apparere* et *scaturire*, cum de Spiritu asseruntur, illius exsistentiam denotare, magnus apertissime demonstrabit Basilius. Nam oratione sua de Spiritu sancto hæc habet: *Spiritus sanctus nihil in seipso ascititium habet, sed ab æterno omnia possidet ut Spiritus Dei, et ex ipso apparens, sui causam eum habens, ut sui ipsius fontem, indeque scaturiens, fons vero ipse prædictorum bonorum: sed ipse quidem ex Deo scaturiens in hypostasi est; quæ vero ex eo effluunt operationes ipsius sunt. Hunc Spiritum sanctum effudit in nos opulenter Deus per Jesum Christum.* Ubinam nunc sunt, qui omnia suis cogitationibus indulgent, et quidquid sibi subvenerit in mentem, id in quæsitis singulis infarciunt, et propriam sententiam uti legem adamant et corroborant, qui neque aures dedunt, si quis usui futurum ex propriis in medium proferat, et cum divinæ Scripturæ proponuntur, velut aspis in incantamentis carminum aures obstruunt? En enim in præsentia præjam dictis aliud quoque dogma a divino isto Patre astruitur, de quo sæpenumero ab ambabus partibus multus prolixusque sermo habitus est. Namque cum apud omnes in confesso sit, Spiritus suppeditationem per Filium fieri fidelibus, potior eorumdem pars, ne dicam omnes, dum æquos se præbent, ut ipse existimo, dona Spiritus asserunt, præsecta abscissaque tradi per Filium illis quibus dari Spiritus dicitur, et Isaæ inter alios prophetas magnitudine dictionum præcellentis testimonio statim in medium allato, probant, dona Spiritus Spiritum appellari, dum de C Domino prævaticinans ait: « *Et requiescent super eum spiritus septem, spiritus sapientiæ, spiritus cognitionis* [10], » et reliqua. Hæc itaque suppeditari per Filium piis hominibus tradunt, non ipsum, qui cum Patre et Filio simul collocatur et annumeratur, Spiritum, qui et Deus perfectus est, quando natura humana Deum capere non valet, quid inde tandem conantes colligere? Absurdum nempe hoc, quod falsa ista propositione concluditur, si non per Filium Spiritus dignis exhiberi existimatur, multo minus per ipsum exsistere credetur.

[10] Isa. xi, 2.

Digitized by Google Распознавание текста ABK/FR

21. Sed his nos contra opponimus, non dona Spiritus separata, hoc namque ipsam ferme pietatem vulnerat, per Filium fidelibus dedi, sed Spiritum ipsum sanctum, qui complet Trinitatem, et qui singulariter denuntiatur piis hominibus per Filium dari, habitualiter habitare : et sic ille propriorum donorum actionem effundit, ut magnus Basilius, effrenata nobis contradicentium ora obturans enuntiat. Deum vero in hominibus inhabitare scriptum est, de iis, qui post legem et ante gratiam complacuerunt : « *Inhabitabo in illis et inambulabo* [11]. » De apostolis, in Evangeliis Salvator noster de hoc sermonem habens, dixit, « *Ego et Pater veniemus, et mansionem apud eum faciemus* [12]. » Dona porro Spiritus spiritus aliquando nuncupari, supervacaneum dicere fuerit, cum nemo de eo addubitet : verumtamen reipsa ipsum Spiritum sanctum et non ejus dona exhiberi per Filium fidelibus declaravit deiloquus iste Pater, nec minus, quin etiam clarius et sublimius, dum de Salvatoris in discipulos inflatu pertractat. In uno siquidem ad beatum Amphilochium capite hæc rursus insinuat : *Spiritus vero in eodem ordine cum vivente Verbo collocatus ad creandum, vivens virtus, et natura divina, ineffabilis ex ineffabili ore apparens ineffabili modo, et per inflatum in hominem missa, quæ secundum corporeum a Christo typum ostensum, rursus ab eo per inflatum restituta. Concurrere enim debet cum prima novitate ea, quæ nunc fit innovatio, et concursum expressit sufflans, idem ille exsistens, qui a principio insufflavit, idemque per quem Deus inflatum elargitus est, tum quidem cum anima, nunc vero in animam.* Advertant animum huic dicto, qui nobis bellum indicunt, addiscantque ex eo per inflatum, non donum aliquod spiritale, ut ipsi contentiose contendunt, sed ipsum Spiritum sanctum illis, qui ipsum aspexerant Verbum, post resurrectionem exhibitum fuisse, quem etiam homini per ipsum Deus in ipsa orbis conditione insufflaverat. Quod fieri minime potuisset, nisi per ipsum Spiritus exsistentiam habuisset, per quem in eos, quibus ille complacitus est, insufflatur, et dignis mittitur suppeditatus. Quandoquidem si id non esset, male neque recte diceretur per Filium exhiberi. Necessario enim exsistentiam suppeditatio consequitur, nisi quis opinetur, Spiritum extra Unigenitum subsistere, illumque eum accipere tanquam sibi datum a Patre, ut possit illum indigentibus communicare, quod plerisque in locis uti impietate plenum maxime admirabilis Cyrillus præcidit : in uno enim libri secundi Thesaurorum capite hæc habet : *Proprius enim omnino Spiritus essentiæ Filii, et non deforis suam hypostasim habet.* Et tertio ad Hermiam : *Igitur nos homines filiationis gloria honestans Spiritus sanctus, quandoquidem Filii est, operabitur quidem in aliis filiorum adoptionem,*

κα'. Πρὸς οὓς ἡμεῖς ἀντιφθεγγόμενοι λέγομεν, οὐ τὰ χαρίσματα τοῦ Πνεύματος διαιρούμενα, τοῦτο γὰρ εἰς αὐτὴν προσκρούει σχεδὸν τὴν εὐσέβειαν, δι' Υἱοῦ βραβεύεται τοῖς πιστοῖς, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τῆς Τριάδος συμπληρωτικὸν, ὅπερ καὶ μοναδικῶς ἐξαγγέλλεται, χορηγούμενον δι' Υἱοῦ τοῖς εὐσεβέσιν οἰκεῖ σχετικῶς· καὶ οὕτως ἐκεῖνο πηγάζει τὴν τῶν οἰκείων χαρισμάτων ἐνέργειαν, ὡς ὁ μέγας Βασίλειος εἴρηκεν, ἐμφράττων τὰ τῶν ἡμῖν ἀντιλεγόντων ἐν τούτοις ἀπύλωτα στόματα. Περὶ δὲ τοῦ Θεὸν οἰκεῖν ἐν ἡμῖν γέγραπται τοῖς μὲν μετὰ τὸν νόμον, καὶ πρὸ τῆς χάριτος τῶν εὐαρεστησάντων ἀνδρῶν ἕνεκεν, ὡς « *Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω·* » πρὸς δὲ τοὺς ἀποστόλους ἐν Εὐαγγελίοις ὁ Σωτὴρ ἡμῶν τὰ περὶ τούτου διαλεγόμενος ἔφησεν, « *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* » Τὸ μέντοι καλεῖσθαι καὶ τὰ χαρίσματα τοῦ Πνεύματος ἔστιν οὗ πνεύματα περιττὸν καὶ λέγειν μηδενὸς ἀμφιβάλλοντος· ὅτι δὲ πρὸς ἀλήθειαν αὐτὸ Πνεῦμα τὸ ἅγιον, οὗ μὴν τὰ τούτου χαρίσματα δι' Υἱοῦ παρέχονται τοῖς πιστοῖς, ἐδήλωσεν ὁ θεηγόρος οὗτος Πατὴρ οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον μεῖζον καὶ ὑψηλότερον, ἐν οἷς ἑρμηνεύει περὶ τῆς παρὰ τοῦ Σωτῆρος τοῖς μαθηταῖς ἐμφυσήσεως. Ἐν ἑνὶ γὰρ τῶν πρὸς τὸν μακάριον Ἀμφιλόχιον κεφαλαίων τάδε πάλιν φησί· *Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις καὶ θεία φύσις, ἄρρητος ἐξ ἀρρήτου στόματος πεφηνυῖα ἀρρήτως, καὶ κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ κατὰ χὸν σωματικῶς ὑπὸ τοῦ Κυρίου δειχθέντα τύπον ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθιστωμένη. Συντρέχειν γὰρ δεῖ τῇ κατ' ἀρχὴν καινότητι τὴν νῦν ἀνακαίνισιν, καὶ τὴν συνδρομὴν ἐξετύπωσεν ἐμφυσήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' αὐτὸς δι' οὗ θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ εἰς ψυχήν.* Ἐπιστησάτωσαν τῷ ῥητῷ τὸν νοῦν οἱ μαχόμενοι, καὶ μαθέτωσαν ἐξ αὐτοῦ πῶς καὶ διὰ τῆς ἐμφυσήσεως οὐ χάρισμά τι πνευματικὸν, ὡς αὐτοὶ διατεινόμενοι λέγουσιν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον τοῖς αὐτόπταις ὁ Λόγος ἐδωρήσατο μετὰ τὴν ἀνάστασιν, ὅπερ καὶ τῷ ἀνθρώπῳ δι' αὐτοῦ Θεὸς καταρχὰς ἐνεφύσησεν, οὐκ ἄλλως τοῦτο γίνεσθαι πεφυκὸς, εἰ μὴ δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχον ἐστὶ, δι' οὗ καὶ τοῖς πρὸς οὓς ἠβούλήθη ἐμφυσᾶται, καὶ τοῖς ἀξίοις καταπέμπεται χορηγούμενον. Ἐπείπερ εἰ μὴ τοῦτο πάντως, οὐδ' ἂν ὀρθῶς λέγοιτο παρέχεσθαι δι' Υἱοῦ. Χρὴ γὰρ τῇ ὑπάρξει τὴν χορηγίαν ἀκολουθεῖν, εἰ μὴ μέλλοι τις τὸ Πνεῦμα φρονεῖν ἔξωθεν ὑφίστασθαι τοῦ Μονογενοῦς, καὶ τοῦτο λαμβάνειν αὐτὸν οἷα δοτὸν ἐκ Πατρὸς, ὡς δύνασθαι μεταδιδόναι τούτου τοῖς χρῄζουσιν, ὅπερ καὶ πολλαχοῦ φθάνει προανσιρῶν, ὡς δυσσεβείας πάσης ἀνάπλεων ὁ θαυμασιώτατος Κύριλλος. Ἐν ἑνὶ μὲν γὰρ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν οὕτω φάσκει ῥητῶς· *Ἴδιον δὲ πάντως*

[11] II Cor. vi, 16. [12] Joan. xiv, 25.

τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ οὐκ ἔξωθεν ὑποστατόν· ἐν δὲ τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν, Τὸ τοίνυν ἡμᾶς, λέγει, τοὺς ἐπὶ γῆς τῇ τῆς υἱότητος δόξῃ καταχρυσοῦν, φημὶ δὴ τὸ Πνεῦμα τὸ ἅγιον, ἐπείπερ ἐστὶ τοῦ Υἱοῦ, ἐνεργήσει μὲν εἰς ἑτέρους τὴν υἱοποίησιν, ἀπρακτήσει δὲ περὶ τὸν οὗπέρ ἐστιν οὐκ εἰσκεκριμένον, οὔτε μὴν ἔξωθεν ἐπεφοιτηκός, ἀλλ' οὐσιωδῶς ὑπάρχον αὐτῷ, καὶ δι' αὐτοῦ προχεόμενον τοῖς ἐλεῖν ἀξίοις ἐν εὐδοκίᾳ Πατρός. Πάλιν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ τὸ, « Κἀγὼ αἰτήσω τὸν Πατέρα, καὶ ἄλλον ὑμῖν δώσει Παράκλητον, » ἐξηγούμενος, Ἆρ' οὖν οὐκ οἰήσεταί τις καὶ μάλα δικαίως, φησὶ, μᾶλλον δὲ καὶ ἀραρότως διακείσεται, ὅτι τῶν τοῦ θεοῦ καὶ Πατρὸς ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει καὶ τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον καθ' ὅπερ ἂν νοοῖτο καὶ ὁ Πατὴρ, οὐκ ἐπακτὸν, οὐδὲ ἔξωθεν. Εὔηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν. Εἰς δὲ τὸ ῥητὸν τὸ, ὅτι « Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ, ὡσεὶ περιστερὰν, καὶ ἔμεινεν ἐπ' αὐτόν· » Οὐ γὰρ δήπου λέγει, πρὸς τοσαύτην ἀλογίαν καταβησόμεθα καὶ ἡμεῖς, ὡς οἰεσθαι μεθεκτὸν ἐν τῷ κατὰ φύσιν Υἱῷ τὸ Πνεῦμα ὑπάρχειν, καὶ οὐχὶ μᾶλλον οὐσιωδῶς ἐμπεφυκὸς, ὥσπερ οὖν ἁμέλει καὶ αὐτῷ τῷ Πατρί. Καὶ μετ' ὀλίγα· Τίνα οὖν τρόπον ἀπομεριοῦμεν τὸ Πνεῦμα τοῦ Υἱοῦ, τὸ οὕτως ἐμπεφυκὸς καὶ οὐσιωδῶς ἠνωμένον, δι' αὐτοῦ τε προκύπτον καὶ ὑπάρχον ἐν αὐτῷ φυσικῶς; Οὕτω τὴν προρρηθεῖσαν ἔννοιαν ὁ μέγας οὗτος Πατὴρ ἀναιρῶν, τὸ φυσικῶς καὶ οὐσιωδῶς ἔχειν τὸν Υἱὸν τὸ Πνεῦμα συνίστησιν, ἔστιν οὗ καθ' ἕτερον λόγον κἀκείνην ἀποδεχόμενος. Ἐν γὰρ τῇ εἰς τὸν προφήτην Ἰωὴλ ἑρμηνείᾳ μετὰ τὸ εἰπεῖν περὶ τῆς θεότητος τοῦ Μονογενοῦς, τάδε φησίν· Εἰ δὲ γέγονεν ἄνθρωπος καὶ πέφηνε καθ' ἡμᾶς, ἐπακτὸν αὐτῷ εἶναι τὸ Πνεῦμα λέγεται. Καταπεφοίτηκε γὰρ καὶ ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς, ὅτε καθ' ἡμᾶς γεγονὼς, ὡς ἔφην, ὡς εἷς ἐξ ἡμῶν οἰκονομικῶς ἐβαπτίζετο, τότε καὶ τὸ ἴδιον αὐτοῦ Πνεῦμα δοτὸν αὐτῷ λέγεται διὰ τὸ ἀνθρώπινον· καὶ τοῦτό ἐστιν ἡ κένωσις. Ταῦτα κατὰ παρέκβασιν μὲν, ὅτι τῶν τοιούτων ἕτερος ὁ καιρός· ἀναγκαῖα δ' ὅμως διὰ τοὺς πρὸς πᾶν τὸ προτεινόμενον ἀντιλέγοντας. Οἷς καὶ δι' ὧν παρεθέμεθα χρήσεων ἀρκούντως δοκῶ μοι, καὶ ὡς ἐχρῆν, ἀπεδείξαμεν ὅτι τὸ πεφηνέναι, καὶ τὸ ἐκλάμπειν, καὶ τἆλλα τὰ παρόμοια τούτοις, ὧν πάντων ἄνωθεν ἐπεμνήσθημεν, ἐπὶ τοῦ Υἱοῦ λαμβανόμενα τὴν αὐτοῦ παριστάνουσιν ὕπαρξιν. Ὥστε λοιπὸν οὐκέτι δεήσει πλείονος ἡμῖν τῆς κατασκευῆς, ὅταν κἀπὶ τοῦ Πνεύματος ταῦτα λαμβάνονται, τὴν ὕπαρξιν τούτου λέγειν δηλοῦν. Τῷ γὰρ αὐτῷ λόγῳ κἀνταῦθα τὰς τοιαύτας ἐκδεξόμεθα δικαίως φωνὰς, ᾧ κἀπὶ τοῦ Υἱοῦ παρειλήφαμεν.

κβ'. Ἀλλ' ἐπιφύονται καὶ πάλιν οἱ πρὸς ἔριν ὁρῶντες ἀεὶ καὶ πρὸς μάχην τὴν ἡμετέραν ἀποδυόμενοι λέγοντες, Καὶ πῶς οὐδεὶς τῶν διαληφθέντων Πατέρων εἴρηκε καθαρῶς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν τὴν ὕπαρξιν, ἢ τὴν κυρίαν ἐπὶ τούτου λέξιν, ἥτις ἐστὶν, ὡς ἴσμεν, τὸ ἐκπορεύεσθαι, τέθεικε;

A otiosus autem erit omnino in illo, cujus scilicet est, non adventitius, neque enim extrinsecus adveniens, sed essentialiter illius exsistens, et per eum effusus, ut a dignis accipitur juxta beneplacitum Patris. Rursus in Evangelio Joannis, cum illud: « Ego rogabo Patrem, et alium Paracletum dabit vobis [15], » interpretatur ait: Annon igitur quispiam existimabit, et merito, imo etiam aptissime amplexabitur, Dei et Patris naturalium bonorum et essentialium cum Filius particeps sit, habere Spiritum eo modo, quo illum habere et Pater intelligitur, non ascititium neque extraneum? Stolidi enim est, imo furiosi ita sentire. Et in illud: « Vidi Spiritum descendentem de cœlo, quasi columbam, et mansit super illum [16]. » Nunquam enim ad tantam B temeritatem descendemus, ut participatione in Filio secundum naturam Spiritum esse credamus, et non potius substantialiter, quemadmodum ipsi etiam Patri adhæret. Et post pauca: Quomodo igitur a Filio Spiritum separabimus, qui sic innatus ei est, ita substantialiter conjunctus, et per eum prodiens, in ipso ita naturaliter est? Sic prædictam opinionem magnus iste Pater destruens, naturaliter et essentialiter haberi Spiritum a Filio comprobat, aliquando etiam secundum] aliam quoque rationem eamdem amplectitur. Nam Joelem prophetam exponens, postquam de divinitate Unigeniti pertractasset, hæc subdit: Qua vero ratione factus est homo, et modo nostro apparuit, ascititius illi esse Spiritus dicitur: descendit enim C super ipsum in specie columbæ, cum secundum nos factus, ut dixi, tanquam unus ex nobis baptizare tur, tum et proprius ipsius Spiritus donatus ipsi dicitur propter humanitatem; et hæc est exinanitio. Et hæc quidem per digressionem a proposito; sunt enim in aliud tempus conservanda; necessaria tamen visa sunt propter oppugnantes quidquid illis proponitur. Verum supra jam adductis auctoritatibus satis et ut addecebat, demonstravimus, illa apparere, elucere, et his similia a nobis supra commemorata, cum de Filio dicuntur, illius exsistentiam insinuare. Quare majore nobis probatione opus non erit, ad demonstrandum, hæc eadem, cum de Spiritu dicuntur, illius exsisten- D tiam manifestare. Eadem siquidem ratione hic quoque easdem dictiones merito accipiemus, qua et de Filio eas accepimus.

22. Sed rursus nobis, qui nonnisi contentionibus addictissimi sunt, insurgunt, et ad pugnam accinguntur, dicentes: Et quam ob causam nemo ex jam laudatis Patribus clare enuntiavit, per Filium Spiritum sanctum exsistentiam habere, aut propriam de illo dictionem, quæ est, ut omnes

[15] Joan. XIV, 16. [16] Joan. I, 32; Matth. III, 16; Luc. III, 22.

Digitized by Google Распознавание текста ABK/FR

sciunt, *procedere* usurpavit? Namque Spiritum per Filium exsistere forte concedendum esset, ut ex jam allatis manifestum est, quando ex ipsis nonnulli palam eo nomine usi videntur, sed exsistentiam habere nullo modo. Namque aliud est exsistere, aliud exsistentiam habere: quod illud quidem sæpius asseritur etiam de extraneis, sicuti, hic ex hac urbe exsistit, ille ex alia rursus fortasse. At exsistentiam habere de his tantum sumitur, quæ ad constituendam subsistentiam conducunt. Hanc igitur quam maxime vocem exprimentem, ut et illam propriam *procedere* de Spiritu sancto tacuerunt; notum vero est omnibus, inter omnia nihil esse, quod illi magis proprium sit, quam *procedere*. Id etenim Spiritui et soli in primis attributum, proprium illius appellatur. Hæc acuti isti solertesque ad commiscendas contradictiones, ut propriam tantum opinionem stabiliant. Sed ego inter *exsistere* et *exsistentiam habere*, nullum esse discrimen, sed unum idemque notare affirmo. Namque *exsistere* in illud, *exsistentiam habere* dissolvitur; et *exsistentiam habere* in illud, *exsistere* vicissim contrahitur: nec alio ullo modo fas est isthæc intelligi. Et possem equidem longum sermonem ad id demonstrandum contexere, nisi plane crimen inepti vererer incurrere. Cui enim notum non est, ubi exsistere dicitur, ibidem secundum unum eumdemque significatum, sive naturaliter, sive essentialiter, sive secundum aliam rationem, et exsistentiam habere dici? neque unum ex his in quoquam ab altero discrepabit apud eos, qui sermonum sensa dijudicare norunt. Ante etiam præveniens divinus Cyrillus quæstionem dissolvit, in una ex illis, quæ supra descriptæ sunt auctoritates, cum dicit: *Spiritum vero sanctum nuncupabis, quod ex Patre per Filium naturaliter effunditur; et, uti in exemplo spirationis, quæ ex ore fit, propriam nobis significat exsistentiam.* Cum enim dixisset, effundi Spiritum per Filium naturaliter, subjunxit, Et propriam nobis significat exsistentiam, uti in exemplo spirationis, quæ ex ore fit, clareque per Filium Spiritum sanctum exsistentiam habere decernit, quod neminem, puto, latet; licet hi quæ dicta sunt, etsi in medio jaceant ante omnes, consulto præterierunt. Et de hoc ista satis, quæ cum clarissima sint, everti propulsarique non poterunt.

23. Ad secundum vero dicimus, *procedere* non expressius inferre essentiam ipsam Spiritus ipso *exsistere*, quod inter alia omnia verba primum natura est, et in quod, ut qui circa similia insaniunt, tradunt, et hoc ipsum *procedere* præ aliis verbis resolvitur, sed æqualiter, et modo eodem utraque. Quod si in illis discrimen aliquod consideratur, illud est secundum aliam rationem utrisque propriam atque accommodam. Etenim cum sint ex Patre et Filius et Spiritus sanctus, ne quis opinaretur etiam Spiritum uti

A Τὸ μὲν γὰρ ὑπάρχειν τὸ Πνεῦμα δι' Υἱοῦ δοτέον ἴσως, ὡς ἐξ ὧν εἶπον πάντες ἐδήλωσαν, ἐπεὶ καί τινες αὐτῶν τῷ τοιούτῳ φαίνονται χρησάμενοι διαῤῥήδην ὀνόματι· τὸ δὲ τὴν ὕπαρξιν ἔχειν οὐκ ἄν. Ἄλλο γὰρ τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ τὴν ὕπαρξιν ἔχειν ἐστίν· ὅτι τὸ μὲν εἴωθε πολλάκις λέγεσθαι κἀπὶ τῶν ἐκτὸς, οἷον οὗτος ἐκ ταύτης ὑπάρχει τῆς πόλεως, ἐκεῖνος ἐξ ἑτέρας πάλιν τυχόν· τὸ δὲ τὴν ὕπαρξιν ἔχειν ἐπὶ μόνων παραλαμβάνεται τῶν συντελούντων εἰς τὴν οὐσίωσιν. Ταύτην τοίνυν τὴν ἐμφαντικωτάτην φωνὴν, ὁμοίως γε μὴν καὶ τὸ *ἐκπορεύεσθαι* τὴν κυρίαν ἐπὶ τοῦ Πνεύματος λέξιν παρεσιώπησαν. Δῆλον δὲ τοῖς πᾶσιν ὡς οὐδὲν ἐπ' αὐτοῦ τῶν πάντων, ὁποῖον τὸ *ἐκπορεύεσθαι*. Τοῦτο καὶ γὰρ τῷ
B Πνεύματι καὶ μόνῳ κατ' ἐξαίρετον ἀποκληρωθὲν ἴδιον αὐτοῦ κατωνόμασται. Ταῦτα μὲν οἱ δεινοὶ τρόπους ἀντιλογίας εὑρεῖν, ἵνα μόνον τὴν οἰκείαν γνώμην συστήσωσιν· ἐγὼ δὲ πρὸς μὲν τὸ *ὑπάρχειν*, καὶ τὸ τὴν *ὕπαρξιν ἔχειν*, ὅτι μιᾶς καὶ τῆς αὐτῆς σημασίας ἀμφότερα· τὸ γὰρ *ὑπάρχειν* εἰς τὸ *τὴν ὕπαρξιν ἔχειν* σαφῶς διαλύεται, καὶ τὸ *τὴν ὕπαρξιν ἔχειν* εἰς τὸ *ὑπάρχειν* πάλιν συνάγεται· καὶ οὐκ ἔστιν ἄλλως νοῆσαι τὰ περὶ τούτων οὐδοπωσοῦν· ἐβουλόμην καταβαλέσθαι λόγον συχνὸν εἰς
C ἀπόδειξιν, εἰ μὴ γραφὴν ἀπειροκαλίας ἤδειν ἐντεῦθεν ἀποίσεσθαι. Τίνι γὰρ τῶν ἁπάντων οὐ φανερὸν ὡς ἔνθα λέγεται τὸ ὑπάρχειν, ἐκεῖ καὶ τὸ τὴν ὕπαρξιν ἔχειν λεχθήσεται κατὰ τὸ αὐτὸ καὶ ἓν σημαινόμενον, εἴτε φυσικῶς καὶ οὐσιωδῶς, εἴτε καθ' ἕτερον λόγον ἑκάτερα; καὶ οὐ διοίσει τὸ παράπαν οὐδὲν τούτων ἐν οὐδενὶ τοῖς ὀρθῶς κρίνειν ἐπισταμένοις λόγου διάνοιαν. Τέως κἀνταῦθα προφθάσας ὁ θεσπέσιος Κύριλλος τὸ ζητούμενον λέλυκεν, ἐν οἷς κατὰ μίαν τῶν ἀναγεγραμμένων ῥήσεων οὕτως εἴρηκεν· *Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν ὑποσημαῖνον ὕπαρξιν.* Προχεόμενον γὰρ εἰπὼν ἐκ Πατρὸς τὸ Πνεῦμα δι' Υἱοῦ φυσικῶς, ἐπήγαγε, Καὶ τὴν ἰδίαν ἡμῖν ὑποσημαῖνον ὕπαρξιν καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς, δι' Υἱοῦ καθαρῶς τὸ Πνεῦμα τὸ ἅγιον τὴν ὕπαρξιν ἔχειν ἀποφηνάμενος, ὅπερ οὐδένα τῶν ἁπάντων οἶμαι διαλανθάνειν· εἰ καὶ τῶν εἰρημένων ἐν μέσῳ κείμενον,
D φανερῶς ἑκόντες οὗτοι παρέδραμον. Πρὸς μὲν οὖν τοῦτο τοσαῦτα, καὶ οὕτως αὐτόθεν πλουτοῦντα τὸ ἀναντίῤῥητον.

κγ'. Πρὸς δὲ τὸ δεύτερον πρῶτα μὲν λέγομεν ὡς οὐ τὸ *ἐκπορεύεσθαι* δηλοῖ μᾶλλον αὐτὸ τὸ εἶναι τοῦ Πνεύματος ἢ τὸ *ὑπάρχειν*, τὸ τῶν ῥημάτων πάντων ἀρχοειδέστερον, εἰς ὃ κατὰ τοὺς περὶ ταῦτα καθάπαξ ἐπτοημένους, καὶ αὐτὸ τοῦτο τὸ *ἐκπορεύεσθαι* πρὸς τοῖς ἄλλοις ἀναλύεται ῥήμασιν, ἀλλ' ἐπίσης ἀμφότερα, καὶ κατὰ τρόπον τὸν ὅμοιον. Εἰ δέ τις θεωρεῖται κἂν τούτοις διαφορὰ, καθ' ἕτερον αὖτη λόγον ἴδιον ἑκατέροις καὶ πρόσφορον. Ἐπειδὴ γάρ εἰσιν ἐκ Πατρὸς ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἂν μὴ νομίσῃ τις γεννᾶσθαι καὶ τὸ Πνεῦμα κα-

Digitized by Google Распознавание текста ABK/FR

θαπερ δῆτα καὶ τὸν Υἱὸν, ἐλέχθη τὸ ἐκπορεύεσθαι πρὸς διαστολὴν τῆς γεννήσεως· ὅπερ καὶ Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίᾳ μυσταγωγῶν, Ἵν' ἡ Γραφὴ παρέλθῃ τὸ τῆς γεννήσεως ὄνομα, τὸ ἐκπορεύεσθαι, φησὶν, εἴρηκεν. Ὥστε διὰ μὲν τοῦ ὑπάρχειν τὸ ἁπλῶς εἶναι, διὰ δὲ τοῦ ἐκπορεύεσθαι τὸ πῶς εἶναι σημαίνεται. Διά τοι τοῦτο καὶ τρόπον ὑπάρξεως, ταυτὸ δ' εἰπεῖν, διαφορὰν ὑπάρξεως ἀπεφήναντο τὴν ἐκπόρευσιν ἔνιοι τῶν Πατέρων, οἷς ἐπιπλέον τῆς περὶ τούτων ἀκριβείας ἐμέλησε. Καὶ ἔστι μὲν ἰδιότης τοῦ Πνεύματος ἡ ἐκπόρευσις, ὥσπερ οὖν καὶ ἡ γέννησις ἰδιότης τοῦ Υἱοῦ· πλὴν ὥσπερ ἐπ' αὐτοῦ τοῦ Μονογενοῦς οὐχὶ τὸ γεννᾶσθαι μόνον εἰς δήλωσιν τῆς τούτου παρὰ Πατρὸς ὑπάρξιως πανταχοῦ τῆς θεολογίας λαμβάνεται, καὶ τοῦτο φθάσαντες διὰ πολλῶν παρεστήσαμεν· οὕτω δὴ καὶ ἐπὶ τοῦ Πνεύματος οὐχ ἅπαντες τῶν ἁγίων μόνης τῆς ἐκπορεύεται λέξεως, ἀλλ' ὁ μὲν δι' ἐκείνης, ὁ δὲ δι' ἑτέρας, καὶ ἄλλος δι' ἄλλης τὴν τοῦ Πνεύματος ὕπαρξιν ἐδογμάτισαν. Καὶ ἵνα ταῦτα παρευθὺς εἰς μέσον προφέρωμεν, ὁ μὲν μέγας Βασίλειος ἐν τῷ δεκάτῳ ἑβδόμῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων ταῦτα λέγει ῥητῶς· Ἐκ τοῦ Θεοῦ εἶναι τὸ Πνεῦμα λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ· ὁ δὲ Γρηγόριος ἐν τοῖς ὑψηλοῖς καὶ ἄνω φέρουσι νοῦς, ὁ τῆς θεολογίας ἐπώνυμος, εἰς τὸν περὶ Υἱοῦ λόγον οὕτω διέξεισιν· Διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη. Καὶ τοῦτο ἡμῖν ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα, ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, τῶν δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα. Ὁ αὐτὸς καὶ πάλιν ἐν μὲν τῷ περὶ θεολογίας πρώτῳ, καὶ καταστάσεως ἐπισκόπων· Ἀκούεις γέννησιν; τὸ πῶς μὴ περιεργάζου. Ἀκούεις ὅτι προϊὸν ἐκ τοῦ Πατρός; τὸ ὅπως μὴ πολυπραγμόνει. Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν, καὶ Πνεύματος πρόοδον, κἀγώ σοι πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. Ἐν δὲ τῷ πρὸς Ἥρωνα τὸν φιλόσοφον· Ὅρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν διδάσκων ἕνα μὲν εἰδέναι Θεὸν ἀγέννητον τὸν Πατέρα, ἕνα δὲ γεννητὸν τὸν Υἱὸν, ἕν δὲ καὶ Πνεῦμα ἅγιον προελθὸν ἐκ τοῦ Πατρὸς, ἢ καὶ προϊόν. Καὶ μετά τινα· Κοινὸν μὲν γὰρ Υἱῷ καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ Πατρὸς, ἴδιον δὲ Πατρὸς ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἔκπεμψις. Ὡσαύτως ὁ θεσπέσιος Κύριλλος ἐν μὲν τῇ ἑρμηνείᾳ τοῦ δωδεκάτου κεφαλαίου τάδε διαλαμβάνει τρανῶς· Ὁμολογοῦμεν οὖν ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννητοῦ δὲ τοῦ Υἱοῦ, τοῦ δὲ Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος· ἐν δὲ τοῖς πρὸς Ἑρμείαν· Τὸ Πνεῦμα τὸ ἅγιον ὥσπερ τις ἀτμὸς ἢ ποιότης ἐστὶ τῆς οὐσίας τοῦ Πατρός. Εἰ ἀγέννητος δὲ καὶ ἄκτιστος ὁ Πατὴρ, πῶς ἂν εἴη γεννητὸν τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα; Καὶ μακρὸν ἂν εἴη τὰς τοῦ Πνεύματος

Filium generari, *procedere* ad discernendam generationem usurpatum est. Quod et Joannes Chrysostomus de Spiritu sancto homilia explanans : *Ut Scriptura*, inquit, *generationis nomen prætereat, procedere dixit.* Hinc verbo *exsistere* simpliciter esse, *procedere* modus, quo aliquis est, denotatur. Propterea et modum exsistentiæ, quod idem fuerit dicere differentiam exsistentiæ processionem esse ex Patribus nonnulli, quibus similia exquisitiori disquisitione examinare curæ fuit, asseverarunt. Et est quidem proprietas Spiritus processio, non alio modo, quam quo generatio est proprietas Filii. Sed quemadmodum de ipso Unigenito non *generari* tantum ad notandam ipsius ex Patre exsistentiam locis in omnibus, cum theologica tractantur, desumitur, et hæc jam pluribus demonstravimus : ita et de Spiritu non omnes sancti sola processionis dictione, sed hic quidem illa, ille vero alia, et alius alia Spiritus exsistentiam decreverunt. Et ut absque mora in medium ista producamus, magnus Basilius in decimo septimo ad Amphilochium capite his verbis insinuat : *Ex Deo esse Spiritus dicitur, non eo modo quo sunt omnia ex Deo ; sed uti ex Deo proveniens, non generationis modo ut Filius, sed ut Spiritus oris illius.* Gregorius in sublimibus et in iis quæ ad superiora elevant mens, cui a theologia cognomen est, oratione de Filio sic sermonem instituit : *Propterea unitas a principio in binarium mota in Trinitate subsistit. Et hoc nobis est, Pater, Filius, et Spiritus, Pater genitor et productor : horum vero, hic fœtus est, ille productum.* Item rursus prima de theologia et constitutione episcoporum : *Audis generationem ? modum ne curiosius inquiras. Audis Spiritum a Patre progredi ? Id quomodo fiat, ne anxio studio perscruteris. Quod si in Filii generatione et Spiritus progressione pervestiganda curiosum te præbes, ego quoque pari curiositate tuam animæ corporisque conjunctionem et temperamentum inquiram.* Et oratione in Heronem philosophum : *Quin pietatis nostræ doctrinam præscribe, sic nos instituens, ut Deum unum ingenitum agnoscamus, hoc est Patrem ; unum item genitum Dominum, Filium videlicet ; unum denique Spiritum sanctum a Patre progredientem, aut etiam prodeuntem.* Et paucis interjectis : *Commune enim est Filio et Spiritui sancto ex Patre esse. Proprium vero Patris est ingenitura, Filii generatio, Spiritus emissio.* Pari ratione divinus Cyrillus in expositione duodecimi capitis hæc ad verbum scribit : *Confitemur itaque consubstantialem esse Patri Filium et Spiritum sanctum, cum sit vere Pater ingenitus, Filius genitus, Spiritus autem sanctus ex essentia Patris per Filium æterne emissus.* In iis item quæ ad Herminm : *Spiritus sanctus, uti quidam vapor, aut qualitas est essentiæ paternæ. Quod si ingenitus est et increatus Pater, quomodo creatus erit, qui ex ipso effunditur Spiritus ?* Sed longum esset Spiritus dictiones, quæ ad rem hanc nostram conferunt recolligere.

Digitized by Google Распознавание текста ABK/FR

Sed hæc satis sint ad probandum, non sola dictione processionis Spiritus exsistentiam expressam fuisse. Neque vero dictionem hanc vere Spiritus esse præcipuam, uti contendunt adversarii, magnus Basilius et Joannes Chrysostomus concorditer nos docebunt. Hic enim in sententiis aphoristicis, ait: *Spiritus sanctus potissima ipsius et propria appellatio, quod præcipuum incorporei universi et pure immaterialis nomen est.* Item: *Neque quid minus habituri sumus ad cognoscendum Spiritum ex Deo exsistere, Spiritum oris illius, illum audientes. Sed hoc quoque nomen satis est ad exprimendam illius ex Deo exsistentiam.* Chrysostomus in homilia de Spiritu sancto: *Dicitur itaque Spiritus: hæc enim est propria et primaria appellatio, quæ præ aliis sententiam magis manifestat, et aperit naturam Spiritus sancti.* Duobus hisce ecclesiastici firmamenti luminibus ita de hoc decernentibus, quis ab illis dissentiens quidpiam dicere audebit, nisi vere insanit, et atra bile laborans, extra rem, de qua agitur, insulse deblaterat? Primum itaque ad illos redarguendos qui similia effutiunt, contra apposuimus.

A καταλέγειν φωνὰς, αἳ πρὸς τοῦτο συντείνουσιν. Ἀλλὰ ταῦτα μὲν, ὅτι μὴ διὰ τοῦ ἐκπορεύεσθαι καὶ μόνου πέφυκε δηλοῦσθαι τὴν τοῦ Πνεύματος ὕπαρξιν. Ὅτι δὲ κατ' ἀλήθειαν οὐδ' ἡ κυρία τούτῳ λέξις, καθάπερ εἰρηται τοῖς ἐναντιογνωμονοῦσιν ἐπὶ τοῦ Πνεύματος, ὁ μέγας Βασίλειος καὶ ὁ Χρυσορρήμων Ἰωάννης συμφώνως διδάξουσιν. Ὁ μὲν γὰρ ἐν ταῖς περὶ τοῦ Πνεύματος ἀφοριστικαῖς ἐννοίαις φησί· *Πνεῦμα ἅγιον ἡ κυρία αὐτοῦ καὶ ἰδιάζουσα κλῆσις, ὅπερ δὴ μάλιστα παντὸς τοῦ ἀσωμάτου καὶ καθαρῶς ἀΰλου, καὶ ἀμέτρου ὄνομά ἐστι·* καὶ πάλιν· *Οὐ γὰρ ἐλαττόν τι ἕξειν μέλλομεν εἰς τὸ γινώσκειν τὸ Πνεῦμα ὑπάρχειν ἐκ Θεοῦ, Πνεῦμα τοῦ στόματος αὐτοῦ, ἀκούοντες αὐτά. Ἀλλ' ἱκανὸν καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν* B *αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ.* Ὁ δὲ χρυσοῦς τὴν γλῶτταν Πατὴρ ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίᾳ· *Λέγεται τοίνυν Πνεῦμα ἅγιον· αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἐκφαντικωτέραν ἔχουσα τὴν διάνοιαν καὶ παριστῶσα τοῦ ἁγίου Πνεύματος τὴν φύσιν.* Τούτων τῶν δύο τοῦ τῆς Ἐκκλησίας στερεώματος φωστήρων τοιαῦτα περὶ τούτου λεγόντων, τίς παρὰ ταῦτα τολμήσει τὸ παράπαν εἰπεῖν, εἰ μὴ μέμηνεν ἀληθῶς, καὶ μελαγχολῶν ἀντικρυς παραφθέγγεται; Ἱρῶτα μὲν οὖν οὕτω τὰ περὶ τούτων εἰς ἔλεγχον τῶν παρ' αὐτῶν προβαλλομένων ἀντεπηγάγομεν.

24. Postremo etiam si concedamus vocem *præcedere* vim eam habere, quam ipsi sibi autumant, tum magis illis nos futuros superiores, etiamsi nolint, non desperamus. Et ante omnia, uti in Filio hoc *generari*, illud *exsistere* necessario consequitur, eodem modo, et in Spiritu sequetur; et ubicunque *exsistere* reperitur, processionis modo inde esse intelligetur, uti par est. Quod si ita non fuerit, necessario colligetur, illum generationis modo esse, quod plane absurdum est, et a sana Patrum doctrina alienum. Et deinceps, sufficientes de hac dictione scripto traditas auctoritates habebimus. Statim enim maximus et ante alios speculationibus præcellentissimus Maximus in expositione: *Quomodo intelligi debeant apud Zachariam prophetam candelabrum aureum, et parva lampas, et lucernæ*, ait: *Spiritus enim sanctus quemadmodum secundum essentiam est Dei et Patris, ita et Filii secundum essentiam est, tanquam qui ex Patre essentialiter per Filium genitum, modo qui exprimi verbis non potest, procedit.* Nemo prorsus hisce merito contradicet, nisi natura fuerit ineptus atque improbus; et ad pacem acceptandam prorsus difficilis, temere et inconsulto veritati resistit, nihil penitus recti prospiciens. Eu siquidem rectæ fidei confessor Maximus Spiritum per Filium procedere palam pronuntiavit. Propterea omni contradictionum ansa contentiosis submota, universis pure sentire tradidit, ex Patre per Filium Spiritum sanctum exsistere, nihil in his neque circumplexum neque quod intellectu facile non esset elocutus, cui ab omnibus zeli secundum Deum mensura, et de rebus divinis supernaturali ipsius cognitione consideratis fidem præstari consentaneum est.

κδ'. Ἔπειτα κἂν δῶμεν τοιαύτην ἔχειν ἐκπορεύσθαι δύναμιν, οἵαν αὐτοί φασιν, τότε μᾶλλον περιγενέσθαι τούτων κατὰ κράτος ἰσχύσομεν· τοῦτο μὲν ὅτι καθάπερ ἐπὶ τοῦ Υἱοῦ τὸ *γεννᾶσθαι* τῷ C *ὑπάρχειν* ἐξ ἀνάγκης ἀκολουθεῖ, τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ Πνεύματος ἀκολουθήσει· καὶ ὁποιπερ ἂν τὸ *ὑπάρχειν* εὑρίσκοιτο, τὸ ἐκπορευτῶς ἐκεῖσε νοεῖτ' ἂν, ὡς εἰκός· εἰ δὲ μή, τὸ λοιπὸν ἀναγκαίως ἕψεται, τουτέστι τὸ γεννητῶς· ὅπερ ἄτοπον κομιδῇ, καὶ τῆς τῶν Πατέρων ὑγιοῦς διδασκαλίας ἀλλότριον· τοῦτο δὲ καὶ ὅτιπερ ἱκανῶν κἀπὶ τῇ λέξει ταύτῃ τῶν γραφικῶν εὐπορήσομεν χρήσεων. Παραχρῆμα καὶ γὰρ ὁ μέγιστος καὶ θεωρητικώτατος Μάξιμος ἐν οἷς ἑρμηνεύει, *Τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία, καὶ τὸ ἐπ' αὐτῇ λαμπάδιον, καὶ οἱ λύχνοι;* φησί· *Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον, ὥσπερ κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ κατ' οὐσίαν ἐστὶν, ὡς ἐκ τοῦ Πατρὸς οὐσιωδῶς δι' Υἱοῦ* D *γεννηθέντος ἀῤῥάστως ἐκπορευόμενον.* Πάντως οὐδεὶς ἐπὶ τούτῳ τῶν ἁπάντων δικαίως ἀντερεῖ· πλὴν εἰ μὴ σκαιός τις ὢν τὴν φύσιν, καὶ τὰ πρὸς εἰρήνην δύσνους παντάπασιν, εἰκῇ καὶ μάτην ἐθέλει τῇ ἀληθείᾳ προσίστασθαι, πρὸς μηδὲν ἀποβλέπων τὸ παράπαν εὐθές. Ἰδοὺ γὰρ ὁ τῆς ὀρθοδοξίας ὁμολογητὴς Μάξιμος ἐκπορεύεσθαι τὸ Πνεῦμα δι' Υἱοῦ σαφῶς εἴρηκε. Διά τοι τοῦτο καὶ πᾶσαν ἀντιλογίας περιαιρήσας τοῖς φιλέρισι πρόφασιν, τῆς πᾶσι πρεσβεύειν δέδωκε καθαρῶς ὑπάρχειν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, μήτε τι περινενοημένον, μήτε δύσληπτον ἐν τούτοις φθεγξάμενος, ᾧ καὶ πεισθῆναι πάντας εἰκὸς, τό τε μέτρον τοῦ κατὰ Θεὸν ἐν αὐτῷ ζήλου, καὶ τὴν τῶν θείων ὑπερφυῆ τούτῳ γνῶσιν σκοπήσαντας. Εἰ δὲ καὶ δεῦ-

Digitized by Google Распознавание текста ABBYY FR

τερον ἕνιοι τῶν ἀποδυσπετούντων συνεπιζητοῦσιν αὐτῷ τὸ μηδὲ χελιδόνα μίαν ἔαρ ποιεῖν παροιμιακῶς ἐπιλέγοντες, ὅπερ οὐκ ἀπὸ τρόπου τούτοις ἐστί· τοιοῦτοι γὰρ τὴν γνώμην οὗτοι καταναισχυντοῦντες καὶ τῶν διά τε λόγου καὶ πολιτείας ὄψος ἀξίων αἰδοῦς καὶ σεβάσματος· νηψάτωσαν γοῦν ὀψὲ τῇ καρδίᾳ, καὶ τὸ τοῦ ἀνδρὸς μεγαλεῖον ἐπί τε σοφίᾳ καὶ λαμπρότητι βίου κατανοήσαντες· εἷς γὰρ οὗτος πολλῶν ἐπὶ πᾶσιν ἀντάξιος· ἐν μεταμελείᾳ τοῦ χαλεποῦ τούτου τρόπου γενέσθωσαν, πιστεύσαντες ἀδιστάκτως τοῖς λόγοις αὐτοῦ, καὶ μὴ δεηθέντες ἄλλου τινὸς εἰς βεβαίωσιν, ὅπως ἵλεως ἔσοιτο τούτοις Θεὸς ἐν ἡμέρᾳ τῆς κρίσεως. Ἵνα δὲ μὴ δόξῃ τισὶ τοιαῦτα λέγειν ἡμᾶς, ὡς ἑτέρων ἀποροῦντας εἰς τὴν περὶ τούτου μαρτυρίαν καὶ σύστασιν, ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης, ὁ πάσῃ διαπρέψας ἀρετῇ καὶ λόγων παντοίοις χαρίσμασιν, ἐνταῦθα καὶ οὕτως παραληφθείς, τὴν αὐτῶν ἀμφιβολίαν λύει, καὶ τὸ ζητούμενον. Ὅς ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ, *Τὸ δὲ Πνεῦμα τὸ ἅγιον*, εἴρηκεν, *ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ Πατρὸς, ἐκ Πατρός ἐστι δι' Υἱοῦ ἐκπορευομένη, ὡς οἶδεν, οὐ γεννητῶς· διὸ καὶ Πνεῦμα ἅγιον.* Οὕτως καὶ πάλιν ἐν τῷ αὐτῷ, *Τὸ Πνεῦμα Υἱοῦ Πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.* Οἶδα νῦν ὡς οἱ πλείους τῶν ἀντιδιατιθεμένων ἡμῖν τὸ *διὰ τοῦ Υἱοῦ* παριδόντες, ἐπειδή τε καὶ βοηθείας ἐντεῦθεν οὐκ ἔχουσι, μᾶλλον μὲν οὖν τῷ προφανεῖ τοῦ λόγου καὶ καταβάλλονται, πρὸς τὴν, *οὐκ ἐξ αὐτοῦ*, φωνὴν ἀποβλέπουσιν, ἀφορμὴν ὑποθέσεως ταύτην ποιῆσαι σπουδάζοντες. Ἡμεῖς δὲ περὶ μὲν τούτου, καθὼς εἰρήκεμεν ἄνωθεν, ἐν ἰδίῳ τόπῳ διεξιέναι πειρασόμεθα, καὶ κατὰ σχολήν· νῦν δὲ τῆς ἀκολουθίας τῶν λεγομένων ἐχόμεθα τὴν ἐν χρήσεσι γραφικαῖς δι' Υἱοῦ παρὰ Πατρὸς ἐκπόρευσιν ἐξετάζοντες. Οὕτω μὲν οὖν οὗτοι μηδὲν ἀξιοπιστίας ἐλλελοιπότες, ἅτε πολὺ τὸ ὑπερβάλλον ἐν ἅπασι τοῖς κατὰ Θεὸν προτερήμασιν ἔχοντες. Ἐγὼ δὲ καὶ τρίτον οὐκ ὀκνήσω παραγαγεῖν. Τίνα τοῦτον; Τὸν τὰ πρῶτα φέροντα τῆς τῶν Πατέρων χορείας ὡς ἀληθῶς, τῶν τὴν οἰκουμενικὴν ἑβδόμην συγκροτησάντων ἁγίαν σύνοδον, τὴν κατὰ Νίκαιαν συστᾶσαν τὸ δεύτερον, ὡς ἂν τοῖς κατὰ Χριστὸν τοὺς κατ' ἐκεῖνο καιροῦ πάντας νικῶντα πλεονεκτήμασι, καὶ διὰ τοῦτο τηνικαῦτα τῆς βασιλευούσης τῆσδε τῶν πάλεων ἀρχιερατικῶς προϊστάμενον, τὸν θεῖον λέγω *Ταράσιον*, ὃς ἐν τῇ πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄλλους ὄντας τοῦ βήματος Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῆς ἁγίας πόλεως ἐπιστολῇ, ταύτην δὲ, πρὸ τοῦ συλλεγῆναι τοὺς εἰς τὴν ῥηθεῖσαν σύνοδον ἀπαντήσαντας, πρὸς τοὺς διειλημμένους γράψας ἐξέπεμψεν, ὁμολογίας τύπον ἐπέχουσαν, μετὰ πολλὰ καὶ τάδε φησίν· *Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον.* Ἤδη καὶ Πατέρων ὅλον θεῖον ἑσμὸν τῶν λεγομένων παρηγάγομεν μάρτυρας. Οὐ γὰρ δὴ τῇ παρούσῃ δόξῃ μόνος οὗτος ἐκ τοῦ ταύτην οὕτω κηρύττειν ὁρᾶται προσκείμενος, ἀλλὰ καὶ πάντες ἁπλῶς, πρὸς οὓς τὴν εἰρημένην ἐπιστο-

A Quodsi secundum ex illis, qui cuncta fastidiunt, nonnulli exposcunt, unam hirundinem ver non facere admurmurantes, quod non præter morem eorumdem est : sic enim isti animati sunt, ut et sermone, et vitæ instituti sublimitate digni, in honore et reverentia haberi floccifaciant, et in eos impudenter debacchentur. Redeant itaque nunc tandem ad se et in rectam semitam, et viri magnitudinem tum doctrina, tum vitæ ratione prælucidam (namque is unus est, qui multorum instar in omnibus esse possit) concipientes, ab improbo perversoque studio ad frugem applicent animum, absque ulla hæsitatione dictis illius fidem adhibentes, nil ultra ad sententiam confirmandam quærentes, ut propitius illis Deus sit in die judicii. Sed ne

B aliquibus videamur similia effari, quasi ad hujus confirmationem et demonstrationem aliis auctoritatibus destituamur, Damascenus sapiens Joannes, qui virtutum omni genere floruit, et in omnigenis sermonum gratiis multum processit, hic assumptus, eorumdem dubium ac quæstionem dissolvat. Hic de divinis nominibus capite dixit : *Spiritus autem sanctus, revelans mysteria Deitatis, virtus Patris, ex Patre est per Filium procedens, ut scit : non generationis modo, propterea que et Spiritus sanctus.* Et denuo ibidem : *Spiritus Filii Spiritus, non uti ex ipso, sed ut per ipsum a Patre procedens.* Sat scio, nostrorum adversariorum potiorem partem illo *per Filium* neglecto, cum inde sibi opem ferri non videant, quin potius claritate sermonis disjiciantur,

C ad illam vocem *non ex ipso* animum intendentes, argumenti sui ansam inde studiose recipere. Nos porro de hoc, ut supra innuimus, in proprio loco et per otium tractare conabimur : nunc vero dicendorum seriei insistentes processionem ex Patre per Filium, quæ in scripto traditis auctoritatibus sit, examinemus. Sic ergo hi, quorum in fide rebus conciliandis multa auctoritas est, cum abunduanter affluenterque erga Deum rebus bene gestis inclarescant. Ego porro et tertium in medium afferre non cunctabor. Quis hic fuerit ? Qui primas inter eorum Patrum cœtum fert, qui œcumenicam septimam synodum coegerunt, Nicææ secundo congregatam, et qui facinoribus pro Christo editis eo tempore omnes superavit, propterea que tum

D regiæ hujusce urbis præsul constitutus est, divinum, inquam, Tarasium, is ad præsules et alios Bemati inservientes, Alexandriæ, Antiochiæ, et sanctæ urbis epistola, quam ille antequam in unum convenirent, qui dictam synodum celebrarunt, formam confessionis suæ continentem scripsit, post multa hæc quoque addit : *Et in Spiritum sanctum ex Patre per Filium procedentem et qui Deus esse cognoscitur.* Jam et Patrum divinum integrum cœtum testem dictorum producimus. Neque enim præsenti opinioni solus ipse, quod eam sic prædicat, addictus videtur, sed omnes ore uno, ad quos epistolam transmisit, cum illi eam admiserint, et plurimis laudibus exornatam remiserint. Præterea

Digitized by Google Распознавание текста ABBYY FR

universum divinæ synodi complementum, in Spiritu sancto postmodum Nicææ congregatum. His etenim audientibus illa epistola perlecta, cum in integro illis esse visa essent omnia, una omnes sententia, plausere, et recte eam dictatam esse, et ad Ecclesiæ placita decernentes, proprio prolato decreto subsignarunt. Nulla itaque relinquitur ansa ne omnes, dummodo velint, ex divinis dictis jam propositis veritatem agnoscant, et deiferorum horum Patrum vestigiis insistentes, ad eam prompte concurrant : namque addecet eos, qui metu detinentur, ideoque ad dictorum acceptationem claudicant, contentionibus posthac omissis, tantum et similem Patrum catalogum citra dubitationem omnem sequentes illis propriam salutem committere, quorum secundum cognitionem veritatis doctrina, et melioris dijudicatio est : eos vero, qui propter improbitatem sese opponunt, tanquam qui pacem cum nobis initam declinant, affectibus posthabitis, quos ad hunc diem foverunt, horum sanctorum divinissimo choro manus dare, eorum offensionem reveritos, quorum et facinorum claritas, et quæ inde secuta est gloriam perpetuo immanentem continens dignitas est in admiratione : utroque vero vitatis noxiis, proficua amplecti, et Deo cum tutiore parte melioreque adhærere.

25. Ita est, inquiunt, sed valde nostros animos turbat per Filium dicere esse Spiritum sanctum, ne quis inde imperfectio Patri inferatur in Spiritus exsistentia. Et undenam id vobis accidit, ut ad eos conversa oratione interrogationem dirigam, o sapientia eximii, ideoque Evangelium exhaurientes, similem absurdissimam impietatem concipere in illis rebus, in quibus prælucida ecclesiastici firmamenti lumina non absque eodem Spiritu decreverunt? O male sanam mentem! qui scelus in his esse reputantes, dictam blasphemiam eructastis. Attamen, ut eos ab hoc crimine et opprobrio, uti par est, liberemus, non imperfectionem, o viri, id in Patre notat; quemadmodum nec in rebus creatis, quod illæ per Filium factæ sunt, licet in his alia ratio sit, alia in illis, ut procedente oratione demonstrabimus; quin virtutem vivam, et in hypostasi subsistentem Filium commonstrant, magisque causam ex Patre declarant : idque aperte de rebus factis magnus docebit Basilius : dicit enim in octavo capite ad Amphilochium : *Ideo dicit Dominus : « Omnia mea tua sunt* [15], » *tanquam ad ipsum origo conditarum referenda sit, et tua mea, quod ipsi a Patre condendi auctoritas provenit. Quorum enim æqualis est potentia, horum æqualis est et operatio. Christus siquidem Dei virtus est, et Dei sapientia, et sic omnia per ipsum facta sunt.* Et paucis annexis : *Patrem per Filium creare, neque imperfectam Pa-*

[15] Joan. xvii, 10.

λην ἐνεχάραξεν. Ἐπειδήπερ ἐκεῖνοι ταύτην ἀπεδέξαντό τε, καὶ πολλοῖς ἐγκωμίοις ἀντεπιστείλαντες ἔστεψαν. Προσέτι δὲ καὶ τὸ τῆς θείας συνόδου πλήρωμα πᾶν τὸ συναθροισθὲν ἐν ἁγίῳ Πνεύματι μεθύστερον κατὰ Νίκαιαν. Εἰς γὰρ ἐπήκοον καὶ τούτων τῆς τοιαύτης ἀναγνωσθείσης ἐπιστολῆς, πάντες ἀρεσθέντες κοινῶς ταύτῃ συνέθεντο, καὶ καλῶς αὐτὴν ἔχειν ἀποφηνάμενοι, δι' οἰκείας γνώμης ἐπεσφράγισεν ἕκαστος. Οὐδεμία τοίνυν ἀπολείπεται πρόφασις τοὺς πάντας, ἂν ἐθέλοιεν, ἐξ ὧν πεπρεβέμεθα θείων ῥητῶν τὴν ἀλήθειαν γνῶναι, καὶ προσδραμεῖν ἑτοίμως ἑαυτῇ τῶν θεοφόρων τούτων ἀνδρῶν κατ' ἴχνια βαίνοντας. Χρεὼν γάρ ἐστι τοὺς μὲν δειλίᾳ κατεχομένους, καὶ διὰ τοῦτο πρὸς τὴν παραδοχὴν τῶν λεγομένων ὀκλάζοντας, τοῦ γνωσιμαχεῖν ἀφεμένους ἀπάρτι, τοσούτῳ καὶ τοιούτῳ καταλόγῳ Πατέρων ἐπιτρέψαι τὴν οἰκείαν σωτηρίαν ἀνενδοιάστως, τούτοις ἀκολουθήσαντας, ὧν ἡ κατ' ἐπίγνωσιν τῆς ἀληθείας διδασκαλία, καὶ τοῦ βελτίονος ἡ διάκρισις· τοὺς δὲ διὰ κακίαν ἀνθισταμένους, ὡς τὴν μεθ' ἡμῶν εἰρήνην ἐκκλίναντας, τὸ πάθος ἀποβαλλομένους ἐς δεῦρο τῷ τῶν ἁγίων τούτων ὑπεῖξαι θειοτάτῳ χορῷ, πτοηθέντας τὸ προσκρούειν αὐτοῖς, ὧν ἡ λαμπρότης τῶν ἔργων, καὶ τὸ ἐντεῦθεν ἀξίωμα, τὸ δόξαν ἔχον μὴ μεταπίπτουσαν· ἑκατέρους δὲ, φυγόντας τὸ βλάπτον, τὸ λυσιτελοῦν ἀνταλλάξασθαι, καὶ Θεῷ γενέσθαι τῆς ἀσφαλεστάτης μοίρας καὶ κρείττονος.

κε'. Ναὶ, φασὶν, ἀλλὰ ταράττει σφόδρα τὰς ἡμετέρας ψυχὰς τὸ δι' Υἱοῦ λέγειν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, μή ποτέ τις ἐντεῦθεν ἀτέλεια προσάπτοιτο τῷ Πατρὶ κατὰ τὴν τοῦ Πνεύματος ὕπαρξιν. Καὶ πόθεν ἡμῖν τοῦτο γέγονεν, ἵνα, πρὸς αὐτοὺς ἔνθεν ἀποτείνας τὸν λόγον, ποιήσωμαι τὴν ἐρώτησιν, ὦ περιττοὶ τὴν σοφίαν, καὶ κενοῦντες ἐκ τούτου τὸ Εὐαγγέλιον, τὸ λογίσασθαι δηλαδὴ τοιαύτην ἀτοπωτάτην δυσσέβειαν, ἐν οἷς οἱ λαμπροὶ τοῦ τῆς Ἐκκλησίας στερεώματος φωστῆρες εἰπεῖν μετὰ τοῦ Πνεύματος ἔφθασαν; Τῆς κακονοίας! ὅτι περ ὅλως ἀνομίαν ἐν τούτοις ὑπολαβόντες τὴν εἰρημένην δυσφημίαν ἠρεύξασθε. Πλὴν ὡς ἂν τοῦ παρόντος ἐγκλήματος, καὶ τοῦ μώμου δεόντως ἐξ αὐτῶν ἐκείνων αὐτοὺς ἀπαλλάξωμεν· οὐκ ἀτέλειαν, ὦ οὗτοι, τοῦτο κατηγορεῖ τοῦ Πατρὸς, ὥσπερ οὐδὲ ἐπὶ τῶν δημιουργημάτων, ὅτι ταῦτα γεγόνασι δι' Υἱοῦ, κἂν ἄλλος οὗτος ὁ λόγος, κἀκεῖνος ἕτερος, ὡς προϊόντες τε περὶ τούτων διευκρινήσομεν· δύναμιν δὲ ζῶσαν καὶ ἐνυπόστατον δείκνυσι τὸν Υἱὸν, καὶ τὴν αἰτίαν μᾶλλον ἀναφαίνει τὴν ἐκ Πατρός· καὶ τοῦτο διδάξει τρανῶς ἐπὶ τῶν ἔργων ὁ μέγας Βασίλειος. Λέγει γὰρ ἐν τῷ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων· *Διὰ τοῦτό φησιν ὁ Κύριος πρὸς τὸν Πατέρα,* « *Τὰ ἐμὰ πάντα σά ἐστιν,* » *ὡς ἐπ' αὐτὸν τῆς ἀρχῆς τῶν δημιουργημάτων ἀναγομένης,* « *καὶ τὰ σὰ ἐμά,* » *ὡς ἐκεῖθεν αὐτῷ τῆς αἰτίας τοῦ δημιουργεῖν καθηκούσης.* Ὧν δὲ ἡ δύναμις ἴση, ἴση πάντως καὶ ἡ ἐνέργεια. Χριστὸς γὰρ Θεοῦ

Digitized by Google Распознавание текста АВК/FR

δύναμις, καὶ Θεοῦ σοφία, καὶ οὕτω πάντα δι' αὐτοῦ ἐγένετο. Καὶ μετά τινα· Τὸ διὰ τοῦ Υἱοῦ δημιουργεῖν τὸν Πατέρα οὔτε ἀτελῆ τοῦ Πατρὸς τὴν δημιουργίαν συνίστησιν, οὔτε ἄτοπον τοῦ Υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν, ἀλλὰ τὸ ἡρωμένον τοῦ θελήματος παρίστησιν. Ὥστε ἡ δι' Υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται.

κς'. Πρὸς ταῦτά φησιν ὑφαρπάζων τὸν λόγον ὁ πρὸς ἀντίῤῥησιν πρόχειρος· Καὶ τίνα τὴν κοινωνίαν ἔχει πρὸς τὴν κτίσιν τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι ταύτην ὅλως ἐν τοῖς περὶ τούτου λόγοις παρέλαβες, τὴν δι' Υἱοῦ φωνὴν προσαρμόσας ἀμφοῖν, καὶ τὴν ἐντεῦθεν ἐπὶ τοῦ Πατρὸς ὑποπτευομένην ἀτέλειαν μηδόλως εἶναι κατ' ἴσον ἀποφηνάμενος; Ἐγὼ δὲ κοινωνίαν μὲν οὐδεμίαν οὐδοπωσοῦν, ἀλλ' οὐδὲ λόγον ἕτερον ἔχειν πρὸς τὴν κτίσιν φημὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλὴν ὅπερ ποιητὴς πρὸς ποιήματα, καὶ δεσπότης καὶ κύριος πρὸς δοῦλα καὶ ὑποχείρια· καὶ ὅστις μὴ τοῦτο φρονῶν καθομολογεῖ, μὴ ἴδοι τὸ παράπαν ἑωσφόρον ἀνατέλλοντα, καθά φησιν ἡ Γραφή. Καὶ περὶ μὲν τούτων οὕτως ἔχω, καὶ ἔξω δὲ πάντως, ἕως ἂν πνοὴ τις ἐν ταῖς ἐμαῖς ῥισὶν ὑπολείπηται. Τὴν δὲ δι' Υἱοῦ φωνὴν εὑρίσκων πρὸς τῶν ἁγίων Πατέρων λαμβανομένην ἐπί τε τοῦ Πνεύματος καὶ τῆς κτίσεως, οὐ διαγράφω λέγειν ἀπαναινόμενος ταύτην ἐπὶ τοῦ Πνεύματος, ἐπεὶ τόνδε τὸν τρόπον καὶ τὸ εἶναι τὸ Πνεῦμα, τὸν γὰρ Υἱὸν ἀφίημι νῦν, οὐ συγχωρήσομεν ἐκ Θεοῦ. Διότι καὶ τὰ πάντα τὴν ὕπαρξιν ἔχειν πιστεύομεν ἐκ Θεοῦ. Πλὴν ἵνα καὶ παρευθὺς ἀπ' ἀλλήλων αὐτὰ διαστείλωμεν, οὐχ οὕτως, ὦ βέλτιστοι, τὰ πάντα φαμὲν ἐκ Θεοῦ καθάπερ καὶ τὸ Πνεῦμα. Τὸ μὲν γάρ ἐστι φυσικῶς ἐνυπάρχον αὐτῷ, καὶ οὐσιωδῶς ἐμπεφυκὸς, ἵν' οὕτως εἴπωμεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προϊόν, τὰ δὲ τῆς ἐνεργείας ἔργα καὶ ποιήματα, φησί που τῶν ἑαυτοῦ κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν περὶ τῆς τοῦ Πνεύματος ὑπάρξεως θεολογῶν ὁ θαυμασιώτατος Κύριλλος. Ὡσαύτως τοιγαροῦν ἐνταῦθα κἀγὼ τὴν δι' Υἱοῦ φωνὴν ἐπί τε τοῦ Πνεύματος καὶ τῶν κτισμάτων ἀποδεχόμενος, κατάλληλον ἑκάστῳ παρέχομαι τὴν διάνοιαν, τὸ μὲν Πνεῦμα δι' Υἱοῦ λέγων ὑπάρχειν φυσικῶς καὶ οὐσιωδῶς, ἐπεὶ μηδὲ νοεῖσθαι τοῦτο πέφυκεν ἐκτὸς τοῦ Μονογενοῦς· τὴν δὲ κτίσιν εἶναι δι' Υἱοῦ, μηδὲ γὰρ χωρὶς τοῦ Λόγου ταύτην ἐξὸν συστῆναί ποτε, ποιητικῶς καὶ δημιουργικῶς κατὰ τὴν τῶν Πατέρων θείαν παράδοσιν, ἥτις καὶ τοῖς πᾶσιν εἰς κοινὴν κατέστη τὸ ἀπὸ τοῦδε καὶ ἀναμφίλεκτον ἔννοιαν. Ὅτι δὲ διὰ Υἱοῦ τό τε Πνεῦμα τὸ ἅγιον, καὶ ἡ κτίσις ἐστὶ, Γρηγόριος ὁ Νύσσης ὁ πολὺς ἐν τοῖς θείοις δόγμασι καὶ περιβλεπτος σαφῶς διετράνωσε, καὶ τὴν διαφορὰν διαπρύσιον ἀνεκήρυξε. Φησὶ γὰρ ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν· Τὸ Πνεῦμα τῷ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ Πατὴρ εἶναι, καθάπερ ἐκεῖνος, διαχωρίζεται. Τῆς δὲ πρὸς τὸν Υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων

tris creationem commonstrat, neque Filii imbellem operationem connotat, sed voluntatis conjunctionem exprimit. Quare dictio per Filium *primariæ causæ confessionem habet, non in defectu causæ conditricis assumitur.*

26. Ad hæc infert sermonem arripiens, qui ad contradicendum promptus proclivisque est : Et quam communionem in rebus creatis Spiritus sanctus habet, quod eam prorsus in sermonibus de hac re habitis assumpsisti, dictionem *per Filium* utrisque adaptans, et quæ inde in suspicionem venerat imperfectio, de Patre decernens nullo modo subsistere? Ego porro nullam eum penitus communionem habere, neque rationem aliquam in rerum creatione Spiritum sanctum, aio, nisi eam quam factor in rebus factis possidet, et dominus in servos et subditos, et qui non ita tenens confitebitur, ne videat ille unquam ducentem diem luciferum, ut inquit Scriptura. Et de his hæc mea sententia est, eritque perpetuo, donec in naribus meis spiritus reliquus est. Cum vero ipse reperiam *per Filium* vocem a sanctis Patribus assumi et de Spiritu, et de creatione, non improbo eam de Spiritu asserere, cum hac ratione Spiritum esse, nam Filium Dei in præsenti prætereo, non concedemus ex Deo. *Quare omnia exsistentiam habere ex Deo credimus. Nihilominus statim ea inter sese distinguemus. Non sic, o viri optimi, omnia dicimus ex Deo quemadmodum et Spiritum. Hic enim est naturaliter in eo exsistens, et essentialiter inhærens, ut ita dicamus, et indivise ab ipso prodiens, et hæc sunt actionis opera et factura,* scribit in uno capitum secundi Thesaurorum, de Spiritus exsistentia decernens, quam maxime admirabilis Cyrillus. Pari modo itaque hic ego quoque vocem *per Filium* de Spiritu et rebus creatis assumens, congruentem utrique sententiam applico, Spiritum per Filium asserens naturaliter et essentialiter exsistere, cum nec concipi illum fas sit extra Unigenitum : creaturas vero esse per Filium, neque enim absque Verbo construi unquam potuissent ; sed modo creationis, et reliquorum opificiorum, secundum divinam Patrum traditionem, quæ nunc etiam omnium communis et indubitatus est intellectus. Sed per Filium et Spiritum sanctum, et creaturam esse Gregorius Nyssenus in tradendis sacris dogmatibus divinus atque conspicuus palam declaravit, et discrimen clarissimis verbis edixit. Tradit enim in primo adversus Eunomium Antirrhetico : *Spiritus Patri secundum quod increatus est, conjungitur, rursusque ab eo, quod quemadmodum ille Pater non est, separatur : conjungitur et Filio secundum quod increatus est, et quod causam exsistentiæ ex omnium Deo habeat, rursusque sejungitur proprietate, quod non tanquam unigenitus ex Patre subsistit, et quod per ipsum Filium apparuit. Rursusque cum creatura per Filium substitisset, ne*

Digitized by Google Распознавание текста ABBYY FR

cum ea communionem Spiritus habere existimaretur, quod per Filium appareat immutabilitate, firmitate, ac bonitatis, quæ extranea sit, nulla indigentia, a creatura Spiritus secernitur. Consideret ad injuste defendendum acutus, qua ratione sacer divinusque Gregorius dictionem *per Filium* de Spiritu et creatura indifferenter accipiens, inde exorientes discretionem atque separationem propalaverit, quibus sibi divinarum laudem divitias adaptavit, et maleficiis ac fraudibus finem imponens, ne in posterum quoque modo maligne me innoxium criminetur, quod non inferri imperfectionem Patri decreverim, dum per Filium Spiritum sanctum exsistentiam habere asseruerim, ad idque demonstrandum creationis exemplo usus sum. Qui vero hunc timorem timent, quemadmodum in rebus creatis illud *per Filium* addentes, nullam existimant imperfectionem Patri appingi, pari modo et de Spiritu sancto, annexis tamen sublimibus, et illius divinitati dictionibus accommodis illud accipiant. Neque inde suspicentur aliquam Patri imperfectionem accedere, et sic rectæ opinioni fugatis erroribus adhærebunt. Hæc igitur a sanctis Patribus, qui suo tempore æque atque luminaria in reverendo pietatis firmamento præluxerunt, collecta digessimus, cum probare conamur, ex Patre per Filium exsistentiam habere Spiritum sanctum, et forte etiam multo plura studiose diligenterque divinas perscrutantibus Scripturas occurrent.

A ἔχειν ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενὲς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ πεφηνέναι. Πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Μονογενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ Πνεῦμα ἐκ τοῦ διὰ τοῦ Υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διαχρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως. Ὁράτω τὸν ἱερὸν τοῦτον καὶ θεῖον Γρηγόριον ὁ πρὸς τὴν ἄδικον ἀντιδικίαν ὀξύς, ὅπως τὴν δι' Υἱοῦ φωνὴν ἐπί τε τοῦ Πνεύματος καὶ τῆς κτίσεως ἀδιαφόρως ὁ μακάριος ἐκλαβόμενος τὴν ἀπὸ ταύτης τούτου διαστολὴν ἐσήμανε καὶ διάκρισιν· ἐν οἷς τῶν θείων αὐχημάτων διαπρεπῶς αὐτῷ τὸν πλοῦτον προσήρμοσε, καὶ τοῦ κακουργεῖν ἀποστὰς, μηκέτι μηδοπωσοῦν ἐπιχειρείτω κακοήθως B αἰτιᾶσθαί με τὸν ἀναίτιον, ὅτι μὴ κατηγορεῖν ἀπεφηνάμην ἀτέλειαν τοῦ Πατρὸς τὸ διὰ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ πρὸς ἀπόδειξιν τούτου τὴν κτίσιν παρήγαγον. Οἱ δὲ τὸν φόβον τοῦτον φοβούμενοι, καθάπερ ἐπὶ τῶν γεγονότων τὸ δι' Υἱοῦ προστιθέντες, οὐδεμίαν δοξάζουσι προσάπτεσθαι τῷ Πατρὶ τὴν ἀτέλειαν, οὕτω δεχέσθωσαν τοῦτο κἀπὶ τοῦ Πνεύματος, πλὴν μετὰ τῶν ὑψηλῶν καὶ προσφόρων τῇ αὐτοῦ θεότητι λέξεων. Ἀτέλειαν δὲ μηδαμῶς προσγίνεσθαι τῷ Πατρὶ μηδ' ἐντεῦθεν ὑπονοείτωσαν, καὶ τῆς ὀρθῆς οὕτως ἔσονται δόξης ἀσφαλῶς ἐξεχόμενοι. Ταῦτα μὲν οὖν ἃ παρὰ τῶν ἁγίων Πατέρων τῶν κατὰ καιροὺς ὅσα καὶ φωστήρων διαλαμψάντων ἐν τῷ τῆς εὐσεβείας σεπτῷ στερεώματι συλλεξάμενοι προτεθείκαμεν, παραστῆσαι βουλόμενοι τὸ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ὧν καὶ πολλῷ πλείω τυχὸν εὑρεθήσεται τοῖς φιλοπόνως ἐρευνῶσι τὰς θείας Γραφάς.

27. Sed ut nostram etiam de hac eadem re- C comprehensionem, atque cognitionem ex propriis exponamus, rursus uti in exemplum adducta deprehenderunt, qui in communi Ecclesiæ corpore vivunt, nostris hisce connectamus. Necesse est Spiritum sanctum, ut Trinitas conjuncta sit atque a seipsa indivulsa, et ne divisio in illa aut separatio ullo modo concipiatur, ex Patre esse per Filium. Qua enim ratione fieri poterit, ut, si res non ita se habet, unitas Trinitati conservetur? quæ vero relatio tandem erit inter Filium et Spiritum? Ex Patre namque dependent, et hoc modo utraque uti ex ipso exsistentia sua ditata, relationem habent ad ipsum, quæ unicuique congruat. Inter vero seipsos undenam illis adfuerit indivisum? quæ illis relatio tribuetur? Prorsus nulla, ut ex dictis D colligitur. Unitas vero prorsus abibit, nisi quispiam Spiritu ad Filium proxime contracto fraternam relationem comminiscatur, quæ sola similibus reliqua sunt. Verumtamen ab apostolica doctrina aliena, et rectæ fidei absona esse omnes plane cateque sciunt, nec unum aliquod est, quod alicujus cognitionem effugiat. Quid ergo reliquum est? Fieri nequit, ut alio modo Spiritus sit, nisi per Filium a Patre, ut inde Trinitatis indivisum atque conjunctum emergat, quam rursus qui tenet haud scio, quomodo non admittit per Filium a

κζ'. Ἵνα δὲ καὶ ἡμεῖς ὡς ἔχομεν περὶ τούτου καταλήψεως οἰκοθεν εἴπωμεν, καὶ πάλιν ἅπερ ἐν ὑποδείγμασιν οἱ λόγον ζωῆς τῷ κοινῷ σώματι τῆς Ἐκκλησίας ἐπέχοντες οὗτοι διέλαβον τοῖς ἡμετέροις ἐπισυνείρωμεν. Ἀνάγκη τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἀπ' Υἱοῦ παρὰ τοῦ Πατρὸς, ὡς ἂν τὸ συνημμένον ἡ Τριὰς ἔχοι, καὶ πρὸς ἑαυτὴν ἀδιάσπαστον, καὶ μὴ διαίρεσις ἐν ταύτῃ νοεῖτο ποσῶς, καὶ διέχεια. Πῶς γάρ, τί μὴ τοῦτο, τῆς Τριάδος τὸ μοναδικὸν τηρηθήσεται; Τίς δὲ συνόλως ἡ σχέσις Υἱοῦ τε καὶ Πνεύματος; Τοῦ μὲν γὰρ Πατρὸς ἤρτηνται, καὶ τοῦτον τὸν τρόπον ἀμφότερα καθάπερ ἐξ αὐτοῦ πλουτοῦντα τὴν ὕπαρξιν, καὶ τὴν σχέσιν ἔχουσι πρὸς αὐτὸν τὴν ἑκάστῳ προσήκουσαν. Πρὸς ἄλληλα δὲ πόθεν αὐτοῖς τὸ ἀχώριστον; ποία δὲ καὶ σχέσις τούτοις ἀποδοθήσεται; Πάντως οὐδεμία κατὰ τὸ τῶν λεγομένων ἀκόλουθον. Τὸ δὲ τῆς ἑνώσεως τὸ παράπαν οἰχήσεται· πλὴν εἰ μή τις ἐγγύτατα τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν φέρειν εἴποι καὶ σχέσιν ἀδελφικὴν, ἃ μόνα τοῖς οὕτως ἔχουσιν ὑπολείπεται. Ταῦτα δὲ πάλιν ὅτι ξένα τῆς ἀποστολικῆς διδασκαλίας, καὶ τῆς ὀρθοδοξίας ἀλλότρια, πάντες ἴσασιν ἀκριβῶς, ὧν οὐδὲν τὴν γνῶσιν οὐδενὸς διαπέφευγε. Τί λοιπόν; Οὐκ ἄλλως πέφυκεν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἢ δι' Υἱοῦ παρὰ τοῦ Πατρὸς, ὡς ἐντεῦθεν τὸ τῆς Τριάδος ἀμέριστον θεωρεῖσθαι καὶ τὴν συνάφειαν, ἣν αὖθις οὐκ οἶδα πῶς ὁ δοξάζων οὐ προσίε-

Digitized by Google Распознавание текста АВК/FR

ται, τὸ δι' Υἱοῦ παρὰ Πατρὸς ὑπάρχειν τὸ ἅγιον Πνεῦμα, ὅπερ ἐκ τοῦ συνημμένου καταλαμβάνεται τοῖς εὐθυβόλως εἰς τὸν τοῦ προκειμένου ζητήματος βυθὸν τὴν διάνοιαν βάπτουσιν. Ἐπεὶ γὰρ ἀχωρίστως ἀεὶ τὸ Πνεῦμα σύνεστι τῷ Υἱῷ, καὶ οὐκ ἐξὸν ὅλως ἐν περινοίᾳ γενέσθαι τούτου τινὰ δίχα τοῦ Πνεύματος, εὔδηλον ὅτι δι' αὐτοῦ λαμβάνει τοῦτο τὴν ὕπαρξιν. Εἰ γὰρ μή, τί κωλύει νοηθῆναι τὸν Υἱὸν ἄνευ τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἐκτὸς τοῦ Μονογενοῦς; Ἀποκριθήτω μοι πρὸς τὴν τοιαύτην ἐρώτησιν ὁ βουλόμενος. Ἴσως ἀπαντήσει πρὸς τοῦτό τις, ὅτι τὸ προέρχεσθαι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἅμα παρὰ Πατρὸς, αὐτὸ τοῦτο τοῦ συννοεῖσθαι ταῦτα παραίτιον, ὅπερ καὶ μᾶλλον οὐκ ἐᾷ χώραν ἔχειν τὸ *δι' Υἱοῦ*. Καὶ μὴν εἰ χρή με περὶ τούτου πρῶταν ἀπολογήσασθαι, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῖς πᾶσιν ἀνωμολόγηται συνυπάρχειν ὁμοῦ τῷ Πατρὶ, καὶ οὐ τὸν μὲν πρότερον, τὸ δὲ ὕστερον. Ἆρ' οὖν οὐκ ἔσται ταῦτα διὰ τοῦτο καὶ ἐξ αὐτοῦ. Καὶ ποῦ τὸ τοιοῦτον ἀσεβείας ταχθήσεται; Καίτοι γε πρόδηλον, ὡς ἡμεῖς τοῖς τῶν Πατέρων ἐμμένοντες θεοσόφοις διδάγμασιν ἐπὶ τῆς ἁγίας Τριάδος καὶ τὸ *ἅμα* φρονοῦμεν, συναΐδια γὰρ, καὶ ἐκ Πατρὸς εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα πιστεύομεν. Οὐκ ἄναρχα γὰρ κατ' αὐτό γε τοῦτο τὸ αἴτιον. Οὕτως οὖν κἀπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, καὶ τὸ ἅμα προέρχεσθαι ταῦτα παρὰ Πατρὸς ὁμολογοῦμεν, καὶ τὸ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον διατράνῳ γλώττῃ κηρύττομεν.

κη'. Ἀκουέτωσαν οἱ μηδὲν τῶν πολλῶν διαφέροντες ἐν τῷ λέγειν ὅτι τὸ *ἅμα* τῆς *δι' Υἱοῦ* φωνῆς ἀναιρετικόν. Ὥσπερ γὰρ ἐκεῖ τὸ ἅμα τῷ Πατρὶ τὸν Υἱὸν εἶναι, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ καταβλάπτει τὸ ἐκ Πατρὸς ὑπάρχειν αὐτὰ, διὰ τὸ μηδένα χρόνον τῇ τούτων ἐκ Πατρὸς ὑπάρξει μεσολαβεῖν· τὸν αὐτὸν τρόπον κἀνταῦθα τὸ ἅμα προέρχεσθαι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα παρὰ Πατρὸς τὸ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον οὐ λυμαίνεται. Καὶ γὰρ ἀχρόνως ἐστὶ δι' Υἱοῦ, καθάπερ ἐκ τοῦ Πατρός. Ἐπεὶ τίς ὅλως εἰς τὴν ὑπὲρ χρόνον ἐκείνην φύσιν χρόνου παρεισδυσις; Τοῦτο μὲν οὕτως ἀναγκαίως, ὡς ἔμοιγε δοκοῦν, ἀποδέδεικται· πρὸς δὲ τὸ μέρος ἐκεῖνο τῆς ἀπαντήσεως, ὅτι τὸ *προέρχεσθαι* τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἅμα παρὰ Πατρὸς, αὐτὸ τοῦτο τοῦ συννοεῖσθαι ταῦτα παραίτιον, ἀντεπιφέρων φημί· Καὶ πόθεν ἄρα, κἀκ ποίων εἰκόνων, ἐπεὶ πολλαὶ πολλάκις τοῖς θεοφόροις Πατράσιν ἐπὶ τῆς θεολογίας ὁμοιώσεις ἐκ τῶν αἰσθητῶν παρελήφθησαν, τοῦτο παραστῆσαί τις ἐξισχύσειεν; Ἐγὼ μὲν γὰρ πάντα τοιοῦτον λόγον ἀνερευνῶν, ἐν οἷς ὑπάρχει διὰ τοῦ ἑτέρου τὸ ἕτερον, τρανῶς καταλαμβάνω τὴν ἕνωσιν· ἐν οἷς δὲ τὸ *ἅμα* μόνον ἐστὶν, οὐδεμίαν εὑρίσκω συνάφειαν. Καὶ σκοπείτω πᾶς τὰ λεγόμενα. Δύο ποταμοὶ κατὰ ταυτὸν ἐκβλύζουσιν ἐκ πηγῆς, ἐκ ῥίζης τε δύο κλάδοι τυχὸν συναναβλαστάνουσιν. Τούτων ὑπολαβὼν τὸν ἕνα, καὶ καθ' ἑκάτερον δύναμαι ῥᾷστα τοῦ λοιποῦ χωρὶς κατιδεῖν. Ὡσαύτως δύο πάλιν ἀθρόον ἀκτῖνες ἐκ τοῦ ἡλίου

A Patre Spiritum sanctum exsistere, quod ex conjunctione comprehenditur ab illis, qui recte in propositæ quæstionis profunda mentem immergunt. Cum enim indivise et continue Spiritus Filio adhæreat, nec fas sit aliquem cogitatione illum absque Spiritu complecti, manifestum est per ipsum exsistentiam sui Spiritum accipere. Etenim si nihil impedit intelligi Filium absque Spiritu, et Spiritum sanctum absque Filio, respondeat mihi ad hoc interrogatum quisquis voluerit. Fortasse ad hoc quispiam respondebit, quod progrediatur Filius et Spiritus sanctus simul a Patre in causa esse, quod simul intelligantur, quod potissimum illud *per Filium* loco motum exterminat. Et plane, si de hoc primum mihi respondendum B est, Filius et Spiritus, ut apud omnes in confesso est, simul una exsistunt cum Patre, neque hic quidem prius, ille posterius. Non erunt itaque ista propterea nec ex ipso. Et quonam in loco impietas similis collocabitur? Et nihilominus manifestum est, nos Patrum divinitus inspiratæ doctrinæ insistentes, in sancta Triade *simul* tenere : coæterna enim sunt : et ex Patre esse Filium et Spiritum credere. Neque enim absque principio sunt secundum hanc ipsam causam. Pari itaque ratione de Filio, et de Spiritu, simul progredi illa a Patre confitemur, et per Filium exsistentiam habere Spiritum sanctum, clara voce prædicamus.

C

28. Audiant, qui nihil a vulgo differunt, dum dicunt, illud *simul* dictioneiu *per Filium* destruere. Quemadmodum enim ibi Filium esse et Spiritum sanctum minime lædit, illos ex Patre exsistere, quod nullum tempus inter eorum ex Patre exsistentiam mediet, eodem modo hic quoque simul progredi Filium et Spiritum ex Patre, per Filium exsistentiam habere Spiritum sanctum non destruit. Absque enim tempore est per Filium, uti est ex Patre. Quandoquidem quæ prorsus in illam super tempus naturam temporis penetratio fuerit? Et hoc quidem sic necessario sequi, si mea me sententia non fallit, demonstratum est. Ad partem vero illam responsionis, *progre-* D *di* Filium et Spiritum sanctum simul a Patre, in causa esse, quod illa simul intelligantur, contra opponens dico : Et undenam, et ex quibus imaginibus, cum pleræque sæpenumero a divinis Patribus in rebus theologicis explanandis similitudines ex illis, quæ sensibus subserviunt, desumptæ sunt, probare quis poterit? Ego equidem materiam hanc sedulo investigans, clare unionem deprehendo in eo, quod unum ex alio exsistit, in quibus vero solum illud *simul* est, nullam reperio conjunctionem. Et unusquisque dicta consideret. Duo fluvii simul ex fonte exsiliunt, ex radice duo rami ita casu ferente simul suppullulant; horum unum si accepero, ab alio sejunctum facili negotio possum sine alio conspicere. Similiter duo rursus radii ex

Digitized by Google Распознавание текста ABBYY FR

sole emanant, et manus ex corpore duæ enascuntur, et in his unam separans, in utrisque facile unum absque alio consideravero, cum non necessario attrahant in his omnibus, quæ in unaquaque serie neglecta sunt. Verum de Filio et Spiritu aliter est. Non potest prorsus Filius intelligi, nisi cum eo una adducatur Spiritus, nec nisi una conjunctus et minime separatus a Filio Spiritus. Sicuti et de sermone et flatu sermo est, quæ nostra sunt, et præ aliis a Deo instructis Patribus in rebus theologicis symbolice usurpantur, quorum unum per alterum, spiritus nempe per sermonem palam ex mente progreditur, indeque conjunctionem unionemque utraque possident. Quare Spiritus sanctus non intelligitur una cum Filio, quod simul cum eo ex Patre exsistit; sic enim et in illis primis conjugatis uno assumpto sequeretur et alterum : simul enim ex proprio principio utraque sunt. Nunc vero res aliter se habet, quod unum per aliud prorsus non est. Igitur inseparabilis est a Filio Spiritus sanctus, quod per ipsum a Patre exsistentiam habet. Quemadmodum etiam humanus flatus a mente per sermonem egreditur. Licet hæc quoque gravissime dissentiant, nec ullo modo conveniant tanquam quæ absque hypostasi sunt. Et solutio præsens æquis auditoribus abunde fuerit.

προΐσχουσι, καὶ χεῖρες ἐκ τοῦ σώματος δύο συναναφύονται· κἂν ταύταις τὴν μίαν ἀποστήσας, καὶ κατ' ἀμφότερον εὐχερῶς ἔχω τῆς ἄλλης ἄνευ ἐπόψεσθαι, μὴ συνεφελκομένων ἀναγκαίως ἐν πᾶσι τούτοις τῶν καθ' ἑκάστην μοι συστοιχίαν ἀπολειφθέντων μηδοπωσοῦν. Ἐπὶ δὲ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, οὐκ ἔστιν ὅλως τὸν Υἱὸν νοῆσαι, μὴ τὸ Πνεῦμα συνεπαγόμενον, οὐδὲ τὸ Πνεῦμα θεωρῆσαι μὴ τῷ Υἱῷ συνημμένον ἀδιεχῶς. ὥσπερ κἀπὶ τοῦ παρ' ἡμῖν λόγου καὶ πνεύματος τῶν καὶ μᾶλλον τοῖς θεοσόφοις τῶν Πατέρων ἐπὶ τῆς θεολογίας λαμβανομένων συμβολικῶς· ὧν τὸ ἕτερον διὰ τοῦ ἑτέρου, τουτέστι τὸ πνεῦμα διὰ τοῦ λόγου πρόεισιν ἐναργῶς ἐκ τοῦ νοῦ, κἀντεῦθεν καὶ τὴν ἀλληλουχίαν πλουτοῦσι καὶ τὴν συνάφειαν. Ὥστε καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐ συννοεῖται τῷ Υἱῷ διὰ τὸ συνυπάρχειν αὐτῷ παρὰ τοῦ Πατρός· ἦ γὰρ ἂν κἀπὶ τῶν πρώτων ἐκείνων συζυγιῶν τοῦ ἑνὸς λαμβανομένου συνηκολούθει καὶ τὸ λοιπόν· ἅμα γὰρ ἐκ τῆς οἰκείας ἀρχῆς καὶ ἀμφότερα. Νῦν δὲ οὐχ οὕτω· πάντως ὅτι μὴ διὰ τοῦ ἑτέρου τὸ ἕτερον πέφυκεν. Οὐκοῦν ἀχώριστον τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχει παρὰ Πατρός· ὡς καὶ τὸ τοῦ ἀνθρώπου πνεῦμα παρὰ τοῦ νοῦ διὰ τοῦ λόγου προέρχεται· κἂν ὅτι μάλιστα πολὺ καὶ ταῦτα τὸ ἀπεμφαῖνον αὐχοῦσιν, ὡς ἀνυπόστατα καὶ ἀπεοικότα. Ἐνταῦθά μοι καὶ τὰ τῆς παρούσης λύσεως.

29. Cum vero semel ad sermones de exemplis nostra oratio progressa est, non abs re fuerit illa, quæ scilicet in propriis commentariis pietatis institutores ac magistri usurparunt, uti sunt, in examen adducere, quod forte legentibus percommodum cadet. *Oculum quemdam, et fontem, et fluvium*, magnus Gregorius, cui a theologia cognomen est, oratione de Spiritu sancto ait, *conspexi*. Et hæc ex aliis qui ante ipsum claruerunt, cum explicasset, sicuti idem testatur, oculo quidem Patrem, fonti Filium, fluvio Spiritum sanctum proportione quadam respondere assensus est; licet alio modo hæc eadem rursus vitaverit, reveritus primum, ne in divinitate fluxum, firmitatem nullam habentem; secundum, uti illa numero unum sunt, ita et Trinitatem unum esse suspicaremur. Sed absurdis hisce rejectis, reliquis omnibus, quæ in illis considerantur, assensum præbuit. Hanc ego similiter imaginem assumens, quod ex illa colligitur explanabo. Quemadmodum, dicens, fluvius ex oculo per fontem effunditur, ita et Spiritus sanctus ex Patre per Filium progreditur. Rursus : *Solem animo concepi*, divinissimus hic Pater de iisdem in eadem oratione complectitur, *et radium, et lumen*. Licet alio modo illico dictum declinaverit, primum timens, ne compositionem aliquam naturæ incompositæ intelligeremus, alterum ne Patrem solum hypostasi donemus. Ilis uti non integre dictis omissis, reliqua omnia imaginis admisit. Id quoque et ego admittens exemplum, quod inde demonstra-

κθ'. Ἐπεὶ δ' ἅπαξ εἰς τοὺς περὶ τῶν ὑποδειγμάτων λόγους κατέστημεν, καλὸν ἂν εἴη καὶ τὰ περὶ τούτων, ὅσα δηλαδὴ τοῖς οἰκείοις συγγράμμασιν οἱ τῆς εὐσεβείας ἐξεῖπον στοιχειωταὶ καὶ διδάσκαλοι, καθάπερ ἐστὶ, διεξελθεῖν, ἴσως ἐκ τούτων πλέον ἄν τι γένοιτο τοῖς ἐντυγχάνουσιν ὄφελος. *Ὀφθαλμόν τινα καὶ πηγὴν, καὶ ποταμὸν*, ὁ μέγας Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ περὶ Πνεύματός φησιν, *ἐνενόησα*, καὶ ταῦτα κατ' ἄλλους ἀπαγγελίας τῶν πρὸ αὐτοῦ, καθὼς αὐτὸς οὗτος διαμαρτύρεται, τῷ μὲν τὸν Πατέρα, τῇ δὲ τὸν Υἱὸν, τῷ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχειν συνέθετο, κἂν εἰ τρόπον ἕτερον τὰ περὶ τούτων αὖθις ἐξέφυγε, δείσας πρῶτα μὲν μὴ ῥύσιν τινὰ θεότητος ὑποπτεύσωμεν, στάσιν μὴ ἔχουσαν, δεύτερον δὲ τὸ ἓν εἶναι τὴν Τριάδα, καθάπερ ἐκεῖνα τῷ ἀριθμῷ. Τούτων δὲ τῶν ἀτόπων ὑπεξῃρημένων πᾶν ἄλλο θεωρούμενον ἐν τοῖς τοιούτοις προσήκατο. Ταύτην ὡσαύτως ἀποδεχόμενος κἀγὼ τὴν εἰκόνα, τὸ ἐξ αὐτῆς διατρινῶς συναγόμενον· Ὥσπερ, λέγων, ὁ ποταμὸς ἐκ τοῦ ὀφθαλμοῦ προχεῖται διὰ τῆς πηγῆς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς διὰ τοῦ Μονογενοῦς προχωρεῖ. Πάλιν· *Ἥλιον ἐνεθυμήθην*, ὁ πολὺς οὗτος τὰ θεῖα Πατὴρ περὶ τῶν αὐτῶν ἐν τῷ αὐτῷ διαλαμβάνει, *καὶ ἀκτῖνα, καὶ φῶς*· κἂν ἄλλως αὐθὶς τὸν λόγον ἐξέκλινεν, ἓν μὲν ποιῆσαι, μὴ σύνθεσίν τινα ἀσυνθέτου φύσεως ἐπινοήσωμεν· ἕτερον δὲ, μὴ τὸν Πατέρα μὲν ὑποστήσωμεν, τῶνδε πάντως ἄτε κακῶς ἐχόντων ἀπελαθέντων, τἆλλα τὰ τούτων ἅπαντα παρεδέξατο. Τοῦτο προσιέμε-

Digitized by Google Распознавание текста ABK/FR

νος ὁμοίως κἀγὼ τὸ ὑπόδειγμα, τὸ ἐντεῦθεν ἀναχηρύττω δεικνύμενον· Ὥσπερ γὰρ, λέγων, ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος ἀνατέλλει τὸ φῶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ. Καὶ ταῦτα μὲν ὁ θεηγόρος οὗτος, ὁ τῆς ἀληθείας μύστης τε καὶ μυσταγωγὸς, ἐξ ἄλλων, ὡς αὐτὸς ἐδήλωσε, τὰ περὶ τούτων διαδεξάμενος. Ἕτεροι δὲ τῶν ἁγίων Πατέρων *πῦρ* εἰρήκασι *καὶ φλόγα καὶ φῶς*· οἱ δὲ *ῥίζαν, κλάδον τε καὶ καρπὸν*, ὧν εἷς ἐστι καὶ Κύριλλος ὁ θειότατος, καὶ τούτοις τὴν ἄῦλον οὐσίαν ἐκείνην ἐσήμανεν. Ὡς τοίνυν, ἵνα μὴ μακρὸν ἀποτείναιμι λόγον, διὰ τῆς φλογὸς ἐκ τοῦ πυρὸς ἐκλάμπει τὸ φῶς, καὶ ὁ καρπὸς ἐκ τῆς ῥίζης διὰ τοῦ κλάδου προβάλλεται· τὸν αὐτὸν τρόπον ἐκ τοῦ Πατρὸς ἐκπέμπεται διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Πρὸς τούτοις οἱ πλείους σχεδὸν χεῖρα μὲν τὸν Υἱὸν κατὰ τὸ, *Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα, καὶ αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου*; διὰ τὴν ἐκ τῆς παλαιότητος τοῦ φυράματος ἀνακαίνισιν, καὶ ὅτι περ οὐδὲν ἐπαρίστερον τῷ Θεῷ, δάκτυλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον κατωνόμασαν, ἐκ τῆς εὐαγγελικῆς πυξίδος τὴν κλῆσιν ταύτην αὐτῷ προσαρμόσαντες. Ἐκεῖσε καὶ γὰρ ὁ Σωτὴρ ἡμῶν ἀναγράφεται πῇ μὲν ἐκβάλλειν ἐν Πνεύματι Θεοῦ φθεγξάμενος τὰ δαιμόνια, πῇ δὲ πάλιν ἐν δακτύλῳ Θεοῦ, δάκτυλον Θεοῦ προσαγορεύσας τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ τοῦτο διετράνωσεν ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν ὁ θεολογικώτατος Κύριλλος, οὕτως εἰπών· *Φησὶ που Χριστὸς Ἰουδαίοις προσδιαλεγόμενος*· « *Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.* » *Καὶ δάκτυλον ἐνθάδε φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, τρόπον τινὰ τῆς θείας οὐσίας ἐκπεφυκὸς, καὶ φυσικῶς αὐτῆς ἐκκρεμάμενον, ὥσπερ καὶ ὁ δάκτυλος ἐκ τῆς ἀνθρωπίνης χειρός. Βραχίονα μὲν γὰρ καὶ δεξιὰν Θεοῦ τὸν Υἱὸν ἀποκαλοῦσιν αἱ θεῖαι Γραφαὶ κατὰ τὸ,* « *Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.* » *Καὶ πάλιν*· « *Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἠδεισαν· γνόντες δὲ αἰσχυνθήσονται.* » *Ὥσπερ οὖν ὁ βραχίων φυσικῶς ἐνήρμοσται τῷ ὅλῳ σώματι, πάντα ἐνεργῶν, ὅσαπερ ἂν δόξῃ τῇ διανοίᾳ, καταχρίει δὲ συνήθως, τῷ δακτύλῳ πρὸς τοῦτο κεχρημένος· οὕτω τὸν μὲν τοῦ Θεοῦ Λόγον ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ἡρμοσμένον, ἵν' οὕτως εἴπω, καὶ ἐμπεφυκότα λογιζόμεθα, ἐν δὲ τῷ Υἱῷ φυσικῶς τε καὶ οὐσιωδῶς διῆκε παρὰ Πατρὸς τὸ Πνεῦμα, δι' οὗ τὰ πάντα χρίων ἁγιάζει· οὐκοῦν οὐκ ἀλλότριον, οὐδὲ ἀπεξενωμένον τῆς θείας οὐσίας φαίνεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐξ αὐτῆς καὶ ἐν αὐτῇ φυσικῶς, ὥσπερ οὖν καὶ ὁ τοῦ σώματος δάκτυλος ἐν τῇ χειρὶ, ὁμοφυὴς ὢν αὐτῇ, καὶ ἡ χεὶρ οὖν πάλιν ἐν τῷ σώματι, οὐχ ἑτεροούσιος πρὸς αὐτὸ τυγχάνουσα.* Ταῦτα κατὰ τὴν τῶν Θησαυρῶν δέλτον ὁ θαυμασιώτατος Κύριλλος· ἀλλαχοῦ δὲ ταύτης οὗτος αὐτὸς *τὸν Πατέρα μὲν ῥόδον. ἄνθος δὲ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ*

A tur, edico, Quemadmodum, dicens, ex sole per radium lumen exoritur, sic et Spiritus sanctus ex Patre per Filium provenit. Et hæc diviniloquus iste veritatis mysta et mystagogus ex aliis, ut ipse indicavit, accepta. Alii porro sancti Patres *ignem* dixerunt, *et flammam, et lumen* : alii *radicem, ramum et fructum*, inter quos est divinissimus Cyrillus, et istis immateriatam illam essentiam denotarunt. Quemadmodum igitur, ne longius producam orationem per flammam ex igne lumen elucet, et fructus ex radice per ramum producitur, pari modo ex Patre per Filium Spiritus sanctus emittitur. Præter hos fere major eorum pars manum, Filium, cum scribatur : *Manus tua fecit hæc omnia, et hæc immutatio dexteræ Excelsi*, ob

B massæ ex vetustate renovationem, et quod nihil est sinistrum in Deo, digitum vero Spiritum sanctum nuncuparunt, ex evangelica tabula nomen illi adaptantes. Ibi etenim Salvator noster describitur, nunc *in Spiritu Dei* dicens *ejicere dæmonia*, nunc *in Dei digito*, digitum Dei Spiritum sanctum appellans. Et hoc patenter satis in libro Thesaurorum in rebus theologicis exponendis eximius Cyrillus expressis his verbis : *Ait quodam in loco Christus Judæos alloquens* : « *Si in digito Dei ejicio dæmonia, igitur venit ad vos regnum Dei* [16]. » *Et digitum hic vocat Spiritum sanctum, quodam modo ex divina essentia emanantem et naturaliter ab illo appensum, quemadmodum et digitus ex hominis manu ; brachium etenim et dexteram Dei divinæ Scripturæ Filium appellant, uti cum dicitur* : « *Salvavit eum dextera illius, et brachium sanctum ejus* [17]. » *Necnon* : « *Domine, excelsum tuum brachium, et non cognoverunt, cum cognoverint revereburtur.* » *Sicut itaque brachium naturaliter adaptatur toto corpori, operans quæcunque cogitationi placuerint, inungit vero pro more digito ad hoc uteus, ita Dei Verbum ex eo et in eo naturaliter adaptatum, ut ita dicam, et intime inhærens concipimus ; in Filio autem naturaliter et essentialiter pertransiens a Patre Spiritus, per quem omnia inungens sanctificat ; non igitur alienum, neque extraneum divinæ essentiæ est Spiritus sanctus, sed in ipsa et ex ipsa naturaliter, sicuti et digitus corporis in manu, ejusdem naturæ cum ea exsistens, rursusque manus in corpore non diversæ ab eo naturæ.* Hæc in Thesaurorum libris maxime admirabilis Cyrillus ; et alio eorumdem loco hic idem, *Patrem rosam, Filium florem, Spiritum sanctum odorem* nuncupavit. Quemadmodum itaque digitus dependet a corpore per manum, ex rosa vero per florem odor afflatur, ita et Spiritus sanctus ex Patre per Unigenitum procedit. Quæ porro a divinis Patribus veluti in exemplum adducuntur, hæc et similia sunt, licet minimam illa et valde humilia, multum a dignitate rerum, quibus assimilantur, deficiant : *Omnia enim*, eodemmet a Spiritu moto Cyrillo teste, *Deus exsuperabit.*

[16] Matth. XII, 28. [17] Psal. XCVII, 1.

Digitized by Google Распознавание текста ABBYY FR

ἅγιον ὀσμὴν ἀπεκάλεσεν. Ὡς τοίνυν ὁ δάκτυλος μὲν ἐξήρτηται τοῦ σώματος, διὰ τῆς χειρὸς, ἐκ τοῦ φόβου δὲ διὰ τοῦ ἄνθους ἡ ὀσμὴ διαπνέεται, τὸν αὐτὸν τρόπον καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς διὰ τοῦ Μονογενοῦς ἐκπορεύεται. Τὰ μὲν δὴ τοῖς θεσπεσίοις Πατράσιν, ὅσον ἐν ὑποδείγματι διειλημφθέντα, τοσαῦτα καὶ οὕτως ἔχοντα, κἂν εἰ σφόδρα καὶ τὰ περὶ τούτων μικρὰ, κομιδῇ τε ταπεινὰ, καὶ παρὰ πολὺ τῆς ἀξίας ἐνδέοντα· *πάντα γὰρ κατ'* αὐτὸν ἐκεῖνον τὸν πνευματοκίνητον Κύριλλον *ὑπερβέβηκεν Θεός.*

30. Quid porro ad hæc iterum, qui tantum ad contradicendum scitissimi sunt, et in eo maxime exsultant, indicium illud sapientiæ esse reputantes, in reliquis aliis muti et elingues? Et ubinam sunt tibi, inquiunt, quæ ab iisdem sanctis diversis commentariis traduntur, *biflui* nempe *fluvii*, *prælucentes radii*, *bina lumina*, *bini rami*, *duæ manus*, *et flores bini*, quibus Filium et Spiritum sanctum immediate ex Patre esse declararunt? Quomodo illa quidem tibi in memoriam venere, hæc vero oblivioni demandata sunt? Hisce vere responderim, hæc quoque de rebus divinis a sanctis Patribus tradi, non eo tamen scopo, ut dicta a nobis dirimant. Quandoquidem pari ratione ab iisdem doctoribus sæpius de beata Triade dicta, *tres soles*, et *tres radii* dirimunt, ex Patre Filium et Spiritum sanctum exsistere, cum ex sole sol nullus est, neque ex radio radius. At non ita nos sentimus, sed utraque cum rectis dogmatibus concordare credentes, accommodum unicuique intellectum damus, hoc quidem confitentes, principium nempe Filii et Spiritus sancti Patrem esse, et propriam horum trium hypostasim, idem vero essentiæ, et quod non sint partes Dei et Patris Filius et Spiritus sanctus indicantes. Pari itaque ratione hic quoque eas illasque imagines opinantes, nihil in se contrarium continere, cum ambæ pro pietate decertent, acceptamus. Cum itaque audimus de superdivina Triade *oculum*, *fontem*, *fluvium*, *solem*, *radium*, *lumen*, et similia, summam intelligimus illius conjunctionem, et Spiritum sanctum ex Patre per Filium procedere : cum vero *bifluos fluvios*, et *binos radios*, et similia, Filium et Spiritum sanctum appellari auscultamus, perfectarum hypostaseon inconfusum, et primam causam, et naturæ immutabile speculamur, non tamen inter se divisa tenemus. Longe enim sit a nobis et nuda et minima de iisdem comprehensio. Verum de manibus proprie, quod de aliis non observavi, *manus Patris* nonnunquam Filium solum vocatum reperi. Namque oratione de Verbi unigeniti incarnatione hæc de eo divinissimus Athanasius tradit : *Cum reponeret Spiritum suum in manus Patris, uti homo semetipsum sibimetipsi uti Deo reponit : ipse enim manus una binæque Patris est.* Et hoc ita se habet. Ἐνανθρωπήσεως λόγῳ τοιαῦτα περὶ αὐτοῦ φησιν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος. *Ὅτε παρατίθεται τὸ Πνεῦμα αὐτοῦ εἰς χεῖρας τοῦ Πατρὸς, ὡς ἄνθρωπος ἑαυτὸν παρατίθεται ἑαυτῷ ὡς Θεῷ· αὐτὸς γὰρ ἡ χεὶρ καὶ αἱ χεῖρες τοῦ Πατρός.* Καὶ τοῦτο μὲν τοιοῦτον.

31. Per Filium porro Spiritum sanctum, non ut plurimi dicunt, immediate ex Patre : idem enim est dicere per Filium, et non immediate, ego equidem concorditer ex divina inspirata Scriptura testimonia adduxi. Quod si quis immediate exsistere Spiritum

λ'. Τί δὲ καὶ πρὸς ταῦτα πάλιν οἱ μηδὲν ἄλλο πλὴν ἀντιλέγειν ἁπλῶς πρὸς πᾶν ὁτιοῦν ἐπιστάμενοι, κἀν τούτῳ τὰ μέγιστα χαίροντες, οἷα τεκμήριον αὐτὸ σοφίας ἡγούμενοι; Καὶ ποῦ σοι, φασὶ, τὰ παρὰ τῶν αὐτῶν ἁγίων ἐν διαφόροις ἐκφωνηθέντα γραφαῖς, *οἱ δίῤῥυτοι* δηλονότι *ποταμοὶ*, *αἱ διαυγεῖς ἀκτῖνες*, *τὰ τε δίδυμα φῶτα*, *οἱ διττοί τε κλάδοι*, *καὶ αἱ δύο χεῖρες*, *καὶ τὰ ἄνθη τὰ διφυῆ*, ἃ ἀν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀμέσως εἶναι παρὰ Πατρὸς διετράνωσαν; Πῶς ἐκεῖνα μὲν ἐξέσταταί σοι, τὰ δὲ παρεώραται; Πρὸς οὓς εἰποιμι ἂν ἀληθῶς, Ἐπὶ τῆς θεολογίας καὶ ταῦτα πολλαχοῦ τοῖς αὐτοῖς θεοφόροις Πατράσι παραλαμβάνεται· πλὴν οὐκ ἐπ' ἀναιρέσει τῶν προλεχθέντων ἡμῖν. Ἐπείπερ οὕτω γε καὶ τὸ ῥηθὲν ἐν πολλοῖς παρὰ τῶν αὐτῶν διδασκάλων ἐπὶ τῆς μακαρίας Τριάδος *τρισήλιον*, ἢ καὶ *τρισάκτινον* ἀναιρήσει τὸ ἐκ Πατρὸς ὑπάρχειν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅτι μήτε τὸ παράπαν ἥλιος ἐξ ἡλίου, μήτε μὴν ἐξ ἀκτῖνος ἀκτίς. Ἀλλ' οὐ τοῦτο φρονοῦμεν ἡμεῖς· ἑκάτερα δὲ τῶν ὀρθῶν δογμάτων εἶναι πιστεύοντες, τὴν πρόσφορον ἑκάστῳ τούτων ἀπονέμομεν ἔννοιαν, τὸ μὲν ὁμολογοῦντες, ὅτι περ ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ὁ Πατὴρ, τῆς δὲ τὸ τῶν τριῶν ἰδιοϋπόστατον, τό τε τῆς οὐσίας ταυτὸν, καὶ τὸ μὴ μέρη δοκεῖν ὑπάρχειν τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα σημαίνοντες. Ὡσαύτως τοιγαροῦν κἀνταῦθα ταύτας τε κἀκείνας τὰς εἰκόνας δεχόμεθα μηδὲν ἐναντίον ἔχειν πρὸς ἀλλήλας, ἅτε τῆς εὐσεβείας καὶ ἀμφοτέρας καταλαμβάνοντες. Ὅταν μὲν γὰρ ἀκούσωμεν ἐπὶ τῆς ὑπὲρ Θεοῦ Τριάδος *ὀφθαλμὸν*, *πηγὴν*, *ποταμὸν*, *ἡλιόν τε καὶ ἀκτῖνα* καὶ *φῶς*, καὶ πάντα τἄλλα τὰ παραπλήσια, τὴν ἄκραν ἐννοοῦμεν συμφυΐαν αὐτῆς, καὶ τὸ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι διὰ τοῦ Πατρός· ὅταν δὲ *δικρούτους ποταμοὺς*, *ἀκτῖνάς τε διδύμους* τὸν Υἱὸν καὶ τὸ Πνεῦμα προσαγορευομένους ἀνωτιζώμεθα καὶ τὰ τούτοις παρόμοια, τὸ τῶν τελείων ὑποστάσεων ἀσύγχυτον, τό τε πρῶτον αἴτιον θεωροῦμεν, καὶ τὸ τῆς φύσεως ἀπαράλλακτον, οὐ μὴν ἀντιδιῃρημένα ταῦτα δοξάζομεν. Ἀπέστω γὰρ ἡμῶν καὶ ψιλὴ τοιαύτη τις περὶ τούτων ὑπόληψις. Περὶ δὲ τῶν χειρῶν ἰδίᾳ καὶ κατ' ἐξαίρετον ἐγωγε *χεῖρας τοῦ Πατρὸς*, ἔστιν οὗ τὸν Υἱὸν μόνον εὗρον καλούμενον. Ἐν γὰρ τῷ περὶ τῆς τοῦ Μονογενοῦς ἐνανθρωπήσεως λόγῳ τοιαῦτα περὶ αὐτοῦ φησιν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος. *Ὅτε παρατίθεται τὸ Πνεῦμα αὐτοῦ εἰς χεῖρας τοῦ Πατρὸς, ὡς ἄνθρωπος ἑαυτὸν παρατίθεται ἑαυτῷ ὡς Θεῷ· αὐτὸς γὰρ ἡ χεὶρ καὶ αἱ χεῖρες τοῦ Πατρός.* Καὶ τοῦτο μὲν τοιοῦτον.

λα'. Ὅτι δὲ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, οὔμενουν, ὡς οἱ πολλοὶ λέγουσιν, ἀμέσως ἐκ τοῦ Πατρὸς, ταυτὸν γάρ ἐστι δι' Υἱοῦ, καὶ οὐκ ἀμέσως, εἰπεῖν, αὐτὸς μὲν συμφώνως ἐκ τῆς θεοπνεύστου Γραφῆς τὰς μαρτυρίας παρήγαγον· εἰ δέ τις ἀμέ-

σως ὑπάρχειν καὶ ἔτι τὸ Πνεῦμα παρὰ Πατρὸς διατείνεται, δειξάτω ποῦ ποτε τῶν θείων λογίων εὑρηται κείμενον, καὶ ἡμεῖς στέρξομεν. Ἀλλὰ τοῦτο μὲν, ὥσπερ οὐκ ἔστιν, οὕτως οὐδὲ τῶν τῆς ἀληθείας ἐξηγητῶν τις ἐφθέγξατο· τὸ δὲ τὸν Υἱὸν ἀμέσως εἶναι παρὰ Πατρὸς συχνοὶ τῶν τῆς εὐσεβείας διδασκάλων, καὶ οὐχ ἅπαξ εἰρήκασιν, ὡς ἐκ πολλῶν παραστήσομεν. Καὶ δεχέσθω τὰς χρήσεις, ὅσαις τέως ἡμεῖς ἐνετύχομεν, ὁ βουλόμενος. Εὐθὺς γὰρ ὁ μέγας Βασίλειος ἐν μὲν τῷ δευτέρῳ τῶν πρὸς Εὐνόμιον τάδε φησίν· Ἀρχὴ μὲν οὖν Πατρὸς οὐδεμία, ἀρχὴ δὲ τοῦ Υἱοῦ ὁ Πατὴρ, μέσον δὲ τούτων οὐδέν. Καὶ μετὰ πάνυ βραχέα· Εἰ τοίνυν ἀΐδιος ἡ τοῦ Υἱοῦ κοινωνία πρὸς τὸν Θεὸν καὶ Πατέρα διαπέφανται τῆς διανοίας ἡμῶν ἀπὸ τοῦ Υἱοῦ δι' οὐδενὸς κενοῦ πρὸς τὸν Πατέρα χωρούσης, ἀλλ' ἀδιαστάτως τῷ Πατρὶ τὸν Υἱὸν συναπτούσης· ὁ μηδενὶ μέσῳ διοριζόμενος τίνα ἔτι παρείσδυσιν καταλίποι τῇ πονηρᾷ αὐτῶν βλασφημίᾳ; ἐν δὲ τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ· Εἰ γὰρ ἀνώτερον λέγει Θεοῦ τὸ Πνεῦμα, οὐκ ἐκ τοῦ Θεοῦ· εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερον τοῦ ἐξ οὗ ἐστιν; Ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον· οὐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρός. Ἀκολούθως τούτῳ τῷ μεγάλῳ τῆς εὐσεβείας κήρυκι καὶ ὁ Νύσσης Γρηγόριος ἐν μὲν τῷ τετάρτῳ τῶν κατ' Εὐνομίου λόγων· Ἔπεσι καὶ παρ' ἡμῶν ὁμολογεῖται τοῦ Υἱοῦ τὸ πρὸς τὸν Πατέρα συναφές τε καὶ ἀμέριστον, ὡς μηδὲν εἶναι τὸ διὰ μέσου τούτων παρεισρέον· ἐν δὲ τῷ ὀγδόῳ τῶν αὐτῶν· Οὐδὲ γὰρ ἡ ἄμεσος αὕτη συνάφεια ἐκβάλλει τὴν βούλησιν τοῦ Πατρὸς, ὡς κατά τινα φύσεως ἀνάγκην ἀπροαιρέτως τὸν Υἱὸν ἐσχηκότος. Καὶ μετά τινα· Ἄμεσός ἐστιν ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συνάφεια, καὶ οὐκ ἐξωθεῖται ὑπὸ τῆς ἀδιαστάτου συναφείας τὸ βούλημα, τὸ τῇ ἀγαθῇ φύσει ἐκτὸς ὑπάρχον. Καὶ ταῦτα μὲν οὗτοι καθ' ἕνα καὶ τὸν αὐτὸν καὶ ἄμφω καιρόν. Κύριλλος δὲ μεθ' ὕστερον ὁ θαυμασιώτατος ἐν μὲν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν διαρρήδην βοᾷ· Γεννᾷ δὲ ὁ Πατὴρ τὸν Υἱὸν ἀμεσιτεύτως· ἐν δὲ τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου τὸ ῥητὸν τὸ, « Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν, » σαφηνίζων φησίν· Ἀμέσως καὶ προσεχῶς ἐστιν ὁ Υἱὸς ἐν Θεῷ καὶ Πατρί. Καὶ πάλιν εἰ; τὸ, « Πάντα δι' αὐτοῦ ἐγένετο, » Συνεῖναι δὲ τῷ Υἱῷ τὸν Πατέρα νοοῦμεν διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας, καὶ τὸ ἄκρως προσεχές τε καὶ ἄμεσον αὐτοῦ πρὸς τὸ ἐξ αὐτοῦ φυσικῶς προελθόν. Καὶ μετ' ὀλίγα· Λόγος μὲν γὰρ καὶ σοφία ὁ Υἱὸς διὰ τὸ ἐκ νοῦ, καὶ ἐν νῷ προσεχῶς καὶ ἀδιαστάτως, καὶ τὴν εἰς ἄλληλα τῶν σημαινομένων, ὡς ἂν εἴποι τις, ἀντεμβολήν. Ὁ αὐτὸς ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν· Ἑπόμενοι τοίνυν, λέγει, τῇ τῶν ἱερῶν πίστει γραμμάτων, καὶ οἱονεὶ τὴν ἀτριβῆ τοῖς σοφοῖς ἁμαξιτὸν διαστείχοντες, δύναμιν τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸν εἶναι λέγομεν τὸν Υἱὸν ἀμέσως τε

ex Patre contendit, ostensuri quo in loco apud divina eloquia id inveniatur repositum, et nos acceptabimus. Sed hoc, cum nusquam gentium sit, nullus ex veritatis expositoribus enuntiavit. At Filium immediate esse ex Patre frequentes pietatis doctores, nec uno in loco fassi sunt, ut ex multis probabimus, et dicta quæ nos offendimus ad hunc diem sibi habeat, cuicunque id lubitum fuerit. Primus ante alios magnus Basilius in secundo adversus Eunomium hæc habet: *Principium itaque Patris nullum est, principium Filii Pater, medium inter hos nullum.* Et post pauca: *Si itaque æterna Filii communio cum Deo et Patre nulla menti nostræ occurrente vacuitate, per quam a Filio ad Patrem progrediatur, sed mente ita Filium cum Patre connectente, ut nullum inter eos detur intervallum, dum Filius nullo medio disjungitur, quem adilum sceleratæ eorum blasphemiæ relinquit?* Et epist. ad canonicas: *Si enim superiorem Deo Spiritum dicit, non ex Deo; quod si ex Deo, quomodo antiquior eo, ex quo est? Sed neque est Unigenito prior: neque enim quidpiam interjicitur inter Patrem et Filium.* Magno huic pietatis præconi concordat Nyssenus Gregorius oratione quarta adversus Eunomium: *Quando nos etiam Filium cum Patre conjunctum atque indivisum confitemur, ita ut nullum medium inter hos concipiamus.* In octava earumdem: *Neque enim immediata ista conjunctio Patris voluntatem rejicit, quasi naturæ necessitate nec sponte Filium habuerit.* Et paucis adjectis: *Immediata est Filii cum Patre conjunctio, nec repellitur ab inseparabili conjunctione hac voluntas, quæ extra bonam naturam sit.* Et hæc quidem hi ambo uno eodemque tempore. Post hos admirabilissimus Cyrillus in uno primi Thesaurorum capite palam clamat: *Generat vero Pater Filium immediate.* In expositione Evangelii secundum Joannem dictum illud: « *Hic erat in principio apud Deum*[18], » declarans ait: *Immediate et contigue Filius est in Deo et Patre.* Et rursus in illud: « *Omnia per ipsum facta sunt*[19]: » *Conjungi vero Filio Patrem intelligimus propter essentiæ immutabilitatem, et excellentissimo modo continuitatem et immediationem ipsius cum illo, ex quo naturaliter promanavit.* Et paucis additis: *Verbum enim et sapientia Filius quod ex intellectu, et in intellectu continue et indivise, et ob in sese significatorum, ut quidam diceret, mutuam injectionem.* Idem libro sexto ad Hermiam: *Sequentes itaque*, ait, *fidem sacrarum Scripturarum et a sapientibus admodum tritam, et viam, ut ita dicam, vehicularem calcantes, robur Dei et Patris ipsum esse dicimus Filium immediate simul et continue.* His et similibus clare ostensum est, inter Patrem et Spiritum medium esse Filium. Etenim si Pater est principium, ut omnium in ore est, Filius vero immediate ex Patre, ut dictis allatis innotuit, et per ipsum Spiritus sanctus: Filius ergo inter Patrem et Spiritum medius est. Et

[18] Joan. I, 2. [19] ibid. 3.

Digitized by Google Распознавание текста АВК/FR

manifeste patet ex verbis magni Basilii in epistola, quam ille dedit ad fratrem suum Gregorium Nyssenum : in ea siquidem hæc prosequitur : *Quemadmodum in catena qui unius annuli summitatem apprehendit, hoc ipso simul et alterum insertum attrahit; ita et hic qui Spiritum trahit per ipsum et Filium et Patrem una simul attraxerit, et si quis vere Filium apprehenderit, habebit et ipsum utrinque hinc Patrem, illinc Spiritum sanctum una contrahentem. Non enim potest ullo pacto excogitari aliqua vel sectio, vel divisio, ut sive Filius absque Patre cogitari, sive Spiritus a Filio sejungi queat.* Prorsus illud utrinque Patrem et Spiritum sanctum asserere apertam sententiam possidet, nec ulla omnino indiget expositione. Quinimo divinus Gregorius, ad quem dicta epistola data est, Nyssenus antistes, oratione ad Ablabium beatæ Trinitatis differentiam indicare volens, *causam* dixit et *causatum*, et illius quod ex causa erat iterum aliam differentiam apposuit. Namque hoc quidem esse immediate a primo, hoc vero per Filium manare ex primo, ut supra jam adnotavimus, addidit : *Adeo ut unigenitum indubitatum maneat in Filio, et ex Patre esse Spiritum in dubio non sit, Filii mediatione et sibi ipsi unigenitum conservante, et Spiritum a naturali ad Patrem habitudine non arcente.* Item de Spiritu sancto tractans, dum in Macedonium invehitur, scripsit : *In quibus quæ secundum bonum operatio est, nullam imminutionem aut immutationem habet. Quomodo rationi consentaneum fuerit ordinem secundum numerum imminutionis alicujus aut secundum naturam immutationis signum esse existimare? Quemadmodum si quis in tribus lampadibus subdivisam flammam conspiciens (causam vero tertii luminis supponamus esse primam flammam ex communicatione cum medio extremum inflammantem), postmodum astrueret in prima flamma abundare calorem, eam vero quæ subsequitur immutari, et paulatim imminui, tertiam nec ignem amplius censendam esse, licet æqua ratione adurat et splendeat, omniaque ignis operetur.* Concordat cum his perspicacissimus Epiphanius, qui sua in magnum Sabbatum oratione hunc in modum eloquitur : *In medio duorum animalium agnitus Jesus Dei Filius; in medio Patris et Spiritus duorum viventium, vita ex vita, natura vita cognitus.* Ita hi de Trinitate philosophati sunt, ut revelatum fuit a Spiritu, principium asserentes Patrem, medium Filium, et per ipsum Spiritum sanctum, quos nos uti pietatis duces sequentes, eorum doctrinis et sermonibus insistimus. At recentes theologi, nescio a quonam edocti, prorsus e ventre tamen in nos falsa jactitant, secundum lineam rectam effingentes nos eam intelligere, et nostris adversantes alio modo circumscribere, quæ nullo modo nequeunt circumscribi, conantur, traduntque juxta secundam figuram, aut triangulum eam disponendam esse. Alii et circulos quosdam introducunt, quisquilias quasdam cogitationum eructantes, quas in

A

B

C

D

ἅμα καὶ προσεχῶς. Ἐκ τούτων καὶ τῶν τοιούτων συναποδέδεικται φανερῶς ὅτι καὶ μέσος τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος ὁ Υἱός. Εἰ γὰρ ὁ Πατὴρ ἀρχὴ καθ' ὁμολογίαν κοινήν, ὁ δὲ Υἱὸς ἀμέσως ἐκ τοῦ Πατρὸς, ὡς ἀνεφάνη πρὸς τῶν ῥητῶν, ὧν παρεθέμεθα, δι' αὐτοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον· ὁ Υἱὸς ἄρα μέσος Πατρός τε καὶ Πνεύματος. Καὶ δῆλον ἐξ ὧν ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὸν οἰκεῖον ἀδελφὸν ἐπιστολῇ τὸν Νύσσης Γρηγόριον εἰρηκε. Ταῦτα καὶ γὰρ ἐκεῖσε διέξεισιν· *Ὥσπερ ἐξ ἀλύσεως ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας δι' αὐτοῦ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα συνεφελκύσατο· καὶ τὸν Υἱὸν ἀληθῶς ὅστις λάβοι, ἕξει αὐτὸν ἐκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενος. Οὐ γὰρ ἔστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν, ὡς ἢ Υἱὸν χωρὶς τοῦ Πατρὸς νοηθῆναι, ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ διαζευχθῆναι.* Πάντως τὸ ἐκατέρωθεν τοῦ Υἱοῦ λέγειν εἶναι τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον προφανῆ τὴν ἔννοιαν κέκτηται, καὶ οὐ δήπου τινὸς τὸ παράπαν δεῖται τῆς ἐξηγήσεως. Ὁ δὲ θεῖος Γρηγόριος, πρὸς ὃν τὰ τῆς τοιαύτης ἐπιστολῆς, τῶν Νυσσαέων ὁ πρόεδρος, ἐπείπερ ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ τὴν διαφορὰν τῆς μακαρίας Τριάδος δηλῶσαι θέλων, τὸ *altior* εἶπε καὶ τὸ *altiatór*, καὶ τοῦ ἐξ αἰτίας πάλιν ἄλλην διαφορὰν παρέλαβε. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ Υἱοῦ μένειν καὶ ἐκ τοῦ πρώτου, καθάπερ φθάσαντες ἄνωθεν ἔφημεν, τούτοις ἐπήγαγεν· *Ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης.* Ὁ αὐτὸς περὶ τοῦ ἁγίου Πνεύματος διαλαμβάνων, καὶ κατὰ Μακεδονίου φερόμενος τάδε φησίν· *Ἐφ' ὧν ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάττωσιν ἢ παραλλαγὴν ἔχει, πῶς ἔστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλαττώσεώς τινος τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον εἶναι; Ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα, αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν, ἔπειτα κατασκευάζοι πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἐφεξῆς ὑποβεβηκέναι, καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγὴν, τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λογίζεσθαι, κἂν παραπλησίως καίῃ, καὶ φαίνῃ, καὶ πάντα τὰ τοῦ πυρὸς ἐργάζηται.* Σύμφωνός ἐστι τούτοις καὶ ὁ διορατικώτατος Ἐπιφάνιος. Ἐν γὰρ τῷ εἰς τὸ μέγα Σάββατον οἰκείῳ λόγῳ καὶ οὗτος οὕτω φησίν· *Ἐν μέσῳ δύο ζῴων γνωσθεὶς Ἰησοῦς ὁ θεόπαις, ἐν μέσῳ Πατρὸς καὶ Πνεύματος τῶν δύο ζῴων, ζωὴ ἐκ ζωῆς, φύσει ζωὴ γνωριζόμενος.* Ἀλλ' οὗτοι μὲν οὕτω τὴν Τριάδα τεθεολογήκασιν, ὡς ἀπεκαλύφθησαν ἐκ τοῦ Πνεύματος, ἀρχὴν μὲν εἰπόντες τὸν Πατέρα, μέσον δὲ τὸν Υἱὸν, καὶ δι' αὐτοῦ τὸ Πνεῦμα τὸ

Digitized by Google Распознавание текста ABK/FR

ἅγιον, οἷς ὑμεῖς ὡς ὁδηγοῖς εὐσεβείας ἀκολουθοῦντες, ταῖς αὐτῶν διδασκαλίαις καὶ τοῖς λόγοις ἐμμένομεν. Οἱ δὲ νῦν θεολόγοι πόθεν οὐκ οἶδα μαθόντες, πάντως ἀπὸ κοιλίας αὐτῶν μάτην ἡμῶν καταψεύδονται, κατὰ γραμμὴν εὐθεῖαν πλάττοντες νοεῖσθαι ταύτην ἡμῖν. Οἱ καὶ δῆθεν τοῖς ἡμετέροις ἐναντιούμενοι, διαγράφειν ἑτέρως πειρῶνται τὴν ἀπερίγραπτον· καὶ φασι κατὰ σχῆμα δεύτερον ἔχειν ταύτην ἢ κατὰ τρίγωνον. Ἄλλοι δὲ καὶ κύκλους τινὰς παρεισάγουσι, συρφετούς τινας πάντες ἐννοιῶν ἀποπτύοντες, οὓς ταῖς καρδίαις αὐτῶν ἐπισυρόμενοι περιφέρουσιν. Ἡμεῖς δὲ μηδὲν ἴδιον λέγειν τολμῶντες κατὰ τὴν θεολόγον φωνὴν, *Ἀμέριστος*, φαμὲν, *ἐν μεριστοῖς, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης, καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων μία τοῦ φωτὸς σύγκρασις, ἀπείρων τε τριῶν ἄπειρος συμφυΐα πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν τῷ ὄντι διήκουσα.* Ἁπλῆν καὶ οὕτω πλουτοῦσα κατὰ τὴν τῶν ἁγίων παράδοσιν τὴν ἀρχὴν, τό τε μέσον αὐχοῦσα, καὶ τὸ μετὰ τοῦτο δεχομένη, τὰ πάντα θεοπρεπῶς. Τοῦ δὲ μετὰ τὸν λόγον τὸ Πνεῦμα νοεῖσθαι τὸ ἅγιον μάρτυς ὁ μέγας Βασίλειος, ὃς ἐν τῷ πρὸς τὸν οἰκεῖον ἀδελφὸν Γρηγόριον τὸν Νύσσης λόγῳ, *Τὸ Πνεῦμα*, φησὶ, *τὸ γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει τὸ μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι.*

A cordibus suis fotas circumferunt. Nos autem ex propriis nihil proferre audentes secundum Theologi vocem, *Indivisa*, dicimus, *in rebus divisis, si brevi sermone absolvenda res est, Deitas, et quasi in tribus solibus mutuo adhærentibus una luminis mistio, et infinitorum trium infinita cohæsio per omnia et super omnia vere perveniens.* Nihilominus etiam hoc modo, ut sancti tradiderunt, principio dives est, et medium jactat, et quod inde sequitur non respuit, omnia modo divino. Post Verbum vero Spiritum sanctum intelligi, testis est magnus Basilius oratione in fratrem Nyssenum Gregorium : *Spiritus*, inquit, *hanc notionem et cognoscibile signum ejus, quæ secundum hypostasim est, proprietatis habet, quo post Filium, et cum Filio simul et ipse se facit internosci.*

λβ'. Τούτων οὕτως ἐχόντων οὐκ ἀγνοῶ γε τάχα καὶ τὰ δοκοῦντα τοῖς νῦν ῥηθεῖσι προσίστασθαι· διόπερ ἐνθάδε κἀκεῖνα προθεὶς τὴν ἀνακύπτουσαν ἐξ αὐτῶν ἀμφιβολίαν ὡς οἷόν τε διαλῦσαι πειράσομαι, τῆς ἀληθείας κατὰ δύναμιν ἀντιποιησάμενος. Ὁ μὲν γὰρ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ἀθανάσιος ἐν ὀγδόῳ τῶν πεντήκοντα κεφαλαίων, ὧν τὴν ἔκθεσιν ἐκ μαρτυριῶν ἐποιήσατο γραφικῶν, ἐπὶ πᾶσι τὰ αὐτὰ προσεῖναι τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι παραστῆσαι, καὶ τοῦ Πνεύματος τὸ καθῆσθαι δεικνύων, ὥσπερ καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, μὴ μόνον δὲ ἀλλὰ καὶ τὸ συγκαθῆσθαι, τάδε πρὸς ἔπος διαλαμβάνων φησί· *Τοῦ Πατρὸς τοῦ Κυρίου πρὸς τὸν Ἰωάννην λέγοντος, Ἐφ' ὃν ἂν ἴδοις τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐν αὐτῷ, ὁ Κύριος εἶπεν· Εἰ δὲ ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Εἰπὲ οὖν κατὰ τὰς μαρτυρίας, ὁ Πατὴρ καὶ τὸ Πνεῦμα μένουσιν ἐν τῷ Υἱῷ ἢ οὔ; Φησὶ, Μένουσιν. Εἰ οὖν ἐν τῷ Υἱῷ, μένουσιν ὁ Πατὴρ καὶ τὸ Πνεῦμα, τοῦ Υἱοῦ καθίσαντος, ἀνάγκη πᾶσα συγκαθῆσθαι αὐτῷ καὶ τοὺς μένοντας ἐν αὐτῷ.* Καὶ μετ' ὀλίγα· *Τῷ μὲν Υἱῷ ἴσμεν ἀφωρισμένην διαιταν ἐκ δεξιῶν τοῦ Πατρὸς, ὥσπερ οὖν πρὸς τὸν ἑαυτοῦ Υἱὸν εἶπε, « Κάθου ἐκ δεξιῶν μου· » ἐκ δὲ τοῦ καθίσαι ἐκ δεξιῶν τὸν Υἱὸν ἔστιν ἐπινοῆσαι ὃ κατ' ἐπιτροπὴν εἶπε καὶ τῷ ἑαυτοῦ Πνεύματι, Κάθου ἐξ εὐωνύμων μου· τοῦ δὲ καθημένου ἡ προσηγορία ἀξιώματός ἐστι σημασία.* Καὶ ταῦτα μὲν ὁ θειότατος Ἀθανάσιος ἐν οἷς ἐκ δεξιῶν καθῆσθαι τοῦ Πατρὸς τὸν Υἱὸν εἰρηκὼς, καὶ τῆς ἐξ εὐωνύμων δὲ καθέδρας διὰ τὸ Πνεῦμα μνησθεὶς ὀπωσοῦν ἔοικε τὸν Πατέρα μέσον εἶναι τούτων ἀποφηνάμενος. Ὁ δ' ἐν θεολογίᾳ διαλάμψας Γρηγόριος ἐν μὲν τῷ λόγῳ τῷ εἰς τὴν τῶν ρ' ἐπισκόπων παρουσίαν τοιαῦτα κατὰ ῥῆμα διέξεισιν· *φύσις δὲ τοῖς τρισὶ μία· ἕνωσις δὲ ὁ Πατὴρ, ἐξ οὗ καὶ*

32. Hæc ita se habent, et ego quæ prædictis adversari videntur plane cognosco : quapropter illis hic positis, quæ ex ipsis dubia oriuntur, ut vires concedunt, dissolvere conabor, veritati, ut fieri potest, innixus. Sanctus enim Pater noster Athanasius in octavo quinquaginta capitum, quorum expositionem ex scripto traditis testimoniis aggressus est, in omnibus eadem inesse Patri et Filio et Spiritui sancto probare volens, et Spiritus sessionem esse, quemadmodum et Patris et Filii demonstrans, nec solum id, sed etiam simul sedere, hæc ad verbum inquit : *Patre Domini ad Joannem dicente : Super quem videris Spiritum descendentem, et manentem in illo, Dominus dixit : Si Pater qui in me manet, ipse facit opera. Secundum itaque hæc testimonia dicito, Pater et Spiritus manent in Filio, vel non? Ait, Manent. Si itaque in Filio manent Pater et Spiritus, cum sederit Filius necessario et illi simul sedebunt, qui manent in eo.* Et post pauca : *Filio scimus præscriptum esse locum a dextris Patris. Quemadmodum enim ad suum Filium dixit : « Sede a dextris meis[20]. » Cum vero sederit a dextris Filius, datur nobis intelligi, mandantem dixisse et suo Spiritui : Sede a sinistris meis : sedentis autem appellatio dignitatis est signum.* Et hæc divinissimus Athanasius cum asserat, Filium a dextris Patris sedisse, et sedis a sinistris propter Spiritum mentionem inducat, videtur quodammodo Patrem medium inter Filium et Spiritum sanctum decrevisse. Et qui in theologia præcelluit Gregorius oratione in 150 episcoporum adventum ipsissima verba habet : *Natura autem tribus una : unio vero Pater, ex quo et ad quem referuntur, quæ subsequuntur.* Medium et ipse Patrem videtur quodammodo collocare. Eorum enim quæ uniuntur medium est quod unit, et unio. Et in antirrhetico de Spiritu sancto, Spi-

[20] Psal. CIX, 1.

Digitized by Google Распознавание текста ABK/FR

ritum medium inter Patrem et Filium palam pronuntiavit. Sic enim loquitur : *Spiritus sanctus qui a Patre procedit, qui uti inde procedit, non est creatura, uti vero ingenitus est, non est Filius; uti vero non geniti genitique medius, Deus est.* Sed ut proposita dubia solvere aggrediar, a postremo hoc ad primum inverso ordine progrediar : sic enim oratio facilius meliusque procedet. Non ipsam Spiritus hypostasim mens vigilans [Gregorius] inter Patrem et Filium mediam existimans, sed opponentium divisionem, quæ erat, si Deus Spiritus est, aut est ingenitus aut genitus, qui nihil inter illos medium esse suspicabantur refellens, similia scribit. Et hujusce rei interpres accuratissimus non alius quam hic ipse fuerit, qui anticipans adversarium interrogavit : *Ubi enim collocabis quod procedit, dicito mihi, medium in tua divisione exortum?* Hoc est, tu quidem tuam divisionem ita se habere suspicatus es, quasi illa omnia comprehendat, et nihil quod non in ea sit relinquatur : at in illius medio ex negatione extremorum procedens apparuit, quod non est neque ingenitum, neque genitum. Et hac ratione medium dixit Spiritum sanctum, cum præ his ingenito nempe atque genito aliud esset, nempe procedens, quod extremorum divisionis, ut dictum est, negatione medium exsistens contra opponens maligne supprimens, ex duobus illis unum adnectebat necessario Spiritui, Deum illum esse, quod neutrum illorum sine controversia exsisteret, dirimere forte contendens; medium autem divisionis adversariorum extremorum negatione, ut jam diximus, uti procedens, secundum Domini vocem apparuit. Hoc idem ipse magnus Pater similibus divisionibus validior inquit. Ita ego de hoc sentio et hunc præsenti auctoritati intellectum exhibeo. At medium Patrem videtur dicere, cum rursus ait : *Unio autem Pater est, ex quo et ad quem referuntur, quæ subsequuntur.* Primum quidem nondum capio, quanam ratione tanta virtute præditus vir sibimetipsi contraria, et plane adversantia, nunc quidem Spiritum nunc Patrem medium statuens, ab æquis cognitoribus asserere reputabitur. Neque enim utraque vera esse poterunt, uti nonnulli forte opinabuntur. Præterea medium esse Patrem, prorsus nequit admitti, cum principium omnium consensu sit, illud etiam *quæ subsequuntur* additum hoc intelligere vetat : cum ea quæ sunt alicui ex una et ex altera parte, nunquam sibi nomen, *quæ sequuntur* adsciscent, sed vere ex utraque parte : *sequuntur* enim quæ post ipsum in consideratione veniunt. Licet hic *quæ sequuntur*, Filius nempe et Spiritus sanctus, post Patrem, et una cum Patre, tum, quod ex eo habent, quod sint, tum quod et illa citra tempus exsistant, et cum illo nullum principium possideant. Hoc itaque hac ratione sublato, unio magni Gregorii dicto vocabitur Pater, quod naturaliter ex eo progredientes Filius et Spiritus sanctus, absque ulla egressione in ipso secundum

A *πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς.* Μέσον καὶ οὗτος τὸν Πατέρα δοκεῖ πως εἰπεῖν. Μέσον γὰρ τῶν ἡνωμένων τὸ ἑνοῦν καὶ ἡ ἕνωσις. Ἐν δὲ τῷ περὶ τοῦ ἁγίου Πνεύματος ἀντιῤῥητικῷ τὸ Πνεῦμα μέσον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ διαῤῥήδην ἐφθέγξατο. Λέγει γὰρ οὕτωσί· *Τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὃ καθόσον μὲν ἐκεῖθεν ἐκπορευτὸν, οὐ κτίσμα, καθόσον δὲ οὐ γεννητὸν, οὐχ Υἱός· καθόσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον Θεός.* Ἀλλ' ἵν' ἐντεῦθεν τοῦ λύειν τὰ τῶν προτεθέντων ἀπορημάτων ἀρξάμενος, ἔσχατον πάντων ἐπὶ τὸ πρῶτον καταντήσω τούτων κατ' ἀναδισμόν· οὕτω γὰρ ὁ λόγος βαδιεῖται μάλιστα ῥᾳδίως καὶ βέλτιον· οὐκ αὐτὴν τοῦ Πνεύματος τὴν ὑπόστασιν ὁ γρήγορος νοῦς μέσον Πατρὸς καὶ Υἱοῦ

B δοξάζων τοῦτό φησι. Τὴν δὲ τῶν ἀντιδιατιθεμένων διαίρεσιν, τὴν, εἰ Θεὸς τὸ Πνεῦμα, λέγουσαν, ἢ ἀγέννητον, ἢ γεννητὸν, ἅτε μηδὲν, ὡς ἔμπροσθεν εἰρήκει, μέσον εἶναι τούτων ὑπολαμβάνουσαν ἐκτρεπόμενος, τοῦ δὲ πάντως ἐξηγητὴς ἀκριβέστατος οὐκ ἄλλος, ἀλλ' οὗτος αὐτὸς, ὃς καὶ προλαβὼν τὴν ὑπεναντίον ἐπήρετο· *Ποῦ γὰρ θήσεις τὸ ἐκπορευτὸν, εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως;* Τουτέστι, σὺ μὲν οὕτω τὴν σὴν διαίρεσιν ἔχειν ὑποπτεύσας, ὡς δύνασθαι περιλαμβάνειν τὸ πᾶν, καὶ μηδὲν παραλιμπάνειν ταύτης ἐκτὸς, τῆς δὲ μέσον ἐξ ἀποφάσεως τῶν ἄκρων τὸ ἐκπορευτὸν ἀναπέφανται, μήτ' ἀγέννητον ὑπάρχον, μήτε μὴν

C γεννητόν. Κατὰ τοῦτον τὸν λόγον μέσον εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἕτερον ὂν παρὰ ταῦτα, τὸ ἀγέννητον δηλαδὴ καὶ τὸ γεννητὸν, ἤγουν ἐκπορευτὸν, ὅπερ τῇ τῶν ἄκρων, ὡς εἴρηται, τῆς διαιρέσεως ἀποφάσει μέσον τυγχάνον ὁ ἀντιλέγων κακούργως ἀποκρυψάμενος τῶν δύο ταύτης τὸ ἓν προσῆπτεν, ἐξ ἀνάγκης τῷ Πνεύματι τὸν Θεὸν εἶναι τοῦτο διὰ τὸ μηδέτερον αὐτῶν ὁμολογουμένως ὑπάρχειν, ἀναιρῆσαι τάχα φιλονεικῶν. Τὸ δὲ *μέσον* τῆς τῶν ἀντικειμένων διαιρέσεως κατ' ἀπόφασιν, καθάπερ καὶ λέλεκται, τῶν ἄκρων ἀπολειφθὲν, ὡς ἐκπορευτὸν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, Θεὸς ἀνεπέφηνεν. Αὐτὸς ἐκεῖνος καὶ τοῦτό φησιν ὁ μέγας Πατὴρ τῶν τοιούτων διαιρέσεων ἰσχυρότερος. Οὕτως ἔχω περὶ τούτου, καὶ τοιαύτην δίδωμι τῷ παρόντι ῥητῷ τὴν διάνοιαν. Περὶ δὲ τοῦ Πατέρα δόξαι μέσον

D εἰπεῖν ἐν οἷς αὖθις φησιν· *Ἕνωσις δὲ ὁ Πατὴρ ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς·* πρῶτα μὲν οὐχ ὁρῶ πῶς ἐναντία λέγειν ἑαυτῷ καὶ μαχόμενα παρὰ τοῖς εὐγνώμοσι τῶν ἀνδρῶν ὁ τοσοῦτος τὴν ἀρετὴν πιστευθήσεται, νῦν μὲν τὸ Πνεῦμα, νῦν δὲ τὸν Πατέρα μέσον εἶναι τιθείς· οὐ γὰρ πάντως ἀληθῆ καὶ ἀμφότερα, καθὼς ἄν τινες τυχὸν ὑπολάβοιεν· ἔπειτα τὸ μέσον τυγχάνειν τὸν Πατέρα παντελῶς ἀπαράδεκτον, ὃς ἀρχὴ παρὰ πᾶσιν ἀνομολόγηται· καὶ αὐτὸ δὲ τὸ *τὰ ἑξῆς* φάναι τοῦτο νοεῖν οὐκ ἀφίησιν· ἐπεὶ τὰ τινὸς ἔνθεν κἀκεῖθεν οὐκ ἂν τὸ παράπαν κληθείη *ἑξῆς*, παρ' ἑκάτερα δὲ κατ' ἀλήθειαν· *ἑξῆς* γὰρ τὰ μετ' αὐτὸ θεωρούμενα· κἂν ἐνταῦθα *τὰ ἑξῆς*, ἤγουν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, μετὰ τὸν Πατέρα καὶ μετὰ τοῦ Πατρὸς,

Digitized by Google Распознавание текста ABBYY FR

τὸν μὲν ὡς ἐξ αὐτοῦ τὸ εἶναι πλουτοῦντα, τὸ δὲ διὰ A
τὸ ἀχρόνως ὑπάρχειν, καὶ ταῦτα τούτῳ συνάναρχα.
Τούτου τοίνυν οὕτως ἀναιρεθέντος, ἕνωσις ἂν ῥηθείη κατὰ τὸν μέγαν Γρηγόριον ὁ Πατήρ, ὅτι φυσικῶς ἐξ αὐτοῦ προϊόντες ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀνεκφοιτήτως μένουσιν ἐν αὐτῷ κατὰ τὴν οἰκείαν ὕπαρξιν ἕκαστον, ὁ μὲν ἀμέσως συνὼν τῷ οἰκείῳ γεννήτορι, τὸ δὲ δι' Υἱοῦ, καθὼς ὁ λόγος πολλαχόθεν ὕστερον δηλώσει, τῷ Πατρὶ συναπτόμενον. Τοῦτο σημαίνων ὁ πολὺς τὴν θεολογίαν οὗτος ἀνὴρ, κἂν τῷ περὶ Υἱοῦ πρώτῳ λόγῳ μεθ' ὧν εἶπεν ἄλλων τὴν μοναρχίαν ἄριστα συνιστῶν, *καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύρρευσις*, εἴρηκε. Ταῦτα κἀν τούτοις, ὧν ἴσως οὐ φαῦλος ἐγὼ κριθείην παρὰ τοῖς εὖ φρονοῦσιν ἑρμηνευτής. Καὶ γοῦν ὑπόλοιπόν ἐστιν ἀπάρτι καὶ τὰ παρὰ τοῦ μεγάλου Πατρὸς Ἀθανασίου ῥήματα διασκέψασθαι, καὶ τὴν προσήκουσαν τούτοις, ὡς ἐνὸν, λύσιν ἐπενεγκεῖν. Συμβολικῶς γὰρ ὁ μακάριος ἐκ τῶν καθ' ἡμᾶς διαλεχθεὶς περὶ τῶν ὑπὲρ ἡμᾶς, καὶ δείξας ἐκ δεξιῶν καθῆσθαι τοῦ Πατρὸς τὸν Υἱὸν, ἐπείπερ ἔφησεν, *Ὡς ἔστιν ἐπινοῆσαι, ὅτι κατ' ἐπιτροπὴν εἶπε καὶ τῷ ἑαυτοῦ Πνεύματι, Κάθου ἐξ εὐωνύμων μου*, τούτου χάριν ἔδοξε καὶ οὗτος τὸν Πατέρα μέσον φάναι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Τὸ δὲ τῆς ὑγιοῦς ἐννοίας πόρρω παντάπασιν. Τὸ γὰρ ἐξ εὐωνύμων καθῆσθαι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Πατρὸς *ἔστιν*, εἴρηκεν ὁ Μέγας, *ἐπινοῆσαι*, τὴν τινῶν ἐκφήνας ἄτοπον ἔνθεν ὑπόληψιν, οὐ μὴν καὶ συγκατατίθεται· μᾶλλον μὲν οὖν ἐξ ὧν ἐπιφέρει, καὶ ψεῦδος ταύτην ἀπελέγξας τρανῶς, ἀπὸ χρήσεως γραφικῆς σαφῶς παρίστησι τὴν ἀλήθειαν. Προϊὼν γὰρ πρὸς τῷ τέλει τοῦ αὐτοῦ κεφαλαίου ταῦτα διέξεισιν, ὡς ἐν τῷ ἑκατοστῷ ἐννάτῳ Ψαλμῷ φησιν. « *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου,* » *καὶ καθισάντων αὐτῶν, Λέγει ἡ Γραφὴ πρὸς τὸν Χριστόν*· « *Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ Κύριος ἐκ δεξιῶν σου.* » Δῆλον οὖν ὅτι τὸ Πνεῦμα ἐκ δεξιῶν ἐστι. Καὶ ἐν τῷ πέμπτῳ δὲ τῶν κεφαλαίων τὸ αὐτὸ τοῦ τοιούτου Ψαλμοῦ ῥητὸν ἐξηγούμενος λέγει· *Τοῦ οὖν Υἱοῦ πάλιν ἐκ δεξιῶν τὸ Πνεῦμα*. Τὸ τοίνυν ἐκ δεξιῶν τοῦ Μονογενοῦς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐντεῦθεν καὶ νοεῖσθαι μέσον μάλιστα τὸν Υἱὸν διὰ τῆς μιᾶς ταύτης ἀξιοπίστου Γραφικῆς χρήσεως κἂν τοῖς δυσὶ τούτοις κεφαλαίοις ἀπέδειξε. Τὸ δ' *ἐξ εὐωνύμων καθῆσθαι τοῦτο τοῦ Θεοῦ καὶ Πατρὸς*, ὅπερ ἀνάξιον ὄντως καὶ λέγειν, ὅτι μηδὲ χώραν ἔχει συνόλως ἐκεῖ τὸ λαιὸν, *ἔστιν*, εἶπε, *καὶ μόνον ἐπινοῆσαι*, τὸ τῶν πολλῶν ἐντεῦθεν τάχα, περίεργον αἰνιττόμενος. Ἀπεκρούσατο δὲ παρακατιὼν δι' ὧν ὑπηγόρευσεν. Ἑκάτερα γὰρ ὑπάρχειν τῶν ἀδυνάτων ἓν τι καθέστηκεν· πλὴν εἰ μή που περιττός τις ὡς τὰ πολλὰ τὴν κάτω σύνεσιν ὢν καὶ βαθέων δῆθεν ἐννοιῶν ἀναμοχλεύσας, τὸ ἐκ δεξιῶν τοῦ Μονογενοῦς ἐξ εὐωνύμων εἶναί πως ἐρεῖ τοῦ Πατρὸς, συμβιβάζων οὕτως ἀμφότερα τὸ δοκεῖν. Ἀλλὰ τοῦτο μὲν οὐδὲ διὰ στόματος προφέρειν καλὸν, μή τοί γε τὸ παράπαν φρονεῖν· ἐπεὶ μηδὲ περιόδους κυκλικὰς ἐκεῖσε δέον ποιεῖν, ὃ δῆτά τισι τῶν νῦν ἀρέσκει σοφῶν, ὡς φθάσαντες ἐδηλώσαμεν ἄνωθεν.

λγ'. Τὸ δὲ τὸν Υἱὸν μέσον ὑπάρχειν τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος διὰ πολλῶν ἤδη δέδεικται· καὶ

propriam exsistentiam immanent, Filius immediate proprio genitori adhærens, Spiritus per Filium, ut postmodum oratio multis declarabit Patri conjunctus. Hoc indicans in rebus theologicis eximius hic Pater oratione prima de Filio præ aliis monarchiam stabiliens, *et ad unum eorum, quæ ex ipso sunt, conjuncta propensio*, dixit. Et de his satis, quorum ego fortasse non malus a viris prudentibus judicarer interpres. Reliquum est itaque et verba magni Patris Athanasii examinare, et addecentem illis, ut fieri poterit, solutionem afferre. Symbolice etenim beatus ille ex rebus humanis nostrisque, de iis quæ supra nos sunt locutus, cum ostendisset a dextris Patris Filium sedere, postquam dixisset: *Ut datur intelligi, mandantem dixisse et suo Spiritui: Sede a sinistris meis*, propterea visus est et hic B medium inter Filium et Spiritum Patrem collocasse. Sed id a vera intelligentia quam longissimum est. Namque a sinistris Patris Spiritum sanctum sedere, *datur intelligi* Magnus dixit, nonnullorum, quæ inde oriebatur, absurdam opinionem promens, cui ipse assensum minime præstat; imo ex illis quæ subnectit, eam uti mendacio implicitam refellens, palam clareque Scripturæ auctoritate veritatem aperit: procedens siquidem in fine dicti capitis digerit: *Uti in centesimo nono Psalmo ait:* « *Dixit Dominus Domino meo: Sede a dextris meis,* » *et cum illi sedissent, dicit Scriptura ad Christum:* « *Juravit Dominus, et non pœnitebit eum: Tu es Sacerdos in æternum secundum ordinem Melchisedec,* C *et Dominus a dextris tuis.* » Manifestum itaque est, Spiritum a dextris esse. Et in quinto capite idem ejusdem Psalmi dictum explanans, inquit: *Filii itaque rursus a dextris Spiritus.* Igitur a dextris Unigeniti Spiritus sanctus cum sit, inde et præcipue medium intelligi Filium, ex hac sola Scripturæ auctoritate, in his duobus capitibus demonstratur. At illud *a sinistris Dei et Patris sedere*, quod indignum profecto est, quod vel verbis exprimatur: ibi enim sinistro locus omnino nullus est: *datur*, inquit, *facultas tantum intelligi*, multorum inde fortasse curiositatem innuens, quam procedente oratione, ex iis quæ pronuntiaverat, retudit. Utraque enim esse fieri nequit; ni quispiam infima hac prudentia præcellens, et profundas cogitationes D submovens, ex dextris Unigeniti ex sinistris esse Patris quodammodo dicat, sic utraque concordans, ut sibi videtur. Sed hoc neque ore proferre integrum fuerit, tantum abest ut animo teneatur, cum neque circulares periodi ibi concipiendæ sunt, quod quibusdam sapientibus perplacet, ut supra significavimus.

33. Verum Filium inter Patrem et Spiritum medium esse, pluribus jam demonstratum est.

Digitized by Google Распознавание текста АВК/FR

et hoc uti ordo divinæ naturæ congruentissimus postulat. Ordo etenim aliquis est etiam in Trinitate, quo Pater ante Unigenitum, Unigenitus ante Spiritum intelligitur, licet hunc quoque adversarii conantur evertere. Dicunt enim non esse admittendum in Deo ordinem, et lingua aurea præditum sermonis sui adjutorem assumunt, qui in sua homilia, quam ille habuit in dictum Abraami : « *Pone manum tuam in femur meum* [91], » hisce verbis utitur : *Dicitur enim habere Trinitas ordinem, non quod inordinata sit, sed quod supra ordinem sit.* Hoc itaque proponentes propriam opinionem corroborare contendunt, uti qui divini Patris semel propositum ignorarunt, neque illis quæ non post multa verba edisserit, animum adverterunt. Hic enim procedente oratione dicit : *Itaque divinas hypostases ordo discernens dignis innotescit : qui vero naturas discernit in sancta Trinitate prorsus rejicitur.* Naturas itaque discernentem ordinem in Trinitate a sanctis rejici declarans, divinas hypostases discernentem illis ipsis innotuisse decernit. Quibus omnino uti expurgatis sua Trinitas revelavit, ut magni theologi Gregorii verbis utar, qui in secunda oratione de Pace scribit : *Ita tenemus, ita sentimus, ut quomodo se habeant inter se hæc relatione et ordine ipsi soli Trinitati concedamus cognitionem, et quibus ipsa Trinitas expurgatis revelabit aut nunc, aut postmodum.* Quinam vero hi sunt, et quid, et quo in loco de hoc unusquisque pertractavit, ego pro viribus eloquar nulla interposita mora. Primus magnus Basilius primo adversus Eunomium antirrhetico longo sermone de ordine usus, hæc ipsissimis verbis exponit : *Sed ordo alter naturalis est, alter artificiosus. Naturalis qui creaturarum juxta creandi rationes dispositus est, et positio numeri et causarum ad effectus relatio, ante omnia cum illud in confessis sit, ipsius naturæ Deum et creatorem et opificem esse. Artificiosus vero, et industria hominum excogitatus, qui in structuris et disciplinis, et dignitatibus, et numero, et similibus. Horum primum occultans Eunomius, secundæ speciei ordinis mentionem fecit, aitque non esse opus asserere ordinem in Deo, cum ordo ordinante posterior sit. Illud autem vel non animadvertit, vel volens prudensque occultavit, esse genus aliquod ordinis, non nostra industria constitutum, sed secundum naturæ seriem contingens veluti ignis ad lumen, quod ex eo est. In his etenim prius causam dicimus, posterius quod ab eo est, non intervallo ea ab invicem dirimentes, sed ante effectum causa intelligentes. Quomodo itaque rationi consentaneum fuerit, ordinem denegare, in quibus est prius et posterius, non nostra industria, sed ex naturali in ipsis exsistente consecutione? Qua ergo de causa ordinem assumere in Deo respuit? Opinatur si ostenderit, nequaquam aliter prius in Deo intelligi, reliquum se habiturum, in ipsa scilicet*

A τοῦτο κατὰ τάξιν τῇ θείᾳ φύσει πάντως προσῆκουσαν. Τάξις γάρ τίς ἐστι κἀν τῇ Τριάδι, καὶ ἦν ὁ μὲν Πατὴρ τοῦ Μονογενοῦς, οὗτος δὲ προθεωρεῖται τοῦ Πνεύματος. κἂν ἀναιρεῖν ἐπιχειρῶσι καὶ ταύτην οἱ ἀνθιστάμενοι. Φασὶ γὰρ μὴ δεῖν ἐπὶ Θεοῦ τάξιν δέχεσθαι, καὶ τὸν χρυσοῦν τὴν γλῶτταν προβάλλονται τοῦ λόγου τούτων ἐπίκουρον, ὃς ἐν μιᾷ τῶν ὁμιλιῶν αὐτοῦ, τῇ εἰς τὸ ῥητὸν τοῦ Ἀβραὰμ τὸ λέγον, « *Θὲς τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου,* » ῥητῶς οὕτω διέξεισιν· *Λέγεται γὰρ ἔχειν τάξιν ἡ Τριὰς, οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τάξιν ὑπερβαίνουσα.* Τοῦτο τοίνυν οὗτοι προτείνοντες τὴν οἰκείαν δόξαν συστῆσαι σπουδάζουσιν, ἅτε τὸν τοῦ θείου Πατρὸς καθάπαξ σκοπὸν ἀγνοήσαντες, μηδὲ προσσχόντες τοῖς τούτῳ ῥηθεῖσι μετ' οὐ πολλά. Προϊὼν B καὶ γὰρ οὗτος αὐτὸς, *Οὐκοῦν ἡ μὲν τῶν θείων ὑποστάσεων, λέγει, διακριτικὴ τάξις τοῖς ἀξίοις καθέστηκε γνώριμος· ἡ δὲ τῶν φύσεων διακριτικὴ ἐπὶ τῆς ἁγίας Τριάδος ἀπόβλητος.* Τὴν τοίνυν τῶν φύσεων διακριτικὴν τάξιν ἐπὶ τῆς Τριάδος τοῖς ἁγίοις εἶναι διατρανώσας ἀπόβλητον, τὴν τῶν θείων ὑποστάσεων διακριτικὴν καθεστηκέναι τούτοις αὐτοῖς ἀποφαίνεται γνώριμον. Οἷς πάντως ἅτε κεκαθαρμένοις τὰ περὶ ταύτης ἡ Τριὰς ἀπεκάλυψε κατὰ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον, ὃς ἐν τῷ δευτέρᾳ τῶν εἰρηνικῶν, *Οὕτω φρονοῦμεν,* φησὶ, καὶ οὕτως ἔχομεν, ὥστε ὅπως μὲν ἔχει πρὸς ἄλληλα ταῦτα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι, καὶ οἷς ἂν ἡ Τριὰς ἀποκαλύψῃ κεκαθαρμένοις ἢ νῦν ἢ ὕστερον. Πάλι δὲ C τινες οὗτοι, τί τε καὶ ποῦ περὶ ταύτης διέλαβον ἕκαστος, ἐγὼ κατὰ σθένος ἐρῶ, μηδὲν ὑπερθέμενος. Ἐν πρώτοις καὶ γὰρ ὁ μέγας Βασίλειος ἐν μὲν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν πολὺν λόγον περὶ τῆς τάξεως ποιησάμενος, τάδε πρὸς ἔπος φησίν· Ἀλλὰ καὶ τάξις ἡ μὲν φυσική τίς ἐστιν, ἡ δὲ κατ' ἐπιτήδευσιν· φυσικὴ μὲν, ὡς ἡ τῶν κτισμάτων κατὰ τοὺς δημιουργικοὺς λόγους ταχθεῖσα, καὶ ὡς ἡ τοῦ ἀριθμοῦ θέσις, καὶ ἡ τῶν αἰτίων πρὸς τὰ αἰτιατὰ σχέσις, ἐκείνου προδιωμολογημένου τοῦ καὶ τῆς φύσεως αὐτῆς ποιητὴν εἶναι καὶ δημιουργὸν τὸν Θεόν· ἐπιτετηδευμένη δὲ καὶ τεχνικὴ, ὡς ἡ ἐν τοῖς κατασκευάσμασι, καὶ μαθήμασι, καὶ ἀξιώμασι, καὶ ἀριθμῷ καὶ τοῖς D τοιούτοις. Τούτων τοίνυν τὸ πρότερον ἀποκρυβόμενος ὁ Εὐνόμιος, τοῦ δευτέρου εἴδους τῆς τάξεως ἐπεμνήσθη, καί φησι μὴ χρῆναι λέγειν ἐπὶ Θεοῦ τάξιν, ἐπείπερ ἡ τάξις δευτέρα τοῦ τάττοντος. Ἐκεῖνο δὲ ἢ οὐ σύνοιδεν, ἢ ἐκὼν ἀπεκρύψατο, ὅτι ἔστι τι τάξεως εἶδος οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀπ' ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεικονοῦντες τὸ αἴτιον. Πῶς οὖν εὔλογον ἀρνεῖσθαι

[91] Gen. XXIV, 2.

Digitized by Google Распознавание текста ABBYY FR

τὴν τάξιν, ἐφ' ὧν ἐστι πρότερον καὶ δεύτερον οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Τίνος οὖν ἕνεκεν ἀθετεῖ τὴν τάξιν ἐπὶ Θεοῦ λαμβάνεσθαι; Ἡγεῖται, εἰ ἐπιδείξειε μηδαμῶς ἄλλως τὸ πρότερον ἐπὶ Θεοῦ νοεῖσθαι, λειπόμενον ἔξειν κατ' αὐτὴν τὴν οὐσίαν τὴν ὑπεροχὴν ἐπιδεικνυσθαι. Ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν προτετάχθαι τοῦ Υἱοῦ τὸν Πατέρα φαμέν· κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν οὐκέτι, οὐδὲ κατὰ τὴν τοῦ χρόνου ὑπεροχήν. Ἢ οὕτω γε καὶ αὐτὸ τὸ Πατέρα εἶναι τὸν Θεὸν ἀθετήσομεν τῆς κατὰ τὴν οὐσίαν ἀλλοτριότητος τὴν φυσικὴν συνάφειαν ἀθετούσης. Καὶ ταῦτα μὲν ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν. Ἐν γὰρ τῷ τρίτῳ τῶν αὐτῶν ἀντιῤῥητικῶν, Τίς γὰρ ἀνάγκη, φησὶν, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ Πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων δεδιδάγμεθα Γραφῶν, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν συλλογίζεσθαι. Ὡς γὰρ ὁ Υἱὸς τῇ τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τὸ εἶναι Πατέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα, φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποβέβηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως. Ὁ αὐτὸς ἐν τῇ πρὸς τὸν οἰκεῖον ἀδελφὸν Γρηγόριον τὸν Νύσσης ἐπιστολῇ τάδε φησίν· Ὁ τὸ Πνεῦμα νοήσας αὐτό τε ἐφ' ἑαυτοῦ ἐνόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο· ὁ δὲ τοῦτο λαβὼν τοῦ Υἱοῦ τὸν Πατέρα οὐ κατεμέρισεν, ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν κατὰ ταυτὸν συγκεκραμένην ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο. Καὶ ἐν τῷ δεκάτῳ ἑβδόμῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων· Ὡς τοίνυν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, οὕτω πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ λόγου σύνταξιν. Εἰ δὲ τὸ Πνεῦμα τῷ Υἱῷ συντέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι. Τούτων τὰ μὲν ἀντιλέγων, τὰ δὲ καὶ διδάσκων Βασίλειος ὁ μέγας, ἡ τῆς ἀληθείας εὔσημος σάλπιγξ ἐφθέγξατο. Διαλαμβάνων δὲ πάλιν περὶ τῆς τάξεως ἀλλαχοῦ, βαρέως τῶν ἀθετούντων αὐτὴν καταφέρεται. Καὶ γὰρ ἐν μὲν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ, Τὸ Πνεῦμα τὸ ἅγιον, λέγει, Πατρὶ μὲν καὶ Υἱῷ συναριθμεῖται, διότι καὶ ὑπὲρ τὴν κτίσιν ἐστί· τέτακται δὲ, ὡς ἐν Εὐαγγελίῳ δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος, « Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Ὁ δὲ προτιθεὶς τοῦ Υἱοῦ, ἢ

A substantia eminentiam demonstrari. Nos vero secundum causarum ad ea, quæ ex ipsis sunt, relationem præponi Filio Patrem fatemur, naturæ vero diversitate nullo modo, neque secundum temporis exsuperantiam. Sic enim et Patrem esse Deum rejiceremus, cum essentialis diversitas naturalem conjunctionem respuat. Et hæc quidem in primo adversus Eunomium antirrhetico, in tertio vero: Quæ enim necessitas est, si dignitate et ordine tertius est Spiritus, tertium quoque esse eumdem naturæ? Dignitate enim secundum esse a Filio, traditæ pietatis ratio, sed natura tertia uti, neque a sanctis Litteris edocemur, neque ex his, quæ dicta sunt, recta ducta sequela possumus demonstrare. Quemadmodum enim Filius ordine quidem secundus est a Patre, quoniam B ex illo, et dignitate, quod principium et causa Pater illius est, et quod per ipsum accessus et adductio ad Deum et Patrem, natura vero neutiquam secundus, quod Deitas in utroque una: ita videlicet et Spiritus sanctus etsi ordine Filio inferior est et dignitate, nunquam tamen rite dicemus, sequi eum alteritus esse naturæ. Idem epistola ad proprium fratrem Gregorium Nysseaum hæc habet: Qui Spiritum intellexit, ipsum in seipso intellexit, et Filium simul ea intelligentia complexus est, qui vero hunc acceperit, Filium a Patre non divisit, sed juxta ordinem quidem personarum consequenter, juxta vero naturam conjunctim trium personarum fidem eadem ratione contemperatam in seipso expressit. Et in decimo C septimo capite ad Amphilochium: Quemadmodum ergo se habet Filius ad Patrem, ita se habet Spiritus ad Filium secundum sermonis constructionem in baptismo traditam. Quod si Spiritus eodem atque Filius ordine collocatur; Filius autem eodem atque Pater et Spiritus, et Pater dumtaxat. Horum partim quidem contradicens, partim docens magnus Basilius veritatis sonora tuba fassus est. Alio quoque loco de ordine disputans, illum non admittentes vehementissime accusat. Namque ad canonicas epistola scribit: Spiritus sanctus Patri et Filio connumeratur, quod supra omnem creaturam consistit, locum vero occupat, quemadmodum nos docet in Evangelio Dominus, dicens: « Euntes baptizate in nomine Patris, et Filii et Spiritus sancti [22]. » D Qui præposuerit illum Filio, vel Patre dixerit antiquiorem esse, resistit iste Dei ordinationi, et a sana fide alienus aberrat, dum non inviolatum conservat illum ordinem glorificationis, quem accepit traditum, sed ut placere possit hominibus, verborum sibi adinvenit novitates. Et paucis additis: Usque adeo hæc de ordine innovatio ipsius subsistentiæ annihilationem, et fidei totius abnegationem habet. Æque ergo impium est, et ad creaturas Spiritum deducere, et superiorem Patre et Filio statuere, sive sit secundum tempus, sive ratione ordinis superioritas illa. Et epistola ad Eustathium hæc habet: Fugiendos esse, qui seriem nobis a Domino traditam invertentes, uti

[22] Matth. XXVIII, 19.

Digitized by Google Распознавание текста АВК/FR

manifesto pietatis oppugnatores, dum Filium Patri, præponunt, et Spiritum sanctum Filio. Hæc de ordine in Trinitate magnus in rebus divinis Basilius, quorum potior pars horrorem ac terrorem incusserit sibi bene consciis animis.

A *πρεσβύτερον λέγων Πατρὸς, οὗτος ἀνθίσταται μὲν τῇ τοῦ Θεοῦ διαταγῇ, ἀλλότριος δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὃν παρέλαβε τρόπον δοξολογίας φυλάττων, ἀλλ' ἑαυτῷ καινοφωνίαν εἰς ἀρέσκειαν ἀνθρώπων ἐπινοῶν.* Καὶ μετὰ βραχέα· *Ὥστε ἡ περὶ τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει, καὶ ὅλης τῆς πίστεώς ἐστιν ἄρνησις. Ὁμοίως οὖν ἐστιν ἀσεβὲς καὶ ὑπὲρ τὴν κτίσιν καταγαγεῖν, καὶ ὑπερτιθέναι αὐτὸ ἢ Υἱοῦ ἢ Πατρὸς, ἢ κατὰ χρόνον, ἢ κατὰ τὴν τάξιν.* Ἐν δὲ τῇ πρὸς Εὐστάθιον ἐπιστολῇ τάδε φησίν· *Ὅτι φεύγειν δεῖ καὶ τοὺς τὴν ἀκολουθίαν, ἣν παρέδωκεν ἡμῖν ὁ Κύριος, ἐναμείροντας, ὡς φανερῶς μαχομένους τῇ εὐσεβείᾳ, καὶ Υἱὸν προτάσσοντας τοῦ Πατρὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον προτιθέντας.* Τοσαῦτα περὶ τῆς ἐν τῇ Τριάδι τάξεως ὁ πολὺς τὰ θεῖα Βασίλειος, καὶ οὕτω τὰ πλείω γέμοντα ταῖς εὐσυνειδήτοις ψυχαῖς φρίκης καὶ φοβερότητος.

34. Quod si ex adversariis non nemo dixerit, ob eos qui nominum positionem in suis sermonibus immutant, hæc omnia magnum illum virum enuntiasse, quod ex iis quæ ad aliud sunt Pater et Filius, propriereaque collocandum esse cum Patre Filium in enumeratione: cum alia ratione nihil impediat, statim post Patrem Spiritum sanctum collocare, quod nonnulli, qui omnia audent, non veriti sunt effutire, secundum solam relationem ad Patrem, existimantes illico subinferri Filium; non vero secundum exsistentiam, namque secundum illam paria esse contendunt Verbum et Spiritum sanctum, quæ æqualiter eam habent a Patre. Et fortasse confirmant verbis Gregorii Theologi ex oratione in sacrum baptisma: *Mihi in animo est Patrem majorem dicere, ex quo est et æquales esse, qui sunt æquales, et quod sint. Hoc enim ab omnibus concedetur, et metuo ne principium inferiorum principium faciam, et per prælationem injuriam afferam illis quæ propter æqualem honorem æqualiter a Patre progrediuntur.* Si hæc dicunt, erga vesitatem apertam temere insolescunt, et hisce inverecunde veluti robustis vinculis orationis cursum impedire conantur, sed primum quidem eos confundent magni Basilii verba, qui vocavit *de ordine innovationem ipsius exsistentiæ annihilationem, et fidei totius abnegationem.* Quomodo enim de ordine innovatio exsistentiæ annihilatio fuerit, si non secundum exsistentiam ordo est? Postmodum confundet, quod omnes sciunt Evangelii mystam et mystagogum illa Christi retulisse: « *Ego et Pater unum sumus,* » et iterum: « *Ego et Pater una veniemus et mansionem apud eum faciemus*[23], » cujus ex Evangelio voces cum audisset præco Christi mei os, magnus Paulus apostolus, clamat et ipse sonora voce: « *Gratia Domini nostri Jesu Christi, et charitas Dei et communicatio Spiritus sancti sit cum omnibus vobis*[24]. » Et alio loco: « *Divisiones gratiarum sunt, idem autem Spiritus; et divisiones ministeriorum sunt, idem autem Dominus; et divisiones operationum sunt, idem autem Deus, qui operatur omnia in omnibus*[25] : » ibi quidem ante Patrem collocans Filium, hic ante Patrem et Filium, Spiritum sanctum, et rursus ante Patrem Filium. Et Dei parens David et rex: « *Quo vadam*

λδ'. Εἰ δὲ λέγουσι τῶν ἀνθεστηκότων τινὲς διὰ τοὺς τὴν θέσιν τῶν ὀνομάτων ἐν τοῖς αὐτῶν λόγοις ἀδεῶς μεταλλάττοντας ταῦτα πάντα τὸν μέγαν εἰπεῖν, ὅτι B τῶν πρός τι Πατὴρ καὶ Υἱὸς, καὶ χρὴ διὰ τοῦτο συντάττεσθαι τῷ Πατρὶ κατὰ τὴν ἀπαρίθμησιν τὸν Υἱόν· ἐπεὶ καθ' ἕτερον λόγον οὐδὲν τὸ κωλύον συγκαταλέγειν εὐθὺς τῷ Πατρὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τοῦτο γὰρ ἔνιοι τῶν τὰ πάντα θρασέων οὐκ ὤκνησαν ἀπερεύξασθαι κατὰ τὴν πρὸς τὸν Πατέρα καὶ μόνον σχέσιν οἰόμενοι συνεισάγεσθαι παραυτὰ τὸν Υἱὸν, οὐ μὴν δὲ κατὰ τὴν ὕπαρξιν· κατ' αὐτὴν γὰρ ὡσαύτως εἶναι βούλονται τόν τε Λόγον καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἴσην ταύτην ἔχοντα παρὰ τοῦ Πατρός· καὶ τοῦτο παριστῶσι τυχὸν ἐκ τοῦ τὸν Θεολόγον εἰρηκέναι Γρηγόριον εἰς τὸν περὶ τοῦ Βαπτίσματος λόγον· *Θέλω τὸν Πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις εἶναι τοῖς ἴσοις ἐστὶ καὶ τὸ εἶναι. Τοῦτο γὰρ* C *παρὰ πάντων δυθήσεται· καὶ δέδοικα τὴν ἀρχὴν μὴ ἐλαττόνων ἀρχὴν ποιήσω, καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως, ἐξ ὧν διὰ τὴν ὁμοτιμίαν ἐπίσης προΐεται καὶ ἅμα φρονοῦσιν ἐκ τοῦ Πατρός.* Εἰ ταῦτα λέγουσι πρὸς φανερὰν ἀλήθειαν ἀνέδην ἀπαυθαδιαζόμενοι, καὶ τούτοις ἐνεθριάστω; ὡς ἰσχυροῖς ἅμμασι τὸν λόγον τοῦ πρόσω κατέχουσιν, ἐντρέψει μὲν αὐτοὺς καταρχὰς τὸ τὸν μέγαν λέγειν Βασίλειον, ὡς *ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει, καὶ ὅλης τῆς πίστεώς ἐστιν ἄρνησις·* πῶς γὰρ τῆς ὑπάρξεως; ἀθέτησις τὸ τὴν τάξιν καινοτομεῖν, εἰ μὴ κατὰ τὴν ὕπαρξιν ἡ τάξις ἐστίν; ἐντρέψει δὲ μετὰ ταῦτα καὶ τὸ πάντας ἐπίστασθαι τοῦτον τοῦ Εὐαγγελίου μύστην τε καὶ μυσταγωγὸν, οὗ κῆρυξ τὸ τοῦ D Χριστοῦ μου στόμα, Παῦλος ὁ μέγας ἀπόστολος, ὃς παρ' αὐτοῦ διὰ τῆς ἐν Εὐαγγελίοις τούτου φωνῆς, « Ἐγὼ καὶ ὁ Πατὴρ, » ἀκροασάμενος, « ἔρχεται, » καὶ πάλιν, « Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » βοᾷ καὶ αὐτὸς διαπρύσιον· *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν.* » Καὶ ἀλλαχοῦ· « *Διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν·* » ἐκεῖ μὲν προτάττων

[23] Joan. xiv, 23. [24] I Cor. xvi, 23. [25] I Cor. xii, 4 sqq.

Digitized by Google Распознавание текста АВК/FR

τοῦ Πατρὸς τὸν Υἱόν, ἐνταῦθα δὲ τὸ Πνεῦμα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προτιθεὶς, καὶ τὸν Υἱὸν δὲ πάλιν αὐτὸν τοῦ Πατρός. Καὶ Δαυὶδ ὁ θεοπάτωρ καὶ βασιλεύς· « *Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;* » Πρόσωπον δὲ τοῦ Πατρὸς ὁ Υἱός. « *Ὁ ἑωρακὼς γὰρ ἐμὲ,* » φησὶν, « *ἑώρακε τὸν Πατέρα μου.* » Τὸ δὲ μικρὸν ὕστερον ὁ λόγος ἀποδείξει τρανότερον. Τούτων οὕτω τοῖς πᾶσι γινωσκομένων, πόθεν ἂν εἶχε τὴν κατὰ τὴν ἀπαρίθμησιν τάξιν ἐναλλαγὴν τῶν ὀνομάτων κακίζειν, ἀσέβειάν τε ταύτην ἀποκαλεῖν, καὶ τῆς ὑγιαινούσης πίστεως ἀλλοτρίωσιν ὁ τὴν κατὰ Χριστὸν παιδείαν ἐπέκεινα πάντων μαθητευθεὶς, καὶ ταύτην ἀκριβῶς ἐξασκήσας, ὡς καὶ τοῖς ἄλλοις γενέσθαι διδάσκαλος, ὁ μηδὲν τῆς εὐαγγελικῆς πυκτίδος, καὶ τῶν σεπτῶν ἐπιστολῶν Παύλου τοῦ θεοκήρυκος παρὰ πάντα τὸν βίον προτιμότερον ἡγησάμενος; τῶν δὲ Δαυϊδικῶν Ψαλμῶν τὸ βάθος ἐξιχνιάσας οὐκ ἀπεικὸς ὡς ἄριστα διερμηνεῦσαι καὶ τὰ τέως τούτων δοκοῦντα δυσέφικτα τοῖς πολλοῖς. Ἐγὼ μὲν οὖν οὔτ' ἂν φαίην ποτὲ, καὶ τῶν λεγόντων οἵτινές εἰσι παραφροσύνην καταγινώσκω πολλὴν· ἐπεὶ τῶν δύο τούτων ἓν γέ τι πάντως συνάγουσιν, ἢ τὸ μὴ ταῖς θείαις ταύταις τὸν μέγαν ἐντετυχηκέναι φωναῖς, ὅπερ ἀδύνατον, οὐ γὰρ ἂν τὸν τοσοῦτον περὶ τὴν τῶν ἱερῶν Λογίων ἐξέτασιν αἱ καθ' ἑκάστην σχεδὸν ἐπ' ἐκκλησίας εἰς κοινὴν ἀκρόασιν ἀναγινωσκόμεναι ῥήσεις διέλαθον, ἢ τὸ κατὰ γνώμην τὴν ἐναντίαν τούτοις βαδίζειν αὐτόν. Καὶ ποῦ τοῦτο Χριστιανικῆς καταστάσεως; Τὰ γὰρ τῆς ὕδρεως οὕτως ἔνθα καὶ διαβαίνει, παρίημι τοὺς πάντας σκοπεῖν. Ἀλλ' οὐδὲν τούτων οὐδὲ ἐννοῆσαι χρεών, μή τοί γε τῶν χειλέων προενεγκεῖν· ὅτι τὸ μὲν ἀναισχυντίας γέμει συχνῆς, τὸ δὲ δυσφημίας πάσης ἀνάπλεων. Ὥστε καὶ τῶν τοιούτων θείων φωνῶν ἐν γνώσει τυγχάνων, ἄκρως τε τούτων ἐπειλημμένος ὁ μέγας Βασίλειος, καὶ ταύτας στέργων δεόντως, ἅτε καλῶς ἐχούσας, καὶ προσαποδεχόμενος, οὐ τὴν κατὰ τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐναλλαγὴν, τὴν δὲ καθ' ὕπαρξιν αἰτιᾶται τούτων μετάθεσιν. Ὅτι δὲ καὶ τὸ κατὰ τὸν Θεολόγον Γρηγόριον ἰσότιμον τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος οὕτι που τὴν ὕπαρξιν ὡσαύτως ἔχειν καταναγκάζει τούτων ἀμφοῖν, ὡς ἐντεῦθεν μηδὲ τάξιν κατ' αὐτὴν ἐν τούτοις ὅλως τελεῖν αὐτόθεν, ἐκ τῆς προεκτεθείσης, λέγω, πατρικῆς ταύτης χρήσεως, καταφανὲς τοῖς ὀπωσοῦν ἐφιστάνουσιν. *Δέδοικα γὰρ,* φησὶν ὁ μέγας, *τὴν ἀρχὴν μὴ ἐλαττόνων ἀρχὴν ποιήσω,* δηλῶν ἐκ τούτου σαφῶς ὡς ἴση καὶ ἡ ἀρχὴ τοῖς ἐξ αὐτῆς πάντως ἐστὶ, καὶ τὸ ἀρχικὸν οὐκ ἀναιρεῖται πρὸς τῆς ἰσότητος, ἤτις, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, ὁμοτιμίαν φύσεως, καὶ γνώμης σύμπνοιαν, καὶ ταυτότητα κινήσεως δείκνυσι. Περὶ τούτου πάλιν ἐν δευτέρῳ τῶν Εἰρηνικῶν τρανότερον ὁ θεηγόρος οὗτος διέξεισι, *Τριὰς,* λέγων, *ὡς ἀληθῶς ἡ Τριὰς, ἀδελφοὶ, Τριὰς δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις. Ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἐξ ὧν τὴν πρὸς τὸν Πατέρα παρίστησιν ἰσότητα τοῦ*

A *a Spiritu tuo, et a facie tua quo fugiam* [26]? » Facies autem Patris Filius est : « *Qui enim vidit me,* » inquit, « *vidit et Patrem meum* [27]. » Quod paulo post oratio clarius demonstrabit. Hæc cum ita decreta sint ab omnibus, undenam in ordine, qui est secundum enumerationem, nominum immutationem improbare potuit, impietatemque eam nuncupare, et sanæ fidei alienationem, qui secundum Christum doctrinam supra alios edoctus eam adeo exquisite exercuit, ut aliis etiam doctor evaserit, et qui libro Evangelico, et Pauli divini præconis sacris Epistolis cum viveret, nihil habuit pretiosius, Davidicorum vero Psalmorum profunda expiscatus, non abjecte, sed omnium optime, quæ eatenus multis captu difficilia erant, interpretatus B est. Ego itaque nunquam id asserentes ingentis dementiæ insimularem, cum ex duobus alterum omnino colligant; aut magnum hunc virum in has voces non incidisse, quod fieri nequit, neque enim hunc in sacris Eloquiis examinandis talem tantumque, quæ fere singulis diebus in ecclesia in communem omnium audientiam legebantur latuissent· aut contraria sentientem via atque illi alia inambulare. Et quomodo id fuerit Christianæ constitutionis? Nam injuria sic prolata quonam procedat, omnibus considerandum relinquo. Sed nec mente quidem concipere, tantum abest, ut labiis profiteri fas sit, quod hoc quidem impudentiæ summæ est, illud convitii infamiæque plenum. Quare divinarum harum vocum probe gnarus, et earum sententiam pulchre callens magnus Basilius, easque, uti C par est, tanquam bene dictatas amplectens excipiensque, non immutationem, quæ nominum enumeratione, sed secundum exsistentiam fit, transpositionem criminatur. Verumtamen secundum Gregorium Theologum honorem æqualem Filii et Spiritus utrorumque exsistentiam æque se habere, non cogere, ut inde neque ordo ratione illius in his penitus nullus sit, ex prælaudata Patris auctoritate omnibus manifestum remanet : *Metuo ne principium inferiorum principium faciam,* his manifesto indicans æquale prorsus esse principium etiam illis, qui ex ipso sunt, et principale ab æqualitate non dirimi, quæ, ut cum eodem loquar, æqualem honoD rem naturæ, et sententiæ conspirationem, et motionis conformitatem commonstrat. De hoc eodem iterum in secunda oratione de pace diviniloquus iste clarius his verbis prosequitur : *Trinitas vere Trinitas, fratres, Trinitas non inæqualium rerum enumeratio, sed parium et ex æquo honorem possidentium comprehensio,* quibus erga Patrem Filii et Spiritus paritatem confirmat : sed quemadmodum hisce paternus ordo non læditur, cum hac etiam ratione Pater principium sit, sic et in Filio et Spiritu horum æqualitas ordinem, qui in illis est, minime dirimit. Hunc itaque ordinem in Triade conservare maxime necessarium est, quem et magnus Athanasius perbelle callens oratione tertia

[26] Psal. CXXXVIII, 7. [27] Joan. XIV, 9.

Digitized by Google Распознавание текста АВК/FR

contra Arianos scribit : *Non Spiritus conjungit Verbum Patri, sed potius id Spiritus a Verbo accipit.* Et post pauca : *Cum enim Verbum sit in Patre, Spiritus vero a Verbo detur, vult accipere nos Spiritum, ut cum illum accepimus, tum habentes Spiritum Verbi, quod in Patre est, videamur et nos propter Spiritum unum fieri in Verbo, et per illud in Patre.* Et paulo post : *Sic in Filio et in Patre erimus, et reputabimur unum, propterea quod in nobis Spiritus est, qui est in Verbo, quod est in Patre.* Et in una ex epistolis ad Serapionem de Spiritu sancto : *Etenim si, propter Verbi cum Patre unionem, nolunt esse ex rebus creatis ipsum Filium, quapropter Spiritum sanctum eamdem cum Filio unionem possidentem, quam ille habet cum Patre, creaturam nuncupant? Et plane ignorant, quemadmodum cum non dividunt Filium a Patre conservant esse unum Deum, sic cum dividunt a Verbo Spiritum, non amplius unam deitatem in Trinitate conservare.* Et multis annexis : *In Christo erat Spiritus, uti Filius in Patre.* Et iterum : *Sancta et beata Trinitas indivisa, et in seipsa unita est, et pronuntiato Patre, adest etiam illius Verbum, et in Filio Spiritus. Si vero Filius appellatur, in Filio Pater est, et Spiritus non est extra Verbum.* Et rursus in alia ad hunc eumdem epistola : *Cum Spiritus participes sumus, habemus etiam Verbi gratiam, et in ipso Patris amorem.* Concordant cum his divini Basilii verba. Namque in uno suorum capitum dicit : *In iisdem divinis operibus Trinitatem glorificari, unius Deitatis indicium est, cum non absque Filio Pater operatur, neque Filius absque Spiritu.* Et in alio eorumdem capitum : *Et non defuit unquam Filius Patri, neque Filio Spiritus.* Id idem tradit Gregorius Theologus oratione in Pentescostem, et sapiens Joannes Damascenus hunc secutus postmodum, hic quidem capite de Spiritu : *Et non defuit unquam Patri Verbum, neque Verbo Spiritus.* Mens vero theologiæ absolutissima, unde et sibi nomen vindicavit : *Neque enim addecebat esse unquam aut Filium Patri, aut Spiritum Filio.* Et paucis additis : *Omnia quæ habet Pater, Filii sunt, præterquam quod genitus non est; omnia quæ Filius, Spiritus sunt, præterquam quod genitus non est.* Hic idem tum in oratione funebri in magnum Basilium : *Unam quidem gloriam Patris cognoscimus, æqualem honorem Unigeniti, unam vero Filii, quæ Spiritus est.* Tum oratione ad Arianos et in se ipsum : *Non sustinet Pater Filio spoliari, neque Filius Spiritu sancto.* His an aliud quisquiam ad propositi nostri declarationem, in Trinitate nempe ordinem esse, conquisiverit manifestius?

Υἱοῦ καὶ τοῦ Πνεύματος· ἀλλ' ὥσπερ ἐκ ταύτης ἡ πατρικὴ τάξις οὗ παραβλάπτεται, τοῦ Πατρὸς καὶ οὕτως ὄντως ἀρχῆς, τὸν αὐτὸν τρόπον κἀπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἡ τούτων ἰσότης τὴν ἐν αὐτοῖς οὐδόλως τάξιν λυμαίνεται. Ταύτην μὲν οὖν τὴν τάξιν ἐν τῇ Τριάδι τηρεῖν τῶν ἀναγκαιοτάτων ἐστὶν, ἣν καὶ ὁ μέγας εἰδὼς Ἀθανάσιος ἐν μὲν τῷ κατὰ Ἀρειανῶν τρίτῳ λόγῳ φησὶν· *Οὐ τὸ Πνεῦμα συνάπτει τὸν Λόγον τῷ Πατρὶ, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα παρὰ τοῦ Λόγου τοῦτο λαμβάνει.* Καὶ μετ' ὀλίγα· *Ἐπειδὴ γὰρ ὁ Λόγος ἐστὶν ἐν τῷ Πατρὶ, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Λόγου δίδοται, θέλει λαβεῖν ἡμᾶς τὸ Πνεῦμα, ἵν' ὅταν ἐκεῖνο λάβωμεν, τότε ἔχοντες τὸ Πνεῦμα τοῦ Λόγου ὄντος ἐν τῷ Πατρὶ, δόξωμεν καὶ ἡμεῖς διὰ τὸ Πνεῦμα ἐν γενέσθαι ἐν τῷ Λόγῳ, καὶ δι' αὐτοῦ τῷ Πατρί.* Καὶ βραχὺ προϊών· *Οὕτως ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ ἐσόμεθα, καὶ νομισθησόμεθα ἓν γεγενῆσθαι, διὰ τὸ ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα, ὅπερ ἐστὶν ἐν τῷ Λόγῳ αὐτοῦ τῷ ὄντι ἐν τῷ Πατρί.* Ἐν δὲ μιᾷ τῶν πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῶν· *Καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Λόγου ἑνότητα οὐ θέλουσιν εἶναι τῶν γενητῶν αὐτὸν τὸν Υἱὸν, διατὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ τὴν αὐτὴν ἔχον ἑνότητα πρὸς τὸν Υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, κτίσμα λέγουσιν; Καὶ ἠγνόησαν ὅτι, ὥσπερ μὴ διαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς σώζουσι τὸ ἕνα Θεὸν εἶναι, οὕτω διαιροῦντες τοῦ Λόγου τὸ Πνεῦμα, οὐκέτι μίαν τὴν ἐν Τριάδι θεότητα σώζουσι.* Καὶ μετὰ πολλά· *Ἐν Χριστῷ ἦν τὸ Πνεῦμα, ὥσπερ ὁ Υἱὸς ἐν τῷ Πατρί.* Καὶ πάλιν· *Ἡ μὲν ἁγία καὶ μακαρία Τριὰς ἀδιαίρετος καὶ ἡνωμένη πρὸς ἑαυτήν ἐστι· καὶ λεγομένου τοῦ Πατρὸς πρόσεστι καὶ ὁ τούτου Λόγος, καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα. Ἐὰν δὲ καὶ ὁ Υἱὸς ὀνομάζηται, ἐν τῷ Υἱῷ ἐστιν ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα οὐκ ἔστιν ἐκτὸς τοῦ Λόγου.* Καὶ αὖθις ἐν ἑτέρᾳ τῶν πρὸς αὐτὸν τοῦτον ἐπιστολῶν· *Τοῦ γὰρ Πνεύματος μετέχοντες, ἔχομεν τὴν τοῦ Λόγου χάριν, καὶ ἐν αὐτῷ τὴν τοῦ Πατρὸς ἀγάπην.* Συνῳδὰ τούτοις καὶ ὁ θεῖος ὑφηγεῖται Βασίλειος. Ἐν ἑνὶ μὲν γὰρ τῶν αὐτοῦ κεφαλαίων, *Τὸ δὲ ἐπὶ τῶν αὐτῶν θεικῶν ἔργων*, φησὶ, *τὴν Τριάδα δοξάζεσθαι τῆς μιᾶς θεότητος μαρτύριον, ὅτε μήτε χωρὶς Υἱοῦ ποιεῖ Πατὴρ μήτε Υἱὸς χωρὶς Πνεύματος·* ἐν ἄλλῳ δὲ τῶν αὐτῶν κεφαλαίων· *Καὶ οὐκ ἐκλιπέ ποτε Υἱὸς Πατρὶ, οὐδὲ τῷ Υἱῷ τὸ Πνεῦμα.* Τὸ δ' αὐτὸ καὶ Γρηγόριος εἴρηκεν ὁ Θεολόγος ἐν τῷ λόγῳ τῷ εἰς τὴν Πεντηκοστὴν, καὶ ὁ ἐκ Δαμασκοῦ σοφὸς Ἰωάννης τούτοις ἀκολουθήσας μεθύστερον ἐν τῷ περὶ Πνεύματος· *Οὗτος μὲν καὶ οὐκ ἐκλιπέ ποτε τῷ Πατρὶ Λόγος, οὐδὲ τῷ Λόγῳ Πνεῦμα.* Τῆς θεολογίας ὁ ἀκριβέστατος νοῦς, ὁ καὶ ταύτην ἀκωνυμίαν κτησάμενος· *Οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ.* Καὶ μετ' ὀλίγα· *Πάντα ὅσα ὁ Πατὴρ τοῦ Υἱοῦ πλὴν ἀγεννησίας· πάντα ὅσα ὁ Υἱὸς τοῦ Πνεύματος πλὴν γεννήσεως.* Ὁ αὐτὸς ἐν μὲν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· *Μίαν μὲν δόξαν Πατρὸς γινώσκομεν τὴν ὁμοτιμίαν τοῦ Μονογενοῦς, μίαν δὲ Υἱοῦ τὴν τοῦ Πνεύματος·* ἐν δὲ τῷ πρὸς Ἀρειανοὺς καὶ εἰς ἑαυτόν· *Οὐκ ἀνέχεται Πατὴρ Υἱὸν ζημιούμενος, οὐδὲ Υἱὸς τὸ Πνεῦμα τὸ ἅγιον.* Τούτων τί τις ἂν ἐπιζητοίη πρὸς τὴν τοῦ προκειμένου λόγου φανέρωσιν, ὅτι κἂν τῇ Τριάδι τάξις ἐστὶν, ἐκδηλότερον;

Digitized by Google Распознавание текста ABBYY FR

λε'. Ἀλλ' ἵνα τὸ ἀπὸ ταῦδε καὶ τὰς κλήσεις, ὧν ἀλλήλοις κοινωνοῦσιν ὁ τε Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὁ μὲν ἀναφορικῶς πρὸς τὸν Πατέρα ταύτας ὀνομαζόμενος, τὸ δὲ Πνεῦμα πρὸς τὸν Υἱὸν, πρὸς ταύταις καὶ τἆλλα πάντα δι' ὧν κηρύττεται, καὶ μᾶλλον ἡ ἐν Τριάδι τάξις λαμπρότερον ἐνθάδε προθήσομεν. *Εἰκὼν* ὁ Υἱὸς τοῦ Πατρὸς, εἰκὼν καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς ὁ Νύσσης Γρηγόριος τὸν τοῦ Θαυματουργοῦ Γρηγορίου βίον εἰς ζῆλον ἀρετῆς ἀφηγούμενος ἐν τῇ πρὸς τοῦτον ἀποκαλυφθείσῃ μυσταγωγίᾳ παρὰ τοῦ πρώτως ἐν τοῖς αὐτόπταις τοῦ Λόγου θεολογήσαντος, αὐτὸν ἐκεῖνον τὸν Εὐαγγελιστὴν Ἰωάννην παρίστησιν ἐκδιδάσκοντα. Λέγει γὰρ ἐκεῖσε πρὸς ἔπος οὕτω τρανότατα· *Καὶ ἓν Πνεῦμα ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ διὰ Υἱοῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις, εἰκὼν τοῦ Υἱοῦ, τελείου τελεία.* Ναὶ μὴν καὶ ὁ θεῖος Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον ἐπιστολῇ βεβαιοῖ. Δίεξεισι γὰρ καὶ οὗτος ταῦτα ῥητῶς· *Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα.* Καὶ μαρτυρίαν ἐπάγει παρευθὺς ἀποστολικήν. « *Οὓς γὰρ,* » φησὶ, « *προέγνω, τούτους καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ.* » Τί δέ ἐστιν εἰκὼν ὁ Θεολόγος Γρηγόριος ἐν τῷ περὶ Υἱοῦ δευτέρῳ λόγῳ διερμηνεύει, σαφηνίζων οὕτω καὶ συντιθείς· *Εἰκὼν δὲ τοῦ Πατρὸς ὁ Υἱὸς ὡς ὁμοούσιος, καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ.* Αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου· Καὶ οὗ λέγεται, πάλιν *μορφὴ* τοῦ Πατρὸς ὁ Υἱὸς, μορφὴ καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Περὶ τούτου διαλαμβάνει κατὰ τὴν πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον ἐπιστολὴν ὁ μέγας διδάσκαλος Ἀθανάσιος, *Εἰ δὲ τὸ Πνεῦμα,* λέγων, *εὐωδία καὶ μορφὴ τοῦ Υἱοῦ ἐστιν, εὔδηλον ὡς οὐκ ἂν εἴη τὸ Πνεῦμα κτίσμα· ἐπειδὴ καὶ ὁ Υἱὸς, ἐν μορφῇ τοῦ Θεοῦ ὑπάρχων, οὐκ ἔστι κτίσμα. Πρόσωπον* αὖθις ἰτοῦ Πατρὸς ὁ Υἱὸς, πρόσωπον καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ὅτι μὲν πρόσωπον τοῦ Πατρὸς ὁ Υἱὸς ὁ θεσπέσιος πολλαχοῦ διέξεισι Κύριλλος. Ἐν μὲν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου τῇ εἰς τὸ ῥητὸν τὸ, « *Ἦν τὸ φῶς τὸ ἀληθινόν·* » *Ἀμέλει τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, τουτέστιν ὁ Υἱὸς χορηγεῖ τῇ κτίσει τὸν φωτισμόν·* ὁμοίως καὶ εἰς τὸ, « *Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην.* » *Πρόσωπον γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν εἶναι φασὶν, ὅπερ ἐστὶ πάλιν ὁ χαρακτὴρ· φῶς δὲ τὸ ἐξ αὐτοῦ τὴν διὰ τοῦ Πνεύματος ἐπὶ τὴν κτίσιν διήκουσαν χάριν.* Καὶ μετ' ὀλίγα· *Ἐπειδὴ δὲ ὁμολογουμένως πρόσωπόν ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, εἰη δήπου πάντως αὐτὸς καὶ ὁ χαρακτὴρ, ἐν ᾧ σφραγίζει Θεός.* Ἐν δὲ τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν· *Ὅτι γὰρ οἱονεὶ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ἐκπαιδεύσειν ἂν εὐκόλως ὁ Ψαλμῳδὸς, ποτὲ μὲν λέγων,* « *Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;* » *ποτὲ δὲ ὡς ἐκ προσώπου τῶν εἰς*

35. Sed ut etiam appellationes, quibus inter sese mutuo communicant Filius et Spiritus sanctus, ille quidem, cum refertur ad Patrem, eas sibi vindicans, Spiritus vero cum refertur ad Filium, et præter has reliqua omnia, per quæ præcipue clariusque in Trinitate ordo prædicatur, hoc in loco apponemus. *Imago* Filius est Patris, imago etiam Filii Spiritus sanctus, ut Nyssenus Gregorius Gregorii Thaumaturgi res gestas ad excitandum ad virtutes animum enarrans, in revelatione fidei ad hunc ipsum, primo inter eos qui Verbum viderant, dictante, illum ipsum evangelistam Joannem docentem introducit. Fatetur enim ibi hæc ad verbum apertissime : *Et unus Spiritus sanctus ex Deo exsistentiam habens, et per Filium apparens, hominibus scilicet, imago Filii perfecti perfecta.* Præterea divinus Athanasius ad Serapionem episcopum epistola id confirmat. Usurpat enim hæc ipsissima verba : *Imago Filii dicitur et est Spiritus.* Et testimonium statim ex Apostolo petitum addit. « *Quos enim,* » ait, « *præcognovit, hos et prædestinavit conformes imaginis Filii illius* [28]. » Sed quid imago sit Gregorius Theologus oratione secunda de Filio his verbis apertissime declarat componitque : *Imago vero Patris Filius, tanquam qui illi consubstantialis est, et quod hoc inde est, non ex eo Pater.* Hæc enim imaginis natura est imitationem esse archetypi. Et ubi dicitur rursus *forma* Patris Filius, forma et Filii Spiritus sanctus asseritur. De hoc etiam tractat magnus doctor Athanasius ad Serapionem episcopum epistola : *Quod si Spiritus bonus odor et forma Filii est, plane manifestum remanet Spiritum creaturam non esse, cum et Filius in forma Dei exsistens creatura non est. Facies* rursus Patris Filius, facies etiam Filii Spiritus sanctus. Sed faciem esse sive vultum Patris Filium pluribus in locis inculcat Cyrillus. In expositione Evangelii secundum Joannem ad illa verba : « *Erat lux vera* [29], » *Plane facies Dei et Patris, hoc est Filius, elargitur creaturæ illuminationem.* Et in illud : « *Operamini non cibum qui perit* [30], » *Faciem enim Dei et Patris Filium esse tradunt, qui est character. Lumen autem ex ipso, gratiam per Spiritum in creaturam pervenientem.* Et post pauca : *Cum vero, nemine id improbante, facies est Dei et Patris Filius, erit omnino ipse et character, in quo Deus signat.* Et libro quinto ad Hermiam : *Faciem porro Dei et Patris esse Filium facili negotio instruet Psalmodus, nunc quidem dicens :* « *Quo vadam a Spiritu tuo, et a facie tua quo fugiam* [31] ? » *nunc vero tanquam ex persona eorum qui in illum crediderunt :* « *Signatum est super nos lumen vultus tui* [32] ; » *signati siquidem sumus Spiritu sancto ad similitudinem et expressionem vultus Patris, hoc est Filii.* Et hæc insinuant faciem Patris Filium esse; et Filii faciem esse Spiritum, sanctus idem ipse abunde satis nobis demon-

[28] Rom. VIII, 29. [29] Joan. I, 4. [30] Joan. VI, 27. [31] Psal. CXXXVIII, 7. [32] Psal. IV, 7.

Digitized by Google Распознавание текста ABK/FR

strabit, expositione in Joannis Evangelium in dictum, « *Quod si propter opera hæc creditis* [33] : » *Si enim adimplevit cœlos Deus, et extrema terræ, hoc est, quæ apud inferos erant, quomodo non erit omnium absurdissimum ambitus nomen illi appingere, cum nec illud concipiunt, in faciem illius, hoc est Spiritum, facies enim Filii Spiritus nuncupatur, omnia complere, quomodo ipse intra ambitum concluderetur ?* Similiter Patris *actio* Filius est, luminum quæ nobis Ægyptus subministravit, in rebus divinis præcellentissimi Athanasii, et Numine quam maxime inflati Cyrilli sententia, quorum alter adversus Arianos oratione secunda ait : *Nec in dubio vertitur, hunc esse Patris vivens consilium, et essentiæ inhærentem actionem, et Verbum verum.* Cyrillus vero in uno capite libri primi Thesaurorum : *Filius est vivens et essentialis actio et virtus, et sapientia Patris.* Actio et Filii est Spiritus sanctus. Et nullus mihi Theologum Gregorium producat, qui id de Spiritu dici non admittit. Cum nec ipse similem actionem Spiritui sancto dedam, qualem magnus hic Pater ut illo indignam respuens rejicit, sed vivam illam, et uti est Filii, actionem Patris per se subsistentem, et in essentia, et Spiritum sanctum Filii esse dicique similem actionem, hi ipsi rursus, qui ex Ægypto pro pietate propugnant. Namque magnus Athanasius ad Serapionem de sancto Spiritu epistola hæc habet : *Unus enim cum sit Filius, vivens Verbum, una quoque erit necessario perfecta et plena sanctificans et illuminans vita, quæ erat ipsius actio et donum.* Et divinus Cyrillus ad Hermiam : *Itaque si signa et portenta per Paulum Christus operatur in virtute Spiritus sancti, cum actio quædam naturalis et vivens, et, ut ita dicamus, qualitas divinitatis Filii Spiritus sanctus est.* In uno vero capite secundi Thesaurorum : *Plane ostenditur Spiritus sanctus non esse alienus a Filio, sed veluti actio quædam naturalis, omnia valens perficere, quæcunque voluerit. Sermo* locis in aliis Patris Filius est, et *Verbum* Filii Spiritus sanctus; hic pronuntiatione appellatio differt, sed sententia eadem est. Ne enim duo in Trinitate Filii, et duæ generationes a nonnullis acceptarentur : quod generatio ut plurimum et de sermone ad similitudinem Filii dicatur, Verbum Spiritum sanctum appellavit Scriptura, qui ut Dei parens et regius propheta David ait, procedens est et non genitus : « *Quæ enim procedunt per labia mea non irrita faciam* [34], » inquit. Verbum vero Filii Spiritum sanctum esse magnus nobis Basilius confirmabit, qui uno ex suis capitibus hæc habet ad verbum : *Propterea et Dei quidem sermo Filius est; verbum vero Filii Spiritus. Portans enim, ait, omnia verbo virtutis suæ. Et cum Filii Verbum sit per Deum, gladium ait Spiritus quod est verbum Dei. Sermo vero Dei et Verbum vivum et actuosum.* Et præ his omnibus, *proprius* est Filius Patris, proprius item est Filii

[33] Joan. XIV, 12. [34] Psal. LXXXVIII, 35.

A αὐτὸν πεπιστευκότων, « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε · » κατεσφραγίσμεθα γὰρ τῷ ἁγίῳ Πνεύματι πρὸς ἐμφέρειαν καὶ ὁμοίωσιν τοῦ Πατρὸς, τουτέστι τοῦ Υἱοῦ. Ταῦτα μὲν ὅτι πρόσωπον τοῦ Πατρὸς ὁ Υἱός· ὅτι δὲ καὶ τοῦ Υἱοῦ πρόσωπον τὸ Πνεῦμα τὸ ἅγιον, ὁ αὐτὸς οὗτος ἀρκέσιεν εἰς διδασκαλίαν ἡμῖν· ἐν γὰρ τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου τῷ εἰς τὸ ῥητὸν τὸ, « Εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε, » φησίν· Οὐ γὰρ πεπλήρωκε μὲν οὐρανοὺς ὁ Υἱὸς, καὶ τὰ ἔσχατα τῆς γῆς, τουτέστι τὰ εἰς τὸν ἄβυσσον, πῶς οὐ σφόδρα παραλογώτατον τὸ περιοχῆς ὄνομα προσάπτειν αὐτῷ, μηδὲ ἐκεῖνο λογισαμένους, ὅτι εἰς τὸ πρόσωπον αὐτοῦ, τουτέστι τὸ Πνεῦμα, πρόσωπον γὰρ τοῦ Υἱοῦ καλεῖται τὸ Πνεῦμα, τὰ πάντα πληροῦν, πῶς ἂν αὐτὸς εἴσω γένοιτο περιοχῆς ; Ὡσαύτως ἐνέργεια τοῦ Πατρὸς ὁ Υἱὸς κατὰ τοὺς ἀπ' Αἰγύπτου φωστῆρας, τόν τε τὰ θεῖα πολὺν Ἀθανάσιον λέγω καὶ τὸν ἐνθεαστικώτατον Κύριλλον, ὧν ὁ μὲν ἐν τῷ κατὰ Ἀρειανῶν δευτέρῳ λόγῳ φησὶν· Οὐκ ἀμφίβολον ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς ζῶσα βουλὴ, καὶ ἐνούσιος ἐνέργεια καὶ Λόγος ἀληθινός · ὁ δὲ Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν· Ὁ Υἱός ἐστιν ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ Πατρός. Ἐνέργεια καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Καί μοι παράγειν ἐπιχειρείτω τις τὸν Θεολόγον Γρηγόριον, ὅτι τοῦτο λέγειν ἐπὶ τοῦ Πνεύματος ἐκεῖνος οὐ παραδέχεται. Καὶ γὰρ οὐδ' ἐγὼ τοιαύτην ἐνέργειαν φημι τὸ Πνεῦμα τὸ ἅγιον, οἵαν ὁ μέγας Πατὴρ ὡς ἀναξίαν αὐτοῦ μηδόλως προσιέμενος ἀποπέμπεται, ζῶσαν δὲ καὶ ταύτην κατὰ τὸν Υἱὸν τὴν ἐνέργειαν τοῦ Πατρὸς, ὑφεστῶσάν τε καθ' ἑαυτὴν καὶ ἐνούσιον· καὶ μάρτυρες τοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι τοῦ Υἱοῦ καὶ λέγεσθαι τοιαύτην ἐνέργειαν αὐτοὶ καὶ πάλιν τὰ τῆς εὐσεβείας ἀπ' Αἰγύπτου προπύργια. Καὶ γὰρ ὁ μὲν μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ τάδε φησίν· Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν· ὁ δὲ θεόπνευστος Κύριλλος ἐν μὲν τοῖς πρὸς Ἑρμείαν· Οὐκοῦν εἰ σημεῖα καὶ τέρατα διὰ Παύλου Χριστὸς ἐργάζεται ἐν δυνάμει Πνεύματος ἁγίου, ὡς ἐνέργειά τις φυσικὴ καὶ ζῶσα, καὶ ἵν' οὕτως εἴπωμεν, ποιότης τῆς θεότητος τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν· ἐν ἑνὶ δὲ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν Δείκνυται σαφῶς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὥσπερ ἐνέργειά τις φυσικὴ πάντα δυναμένη πληροῦν, ὅσα καὶ βούλεται. Λόγος ἐτέρωθεν ὁ Υἱὸς τοῦ Πατρὸς, καὶ ῥῆμα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· ἐνταῦθα διάφορος ἡ προσηγορία κατὰ τὴν προφοράν, ἡ αὐτὴ δὲ κατὰ τὴν ἔννοιαν. Ἵνα γὰρ μὴ δύο παραδεχθῶσιν ἐπὶ τῆς Τριάδος Υἱοὶ, καὶ δύο γεννήσεις τισὶ διὰ τὸ

γέννησιν ὡς τὰ πολλὰ κἀπὶ τοῦ λόγου καθ' ὁμοιότητα τοῦ Υἱοῦ λέγεσθαι, ῥῆμα τὸ Πνεῦμα τὸ ἅγιον ἐκάλεσεν ἡ Γραφή· τὸ δὲ κατὰ τὸν θεοπάτορα καὶ προφήτην ἐν βασιλεῦσι Δαυὶδ ἐκπορευόμενον, οὐ γεννώμενον. « *Τὰ γὰρ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω,* » φησίν. Ὅτι δὲ ῥῆμα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὁ μέγας ἡμῖν παραστήσει Βασίλειος, ὃς ἔν τινι τῶν αὐτοῦ κεφαλαίων οὕτως ἐπὶ λέξεων εἴρηκε· *Διὰ τοῦτο καὶ Θεοῦ μὲν λόγος ὁ Υἱὸς, ῥῆμα δὲ Υἱοῦ τὸ Πνεῦμα. Φέρων γὰρ, φησὶ, τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Καὶ ἐπειδὴ ῥῆμα Υἱοῦ διὰ τοῦ Θεοῦ, τὴν μάχαιράν φησι τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, λόγος δὲ Θεοῦ καὶ ῥῆμα ζῶν καὶ ἐνεργόν.* Ἐπὶ πᾶσι τούτοις *ἴδιος* ὁ Υἱὸς τοῦ Πατρὸς, ἴδιον καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ὅτι μὲν *ἴδιος* τοῦ Πατρὸς ὁ Υἱὸς, τὸν θειότατον Ἀθανάσιον ἔχω διδάσκαλον. Ἐν γὰρ τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ φησίν· *Ὁ Υἱὸς ἀληθινὸς φύσει γνήσιός ἐστι τοῦ Πατρὸς, ἴδιος τῆς οὐσίας αὐτοῦ. Οὔτος οὐκ ἔστι κτίσμα, οὔτε ποίημα, ἀλλ' ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας γέννημα, καὶ δύναμις, καὶ εἰκὼν ἀληθινὴ τῆς τοῦ Πατρὸς οὐσίας.* Καὶ πάλιν· *Ἴδιος δὲ τοῦ Πατρὸς ὁ Υἱὸς, ἐν τοῖς κόλποις ὢν αὐτοῦ.* Καὶ αὖθις· *Δῆλον ἂν εἴη ὅτι ποιητὴς ὢν ὁ Θεὸς ἔχει τὸν δημιουργικὸν Λόγον οὐκ ἔξωθεν, ἀλλ' ἴδιον ἑαυτοῦ.* Καὶ μετὰ πολλά· *Οὐκ ἄρα κτίσμα ἐστὶν ὁ Λόγος, ἀλλὰ μόνος ἴδιος τοῦ Πατρός.* Καὶ μετ' ὀλίγα· *Ἐπειδὴ οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιον τῆς οὐσίας τοῦ προσκυνουμένου Θεοῦ γέννημα καὶ φύσει Υἱός ἐστι, διὰ τοῦτο προσκυνεῖται καὶ Θεὸς πιστεύεται.* Καὶ μετὰ πλείστα· *Οὐ ξένος, ἀλλὰ τῆς τοῦ Πατρὸς οὐσίας ἐστὶν ἴδιος.* Καὶ μετὰ βραχέα· *Ὁ πιστεύων εἰς τὸν Υἱὸν εἰς τὸν Πατέρα πιστεύει. Εἰς γὰρ τὸν ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας πιστεύει.* Καὶ μετ' οὐ πολλά· *Εἰ γὰρ μὴ ἦν ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας γέννημα ὁ Λόγος, ὡς τὸ ἀπαύγασμα τοῦ φωτὸς, ἀλλὰ διεστήκει τῇ φύσει ὁ Υἱὸς τοῦ Πατρὸς, ἤρκει τὸν Πατέρα δοῦναι μόνον.* Καὶ ὁ θαυμάσιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν· *Ἐπειδὴ δὲ φαίνεται πάντα λαβὼν φυσικῶς τε καὶ οὐσιωδῶς, δηλονότι διατρέχούσης αὐτὸν τῆς τοῦ γεννήσαντος ἀρχῆς τε καὶ κυριότητος, μόνος ἐστὶν ἴδιος τοῦ Πατρὸς ὁ Υἱός.* Καὶ ταῦτα μὲν ὅτι τοῦ Πατρὸς ἴδιος ὁ Υἱὸς, ὧν καὶ πολλῷ πλείω παρῆκα διὰ τὸ προσκορές· πάντως δὲ κἀκεῖνα κατὰ καιρόν μοι παραληφθήσεται. Τὸ δὲ τοῦ Μονογενοῦς ἴδιον εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, προηγουμένως ἐν τοῖς πρακτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καθ' ὃ μέρος οἱ Πατέρες τὸν λόγον ἐποιήσαντο διὰ τοῦ ἐπισκόπου Λεοντίου πρὸς τὸν φιλόσοφον, ἴδοι τις ἂν οὕτω κείμενον ἐπὶ λέξεως· *Εὕρηται τὸ Πνεῦμα ἐκπορευόμενον μὲν ἐκ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ.* Μετὰ δὲ ταῦτα καὶ ὁ μέγιστος Ἀθανάσιος ὁ τηνικαῦτα συνὼν αὐτοῖς, καὶ προστάτης τοῦ λόγου δεικνύμενος ἐν τῇ περὶ τοῦ Πνεύματος πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον ἐπιστολῇ διαῤῥήδην δεδήλωκεν ὡσαύτως εἰπών· *Ἴδιον τὸ*

A Spiritus sanctus, et Filium esse proprium Patris didici a divinissimo Athanasio : namque prima adversus Arianos oratione scribit : *Filius verus natura genuinus est Patris, proprius essentiæ illius. Hic non est neque factura, neque creatura, sed proprius paternæ essentiæ fetus et virtus, et imago vera paternæ essentiæ.* Item : *Proprius est Patris Filius in ulnis illius exsistens.* Item : *Manifestum est, cum Deus creator sit, habere Verbum efficiens et operans non deforis, sed sui ipsius proprium.* Et post multa : *Non igitur creatura est Verbum, sed solum proprium Patris.* Et paucis additis : *Cum non sit creatura, sed proprius divinæ quæ adoratur essentiæ, et natura Filius est, propterea adoratur, et Deus esse creditur.* Et plurimis interjectis : *Non externus, sed paternæ*
B *essentiæ est proprius.* Et paulo post : *Qui credit in Filium in Patrem credit : in proprium enim paternæ essentiæ credit.* Et non multo post : *Etenim si non esset proprius paternæ essentiæ fetus Verbum, quemadmodum est luminis radiatio, sed natura dissepararetur Filius a Patre, satis esset Patrem solum donare.* Et admirabilis Cyrillus in uno capite libri primi Thesaurorum : *Quando vero apparet omnia accepisse naturaliter et essentialiter, percurrente scilicet in ipsum genitoris dominatu et principatu, solus est proprius Patris Filius.* Et hæc quidem ad probandum proprium esse Patris Filium, quorum multo plura ob satietatem prætermi, quæ tamen suo tempore omnino colligentur. At Unigeniti proprium
C esse Spiritum sanctum ante alia in actis Nicænæ primæ synodi, ubi Patres per Leontium episcopum ad philosophum sermonem peregerunt, hæc ipsissima verba quilibet reperiet : *Spiritus sanctus procedit quidem ex Patre, sed est proprius Filii.* Adde his maximum Athanasium, cui eo tempore cum Nicænis Patribus magnus usus et communitas vitæ fuit; hic sermonis assertor, in epistola ad Serapionem episcopum de Spiritu sancto palam manifestavit, cum in hunc modum loquitur : *Proprius est Spiritus essentiæ Verbi.* Et divinus postmodum Cyrillus hoc idem sæpenumero in dogmaticis suis sermonibus disseminavit. Et nunc quidem in Ezechielis
D prophetæ expositione dicit : *Qua enim est Deus ex Deo secundum naturam Filius, genitus enim vere est ex Deo Patre, proprius ejus et in eo, et ex eo Spiritus est*, nunc oratione ad imperatorem Theodosium : *Baptizantem Jesum*, dixit, *in igne, non alienum iis qui baptizantur, injicientem Spiritum, servi instar et administri, sed ut Deum cum suprema faculiate, qui ex ipso est et suus proprius.* Et non multo post subdit : *Liberans enim a peccatis eum, qui ipsi adhæret, proprio deinceps ungit Spiritu.* Et præ aliis omnibus non solum confirmat, sed etiam persuadet in uno secundi Thesaurorum capite, quod supra digessimus : *Proprius vero prorsus est essentiæ Filii Spiritus, nec extra eum subsistit.* His paria sunt, nec aliud tinniunt, quæ a magno Patre nostro Athanasio in diversis suis orationibus inseruntur. Namque in prima adversus Arianos oratione hæc habet;

Digitized by Google Распознавание текста ABK/FR

Non enim a seipso Spiritus loquitur, sed Verbum est, quod illum dignis elargitur. Et rursus : *Plane uti ante incarnationem Verbum cum esset, elargiebatur sanctis tanquam proprium Spiritum, sic et homo factus omnes sanctificat Spiritu.* Et tertia adversus eosdem : *Si Spiritus novit, multo magis Verbum ; qua Verbum est novit, ex quo et Spiritus accipit.* Item : *Quæcunque habet Spiritus, ea habet a Verbo.* Et explanans illud : « *Quicunque dixerit contra Filium hominis remittetur ei* [35], » de Christo asserit, *Ipse cum Dei Verbum sit, ipse per Spiritum omnia operatur.* Et ad Serapionem episcopum his ipsissimis verbis edisserit : *Filius quidem a Patre mittitur, ipse vero Spiritum mittit. Et Filius Patrem glorificat, dicens :* « *Pater, ego te glorificavi* [36], » *Spiritus vero glorificat Filium : ille enim, ait, me* B *glorificabit. Et Filius quidem dicit :* « *Quæ audivi a Patre, hæc et loquor in mundum* [37] : » *Spiritus vero ex Filio accipit :* « *Ex meo enim, ait, accipiet, et annuntiabit vobis* [38]. » *Et Filius quidem in nomine Patris venit,* « *Spiritus vero sanctus, ait, quem mittet Pater in nomine meo* [39]. » *Hunc vero ordinem et naturam possidente Spiritu erga Filium, quam Filius possidet erga Patrem, qua ratione qui Spiritum creaturam dicet, non id idem et de Filio sentiet ?* Et rebus speculandis eximius Basilius de Fide tractans in asceticis : *Patre,* ait, *mittente Filium, Filio vero mittente Spiritum sanctum.* Necnon : *Spiritus sanctus, qui docet et instruit, quæcunque audit a Filio.*

A Πνεῦμα τῆς οὐσίας τοῦ Λόγου. Καὶ ὁ θεσπέσιος δὲ Κύριλλος ὕστερον πολλαχοῦ τῶν δογματικῶν αὐτοῦ λόγων ἐνέσπειρε, καὶ νῦν μὲν ἐν τῇ εἰς τὸν προφήτην Ἰεζεκιὴλ ἑρμηνείᾳ τάδε φησίν· Ἦ μὲν γὰρ ἐστι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱός, γεγέννηται γὰρ ἐκ Θεοῦ καὶ Πατρὸς, ἴδιον αὐτοῦ ἐκ καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστιν· ἐν δὲ τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον λόγῳ, Βαπτίζοντα, πάλιν εἶπε, τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. Καὶ βραχὺ προϊὼν οὕτως εἰρηκεν· Ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῷ προσκείμενον τῷ ἰδίῳ λοιπὸν κατα-χρίει Πνεύματι. Πλέον δὲ πάντων καὶ πρὸς πειθὼ δυσωπητικώτερον ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου λέγει τῶν Θησαυρῶν, ὅπερ καὶ φθάσαντες ἐφημεν ἄνωθεν. Ἴδιον δὲ πάντως τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Υἱοῦ, καὶ οὐκ ἔξωθεν ὑποστατόν· τούτων ἀκόλουθα καὶ τῆς αὐτῆς ἐννοίας ἐχόμενα καὶ τὰ παρὰ τοῦ μεγάλου Πατρὸς Ἀθανασίου κατὰ διαφόρους λόγους αὐτοῦ διαλαμβανόμενα. Καὶ γὰρ ἐν μὲν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ ταῦτά φησιν· Οὐ γὰρ ἀφ' ἑαυτοῦ τὸ Πνεῦμα λαλεῖ, ἀλλ' ὁ Λόγος ἐστὶν, ὁ τοῦτο διδοὺς τοῖς ἁγίοις. Καὶ αὖθις· Ἀμέλει ὥσπερ πρὸ τῆς ἐνανθρωπήσεως Λόγος ὢν ἐχορήγει τοῖς ἁγίοις ὡς ἴδιον τὸ Πνεῦμα, οὕτω καὶ ἄνθρωπος γενόμενος, ἁγιάζει τοὺς πάντας τῷ Πνεύματι. Ἐν τῷ τρίτῳ δὲ τῶν αὐτῶν· Εἰ τὸ Πνεῦμα οἶδε, πολλῷ μᾶλλον ὁ Λόγος, ᾧ Λόγος ἐστὶν οἶδε, παρ' οὗ καὶ τὸ Πνεῦμα λαμβάνει. Καὶ πάλιν· Ὅσα ἔχει τὸ Πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχει. Τὸ δ', « Ὃς ἂν εἴπῃ κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ, » διερμηνεύων λέγει περὶ τοῦ Χριστοῦ, ὅτι Αὐτὸς Λόγος ὢν τοῦ Θεοῦ, αὐτὸς διὰ τοῦ Πνεύματος ἐνεργεῖ τὰ πάντα. Πρὸς Σεραπίωνα δὲ τὸν ἐπίσκοπον τάδε κατὰ ῥῆμα διέξεισιν· Ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται, αὐτὸς δὲ τὸ Πνεῦμα ἀποστέλλει, καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει λέγων, « Πάτερ, ἐγώ σε ἐδόξασα· » τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν· « Ἐκεῖνος γὰρ, φησὶν, ἐμὲ δοξάσει. Καὶ » ὁ μὲν Υἱὸς φησιν, « Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον, » τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει. « Ἐκ τοῦ ἐμοῦ γὰρ, φησὶ, λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. » Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε, « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, φησὶν, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. » Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει ; Ὁ πολὺς ἐν θεωρίᾳ Βασίλειος περὶ Πίστεως διαλαμβάνων ἐν τοῖς Ἀσκητικοῖς, Τοῦ μὲν Πατρὸς, φησὶ, πέμποντος τὸν Υἱὸν, τοῦ δὲ Υἱοῦ πέμποντος τὸ ἅγιον Πνεῦμα. Καὶ πάλιν· Τὸ Πνεῦμα τὸ ἅγιον τὸ διδάσκον καὶ ὑπομιμνῆσκον πάντα ὅσα ἂν ἀκούσῃ παρὰ τοῦ Υἱοῦ.

36. Tot et adeo valide a Deo instructis Patribus de ordine in Trinitate dictata sunt. Nihilominus licet hæc ita se habeant, qui turbas paci temere atque inconsiderate præponunt propter eamdem essentiam illa pronuntiata esse asserunt, nec intelligunt, si id concedatur, principium tantumdem de Patre deprædicatum, in Patre ipso in discrimen adduci. Etenim si quæcunque Spiritus respectu Filii habet, et a Filio ea ob eamdem essentiam possidet, ergo ob hanc eamdem causam quæcunque Filius respectu Patris et a Patre possidet habebit, cum de utroque easdem formulas Patres usurpa-

C λς'. Τοσαῦτα καὶ οὕτως ἰσχυρὰ τοῖς θεοσόφοις Πατράσι περὶ τῆς ἐν τῇ Τριάδι λέλεκται τάξεως. Ὅμως δ' οὖν καὶ τούτων οὕτως ἐχόντων οἱ τῆς εἰρήνης εἰκῇ καὶ μάτην τὴν ταραχὴν ἀνθαιρούμενοι διὰ τὸ ὁμοούσιον ταῦτα πάντα φασὶ λέγεσθαι, καὶ οὐκ ἴσασιν ὅτι ταύτῃ καὶ ὁ Πατὴρ αὐτοῖς ἀπολέσει τὴν περιλαλουμένην ἀρχὴν κινδυνεύσειεν ἄν. Εἰ γὰρ πάντα ὅσα τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, καὶ παρὰ τοῦ Υἱοῦ ταῦτα διὰ τὸ ὁμοούσιον, ἆρα δι' αὐτὸ τοῦτο καὶ πάντα ὅσα ὁ Υἱὸς πρὸς τὸν Πατέρα καὶ παρὰ τοῦ Πατρὸς, ἐπειδὴ καὶ κατ' ἄμφω τοῖς αὐτοῖς λόγοις οἱ Πατέρες ἐχρήσαντο. Καὶ ποῦ τὸ πατρικὸν ἀξίωμα

[35] Matth. XII, 32. [36] Joan. XVII, 4. [37] Joan. XV, 15. [38] Joan. XVI, 15. [39] Joan. XIV, 26.

Digitized by Google Распознавание текста АВК/FR

καὶ ἡ τάξις ἡ πολυύμνητος, καθ' ἣν ἀπὸ τοῦ Πατρὸς ἀρχόμενοι κατὰ τὸ εἰκὸς ἐπὶ τὸν Υἱὸν χωροῦμεν, καὶ οὕτως ἐπὶ τὸ Πνεῦμα τὸ ἅγιον διαβαίνομεν; καθὼς ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, *Ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐπὶ τὸ Πνεῦμα χωροῦμεν*, φησίν. Ἀλλὰ τὴν μὲν πρὸς τοῦτο τελειωτέραν, καὶ κρείττονα λύσιν ἐν τῷ δευτέρῳ λόγῳ ταμιευσόμεθα διὰ τὸ μᾶλλον χρησιμεύειν ἐκεῖσε ταύτην ἡμῖν· νῦν δὲ τοσοῦτον μόνον αὐτοὺς ἐρωτήσομεν· Πῶς καὶ τίνα τρόπον τὸ ὁμοούσιον εἰς ἀπολογίαν τούτων πάντων προβάλλεσθε; Διότιπερ ὁμοούσιον τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τοῦτο τὰ ἀπηριθμημένα πάντα, καὶ τὰς ἀνωτέρω τούτων διαληφθείσας κλήσεις ἔχειν λέγετε παρὰ τοῦ Υἱοῦ καὶ πρὸς τὸν Υἱόν; Καὶ εἰ τὸ ὁμοούσιον αἴτιον τῷ Πνεύματι τούτων ἁπάντων ἐστὶ, καὶ οὐκ ἄλλη τις σχέσις παρὰ τὴν ὁμοουσιότητα, καθ' ἣν ᾧκειωμένον πέφυκε τῷ Υἱῷ, καὶ ἐξῆς μάλιστα τῷ Πνεύματι τῷ ἁγίῳ τὸ ὁμοούσιον· ἐπειδὴ περ ἀντιστρέφει τὸ ὁμοούσιον, καὶ ὥσπερ ὁμοούσιον τὸ Πνεῦμα τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ Πνεύματι, τὰ ἀναγεγραμμένα πάντα ῥηθήσεται, καὶ ἀνάπαλιν. Καὶ ἵνα ταῦτα καθ' ἓν ἐπαναλαβὼν πρὸς σαφεστέραν κάνταῦθα παραθήσομαι δήλωσιν. Εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ὁ Υἱὸς εἰκὼν ἂν εἴη τοῦ Πνεύματος. Μορφὴ τὸ Πνεῦμα τοῦ Υἱοῦ, μορφὴ καὶ ὁ Υἱὸς τοῦ Πνεύματος ἂν λέγοιτο. Πρόσωπον τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ὁ Υἱὸς πρόσωπον ἂν καλοῖτο τοῦ Πνεύματος. Ἐνέργεια τὸ Πνεῦμα τοῦ Υἱοῦ, καθάπερ καὶ δέδεικται, κατ' αὐτὸ τοῦτο καὶ ὁ Υἱὸς ἐνέργεια πάντως ὀνομασθείη τοῦ Πνεύματος. Ῥῆμα τοῦ Υἱοῦ τὸ Πνεῦμα, ῥῆμα τοῦ Πνεύματος ἂν προσαγορευθείη καὶ ὁ Υἱός. Καὶ μὴν ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ὁ Υἱὸς ἴδιος ἂν ὑπάρχοι τοῦ Πνεύματος. Πρὸς τούτοις δίδωσιν ὁ Υἱὸς τὸ Πνεῦμα, διδοίη ἂν καὶ τὸ Πνεῦμα τὸν Υἱόν. Χορηγεῖ ὁ Υἱὸς τὸ Πνεῦμα, καὶ τὸ Πνεῦμα τὸν Υἱὸν χορηγήσειεν ἄν. Ἐκ τοῦ Υἱοῦ λαμβάνει τὸ Πνεῦμα, λήψαιτο ἂν καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος. Ὅσα ἔχει τὸ Πνεῦμα παρὰ τοῦ Λόγου ἔχει, καὶ ὁ Υἱὸς ὅσα ἔχει, ταῦτ' ἂν ἔχοι παρὰ τοῦ Πνεύματος. Διὰ τοῦ Πνεύματος ὁ Υἱὸς ἐνεργεῖ, ἐνεργοίη ἂν καὶ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ. Ἀποστέλλει ὁ Υἱὸς τὸ Πνεῦμα, καὶ αὐτὸς ἂν ἀποσταλείη παρὰ τοῦ Πνεύματος. Δοξάζει τὸ Πνεῦμα τὸν Υἱόν, δοξάσοι ἂν καὶ Υἱὸς τὸ Πνεῦμα. Ἐκεῖνα λαλεῖ τὸ Πνεῦμα, ὅσα ἀκούει παρὰ τοῦ Υἱοῦ, καὶ ὁ Υἱὸς ἐκεῖνα λαλήσει, ὅσα ἂν ἀκούσοι παρὰ τοῦ Πνεύματος. Ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ πέμπεται τὸ Πνεῦμα παρὰ Πατρὸς, πεμφθείη ἂν καὶ ὁ Υἱὸς ἐν τῷ τοῦ Πνεύματος ὀνόματι. Τοιαύτην τάξιν καὶ φύσιν ἔχει τὸ Πνεῦμα πρὸς τὸν Υἱόν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, τοιαύτην ἂν καὶ ὁ Υἱὸς πρὸς τὸ Πνεῦμα καὶ τάξιν καὶ φύσιν, οἵαν αὐτὸ πρὸς τὸν Πατέρα. Κάντεῦθεν σύγχυσις ἀκολουθήσει τῇ τὸ Πνεῦμα εἰς εὐταξίαν ἀγούσῃ Τριάδι καὶ συντηρούσῃ πρὸς εὐκοσμίαν τε καὶ κατάστασιν. Ὅ τίς ποτ' ἂν ἀνάσχοιτο τῶν αἱρουμένων ὀρθοδοξεῖν;

λζ'. Ἐγὼ δ' ἀκήκοα καί τινων, ὅ τι ἂν τύχοι φθεγγομένων κομιδῇ προπετῶς, ὡς οὐδὲν κωλύει καὶ τὸν Υἱὸν εἰπεῖν τοῦ Πνεύματος ἴδιον. Ἐφ' οἷς ἔπεισί μοι θαυμάζειν, πῶς οὐ τρέμουσι λέγειν ἀφ' ἑαυτῶν, ἃ

A runt. Et ubinam paterna dignitas, et ordo tot præconiis decantatus, quem sequentes a Patre initio ducto, uti par est, ad Filium gradum facimus, et sic plane ad Spiritum sanctum procedimus, uti Nyssenus Gregorius primo adversus Eunomium antirrhetico : *Ex Patre per Filium ad Spiritum pervenimus*, ait. Sed absolutiorem potioremque hujusce solutionem secunda oratione reservabimus, quod ibi nobis magis prodesse speramus. Nunc vero tantillum ab ipsis perquiram : Quomodo, et qua ratione eamdem naturam, cum de his omnibus respondetis, proponitis? Quia est ejusdem naturæ cum Filio Spiritus sanctus, propterea annumerata omnia, et supra jam digestas appellationes habere dicitis a Filio et respectu Filii? Et si quia ejusdem

B naturæ est, causa est, quod Spiritus dicta omnia possideat, nec alia ulla relatio, præter hanc eamdem naturam, qua appropriatur Filio, et qua potissimum Spiritui sancto hæc eadem natura convenit, quandoquidem hæc eadem natura contra vertitur, et uti ejusdem naturæ est Spiritus cum Filio, ita et Filius est ejusdem naturæ cum Spiritu, omnia supra descripta vice versa pronuntiabuntur. Quæ ad unum recolligens ad magis patentem intellectum hic apponam. Imago Filii Spiritus est, et Filius imago Spiritus fuerit. Forma est Filii Spiritus, forma quoque Spiritus Filius diceretur. Facies Filii Spiritus, et Filius facies Spiritus vocaretur. Actio Filii Spiritus, ut ostensum est, ob hanc eamdem rationem et Filius modis omnibus actio Spi-

C ritus nuncuparetur. Verbum Filii Spiritus est, et verbum Spiritus appellaretur et Filius. Præterea proprius est Filii Spiritus, et Filius proprius esset Spiritus. Ad hæc, exhibet Filius Spiritum, exhiberet et Filium Spiritus, suppeditat Filius Spiritum, suppeditaret et Filium Spiritus. Ex Filio accipit Spiritus, acciperet et Filius a Spiritu. Quæcunque habet Spiritus a Verbo habet, et Verbum quæcunque habet, haberet a Spiritu. Per Spiritum Filius operatur, et Spiritus per Filium operaretur. Mittit Filius Spiritum, et ipse quoque a Spiritu mitteretur. Glorificat Filium Spiritus, glorificaret etiam Spiritum Filius. Quæ audit a Filio loquitur Spiritus, et Filius item loquetur quæcunque audiverit a Spiritu.

D In nomine Filii mittitur a Patre Spiritus, et Filius in nomine Spiritus mitteretur. Illum ordinem et naturam habet Spiritus erga Filium, quam Filius habet erga Patrem, illam ipsam et Filius habebit naturam et ordinem erga Spiritum, quam ille habet erga Patrem. Hinc confusio subsequetur in Triade, quæ Spiritum in ordinem cogit, et in officio et ratione retinet. Quod quis æquo animo ferret, dummodo rectæ fidei addicatur?

37. Ego porro a nonnullis audivi, qui quidquid in buccam venerit, temere obloquuntur, nihil obstare et Filium Spiritus proprium dicere : et subit me admiratio, quomodo non trepidant, ex seipsis

Digitized by Google Распознавание текста АВК/FR

pronuntiare, de quibus pietatis magistri verbum nullum fecerunt. Quo enim in loco quispiam id offenderit, aut a quo sancto prorsus simile quid pronuntiatum? Verumtamen hi, uti mihi videtur, facili negotio, et reliqua omnia, quæ supra singillatim commemoravi, invertent. Quid porro dicent, cum didicerint, Quemadmodum fons Filii Pater est, ita et Spiritus fons Filii dicitur: necnon prototypus hujus, uti Pater archetypus Filii? Item: Uti major Pater Filio, eodem modo et Filius major Spiritu? An hæc etiam immutare parum considerate præsument? Verum si in tantum impudentiæ processerint, ut quæ plane immobilia sunt, dimovere lusorum more audeant, eorum improbitas statim deprehendetur, etiam ab iis, qui sensui inserviunt. Spiritus vero fontem esse Filium, sonora veritatis tuba divinus Athanasius, et lingua aurea Joannes solide demonstrabunt. Hic enim oratione de incarnata Dei apparitione, dicit: *Propterea David Deo concinens ait: « Apud te fons vitæ: in lumine tuo videbimus lumen* [40]. » *Novit enim apud Deum Patrem esse Filium fontem Spiritus sancti;* et Joannes Chrysostomus oratione in mysterium baptismatis: *Propterea Salvator ostendit semetipsum fontem vitæ, et aquam viventem Spiritum sanctum.* Hunc eumdem etiam prototypum esse Spiritus suo testimonio Thaumaturgus, cui nemo contradicet, confirmabit, qui oratione de fide secundum partes, cujus supra meminimus, hæc habet: *Domini Pater principium ab æterno ipsum generans, et prototypus Dominus Spiritus.* Horum nihil fortasse adversarii immutare conabuntur, quod inde aperta eorum reprehensio deprehendatur. Neque enim etiam hæc contra verti asserere poterunt, quod illis ad respondendum evertendumque veritatem in promptu est.

38. Postulant plerique, nec fallor, plane cognoscere, quonam in loco Filius major Spiritu dictus est. Hoc enim rebus aliis præferunt, et uti optatissimum expetunt, quod hanc vel solam dictionem moleste ferant. Ego vero illam in medium afferre non diutius protraham: nihil minus, statimque eosdem a mentis turbis, utut eæ sint, exsolvam, dictionem, uti illa se habet, referens, et auctorem illius, qui plane magnus est, et dignus cui fides adhibeatur, in medium proferens. Hic porro est in rebus divinis eximius Athanasius, qui oratione prima adversus Arianos his ipsissimis verbis utitur: *Spiritus dator in Spiritu nunc dicit se ejicere dæmonia. Hoc vero non est aliter dictum nisi propter carnem. Nam cum natura humana potis non sit, ex se ejicere dæmones, nisi virtute Spiritus, propterea ut homo dicebat: « Si vero ego in Spiritu Dei ejicio dæmonia* [41]. » *Hæc itaque Judæis ut homo Dominus elocutus est: discipulis vero deitatem et magnitudinem suam ostentans, non minorem semetipsum Spi-*

τοῖς τῆς εὐσεβείας διδασκάλοις σεσίγηται. Ποῦ γὰρ εὑρήσει τις τοῦτο καὶ παρὰ τίνος τῶν ἁγίων ὅλως ῥηθέν; Πλὴν οἱ τοιοῦτοι δοκοῦσι μοι ῥᾳδίως ἀντιστρέψαι καὶ τἆλλα πάντα τὰ κατὰ μέρος ἄνωθεν προτεθέντα μοι. Τί δ' ἂν φαῖεν, ὅταν μάθωσιν ὅτι καθάπερ πηγὴ τοῦ Υἱοῦ ὁ Πατήρ, οὕτω καὶ ὁ Υἱὸς πηγὴ καλεῖται τοῦ Πνεύματος; οὐ μὴν ἀλλὰ καὶ πρωτότυπος τούτου κατὰ τὸν Πατέρα τὸν ἀρχέτυπον τοῦ Υἱοῦ. Καὶ πάλιν ὥσπερ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, τὸν αὐτὸν τρόπον καὶ ὁ Υἱὸς μείζων τοῦ Πνεύματος; Εἰ καὶ ταῦτα μεταβαλεῖν τολμήσουσιν εὐχερῶς; Πάντως εἰ τοσοῦτον ἀναισχυντήσουσιν, ὡς ἐπιχειρῆσαι καὶ τὰ προδήλως ἀκίνητα μεταπεττεῦσαι κατὰ τοὺς παίζοντας, ἡ κακουργία τούτων εὐθὺς ἂν φωραθείη καὶ τοῖς ὁπωσοῦν αἰσθήσει δουλεύουσιν. Ὅτι μὲν οὖν πηγὴ τοῦ Πνεύματος ὁ Υἱός, αἱ μεγαλόφωνοι τῆς ἀληθείας σάλπιγγες Ἀθανάσιος ὁ θεῖος καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης τρανῶς παραστήσουσιν. Ὁ μὲν γὰρ ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ λόγῳ φησί· *Διὰ τοῦτο Δαυὶδ ψάλλων τῷ Θεῷ λέγει ὅτι « Παρὰ σοὶ πηγὴ ζωῆς. Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » Οἶδε γὰρ καὶ παρὰ Θεῷ Πατρὶ ὄντα τὸν Υἱὸν τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος·* ὁ δὲ Χρυσορρήμων ἐν τῷ λόγῳ τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος· *Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον.* Ὅτι δὲ καὶ πρωτότυπος ὁ αὐτὸς οὗτος τοῦ Πνεύματος, μάρτυς ὁ Θαυματουργὸς ἐσεῖται Γρηγόριος εἰς ἀναντίῤῥητον πίστωσιν, ὃς ἐν τῷ λόγῳ τῆς κατὰ μέρος πίστεως, οὗπερ ἄνωθεν ἐπεμνήσθημεν, οὕτω φησί· *Τοῦ Κυρίου ὁ Πατὴρ ἀρχὴ ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος.* Τούτων οὐδὲν ἕως οἱ ἀνθιστάμενοι μεταθεῖναι πειράσονται, διὰ τὸ λαμπρὸν αὐτόθεν εἶναι τὸν ἔλεγχον. Οὐδὲ γὰρ ἀντιστρέφειν καὶ ταῦτα φάναι δυνήσονται τὸ πρόχειρον αὐτοῖς εἰς ἀπολογίαν καὶ τῆς ἀληθείας ἀνατροπήν.

λη'. Αἰτοῦσιν οἱ πλείους, οἶδα, γνῶναι σαφῶς πού ποτε καὶ μείζων ὁ Υἱὸς τοῦ Πνεύματος εἴρηται. Τοῦτο γὰρ παντὸς ἑτέρου προὐργιαίτερον τίθενται, διὰ τὸ καὶ παρὰ μόνην ταύτην τὴν φωνὴν αὐτοὺς δυσανασχετεῖν. Ἐγὼ δ' οὐκ ἀναβαλοῦμαι τὴν δεῖξιν οὐχ ἥκιστα· παύσω δὲ τούτους αὐτίκα τῆς τῶν λογισμῶν ταραχῆς, οἵτινές εἰσι, τὴν ῥῆσιν ὡς ἔχει διαλαβών, καὶ τὸν εἰπόντα, μέγας δὲ πάντως καὶ ἀξιόπιστος, εἰς μέσον παραγαγών. Ὁ δέ ἐστιν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος. Οὗτος γὰρ ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ πρὸς ἔπος οὕτω διέξεισιν· *Ὁ τοῦ Πνεύματος δοτὴρ ἐν Πνεύματι λέγει νῦν ἐκβάλλειν ἑαυτὸν τὰ δαιμόνια. Τοῦτο δὲ οὐκ ἔστιν ἄλλως εἰρημένον ἢ διὰ τὴν σάρκα. Ὡς γὰρ τῆς ἀνθρώπων φύσεως οὐκ οὔσης ἱκανῆς ἀφ' ἑαυτῆς ἐκβάλλειν τοὺς δαίμονας εἰ μὴ δυνάμει τοῦ Πνεύματος, διὰ τοῦτο ὡς ἄνθρωπος ἔλεγεν, « Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. » Τοιαῦτα μὲν οὖν ὡς ἄνθρωπος τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Κύριος· τοῖς δὲ μαθηταῖς τὴν θεότητα*

[40] Psal. xxxv, 10. [41] Matth. xii, 28.

Digitized by Google Распознавание текста ABK/FR

καὶ μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν· « Ἐγὼ αὐτὸ ἀποστέλλω, κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει, λαλήσει. » Πρὸς τοῦτο, τὰ γὰρ ἄλλα παρίημι, τὸ περιττὸς καθάπαξ δοκεῖν εὐλαβούμενος, τί φήσουσιν ὄντως ἡμῖν οἱ τῆς ἀληθείας δι.κενῆς ἐπηρεασταὶ, καὶ μηδὲν τῶν ὀρθῶς παρ' ἡμῶν λεγομένων ἐῶντες ἀκαταιτίατον, πᾶσι δὲ προχείρως ἐπιπηδῶντες, καὶ τὸ πι.έον ὡς ἔτυχεν; Ἔστι μείζονα λέγειν τοῦ Πνεύματος τὸν Υἱὸν, καὶ τάξιν ἐπὶ τούτοις μὴ παραδέχεσθαι, καθάπερ ἐνὸν καὶ τὸ μεῖζον ἐπὶ τὸ Πνεῦμα μεταφέρειν ἀπὸ τοῦ Υἱοῦ καὶ μεταῤῥιπτεῖν; Τῆς ἀλογίας! εἴπερ ὅλως ἐπιθέσθαι κἂν τούτῳ διισχυρίζονται. Τὸ μὲν οὖν οὐδ' ἂν αὐτοὶ, δοκῶ, τὸ παράπαν οὐδὲ λογίσαιντο. Καὶ γὰρ οὐδὲ δίκαιον, ἅτε προφανῶς ὂν καταγέλαστον. Πλὴν εἰ μή τις ἐκλάβοιτο καὶ τοῦτο κατὰ τὸ τοῦ Σωτῆρος ἀνθρώπινον, ὡς καὶ προλαβὼν ὁ μέγας ἀπεσημήνατο. Διαπορήσουσι δὲ μᾶλλον καὶ λίαν ἐπαινετῶς, πῶς καὶ τίνα τρόπον μείζονα τοῦ Πνεύματος τὸν Υἱὸν ὁ τὴν ἀνωτάτω καὶ κατὰ Χριστὸν γνῶσιν σοφὸς Ἀθανάσιος εἴρηκε; Πρὸς οὓς φαίην ἂν ἡμέρως καὶ προσηνῶς ὡς, ἐπεὶ πρὸς πᾶσαν θείαν φωνὴν ὅσα καὶ διδασκάλοις τοῖς τῆς εὐσεβείας ἐξηγηταῖς χρώμεθα, σκοπητέον ἡμῖν, ὅπως οἱ λοιποὶ τῶν ἁγίων τὸ μεῖζον ἐπὶ τοῦ Πατρὸς ἐξειλήφασιν, ὅσοις περὶ τούτου διαλαβεῖν ἐξεγένετο, καὶ τότε μετενεκτέον ἐπὶ τοῦ παρόντος τὴν ἔννοιαν, ἣν κἂν μὲν προσφυῆ καὶ συνᾴδουσαν ταῖς περὶ τοῦ Υἱοῦ γραφικαῖς ἄλλαις χρήσεσιν εὕροιμεν, στερκτέον ἐνταῦθα καὶ νῦν, ἀγαπητέον τε καὶ μόνον αὐτῇ, καὶ ταύτης ἀνθεκτέον διὰ παντός· εἰ δὲ μὴ, ζητητέον, ὡς εἰκὸς, τὴν ἁρμόζουσαν. Ἐν πρώτοις τοιγαροῦν ὁ οὐρανοφάντωρ Βασίλειος, ἀρκεῖ γὰρ οὗτος ἀντὶ πάντων τῶν τε πρὸ αὐτοῦ, καὶ τῶν σὺν αὐτῷ διαπρεψάντων εἰς τὴν κατὰ Θεὸν σοφίαν μεγάλων ἀνδρῶν, ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν, πῶς ὁ Πατὴρ τοῦ Υἱοῦ λέγεται μείζων ἐφερμηνεύων, οὕτω κατὰ λέξιν διέξεισιν· *Ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλον, ὅτι τὸ μεῖζον ἢ κατ' αὐτὸν τὸν τῆς αἰτίας λόγον, ἢ κατὰ τὸν τῆς δυνάμεως πλεονασμὸν, ἢ κατὰ τὴν τοῦ ἀξιώματος ὑπεροχὴν, ἢ κατὰ τὴν τῶν ὄγκων περιουσίαν λέγεται; Οὔτε οὖν κατὰ τὸν ὄγκον, οὔτε κατὰ πλεονασμὸν δυνάμεως, οὔτε κατὰ ὑπεροχὴν ἀξιώματος τὸ μεῖζον ἐνταῦθα ῥηθήσεται. Λείπεται τοίνυν κατὰ τὸν τῆς αἰτίας λόγον τὸ μεῖζον ἐνταῦθα λέγεσθαι. Ἐπειδὴ γὰρ ἀπὸ τοῦ Πατρὸς ἡ ἀρχὴ τῷ Υἱῷ, κατὰ τοῦτο μείζων ὁ Πατὴρ ὡς αἴτιος καὶ ἀρχή.* Μετ' αὐτὸν δὲ καὶ ὁ ἐνθεώτατος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν, *Ἴσος*, λέγει, *τοιγαροῦν κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχων ὁ Υἱὸς τῷ Πατρὶ καὶ ὁμοίως κατὰ πάντα, μείζονα αὐτόν φησιν, ὡς ἄναρχον ἔχων ἀρχὴν κατὰ μόνον τὸ ἐξ οὗ, εἰ καὶ σύνδρομον αὐτῷ τὴν ὕπαρξιν ἔχει.* Καὶ μετ' ὀλίγα· *Λέγεται δὲ μείζων ὁ*

ritu, sed majorem et æqualem denotans, elargiebatur Spiritum aiebatque : « Ego illum mittam, et ille me glorificabit, et quæcunque audiet loquetur[42]. » Ad hoc, reliqua enim alia prætereo, ne extra propositum multa hic aggerere videar, quid plane respondebunt, qui veritatem temere oppugnant, et quidquid recte per nos prolatum est criminantur, et omnibus prompte, et ut plurimum inconsiderate insultant? Possumusne dicere Spiritu majorem Filium, et ordinem in istis non acceptare, quemadmodum possumus majus in Spiritum traducere ex Filio et plane projicere? O inconsiderantiam! si prorsus huic quoque assensum præbere contenderint. Hoc itaque, ut ipse reor, omnino nec mente conceperint : neque enim, justum est, uti propalam omnium irrisioni obnoxium, nisi quis id quoque accipiat secundum Salvatoris humanitatem, ut Magnus jam antea annotaverat. Addubitabunt vero potius, idque non sine laude, eaque magna, quomodo et qua ratione majorem Spiritu Filium, excelsissima, et ea quæ secundum Christum est, cognitione, vere sapiens Athanasius dixit? Quibus ipse placide humaneque responderim, cum ad voces omnes divinas exponendas uti doctoribus pietatis interpretibus utimur, considerandum a nobis esse, quomodo sanctorum reliqui majus de Patre acceperint, quibus de eo tractatio contigit, et tum illorum sententiam ad præsentis intelligentiam transportandam, quam si aptam atque accommodam aliis scripto traditis de Filio testimoniis invenerimus, hic quoque nunc admitendam, illamque solam amplectendam, et modis omnibus mordicus retinendam, sin minus, concordem uti par est conquirendam. Et ante alios primus rerum cœlestium revelator Basilius, namque ipse præ reliquis aliis qui ante ipsum, vel cum ipso in divina sapientia magni et illustres habiti sunt, satis superque est, in primo adversus Eunomium antirrhetico, quomodo Pater Filio dicatur major explanans, hæc verba usurpat : *Illud vero cui tandem gentium incompertum est, majus dici aut ratione causæ, aut eo quod majores vires possideat, aut quod dignitate excellat, aut propter molis exsuperantiam? Neque itaque secundum molem, neque vires majores, neque dignitatis excellentiam majus hic dicetur, quare reliquum est, ut ratione causæ majus dicatur. Cum enim a Patre Filii origo est, eo respectu major est Pater, uti causa et principium.* Et post Basilium divinissimus Cyrillus in uno primi Thesaurorum capite : *Æqualis*, ait, *igitur ratione essentiæ existens Filius Patri, et similis in omnibus, majorem ipsum vocat, tanquam qui principium absque principio possidet, tantummodo illo ex quo, licet concurrentem una cum ipso existentiam habeat.* Et paucis annexis : *Dicitur vero major Pater, tanquam principium coæterni fetus.* Hos quoque Damascenus Joannes sapientia celebris, et qui in tradendis

[42] Joan. XV, passim.

Digitized by Google Распознавание текста ABK/FR

dogmatibus supra multos alios excellit, et potissimum Gregorium Theologum, ille enim similiter in multis suis orationibus hæc pertractat, secutus, mediæ siquidem ætatis Patres, uti fieri potest brevitati studens, prætereo, oratione de sancta Triade docet : *Cum itaque intelligimus principium et majorem Filio Patrem, causa concipienda est.* Supervacaneum porro fuerit dicere, plerosque sanctos propter inhumanationem Verbi majus de Patre tradidisse, cum hic prorsus similia referre plane inopportunum videatur. Igitur de hoc plura dicere supersedens, illud ex deiferis Patribus arripio, quod ad præsentem conducere quæstionem reputo, majus nempe dici secundum principium et causam, nec inconcinne, ut mihi persuadeo; quod et plane compertum est, cum et Nyssenum Gregorium quam maxime concordem mihi reperiam. Is enim primo adversus Eunomium antirrhetico: *Quemadmodum enim*, ait, *conjungitur Patri Filius, et ex eo quod sit habens non posterior est exsistentia, sic rursus et Unigenito Spiritus sanctus conjungitur, cogitatione sola secundum causæ rationem præintellecta Spiritus exsistentia.*

A *Πατὴρ ὡς ἀρχὴ τοῦ συναϊδίου γεννήματος.* Τοιοῦτοις καὶ ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης, ὁ τοῖς δόγμασιν ὑπὲρ πολλοὺς διαλάμψας, μᾶλλον μὲν οὖν τῷ Θεολόγῳ Γρηγορίῳ, κἀκεῖνος γὰρ ὁμοίως ἐν πολλοῖς τῶν αὐτοῦ διαλαμβάνει λόγων, ἐπόμενος, τοὺς γὰρ ἐν μέσῳ παραλείπω, τῆς συντομίας φροντίζων ὡς ἐγχωροῦν, ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος λόγῳ φησίν· *Ὅτε οὖν ἀκούσομεν ἀρχήν, καὶ μείζονα τοῦ Υἱοῦ τὸν Πατέρα, τὸ αἴτιον νοήσωμεν.* Περιττὸν δὲ πάντως εἰπεῖν ὅτι πολλοὶ τῶν ἁγίων καὶ διὰ τὴν ἐνανθρώπησιν τοῦ Λόγου τὸ μεῖζον ἐπὶ τοῦ Πατρὸς ἐκδεδώκασιν· ἐπείπερ ἐνταῦθα πάντη τὸ τοιοῦτον ἀνοίκειον. Οὐκοῦν τὰ περὶ τούτου παρεὶς ἐκεῖνο τῶν θεοφόρων Πατέρων ἀπολαβὼν συμβαλλόμενον, κρίνω πρὸς τὸ παρὸν, τὸ λέγεσθαι τὸ μεῖζον κατὰ τὴν ἀρχὴν καὶ τὸ αἴτιον, καὶ οὐ φαύλως, ὡς πέπεισμαι. Δῆλον δὲ πάντως ἐξ ὧν εὑρίσκω καὶ τὸν Νύσσης Γρηγόριον ἐπὶ τούτῳ τὰ μέγιστα συγκροτοῦντά μοι. Λέγει γὰρ οὗτος ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν· *Ὡς γὰρ συνάπτεται τῷ Πατρὶ ὁ Υἱὸς, καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν· οὕτω πάλιν καὶ τοῦ Μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένης τῆς τοῦ Πνεύματος ὑποστάσεως.*

B

39. Sed en, inquiunt, tuis tu sermonibus captus es. Quod enim nos multo antea suspicabamur, id nunc palam et ex propriis evulgasti, dum Spiritus causam Filium asseris, quod omnium absurdissimum est. Etenim si causa Spiritus Filius est, et ut C omnibus in confesso est, causa quoque Pater est, duæ prorsus ejusdem Spiritus causæ fuerint. Hoc enim est eorum postremum atque inauspicatum, et ad quod omne adversariorum studium, et sermonum capita pedesque conatusque denique omnes tendunt, ut nos veritatis defensores in hoc veluti in infimum barathrum conjiciant. Ego vero dicere possum et rebus ipsis consentanee, me captum minime esse, et si quid est quod ex dictis reprehensione non caret, mihi appingi justum non esse, cum mearum cogitationum similia fetus non sint. Namque ne qui similia agitant, temere delirent, et mente capti sint, Nyssaensium terrarumque orbis lumen captum est, non ego; eumque de his dignum est pœnas luere, si quæ D opponentium sese calculo lui debent. Verumtamen cum debeant omnes veritatis defensionem, utut valent, suscipere, operæ pretium est neque hoc in loco sermonem calumniis lacessitum absque defensione præterire. Quare uti vires nostræ concedunt, huic quoque opem feramus. Non ait causam Spiritus etiam Filium esse, ut inde duæ Spiritus causæ intelligantur, Pater nempe et Filius, ut quidam suspicantur. Hoc enim multum abest a nostra pia traditione. Præintelligi vero Filium cogitatione solummodo secundum causæ rationem Spiritus hypostasi docet, non alia causa quam ea quæ Patris est. Una siquidem causa Spiritus ex Patre, secundum quam Filius præintelligitur Spi-

λθ'. Ἀλλ' ἰδοὺ, φασὶν, αὐτὸς ἔἁλως ἀφ' ἑαυτοῦ. Τὸ γὰρ ἡμῖν ὑποπτευόμενον ἐκ μακροῦ, τοῦτο νῦν οἰκοθεν καὶ φανερῶς ἐξεπόμπευσας, αἴτιον τοῦ Πνεύματος εἰπὼν τὸν Υἱὸν, ὅπερ τῶν ἀτοπωτάτων ἐστίν. Εἰ γὰρ αἴτιος τοῦ Πνεύματος ὁ Υἱὸς, αἴτιος δὲ καὶ ὁ Πατὴρ καθ' ὁμολογίαν κοινὴν δύο πάντως τὰ τοῦ αὐτοῦ Πνεύματος αἴτια. Τοῦτο γὰρ τὸ τελευταῖον αὐτῶν καὶ δυσάντητον, καὶ πρὸς ὃ τείνει πᾶσα τῶν κατὰ λόγον δῆθεν ἀνθισταμένων καὶ σπουδὴ καὶ διάνοια, τοὺς τὴν ἀληθειαν συνιστῶντας ὑμᾶς ὑποσκαλίζειν εἰς τοῦτο πειρωμένων, ὡς εἰς ἔσχατον βάραθρον. Ἐγὼ δὲ λέγειν μὲν ἔχω προσηκόντως ὡς ἑάλων αὐτὸς, οὐδ' εἴ τι τῶν εἰρημένων ἐστὶν ἐπιλήψιμον, ἐμοὶ προστρίβεσθαι δίκαιον, ἕως ἂν οὐ τῆς ἐμῆς ὑπάρχῃ ταῦτα διανοίας καρπός. Καὶ γὰρ εἰ μὴ μάτην οἱ τοιοῦτοι φρονοῦντες πλημμελοῦσι τὸν νοῦν, ὁ τῶν Νυσσαέων καὶ τῆς οἰκουμένης ἑάλω φωστὴρ, οὐκ ἐγώ· κἀκεῖνον ἐπὶ τούτοις ἄξιον, εἴ τι δέει κατὰ τοὺς ἀνθεστηκότας εὐθύνεσθαι. Πλὴν ἐπειδὴ χρέος τοῖς πᾶσιν ὑπερηγορεῖν τῆς ἀληθείας, ὡς ἐφικτὸν, δέον μηδ' ἐνταῦθα συκοφαντούμενον τὸν λόγον παριδεῖν ἀβοήθητον. Καὶ γοῦν τὴν δυνατὴν ἡμῖν ἐπικουρίαν κἀν τούτῳ συνεισενέγκωμεν. Οὐκ αἴτιον τοῦ Πνεύματος λέγει καὶ τὸν Υἱὸν, ὡς ἐντεῦθεν ζύο νοεῖσθαι τοῦ Πνεύματος αἴτια, τὸν Πατέρα δηλονότι καὶ τὸν Υἱὸν, καθάπερ δοκεῖ τισιν. Πόῤῥω γὰρ τοῦτο τῆς καθ' ἡμᾶς εὐσεβοῦς παραδόσεως. Προθεωρεῖσθαι δὲ τὸν Υἱὸν ἐπινοίᾳ μόνῃ δοκεῖ κατὰ τὸν τῆς αἰτίας λόγον τῆς τοῦ Πνεύματος ὑποστάσεως, αἰτίας οὐκ ἄλλης ἀλλ' ἢ τῆς ἐκ τοῦ Πατρός. Μία γὰρ αἰτία τοῦ Πνεύματος ἡ ἐκ τοῦ Πατρὸς, καθ' ἣν ὁ Υἱὸς προθεωρεῖται τοῦ Πνεύματος, διὰ τὸ ταύτην ὑπάρχειν αὐτῷ διὰ τοῦ Υἱοῦ, καθὼς διὰ τοῦ παρόντος λόγου παντὸς ἀποδέδεικται.

Digitized by Google Распознавание текста ABK/FR

Διὰ τοῦτο γὰρ καὶ τῆς αἰτίας εἶπε μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, οὐ μὴν αἰτίας ἁπλῶς, ὡς οὔσης γνωρίμου ταύτης καὶ προφανοῦς. Ἐπήγαγε μέντοι καὶ προϊών, *ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξηρημένου ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν*, πανταχοῦ συνᾴδων αὐτὸς ἑαυτῷ. Μεμνήμεθα γὰρ παραγαγόντες τοῦτον ἄνωθεν τοῦ λόγου τούτου καὶ καταρχὰς πρὸς Ἀβλάβιον οὕτω λέγοντα· *Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου κατελάβομεν.* Πάντως αἴτιον καὶ αἰτιατὸν εἰπών, οὐ δήπου τὴν διαφορὰν μόνην ἐδήλωσε τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ τὴν τοῦ Υἱοῦ πρὸς αὐτό. Καὶ γὰρ ταῦτα προθεὶς ἐπιφέρει μετ' ὀλίγα λοιπόν· *Ὅτι τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου.* Τί τούτων σαφέστερον, εἴ τις ἐθέλει ταῖς θείαις Γραφαῖς ἐπιβάλλειν ὀρθῶς, καὶ πρὸς τῶν ἁγίων Πατέρων ἀποβλέπειν σκοπόν; Ἐπειδὴ γὰρ ἐνταῦθα τὸν μὲν Πατέρα φησὶν αἴτιον, ἐξ αἰτίας δὲ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλὴν τὸν μὲν Υἱὸν προσεχῶς, τὸ δὲ Πνεῦμα διὰ τοῦ προσεχῶς, ἤτοι διὰ τοῦ Υἱοῦ, καλῶς ἐκεῖσε *προθεωρεῖσθαι* τοῦτον *εἰρηκὲ κατὰ τὸν τῆς αἰτίας λόγον τῆς τοῦ Πνεύματος ὑποστάσεως*, ὅτι δι' Υἱοῦ ταύτην ἔχει τὸ Πνεῦμα παρὰ Πατρός. Οὕτως ἐγὼ καὶ τὴν τῆς πατρικῆς ταύτης καταλαμβάνω χρήσεως δύναμιν, ἐξ οὗ καὶ τὸ σοφὸν αὐτῶν τάχα καὶ δυσκαταγώνιστον ἀνατέτραπται, καταβληθὲν ἐκ βάθρων αὐτῶν, ὥστε καὶ μείζων τοῦ Πνεύματος ὁ Υἱός, οὐχ ὅτι παρὰ τὸν Πατέρα τοῦ Πνεύματος, ἕτερον οὗτος, αἴτιον, ἀλλ' ὅτι τὴν ἐκ Πατρὸς αἰτίαν καὶ τὴν ἀρχὴν ἔχει Πνεῦμα διὰ τοῦ Υἱοῦ. Διὸ καὶ ὁ Πατὴρ αἴτιος μὲν ἀμφοτέρων, τοῦ τε Υἱοῦ καὶ τοῦ Πνεύματος, ἀλλὰ τοῦ μὲν Υἱοῦ προσεχῶς, τοῦ δὲ Πνεύματος διὰ τοῦ Υἱοῦ. Τοῦτο καὶ ὁ μέγιστος καὶ δογματικώτατος Μάξιμος ἔν τινι πρὸς Ἐλπίδιον περὶ ἀγάπης κεφαλαίων αὐτοῦ ῥιαῤῥήδην βοᾷ, τὸν λόγον οὕτω διατιθείς· *Ὥσπερ αἴτιος τοῦ λόγου νοῦς, οὕτω καὶ τοῦ πνεύματος, διὰ μέσου δὲ τοῦ λόγου· καὶ ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύματος.* Καὶ ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ, *Διὰ Λόγου, φησὶν, ὁ Πατὴρ προβολεὺς ἐκφαντορικοῦ Πνεύματος.* Ὁ γὰρ ἐκεῖ σημαίνει τὸ *αἴτιος*, τοῦτο βούλεται *πάντως* ἐνθάδε τὸ *προβολεύς*. Ταὐτὴν γὰρ ἀμφότερα· τοιγάρτοι καὶ μίαν ἐκ τούτων ἑκάτεροι ἐδηλώκασιν ἔννοιαν. Ἐγὼ δ' ἄλλ' οὐκ ἂν αἰτίαν εἰποίην ὡς ἀληθῶς πολυπράγμονος, εἰ καὶ τὸ τέλος τῆς τοῦ μεγάλου Μαξίμου ῥήσεως ἐπαναλαβὼν, προσεξετάσω τὰ μεγάλα μοι καὶ αὐτὸ συγχροτοῦν. *Ὥσπερ γὰρ, φησὶν, οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύματος.* Ἄλλη τῆς ἐντεῦθεν ὑποθέσεως ὁρμὴ, τὴν ἡμῶν διαφερόντως συνιστῶσα διάνοιαν. Ἐ γὰρ *ὥσπερ* οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύ-

ritu, quod ea illi insit per Filium, ut tota hac oratione demonstratum est. Propterea enim causæ, τῆς αἰτίας, dixit, addito articulo, non causæ, αἰτίας, simpliciter, cum illa esset nemini non cognita et manifesta. Et procedente oratione subnexuit: *Adeo ut causæ ratione exempta, in nullo sancta Trias in semetipsa discordaret*, ubique sibimetipsi concors. Neque enim obliti sumus nos ejusdem hujusce orationis principio in medium attulisse ad Ablabium verba, nempe, *Immutabilem et per omnia similem naturam confitentes, discrimen inter causam et effectum non inficiamur, in quo solum disjungi alterum ab altero deprehendimus.* Omnino causam et effectum sive causatum dicens, non tantum differentiam Patris respectu Filii, et Spiritus sancti, sed et Filii quoque respectu Spiritus manifestavit. Cum enim jam posita protulisset, paucis adjectis subinfert: *Namque hoc quidem est immediate a primo, hoc vero ex contiguo a primo.* An dici potest apertius, si quis divinis Scripturis rectam mentem intendere, et sanctorum Patrum sententiam intueri vult? Cum enim hic Patrem quidem vocet causam, ex causa vero Filium et Spiritum sanctum, sed Filium immediate, Spiritum vero per id quod immediate est, sive per Filium, bene ibi eum *præintelligi dixit Spiritus hypostasi secundum causæ rationem*, quod per Filium eam habet Spiritus ex Patre. Sic ipse Patris hujusce verba concipio ac plane intelligo, quibus forte sapiens eorumdem argutia et expugnatu difficilis evertitur funditus disjecta; adeo ut et major Spiritu Filius: non quod præter Patrem alia hic causa est, sed ex Patre causam et principium habet Spiritus per Filium. Ideoque Pater amborum Filii et Spiritus causa est, sed Filii quidem immediate, Spiritus vero per Filium. Hoc etiam maximus et in dogmatibus asserendis eximius Maximus in uno de charitate ad Elpidium capite aperte clamat, ita orationem disponens: *Quemadmodum causa verbi mens, sic et spiritus, sed medio verbo; et quemadmodum non possumus dicere verbum esse vocis, pari modo nec Filium Spiritus.* Et sapiens Joannes Damascenus de divinis nominibus capite, *Per Verbum*, ait, *Pater productor revelantis Spiritus.* Quod enim ibi *causa*, hoc idem omnino hic *productor* significat. Idem enim sonat utrumque, ideoque et unam similibus verbis sententiam uterque indicavit. Mihi vero nemo curiositatis notam vere inuret, si finem magni Maximi dicti resumens, examini subjiciam, quod in rem meam et maxime conducet. *Quemadmodum enim*, ait, *non possumus verbum dicere vocis, pari modo neque Filium Spiritus.* Hinc alia nobis argumentandi ansa datur, quæ nostram sententiam egregie confirmat. Etenim si, quemadmodum non possumus dicere verbum esse vocis, pari modo neque Filium Spiritus; possumus vero, vice versa, Spiritum nempe Filii dicere, quemadmodum et vocem Verbi. His calculum addunt Gregorius Nyssenus,

Digitized by Google Распознавание текста ABBYY FR

et sapiens Joannes Damascenus, ille quidem in *Pater noster* homilia dicens : *Spiritus, qui ex Deo est, et Christi Spiritus est, Filius vero ex Deo exsistens, non item et Spiritus, neque est, neque dicitur, neque contra vertitur relativa ista consequentia*, hic vero capite de Trinitate : *Spiritum Filii nominamus, Filium vero non dicimus esse Spiritus.* Si hæc vera sunt, longeque a mendacio dissita, uti revera sunt, manifestum est relationem quamdam in illis esse, qua Spiritus est et dicitur Filii, Spiritus vero non est Filius, neque dicitur. Quænam vero illa fuerit? Prorsus quæ plurimis in locis a me comprehensa, et sacris Scripturis, quas supra laudavimus, demonstrata est, Spiritum nempe sanctum exsistentiam habere ex Patre per Filium. Propterea que libris ad Herminm qualitatem illum nuncupat Filii, uti et Patris divinissimus Cyrillus, nunc quidem asserens : *Spiritus sanctus quasi naturalis qualitas sanctæ sapientisque deitatis est, quæ in Patre et Filio consideratur.* Nunc rursus : *Si igitur signa et prodigia per Paulum Christus operatur in virtute Spiritus sancti, veluti operatio quædam naturalis et vivens, et, ut ita dicamus, qualitas deitatis Filii Spiritus sanctus est, et uti quædam evaporatio et qualitas est Paternæ essentiæ.* Sed quid nimium multa amplector, cum una brevique Patrum auctoritate possim vocem atque orationem adversariorum comprimere, si modo apud eos discretionis spiritus est, et non diabolica contentio, de quo inquiritur? Auctoritas, ne diutius eam pertraham, in epistola ad Serapionem episcopum de Spiritu sancto divini Athanasii est, in qua asserit : *Etenim unctio hæc Filii afflatus est.* Quis ex sese opponentibus audiens Spiritum afflatum Filii, in propria sententia insistet, et non potius mutato animo opinioni nostræ divinis Scripturis fultæ atque constabilitæ totus addicetur, dummodo a sapientia remotus non est, nec contentiose res peragat, sed vinci quoque in nonnullis honorifice sustinet? Hinc enim unusquisque manifestius deprehendet, qua ratione a divinitus inspirata Scriptura Spiritus Filii Spiritus sanctus nuncupetur, et relationem inspiciet, quæ eum ita nuncupari decrevit, quam similiter continuo ita permanentem, cum divina et beata natura immutabilis sit, nemo vere a nobis immutari, aut perverti, licet multum defatigetur, innumeras in sese convolvens imaginationes, prorsus persuadebit. Cum neque Filius filius est Spiritus, neque dicatur, uti Ecclesiæ lumina Nyssenus Gregorius, et sapiens Joannes Damascenus, ut jam diximus, prohibuerint, possunt jam ex antea positis hic testimoniis scripto traditis pondera præsentis quæstionis dijudicare, dummodo æquiores contra nos oppositionem factam comprehenderint, quibus vel solis omnes, uti addecet, faciles aures præbentes, eorum sententiis commode attendent, nec plura pro veritatis confirmatione disquirent. Namque si hisce, uti par est, non attenderint, palam

A ματος· ἔστι δὲ τὸ ἀνάπαλιν, τὸ Πνεῦμα φάναι δηλαδὴ τοῦ Υἱοῦ, καθάπερ καὶ τοῦ λόγου τὴν φωνήν. Καὶ τούτοις προσμαρτυροῦσιν ὅ τε Γρηγόριος Νύσσης καὶ ὁ ἐκ Δαμασκοῦ σοφὸς Ἰωάννης, ὁ μὲν ἐν τῇ εἰς τὸ *Πάτερ ἡμῶν* ὁμιλίᾳ λέγων, *Ὡς τὸ μὲν Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ καὶ Χριστοῦ Πνεῦμά ἐστιν· ὁ δὲ Υἱὸς ἐκ τοῦ Θεοῦ ὢν οὐκέτι καὶ τοῦ Πνεύματος οὔτ' ἔστιν, οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη·* ὁ δὲ ἐν τῷ περὶ Τριάδος· *Ὅτι Πνεῦμα μὲν Υἱοῦ ὀνομάζομεν, τὸν δὲ Υἱὸν οὐ λέγομεν εἶναι τοῦ Πνεύματος.* Εἰ ταῦτα πέφυκεν ἀληθῆ, καὶ παντὸς ψεύδους μακρὰν, ὥσπερ οὖν ἀμέλει καὶ πέφυκεν, εὔδηλον ὅτι σχέσις τις ἐν τούτοις θεωρεῖται, καθ' ἣν ἔστι μὲν τὸ Πνεῦμα καὶ λέγεται τοῦ Υἱοῦ, τοῦ δὲ Πνεύματος

B οὐκ ἔστιν ὁ Υἱὸς, οὐδὲ λέγεται. Τίς δ' αὖτη; Πάντως ἡ πολλαχοῦ μοι διαληφθεῖσα, καὶ διὰ τῶν θείων ἀποδειχθεῖσα Γραφῶν, ἃς καὶ προανετάξαμεν· ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τὴν ὕπαρξιν ἔχει παρὰ Πατρὸς δι' Υἱοῦ. Δι' ὃ κἂν τοῖς πρὸς Ἑρμείαν ποιότητα τοῦτο καλεῖ τοῦ Υἱοῦ, καθάπερ καὶ τοῦ Πατρὸς ὁ ἐνθεώτατος Κύριλλος, πῇ μὲν φάσκων οὕτως· *Τὸ Πνεῦμα τὸ ἅγιον οἱονεί τις φυσικὴ ποιότης τῆς ἁγίας τε καὶ σοφῆς θεότητός ἐστι, τῆς ὡς ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης·* πῇ δὲ πάλιν· *Οὐκοῦν εἰ σημεῖα καὶ τέρατα διὰ Παύλου Χριστὸς ἐργάζεται ἐν δυνάμει Πνεύματος ἁγίου, ὡς ἐνέργειά τις φυσικὴ καὶ ζῶσα, καὶ ἵν' οὕτως εἴποιμεν, ποιότης τῆς θεότητος τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ*

C *ἅγιόν ἐστι, καὶ ὥσπερ τις ἀτμὸς ἢ ποιότης ἐστὶ τῆς οὐσίας τοῦ Πατρός.* Ἀλλὰ τί δεῖ μοι τῆς ἐν τούτοις μακρηγορίας, ἐνὸν διὰ μιᾶς καὶ βραχείας πατρικῆς χρήσεως παῦσαι τοὺς ἀντιλέγοντας, εἰ πνεῦμα παρ' αὐτοῖς ὀπωσοῦν διακρίσεως, καὶ μὴ διαβολικὴ τὸ μαχόμενον ἔνστασις; Ἡ δὲ χρῆσις, ἵνα καὶ ταύτην ἐκθήσομαι τάχιον, ἐν τῇ πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ φησιν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος· Καὶ *γὰρ τὸ χρίσμα τοῦτο πνοή ἐστι τοῦ Υἱοῦ.* Τίς

D τῶν ἀνθισταμένων, ἀκούσας τὸ Πνεῦμα πνοὴν τοῦ Υἱοῦ, τῆς οἰκείας εἰσέτι δόξης ἀντιποιήσαιτο, καὶ οὐχὶ δὴ μᾶλλον μεταβαλὼν τῆς ἐκ τῶν θείων Γραφῶν τὸ ἀσφαλὲς ἐχούσης ἡμετέρας γνώμης γενήσεται, συνέσεώς τινος; εὐμοιρῶν, καὶ μὴ πάντα φιλονείκως λέγειν ἐθέλων, ἀλλ' ἔστιν ἃ καὶ ἠττᾶσθαι καλῶς ἀνεχόμενος; Ἐντεῦθεν γὰρ ἂν καὶ καταλάβοι μάλιστα πᾶς ἐναργέστερον, ὅπως παρὰ τῆς θεοπνεύστου Γραφῆς Υἱοῦ Πνεῦμα τὸ Πνεῦμα καλεῖται τὸ ἅγιον, καὶ τὴν σχέσιν κατίδοι τὴν οὕτω τοῦτο λέγεσθαι δικαιώσασαν, ἣν ὡσαύτως διὰ παντὸς μένουσαν, ὡς ἀναλλοιώτου τῆς θείας οὔσης καὶ μακαριστῆς φύσεως, οὐδεὶς ἀληθῶς ὃς μετακινεῖσθαι καὶ μεταπίπτειν ἀναπείσαιτο παράπαν ἡμᾶς, οὐδ' ἂν πολλὰ κἀμοὶ μυρίους ἀνακινῶν λογισμούς. Ἐπεὶ μηδὲ Πνεύματος ἔστιν υἱὸς ὁ Υἱὸς, οὐδὲ λέγεται, καθὼς οἱ τῆς Ἐκκλησίας φωστῆρες, ὅ τε Γρηγόριος ὁ Νύσσης καὶ ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης, ὡς προειρήκαμεν, ἀπηγόρευσαν· ἔχουσιν ἤδη κἀκ τῶν προτεθειμένων ἐνταῦθα μαρτυριῶν γραφικῶν τὸ πᾶν τοῦ

Digitized by Google Распознавание текста ABK/FR

παρόντος κατανοῆσαι ζητήματος οἵ γε μετριώτεροι γεγονότες ἐκ τοῦ συνιέναι τὴν πρὸς ἡμᾶς ταύτην ἀντίστασιν, αἷς μόναις καὶ πάντας χρεὼν εὐήκοον οὖς παρασχόντας, ταῖς αὐτῶν ἐννοίαις δεόντως προσσχεῖν, καὶ μὴ πλέον τῶν τοιούτων εἰς τὴν τῆς ἀληθείας παράστασιν ἀπαιτεῖν. Εἰ γὰρ μὴ ταύταις προσέξουσιν, ὡς εἰκὸς, πρόδηλον ὡς οὐδὲ ταῖς ἄλλαις ταῖς κατ' αὐτὰς, εἴ τις ἐπιμελῶς τὰς πάσας συλλέξας σχεδὸν δι' ὧν τὸ κράτος ἡμῖν περιγίνεται, ταῖς νῦν εἰρημέναις συντάξειεν. Οὕτως ὅτι κἀν τῇ Τριάδι τάξις ἐστὶ, κἂν ὑπὲρ τάξιν πᾶσαν ἁπλῶς διὰ τὸ ταύτης ὑπερφύες τε καὶ ὑπερούσιον. Ἄλις ἔχω τῶν ἀποδείξεων, ἐξ ὧν καὶ τὸ δι' Υἱοῦ παρὰ Πατρὸς ὑπάρχειν τὸ Πνεῦμα τὸ ἅγιον οὐχ ἧττον ἢ ταῖς ἄλλοις διαληφθείσαις γραφικαῖς συναποδέδεικται χρήσεσιν.

A est, nec aliis concordibus, quibus nostræ causæ pondus additur, si quis eas diligenter collectas jam appositis una digesserit, animum advertent. Et hac ratione intelligent etiam in Trinitate ordinem esse, licet propter suum supernaturale atque supersubstantiale supra omnem ordinem illa sit. Sed satis demonstrationum est, quibus per Filium a Patre Spiritum sanctum exsistere non minus quam aliis supra positis scripto traditis testimoniis probatum est.

μ'. Ἀλλ' ὥρα τὸ ἀπὸ τοῦδε καὶ τὰ λειπόμενα, βραχέα δὲ ταῦτα, προσθέντας, καταπαῦσαι τὸν παρόντα λόγον ἡμᾶς, ὁρχὴν δὲ καταστῆσαι τῷ μέλλοντι. Πολλὰ μὲν οὖν τῶν θείων ῥητῶν τὰ μὲν τὸ δι' Υἱοῦ παρὰ Πατρὸς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἀνεπισκιάστως καὶ τρανῶς ἀπαγγέλλοντα, τὰ δὲ καὶ συμβολικῶς αὐτὸ τοῦτο δηλοῦντα προανετάξαμεν, ὀλίγα δὲ καὶ νῦν πρὸς ἐντελεστέραν τῆς τοιαύτης ἐννοίας διάγνωσιν καταστρώσομεν. Ἡ γὰρ βάσις ἄσειστος τῷ Χριστωνύμῳ λαῷ φανεὶς κατ' εὐσέβειαν ὁ σοφὸς καὶ μέγας Βασίλειος ἐν τῷ δεκάτῳ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων, πρῶτα μὲν περὶ θεογνωσίας τὸν λόγον ποιούμενος, Ἡ τοίνυν ὁδὸς, λέγει, τῆς θεογνωσίας ἐστὶν ἀπὸ ἑνὸς Πνεύματος διὰ τοῦ ἑνὸς Υἱοῦ ἐπὶ τὸν ἕνα Πατέρα. Πάντως οὐ ταῦτα διαλαμβάνων, ἐπειδήπερ ἡμεῖς τὴν ἁγίαν Τριάδα τοῦτον τὸν τρόπον ἐπέγνωμεν· διὰ γὰρ τοῦ Μονογενοῦς σαρκωθέντος τὸν Πατέρα καθὸ Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐπεγνώκειμεν· τὴν δὲ τῇ θεογνωσίᾳ πρέπουσαν πρὸς ἡμᾶς ἀκολουθίαν, ὡς ἡ ζωαρχικὴ Τριὰς ἔχει μάλιστα διερμηνεύων καὶ συντιθείς. Καὶ ταῦτα μὲν περὶ θεογνωσίας διέξεισιν, ἐχόμενα δὲ τούτων καὶ καθεξῆς αὖθις φησι· Καὶ ἀνάπαλιν ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ βασιλικὸν ἀξίωμα ἐκ τοῦ Πατρὸς διὰ τοῦ Μονογενοῦς ἐπὶ τὸ Πνεῦμα διήκει. Οὕτω καὶ αἱ ὑποστάσεις ὁμολογοῦνται, καὶ τὸ εὐσεβὲς δόγμα τῆς μοναρχίας οὐ διαπίπτει. Συνῳδὰ τούτῳ διδάσκει καὶ Γρηγόριος ὁ μέγας καὶ θεολογικώτατος νοῦς, ὁ τὴν Ἐκκλησίαν Θεοῦ τῷ τε τῆς διανοίας ὕψει καὶ τῷ τῶν ῥημάτων ὄγκῳ λαμπροτέραν ἀπεργασάμενος, ὃς ἐν τοῖς περὶ Παρθενίας οἰκείοις ἔπεσιν οὕτω καὶ οὗτος εὑρηται φθεγγόμενος ἐπὶ λέξεων· Εἷς Θεὸς ἐκ γενέτου δι' Υἱέος εἰς μέγα Πνεῦμα, ἰσταμένης θεότητος ἐπὶ τελέοισι τελείης.

B C D

40. Sed jam tempus est, reliqua, non multa futura, nos addentes præsenti orationi finem ponere et principium futuræ constituere. Multa igitur ex divinis dictis, quorum quædam per Filium a Patre Spiritum sanctum clare aperteque pronuntiant, quædam symbolice id idem innuunt, præfiximus, pauca nunc vero ad absolutiorem hujusce sententiæ dignotionem apponemus. Nam qui firmamentum incoucussum pietatis Christianæ populo fuit magnus sapiensque Basilius decimo octavo capite ad Amphilochium, cum de Dei cognitione sermonem prius habuisset, subdit : *Ad Deum cognoscendum via est ab uno Spiritu per unum Filium ad unum Patrem.* Non hæc tamen ea ratione dictavit, quasi divina Trinitas a nobis eo modo agnita sit : per Unigenitum siquidem incarnatum Patris uti Patris, et Spiritus cognitionem habuimus, sed ad Deum cognoscendum nobis satis peraccommodam seriem, uti sese Trinitas vitæ auctrix habeat, quam optime interpretans atque componens. Et hæc quidem de Dei cognitione pronuntiata ab iis minime diversa sunt, quæ infra dicit : *Et vice versa naturalis bonitas, et quæ secundum naturam est sanctificatio, et regia dignitas ex Patre per Unigenitum in Spiritum sanctum pervenit.* Hac ratione et hypostases asseruntur, et pium monarchiæ dogma non delebitur. His non dissimilia docet magnus quoque Gregorius, in rebus theologicis discernendis mens acerrima, qui Ecclesiam Dei et cogitationum sublimitate, et verborum amplitudine lucidiorem reddidit carmine proprio de Virginitate hæc, ut jacent, verba usurpans : *Unus Deus ex Genitore per Filium in magnum Spiritum, remanente Deitate in perfectis perfecta.*

μα'. Τούτων ἁπάντων ὥσπερεὶ κορωνὶς καὶ κεφάλαιον μεῖζον καὶ κραταιότερον, οὗ καὶ λόγος οὐδεὶς ἐφικέσθαι δυνήσεται πρὸς ἀντίρρησιν, τὸ διὰ τοῦ Μονογενοῦς ἑνοῦσθαι τῷ Πατρὶ τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ δεόντως ὅσα καὶ κῦρος παντός μοι τοῦ λόγου τετήρηται, καὶ σφραγὶς οἷά τις ἀνεπιβούλευτος. Εἰ γὰρ τὴν ἑνότητα τὴν πρὸς τὸν Πατέρα διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα πλουτεῖ, πῶς οὐκ ἂν ὑπάρχειν ἐξ ἀνάγκης καὶ δι' αὐτοῦ δικαίως πιστεύοιτο; Τοῦ δὲ πάντως ἀξιόχρεῳ μάρτυρες ὅ τε μέγας Ἀθανάσιος καὶ Βασίλειος. Ὁ μὲν γὰρ ἐν τῇ πρὸς Σερα-

41. Horum omnium veluti coronis et caput majus ac firmius, ad quod refellendum nulla potis fuerit oratio, per Unigenitum nempe Patri conjungi Spiritum sanctum. Quare commode, veluti caput et cardo meæ orationis universæ reservatum est, et ab insidiis tutum sigillum. Namque si unionem cum Patre per Filium Spiritus obtinet, quomodo non necessario et per ipsum jure optimo credetur? Hujus fide digni testes plane fuerint magnus Athanasius et Basilius, ille siquidem ad Serapionem epistola de Spiritu sancto hæc habet ;

Digitized by Google Распознавание текста АВК/FR

Neque enim est extra Verbum Spiritus, sed in Verbo cum sit, in Deo per ipsum est. Et paucis adjectis : *Spiritus autem cum in Verbo sit, manifestum fuerit, in Deo esse per Verbum Spiritum.* Basilius vero in rebus divinis pertractandis eximius decimo octavo capite ad Amphilochium, *unum sanctum Spiritum* tradit, *per unum Filium uni Patri conjunctum.* Hoc idem et Damascenus sapiens Joannes capite de loco Dei iisdem verbis expressit : *Spiritus qui per Filium Patri conjungitur.* Et hæc quidem sunt a divinis Patribus de hoc pronuntiata, quæ dubitationes omnes atque dissensiones longe gentium pellunt : quinimo nemo illis contradicere audebit, et eritne, aut futurus est vir tantæ audaciæ atque temeritatis, qui Patrum adeo manifesta decreta conabitur evertere æque atque fastidiat dicta eorum sequi, et aliam theologiæ viam secare contendat, quasi vero hic in profunda Spiritus prospicere, et novis inde contemplationibus repleri præsumat? Et quis adeo superbus et arrogantissime se jactans, imo demens ac stultus, qui de se magnifica ista somniet, et in viros Spiritus impudenter insurgat? quorum vox in omnem exivit terram, et in fines orbis terrarum verba, ut a Deo mota Dei parentis, et prophetarum principis Davidis lyra cecinit. A quibus statis temporibus adversus pietatem exorientes hæretici, eamque de medio tollere Satanæ duro robore audacter contendentes, valide admodum debellati sunt, partim dogmatum majestate, veluti tonitrui strepitu perterriti concidentes, partim cum dedecore pedem referentes, quicunque nempe in propriæ hæreseos malitia ad finem usque, propter morum improbitatem, perstiterunt, et gravissimorum argumentorum nulla divinæ eorum sapientiæ, fructu percepto, quos propterea cœli quidem potestates ad stuporem usque suspicientes reveritæ sunt, dæmones vero summo timore perculsi pertimuerunt, cum universas suas artes, singulis diebus suis administris a se suggestas, facultate Verbi et Spiritus penitus ab iisdem dejectas prospicerent? Ego vero nullum ex omnibus adeo pravo improboque animo esse reor, et suæ propriæ salutis inimicum ac hostem, hoc siquidem est divinis Patribus contra ire palam conari, in quibus illi se cum Spiritu locutos esse edixerunt, cum et hac ratione maxime in Deum delinquit, siquidem Deus verax est, quemadmodum et verissime est Spiritus sanctus, quo illi continuo afflati tuto atque securo dogmata decernebant. Propterea et communi hac utor adhortatione :

πίωνα περὶ τοῦ ἁγίου Πνεύματος ἐπιστολῇ τάδε φησίν· Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ Λόγῳ ὄν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστι. Καὶ μετ' ὀλίγα· Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. Ὁ δὲ πολὺς τὰ θεῖα Βασίλειος ἐν τῷ δεκάτῳ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων, Ἕν δὲ καὶ τὸ ἅγιον, λέγει, Πνεῦμα δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον. Τοῦτο καὶ ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης ἐν τῷ περὶ τόπου Θεοῦ κεφαλαίῳ μυσταγωγεῖ, ῥήμασιν αὐτοῖς οὕτω διεξιών, Πνεῦμα τὸ διὰ Υἱοῦ τῷ Πατρὶ συναπτόμενον. Τοιαῦτα καὶ περὶ τούτου τοῖς θεοφόροις τοῖσδε Πατράσι διείληπται, πόρρω βάλλοντα καθαρῶς τὴν ἀμφιβολίαν καὶ τὴν διχόνοιαν· ἀμέλει τοι καὶ τὸ παράπαν οὐδεὶς ἂν αὐτοῖς ἐπιχειρήσειεν ἀντειπεῖν. Ἆρα γὰρ γέγονεν, ἢ γενήσεταί τις ἐπὶ τοσοῦτον τόλμης καὶ θράσους ἥκων ἀνήρ, ὃς ἀνατρέπειν πειράσθαι τὰ παρὰ τῶν ἁγίων οὕτω προδήλως λεγόμενα, καθάπερ οὐχ ἁγαπητὸν ἡγούμενος τοῖς πρὸς αὐτῶν εἰρημένοις ἑφέπεσθαι, τέμνειν σπεύδων ἑτέραν θεολογίας ὁδὸν, ἅτε παρακύπτειν αὐτὸν ἀπαυθαδιζόμενος εἰς τὰ βάθη τοῦ Πνεύματος, καὶ καινῶν θεωριῶν ἐκεῖθεν ἐμπίπλασθαι; Καὶ τίς οὕτως ἀλαζὼν καὶ καυχώμενος εἰς τὰ ἄμετρα, μᾶλλον μὲν οὖν ἄφρων καὶ μάταιος ὡς περὶ ἑαυτοῦ τὰ μεγάλα ταῦτα φαντάζεσθαι, καὶ τῶν ἀνδρῶν ἀνέδην κατεπαίρεσθαι τῶν τοῦ Πνεύματος; ὧν ὁ φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα, κατὰ τὴν πνευματοκίνητον τοῦ θεοπάτορος καὶ προφητάνακτος λύραν Δαυΐδ. Οἷς οἱ κατὰ καιροὺς ἐπαναστάντες τῇ εὐσεβείᾳ καὶ ταύτην ἐξαλείψειν ἐκ μέσου τῷ τοῦ Σατὰν χαλεπῷ σθένει θρασέως ἰσχυριζόμενοι κατὰ κράτος ἡττήθησαν, οἱ μὲν τῇ μεγαλοφυΐᾳ τῶν δογμάτων αὐτῶν ὑποκλιθέντες ὡς ἦχῳ βροντῆς, καὶ τούτοις ὑπείξαντες, οἱ δὲ καὶ μετ' αἰσχύνης ὑποχωρήσαντες, ὅσοι δηλαδὴ τῇ κακίᾳ τῆς ἑαυτῶν αἱρέσεως διὰ τέλους ἐνέμειναν, μηδὲν ἀπονάμενοι διὰ φαυλότητα τρόπου τῇ τούτων ἐνθέῳ σοφίᾳ καὶ τοῖς γνησίοις ἐπιχειρήμασιν, οὓς καὶ διὰ ταῦτα τῶν οὐρανῶν μὲν αἱ δυνάμεις κατεπλαγέντες ᾐδέσθησαν, δαίμονες δὲ φρίκῃ δεινῇ συσχεθέντες, κατέπτηξαν, πᾶν εἶδος μεθοδείας, ὅπερ τοῖς οἰκείοις ὑπηρέταις καθεκάστην ὑπέβαλον καταβληθὲν πρὸς αὐτῶν ἅρδην ἰδόντες δυνάμει Λόγου καὶ Πνεύματος. Ἐγὼ μὲν οὐδένα τῶν ἁπάντων οἶμαι τοιοῦτον ἄρτι φανήσεσθαι πονηρὸν, καὶ τῆς ἑαυτοῦ σωτηρίας ἐχθρὸν καὶ πολέμιον. Τοῦτο γὰρ ἄντικρυς ὁ τοῖς θείοις Πατράσιν ἀντιλέγειν φιλονεικῶν, ἐν οἷς ἐκεῖνοι φάναι μετὰ τοῦ Πνεύματος ἔφασαν· ἐπεὶ καὶ τὰ μεγάλα προσκρούειν οὕτω πέφυκεν εἰς θεὸν, εἴπερ Θεός ἐστιν ἀψευδὴς, ὥσπερ οὖν καί ἐστι παναληθῶς τὸ Πνεῦμα τὸ ἅγιον, ᾧ διὰ παντὸς ἐμπνεόμενοι λίαν ἀσφαλῶς ἐδογμάτιζον. Ταῦτ' ἄρα καὶ κοινὴν ποιοῦμαι τὴν πρόσκλησιν·

42. Eia agite omnes, sonora voce clamans, qui ad hæc usque tempora obstitistis et repugnastis ipsi unitati, quos paulo ante pietatis magistros adduximus, audientes, indeque addiscentes, Spiritum sanctum esse, et conjungi cum Deo et Patre per Unigenitum, per ipsum etiam existentiam habere

μβ'. Δεῦτε δὴ πάντες, βοῶν διαπρύσιον, οἱ μέχρι τῶν νῦν ἡμῖν ἀνθιστάμενοι, καὶ τῶν μικρὸν ἄνωθεν διαληφθέντων τῆς εὐσεβείας διδασκάλων ἀκροασάμενοι, καὶ γνόντες ὅτι τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Μονογενοῦς ἐστι τε καὶ συνάπτεται τῷ Θεῷ καὶ Πατρὶ, δι' αὐτοῦ καὶ τὴν ὕπαρξιν ἔχειν ἀναγκαίως ἐκ

Digitized by Google Распознавание текста ABK/FR

τούτου πιστεύσατε, καὶ μηδὲν ἐνδοιάσαντες στῆτε, παρακαλῶ, μεθ' ἡμῶν, καὶ τὴν καλὴν ταύτην ὁμολογίαν ῥήμασιν οἰκείοις ὁμολογήσατε, τοῖς θείοις καὶ κατὰ τοῦτο συμφωνοῦντες Γραφαῖς, ἵνα καὶ τὴν διάνοιαν ὁμοῦ καὶ τὴν γλῶσσαν, τὴν μὲν τῷ πιστεῦσαι τῇ ἀληθείᾳ, τὴν δὲ τῷ ταύτην ὁμολογῆσαι καθαγιάσητε, καὶ μὴ τἆλλα πάντα τῆς ὀρθῆς δόξης τυγχάνοντες, τὸ γοῦν ἐνταῦθα μέρος οὐχ ὑγιαίνητε, καὶ τοῦ παντὸς οὕτω δικαιότατα κρίνησθε παρὰ τοῖς εὐγνώμοσι τῶν ἀνθρώπων ἐκπίπτοντες. Τίς γὰρ ὁ λόγος τὸ μὲν εἶναι καὶ συνάπτεσθαι τὸ Πνεῦμα τὸ ἅγιον τῷ Θεῷ καὶ Πατρὶ διὰ τοῦ Υἱοῦ παραδέχεσθαι, τὸ δὲ καὶ τὴν ὕπαρξιν ἔχειν δι' αὐτοῦ μὴ προσίεσθαι; Πάντως ἀνάγκη τὸ Πνεῦμα τὸ ἅγιον, εἰ μὴ διὰ τοῦ Λόγου ταύτην πλουτεῖ, μὴ δι' αὐτοῦ συνεῖναι καὶ συνάπτεσθαι τῷ Θεῷ καὶ Πατρὶ, καὶ κινδυνεύει τοῦτον τὸν τρόπον περιττήν τινα τηνάλλως τελεῖν τὴν τοιαύτην θεολογίαν ἐπὶ τοῦ Πνεύματος. Προαπόλωλε δὲ καθ' ὑμᾶς καὶ πᾶσα ῥῆσις τῆς θείας Γραφῆς, ἥτις ὑπάρχειν ἐκ Πατρὸς διὰ τοῦ Λόγου κηρύττει τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς ἀπεδείξαμεν ἐν τῷ παρόντι, τούτων ἑκάστην ἐκθέμενοι, καὶ τοὺς ταῦτα πάντα φαμένους ἁγίους λείπεται διαβάλλειν, ὡς οὐκ εἰπόντας καλῶς, οὐδὲ προσβεύοντας τὴν ἀλήθειαν. Τοῦτο δὲ φρενὸς μὲν σατανικῆς διανόημα, πονηρῶν καὶ χειλέων ἀπήχημα. Πόθεν γὰρ ἡμῖν, εἰ μὴ παρὰ τούτων ἐστὶ τὸ ὀρθοδοξεῖν, οὓς τῆς εὐσεβείας μὲν προμάχους στερρούς, τῆς αἱρετικῆς δὲ πλάνης καθαιρέτας ἐγνώκαμεν; Ἀλλ' ὥσπερ ἐκεῖνο, τὸ συνεῖναι δηλαδὴ καὶ συνάπτεσθαι τῷ Θεῷ καὶ Πατρὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ περιττή τις τηνάλλως θεολογία τελεῖ, μᾶλλον μὲν οὖν ἀναγκαία τῷ ὄντι καὶ πολὺ τὸ χρήσιμον ἔχουσα· τὸν αὐτὸν δὴ τρόπον οὐδὲ τὸ ὑπάρχειν τοῦτο δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς ὁ τῆς ἀληθείας λατρευτὴς ἀπαρνήσεται. Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον, ὡς ἡ θεία καὶ ἱερὰ διδάσκει με πᾶσα Γραφὴ, Θεός ἐστι τέλειος ἀψευδῶς ἐκ τελείου Θεοῦ τοῦ Πατρὸς διὰ τελείου Θεοῦ τοῦ μονογενοῦς κατὰ τὰς προεκτεθείσας μαρτυρίας ἐκπορευόμενος. Οὕτως ἔχω περὶ τούτου, καὶ οὕτως ἑδραῖος ἐν τῇ παρούσῃ γνώμῃ καὶ ἀκλόνητος ἵσταμαι ταῖς σοφαῖς χρήσεσι τῶν ἁγίων, ὥσπερ τισὶ κραταιοῖς στύλοις ἐπερειδόμενος πάντοθεν, καὶ μηδὲν ὑποπτήσσων τὰς τῶν ἀγρίων πνευμάτων ἀντεμβολὰς, ἃς ἡ τῶν ἀνθεστηκότων ἐπεγείρει καθεκάστην πληθὺς ἀπαντῶσά μοι κατὰ πρόσωπον. Ἀλλὰ ταῦτα μὲν περὶ τοῦ τὴν ὕπαρξιν ἔχειν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, οἷς καὶ τὸν πρῶτον τοῦτον λόγον ἤδη συνεπεράναμεν, δι' ὃν καὶ χάρις Θεῷ τῷ πάντων τελειωτῇ τῶν καλῶν. Τὰ δὲ ἐπέκεινα τούτων ἕτερος οὗτος ἀγὼν, μηδὲν ἐλλείπων τοῦ παρόντος μηδ' ὀπωσοῦν. Τὸν δὲ καὶ πρὸς δεύτερον καταβάντες στάδιον ἀεθλεύσωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ παρὰ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον προερχόμενον, ἐμπνεύσοι χάριν ἡμῖν εἰς ἧτιν τῶν λόγων εὐόδωσιν.

nere-sario credite, et, remota omni dubitatione, a nobis state, et pulchram hanc confessionem verbis vestris profitemini, divinis in hoc etiam Scripturis concordes, ut cogitationem simul et linguam, illam credendo veritati, hanc eam confitendo sanctificetis, et cum in reliquis aliis recte sentiatis, hac in parte ne, precor, ægre laboretis, et sic in omnibus ab hominibus prudentibus merito decidisse reputemini. Quæ enim ratio est, esse et conjungi Spiritum sanctum cum Deo et Patre per Filium admittere, per eum vero exsistentiam habere respuere? Omnino necesse est Spiritum sanctum si eam per Verbum non possidet, neque per ipsum simul esse et conjungi cum Deo et Patre, et similis theologia de Spiritu sancto supervacanea esse periclitabitur. Et vestra quoque sententia jam multo antea deperdita sunt universa sacræ Scripturæ dicta, quæ ex Patre per Verbum exsistere Spiritum deprædicant, ut præsenti oratione ostendimus, singulis expositis, et reliquum est sanctos, qui similia pronuntiarunt, quasi non bene pronuntiassent, neque veritati primas partes dedissent in crimen vocare. Hoc vero sataniæ mentis inventum est, et improborum labiorum resonans strepitus. Unde enim nobis nisi ex his ipsis recta de fide sententia, quos pietatis validos defensores, et hæretici depulsores erroris agnoscimus? Sed ut illud, simul nempe esse et conjungi Deo et Patri per Filium Spiritum sanctum, non est supervacanea et frustra tradita theologia, sed multum planeque necessaria, et valde proficua, pari modo neque Spiritum exsistere per Filium a Patre pietatis cultor inficiabitur. Spiritus enim sanctus, ut divina et sacra universa Scriptura me docet, Deus est perfectus, vere ex perfecto Deo Patre per perfectum Deum unigenitum procedens, ut supra digesta testimonia intonant. Hæc mea de hoc sententia est, et sic in præsente sententia stabilis et inconcussus persisto, et sapientibus sanctorum dictis uti validis columnis omni ex parte invictus efferatorum flatuum impetus minime pertimesco, quos adversariorum turba quotidie obviam mihi facta concitat. Et hæc de Spiritu sancto, quod ille exsistentiam habeat ex Patre per Filium, in quibus et primæ nostræ orationi finem fecimus, ob quam et Deo gratias agimus bonorum omnium perfectori. Quæ vero sequuntur alteri certamini, quod hoc præsente in nullo inferius erit, locum præstabunt, quod ad secundum descendentes stadium decertabimus in Christo Jesu Domino nostro, per quem a Patre Spiritus sanctus progrediens influbit nobis gratiam ad sermones feliciter dirigendos.

Digitized by Google Распознавание текста ABK/FR

ΤΟΥ ΑΥΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

ΤΟΥ ΜΕΛΙΤΗΝΙΩΤΟΥ

ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΚΑΙ ΕΚ ΤΟΥ ΥΙΟΥ

ΛΟΓΟΣ Β'.

EJUSDEM CONSTANTINI

MELITENIOTÆ

DE PROCESSIONE SPIRITUS SANCTI ETIAM EX FILIO

Oratio II

1. *Interroga Patrem tuum, et annuntiabit tibi, seniores tuos, et dicent tibi* [13], pars hæc est beati Moysis cantici, quæ et mihi proœmii loco erit. Cum plane illa divina, et longe sapientissima admonitio sit, et ex eo ad hæc nostra tempora animis prudentibus inhærens plurimum auctoritatis habet, et sarta tectaque conservatur. Illi nos in anteriore hujus tractationis parte abunde probeque satisfecimus, cum ex Patre per Filium sanctissimi Spiritus exsistentiam examinantes, divinos Patres magistros et testes dictorum nostrorum adduximus, ex quibus omnibus veritatem, uti est, semel cognovimus, et nunc item satisfiet non minus, in præsenti nostra rursus de vivifici Spiritus ex Patre et Filio exsistentia concertatione. Cum hic quoque maxima divinarum Scripturarum ope, et frequente ab eisdem petito auxilio opus sit; non quod nos in rerum cognitione inter multos annumeremur, nec logica facultate ac vi ex propriis præcellamus, et quæstio similis magna sit, et magnis indigeat demonstrationibus; sed quod potior hominum pars, in sermonibus de pietate, non ita facile veritati præbent assensum, cum animis in adversa parte præoccupantur, nisi quod suadet ac movet, antiquitatis auctoritate et eorum, qui vita præcesserunt, actione, et speculatione præstantissimorum ac summorum corroboretur, ut sic inde sibi multis nominibus fidem locupletiorem conciliet, prudenter admodum et valde laudabiliter. Nam quos alios, inquiunt, sequi debemus, quam eos, quorum vita in lance a rigidissimis judicibus expensa, eorum sermones sublimes, et cogitationes multo sublimiores comprobatæ sunt, et quorum continua meditatio, ut rerum scientia poscit, mors fuit, ex qua uti facultas illis animæ oculos atque videndi aciem ab affectuum tenebris expurgatis concedebat,

α'. *Ἐπερώτησον τὸν Πατέρα σου, καὶ ἀνάγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι, μέρος τῆς τοῦ μακαρίου Μωϋσέως ᾠδῆς*, καὶ τοῦτό μοι προοίμιον, ὅπερ καὶ παράγγελμα θεῖον ὂν καὶ διαφερόντως σοφὸν ἐξ ἐκείνου καὶ ἐς δεῦρο ταῖς εὐσυνέτοις ψυχαῖς τιμώμενον καὶ τηρούμενον. Πεπλήρωται μὲν κἀν τῇ προτέρᾳ τῆς παρούσης πραγματείᾳ κάλλιστα κομιδῇ καὶ ἡμῖν, ἡνίκα τὴν ἐκ Πατρὸς δι' Υἱοῦ τοῦ παναγίου Πνεύματος ἐξετάζοντες ὕπαρξιν τοὺς θεοφόρους Πατέρας διδασκάλους καὶ μάρτυρας τῶν λεγομένων προεστησάμεθα, παρ' ὧν δὴ πάντων καὶ τὴν ἀλήθειαν ὡς ἔχει καθάπαξ ἐγνώκαμεν. Πληρωθήσεται δὲ καὶ τὰ νῦν οὐδὲν ἧττον κατὰ τὸν προκείμενον ἡμῖν ἀγῶνα τῆς ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦ ζωαρχικοῦ Πνεύματος αὐθις ὑπάρξεως. Ἐπειδὴ πολλῆς δεῖ κἀνταῦθα τῷ λόγῳ τῆς ἀπὸ τῶν θείων Γραφῶν βοηθείας, καὶ συχνῆς ὅτι μάλιστα χρείᾳ τῆς ἐκεῖθεν συνάρσεως, οὐ διὰ τὸ πολλοστοὺς μὲν εἶναι καὶ μόνον τὴν γνῶσιν ἡμᾶς, καὶ μηδὲν λογικῆς ἰσχύος οἴκοθεν φέροντας, τὴν δὲ ζήτησιν μεγάλην τε καὶ μεγάλων δεομένην τῶν ἀποδείξεων, ἀλλ' ὅτι καὶ τῶν ἀνθρώπων οἱ πλείους ἐν τοῖς περὶ θεοσεβείας λόγοις οὐ ῥᾴδιοι τῇ ἀληθείᾳ συντίθεσθαι, προκατειλημμένης εἰς τοὐναντίον τῆς τούτων ψυχῆς, εἰ μὴ τὸ προκαλοῦν ἀρχαῖον εἴη, καὶ τῶν διαβεβοημένων ἔν τε πράξει καὶ θεωρίᾳ πρὸς τὸ ἀκρότατον, ὡ, ἐντεῦθεν πλουτεῖν πολλαχόθεν τὸ ἀξιόπιστον, εὖ γε τοῦτο ποιοῦντες, καὶ λίαν ἐπαινετῶς. Τίσι γὰρ ἑτέροις περὶ Θεοῦ καὶ τῶν θείων λέγουσι χρεὼν κατακολουθεῖν ἢ τοῖς προεξετασμένοις τὸν βίον, καὶ τὸν λόγον μὲν ὑψηλοῖς, ὑψηλοτέροις δὲ τὴν διάνοιαν, ὧν μελέτη διηνεκὴς κατ' ἐπιστήμην τῶν ὄντων ὁ θάνατος, ἐξ ἧς καὶ τὰ ὑπὲρ αἴσθησιν, ὡς ἐφικτὸν αὐτοῖς μετὰ σαρκὸς ἐφαντάσθησαν τοῖς τῶν παθῶν ἀχλύος κεκαθαρμένοις τὸ τῆς ψυχῆς ὀπτικόν; Τοῖς τοιούτοις οἱ πρὸ βραχέος ῥηθέντες, μᾶλλον δὲ καὶ τούτων οἱ

[13] Deut. xxxii, 7.

Digitized by Google Распознавание текста ABK/FR

κρείττους καὶ νουνεχέστεροι πείθεσθαι φιλοῦσιν ἀσμένους ἐν τοῖς ὑπὲρ ἡμᾶς, οὓς καὶ δίκαιον γνώμης ὑπερθαυμάζειν, καὶ σφόδρα τούτους διὰ παντὸς ἀποδέχεσθαι. Πρὸς γάρ τοι τοὺς ἄλλους, ὅσοι τὴν περὶ λόγους παιδείαν πάντων μικροῦ προέχειν δοκοῦντες, πρὸς τῷ μηδενὸς ὅλως φροντίζειν, εἴ τίς που καὶ λέγειν ἐν τοῖς περὶ πίστεως ἔχει τι χρήσιμον, οὐδὲ ταῖς ἱεραῖς ἀξιοῦσι προσέχειν Γραφαῖς, ὡς ἀφ' ἑαυτῶν δῆθεν κατειληφότες τὸ τοῦ κηρύγματος ἀκριβές, ἁρμόσει τὸ τοῦ Ἀποστόλου σαφῶς, ὅτι *Ἐματαιώθησαν ἐν ταῖς διαλογισμοῖς αὐτῶν, φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν*, ἐφ' ᾧ καὶ τὸν νοῦν ὑπὸ κενοδοξίας τὸ παράπαν τυφλώττοντες τοὺς ἑαυτῶν λογισμοὺς τῆς τῶν θεηγόρων Πατέρων διδασκαλίας προκρίνουσιν. Ἐνίοτε δὲ καὶ περιτρέπειν πειρῶνται πρὸς τὸ δοκοῦν αὐτοῖς τὴν ἀκλινῆ τῶν ἀνδρῶν τοῦ Πνεύματος ἔννοιαν, φιλονείκως περὶ ταύτης πρὸς οὓς ἂν τύχοι διαλεγόμενοι, καὶ οὐ φρίττουσιν ἐν οὐ παικτοῖς τὸ δὴ θρυλλούμενον παίζοντες, μάλιστα δὲ τὰ θεῖα διαβάλλειν σπουδάζοντες. Καὶ παρίημι λέγειν περὶ τῶν διὰ φθόνον καὶ μῖσος, οὐκ ὀλίγον γὰρ τοῖς πάθεσι τούτοις ἐαλωκότες ἡμῖν ἐπιφύονται, παρατρεχόντων, ἢ καὶ παραποιούντων ἑκοντὶ τὴν ἀλήθειαν, οἷς ἀπόχρη καὶ μόνον εἰς ἐξουδένωσιν τὸ κακοῖς καὶ εἶναι καὶ ὀνομάζεσθαι παρὰ τοῖς ἄριστα διακρίνειν, καὶ τελεώτατα περὶ τούτων γινώσκουσιν. Ἀλλ' ἐκεῖνοι μὲν τούτους καὶ τὸ κατὰ νοῦν ἀναπολεῖν, ἕως ἂν ὑπὸ βασκανίας πρὸς ἡμᾶς ἐχθρῶς ἔχοντες ἀδιόρθωτοι μένωσιν, ἐπιβλαβές τε καὶ ἐπικίνδυνον, μή ποτε τοῦ τῆς κακίας ἰοῦ πρὸς αὐτοὺς ὑγιαίνοντες ἔτι καὶ αὐτοὶ μεταλάβοιμεν. Οὕτω τῆς θεοπνεύστου κατολιγωροῦσι Γραφῆς, ὡς ὁ λόγος ἄνωθεν φθάσας κἂν ἀμυδρῶς, τέως δ' οὖν παρεδήλωσε. Δι' ἣν αἰτίαν οὐδὲ προσβλέπειν αὐτοῖς ὡσαύτως διακειμένοις τὸ ἀπὸ τοῦδε, μὴ ὅτι γε μεταδιδόναι λόγου καλόν, ἅτε μὴ κατόπιν τῆς τῶν θεοσόφων Πατέρων μυσταγωγίας τὸ σύνολον βαίνουσι, ταῖς οἰκείαις δὲ γνώμαις στοιχοῦσιν ἐριστικῶς ἐξ εἰήσεως. Ἡμεῖς δὲ μηδὲν ἴδιον φρονεῖν ἢ λέγειν τολμῶντες περὶ Θεοῦ, θρασέων γὰρ ἡγούμεθα, καὶ τὸ πᾶν εἰπεῖν, ἀλογίστων ἀνδρῶν τὸ διανοεῖσθαι καὶ λαλεῖν ἀφ' ἑαυτῶν τὰ τοῦ Πνεύματος χωρὶς Πνεύματος, τὰς ἱερὰς τῶν ἁγίων γραφὰς μετ' ἐπιμελείας καὶ συνεχῶς ἀναπτύσσομεν, καὶ ταύτας ὡς Θεοῦ φωνὰς διαῤῥήδην ἀκούοντες, ταῖς τῆς καρδίας πλαξὶν ἐγχαράττομεν, καὶ διὰ γλώττης πρὸς τοὺς ἔξωθεν ὡς ἐνδυ, εἰ δεήσει, προφέρομεν, ἐπερωτῶντες οἷον ἑκάστοτε διὰ τῶν τοιούτων γραφῶν τοὺς αὐτὰς συλλαβόντας καὶ τεκόντας ἐν Πνεύματι περὶ πάντων τῶν εἰς εὐσέβειαν ἀνηκόντων, ὡς Πατέρας τῇ πίστει κοινοὺς καὶ πρεσβυτέρους τῇ τῶν ἡμερῶν παλαιότητι κατὰ τὴν τοῦ μακαρίου Μωϋσέως θειοτάτην καὶ σοφωτάτην παραίνεσιν, καὶ ταῦτα μὲν μανθάνοντες ἀσφαλῶς, καὶ τοῖς ἄλλοις χρείας καταλαβοῦσι ὡς δύναμις παραπέμποντες. Ἔνθεν τοι καὶ τὸ παρὸν ἐξ αὐτῶν ἐκείνων ἐσεῖται τὰ τῆς ἀποδείξεως ἡμῖν τοῦ προκειμένου ζητήματος, ὅτι καὶ τοῦτο

A quæ sensum exsuperant, cum carne imaginatione concepere. His, paulo ante commorati, imo eorum meliores prudentioresque, in rebus quæ supra nos sunt suaderi amant, quos et jure merito ob sententiam maxime laudamus, et perpetuo recipimus. Allis vero, qui dicendi arte atque eruditione reliquos alios superare sibi videntur, cum alias mentem prorsus non applicent, si quis de fide proficuum aliquid proponere tentet, neque satis Scripturis animum advertere volunt, quasi ex sese exquisitam prædicationis rationem præoccupaverint, adaptabitur non incongrue illud Apostoli: *Evanuerunt in cogitationibus suis, cum se crederent esse sapientes, stulti facti sunt* [a]. Hinc et mentem ob vanam sui existimationem plane obcæcati proprias cogita-
B tiones divinilquorum Patrum doctrinis præponunt. Sæpe etiam numero immotam virorum Spiritus sententiam pervertere conantur, ut sibi complacet, contentiose de ea cum obviis quibusque sermonem conferentes, nec horrent, in illis a quibus longe est jocus, quod proverbio fertur, ludentes, et quod atrocius est, summo studio divina criminantur. Et prætereo de iis dicere, qui odio atque invidentia, his enim affectibus non minimum mancipati, in nos assurgunt, prætercurrunt, et veritatem sponte pervertunt, in quorum contemptum satis abundeque est, dum improbi et reputantur, et nuncupantur ab optimis rerum harum judicibus, et perfectissimis cognitoribus. Verumtamen hosce vel mente concipere, quousque invident obstricti,
C et nobiscum inimicitias gerentes incorrecti perseverant, non absque periculo et extremo discrimine est, ne veneno improbitatis nos quoque qui sani sumus, inficiemur. Sic divinitus inspiratam Scripturam despectui habent, ut supra oratio, licet tenuiter, aliquo tamen modo significavit. Propterea-que eos inposterum sic dispositos non intueri, multo minus colloquio dignari, optimum fuerit, cum illi a divino numine edoctorum vestigiis, neque divinæ doctrinæ insistant, sed propriis opinionibus vana sui exsistimatione contentiose incedunt. Nos vero de Deo aliquid proprium neque tenere, neque eloqui audentes, temerariorum siquidem id ac plane rationis inopum hominum cogitare et decernere ex
D propriis de Spiritu absque Spiritu, sacra sanctorum volumina diligenter continuoque evolvimus, eaque uti Dei voces palam audientes, in cordis tabulis incidimus, et lingua ad alios, uti fieri potest, dum opus est, offerimus, quodammodo interrogantes per ea scripta illos, qui ea conceperunt, et pepererunt in Spiritu de omnibus ad pietatem spectantibus, uti Patres fide communes, et antiquitate dierum seniores, secundum beati Moysis divinissimam ac sapientissimam admonitionem, et sic ea tuto discimus, et aliis, cum necessitas est, uti possumus, demandamus. Hinc etiam nunc ex eisdem, ad præsentis quæstionis demonstrationem condu-

[a] Rom. 1, 21.

Digitized by Google Распознавание текста ABBYY FR

centia petentur, quod hoc negotium vires nostras exsuperat, nec possumus nostra dicendi facultate exponere docereque de Deo, et incorrupta primaque natura, cum illud indigeat virorum, qui supremam et potiorem sapientiam antiquitus puritate mentis consecuti sunt, qui et parentum locum obtinentes, nobis fidelibus, veluti continuo doctrina sua generantes omnes secundum Deum, interrogantibus in præsenti sicuti Mosaica admonitio præcipit, propriis iterum scriptis annuntiabunt, et rebus omnibus cum seniores nostri sint, dicent peraccommode edocentque de quæstione nunc in examen proposita, quemadmodum et in ante digesta oratione peregerunt, in qua *per Filium exsistentiam habere Spiritum sanctum* nos instruxerunt. Sed in ea quidem per Filium tantum ex Patre Spiritus exsistentiam, quod non ultra nostra quæstio progrederetur, in hac vero etiam ex Patre et ex Filio Spiritum sanctum exsistere, quod nostrum in præsentia propositum est, edocebunt, multoque apertius quam illi, qui pueriles litterarum notas per otium interpretantur : cum non semel, nec bis terve sanctorum unusquisque et plane omnes de hoc dogmate pronuntiata sententia, silentium postmodum sibi inlixerunt, sed ubicunque fere sermonum suorum, quibusdam etiam in locis crebro, exemplo præstantium pictorum, qui sæpius et calcatis coloribus tabulas inficiunt, cum quod imprimitur apertius expressiusque effigiare contendunt, qui rebus divinis exponendis præstiterunt illud, ex Patre et Filio Spiritum sanctum exsistere, sedulo in omnibus suis scriptis comprehendentes, in nonnullis suis homiliis, constanter et abundanter data opera philosophati sunt, ut nos etiam hic liberaliter et copiose de hoc argumento erudient.

2. Quare ad addecens principium orationem deducentes, inde quod nobis in mente volvitur aggrediemur. Omnino vero addecens principium fuerit, cum manus rei imponimus, Numen propitium reddere. Qui enim vere nos sumus, qui similia curiosius investigare animum intendimus, ad quæ intellectualium omnium potestatum ordo ob gloriæ inaccessum nequit attingere, ni quis eos qui in corpore cum incorporeis decertarunt advocarit, quibus hujusce gratia semetipsum, quantum illi capere poterant, Trias manifestavit? Horum porro qui talem, tenuem nempe et moderatam de Deo illuminationem acceperunt, eamque ultra mentes cœlestes, quod in carne immateriatæ vitæ institutum tenuerunt, indeque mentis ascensionem consecuti sunt, quomodo difficile non fuerit nobis, qui infra et circa terram limo involvimur de similibus perquirere, cum deberemus absque tot ratiocinationibus sanctorum Patrum decretis in communem utilitatem dogmatibus acquiescere, non vero eorum fiduciam et libertatem æmulari, quorum vitam non sumus imitati? Nihilominus, cum ex iisdem testimonia, uti polliciti sumus, in præsentia procedent, ob dictorum scripto traditorum uberem

μεῖζον ἢ καθ' ἡμᾶς διατρανῶσαι δυνάμει λόγου, καὶ παραστήσασθαι περὶ Θεοῦ τε καὶ τῆς ἀκηράτου καὶ πρώτης φύσεως ὄν, καὶ δεῖται τῶν τὴν ἀνωτάτω καὶ κρείττονα σοφίαν καθαρότητι πάλαι νοὸς κτησαμένων ἀνδρῶν, οἳ καὶ Πατέρων λόγον ἐπέχοντες ἡμῖν τοῖς πιστοῖς, ἅτε γεννῶντες ἀεὶ διὰ τῆς διδασκαλίας αὐτῶν τοὺς πάντας κατὰ Θεὸν, ἐπερωτήσασιν ὡσανεὶ κἀνταῦθα, καθάπερ ἡ Μωσαϊκὴ παρακέλευσις ὑποτίθεται διὰ τῶν οἰκείων καὶ πάλιν ἀναγγελοῦσι γραφῶν καὶ τοῖς ὅλοις πρεσβύτεροι τελοῦντες ἡμῶν, ἐροῦσιν εἰκότως καὶ περὶ τοῦ νῦν εἰς ἐξέτασιν προβεβλημένου διδάξουσιν, ὡς κἀν τῷ πρὸ τούτου λόγῳ προφανῶς πεποιήκασιν, ἔνθα τὸ, *Δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχει ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον*, ἡμᾶς ἐξεπαίδευσαν. Πλὴν ἐκεῖσε μὲν τὴν δι' Υἱοῦ καὶ μόνον ἐκ Πατρὸς τοῦ Πνεύματος ὕπαρξιν, ὅτι καὶ μέχρι τοσούτου τότε τὰ τῆς ἡμετέρας ζητήσεως· ἐνταῦθα δὲ καὶ τὸ παρὰ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν, τοῦτο γὰρ ὁ σκοπὸς, ἀρτίως μυστιγωγήσουσι, καὶ πολλῷ πλέον ἢπερ οἱ τοῖς τῶν γραμμάτων τύποις κατὰ σχολὴν ἑρμηνεύοντες· ἐπὶ μηδ' ἅπαξ, μηδὲ δὶς, ἢ καὶ τρὶς ἕκαστος τῶν ἁγίων, καὶ πάντες ἁπλῶς εἰπόντες περὶ τοῦ τοιούτου δόγματος ἀπηλλάγησαν, πανταχοῦ δὲ τῶν ἰδίων λόγων σχεδὸν, ἔστι δ' οὗ καὶ θαμὰ κατὰ τοὺς τῶν ζωγράφων δεινοὺς, οἳ πολλάκις καὶ μεθ' ὑπερβολῆς τὰ χρώματα τοῖς πίναξιν ἐπιβάλλουσιν, ἐπειδὰν τὸ χαρακτηριζόμενον αὐτοῖς ἐναργέστερον εἰκονίσαι θελήσωσιν· οὕτως οἱ τὰ θεῖα σοφοὶ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν ἀτεχνῶς ἐν πάσαις ταῖς ἑαυτῶν διαλαβόντες γραφαῖς, κατά τινας τῶν οἰκείων ὁμιλιῶν ἐπιμόνως καὶ σὺν δαψιλείᾳ πεφιλοσοφήκασιν ἐξεπίτηδες, ὥστε καὶ ἡμᾶς ἐνθάδε φιλοτιμότατα καὶ πλουσίως ἐξ αὐτῶν τὰ περὶ τούτου σοφίσουσιν.

β'. Καὶ δὴ λοιπὸν εἰς πρέπουσαν τὸν λόγον ἀναγαγόντες ἀρχὴν, ἐκεῖθεν ἐφαψόμεθα τοῦ κατὰ σκοπόν. Πρέπουσα δέ γε πάντως ἀρχὴ τὸ Θεῖον ἐφ' οἷς ἐγχειροῦμεν ἐξευμενίσασθαι. Τίνες γὰρ ἡμεῖς ἀλλ' θῶς, ὅτι τοιαῦτα προθυμούμεθα πολυπραγμονεῖν, ὧν ἐφικέσθαι καὶ τῶν νοερῶν δυνάμεων ἁπασῶν ἡ τάξις ἀδυνατεῖ διὰ τὸ τῆς δόξης ἀπρόσιτον; ἐκτὸς εἰ μὴ τοὺς ἀμιλληθέντας τοῖς ἀσωμάτοις εἴποι τις μετὰ σώματος, οἷς καὶ ἑαυτὴν τούτου χάριν ὅσον ἐχώρουν ἡ Τριὰς ἀπεκάλυψε. Τῶν δὲ τοιαύτην, ἀμυδρὰν δηλαδὴ καὶ μετρίαν, περὶ Θεοῦ δεδεγμένων τὴν ἔλλαμψιν, καὶ ταύτην τῶν οὐρανίων νόων ἐπέκεινα διὰ τὴν ἄϋλον ἐν σαρκὶ πολιτείαν, καὶ τὴν τοῦ νοὸς ἐντεῦθεν ἀνάβασιν, πῶς οὐ χαλεπὸν τοῖς κάτω καὶ περὶ τὴν γῆν ἰλυσπωμένοις ἡμῖν τὸ περὶ τούτου διερευνᾶν, δέον ἀσυλλογίστως ἀρκεῖσθαι τοῖς ὑπὸ τῶν ἁγίων Πατέρων ἐκτεθεῖσιν εἰς κοινὴν ὠφέλειαν δόγμασιν, οὐ μὴν μιμεῖσθαι τὴν παῤῥησίαν ὧν τὸν βίον οὐκ ἐζηλώσαμεν; Ὅμως ἐπεὶ τὰ τῆς μαρτυρίας ἐξ αὐτῶν τούτων ἡμῖν κατὰ τὴν ὑπόσχεσιν ἐν τῷ παρόντι προβήσεται διὰ περιουσίαν χρήσεων γραφικῶν, ὧν εὐπορούμεν πολλῶν πρὸς ἀπόδειξιν, οὐκ ἔσται δυσχερὴς, δοκῶ μοι, παντάπασιν ἡ τῆς θεωρίας ἐξέτασις. Εἰ δ' ἄλλως ἄτοπον τοῖς πεπλα-

Digitized by Google Распознавание текста ABBYY FR

νημένοις τὰς ἔξωθεν αἰσθήσεις, δι' ὧν ταῖς ἔνδον ὁ πόλεμος τὸ ζητεῖν ὅλως περὶ Θεοῦ, καθάπερ οὐδ' εὐαγὲς, οὐδ' ὅσιον ὁπωσοῦν ἅπτεσθαι καθαροῦ τὸν μὴ καθαρὸν· ἀλλ' ἡμῖν ἵλεως γένοιτο Κύριος, ἡ ἀδιαίρετος Τριὰς καὶ ἀχώριστος, τὸ ὁμοούσιον κράτος καὶ ταὐτοδύναμον, ὁ ἄναρχος, λέγω, Πατὴρ, ὁ συνάναρχος Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ συναΐδιον, ὅτι μὴ κατ' ἄγνοιαν ἑαυτῶν τοῖς ἁγιωτάτοις ἐμφιλοχωρεῖν ἀνάγνως πειρώμεθα, μήτε μὴν κατὰ περιφρόνησιν. Οἴδαμεν γὰρ ὅτι ὅσων γέμομεν ῥυπασμάτων ἡμεῖς, καὶ τὸ τὰ θεῖα περιφρονεῖν ὅλεθρον ψυχῆς ἐπιστάμεθα. Τοιγαροῦν οὐκ ἐντεῦθεν εἰς τοῦτο καθυπαγόμεθα, μὴ φρενῶν οὕτω πόρρω που πέσοιμεν, ὑπὸ δὲ τῆς νῦν ἐπικρατούσης τοὺς πλείονας ἰδιορρύθμου ῥοπῆς, ἣν εἰς τὸ θεολογεῖν οἰκοθεν ἀκαθέκτως ἐκδείκνυνται, καὶ τοῦ πιστεύειν αὐτῶν ὡς αὐτάρεσκον ἑαυτῷ τῶν ἱερῶν ἀλογοῦνται Γραφῶν, πολλὰ βιασθέντες, καὶ κατὰ Θεὸν ἴσως ζηλοτυπήσαντες, τοῖς τοιούτοις ἑαυτοὺς ἐμπαρέχομεν φέροντες, ἵνα μὴ κατακριθῶμεν δι' ὑποστολὴν προέμενοι, παρῳδητέον γὰρ ἐνταῦθα τὰ τῆς Γραφῆς, τὴν ἀλήθειαν. Οὗτος ὁ λόγος τῆς ἡμῶν πρὸς τὸ τοῖς ἀδύτοις ἐμβατεύειν ὁρμῆς, καὶ τὰς θείας ῥήσεις μετὰ τοῦ Πνεύματος διασκέπτεσθαι, καὶ οὐ φαῦλος ὡς πέπεισμαι. Διὸ συγγνώμην ἔχειν θαῤῥῶ καὶ παρὰ τοῖς τῶν ἀνθρώπων εὐγνώμοσιν. Ἡ μὲν οὖν ἐξαιτίασις τοιαύτη, καὶ οὕτως ἰσχυρά τε καὶ ἀναντίῤῥητος. Ἀπάρτι δὲ τοῦ καταπετάσματος εἴσω χωρητέον ἡμῖν, καὶ πρὸς αὐτὴν ἰτέον τὴν τῶν ἱερῶν λογίων διάσκεψιν, τὸ Πνεῦμα τῆς ἀληθείας, ὑπὲρ οὗ καὶ δι' ὃ πολεμοῦμεν, καὶ πολεμούμεθα, τοῦ λόγου προστησαμένοις, ὥσπερ εἰκὸς, ὅπως τῆς προθέσεως ἐπαξίως ἀγωνισάμενοι, τὴν ἀπόδειξιν ἀσφαλῆ καὶ βεβαίαν καὶ τοῖς πᾶσιν ἀναμφήριστον ποιησώμεθα, τὰς τῶν ἁγίων θεοπνεύστους φωνὰς ἑχομένως κατὰ τάξιν ἐκθέμενοι.

γ'. Πρῶτα τοίνυν ὡς ἂν καὶ κατ' αὐτὴν τὴν τῆς ὑποθέσεως εἰσβολὴν καθ' εἰρμὸν προΐῃ τὰ τῆς παρούσης πραγματείας ἡμῖν, ὅπερ ἐν τῷ προεκτεθέντι παρ' ἡμῶν λόγῳ ζητούμενον κατ' ἀρχὰς ὂν τέλος ἱκανῶς παρεστήσαμεν τῇ δυνάμει τοῦ Πνεύματος, τοῦτο νῦν ὁμολογούμενον ἐσχηκότες κατὰ πρόδασιν ἔνθεν φαμὲν, ὅτι καθάπερ εὐσεβὲς διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι φρονεῖν, οὕτω δὴ καὶ τὸ πρεσβεύειν κἀκ τοῦ Υἱοῦ τυγχάνειν τὸν ὅμοιον τρόπον ὀρθόδοξον. Οὐ γὰρ ὡς καθ' ὑπηρεσίαν τινὰ νοοῦντες τελεῖν τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ, τούτου δὴ χάριν τὸ ἐκ τοῦ Υἱοῦ κατὰ τρόπον ἀπαξαπλῶς παντοῖον ἀπαναινόμεθα· μὴ πρὸς τοσαύτην δυσσέβειαν κατενεχθῶμέν ποτε, μηδὲ τὸ τοιοῦτον βλάσφημον ἡμῶν κατισχύσειεν! ὡς δ' οὐσιωδῶς ὑπάρχειν τὸ ἅγιον Πνεῦμα γινώσκοντες διὰ τοῦ Υἱοῦ, κατὰ τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ πεφυκέναι κἀλῶς καὶ δεόντως δοξάζομεν. Ἐπειδὴ μὴ μόνον τὸ διά τινος δημιουργικῶς καθέστηκε τοιουτοτρόπως καὶ ἐξ αὐτοῦ, καθ' ὃ σημαινόμενον καὶ τὰ πάντα, κατὰ τὸν

copiam, quibus iisque præmultis non destituimur, haud erit prorsus difficile, ut mihi videtur, præsentis speculationis examen. Quodsi aliter ineptum est illis, qui exterioribus sensibus, per quos interioribus bellum indicitur, hallucinantur, quæstiones omnino de Deo habere, quemadmodum neque pium neque sanctum utcunque non purum pura attingere : sed nobis propitius sit Deus, indivisa et inseparabilis Trinitas, consubstantialis idemque potens potestas, absque principio inquam Pater, coæternus Filius, et coæternus Spiritus sanctus, nos nostrimet ipsorum non ignari, neque rerum despectu cum sanctissimis consuescere impure præsumimus, namque plane scimus, quot nos sordibus inquinemur, et res divinas flocci facere animi exitium certum esse tenemus. Non inde ergo ad hoc promovemur, non ita delirare et mente capi contigerit, sed ab ea, quæ nunc plerosque occupat propriis opinionibus obsecundandi copia, qui ad res divinas pertractandas indesinenter ducuntur, et fidem adhibere, tanquam qui sua admirantur tantum modo, divinis Scripturis negligunt, multimode nec non et secundum Deum zelo coacti, nosmetipsos in eosdem impellimus, ne condemnemur, quod nos subducentes veritatem prodidimus ; Scripturæ namque verba hoc in loco per parodiam enuntianda sunt. Hæc ratio est nostri in adyta penetrandi impetus, et divina verba cum Spiritu examinandi, nec, ut reor, vili pendenda est. Propterea que veniam consecuturum me spero ab æquis rerum harum cognitoribus. Excusatio igitur hæc est, et adeo valida, ut illi contradici minime possit. Sed nunc tandem in velum ingrediendum nobis est, et progrediendum ad ipsum divinorum eloquiorum examen, Spiritum veritatis, de quo et cujus causa bellum nobis indicitur, et vicissim bellum indicimus, sermonibus nostris, uti par est, præponentibus, ut de proposito argumento digne decertantes, et sanctorum a Deo inspiratas voces unam post aliam digerentes suo ordine, totam ac stabilem, neque ulli dubiam demonstrationem peragamus.

3. Primum igitur, ut in ipsa materiæ aggressione distincte et ordinate præsens hic tractatus procedat, quod in antea vulgata oratione sub initio quærebamus, et facultate Spiritus finem fecimus, id nunc certum atque indubitatum tenentes, indeque progredientes dicimus, quemadmodum pium per Filium Spiritum sanctum exsistere sentire, ita pari modo eumdem etiam ex Filio esse tenere orthodoxum est. Neque enim servili modo opinantes esse Spiritum sanctum per Filium, propterea illum etiam ex Filio modis omnibus rejicimus ; absit ut unquam ad impietatem similem prolabamur, neque similis blasphemia nos occupet ! sed uti essentialiter exsistere Spiritum sanctum agnoscimus per Filium, pari ratione et ex Filio esse, recte et uti addecet opinamur. Cum non solum quod per aliquem creationis modo substitit, eodem modo etiam ex illo est, quo significatu omnia evangelistæ Joannis dicto per Filium facta sunt, nam reliqua exempla cum multa sint ad manus, quod

Digitized by Google Распознавание текста ABK/FR

res clara apertaque sit, omnia prætereo, hæc et ex Filio esse credimus, ab omnibus fere Patribus, quibus curæ fuit rectorum dogmatum examen, hoc edocti, quo per homines illos a Deo edoctos hæreticorum pessimis consiliis prospicue dejectis, nemo ullus apud omnes est, si accurate rem callemus, qui modo contra sese opponat et adversetur : sed etiam quod ex aliquo secundum essentiam est, similiter et ex ipso esse apparet. Hoc vero pro more sacræ et divinitus inspiratæ Scripturæ nec alia ratione dicitur, quemadmodum et quod ex aliquo est ratione causæ sive naturalis, sive efficientis, et præter has illius, quæ non est ad exsistentiam, pari modo invenitur etiam per ipsam multis in locis. Ut vero earum, quæ sunt ad utraque hæc auctoritatum brevi manu memoria inducta, proposito meo non diu post pro viribus adhæream, de eo nempe quod ex aliquo est secundum causam, quod et contiguum est, divinissimus Athanasius oratione contra Arianos prima, ait : *Cum igitur in eam ætatem homo progressus fuerit qua vires natura præstat, statim absque ullo impedimento homo pater filii, qui per ipsum est, evadit.* Et hoc quidem Athanasius de naturali causa ex propriis profert, qui prorsus vel solus satis instructus ad docendum ab illis, qui recte dijudicant reputabitur. Sed et in suprema et post Christum speculatione præcellens magnus et sapiens Basilius quinto ad sanctum Amphilochium capite de effectrice causa, et alia, quam ut lubet quilibet nominet, ex Veteri Testamento profert pro simili quæstione testimonia, satis aperte hunc in modum discernens : *Sed etiam ea, quæ ab his significantur sæpenumero invertuntur præpositiones* per *et* ex, *quoties altera alterius recipit significationem, veluti*, Possedi hominem per Deum, *idem dicens quasi dixisset*, ex Deo. *Et alibi :* Quæ præcepit Moyses Israeli per mandatum Domini. *Et rursum :* Nonne per Deum horum manifestatio est ? *Pro eo quod erat* ex Deo, per Deum *dixit*. Ad hæc in dogmatibus discernendis eximius summusque Cyrillus libro quinto ad Hermiam, *Nam quomodo videremus*, interrogat, *vitam exsistentem secundum naturam, et Filium ? Cur autem non et dicenti credendum : « Ego sum via et veritas et vita* [48] *»? Cum articulo autem, et singulariter seipsum esse dicens vitam, annon Patrem et Deum suum negaverit esse vitam, nisi unius naturæ ambos esse dederimus, et per ambos ad nos æqualiter vitam venire, et non ex duobus, sed ex uno Deo nos vivificante ?* Hic interim consideret quicunque vult, quomodo cum antea dixisset *per ambos*, postmodum *ex uno* protulit. In sexto etiam ad eumdem : *Quodcunque fiet a Patre id prorsus erit recte factum et Filii : et quod dicetur perfici per Filium, illud prorsus etiam erit recte factum Patris. Omnia siquidem per ambos æquali ratione.* Expositione in Joannem in dictum illud : *Et testimonium perhibuit Joannes*

Εὐαγγελιστὴν Ἰωάννην, γενόμενα διὰ τοῦ Υἱοῦ, τὰ γὰρ ἄλλα τῶν ὑποδειγμάτων πολλῶν ὄντων διὰ τὸ προφανὲς τοῦ πράγματος πάντα παρίημι, ταῦτα καὶ ἐκ τοῦ Υἱοῦ τυγχάνειν πιστεύομεν, παρὰ πάντων σχεδὸν τῶν Πατέρων, οἷς ἐμέλησεν ἡ τῶν ὀρθῶν δογμάτων ἐξέτασις, τουτὶ διδαχθέντες τὸ μάθημα, πρὸς ὃ καὶ διὰ τῶν θεοσόφων ἀνδρῶν, τοῦ τῶν αἱρετικῶν κακίστου φρονήματος περιφανῶς, οὐκ ἔστι πω τῶν ὅλων οὐδείς, ὅσον ἡμᾶς ἐπίστασθαι δι' ἀκριβείας, ὁ κατὰ τὸ νῦν ἀντιτείνων καὶ ἀνθιστάμενος· ἀλλά γε καὶ τὸ διά τινος κατ' οὐσίαν πέφηνεν ὁμοίως καὶ ἐξ αὐτοῦ. Τοῦτο δὲ καὶ παρὰ τῇ συνηθείᾳ τῆς ἱερᾶς καὶ θεοπνεύστου Γραφῆς οὕτω λέγεται, καθάπερ καὶ τὸ ἔκ τινος κατ' αἰτίαν, εἴτε φυσικὴν εἴτε ποιητικήν, καὶ παρὰ ταύτας τὴν μὴ πρὸς ὕπαρξιν, ὡσαύτως εὑρηται καὶ δι' αὐτῆς ταύτης πολλαχοῦ κείμενον. Ἵνα δὲ καὶ τῶν πρὸς ἀμφότερα ταῦτα χρήσεων ἐν ἐπιτόμῳ μνησθεὶς τῆς οἰκείας προθέσεως οὐκ εἰς μακρὰν καθ' ἡμέτερον σθένος ἀνθέξομαι, περὶ τοῦ κατ' αἰτίαν ἔκ τινος, ὅπερ καὶ προσεχές, ὁ μὲν θειότατος Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ φησίν· *Ὅταν οὖν εἰς τοῦθ' ἡλικίας ὁ ἄνθρωπος προέλθῃ, ᾗ καὶ τὸ δυνατὸν ἡ φύσις παρέχει, εὐθὺς ἀνεμποδίστως πατὴρ ὁ ἄνθρωπος γίνεται τοῦ δι' αὐτοῦ υἱοῦ.* Καὶ τοῦτο μὲν οὗτος ἐπὶ τῆς φυσικῆς αἰτίας ἀφ' ἑαυτοῦ τίθησιν, ὃς πάντως ἱκανὸς καὶ μόνος κριθήσεται παρὰ τοῖς ὀρθῶς γνωματεύουσιν εἰς διδασκαλίας παραδοχήν· ὁ δὲ πολὺς τὴν ἀνωτάτω καὶ μετὰ Χριστὸν θεωρίαν ὁ σοφὸς καὶ μέγας Βασίλειος ἐν τῷ πέμπτῳ τῶν πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον κεφαλαίων ἐπί τε τῆς ποιητικῆς αἰτίας κἀπὶ τῆς ἄλλης, ἣν ὡς ἐθέλει καλείτω τις, ἐκ τῆς Παλαιᾶς προφέρει Γραφῆς τὰς τοῦ τοιούτου ζητήματος μαρτυρίας, σαφῶς οὕτω διευκρινῶν· *Ἤδη καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίσταται ἡ διὰ καὶ ἡ ἐκ, ὅταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ, οἷον,* Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, *ἴσον λέγων τῷ* ἐκ τοῦ Θεοῦ. *Καὶ ἑτέρωθι·* Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ προστάγματος Κυρίου. *Καὶ πάλιν·* Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν; Ἀντὶ τοῦ ἐκ τοῦ Θεοῦ εἰπεῖν, διὰ τοῦ Θεοῦ *εἰρηκε.* Πρὸς τούτοις ὁ δογματικώτατος Κύριλλος ἐν μὲν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν· *Τίνα γὰρ τρόπον καταθρήσαιμεν ἄν,* φησὶν, *ζωὴν ὄντα κατὰ φύσιν καὶ τὸν Υἱόν; Τί δὲ οὐχὶ καὶ φάσκοντι πιστευτέον τὸ,* « Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή; » *Συνάρθρως δὲ καὶ μοναδικῶς ἑαυτὸν εἶναι λέγων τὴν ζωὴν, ἆρ' οὐκ ἐξώσειεν ἂν τοῦ εἶναι ζωὴν τὸν Πατέρα, καὶ Θεόν, εἰ μὴ φύσεως μιᾶς ἄμφω τε εἶναι δώσομεν, καὶ δι' ἀμφοῖν εἰς ἡμᾶς ἐν ἴσῳ τὸ χρῆμα ἰέναι, καὶ οὔτι που δυοῖν ἄλλως ἐξ ἑνὸς τοῦ τὰ πάντα ζωογονοῦντος Θεοῦ;* Καὶ τοῦτο μεταξὺ σκοπείτω πᾶς ὁ βουλόμενος, πῶς, πρώτην φθεγξάμενος δι' ἀμφοῖν, ἐν ὑστέροις ἐξ ἑνὸς διηγόρευσεν. Ἐν δὲ τῷ ἕκτῳ τῶν πρὸς αὐτόν· *Ὃ γὰρ ἂν*

[48] Joan. XIV, 6.

Digitized by Google Распознавание текста ABK/FR

δρῶτο παρὰ τοῦ Πατρός, τοῦτο πάντως ἐστὶ καὶ ἐνέργημα τοῦ Υἱοῦ· καὶ ὅπερ ἂν λέγοιτο διαπεραίνεσθαι δι' Υἱοῦ, τοῦτο πάντως ἐστὶ κατόρθωμα τοῦ Πατρός. Πάντα γὰρ δι' ἀμφοῖν ἐν ἴσῳ. Ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ εἰς τὸ ῥητὸν τὸ, Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων, ὅτι Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ. Πῶς δὲ ὅλως ἔσται καὶ ἁπλῇ καὶ ἀσύνθετος ἡ θεία φύσις, εἴπερ ἐν αὐτῇ φανεῖται τὸ τέλειον καὶ τὸ ἀτελές; συγκείσεται γὰρ δι' ἀμφοῖν, εἴπερ οὐχ ὅμοιον τὸ τέλειον καὶ τὸ ἀτελές. Πάλιν εἰς τὸ ῥητὸν τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου τὸ, Πάντα δι' αὐτοῦ ἐγένετο, τοὺς ματαιόφρονας στηλιτεύων Ἀρειανοὺς, τὸν μέγαν ἀπόστολον Παῦλον ἐν περικοπαῖς διαφόροις μυσταγωγὸν τοῦ προκειμένου παρήγαγε· Τί ποτε ἄρα, φάσκων, καὶ περὶ αὐτοῦ τοῦ Πατρὸς ἐννοήσωμεν; Τίνα δὲ εἶναι καὶ αὐτὸν ὑποληψόμεθα, ὅταν φαίνηται δεχόμενος τὸ, δι' οὗ παρὰ τῇ θείᾳ Γραφῇ; « Πιστὸς γάρ, » φησίν, « ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ· » καὶ, « Παῦλος ὁ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. » Καὶ πάλιν πρός τινας ὁ Παῦλος ἐπιστέλλει· « Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος διὰ Θεοῦ. » Τὰς τοιαύτας χρήσεις καὶ Βασίλειος ὁ τῆς Ἐκκλησίας φωστὴρ ἐν τῷ προῤῥηθέντι μοι πέμπτῳ τῶν πρὸς τὸν ἅγιον Ἀμφιλόχιον κεφαλαίων διέξεισι, προστιθεὶς καὶ τό· Ὅσπερ ἠγέρθη διὰ τῆς δόξης τοῦ Πατρὸς, καὶ ὁ Ἡσαΐας φησίν· « Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Κυρίου. » Τί δὲ τῆς χάριτος ἡ κιθάρα, τὸν ἐκ Δαμασκοῦ λέγω σοφὸν Ἰωάννην τὸν μελῳδόν; Οὗτος ἐν ᾄσμασι γεραίρων τὴν παναμωμον Μαρίαν, φημὶ τὴν Θεοτόκον, ἐξέκραξε· Θεὸν συλλαβοῦσα ἐν γαστρὶ, Παρθένε, διὰ Πνεύματος τοῦ παναγίου ἥμεινας ἄφλεκτος. Καὶ ταῦτα περὶ τοῦ κατ' αἰτίαν ἔχ τινος, ὅτι κατὰ ταύτην καὶ δι' αὐτοῦ. Φανερὸν γὰρ ὡς τὸ ἐκ τοῦδε φυσικῶς, ἢ καὶ ποιητικῶς, ἢ καὶ καθ' ὃν ἄνωθεν τρόπον εἰρήκειμεν, διὰ τοῦδε κατὰ τὸ αὐτὸ σημαινόμενον οἱ τῆς ἀληθοῦς οὗτοι θεολογίας ἐκφάντορες ἐν τούτοις ἀπήγγειλαν, ὧν οἱ δύο τὴν σύστασιν ἀπό τε τῆς Παλαιᾶς ἀπό τε τῆς Νέας Γραφῆς ἐποιήσαντο.

A dicens: *Vidi Spiritum descendentem quasi columbam de cœlo* [46]: *Quomodo vero prorsus erit et simplex et incomposita natura divina, si in ea existere appareat perfectum et imperfectum? componetur siquidem per ambo, si perfectum et imperfectum dissimilia sunt.* Rursusque in dictum Evangelii Joannis: *Omnia per ipsum facta sunt* [47], stultos Arianos infamia notans, magnum apostolum Paulum in variis pericopis propositæ quæstionis magistrum adduxit: *Quid de ipso Patre intelligemus, quem eum esse deprehendemus, cum particula* per *ei quoque a divinis Scripturis accommodetur?* « *Fidelis enim,* » *inquit,* « *Deus, per quem vocati estis in communionem Filii ejus* [48]; » et, « *Paulus apostolus Jesu Christi per voluntatem Dei:* » *et alibi Paulus ad quosdam scribit:* « *Itaque non es servus, sed filius; si filius, et hæres per Deum* [49]. » Hæc eadem dicta et Basilius Ecclesiæ lumen supra a me laudato quinto ad Amphilochium capite digerit, quibus addit et illa: *Qui resurrexit per gloriam Patris, et Isaias ait:* « *Væ illis qui profunde consilia ineunt, et non per Deum* [50]! » Quid plura? Gratiæ cithara, Damascenum dico sapientem Joannem melodum, hic in canticis præconiis extollens immaculatissimam Virginem, Deiparam scilicet, clamavit: *Deum concipiens in utero, Virgo, per Spiritum sanctissimum, incombusta permansisti.* Et hæc quidem de illo, quod ratione causæ ex aliquo est, secundum nempe eamdem rationem esse indentidem per ipsum. Manifestum enim est, quod ex hoc est naturaliter, sive effective, sive quocunque alio modo, quem supra innuimus, per hoc esse eodem significatu, hos veræ theologiæ interpretes in hisce productis testimoniis indicasse. Quorum duo confirmationem ex Veteri Novoque Fœdere protulerunt.

B

C

D

δ'. Περὶ δὲ τοῦ κατ' οὐσίαν διά τινος, ὅτι καὶ ἐξ αὐτοῦ πέφηνε κατ' αὐτὴν, Κύριλλος ὁ διαλάμψας ἐν δόγμασι μάρτυς ἐστὶν ἀξιόχρεως, ὃς ἐν μιᾷ τῶν πρὸς Νεστόριον οἰκείων ἐπιστολῶν μετὰ πλείστα φησιν· Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἐκ τῆς ἁγίας Παρθένου ἐστί. Καὶ μετ' ὀλίγα πάνυ· Γεγέννηται καθ' ἡμᾶς ἐκ γυναικός. Καὶ μετά τινα πάλιν· Ἦν μὲν γὰρ ὁ Λόγος ὡς ἐν ἰδίῳ σώματι τῷ ἐκ γυναικός· ἐδίδου δὲ αὐτὸ τῷ θανάτῳ κατὰ καιρόν. Ἐν δὲ τῷ πρὸς εὐσεβέστατον βασιλέα Θεοδόσιον προσφωνητικῷ λέγει ῥητῶς κατ' ἐρώτησιν· Οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; ἢ πῶς ἀναβέβηκεν ἔνθα περ εἶναί φησιν ὁ αὐτός; Καὶ ὁ Δαμασκόθεν σοφὸς καὶ χαριτώνυμος μελῳδὸς, ψάλλων πρὸς τὴν πανάχραντον Μαριὰμ ἐπὶ Ἐκκλησίας, δι' ἡμῶν ἐς δεῦρο διαπρύσιον ἐκφωνεῖ· Θεὸν ἐγέννησας, μῆτερ ἀγνὴ, σεσαρκωμένον ἐκ σοῦ θεοπρεπῶς, παρύμνητε. Καὶ πολλὰ τοιαῦτα κατίδοι

4. De eo vero quod secundum essentiam per aliquod est, ex eodem quoque esse secundum eamdem, Cyrillus qui in dogmatibus tradendis claruit, fide dignus testis corroborabit, qui in una sua ad Nestorium epistola post multa addit: *Ex Deo Patre Verbum ex sancta Virgine est.* Et paucissimis annexis: *Natus est æque atque nos ex muliere:* rursusque post nonulla: *Erat enim Verbum in proprio corpore, quod ex muliere erat, tradebat vero illud morti ad tempus.* Prosphonetica vero ad imperatorem Theodosium oratione hæc ipsa habet interrogans: *Nonne natum esse dicimus ex muliere Emmanuelem? aut quomodo ascendit ubi esse ipse asserit?* Et Damascenus sapiens melodus, et ex gratia nomen sibi vindicans ad immaculatissimam Virginem in Ecclesia canticum dirigens nostri causa, ad hæc tempora sonore clamat: *Deum peperisti, mater immaculata, incarnatum ex te, uti Deum addecet, lauda-*

[46] Joan. I, 32. [47] Ibid. 3. [48] I Cor. I, 9. [49] Galat. IV, 7. [50] Isa. XXIX, 15.

Digitized by Google Распознавание текста ABK/FR

tissima. Et sexcenta alia similiter conspicies, quicunque diligenter sanctorum sacros libros revolvit et percurrit, quæ omnia Deum Verbum et Dominum secundum essentiam per semper Virginem Mariam genitum, hominem induisse ex eadem aperte significant. Per ipsam vere Dei Verbum naturaliter secundum carnem genitum esse, rursus hi iidem illis, quæ in aliis suis commentariis scripserunt, significabunt. Sed ante omnes significabit expressius hæc eadem explanans magnus Basilius. Inter eos siquidem divinus ac venerandus Cyrillus in paulo ante laudata epistola ad Nestorium hæc habet : *Sed forte illud, o Nestorie, dices : Dicito ergo mihi, divinitatis mater factane est Virgo? Ad hoc dicimus, in confesso esse genitum esse ex ipsa essentia Dei et Patris, vivens subsistensque illius Verbum; postremis vero sæculi temporibus cum caro factum sit, hoc est carni animam rationis compotem habenti conjunctum est, natum esse dicitur ex carne per mulierem.* Et paucis annexis : *Quando carnem assumens, fuit et Filius hominis, necessarium est profiteri, eum natum esse secundum carnem per mulierem.* Item : *Ex Deo Patre Verbum in forma Genitoris exsistens, habitavit in homine per mulierem genito.* Et paucis adjectis : *Sed forte quispiam dixerit : Quod erit discrimen inter Christum et Moysen, si ambo generati sunt per mulieres?* Nec aliter in oratione prosphonetica ad imperatorem Theodosium, cujus supra meminimus : *Ex Deo Patre Verbum manifestatum est in carne ; genitum enim est per sanctam et Deiparam Virginem, formam servi accipiens.* Et post nonnulla : *Opinari vero nonnullos ex Deo Verbum genitum generationem, quæ fuit per sanctam Virginem respuere, œconomiam infamantium est.* Et pluribus adjectis, quod a me ante positum est dictum prosecutus, nempe, *Annon dicimus ex muliere genitum esse Emmanuelem? aut quomodo ascendit, ubi esse ipse dicit?* subinfert : *Licet genito per sanctam Virginem, quod erat illi unitum, corpore.* Et Damascenus sapiens Joannes in immaculatæ Virginis laudibus rursus clamat : *Per te, Mater Virgo, lumen ortum est universo orbi splendidum.* Et hæc quidem hi, et multa non dissimilia præconis more edicunt, quorum potiorem partem oratio propter satietatem præteriit. Verumtamen divinissimus Basilius hæc eadem plenissime explanans tradit. Namque in his allato per me supra capite quinto ad Amphilochium de his præpositionibus sermonem habens, qua ratione in divinitatis principe Triade desumendæ sunt, ad tuto dogmata stabilienda, ex auctoritatibus ut plurimum magni Pauli corroborat, et cum exemplo opus esset, vocem illam commemoravit, quam orbis terrarum magister Dei incarnationem ex Virgine plane et perspicue dicens, *Natus ex muliere*, intonuit, hoc dictum divinus iste Pater declarans propter eo quod est per mulierem asseruit, et eumdem divinum præconem Paulum suæ sententiæ interpretem illico subjunxit, addens : *Hoc enim*

A τις ἂν, τὰς τῶν ἁγίων ἐπιμελῶς ἀνελίξας, ἱερὰς βίβλους καὶ ἀναγνοὺς, ἅπερ πάντα τὴν οὐσιωδῶς διὰ τῆς ἀειπαρθένου Μαρίας ἐν σώματι τεχθέντα Θεὸν Λόγον καὶ Κύριον, τοῦτον ἐπενδύσασθαι διατρανοῦσι τὸ ἀνθρώπινον ἐξ αὐτῆς. Ὅτι δὲ διὰ ταύτης ὁ τοῦ Θεοῦ Λόγος φυσικῶς κατὰ σάρκα γεγέννηται, δηλώσουσι μὲν καὶ πάλιν ἐξ ὧν γράφοντες ἐν ἄλλοις ἐθεολόγησαν οἱ αὐτοί· δηλώσει δὲ κρεῖττον ἐξηγούμενος τὰ περὶ τούτου λαμπρῶς ὁ μέγας Βασίλειος. Ἐκείνων γὰρ ὁ μὲν ἔνθεος καὶ σεπτὸς Κύριλλος ἐν τῇ μικρὸν ἄνωθεν διαληφθείσῃ πρὸς Νεστόριον ἐπιστολῇ τάδε φησίν· Ἀλλ' Ἴσως ἐκεῖνο ἐρεῖς, ὦ Νεστόριε· Ἆρ' οὖν, εἰπέ μοι, Θεότητος μήτηρ γέγονεν ἡ Παρθένος; Καὶ πρός γε τοῦτό φαμεν, ὅτι γεγέννηται μὲν ὁμολογουμένως ἐξ αὐτῆς τῆς B οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ζῶν τε καὶ ἐνυπόστατος αὐτοῦ Λόγος, ἐν ἐσχάτοις δὲ τοῦ οἰκείου καιροῖς, ἐπειδὴ γέγονε σὰρξ, τουτέστιν ἡνώθη σαρκὶ, ψυχὴν ἐχούσῃ τὴν λογικὴν, γεγεννῆσθαι λέγεται καὶ σαρκικῶς διὰ γυναικός. Καὶ μετὰ βραχέα· Ἐπειδὴ σάρκα λαβὼν κεχρημάτικε καὶ Υἱὸς ἀνθρώπου, ἀναγκαῖον ὁμολογεῖν ὅτι γεγέννηται κατὰ σάρκα διὰ γυναικός. Καὶ πάλιν· Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἐν μορφῇ τοῦ γεγεννηκότος ὑπάρχων, κατῴκησεν ἐν ἀνθρώπῳ γεννηθέντι διὰ γυναικός. Καὶ μετά τινα· Ἀλλ' Ἴσως φαίη τις ἄν, Τίς ἡ διαφορὰ Χριστοῦ καὶ Μωσέως, εἴπερ ἀμφω γεγόνασι διὰ γυναικῶν; Ὡσαύτως ἐν τῷ πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον προσφωνητικῷ τῷ πρὸ βραχέος ῥηθέντι μοι· Ὁ ἐκ C Θεοῦ Πατρὸς Λόγος ἐφανερώθη ἐν σαρκὶ· γεγέννηται γὰρ διὰ τῆς ἁγίας καὶ θεοτόκου Παρθένου, μορφὴν δούλου λαβών. Καὶ μετά τινα· Τὸ δὲ οἴεσθαί τινας τὸν ἐκ Θεοῦ φύντα Λόγον τὴν διὰ τῆς ἁγίας Παρθένου ἀνήνασθαι γέννησιν δυσφημούντων ἐστὶ τὴν οἰκονομίαν. Καὶ μετὰ πολλὰ τὸ προεκτεθέν μοι ῥητὸν ὡς ἔχει διαλαβών, τὸ, Οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; ἢ πῶς ἀναβέβηκεν, ἔνθα πρὸ εἶναι φησιν αὐτός; ἐπάγει· Καίτοι τεχθέντος διὰ τῆς ἁγίας Παρθένου τοῦ ἐνωθέντος αὐτῷ σώματος. Ὁ δὲ D Δαμασκόθεν σοφὸς Ἰωάννης ὑμνῶν τὴν ὑπέραγνον αὖθις βοᾷ· Διὰ σοῦ, Μῆτερ Παρθένε, φῶς ἀνέτειλε πάσῃ τῇ οἰκουμένῃ φαιδρόν. Καὶ ταῦτα μὲν οὗτοι, καὶ ἕτερα τοιαῦτα κηρύττουσιν, ὧν τὰ πλείω κατέλιπεν ὁ λόγος διὰ τὸ προσκορές. Ὁ δὲ πολὺς τὰ θεῖα Βασίλειος τὰ περὶ τούτων ἐναργέστατα διασαφῶν παραϊδωσιν. Ἐν γὰρ τῷ δὶς προγραφέντι μοι πέμπτῳ τῶν πρὸς μακάριον Ἀμφιλόχιον κεφαλαίων περὶ τῶν τοιούτων προθέσεων τὸν λόγον ποιούμενος, ὅπως αὐτὰς ἐκλαμβάνεσθαι τῇ θεαρχικῇ Τριάδι χρεὼν ἐπὶ τὸ τοῦ δόγματος ἀσφαλὲς ἐκ χρήσεων τὸ πλέον τοῦ μεγάλου Παύλου συνίστησιν, εἰς ὑπόδειγμα δὲ κἀκείνης ἐμνημόνευσε τῆς φωνῆς, ἣν ὁ τῆς οἰκουμένης διδάσκαλος τὴν ἐκ Παρθένου σάρκωσιν τοῦ Θεοῦ Λόγου δηλῶν, γεννώμενος ἐκ γυναικὸς, ἐξεβόησε, τὴν τοιαύτην ῥῆσιν ὁ θεῖος οὗτος Πατὴρ ἑρμηνεύων, ἀντὶ τοῦ, διὰ γυναικὸς, εἴρηκε· καὶ τὸν αὐτὸν θεοκήρυκα Παῦλον ἐξηγητὴν τῆς ἐκ-

Digitized by Google Распознавание текста АВК/FR

τοῦ διανοίας αὐτίκα παρήγαγεν, ἐπειπών· *Τοῦτο γὰρ ἡμῖν σαφῶς ἑτέρωθι διεστείλατο· γυναικὶ μὲν προσήκειν, λέγων, τὸ ἐκ τοῦ ἀνδρὸς γεγενῆσθαι, ἀνδρὶ δὲ τὸ διὰ τῆς γυναικός, ἐν οἷς φησιν ὅτι ὥσπερ γυνὴ ἐξ ἀνδρός, οὕτω καὶ ἀνὴρ διὰ τῆς γυναικός.* Ἰδοὺ τῆς εὐσεβείας ἡ εὔσημος σάλπιγξ, ὁ πολὺς καὶ μέγας Βασίλειος διὰ τῆς ἁγίας παρέστησε Παρθένου λίαν ἀριδηλότατα τὸν Θεὸν Λόγον σαρκικῶς κυηθῆναι, τοῦ χριστοκήρυκος Παύλου τὴν ἑρμηνείαν ἀπολεξάμενος, ὅπερ καὶ μετ' αὐτὸν ἐδογμάτισαν ὅ τε σεπτὸς Κύριλλος, καὶ ὁ Δαμασκόθεν σοφὸς Ἰωάννης, οἱ προλεχθέντες μοι τῆς ἀληθείας συνίστορες ἀκριβεῖς. Ἀλλὰ καὶ ἐκ τῆς ἁγίας, ὡς ἄνωθέν μοι διείληπται, Παρθένου τὸν Θεὸν Λόγον οἱ αὐτοὶ τῆς Ἐκκλησίας διαφανεῖς φωστῆρες ἐθεολόγησαν. Λοιπὸν διὰ τούτων εἰλικρινῶς ἀποδέδεικται νῦν τὸ κατ' οὐσίαν διά τινος εἶναι, κατὰ ταύτην καὶ ἐξ αὐτοῦ.

nobis manifesto alibi edixit, mulieri quidem convenire, dicens, ex homine natam esse, homini vero per mulierem, in illis quæ dixit: Uti mulier ex viro, ita et vir per mulierem. En pietatis insignis tuba, multus magnusque Basilius, per sanctam Virginem plane liquidoque confirmavit Deum Verbum in carne genitum, Christi præconis Pauli interpretatione præ omnibus aliis usus, quod et post eum decreverunt venerandus Cyrillus et Damascenus sapiens Joannes, qui antea per me laudati sunt, veritatis cum eodem cognitores. Sed etiam ex sancta Virgine, ut supra ostendimus, Deum Verbum iidem Ecclesiæ præclarissima lumina decreverunt. Quare hisce perspicue nunc demonstratum est, quod secundum essentiam per aliquod est, secundum eamdem etiam ex illo esse.

ε'. Τοῦτο δὲ καὶ τοῖς πᾶσι καταφανὲς ἄλλοθεν καθ' ὁμολογουμένην ἔννοιαν καὶ κοινήν· οἷον ἐν ὑποδείγμασι, διὰ τῆς ἀκτῖνος ἀκραιφνῶς ἀστράπτει τὸ φῶς· αὐγάζει τουτὶ κἀκ τῆς ἀκτῖνος οὐκ ἔλαττον. Τὸ πνεῦμα πρόεισι διὰ τοῦ λόγου τρανῶς· τοῦτο παρ' οὐδὲν κἀκ τοῦ λόγου προέρχεται. Διὰ τοῦ ἄνθους ἡ ὁσμὴ φέρεται καθαρῶς· καὶ ἐκ τοῦ ἄνθους αὐτὴ κατ' ἴσον σκεδάννυται. Τοῖς διορῶσιν ἐναργῶς ὄντως ἡ πηγὴ βλαστάνει διὰ τοῦ ὀφθαλμοῦ· βρύει καὶ ἐκ τοῦ ὀφθαλμοῦ τούτοις παρόμοιον αὐτὴ καὶ παραπλήσιον. Διὰ τοῦ στελέχους ὁ καρπὸς βλαστάνει περιφανῶς· καὶ ἐκ τοῦ στελέχους τοιουτοτρόπως αὐτὸς φύεται. Προδήλως ὁ καπνὸς ἀναπέμπεται διὰ τῆς φλογός· οὗτος κατ' οὐδὲν ἧττον κἀκ τῆς φλογὸς ἀναδίδοται. Ταῦτα δὴ πάντα δι' οὗ κατὰ φύσιν ἕκαστον ὑπάρχει, καὶ ἐξ αὐτοῦ πάντως ἐστί. Κατὰ τοιαύτην ἔννοιαν καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα δογματίζομεν εἶναι, μηδὲν ἐνδοιάζοντες. Οἳ τὴν παροῦσαν γοῦν θεολογίαν μὴ προσιέμενοι, διὰ ταύτην δὲ καὶ κατηγοροῦντες ἡμῶν, ἴστωσαν περὶ τὸ σέβας αὐτὸ λογιζόμενοι, κἀντεῦθεν ἡμῖν ἐγκαλοῦντες διὰ κενῆς. Ἀποδεδειγμένου γὰρ ὄντος τοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν διὰ τοῦ Λόγου παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, αὐτοὶ δοξάζειν, κἀκ τοῦ Υἱοῦ τοῦτο φεύγοντες, ἀμέλει τοι καὶ μᾶλλον ἡμᾶς ἕνεκα τούτου πανταχοῦ περιτύροντες, παροδικὴν ἐμφαίνουσιν οὕτως, ὃ καὶ βλασφημίας ἀνάπλεων ἁπάσης ἐστὶ, τὴν τοῦ Πνεύματος διὰ τοῦ Μονογενοῦς ὕπαρξιν οὐ πάντως οὐσιώδη καὶ φυσικήν, ὁποίαν ἡμεῖς ἀπαραιτήτως εἰσπραττόμενοι, πρὸς αὐτῆς τῆς ἀληθείας ἀποφαινόμεθα. Καὶ μάρτυς μοι τοῦ παρόντος λόγου τὸ πᾶν ἀπαράγραπτος, ὅτι παροδικὴν τοιουτοτρόπως ἐοίκασι τὴν δι' Υἱοῦ τοῦ Πνεύματος δηλοῦν ὕπαρξιν, ὁ τὰ θεῖα πολὺς καὶ μέγας Βασίλειος, *ἓν ἐν τῷ πέμπτῳ τῶν πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον κεφαλαίων, περὶ οὗπερ ἄνωθεν πολλάκις διέλαβον, τρόπον ὃν προείρηταί μοι, τὴν, γεννώμενος ἐκ γυναικὸς, ἀποστολικὴν ῥῆσιν ἐξηγησάμενος, ἐπαναλαμβάνει τὸν λόγον, καὶ πάλιν οὕτω διέξεισιν· Ἀλλ' ὅμως ἐνταῦθα ὁμοῦ μὲν τὸ ἀδιάφορον τῆς χρήσεως ἐνδεικνύμενος, ὁμοῦ δὲ καὶ τὸ σφάλμα*

E. Hoc et omnibus aliis allunde etiam palam apertumque fuerit secundum communem sententiam, et quæ a nemine in dubium vertitur. Sint exempla. Per radium clare lumen effulget: hoc idem non minus ex radio rutilat. Flatus emanat perspicue per sermonem: hic etiam ex sermone emigrat. Per florem odor pure fertur: et ex flore hic idem non dissimili ratione dispergitur. Illis, qui penitus introspiciunt, vere fons per oculum scaturit: exsilit et ex oculo hic idem pari nec dissimili modo: per truncum aperte fructus germinat, et ex trunco similiter idem prodit. Aperte fumus per flammam emittitur: hic etiam ex flamma æque producitur. Hæc omnia per quod secundum naturam singula sunt, etiam omnino ex eo. Non alio sensu et ex Filio Spiritum esse, nihil addubitantes decernimus. Quare qui præsentem theologiam non admittunt, ideoque nostrum nomen deferunt, sciant se male divinum cultum intelligere, indeque nobis temere crimen impingere. Cum enim demonstratum sit, Spiritum sanctum exsistere ex Deo et Patre per Verbum, ipsi illum etiam ex Filio respuentes dicere et hujus causa ubique locorum nostram famam probris lacerantes, transitoriam commonstrant, quod blasphemiam omnem abundanter in se complectitur, Spiritus per Unigenitum exsistentiam, non prorsus essentialem naturalemque, qualem nos severissime exigentes per ipsam veritatem decernimus. Et præsentis mei dicti testis adsit omni exceptione major, hoc modo transitoriam Spiritus per Filium existentiam significari, in rebus divinis eximius magnusque Basilius, qui quinto ad Amphilochium capite, cujus supra mentio a me inducta est, modo quo indicavimus, dictum Apostolicum *natus ex muliere* cum declarasset, resumens sermonem, verba sic iterat: *Quamquam hic Apostolus simul ostendens diversum harum vocum usum, simul obiter corrigens quorumdam errorem existimantium Domini corpus esse spirituale, ut ostenderet carnem Dei gestatricem, ex humana massa concretam fuisse, maluit uti verbo significan-*

Digitized by Google Распознавание текста АВК/FR

tiore. Nam hæ dictiones, per mulierem, transitorium generationis intellectum erant significaturæ; et hæ, ex muliere, sufficienter declarant communionem naturæ genitæ cum ea, quæ genuit: non quod secum pugnet Apostolus, sed ostendit has voces facile sibi vicissim cedere. Et hæc quidem magnus Basilius, et *per*, quæ mediationem importat, quasi transitorium indicet, agnoscit, cum etiam in illis in quibus *ex*, ullo modo locum habere posse decernitur. Quis vero ex illis, qui rectam de dogmate sentientem vitam ducere sibi proposuerunt, transitoriam prorsus Spiritus sancti exsistentiam per Unigenitum teneat, adeo ut inde hic intelligatur male deforis, et in aliquem ministerii usum intromissus et non naturaliter vereque et essentialiter medians; Spiritus vero sanctus illi Patrique peregrinus et prorsus alienus? Hæc enim sequi illo modo necesse est; quæ extremæ impietatis plena Arius olim et Macedonius veritatis plane hostes, suo quisque tempore in exsecrandi cordis profundo configentes, palam etiam eructare, heu intolerandam impudentiam! ausi sunt, pro quibus perditionis filii, a sanctis Patribus, qui prius Nicææ coacti sunt, et qui in hac regia urbe secundam synodum celebrarunt, anathemate subacti, flammis nunquam deficientibus traditi sunt. Quis itaque adeo audax fuerit, ut hæc ab eo tempore penitus vacantia simili modo innovare præsumat, circa cultum aberrans, vel propria sententia, vel illorum hæresiarcharum nugis abreptus? Plane nullus, licet in improbitatis summum devenerit, neque hoc tempore, neque in posterum reperietur, qui a tot tantisque spiritalibus et a Deo edoctis Patribus palam publiceque condemnata impudenter profiteatur, sive ea ex propriis mente aberrans et temeraria concipiens, sive eorum stulta loquacitate, quos supra commemoravimus, deceptus. Cum omnium absurdissimum sit, in quibus veritatis præcones certaminibus frequentibus errorem depellentes, sanum dogma decreverunt, in iis inter omnes unum aliquem quomodocunque mente delirare. Sed sane non est, qui hæc vel mente conceperit, tantum abest, ut credat, neque futurus est unquam, qui similia concipiet.

A τιτῶν ἐν παραδρομῇ διερθούμενος τῶν ὁλομέτρων πνευματικὲν εἶναι τοῦ Κυρίου τὸ σῶμα, ἵνα δείξῃ ὅτι ἐκ τοῦ ἀνθρωπείου φυράματος ἡ θεοφόρος σὰρξ συνεπάγῃ, τὴν ἐκφαντικωτέραν φωνὴν προετίμησεν. Τὸ μὲν γὰρ διὰ γυναικὸς παροδικὴν ἐμελλε τὴν ἔννοιαν τῆς γενέσεως ὑποφαίνειν, τὸ δὲ ἐκ τῆς γυναικὸς ἱκανῶς παραδηλοῦν τὴν οἰκειότητα τῆς φύσεως τοῦ τικτομένου πρὸς τὴν γεννήσασαν· οὐχ ἑαυτῷ που μαχόμενος, ἀλλὰ δεικνὺς ὅτι ῥᾳδίως ἀλλήλαις ἀντεπιχωριάζουσιν αἱ φωναί. Τοιαῦτα μὲν ὁ μέγας Βασίλειος, καὶ οὕτως ἐκδέχεσθαι τὴν διὰ κατὰ μεσιτείαν διαγινώσκει παροδικῶς, ἡνίκα καὶ ἐφ' οἷς δηλονότι μηδοπωσοῦν ἔχειν ἢ ἐκ χώραν ἔγνωσται. Τίς δὲ τῶν ὀρθοδόξως ζῆν αἱρουμένων παροδικὴν ὅλως ὀφθήσεται τοῦ ἁγίου Πνεύ-
B ματος πρεσβεύων τὴν ὕπαρξιν διὰ τοῦ Μονογενοῦς, ὡς ἐντεῦθεν τοῦτον μὲν νοεῖσθαι κακῶς ἔξωθεν καὶ καθ' ὑπουργίαν τινὰ παραλαμβανόμενον, ἀλλ' οὐ φυσικῶς τῷ ὄντι μεσιτεύοντα καὶ οὐσιωδῶς· τὸ δὲ Πνεῦμα τὸ ἅγιον αὐτοῦ τε καὶ τοῦ Πατρὸς ἀπεξενωμένον παντελῶς καὶ ἀλλότριον; Ταῦτα γὰρ ἐπάνγκες ἐκείνως ἀκολουθεῖν, ἅπερ τῆς ἐσχάτης τυγχάνοντα δυσσεβείας; Ἄρειος πάλαι καὶ Μακεδόνιος, οἱ τῆς ἀληθείας ὄντως ἐχθροί, κατὰ τὸν οἰκεῖον ἕκαστος καιρὸν ἐν τῷ βάθει πλασάμενοι τῆς βδελυρᾶς καρδίας αὐτῶν, καὶ φανερῶς ἀπερεύξασθαι, φεῦ τῆς ἀναισχυντίας τῆς πολλῆς! κατετόλμησαν, ἀνθ' ὧν οἱ τῆς ἀπωλείας υἱοὶ καὶ πρὸς τῶν θείων Πατέρων τῶν τε κατὰ Νίκαιαν συναθροισθέντων τὸ πρὶν, καὶ τῶν ἐν
C τῇδε τῇ βασιλευούσῃ τῶν πόλεων τὴν δευτέραν συγκροτησάντων σύνοδον ἀναθέματι καθυποβληθέντες, τῷ αἰωνίῳ πυρὶ παρεδόθησαν. Τίς τοίνυν ἔκτοτε καταργηθέντα τὸ τέλεον τοιουτρόπως ἀνανεώσασθαι ταῦτα θρασὺς, ἅτε δὴ περὶ τὸ σέβας οὐκ εὐθὺς οἰκοθεν τὴν γνώμην δεικνύμενος, ἢ καὶ ταῖς ἀδολεσχίαις τῶν αἱρεσιαρχῶν ἐκείνων παρασυρείς; Πάντως οὐδεὶς πρὸς τὸ τῆς κακίας ἀτεχνῶς ἐλάσας ἀκρότατον οὐχ ὁρᾶται πρὸς τὸ παρὸν, οὐ φανεῖται μεθύστερον, ὃς εὑρεθήσεται τὰ παρὰ τοσούτων ὁμοῦ καὶ τοιούτων περιφανῶς ἐληλεγμένα πνευματικῶν καὶ θεοσόφων ἀνδρῶν ἀνέδην φρονῶν, εἴτε περὶ τούτων ἀφ' ἑαυτοῦ κατὰ γνῶσιν ἐπισφαλῆ καὶ ματαίαν ἐπιεικῶς λογισάμενος, εἴτε μὴν καὶ τὰς φρένας ὡς ἀληθῶς ταῖς κενοφωνίαις τῶν διαληφθέντων ἀπατεώνων κλαπείς. Ἐπείπερ καὶ τῶν παντάπασιν ἀτοπωτάτων, ἐν οἷς οἱ τῆς ἀληθείας κήρυκες ἀγῶσι περιτρεφάμενοι τὴν πλάνην συχνοῖς, τὸ τοῦ δόγματος ὀρθὸν ἐπεκύρωσαν, ἐν τούτοις τινὰ τῶν ἁπάντων ὑπωσδήποτε σαλευθῆναι τὸν νοῦν. Ἀλλὰ ταῦτα μὲν οὐκ ἔστιν οὐδ' ὁ διανοησόμενος, μή τοί γε καθάπαξ φρονῶν, οὐδ' ἐσεῖται τὸ παράπαν ὁ διανοησόμενος.

6. Sunt porro nonnulli in præsenti, qui sapientia magnificentissime gloriantur, et nostra defendentibus præ se ferunt apud suos doctrina et eruditione, hi Spiritum sanctum exsistere per Unigenitum palam confitentes, jam recitata æque ac si blasphemias omnes exsuperent, modis omnibus pernegant; nec etiam admittunt, medium naturaliter esse inter Patrem et Spiritum Filium, propterea neque accipere ex Filio secundum rationem Spiritum sanctum, et alia quadam ratione, aures omnium personantes, dictum existimant

D ς'. Εἰσὶ δ' ἕκοι τῶν ἐπὶ σοφίᾳ τὰ μέγιστα σεμνυνομένων τὰ νῦν, οἱ καὶ τῶν ὑπὲρ ἡμᾶς δοκοῦντες παρ' ἑαυτοῖς ἐπιστήμονες, οἱ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν διὰ τοῦ Μονογενοῦς καθομολογοῦντες τρανῶς, τὰ ῥηθέντα μὲν ὡς βλασφημίας ἐπέκεινα πάσης ἐπίσης καὶ αὐτοὶ τοῖς ὅλοις ἐκφεύγουσι· πλὴν οὐδὲ τὸ φυσικῶς μεσιτεύειν παραδέχονται τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος τὸν Υἱὸν, ὡς διὰ τοῦτο προσίεσθαι καὶ τὸ ἐκ τοῦ Υἱοῦ κατὰ λόγον εἶναι τὸ Πνεῦμα τὸ ἅγιον· ἑτέραν δέ τινα περιύρυλλοῦσι προφανῶς ἔννοιαν, καθ' ἣν εἰρῆσθαι νομίζουσι τ'

Digitized by Google Распознавание текста ABK/FR

διὰ τοῦ Υἱοῦ. Διὰ τούτου γάρ, φασὶν, ἔστι τε καὶ λέγεται τὸ Πνεῦμα τὸ ἅγιον, ὡς κατὰ φύσιν ᾠκειωμένον αὐτῷ καὶ ὡς ὁμοούσιον. Καὶ ταῦτα μὲν οἵ τοι φθεγγόμενοι τῶν πολλῶν περιβομβοῦσι τὰς ἀκοάς. Ἐγὼ δὲ ἀκριβῶς οὐκ οἶδα πότερον ἀνοίας αὐτοὺς ἄν τις ἢ κακοβουλίας κατηγορήσειεν, αἰτίαν τοῦ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι τὴν πρὸς αὐτὸν οἰκείωσιν τούτου καὶ τὴν ὁμοουσιότητα τιθεμένους σαφῶς. Ὅτι μὲν γὰρ κατὰ φύσιν ᾠκείωται τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὁμοούσιον τοῦτο πρὸς ἀλήθειάν ἐστιν αὐτῷ, σύμπας ἂν τῶν τὰ θεῖα καλῶς πεπαιδευμένων ὁμολογήσειεν· οὐ μὴν διὰ ταῦτα καὶ τὸ διὰ τοῦ Υἱοῦ τῶν ἁπάντων τις ὑπάρχειν ἐρεῖ. Τοὐναντίον μὲν οὖν, γνώσεως εὐμοιρῶν μεγαλοφώνως κεκράξεται, τὸ διὰ τοῦ Υἱοῦ λέγων αἴτιον εἶναι τῷ Πνεύματι τῆς τε πρὸς αὐτὸν οἰκειότητος τούτου, καὶ τῆς ὁμοουσιότητος ἀτεχνῶς. Ὅτι γὰρ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τοῦτο φυσικῶς ᾠκειωμένον αὐτῷ τυγχάνει καὶ ὁμοούσιον. Καὶ περὶ μὲν τούτου τοῦ προσεχέστερον ῥηθέντος ἡμῖν, ἵνα διέλωμεν ἐν λόγοις τὰ τὸ πᾶν ἀδιαίρετα, πάντως δ' οὐχ ἕτερόν ἐστιν ἥπερ τὸ ὁμοούσιον, οὗ κἀν τῷ πρώτῳ συντάγματι μνησθέντες ὡς ἐν βραχεῖ τὴν τελεωτέραν πρὸς τὸ παρὸν καὶ κρείττονα λύσιν ἐπενεγκεῖν ὑπεσχόμεθα, προϊόντος ἐφεξῆς τοῦ λόγου διαληψόμεθα πλατυκωτέρως κατὰ καιρὸν, καὶ συναιρομένου τοῦ Θεοῦ παραστήσομεν ἀπό τε λογισμῶν ἀναντιρρήτων πάντη καὶ ἀψευδῶν, ἀπό τε πατρικῶν ἀναμφιβόλων κομιδῇ χρήσεων, τίς ὁ λόγος αὐτοῦ παρὰ τῇ θείᾳ Γραφῇ, καὶ πῶς ποτε τοῦτο νοεῖν ἡμᾶς ἄξιον.

ζ'. Περὶ δὲ μόνης τῆς οἰκειώσεως διεξελθεῖν ἀρτίως ἡγούμεθα δεῖν, ὀλίγα τινὰ ταύτης ἕνεκεν ὡσὰν προδιωρισμένης εἰπεῖν ἔχοντες. Ἃ γὰρ ἐν τῇ πρὸ τῆς παρούσης ἡμῶν πραγματείᾳ διαλαβεῖν ἐξεγένετο περὶ τοῦ ἰδίου σκοπουμένοις ἡμῖν, ταῦτα κατὰ τὸ παντελὲς ἀπαράλλακτον, ἐπειδήπερ ταὐτὸν τῷ οἰκείῳ τὸ ἴδιον, κἀνταῦθα πάντως ἁρμόζουσιν. Ἔνθεν τοι καὶ νομίζομεν ἀποχρῆν, κἂν ᾖ βραχέα τὰ λεχθησόμενα, καὶ μᾶλλον ἐφ' ᾧ κἂν τούτοις ὡς ἐν ἅπασι τοῖς ἄλλοις ἁπλῶς ἐκ γραφικῶν ἐσεῖται μαρτυριῶν τὰ τῆς ἀποδείξεως. Καὶ δὴ καθάπερ ἐξ ὑπαρχῆς ᾠκειῶσθαί φαμεν τὸ Πνεῦμα τὸ ἅγιον τῷ Υἱῷ, καὶ Πνεῦμα δὲ τοῦτο τοῦ Υἱοῦ χρηματίζειν, ἐτέρωθεν οὕτως ἐξεπιστάμεθα. Πλὴν εἰ βουληθείημεν ταῦτα πρὸς ἄλληλα κατιδεῖν, κἀντεῦθεν ποιήσασθαι τοῦ προκειμένου τὴν ζήτησιν, ᾠκείωται μὲν κατ' οὐσίαν τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς Πνεῦμα τυγχάνον αὐτοῦ· Πνεῦμα δὲ πάλιν Υἱοῦ τοῦτο καθέστηκεν, οἷς ὅτιπερ αὐτῷ κατὰ φύσιν ᾠκείωται, καθὼς ὁ μέγας Βασίλειος ἡμῖν τὰ περὶ τούτων παραδιδοὺς, τρόπον ὃν εἴπομεν, ἑκατέρου τίθησιν αἰτίαν ἑκάτερον. Οὕτος καὶ γὰρ ἐν μὲν τοῖς κατ' Εὐνομίου καὶ Ἀρείου λόγοις περὶ τοῦ Πνεύματος τάδε φησί· *Τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω,* « *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ* · » ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ τῶν

illud *per Filium*. Per hunc enim, inquiunt, est et dicitur Spiritus sanctus, quod natura illi conjunctus et consubstantialis est. Et hæc ipsi dicentes in auribus multorum perstrepunt. Ego vero plane nescio, amentiæne quispiam ipsis, an perversi consilii notam inuret, dum causam quod Spiritus sanctus sit per Filium esse conjunctionem illius et consubstantialitatem cum illo perspicue fateantur. Verumtamen natura Spiritum sanctum conjunctum esse Filio, illi que vere consubstantialem esse, nemo qui in rebus divinis probe instructus fuerit, inficias iverit ; attamen propterea per Filium exsistere illum nemo omnium dicet, quinimo contrarium, qui cognitione rerum callet, sonora voce declamabit, quod per Filium Spiritus est, asserens causam esse absque dubio conjunctionis Spiritus cum Filio, necnon et consubstantialitatis. Quia enim per Filium Spiritus sanctus est, ideo naturaliter illi conjunctus et consubstantialis est. Et de eo quod propius est, cum a nobis dictum sit, ut sermone, quæ prorsus dividi nequeunt, dividamus, quod omnino non aliud fuerit quam consubstantiale, et cujus in primo nostro commentario mentione facta quam brevissime, absolutiorem in præsenti et meliorem solutionem adducere promisimus, procedente suo ordine oratione, suo tempore fusius pertractabimus, et adjuvante Deo argumentis, quibus contradicere nequeas, et veris ex Patrum dictis et minime dubiis demonstrabimus, quænam in divina Scriptura illius ratio sit, et quomodo a nobis intelligendum.

7. De sola vero conjunctione et consortio nunc pertractandum esse putamus, paucis quibusdam illius causa, ut præfinitum de ea aliquid sit, in medium allatis. Quæ enim in priori nostro tractatu digessimus, cum de proprio disputaremus, illa eadem absque ulla sui immutatione, cum idem unumque sit conjunctum et proprium, hoc etiam in loco quam aptissime locum habebunt. Hinc satis superque esse existimamus, licet dicenda quam brevissima sint, et potissimum cum in his quoque ut in aliis omnibus simpliciter ex scripto traditis testimoniis demonstratio petetur. Et jam ecce quemadmodum ab exordio conjungi dicimus Filio Spiritum sanctum, et Spiritum hunc Filii esse, aliunde etiam sic edocti sumus. Nihilominus si hæc penitius introspicere velimus, indeque propositi quæstionem absolvere, conjunctus est essentia Filio Spiritus sanctus, ut qui Spiritus illius est, rursusque Spiritus Filii hic exsistit, quod illi essentia conjunctus est, sicuti magnus Basilius de hisce nobis tradens, modo quo diximus alterius alterum causam ponit. Namque is adversus Eunomium Ariumque disputans, promit hæc de Spiritu sancto : *Illius erga Patrem conjunctionem intelligo, quod a Patre procedit ; erga Filium vero, cum audio,* « *Si quis Spiritum Christi non habet, hic non est ejus* [81]. » Et in decimo octavo ad Amphilo-

[81] Rom. VIII, 9.

Digitized by Google Распознавание текста ABK/FR

chium capite : *Sed et Spiritus Christi dicitur, quod natura illi conjunctus est.* Sic ista contra inter sese verti, quod idem æque notant, cum plane nos sciamus, pari modo dicimus, unum loco alterius sumi, ut magnus in decernendis dogmatibus Basilius statuit.

8. At nunc per Filium Spiritum sanctum exsistere, et conjunctum illi esse, uti sese habeant, considerandum est. An etiam hæc cum inter se exæquantur, ut priora illa, vicissim alterum alterius locum occupabit? Minime gentium : cum causa propria conjunctionis potius illud *per Filium* sit. Et hoc plane confirmat idem magnus Basilius, qui in eodem ad beatum Amphilochium capite hunc in modum loquitur, cum prius de Spiritus ex Patre exsistentia sermonem habuisset : *Ex Deo esse dicitur, non uti omnia ex Deo, sed uti ex Deo progrediens, non generatus ut Filius, sed ut Spiritus oris illius. Unde sic declaratur illius consortium, et ineffabilis essentiæ modus servatur.* Spiritus cum Deo conjunctionem indicari ait magnus hic vir, quod progrediatur ex eo ut oris spiritus. Hoc ipsum hic quoque de conjunctione ejusdem Spiritus cum Filio quam aptissimum esse reputo ; conjunctus enim est Spiritus sanctus cum Filio, quod per Filium hic quoque sit, non alia quapiam ratione, quam quod sit spiritus oris ejus, uti Christi præco Paulus tradidit. Namque hic secundum ad Thessalonicenses scribens, postquam destructionem mali, qui universum terrarum orbem conterebat annuntiavit, erat porro impius ille Nero, de futuro vaticinans : « *Et tum iniquus ille patefiet, quem Dominus conficiet Spiritu oris sui* [31a], ingenti voce clamavit, Spiritum oris Unigeniti Spiritum sanctum nuncupans. Illud porro *per Filium* prorsus idem fuerit, quod ad exsistentiam attinet, atque illud *ex Filio*, ut ipso initio oratio demonstravit, et adhuc ultra procedens demonstrabit. Sic cum Spiritus sanctus per Filium est, propterea et conjunctus illi est ; non quia conjunctus est Spiritus sanctus Filio, propterea et per ipsum est, ut quidam ex adversariis contendunt. Sed quæstio hæc melius absolutiusque infra pertractabitur, cum in examen consubstantialis ratio, ut jam promisimus, vocabitur. At in præsenti paulo ante dicta iterum attingenda sunt, ne a proposito nobis scopo propius accedente decidamus.

9. Manifestum itaque est, uti non multo dixi-

πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον κεφαλαίων· *Ἀλλὰ καὶ Πνεῦμα Χριστοῦ λέγεται, ὡς ὡκειωμένον αὐτῷ κατὰ φύσιν.* Οὕτω μὲν ἀντιστρέφοντα ταῦτα πρὸς ἄλληλα διὰ τὸ ἐξισάζειν ἀντικρυς ἐγνωκότες ἡμεῖς, λέγομεν ἐπίσης ἀντιμεταλαμβάνεσθαι κατὰ τὸν πολὺν ἐν δόγμασι καὶ μέγαν Βασίλειον.

ῃ'. Τὸ δὲ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν, καὶ τὸ τελεῖν οἰκεῖον αὐτοῦ πῶς ἔχουσι, θεωρητέον τὰ νῦν. Ἆρα γὰρ ἐξισάζονται καὶ ταῦτα πρὸς ἄλληλα κατ' ἐκεῖνα τὰ πρὶν ἑκάτερον ἑκατέρῳ καὶ ἀντιστρέφουσιν; Οὐδαμῶς, αἴτιον δὲ κυρίως τῆς οἰκειώσεως τὸ *δι' Υἱοῦ* μᾶλλόν ἐστι. Καὶ τοῦτο περίστησιν ἀριδήλως ὁ αὐτὸς μέγας Βασίλειος, ὅστις ἐν τῷ αὐτῷ τῶν πρὸς τὸν μακαρίτην Ἀμφιλόχιον κεφαλαίων εἴρηκεν οὕτω, περὶ τῆς τοῦ Πνεύματος ἐκ Πατρὸς ὑπάρξεως προλαβών· *Ἐκ τοῦ Θεοῦ εἶναι λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ Θεοῦ προελθόν, οὐ γεννητῶς ὡς ὁ Υἱός, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ· τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου.* Τὴν τοῦ Πνεύματος πρὸς τὸν Θεὸν οἰκειότητα δηλοῦσθαι φησιν ὁ μέγας, ἐκ τοῦ προελθεῖν ὡς Πνεῦμα στόματος ἐξ αὐτοῦ. Τοῦτο δὲ κἀνταῦθα νοεῖν ἐπὶ τῆς πρὸς τὸν Υἱὸν οἰκειότητος λέγω, τοῦ αὐτοῦ Πνεύματός ἐστιν ἁρμοδιώτατον. Οἰκεῖον γὰρ τὸ ἅγιον Πνεῦμα καὶ τῷ Υἱῷ, καθότι καὶ διὰ τοῦ Υἱοῦ τοῦτο πέφυκεν, οὐχ ἑτέρως γε μήν, ὡς δὲ Πνεῦμα στόματος αὐτοῦ, κατὰ τὸ διαληφθὲν Παύλῳ τῷ χριστοκήρυκι. Καὶ γὰρ οὗτος τὸ δεύτερον ἐπιστέλλων πρὸς Θεσσαλονικεῖς μετὰ τὸ φάναι τὴν κατάλυσιν τοῦ τηνικαῦτα κατέχοντος τὴν οἰκουμένην κακοῦ, Νέρων δὲ ἦν ἐκεῖνος ὁ δυσσεβής, περὶ τοῦ μέλλοντος προθεσπίσας· « *Καὶ τότε ὁ ἄνομος ἐπικαλυφθήσεται, ὃν ὁ Κύριος Ἰησοῦς ἀνελεῖ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ,* » μεγαλοφώνως ἐβόησε, Πνεῦμα στόματος τοῦ Μονογενοῦς τὸ Πνεῦμα καλέσας τὸ ἅγιον. Τὸ δὲ *δι' Υἱοῦ* πάντως ταυτὸν ὅσον πρὸς ὕπαρξιν τυγχάνει τῷ *ἐξ Υἱοῦ*, καθὼς ὁ λόγος ἔδειξεν ἀπαρχῆς, καὶ ἔτι προϊὼν ἀποδείξειεν. Οὕτως ἐπεὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ, τούτου μάλιστα χάριν καὶ οἰκεῖον αὐτῷ πέφυκεν· οὐ μὴν ὅτι περ οἰκεῖον τὸ ἅγιον Πνεῦμα καθέστηκε τῷ Υἱῷ, διὰ τοῦτο καὶ δι' αὐτοῦ, καθάπερ ἐνιστάμενοί τινες λέγουσιν. Ἀλλὰ τὰ μὲν περὶ τῆς τοιαύτης ζητήσεως κρεῖττον καὶ τελεώτερον ἂν ῥηθείεν ἐν τοῖς ἑξῆς, ἔνθα πρὸς ἐξέτασιν ὁ τοῦ ὁμοουσίου κατὰ τὴν ὑπόσχεσιν λόγος ἡμῖν ταμιεύεται· τὸ δὲ νῦν ἔχον τῶν μικρὸν ἄνωθεν εἰρημένων ἅψασθαι καὶ πάλιν χρεὼν, ἵνα τοῦ σκοποῦ κατὰ τάχος ἔγγιον γεγονότος αὐτοῦ μὴ ἐκπέσωμεν.

θ'. Καὶ δὴ δῆλον, ὡς φθάσαντες πρὸ βραχέος ἔσχατον πάντων παρεστήσαμεν τῶν κακῶν, τὸ δοξάζειν παροδικῶς εἶναι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀνάγκη τοιγαροῦν, ἐπείπερ ἀπείρηται τὸ τοιοῦτον ὡς δυσφημίας ὂν ἁπάσης μεστὸν, ἑτέρου τινὸς λόγου μηδαμῶς ἀνακύπτοντος, περὶ γὰρ τῆς τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν οἰκειώσεως, καὶ τοῦ ὁμοουσίου διὰ τὸ τῶν ἐννοιῶν ἀνακόλουθον, ὅπερ καὶ

[31a] II Thess. II, 8.

Digitized by Google Распознавание текста АВК/FR

διηλέγξαμεν ἀμυδρῶς, τὸ πλεῖον τῆς ἐξετάσεως εἰς τὸ ἑξῆς παραπέμψαντες, δοκεῖ μοι καὶ τὸ λογίζεσθαι περιττόν· ἀνάγκη γοῦν οὕτω τὸν ὁλικῶς εὐσεβείας ἀντιποιούμενον, καὶ φρονεῖν βεβουλημένον ὀρθὰ πρεσβεύειν οὐσιωδῶς ὑπάρχειν διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Τούτου δὲ φανέντος, κἀκ τοῦ Υἱοῦ πάντως ἐστὶν, ἅτε φυσικῶς ἐπὶ τῇ τοῦ Πνεύματος παρὰ Πατρὸς ὑπάρξει τοῦ Υἱοῦ μεσιτεύοντος. Καὶ τοῦτο τεθεολογήκασι μικροῦ πάντες οἱ τῆς ἀποστολικῆς Ἐκκλησίας διδασκαλικῶς ἐξηγησάμενοι κατὰ διαφόρους καιροὺς, ὧν ἁπάρτι καλὸν ἐκθεῖναι καὶ τὰ ῥητὰ, τούτων κατ' ὄνομα μνησθέντας ἡμᾶς εἰς ἀπόδειξιν τοῦ προκειμένου ζητήματος. Ὡς ἂν τοίνυν ὁδῷ καὶ τάξει χρησάμενοι κἀπὶ τούτοις ἡμεῖς ἀξίως αὐτῶν πεποιηκέναι, καὶ ὡς χρεὼν, νομισθείημεν, κατάρχας, ὡς ἐμφέρεται τοῖς πρακτικοῖς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, πρὸς τὸν φιλόσοφον οἱ θεοφόροι Πατέρες διὰ τοῦ ἐπισκόπου Λεοντίου φασίν· *Εὕρηται τὸ Πνεῦμα ἐκπορευόμενον μὲν ἐκ τοῦ Πατρὸς, ἴδιον δὲ τοῦ Υἱοῦ καὶ ἐξ αὐτοῦ ἀναβλύζον.* Ἥρκει τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν ἡ παροῦσα καὶ μόνη χρῆσις, ὡς ἐκ πολλῶν ἁγίων ὁμοῦ ῥηθεῖσα, καὶ τὸ ἀδιάβλητον οὕτως ἔχουσα, καὶ μᾶλλον ὅτι περ ἀρχὴ καὶ θεμέλιος τῆς ὀρθοδόξου πίστεως οὗτοι γεγόνασι θεόθεν ἡμῖν, πρῶτοι τὰ τῶν αἱρετικῶν καταβαλόντες φρυάγματα κατὰ γνώμην κοινὴν καὶ συνέλευσιν. Νῦν δέ γε καὶ συχνῶν ἑτέρων τὸ βέβαιον πάντοθεν ἐχουσῶν εὐπορουμεν μαρτυριῶν, ἃς ποτε τῶν Πατέρων σχεδὸν οἱ πλείους ἕκαστος τὴν ἑαυτοῦ συγγραψάμενος, ἢ καὶ τούτων τινὰς κατιδίαν ἐξέθετο. Πρωτοκρῆμα καὶ γὰρ ὁ τῆς ἀθανασίας ἐπώνυμος, ὃς καὶ κατὰ ταύτην δὴ τὴν πρώτην σύνοδον μέγας τὴν ὑψηλὴν καὶ ἄνω φέρουσαν σοφίαν ἐγνωρίζετο, καὶ πολὺς ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ λόγῳ τρανῶς οὕτως ἀπαγγέλλει περὶ τοῦ Πνεύματος· *Αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν ὡς Θεὸς, καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ.* Καὶ ὁ χρυσοῦς τὴν γλῶτταν ἐν τῷ περὶ τῶν δύο Διαθηκῶν λόγῳ, *Διὰ γὰρ τὸ γενέσθαι ναὸν τῆς θείας*, διαγορεύει, *δυνάμεως τὸ σῶμα τοῦ Κυρίου τὸ θεοφόρον, γίνῃ καὶ σὺ ναὸς καθ' ὁμοίωσιν αὐτοῦ· δέχῃ γὰρ ἐκπεμπόμενον παρ' αὐτοῦ τὸ Πνεῦμα.* Πάντως τὸ, *παρ' αὐτοῦ*, τοῦτο ταυτὸν ὑπάρχει τῷ *ἐξ αὐτοῦ*. Καὶ οὐδεὶς ἐπὶ τοσοῦτον ἀμαθὴς καὶ ἀνόητος, ὡς διαφορὰν τὴν τυχοῦσαν νοεῖν ἐπὶ τούτων δὴ τῶν προθέσεων. Ἀλλὰ ταῦτα μὲν ὅ τε μέγας Ἀθανάσιος καὶ ὁ θεῖος Χρυσόστομος· ὁ δὲ δογματικώτατος Κύριλλος ἐν πολλοῖς τῶν αὐτοῦ λόγων καὶ πολλάκις περὶ τούτου διέξεισιν. Οὐκοῦν ἐν μὲν τῷ λόγῳ τῷ πρὸς Νεστόριον· *Εἰ καὶ ἔστι τὸ Πνεῦμα ἐν ὑποστάσει ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθ' ὃ Πνεῦμά ἐστι καὶ οὐχ Υἱός· ἀλλ' οὖν ἔστιν οὐκ ἀλλότριον αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμαστται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός·* ἐν δὲ τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον· *Ἀπολύων*

A cet tenuiter demonstravimus, potiorem partem examinis in sequentia remittentes, vel mente etiam agitare supervacaneum duco. Necesse est itaque eum qui omni ex parte pietati addicitur et rectam sententiam ambit, tenere essentialiter per Filium Spiritum sanctum exsistere. Id ubi inclaruerit, ex Filio quoque omnino erit, cum naturaliter in Spiritus a Patre exsistentia Filius medius sit. Et hoc tantum non omnes decrevere, qui apostolicæ Ecclesiæ veluti doctores aliis atque aliis temporibus præfuere, quorum nunc dicta, eorum item nominibus commemoratis, ad propositam quæstionem demonstrandam hic digerere non erit inopportunum. Ut ergo methodo ordineque in his quoque servatis pro dignitate eorum rem pertractasse, et
B uti addecet, existimemur, ipso statim initio, uti in actis Nicænæ primæ synodi habetur, divini illi Patres ad philosophum per Leontium episcopum respondent : *Invenitur Spiritus sanctus procedere quidem ex Patre, proprius vero Filii esse, et ex eo emanans.* Æquis auditoribus satis esset vel solum hoc dictum, tanquam quod ex multis Patribus pronuntiatum est, ideoque ab omni calumnia exemptum, et potissimum quod orthodoxæ fidei principium ac fundamentum a Deo nobis traditi sunt, qui primi hæreticorum fastus communi voto atque congressu disjecerunt. Nunc vero et frequentibus aliis certis atque indubitatis testimoniis abundamus, quæ potior pars Patrum, unusquisque per se
quod ejusdem essentiæ et naturæ citra ullum discrimen, nemine non id approbante, est cum Unigenito Spiritus sanctus, hoc est vere consubstantialis, et connaturalis, propterea Cyrillus in rebus divinis illustris in plurimis hisce dictis cum vitæ clarissimo Epiphanio, ex essentia Filii, in nonnullis etiam ex Filio, de suo *naturaliter* pronuntiavit, non ipsam sanctissimi Spiritus divinam exsistentiam ex Filio hisce connotans, sed illius cum Filio connaturale et consubstantiale modis omnibus significans. Hi quidem hoc etiam in loco, quod ad contradicendum nunquam non est ad manum consubstantiale proponentes, idque prorsus innuere supra a nobis omnia sacra dicta digesta probare studentes, cujus in anteriore tractatu, et in præsente quoque responsionem in me suscepi, nunc pro viribus duplicis mei promissi summam complebo, ut appareat, quantum hi cognitione levi et mentibus detritis similia proponant, consubstantiali connaturale implicantes, quod idem esse res clara est, et omnium sermonibus celebrata. Ego porro connaturalem quidem et consubstantialem Spiritum esse Filio a sacris Eloquiis, nec non ab infusa nobis per Numen cognitione edoctus plane percalleo; sed prædictorum hanc esse sententiam et mentem nen recte capio, licet ipsa divinæ Scripturæ verba considerem, et speculer sæpius ex meis, si quid meum usquam est. Sic quoque cum sanctos dicentes audimus, ex Patris essentia et natura Filium et Spiritum esse, in evulgatis ab ipsis commentariis, ibi etiam eorum connaturale cum Patre et consubstantiale intelligendum esset a nobis, non indubitatam apud omnes divinam eorumdem ex Patre exsistentiam. Et eritne unquam similis cogitatio sana, ne dicam Christiano homine digna sententia? Quinam vero Patres sunt, qui Filium et Spiritum ex essentia naturaque esse Patris asseverant? Et hos quoque, singulorum testimonia uti addecet, et nulla interposita mora in medium afferens, commemorabo. Primumque de Unigenito discito. Divinissimus Athanasius in colloquio suo cum Ario dicit: *Itaque Deus dicens ad proprium Filium per prophetam,* « *Ex utero ante luciferum genui te*[35], » *ex paterna essentia generationem Filii notat.* Et post pauca: *Nullam aliam ob causam uterum nominat, quam ut ostendat ipsum Filium ex Patris essentia genitum esse.* Et paulo post: *Filium itaque ex essentia Dei et Patris genitum esse addiscimus.* Idem in epistola ex synodo Hierosolymitana scripta ad Alexandrinam Ecclesiam: *Qui Arianam hæresim anathemati subegerunt, plane agnoscunt, non esse creaturam, sed ex essentia Verbum fetum esse.* Et rursus alibi: *Non deforis invecta est Filii essentia, neque ex non entibus introducta, sed ex Patris essentia nata quemadmodum luminis splendor, et aquæ vapor.* Et hæc quidem divinissimus Athanasius de Unigenito.

[35] Psal. cix, 3.

Digitized by Google Распознавание текста АВК/FR

Magnus vero Basilius in una suarum orationum : *Ex Patre Filius, non imperio editus, sed ex natura generatus.* Nec ab his abhorret Cyrillus dogmatum scientia admirabilis, tum libro tertio ad Hermiam : *Quomodo non omnino felix fuerit, videre Deum vere, et ex Dei et Patris essentia enatum esse Filium, siquidem est ut Deus, et non aliud, qui in nobis inhabitat Spiritus illius ?* tum in uno capitum de æternitate Unigeniti : *Erat igitur Genitori coæternus Filius, uti a quodam fonte prima causa scaturiens.* Et in alio eorumdem : *Qui enim ex essentia Patris progressus est, Patrem illico genitorem ostendit.* Et in alio clare : *Quemadmodum Pater absque principio est, ita et quod ex essentia illius progressum est Verbum absque principio est.* Item in alio : *Quemadmodum Spiritus sanctus circa essentiam separationem non admittit, varios emittens in muneribus modos, sic et generatricem essentiam Dei nemo si bene sapit injuria affici dicet, vel separationem vel effluxum aliquem passam esse, quæ unum solum ex semetipsa Filium emisit.* Et in alio quoque ex iisdem capitibus : *Universum esse Filii ex Patris essentia exsilit.* Et in alio : *Quæ enim passio circa solem fieri videtur, cum lumen generat? Quæ enim circa ignem separatio contingit, cum illuminationem quæ ex ipso est emittit? Quod si hæc citra ullam partitionem generant, et citra passionem, quæ ex ipsis, sunt, ejaculant, nonne magis eorum opifex suæ naturæ splendorem emittet?* His adsimilia, eaque quam plurima venerabilis Cyrillus, cum res theologicas tractat, edocet, quæ fere omnia simul cum his in priore meo commentario, tanquam etiam ibi plurimum conducentia comprehendi, secundum alias atque alias rationes ; hic vero jam dictis, et ante divini Patris Athanasii et magni Basilii auctoritatibus per nos digestis, abunde unam ex duabus quæstionibus demonstravimus.

A Ἑτέρωσε πάλιν· *Οὐκ ἔξωθέν τίς ἐστιν εὑρεθεῖσα ἡ τοῦ Υἱοῦ οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔχυ, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα, καὶ ὡς ὕδατος ἀτμίς.* Καὶ ταῦτα μὲν ὁ θειότατος περὶ τοῦ Μονογενοῦς Ἀθανάσιος. Ὁ δὲ μέγας Βασίλειός φησιν ἔν τινι τῶν αὐτοῦ λόγων· *Ἐκ τοῦ Πατρὸς ὁ Υἱός, οὐ προστάγματι ποιηθείς, ἀλλ' ἐκ τῆς φύσεως γεννηθείς.* Τούτοις φθέγγεται συνῳδὰ καὶ Κύριλλος ὁ τὴν δογματικὴν ἐπιστήμην θαυμάσιος ἐν μὲν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν, *Πῶς οὐ παντελῶς ἀταλαίπωρον ἰδεῖν ὅτι Θεὸς ἀληθῶς, καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκπέφυκεν ὁ Υἱός, εἴπερ ἐστὶν ὡς Θεός, καὶ οὐχ ἕτερόν τι κατοικοῦν ἐν ἡμῖν τὸ Πνεῦμα αὐτοῦ ;* Πάλιν δ' ἐν ἑνὶ τῶν κεφαλαίων τῶν περὶ τῆς B τοῦ Μονογενοῦς ἀϊδιότητος· *Ἦν ἄρα τῷ γεννήσαντι συναΐδιος ὁ Υἱός, ὥσπερ ἀπό τινος πηγῆς τῆς πρώτης αἰτίας ἀναβλύζων.* Καὶ ἐν ἄλλῳ τῶν αὐτῶν· *Ὁ μὲν γὰρ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προελθὼν Πατέρα εὐθὺς ἔδειξε τὸν γεννήσαντα.* Καὶ ἐν ἑτέρῳ σαφῶς· *Ὥσπερ ὁ Πατὴρ ἄναρχος, οὕτω καὶ ὁ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν Λόγος ἄναρχος.* Καὶ ἐν ἄλλῳ πάλιν· *Ὥσπερ τὸ Πνεῦμα τὸ ἅγιον οὐ μερισμὸν ὑπομένει περὶ τὴν οὐσίαν, διαφόρους ἐκπέμπων τοὺς ἐν τοῖς χαρίσμασι τρόπους, οὕτω καὶ τὴν γεννητικὴν οὐσίαν τοῦ Θεοῦ οὐκ ἄν τις τῶν εὖ φρονούντων ἀδικεῖσθαι φήσειεν, ἢ μερισμὸν ἢ ἀπόῤῥοιάν τινα παθεῖν, ἕνα καὶ μόνον ἐξ ἑαυτῆς ἐκλάμψασαν Υἱόν.* Καὶ καθ' ἕτερον τῶν τοιούτων κεφαλαίων· *Σύμπαν τὸ εἶναι τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας πρόεισι.* Καὶ ἐν ἄλλῳ· *Ποῖον γὰρ πάθος περὶ τὸν ἥλιον ὁρᾶται γενόμενον, ὅτε τίκτει τὸ φῶς; Ποῖος συμβαίνει περὶ τὸ πῦρ μερισμός, ὅταν ἐκπέμπῃ τὸν ἐξ αὐτοῦ φωτισμόν; Εἰ δὲ ταῦτα γεννᾷ μὲν ἀμερίστως, ἐκπέμπει δὲ τὰ ἐξ αὐτῶν ἀπαθῶς, οὐ πολλῷ μᾶλλον ὁ τούτων ποιητὴς τῆς ἑαυτοῦ φύσεως ἐκπέμψει τὸ ἀπαύγασμα;* Πολλὰ τοιαῦτα θεολογῶν ἐκδιδάσκει Κύριλλος ὁ σεπτὸς, ἃ πάντα σχεδὸν σὺν τούτοις ἐν τῇ προπονηθείσῃ μοι συντάξει διέλαβον, οἷα κἀκεῖ συντελοῦντα, πλὴν κατά τινας λόγους λοιπούς· ἐνταῦθα δὲ διὰ τῶν παρόντων, καὶ δι' ὧν προδεδηλώκαμεν τοῦ θείου Πατρὸς Ἀθανασίου, καὶ τοῦ μεγάλου Βασιλείου ῥητῶν ἀρκούντως τὸ ἕτερον τῶν δυοῖν ζητημάτων νῦν πεπρεστήσαμεν.

13. Reliquum est jam, et de adorando Spiritu Patrum voces, quæ nempe illum palam ex essentia et natura Patris deprædicant, hic apponere, ut absolute nostri examinis oratio perfecteque procedat, nec ex illis quæ promisimus uno privata claudicet. Et initio ipso ponatur dictum Gregorii Thaumaturgi toto orbe terrarum clarissimi, cujus etiam in priore tractatu, sed alio scopo mentionem induximus ; dictum vero, ut ipsum quam ocius comprehendamus, habetur in oratione fidei ab ipso per partes expositæ : *Confitemur consubstantialem esse Patri Filium et Spiritum, hoc est unam deitatem naturaliter, cum Pater ingenitus sit, Filius genitus ex Patre, et Spiritus sanctus ex essentia Patris per Filium æterne emittatur.* Et hoc ait hic divinarum revelationum interpres Et postmodum Cyrillus mysteriorum spiritus instructissimus in

ιγ'. Ἀπάρτι λείπεται παραθέσθαι καὶ τὰς περὶ τοῦ προσκυνητοῦ Πνεύματος τῶν ἁγίων φωνὰς, ὅσαι D δηλαδὴ τοῦτο τρανῶς ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Πατρὸς ὑπάρχειν κηρύττουσιν, ὅπως ἐντελὴς ὁ λόγος ἡμῖν τῆς διασκέψεως ἔχοι προβάς, καὶ μὴ σκάζοι στερούμενος τῶν ὑπεσχημένων ἑνός. Καὶ ὃ ἐκτέον καταρχὰς τὴν ῥῆσιν τοῦ Θαυματουργοῦ Γρηγορίου τοῦ τὸ πᾶν διαβοήτου τοῖς πέρασιν, ἧς κἀν τῇ προτέρᾳ τῆς νῦν πραγματείᾳ κατ' ἕτερον ἐμνήσθην σκοπόν. Ἡ δὲ ῥῆσις, ὡς ἂν καὶ ταύτην γένηταί μοι διαλαβεῖν τάχιον, ἐν τῷ λόγῳ τῆς αὐτοῦ κατὰ μέρος πίστεως κειμένη φησίν· *Ὁμολογοῦμεν ὁμοούσιον τῷ Πατρὶ εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τουτέστι μίαν θεότητα φυσικῶς, ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννηθέντος δὲ τοῦ Υἱοῦ ἐκ Πατρὸς, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος.*

Digitized by Google Распознавание текста ABK/FR

Καὶ τοῦτο μὲν ὁ τῶν θείων ἀποκαλύψεων οὗτος ὑφηγητής. Καὶ Κύριλλος δὲ μεθ' ὕστερον ὁ μύστης τοῦ Πνεύματος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν θησαυρῶν ταῦτα διαγορεύει τρανῶς· *Οὐ διώρισται τὸ Πνεῦμα τῆς θείας οὐσίας, ἀλλ' ἐξ αὐτῆς φυσικῶς ἐκπεμπόμενον, ὅλην ἔχει τοῦ Πατρὸς καὶ Υἱοῦ τὴν ἐνέργειαν.* Καὶ πάλιν ἐν ἄλλῳ φησίν· *Ὁ ἀνὴρ ἔχων ἐν ἑαυτῷ τὸ Πνεῦμα τὸ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ εἰκὼν ἐκλήθη καὶ δόξα Θεοῦ·* καὶ ἐν ἑτέρῳ· *Θεὸς ἄρα τὸ Πνεῦμά ἐστιν ἐκ τῆς θείας οὐσίας φυσικῶς ἐκπεμπόμενον.* Καὶ ἀλλαχοῦ· *Τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Θεοῦ φυσικῶς.* Προσέτι καθ' ἕτερον τῶν τοιούτων κεφαλαίων τῶν Θησαυρῶν· *Ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ ἐξ οὗ, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός.* Ἰδοὺ παρήγαγον καὶ τὰς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, κἀκ τοῦ Πατρὸς ὑπάρχειν φυσικῶς προσμαρτυρούσας τῶν χρήσεων ταῖς πρότερον συντάξας αὐτὰς, αἵτινες διαῤῥήδην τὸν Υἱὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι, κἀκ τοῦ Πατρὸς καταγγέλλουσι φυσικῶς. Ἐκ τούτων δὲ, τῶν καὶ πρὸς ἀμφότερα λέγω, πασῶν ὁ σύνεσιν ἔχων ἀκροατὴς διαγνώσεται καὶ τὰς ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, κἀκ τοῦ Υἱοῦ τυγχάνειν φυσικῶς διαγορευούσας φωνὰς, ὅτι τὴν ὕπαρξιν δηλοῦσι τοῦ Πνεύματος. Εἰ γὰρ αὗται τῆς ὑπάρξεως τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἀδιστάκτως σημαντικαὶ, καὶ τοῦτο συνομολογοῦσί μοι προφανῶς ἅπαντες, καὶ οὐδεὶς ὁ κατά τι ποσῶς πειρώμενος ἀντειπεῖν, πάντως σημαντικαὶ κἀκείναι τῆς ὑπάρξεως τοῦ θείου καὶ προσκυνητοῦ Πνεύματος. Ἤ τίς ποτε νοεῖσθαι δοκεῖ, καὶ τίνος ἡ ἀποκλήρωσις τοῦ τὰ; μὲν τὴν ὕπαρξιν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ὅπερ καὶ βέβαιον, παριστᾷν, τὰς δὲ πρὸς ἀλήθειαν ἄλλο τι καὶ μὴ τὴν ὕπαρξιν τοῦ ζωοποιοῦ Πνεύματος; Φραζόντων ἡμῖν οἱ φθέγγεσθαι τὰ πάντα ῥᾴδιοι καὶ ταχεῖς τόν τε διορισμὸν, ὡς ἔφην, καὶ τὸν αὐτὰς ἀποτάξαντα, κἀπὶ τούτοις μετ' αἰδοῦς συσταλέντες ἡμεῖς τέλεον, καθάπερ εἰκὸς, σιωπήσομεν. Ἕως δ' ἂν μὴ τῶν τοιούτων ἔχωσι λέγειν μηδὲν, μᾶλλον αὐτοὶ πεδήσαντες τὰς γλώσσας, σιγάτωσαν. Δῆλον καὶ γὰρ ὅτι καθ' ὃν λόγον ἐκλαμβάνεσθαι ταύτας χρεὼν, κατὰ τοῦτον ἐκδέχεσθαι κἀκείνας προσφυὲς καὶ κατάλληλον, διὰ τὸ καὶ τὰς ἑκατέρας ταῖς αὐταῖς χρῆσθαι φωναῖς τῆς τῶν προσώπων διαφορᾶς καὶ μόνης ἀπάνευθεν. Ὥστ' ἐπεὶ διὰ τούτων ἡ τοῦ Υἱοῦ δηλοῦται καὶ τοῦ Πνεύματος ἀναντιῤῥήτως ὕπαρξις ἐκ Πατρὸς, καὶ δι' ἐκείνων ἡ τοῦ προσκυνητοῦ καὶ θείου Πνεύματος ἐκ τοῦ Υἱοῦ σημαίνεται πάντως ὕπαρξις.

ιδ'. Πρὸς τούτοις εἰ λέγουσι καὶ ἔτι διὰ τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ὁμοούσιον καὶ ὁμοφυὲς ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Μονογενοῦς εἰρῆσθαι, καὶ οὐ δι' ἕτερον τὸ Πνεῦμα τὸ ἅγιον· Παρ' ἡμῶν ἀκουέτωσαν ὅτι κατὰ τὴν αὐτοῖς νοουμένην ἁπλῶς ὁμοφυΐαν καὶ ὁμοουσιότητα καὶ ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ Πνεύματι καὶ ὁμοφυὴς, ὥσπερ ἄρα τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον. Ἐπειδὴ τοίνυν καὶ ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ Πνεύματι καὶ ὁμοφυὴς (ἆλλως γὰρ ἐνταῦθα παρίημι περὶ τοῦ Πατρὸς ἐξετάζειν, μὴ καὶ περιττὸς δόξιμι), πῶς οὐκ ἐῤῥέθη τινὶ τῶν ἁγίων καὶ ὁ Υἱὸς ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας τοῦ Πνεύματος; Πάντως εἰ διὰ τοῦ Πνεύμα-

A uno secundi Thesaurorum capite hæc aperte pronuntiat: *Non arcetur Spiritus a divina essentia, sed ab ipsa naturaliter emissus universam Patris et Filii operationem habet.* Et in alio: *Homo habens in semetipso Spiritum, qui ex essentia Dei est, imago Dei et gloria nuncupatur.* Et in alio: *Deus igitur Spiritus est, ex divina essentia naturaliter emissus.* Et alibi: *Spiritus sanctus ex Deo naturaliter.* Nec non in alio horum Thesaurorum capite: *Sed manebit ipsi quoque proprium ex alio esse, quod ex essentia Patris est.* Ea adduxi testimonia, quæ Spiritum sanctum, ex Patris essentia, et ex Patre existere naturaliter confirmant, ea prius adductis connectens, quæ aperte et perspicue Filium ex essentia Patris esse, et ex Patre naturaliter asseverant. Iis omnibus ad utrumque pertinentibus B prudentia commendatus auditor dignoscet, ea quoque dicta, quæ ex essentia Filii Spiritum sanctum, et ex Filio existere naturaliter asserunt, exsistentiam Spiritus denotare. Etenim si hæc exsistentiam Spiritus et Filii citra ullam hæsitationem indicant, et hoc una mecum omnes palam fatentur, et nemo ullus est, qui vel minimum contradicere præsumpserit, prorsus illa quoque divini et adorandi Spiritus exsistentiam significabunt. Aut quis unquam capiet, ad quemnam attributio pertineat, quod hæc quidem Filii et Spiritus exsistentiam, illa vero quidpiam aliud, et non Spiritus exsistentiam signent? Qui faciles sunt pronique omnia funditare ac proloqui, aperiant C nobis tum discrimen, tum auctorem discriminis, et nos verecundia tandem coerciti de istis rebus sermonem abstinebimus: donec vero de hisce nihil habent quod dicant, ipsi potius os obstruentes suum conticeant: manifestum etenim est, ratione qua ista accipienda sunt, eadem et illa accipere aptum et congruum esse, quod utraque iisdem dictionibus excepta tantummodo personarum differentia complicentur. Quare cum per hasce Filii et Spiritus, nemine discrepante, exsistentia ex Patre notatur, per illas quoque divini adorandique Spiritus modis omnibus ex Filio exsistentia indicatur.

14. Ad hæc si dicant ulterius, propter Spiritus erga Filium consubstantiale connaturaleque ex natura et essentia Unigeniti, nec aliam ob causam Spiritum sanctum esse prolatum, audiant a D nobis: Propter idem connaturale atque consubstantiale Filius est consubstantialis et connaturalis Spiritui æque atque Spiritus est Filio. Quando itaque et Filius consubstantialis est connaturalisque Spiritui, (prorsus enim hic de Patre verba facere prætereo, ne modum excedere videar), quare non ab aliquo ex sanctis enuntiatum est, Filium quoque esse ex natura et essentia Spiritus? Omnino si propter Spiritus erga Filium consubstantiale

Digitized by Google Распознавание текста АВК/FR

connaturaleque, ex essentia et natura Filii Spiritus sanctus assertus est, oportebat aliquem ex Patribus ob id ipsum etiam Filium ex natura et essentia Spiritus asseverare, cum et Filius sit Spiritui consubstantialis atque connaturalis. At nunc nemo ex divinîloquis Patribus ex natura et ex essentia Spiritus Filium esse, licet consubstantialem et connaturalem Spiritui asseruit. Sequitur ergo neque Spiritum sanctum ex essentia et natura Filii dictum fuisse, quod connaturalis sit atque consubstantialis Filio.

15. Et nemo mihi ex istis, qui omnia audent, et in loquendo multi atque inepti sunt ad summam impudentiam, Spiritus ergo Filium consubstantiale connaturaleque causam esse, ob quam Spiritus sanctus ex essentia et natura Filii dictis similibus dicatur, demonstrare studens, intrepide præsumat ex propriis ostendere, Filium quoque ex essentia et natura Spiritus esse, nihil impedire contendens, Verbum quod ejusdem naturæ et essentiæ est cum Spiritu, ex essentia et natura Spiritus dici, quod ab uno ex hisce audivi nonnunquam audacter dici. Ut igitur in posterum, quæ deforis accedunt momenta prætereuntes, ipsorum adversariorum mentem istinc refutemus, aliud est ejusdem essentiæ et naturæ alicui provenire, consubstantiale scilicet et naturale, et aliud ex essentia et natura esse alicujus aliquid naturaliter: nam consubstantiale et connaturale latius, quod vero est ex essentia et natura minus extenditur. Quapropter, ut rerum talium periti observant, hoc quidem confert, illud vero, ut ipsi philosophantes tradunt, confertur. Rursus substantiale et connaturale simul de medio tollit, quod porro ex natura et essentia est una tollitur. Quomodo vero hæc se habeant, cui libitum est, id addiscere poterit, si accurate unumquodque consideraverit. Namque si abest connaturale ac consubstantiale, neque illud ex essentia et natura fuerit; hoc porro si in quibusdam non exstiterit, illud quandoque fieri potest ut sit: et quidquid est ex natura et essentia alicujus naturaliter, necesse est illi et consubstantiale et connaturale esse. Si quid autem rursus consubstantiale est alicui et connaturale, non est necesse illud esse ex essentia illius et natura. Ex essentia igitur et natura Filii Spiritus sanctus cum sit, necessario illi et connaturalis exsistit et consubstantialis. Filius vero consubstantialis exsistens Spiritui et connaturalis, non item ex natura illius et essentia fuerit. Sin minus, erit quoque Pater quod primarium principium est, ex essentia et natura Filii et Spiritus, cum consubstantialis illis sit et connaturalis, quo prorsus an pejus, an absurdius excogitabitur? Sed manifestum est, Patrem esse consubstantialem Filio et Spiritui, quod possidet Filium et Spiritum ex sua essentia et natura. Filius vero et Spiritus sanctus consubstantiales et connatura-

A τος πρὸς τὸν Υἱὸν ὁμοούσιον καὶ ὁμοφυὲς ἐκ τῆς οὐσίας· καὶ τῆς φύσεως ἐλέχθη τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἔδει τινὰ τῶν Πατέρων κατ' αὐτὸ τοῦτο καὶ τὸν Υἱὸν ἐκ τῆς φύσεως εἰπεῖν καὶ τῆς οὐσίας τοῦ Πνεύματος· ὅτι καὶ ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ Πνεύματι καὶ ὁμοφυής. Νῦν δὲ τοῦτον οὐδείς ἐφθέγξατο τῶν θεηγόρων ἀνδρῶν ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας τοῦ Πνεύματος, καίπερ ὁμοούσιον ὄντα τῷ Πνεύματι καὶ ὁμοφυῆ. Λοιπὸν οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας εἴρηται τοῦ Υἱοῦ καὶ τῆς φύσεως, καθότιπερ ὁμοφυὲς τοῦτο καὶ ὁμοούσιόν ἐστι αὐτῷ.

ιε'. Καὶ μή μοί τις τῶν θρασέων ἀπερεύγεσθαι τὰ πάντα καὶ τολμηρῶν, ἐθέλων τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ὁμοούσιον καὶ ὁμοφυὲς κατασκευάζειν B παραίτιον τοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως διὰ τῶν ῥητῶν τούτων λέγεσθαι τοῦ Υἱοῦ, δεικνύειν οἴκοθεν ἀδεῶς ἐπιχειρείτω καὶ τὸν Υἱὸν ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας τοῦ Πνεύματος, Τί κωλύει, διατεινόμενος, τὸν τῆς αὐτῆς οὐσίας καὶ φύσεως τῷ Πνεύματι Λόγον ἐκ τῆς τοῦ Πνεύματος οὐσίας καὶ φύσεως λέγειν αὐτόν; ὅπερ ἀκήκοά τινος τῶν τοιούτων καὶ ἄλλοτε προπετῶς φάσκοντος. Ἵνα γὰρ τοιαποτοῦδε τὴν ἀπὸ τῶν ἔξωθεν παραλιπόντες ἰσχὺν αὐτῶν τῶν ἀνθισταμένων τὸν νοῦν αὐτόθεν ἐλέγξωμεν, ἄλλο τὸ τῆς αὐτῆς οὐσίας καὶ φύσεώς τι τυγχάνειν τινί, τουτέστι τὸ ὁμοούσιον καὶ ὁμοφυὲς, καὶ ἄλλο τὸ ἐκ τῆς οὐσίας εἶναί τι τινος καὶ τῆς φύσεως φυτικῶς. Τὸ μὲν γὰρ ὁμοφυὲς καὶ C ὁμοούσιον ἐπιπλέον ἐστί, τὸ δὲ ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως τοὐναντίον ἐπ' ἔλαττον. Διὸ καὶ τοῦτο μὲν συνεισφέρει κατὰ τοὺς περὶ τὰ τοιαῦτα δεινούς, ἐκεῖνο δὲ, καθώς φασι φιλοσοφοῦντες οἱ αὐτοί, συνεισφέρεται. Πάλιν συναναιρεῖ τὸ ὁμοούσιον καὶ ὁμοφυὲς, συναναιρεῖται δὲ τὸ ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως. Ὅπως δὲ ταῦτα, πάρεστι νῦν τῷ βουλομένῳ μαθεῖν, ἐπισκεψαμένῳ πρὸς ἀκρίβειαν αὐτῶν ἕκαστον. Μὴ ὄντος γὰρ τοῦ ὁμοουσίου καὶ ὁμοφυοῦς, οὐδὲ τὸ ἐκ τῆς οὐσίας ἐστὶ καὶ τῆς φύσεως· τούτου δὲ μὴ ὄντος ἔν τισιν ἀληθῶς, ἐκεῖνό ποτε τυγχάνειν ἐνδέχεται. Καὶ εἴ τι μέν ἐστιν ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας τινὸς φυσικῶς, ἀνάγκη καὶ ὁμοφυὲς αὐτῷ τοῦτο καὶ ὁμοούσιον· εἴ τι δὲ πάλιν ὁμοούσιον ὑπάρχει τινὶ καὶ ὁμοφυὲς, οὐκ ἀνάγκη τοῦτο τελεῖν ἐκ τῆς οὐσίας D αὐτοῦ καὶ τῆς φύσεως. Ἐκ τῆς οὐσίας γοῦν καὶ τῆς φύσεως τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὄν, ἐξ ἀνάγκης αὐτῷ τοῦτο καὶ ὁμοφυὲς ὑπάρχει καὶ ὁμοούσιον. Ὁ δὲ Υἱὸς ὁμοούσιος ὢν τῷ Πνεύματι καὶ ὁμοφυής, οὐκέτι κἀκ τῆς φύσεως αὐτοῦ καὶ τῆς οὐσίας καθέστηκεν. Εἰ δὲ μὴ συμβήσεται καὶ τὸν Πατέρα τὴν ἀρχικωτάτην ἀρχὴν ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως εἶναι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἐπείπερ ὁμοούσιος αὐτοῖς ἐστι καὶ ὁμοφυής, τούτου δὲ πάντως; τί γένοιτ' ἂν χεῖρον καὶ ἀτοπώτερον; Ἀλλὰ φανερὸν ὡς ὁμοούσιός ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ καὶ τῷ Πνεύματι, καὶ ὁμοφυής· ὅτι κέκτηται τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας ἑαυτοῦ καὶ τῆς φύσεως. Ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοφυῆ καὶ ὁμοούσια τῷ Πατρὶ, διὰ τὸ ἐκ τῆς

Digitized by Google Распознавание текста ABK/FR

οὐσίας καὶ ἀμφότερα καθεστάναι τοῦ Πατρὸς καὶ τῆς φύσεως. Καὶ ἐνταῦθα τοιγαροῦν ὡσαύτως φημὶ κἀπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ θείῳ Πνεύματι καὶ ὁμοφυής, ὅτι περ ἐκ τῆς οὐσίας ἑαυτοῦ καὶ τῆς φύσεως τοῦτο κέκτηται. Τὸ Πνεῦμα δ' αὖ ὁμοούσιον τῷ Υἱῷ καὶ ὁμοφυὲς διὰ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ τελεῖν καὶ τῆς φύσεως. Οὕτω γὰρ ὄντως τὸ μὲν ὁμοούσιον ἔσται καὶ ὁμοφυὲς τῷ ἐκ τῆς φύσεως παντὶ καὶ οὐσίας ὡς καθολικώτερον, εἴ με χρὴ τέως ἐπαναλαβεῖν τὸν λόγον, καὶ νῦν ἐνθάδε βραχὺ τοῖς τοιούτοις ἐγχαρτερήσαντα· τινὶ δ' αὖθις ὁμοουσίῳ γε πάντως καὶ ὁμοφυεῖ τὸ ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας ὡς μερικώτερον. Τοῦτον δὲ τὸν τρόπον καὶ τῶν ἄλλων ἕκαστον ἀκολουθήσειεν ἄν, ὥνπερ ἄνωθεν ἐπιμνησθέντες κατὰ μέρος ἠριθμησάμεθα.

A

B

ις'. Καὶ ταῦτα μὲν εἰς τὴν θεωρίαν ἐπισκεψόμεθα κατὰ τὰ στοιχεῖα τῆς λογικῆς ἐπιστήμης, καὶ τὴν παράδοσιν, ὡς φησὶν ὁ Ἀπόστολος, τὴν ἀνθρώπων, καὶ οὐ κατὰ Χριστόν. Εἰ δὲ τὰ περὶ τούτων ὑψηλότερον, ὡς τοῖς τοιούτοις εἰκὸς, ὄντως καὶ τῆς θεαρχικῆς Τριάδος τῆς ὑπερφυοῦς καὶ ὑπερουσίου κατὰ τὸ δυνατὸν ἐπαξίως ζητήσομεν, ὁ λόγος τοῦ κατ' αὐτὴν ὁμοουσίου καὶ ὁμοφυοῦς ἕτερος· παρὰ τοῖς εὐσεβέσιν ἡμῖν. Καὶ τούτου γε διδάσκαλος ἀκριβὴς ὁ τὰ θεῖα πολὺς, καὶ μέγιστος τὴν σοφίαν Βασίλειος, ὅστις ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Λόγου τὸ ὁμοούσιον αὐτὸ καὶ μόνον εἰς ἐξέτασιν προτιθεὶς ἐν τῇ γραφείσῃ πρὸς τὰς κανονικὰς ἐπιστολῇ περὶ τούτου ῥητῶς οὕτω διέξεισιν· *Ἐπεὶ γοῦν ἐστιν ἄναρχον φῶς ὁ Πατὴρ, γεννητὸν δὲ φῶς ὁ Υἱὸς, φῶς δὲ καὶ φῶς ἑκάτερον, ὁμοούσιον εἴποιεν ἂν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. Οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλ' ὅταν καὶ τὸ αἴτιον, καὶ τὸ ἐκ τοῦ αἰτίου τὴν ὑπαρξιν ἔχον τῆς αὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται.* Προσέσχες, ὁ ἀκροώμενος, πῶς τὸ ὁμοούσιον, ὅπερ τῷ ὁμοφυεῖ πάντως ταυτὸν, ὁ θεῖος Πατὴρ οὗτος ἡρμήνευσεν; Τούτῳ καὶ Κύριλλος ὁ θεηγόρος ὅσα γε καὶ μυσταγωγῷ χρησάμενος ἐν τῷ πρώτῳ τῶν πρὸς Ἑρμείαν φησίν· *Ὁμοούσιος γὰρ εἴπερ ἐστὶν ἀληθῶς ὁ Υἱὸς τῷ Πατρὶ, ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν καὶ οὐσιωδῶς ἐστιν.* Ὥστε κατ' αὐτὸ τοῦτο καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοφυῆ καὶ ὁμοούσια σὺν ἀλλήλοις εἰσὶν, ὅτι τὸ ἕτερον τυγχάνον αἰτιατὸν ἐκ τοῦ ἑτέρου, λείπεται δὲ τοῦτο τελεῖν αἴτιον, ἔχει τὴν ὕπαρξιν. Τούτου δὲ διομολογηθέντος, οὐ δεῖ κἀντεῦθεν σκοπεῖν ποῖον αὐτῶν ἐκ ποίου μάλιστα τὸ εἶναι πλουτεῖ. Δῆλον καὶ γὰρ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ κατὰ τὰς προεκτεθείσας μαρτυρίας καθέστηκεν. Εἴτε γοῦν οὕτως ἐπὶ τῆς θεαρχικῆς Τριάδος τὸ ὁμοούσιον ἔχει καὶ ὁμοφυὲς, ὡς ὁ σοφὸς καὶ μέγας Βασίλειος τοῖς πιστοῖς τὰ περὶ τούτου διατρανῶν παραδίδωσιν, εἴτε μὴν κἀκείνως φημὶ κατ' ἐπιστήμην τὴν λογικὴν, περὶ οὗ καὶ ἀποχρώντως ἄνωθεν ἡμῖν διηκρίνηται· φανερὸν ὡς οὐ διὰ τὸ τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ὁμοούσιον καὶ ὁμοφυὲς εἴρηται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς τοῦ Μονογενοῦς οὐσίας τε καὶ τῆς

les Patri sunt, quod ex essentia ambo naturaque Patris exsistunt. Hic igitur simili ratione et de Filio et de Spiritu judico. Filius consubstantialis est et connaturalis Spiritui sancto, quod ex natura sua atque essentia Spiritum possidet. Spiritus autem consubstantialis Filio et connaturalis, quod ex essentia illius et natura est. Hoc enim modo vere consubstantiale et connaturale eo erit universalius quod ex essentia et natura est, si tandem repetenda est oratio mihi paululum in hisce immorato; alteri rursus consubstantiali et connaturali, quod ex natura et essentia est uti magis singulare. Et hac ratione reliqua omnia consequentur, quorum supra mentione inducta, singillatim commemoravimus.

16. Sed hæc penitiore indagine ad dialecticæ scientiæ elementa considerentur, secundum traditionem hominum, ut ait Apostolus, et non secundum Christum. Quod si hæc eadem sublimius, ut rebus similibus par est, et principis divinitatis supernaturalis et supersubstantialis Trinitatis pro dignitate, uti vires concedunt, investigaverimus, ratio quæ in eadem est, consubstantialis et connaturalis apud pios nos alia est, et hujusce magister accuratus est in divinis præcelebris magnusque doctrina Basilius, qui de Patre et Filio consubstantiale solum in examen adducto epistola ad canonicas data de hoc verbis non aliis edisserit: *Cum igitur est absque principio lumen Pater, genitum vero lumen Filius, lumen vero et lumen utrumque consubstantiale non incongrue dixerint, ut naturæ eumdem honorem comprobent; neque enim quæ vicissim fratres sunt, consubstantialia dicuntur, quod nonnulli existimarunt, sed cum et causa, et id quod ex causa est, exsistentiam habens ejusdem naturæ est, consubstantialia dicuntur.* Attendistine, o auditor, quomodo consubstantiale, quod unum prorsus idemque est cum connaturali, divinus hic Pater interpretatus est? Hoc et diviniloquus Cyrillus uti secretorum interprete usus, primo libro ad Hermiam inquit: *Si consubstantialis est vere Filius Patri, ex ipso naturaliter et essentialiter est.* Quare secundum hoc ipsum et Filius et Spiritus sanctus connaturalia sibi invicem et consubstantialia sunt, quod alterum cum sit causatum ex alio, nec habet quod causa sit, exsistentiam habet. Hoc concesso non est postmodum inquirendum, quodnam ex ipsis ex quo possideat, habeatque quod sit. Planum enim est Spiritum sanctum ex Filio, ut supra laudata testimonia tradunt, exsistere. Si itaque hoc modo in Deitatis principe Triade consubstantiale connaturaleque se habet, ut sapiens magnusque Basilius fidelibus similia explicans tradit: sive etiam alio modo secundum dialecticas rationes, ut abunde satis supra per nos declaratum est, manifestum est non propter Spiritus cum Filio consubstantiale et connaturale dictum esse Spiritum sanctum ex Unigeniti essentia naturaque,

C

D

Digitized by Google Распознавание текста ABK/FR

sed quod ex essentia et natura Filii Spiritus sanctus est, propterea præcipueque esse connaturale et consubstantiale illi dici. Et hoc de Filio comprobant propriis dictis et divinissimus Basilius et præclarissimus Cyrillus; ex his unus quidem in quadam sua oratione, et quænam sit oratio supra indicavimus, hæc habet : *Neque enim fratres dicimus Patrem et Filium, sed Patrem et Filium confitemur, essentiæ vero idem quandoquidem ex Patre Filius non imperio factus, sed ex essentia genitus.* Sapientissimus vero Cyrillus libro tertio ad Herminm : *Non est quod omnino impediat opinari tenereque, cum nobis ex ipsa Dei et Patris essentia Filius natus est, non alius quidem ab eo reputabitur esse, quantum ad identitatem naturalem.* Et in dictum, *Descendi de cœlo*, apertissime docet : *Ex Patre generatum esse Filium prorsus nos etiam invitos coget, reddere illi consubstantiale.* Considera quicunque dicta hic apposita examinas, ex Patre exsistere Filium secundum essentiam et naturaliter, causam illius, quod nempe ipse illi connaturalis et consubstantialis sit, facere hos sanorum dogmatum præcones : non vice versa consubstantiale et connaturale illius, quod secundum naturam essentialiter ex Patre est. Jam secundum has rationes, cum et Spiritus sanctus ex essentia et natura Unigeniti est, necessario traditur adorando Spiritui idem essentiæ naturæque cum Filio, non illud, nempe ex essentia et natura esse Unigeniti, quod illi sit consubstantialis et connaturalis, ut quidam ex his asserunt. Sed adversariorum sapiens hoc problema multis modis disjectum hoc modo funditus, et uti ex iisdem ipsis quispiam non exspectabat, eversum est.

φύσεως. Διὰ δὲ τὸ ἐκ τῆς οὐσίας τε καὶ τῆς φύσεως εἶναι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Υἱοῦ, διὰ τοῦτο καὶ μάλιστα τυγχάνειν ὁμοφυὲς καὶ ὁμοούσιον αὐτῷ λέγεται. Καὶ τοῦτο παριστάνουσιν ἐπὶ τοῦ Υἱοῦ δ' οἰκείων ῥητῶν ὅ τε Βασίλειος ὁ πολὺς τὰ θεῖα καὶ ὁ κλεινὸς Κύριλλος, ὧν ἀμφοτέρων ὁ μὲν ἕν τινι τῶν λόγων αὐτοῦ, καὶ τὸν λόγον φθάσαντες ἄνω προλελοίπαμεν, οὕτω φησίν· *Οὐ γὰρ ἀδελφὰ λέγομεν τὸν Πατέρα καὶ τὸν Υἱόν, ἀλλὰ Πατέρα καὶ Υἱὸν ὁμολογοῦμεν. Τὸ δὲ τῆς οὐσίας ταυτὸν, ἐπειδὴ ἐκ τοῦ Πατρὸς ὁ Υἱός, οὐ προστάγματι ποιηθείς, ἀλλ' ἐκ τῆς φύσεως γεννηθείς.* Ὦ σοφώτατε Κύριλλε; ἐν μὲν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν· *Τὸ ἀπεῖργον οὖν ἄρα παντελῶς οὐδὲν οἰκεῖόν τε καὶ φρονεῖν ἀληθῶς, ὡς ἐπείπερ ἡμῖν ἐξ αὐτῆς ἀνέφυ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ Υἱός, οὐχ ἕτερος ἂν νοοῖτο παρ' αὐτὸν ὑπάρχειν ἴσον εἰς ταυτότητα φυσικήν·* εἰς δὲ τὸ ῥητὸν, ὅτι *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ*, λέγει τρανότατα· *Τὸ γὰρ ἐκ τοῦ Πατρὸς γεγεννῆσθαι τὸν Υἱὸν ἀναγκάσει δὴ πάντως καὶ σὺχ ἑκόντας ἡμᾶς ἀποδοῦναι τὸ ὁμοούσιον αὐτῷ.* Σκόπει, πᾶς ὁ τῶν ἐνθάδε λεγομένων ἐξεταστὴς, ὅτι τὸ ἐκ Πατρὸς ὑπάρχειν τὸν Υἱὸν κατ' οὐσίαν καὶ φυσικῶς αἴτιον τοῦ ὁμοφυῆ τοῦτον αὐτῷ καὶ ὁμοούσιον εἶναι τιθέασιν οὗτοι τῶν ὀρθῶν δογμάτων οἱ κήρυκες· οὐκ ἀντιστρόφως μέντοι γε τὸ ὁμοούσιον καὶ ὁμοφυὲς τοῦ κατὰ φύσιν καὶ οὐσιωδῶς τυγχάνειν ἐκ Πατρὸς αἴτιον. Κατὰ τούτους δὴ τοὺς λόγους, ἐπεὶ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας ἐστὶ καὶ τῆς φύσεως τοῦ Μονογενοῦς, ἀναγκαίως ἀποδίδοται πάντῃ τῷ προσκυνητῷ Πνεύματι τὸ τῆς πρὸς τὸν Υἱὸν οὐσίας ταυτὸν καὶ τῆς φύσεως, οὐκ ἐκεῖνο δηλαδὴ τὸ ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως εἶναι τῆς τοῦ Μονογενοῦς διὰ τὸ τυγχάνειν ὁμοούσιον τούτῳ καὶ ὁμοφυὲς, ὥς τινες τῶν νῦν λέγουσιν. Ἀλλὰ τὸ μὲν τῶν ἀνθεστηκότων σοφὸν τοῦτο πρόβλημα πολλαχόθεν καταβληθὲν οὕτως ἰσχυρῶς ἀνατέτραπται, καὶ ὡς οὐκ ἄν τις αὐτῶν τούτων οὐδαμῶς ἤλπισεν.

17. Neque jam dicto quod a similis sortis hominibus valide proponitur minoris momenti est. Et quare non Spiritum, inquiunt, sanctum ex hypostasi Unigeniti, verum ex essentia illius et natura, Patres allati omnes asseruerunt? Quibus respondere possumus, primum quidem : Si propterea ab jam hic laudatis, et a Numine inspiratis magnis hominibus non ex hypostasi Filii dictus est Spiritus sanctus, sed ex essentia illius et natura, quod exsistentiam ex Filio non possideat, uti vos astruitis, jam nec magnus Athanasius recipiendus est, nec in illis ullo modo de exsistentia Filii et Spiritus verba facere, in quibus reperitur tradere, Patris essentiam causam esse Filii et Spiritus. Hic enim in disputatione, quam instituit Anomœus adversus orthodoxum, ab eodem concinnata ipsissimis verbis hæc habet : *Non enim non generari Deum essentiarum causa, sed essentia essentiarum causa est.* Essentiam vocat causam, non hypostasim. Essentiam vero paternam cum dicit, non eam absque hypostasi intellexit. Idque manifestum fit ex iis quæ in epistola ex synodo Hierosolymitana

ιζ'. Ἕτερον δὲ παρὰ τοιούτων ἀντικρὺς λογισμῶν κατὰ σθένος οὐ πολὺ τοῦ ῥηθέντος λειπόμενον. Καὶ διὰ τί μὴ τὸ Πνεῦμα, φασὶ, τὸ ἅγιον ἐκ τῆς ὑποστάσεως τοῦ Μονογενοῦς. ἐκ δὲ τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως, οἱ διαληφθέντες Πατέρες εἰρήκεσαν; Πρὸς οὓς ἔστιν εἰπεῖν, πρῶτα μὲν ὡς, εἰ διὰ τοῦτο παρὰ τῶν δηλωθέντων ἐνταυθοῖ θεοπνεύστων μεγάλων ἀνδρῶν οὐκ ἐκ τῆς ὑποστάσεως ἐλέχθη τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ δὲ τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως, διότι μὴ τὴν ὕπαρξιν καὶ ἐξ Υἱοῦ τοῦτο κέκτηται καθ' ὑμᾶς, ὥρα λοιπὸν καὶ τὸν μέγαν Ἀθανάσιον μηκέτι προσδέχεσθαι, μηδ' ἐν ἐκείνοις μηδαμῶς περὶ τῆς ὑπάρξεως τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τὸν λόγον ποιεῖν, ἐν οἷς εὑρίσκεται γράφων τὴν τοῦ Πατρὸς οὐσίαν τελεῖν αἰτίαν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Οὗτος γὰρ κατὰ τὴν πρὸς Ὀρθόδοξον ἐξ Ἀνομοίου τινὸς πονηθεῖσαν αὐτῷ διάλεξιν ῥητῶς ταῦτα διέξεισιν· *Οὐ γὰρ τὸ μὴ γεννᾶσθαι τὸν Θεὸν τῶν οὐσιῶν αἴτιον, ἀλλ' ἡ οὐσία τῶν οὐσιῶν αἰτία.* Τὴν οὐσίαν φησὶν αἰτίαν, οὐ τὴν ὑπόστασιν. Οὐσίαν δὲ τὴν πατρικὴν πάντως εἰπὼν, οὐκ ἀνυπόστατον ταύτην ἐνόησε. Καὶ δῆλον

Digitized by Google Распознавание текста ABK/FR

ἐξ ὧν ἐν τῇ ἀπὸ τῆς συνόδου τῆς εἰς Ἱεροσόλυμα γεγομένης πρὸς τὴν κατ' Ἀλεξάνδρειαν Ἐκκλησίαν ἐπιστολῇ διαλαμβάνων περὶ τῆς ἐκ Πατρὸς ὑπάρξεως τοῦ Υἱοῦ μόνου μετὰ πολλὰ λέγει σαφῶς οὕτως ὁ μέγιστος αὐτὸς Ἀθανάσιος, *καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ.* Κἀνταῦθα γὰρ οὐσίαν πρὸν φάμενος κατὰ τάγος ἐπήγαγε *τοῦ Πατρός.* Σημαίνει δὲ πρὸς ἀλήθειαν τὸ Πατὴρ μίαν τῶν θεαρχικῶν ὑποστάσεων, τὴν μήτε δηλαδὴ κεκτημένην ἑαυτῆς μηδόλως ἀρχὴν, καὶ αἰτίαν τινὰ, καὶ ταύτην αὐτὴν ἀΐδιος ἀρχὴν καὶ αἰτίαν τῶν λοιπῶν δύο τυγχάνουσαν. Μὴ διαδράσῃ δὲ κἀκεῖνο τέλεον τὸν ἀκροατὴν κείμενον ἐν τῷ μεταξὺ τῆς ἐκτεθείσης πρὸν ῥήσεως, ὅτι περ ἡ οὐσία τῶν οὐσιῶν αἰτία. Καὶ γὰρ αἰτίαν ἀποφηνάμενος τὴν οὐσίαν, οὐ τὴν ὑπόστασιν, ὁ σοφὸς οὗτος Πατὴρ, πάλιν τῶν οὐσιῶν, οὐ τῶν ὑποστάσεων εἶπεν, οὐδὲ γοῦν ὅλως τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ὃ δῆτα καὶ τῆς αὐτῆς ἐχόμενον ἐννοίας ἐστὶν, ἐπειδὴ μηδὲ ταύτας ἐνυποστάτους ἐνόησε. Καὶ τούτων ὑποδείγματα λίαν σαφῆ, μὴ δεόμενά τινος ἐξηγήσεως, οὕτως αὐτὸς ὁ τῆς ἀθανασίας ἐπώνυμος καὶ τὰ θεῖα πολὺς ἔν τινι τῶν αὐτοῦ λόγων περὶ τοῦ Μονογενοῦς οὕτω διέξεισιν· *Οὐκ ἂν εἴη ὁ αὐτὸς Υἱὸς καὶ κτίσμα, ἵνα μὴ καὶ ἐκ τοῦ Θεοῦ, καὶ ἔξωθεν τοῦ Θεοῦ ἡ οὐσία αὐτοῦ νομίζηται.* Τὸν Υἱὸν ἀρτίως αὐτὸν ποιούμενος ὁ μέγας σκοπὸν, τὴν οὐσίαν αὐτοῦ φαίνεται λέγων, οὐ τὴν ὑπόστασιν. Περὶ δέ γε τοῦ προσκυνητοῦ Πνεύματος ὁ Θεῖος Βασίλειος ἐν τῷ ὀκτωκαιδεκάτῳ τῶν πρὸς τὸν Ἱερὸν Ἀμφιλόχιον κεφαλαίων εἰπὼν, ὅτι *Προῆλθεν ἐκ τοῦ Θεοῦ οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ,* τὴν τοιαύτην δὲ χρῆσιν προφθάσαντες πολλάκις εἰρήκαμεν, τούτοις παρευθὺς ἐπιφέρων φησίν· *Οὔτε πνοὴ λυομένη τὸ Πνεῦμα, ἀλλὰ καὶ στόμα θεοπρεπῶς, καὶ τὸ Πνεῦμα οὐσία ζωῆς ἁγιασμοῦ κυρία.* Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ μὴ λυομένην πνοὴν οὗτος ὁ τῶν ὀρθῶν δογμάτων διδάσκαλος μυσταγωγήσας ἡμᾶς, ἐξ ὧν κατὰ τὸ σιωπώμενον ὑφεστηκέναι καθ' ἑαυτὸ, τοῦτο γὰρ λείπεται μόνον, προφανῶς παραδέδωκεν. Ὅμως δ' οὖν καὶ οὕτως οὐσίαν ἁπλῶς, οὐχ ὑπόστασιν, νῦν ἀνεκήρυξεν. Εἶδες, ὁ πρὸς τὴν ἀντίπαλον ἡμῖν μοῖραν ἀποκριθεὶς, τὴν οὐσίαν πανταχοῦ λεγομένην, οὐ τὴν ὑπόστασιν; Εἰ βούλει, καὶ λοιπὰς ῥήσεις ἐκθήσω σοι τὸ τῆς οὐσίας ὄνομα κεκτημένας σαφῶς, δι' ὧν περ αὐταὶ δηλοῦνται κατ' ἀλήθειαν αἱ ὑποστάσεις, ὧν ἐκεῖναι καὶ λέγονται. Καὶ δὴ, χρήσασθαι γὰρ ἐνθάδε συντομίᾳ χρεών, θέα μοι παρακολουθῶν καὶ ταύτας ὡς ἔχουσιν. Ὁ μὲν μέγας Βασίλειος ἐν τῷ δευτέρῳ τῶν κατ' Εὐνομίου, *Ἕως δ' ἂν σιωπῶσι,* φησὶ, *μὴ λαθητέτωσαν δευτέραν αἰώνων τὴν τοῦ Μονογενοῦς οὐσίαν τιθέμενοι,* τὴν οὐσίαν τοῦ Μονογενοῦς λέγων, οὐδὲν τῶν πάντων ἕτερον ἀτεχνῶς, εἰ τὸ εἶναι τοῦ Μονογενοῦς διὰ τούτου δηλοῖ, τουτέστι τὴν ὕπαρξιν· ὁ δὲ τὴν θεολογίαν ὑψηλὸς Γρηγόριος ὁ καὶ πολὺς ἐν τῷ περὶ Βαπτίσματος λόγῳ ῥητῶς οὕτω διέξεισιν· *Φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ Θεὸς ὁ μὴ πάσχων; ἐγὼ φοβοῦμαι τὴν κτίσιν,*

A ad Alexandrinam Ecclesiam, pertractans de Filii solius ex Patre exsistentia, post multa alia perspicue aperteque magnus hic Athanasius docet, *essentiam Patris principium, originem, et fontem Filii esse.* Namque hic quoque essentiam dicens statim subjunxit *Patris. Pater* porro dictio unam ex Deitatis principibus hypostasibus notat, quæ nempe nullum prorsus sui principium sive causam possidet, eaque ipsa ab æterno principium et causa reliquarum duarum est. Ne vero quod interjam allati dicti dictiones interjectum est, auditorem fugiat, essentiam nempe esse essentiarum causam : namque causam decernens esse essentiam, non hypostasim sapiens hic Pater, rursus essentiarum non hypostaseon dixit, neque itaque prorsus Filii et Spiri-
B tus, quod plane non aliam sententiam infert, cum neque ipsas absque hypostasi intellexit. Et horum in promptu sunt exempla clara adeo ut nulla indigeant interpretatione. Hic idem, cui nomen est ab immortalitate, et in rebus divinis exponendis præcellens in sua oratione de Unigenito hæc habet : *Nunquam idem fuerit Filius et creatura, ne ex Deo, et extra Deum essentia illius intelligatur.* Cum sibi Filium non multo ante proposuisset magnus, essentiam illius, non hypostasim nominat. De adorando vero Spiritu divinus Basilius in decimo octavo capite ad sanctum Amphilochium, cum antea dixisset : *Progressus est ex Deo non generationis modo uti Filius, sed ut Spiritus oris ejus,*
C quod nos dictum sæpius ante inculcavimus, illis statim adnectit : *Omnino vero neque os membrum est, neque flatus qui dissolvatur Spiritus, sed et os, ut Deo convenit, et Spiritus essentia vitæ, sanctificationis domina :* Spiritum qui ex Deo est, non flatum qui dissolvatur hic rectorum dogmatum magister nos edocens esse, quibus licet non exprimatur, per se ipsum subsistere, hoc enim tantummodo deest, palam tradidit. Hic nihilominus essentiam simpliciter, non hypostasim nunc publicavit. Videsne, qui adversas nobis partes tutari præsumis, essentiam locis in omnibus dictam, non vero hypostasim? Et si placet, alia quoque dicta apponam, in quibus essentiæ nomen non obscure continetur, et verissime hypostases ipsæ indicantur
D eorum, de quibus prædicantur. Et jam, namque hic brevitati studendum, attente me præeuntem sequens, apponenda, uti se habeant, considera. Magnus Basilius secundo adversus Eunomium libro, *Donec taceant,* ait, *ne fugiat vos eos secundum post sæcula essentiam Unigeniti facientes.* Essentiam Unigeniti asserens, nihil plane aliud quam esse Unigeniti, exsistentiam scilicet, innuit. In rebus theologicis pertractandis sublimis ac vehemens Gregorius oratione de baptismate his ipsissimis verbis rem peragit : *Times tu generationem, ne quid Deus patiatur, qui pati aptus non est? timeo ipse creaturam, ne injuriam atque injustam sectionem inferendo, Deum perdam, aut Filium a Patre succidens, aut a Filio essentiam Spiritus.* Hic essentiam Spi-

Digitized by Google Распознавание текста АВК/FR

ritus Gregorius dicens nil aliud, sed Spiritum proportione significavit; et hujusce indicium est, quod paulo ante in eadem pericope insinuavit, ubi de Filio sermonem habens Filium non illius essentiam pronuntiavit. Hac ratione firmamenti Ecclesiæ lucidissima ac splendidissima lumina, quæ divinis suis verbis ac sententiis extrema mundi illustrarunt, in hisce omnibus prorsus indivisam essentiam ab hypostasi intellexerunt. Quemadmodum igitur hic ex iis, quos commemoravimus, nemo essentiam absque hypostasi exeepit, pari modo et in supra addictis testimoniis Patrum, in quibus ex essentia et natura Filii Spiritum sanctum esse tradebatur, qui per propria dicta hoc palam inculcabant, nemo ullus fuit, qui essentiam et naturam ab hypostasi sejungeret. Sed omnes ibi essentiam et naturam dicentes Unigeniti, integrum ipsum concipiebant, essentiam nempe et naturam in hypostasi. Indeque vere profitebantur etiam ex ipso Spiritum sanctum exsistentiam possidere, nullum agnoscentes discrimen, neque mente prorsus concipientes distinctionem aliquam, inter illud *ex essentia et natura esse*, et illud, *esse ex hypostasi*, cum nulla propemodum sit, neque esse possit.

A *ἵνα μὴ Θεὸν ἀπολέσω διὰ τῆς ὕδρεως καὶ τῆς ἐθίκου κατατομῆς, ἢ τὸν Υἱὸν τέμνων ἀπὸ τοῦ Πατρὸς, ἢ ἀπὸ τοῦ Υἱοῦ τὴν οὐσίαν τοῦ Πνεύματος.* Ἐνταῦθα τὴν τοῦ Πνεύματος οὐσίαν εἰπὼν ὁ Γρηγόριος, οὐκ ἄλλο τι, τὸ δὲ Πνεῦμα κατ' ἀναλογίαν ἐσήμανε. Καὶ τούτου μαρτύριον ὀλίγον ἄνωθεν ἐν τῇ τοιαύτῃ περικοπῇ προφθάσας αὐτὸς, ἔνθα περὶ τοῦ Υἱοῦ διελάμβανε, τὸν Υἱὸν, οὐ τὴν οὐσίαν αὐτοῦ διηγόρευσεν. Οὕτως οἱ τοῦ στερεώματος τῆς Ἐκκλησίας περίλαμπροι φωστῆρες οὗτοι καὶ διαυγεῖς, οἱ καταλάμψαντες τοῦ κόσμου τὰ πέρατα τοῖς θείοις ῥήμασιν ἑαυτῶν καὶ νοήμασιν, ἐν πᾶσι δὴ τούτοις ἀδιαίρετον ἁπαξαπλῶς νενοήκασι τὴν οὐσίαν τῆς ὑποστάσεως. Ὥσπερ τοιγαροῦν ἐνθάδε τῶν νῦν διαληφθέντων οὐδεὶς τὴν οὐσίαν ἐξελάβετο δίχα τῆς B ὑποστάσεως, παραπλησίως κἀν τοῖς ἄνωθεν λόγοις, ἔνθαπερ ἐκ τῆς οὐσίας καὶ τῆς φύσεως τυγχάνειν ἐλέγετο τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Υἱοῦ, τῶν Πατέρων, οἳ δι' οἰκείων χρήσεων τοῦτο τρανῶς ἀνεκήρυττον, οὐδεὶς τὴν οὐσίαν ἀπεμέριζε, καὶ τὴν φύσιν τῆς ὑποστάσεως. Τὴν οὐσίαν δὲ πάντες ἐκεῖ καὶ τὴν φύσιν λέγοντες τοῦ Μονογενοῦς, ὅλον αὐτὸν ἐνόουν, οὐσίαν δηλαδὴ καὶ φύσιν ἐνυπόστατον. Κἀντεῦθεν ἀληθῶς ἐπρέσβευον καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον κεκτῆσθαι τὴν ὕπαρξιν, μηδεμίαν διαφορὰν εἰδότες, μηδ' ἐν νῷ λογιζόμενοι τὸ παράπαν διαστολὴν τοῦ ἐκ *τῆς οὐσίας καὶ τῆς φύσεως εἶναι* τοῦ Υἱοῦ, τοῦτο καὶ τοῦ *ἐκ τῆς ὑποστάσεως*, ὅτι μηδ' ἔστι, μηδὲ πέφυκεν.

18. Sed age nunc, quicunque tandem fueris, qui hisce contradicere studes, uti subtilis theologus subtiliora atque minutiora investigato, ut ex tuis propriis discrimen, si fas est, comminiscaris, et inde postmodum splendide in ipsius Spiritus sancti offensionem incidas, tanquam qui male in eo differentiam exsistentiæ introducis; cum ille non solum ex natura et essentia Unigeniti a venerandis Patribus esse dicatur, multoque fusius postmodum apertissime per hos eosdem demonstrabimus etiam ex Unigenito, qui omnino hypostasis est. Et plane qui discrimen exsistentiæ in Spiritu sancto introducit ipsius offensionem incurrere omnes norunt, qui aliquo dignotionis spiritu non destituuntur, et mens eorum modis omnibus non obcæcatur. Quis ex his, aliter ex essentia et natura Unigeniti, aliter item ex hypostasi esse Spiritum sanctum audiens, non statim, quæ inde oritur, D blasphemiam, quam diversæ istæ ambæ exsistentiæ progenerant, intellexerit? Sed hæc nec mente quidem concipere, tantum abest, ut de illis verba facere bonum sit, tanquam quæ, ut mea opinio fert, non parvum sed ingentem lapsum vel mente concipienti conciliant. Operæ pretium porro fuerit, dum sese opponentium opinionem pro viribus retundimus, solam veram causam exponere, ob quam ex essentia et natura Filii Spiritum sanctum, non vero ex hypostasi Patres decreverunt. Dicimus itaque catholicæ Ecclesiæ mystagogos, et vere infallibiles et præclaros hosce præcones non omnia sanæ fidei proprio motu nobis tradidisse, sed majorem eorum partem cum pietatis hostibus con-

ιη'. Εἰ δ' ἄγε νῦν, ὁ πρὸς ταῦτα πρυθυμούμενος; ἀντιτείνειν, οἷός περ ἄρα καὶ ἦς, λεπτούργησον ὡς C λεπτὸς θεολόγος ἐφευρὼν ἐνταῦθα διαφορὰν οἰκοθεν, ἵνα καὶ πρὸς αὐτὸ προσκρούσῃς τὸ ἅγιον Πνεῦμα περιφανῶς, καθάπερ κακῶς ἐν τούτῳ διαφορὰν εἰσάγων ὑπάρξεως· ἐπειδὴ μὴ μόνον ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας πρὸς τῶν σεπτῶν Πατέρων λέγεσι τυγχάνειν τῆς τοῦ Μονογενοῦς, πολλῷ δὲ πλέον ὡς ἐναργῶς διὰ τούτων δείξομεν ἐν ὑστέροις κἀκ τοῦ Μονογενοῦς, ὃς ἐστι πάντως ὑπόστασις. Καὶ μὴν ὅτι τὸ διαφορὰν ὑπάρξεως ἐπὶ τοῦ ἁγίου Πνεύματος εἰσάγειν εἰς αὐτὸ προσκρούειν ἐστὶ πάντες ἴσασιν, ὅσοις οἰκουρεῖ Πνεῦμά τι διαγνώσεως, καὶ μὴ τυφλώττει τέλεον αὐτοῖς ἡ διάνοια. Τίς τῶν τοιούτων, καὶ γὰρ ἄλλως μὲν ἐκ τῆς οὐσίας καὶ φύσεως τοῦ Μονογενοῦς, ἄλλως δ' αὖ ἐκ τῆς ὑποστάσεως ὑπάρχειν ἀκηκοὼς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ οἶδε συνιεὶς τὸ πρὸς τοῦτο δύσφημον παρευθὺς, ὅσον ἐξ αὐτῶν τῶν διαφόρων ἀμφοῖν ὑπάρξεων; Ἀλλὰ τὰ περὶ τούτου μὲν οὐδὲ διανοεῖσθαι, μὴ ὅτι γε ποσῶς λέγειν καλὸν, ἅτε καὶ αὐτῷ τῷ διανοουμένῳ, φημὶ, φέροντα μὴ μικρὸν, μέγαν δ' ὅλισθον. Πρέποι δ' ἂν τοσοῦτον τὴν διάνοιαν τῶν ἡμῖν ἀντικαθισταμένων, ὡς ἐγχωροῦν, διελέγξαντας τὴν μόνην ἀληθινὴν αἰτίαν εἰπεῖν, ὅτου δὴ χάριν ἐκ τῆς φύσεως καὶ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον οἱ Πατέρες ἐθεολόγησαν, οὐ μὴν ἐκ τῆς ὑποστάσεως. Φαμὲν τοίνυν ὡς οἱ τῆς καθολικῆς Ἐκκλησίας μυσταγωγοὶ, καὶ τῆς εὐσεβείας ἀσφαλεῖς ὄντως καὶ σαφεῖς οὗτοι κήρυκες, οὐ πάντα τὰ τῆς ὑγιοῦς πίστεως ἡμῖν ἐξέδωκαν κινηθέντες ἀφ' ἑαυτῶν, ἀντικρυς δὲ τὰ πλείω μαχόμενοι πρὸς τοὺς ἀντιδικοῦντας αὐτοῖς ἐδογμάτισαν·

Digitized by Google Распознавание текста ABK/FR

ἐπειδήπερ κατὰ τοὺς αὐτῶν ἐκείνων καιροὺς ἅπαντα παρεισεφθάρη τὰ τῶν αἱρέσεων, ὅλην, ὡς εἰπεῖν, τηνικαῦτα κενώσαντες κατὰ τῆς ἀληθείας τοῦ ἐχθροῦ τὴν φαρέτραν αὐτοῦ, καὶ κακίας μηδὲν εἶδος ἡμῖν ὑπολιπομένου τοῖς μεθύστερον ἀφορῶν πρὸς δυσσέβειαν, ἅτε πρὸς ἀνταγωνιστὰς ἔχοντος ἰσχυροὺς καὶ πεφραγμένους ἀεὶ τοῖς ὅπλοις τῆς πίστεως. Οἵ γε δὴ καὶ μάλιστα διὰ ταῦτα βρεφῶν τρώσεις λογισάμενοι τὰς τούτου βολάς, τέλεον καθεῖλον αὐτόν, τὰς μεθοδείας τῶν αἱρέσεων πασῶν ἀνατρέψαντες, ὡς ἐξεῖναι καὶ τοῖς μεταγενεστέροις ἡμῖν ἀπροσκόπτως τῶν ὀρθῶν δογμάτων ἀντέχεσθαι. Καί μοι δοκεῖ τῷ κηδεμόνι τουτὶ τῶν ἡμετέρων καλῶς οἰκονομηθῆναι ψυχῶν, τό τε τῆς γνώσεως ἀσθενὲς καὶ τὴν περὶ τὰ χρηστὰ ῥᾳστώνην ἡμῶν προγινώσκοντι. Καὶ γὰρ εἴ τις αἵρεσις, ἀπέστω δὲ τοῦτο, ποθὲν ἀνεφύη πρὸς τὸ παρὸν, τί ποτ' ἂν ἐνεδειξάμεθα γενναῖον καὶ πεπαιδευμένων φρενῶν ἄξιον; ὅπως δὲ συστάντες διεμαχεσάμεθα πρὸς αὐτὴν, οὕτως ἀμαθῶς; παρατάξεων λογικῶν ἔχοντες; Καὶ πόθεν ἐθηρεύσαμεν τὸ κεκρυμμένον ἀνιχνεύσαντες ἐν τῷ βάθει τοῦ ζητήματος ἀληθὲς, ὁπότε τὸ ἀσφαλὲς τῶν κειμένων ἡμῖν δογμάτων δι' ἀμέλειαν, οὐδοπωσοῦν ἐπιστάμεθα; καθὼς τὴν πρὸς ταῦτα πολλὴν ἀπορίαν ἡμῶν οὗτος ὁ καιρὸς ἀπελέγξας τὰ νῦν ἔδειξεν, ἡνίκα μηδενὸς λαληθέντος καινοῦ παντάπασι τὸ φρονεῖν ἐσαλεύθημεν. Καὶ δέον ἀκούσαντας τῶν λεγομένων μηδαμῶς ταραχθῆναι τὸν νοῦν, γινώσκοντας ἀπὸ τῶν θείων Γραφῶν τὴν τῆς ἀληθείας ἀνάπτυξιν, ἡμεῖς τοσοῦτον κατεσχέθημεν ὑπὸ ζάλης, ὑφ' ἧς καὶ διέστημεν εἰς δόξας ἀδεῶς ἐμπεπτωκότες πολλὰς, ὥστε καὶ βάλλομεν ἀλλήλους, φεῦ τῆς ἀναισθησίας! ὡς ἂν ἐν σκοτομήνῃ τινὶ, καὶ ὑπ' ἀλλήλων βαλλόμεθα, μήτε τὸ τοῦ δόγματος ἀκριβὲς εἰδότες ἐξ ἀναγνώσεως αὐτῶν τῶν θείων Γραφῶν, καὶ τῶν ἐν ταύταις ἱερῶν λογίων, εἴ τίς που προφέρει, μηδοτιοῦν ἐπαΐοντες, ὡς δικαίως κληρώσασθαι καὶ τὸ ῥηθὲν παρά του τῶν θύραθεν ποιητῶν, τὸ πρὸς τὴν ἀλήθειαν ἀχρεῖοι δηλαδὴ καὶ εἶναι καὶ ὀνομάζεσθαι. Τοιοῦτον τὸ ἡμέτερον νῦν ἐκ διαμέτρου τοῖς ἐκπαλαι. Καὶ οὐκ ἀγνοῶ τὸ προσίστασθαι τούτοις δοκοῦν, ὅπερ ὅν τις τυχὸν εἰς τὸ μέσον προτείνειεν, ὡς ὁ τοὺς κατὰ τὸν καιρὸν ἐκεῖνον δύναμιν περιζώσας, καὶ τὰ πρὸς εὐσέβειαν καθοπλίσας Θεὸς, εἴπερ ἦν χρεία καὶ κατὰ τὸ παρὸν τοιούτων ἀνδρῶν μεγάλων, ὁ αὐτὸς πάντως ἂν πάλιν ἀνέδειξεν. Πλὴν οἶδα σαφῶς καὶ ὅτι βούλεται προηγεῖσθαι σώφρονα βίον, οἷς μέλλει τὴν ἑαυτοῦ χάριν ἐπιδαψιλεύσασθαι, καὶ σεμνόν. Τούτου δὲ κἂν οἱ καὶ τὸ πέρας ἐξ αὐτοῦ τοῖς μετιοῦσι βραδύνηται, τέως δ' οὖν τό γε κατάρξασθαι προθύμως τῆς προαιρέσεως, ἣν ἐκεῖνοι κτησάμενοι, μᾶλλον δὲ πεπλουτηκότες κατὰ Θεὸν, ἐπὶ τόσον ἀρετῆς ἦκον τὴν πρόθεσιν αὐτοῦ τελειώσαντος, ὡς καὶ λύχνοι λοιπὸν χρηματίσαι περιφανεῖς, λόγον ζωῆς ἅπασι τοῖς ἄλλοις ἐπέχοντες· οὗ χάριν καὶ τῆς ἄνωθεν σοφίας αὐτοὺς ὁ μόνος σοφὸς κατὰ φύσιν ἐνέπλησε, δι' ἧς τοῦ δολίου καὶ ἀρχεκάκου δράκοντος καταβαλόντες τὰ πανουργεύματα καὶ τὰς μηχανὰς, λέγω τὰς παντοδαπὰς αἱρέσεις, ἃς ἐξεῦρε

A tendentes decrevisse, quandoquidem eorum ævo hæreses omnes obrepserunt, cum universam, ut ita dicam, eo tempore adversus veritatem pharetram dæmon exhausisset, adeo ut ille nullum malitiæ genus nobis postmodum futuris reliquum fecerit ad impietatem, dum cum robustis et semper armis fidei instructis adversariis decertaret, qui vel eo maxime puerorum vulnera illius ictus reputantes, funditus eum oppresserunt, fraudibus et artibus universarum hærseon eversis, ut jam nobis eorum posteris liceat, absque ullo impedimento atque incommodo rectis dogmatibus tenaciter adhærescere. Et mihi videtur hoc recte probeque a nostrorum animorum curatore nostræ cognitionis imbecillitatem, et circa bona segnitiem prævidente, bene admodum B ordinatum atque instructum fuisse, ut si quæ hæresis, quod absit, aliunde hoc temporis exoriretur, suppeteret generosum quidpiam et eruditis mentibus dignum, quo confirmati constitutique eam oppugnaremus, qui rerum dialecticarum apparatu instructi minime sumus. Et undenam veritatem occultatam in profundo quæstionis investigantes explicaturi essemus, qui traditorum nobis dogmatum securitatem ob negligentiam nullo modo cognoscimus, uti ingentem nostram ad similia insciti am hoc tempus coarguens demonstravit, dum novum non sit, quod in sermone hominum fertur, et nos de mente decidimus, et cum opus esset statutis obsequentes, et cognoscentes ex divinis litteris veritatis expositionem, a mente non dimoveri, nos tantumdem opprimimur fluctuatione, qua C scindimur et in multas opiniones audacter et licenter incidimus, ut nosmet mutuo percutiamus (heu stuporem!) veluti in profunda caligine, et vicissim percutiamur, neque exquisitam dogmatis rationem tenentes, quæ nobis ex lectione divinarum Scripturarum, et ex illis quæ inibi sunt eloquia, suggeritur, et si quis in medium aliquid profert, ad illum audiendum animos non erigimus, ut merito de nobis dici possit, quod á poeta extra Christi scholam pronuntiatum est, ad veritatem agnoscendam ineptos nos scilicet esse et nuncupari? Sic noster hic et antiquus status et conditio, perpendiculo, ut aiunt, inter se distant. Nec me latet, quod ipsos D obfirmare videtur, et quod nonnemo in medium forte produxerit, eumdem nempe ipsum, qui eo tempore illos fortitudine circumcinxit, et ad pietatem armavit Deum, si in præsenti etiam necessitas urgeret, et similibus magnis hominibus opus esset omnino iterum commonstraturum. Attamen plane ipse novi, vitam prudentem, et a vitiis vacuam præire necesse esse in illis, quibus, ejus gratia affluenter concedenda est. Hujus autem finis licet exercentibus dedatur, nihilominus prompto animo propositi aggressionem, cum illi Numine etiam opem ferente abunde possedissent, in tantum virtutis pervenere, consilium providens absolventes, ut et lucernæ in posterum præclarissimæ exstiterint, vitæ rationem aliis omnibus exhibentes, pro-

Digitized by Google Распознавание текста ABK/FR

ptercaque eos superna sapientia solus natura sua sapiens replevit, qua dolosi et maleficiorum principis et architecti draconis astutias et machinas, omnis generis hæreses, inquam, contra fidem excogitatas, amoliti, rectæ fidei dogmata corroborarunt, Deo omnipotente tum serpentem pravum, ut videtur, disponente, ut omnium hæresum venena evomeret, cum cognosceret adesse, qui de eo triumphum agerent, et a noxa suis sermonibus æque atque remediis in præcautione usu pandis liberarent. Aliter etiam tum temporis universa hostis vesania dedecore infamanda erat, ut ab initio ratio pietatem proponens stabilitatem ac firmitatem consequeretur. Propter hæc omnia mutua defensione constipati, licet minime infracta, universa hæreticorum cohors in recte de pietate sentientes impetum fecit, adversus quos veritatis validi commilitones adversis conatibus, blasphemantes licenter contra Deum, potiora sanorum dogmatum, ut antea dictum est, inculpatæ nostræ fidei decreverunt.

A κατὰ τῆς πίστεως, τὴν ὀρθοδοξίαν ἐκράτυναν, τοῦ παντοδυνάμου Θεοῦ τηνικαῦτα τὸν σκολιὸν, ὡς ἔοικεν, ὄφιν οἰκονομήσαντος τὸν ἰὸν τῶν αἱρέσεων ἐξεμέσαι πασῶν, ἵνίκα τοὺς θριαμβεύσαντας τοῦτον ἐγίνωσκεν εἶναι, καὶ τῆς ἐξ αὐτοῦ βλάβης ἡμᾶς ἀπαλλάξαντας οἷα προφυλακτικοῖς φαρμάκοις τοῖς ῥήμασι. Καὶ ἄλλως δὲ κατ' ἐκεῖνο καιροῦ στηλιτευθῆναι τοῦ ἐχθροῦ τὴν ἅπασαν μανίαν ἐχρῆν, ὅπως ἂν ἀρχῆθεν ὁ τὴν εὐσέβειαν συνιστῶν λόγος τὸ βέβαιον ἔχῃ καὶ πάγιον. Διὰ ταῦτα δὴ πάντα συνασπισμὸς τῷ τότε γενόμενοι, κἂν οὐκ ἀῤῥαγὴς, ὅμη τῶν αἱρετικῶν ἡ φάλαγξ κατὰ τῶν ὀρθῶς πρεσβευόντων ἐξώρμησε. Πρὸς οὓς οἱ τῆς ἀληθείας εὐσθενεῖς ὁπλῖται διαφερόμενοι βλασφημοῦντας εἰς τὸν Ὕψιστον ἀδεῶς, τὰ πλείστα τῶν ἡμῶν δογμάτων, ὡς B προείρηται, τῆς ἀμωμήτου πίστεως ἡμῶν τεθεολογήκασιν.

θεατὰς αἰσχυνόμενοι τὸ παράπαν, ἐφ' οἷς ἐγκαλίπτεσθαι τούτους ἐχρῆν, καὶ μᾶλλον ἐνώπιον αὐτῶν ἀνερυθριάστως ὡς τὰ πολλὰ νεανιευόμενοι. Διὰ ταῦτα γοῦν φήσαιεν ἂν ἴσως οἱ τὴν ἀντίθεσιν καθάπαξ εἰκῇ καὶ μάτην ὠδίνοντες πρὸς ἡμᾶς, Τί δὲ περὶ τῆς ῥήσεως εἴποις ἂν Γρηγορίου τοῦ πατρὸς τῆς Νύσσης ἀρχιερατικῶς προεδρεύσαντος, ἥτις εὕρηται τὴν ἐκ πρόθεσιν ἐν μὲν βίβλοις τισὶν ἔχουσα κἀπὶ τοῦ Υἱοῦ, ταῖς δὲ πλείοσιν ἐπὶ τούτου, καθὼς οἶδας εἰς ἀκρίβειαν καὶ αὐτὸς, οὔμενουν; Ἐκ ποίας προφανοῦς ἀκολουθίας τῷ Υἱῷ προσαρμόσοις αὐτήν; ὅθεν τε παραστήσεις προσήκουσαν τῷ λόγῳ κατὰ τὴν σύμφρασιν; Τὸ μὲν γὰρ *καὶ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται*, ἐχόμενοι περὶ τοῦ ἁγίου Πνεύματος κατὰ τὰς ἐχούσας οὐτωσὶ βίβλους ἡμεῖς, τοῦτο σάφῶς ἐκ τῆς ἐπαγομένης ἀποστολικῆς μαρτυρίας πιστούμεθα κεῖσθαι καλῶς, φέρειν τε τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον. Ἐπείπερ αὐτὸς ἐπήνεγκε προσεχῶς, ὁ μέγιστος δηλονότι Γρηγόριος· *Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει*, φησὶν, *οὗτος οὐκ ἔστιν αὐτοῦ.* Τὸ δὲ, *καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται*, κατὰ τὰς λοιπὰς βίβλους προσιέμενος σὺ, τὸ τοιοῦτον οὐδενὶ λόγῳ ποσῶς δυνήσῃ τοῖς ἐξῆς ἀποδεῖξαι συμβιβαζόμενον, εἰ μὴ καὶ πᾶς μάλιστα νουνεχὴς ἐκ τούτων αὐτῶν ἀνατρεπόμενον ἂν εἴποι καὶ ἀναιρούμενον. Τοιαῦτα μὲν τὰ παρὰ τῶν ἀντιδιατιθεμένων ἡμῖν, ὅσον ἐξ ὧν πολλάκις εἰκάσαμεν, εἰκάσαι νῦν ἔπεισιν. Ἐγὼ δέ φημι πρῶτον μὲν ὡς οὐχ ὅπως τὸ, *καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται*, ῥητὸν οὐκ ἀνατρεπόμενον ἐκ τῶν ἐξῆς, οὐδ' ἀναιρούμενον ἔστιν εἰπεῖν, ἀλλ' ἐκ τούτων καὶ πολλῷ πλέον, φαίη τις ἂν τῶν βαθύτητα καταλαμβάνειν νοήματος ἐπισταμένων, κατασκευάζομενον αὐτὸ καὶ ἀποδεικνύμενον. Ὅτι γὰρ ὁ Ἀπόστολος τὸ Πνεῦμα τὸ ἅγιον μεγαλοφώνως ἐκήρυξε Πνεῦμα Χριστοῦ, διὰ τοῦτο Γρηγόριος ὁ διαλάμψας ἐν δόγμασιν *ἐκ τοῦ Υἱοῦ* τοῦτο τρανῶς εἴρηκεν. Ἐπειδὴ τὸ πνεῦμά τινος πάντως ἐξ αὐτοῦ πέφυκε· καὶ τούτου κομιδῇ διδάσκαλος ἀκριβὴς ὁ μέγας καὶ πολὺς τὰ θεῖα Βασίλειος, ὃς ἔν τινι τῶν πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον κεφαλαίων εἰπὼν περὶ τοῦ ἁγίου Πνεύματος ὡς ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ τὸν Ἀπόστολον τὸν τῆς Ἐκκλησίας ῥήτορα παραγαγὼν μάρτυρα, « *Τὸ Πνεῦμα*, λέγοντα, *τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν*, » τούτῳ πρὸς σύστασιν χρῆται καὶ τοῦ *δι' Υἱοῦ τυγχάνειν αὐτό*, σοφώτατα κατὰ ῥῆμα διαλαβὼν ταῦτα καὶ φάμενος, *καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ.* Πάντως οὐδεὶς ἐξηγήσεως χρῄζει τινὸς ἐν τῷ παρόντι ῥητῷ· δῆλη γὰρ πᾶσι καὶ φανερὰ καθέστηκεν ἡ τούτου διάνοια. Ταύτῃ, δοκῶ, καὶ Κύριλλος ὁ τῶν ὀρθῶν δογμάτων ἀκριβέστατος φύλαξ καὶ μυσταγωγὸς ἐξακολουθήσας, ὡσὰν τοῦ θεηγόρου Πατρὸς Βασιλείου κατ' ἴχνια βαίνων παναληθῶς, ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ τὸν ἐπιστήθιον Ἰωάννην, καὶ Χριστοῦ φίλον γνήσιον εὐαγγελικοῦ καὶ θείου ῥητοῦ τοῦ λέγοντος· *Ὅταν οὖν ἔλθῃ ὁ Παράκλητος*, οὕτως

[57.58] Rom. VIII, 9. [59] I Cor. II, 12. [60] Joan XV, 26.

Digitized by Google Распознавание текста ABK/FR

ἔφησεν· *Ἰδοὺ γὰρ, ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ τὸν Παράκλητον εἰπών, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι φησιν. Ὥσπερ γάρ ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊόν, οὕτω καὶ τοῦ Πατρός.* Ὅτι γὰρ εἶπεν ὁ Χριστὸς τὸν Παράκλητον Πνεῦμα τῆς ἀληθείας εἰρηκὼς οὗτος καὶ προσθεὶς, τουτέστιν ἑαυτοῦ, κατ' ἐκεῖνον, *Ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊόν* ἐφηρμήνευσε, τὸν τοῦ θείου Πατρὸς Βασιλείου σαφῶς δηλώσας σκοπὸν δι' ἑτέρας τὸ αὐτὸ σημαινούσης ἱερᾶς χρήσεως. Τοῦτον δὴ τὸν τρόπον καὶ Γρηγόριος ὁ πάνυ περὶ τοῦ Πνεύματος τοῦ παναγίου, *καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται* μετὰ πολλῆς παῤῥησίας εἰπών, ἐπήγαγε παρευθὺς, «*Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησὶν, οὗτος οὐκ ἔστιν αὐτοῦ,*» τὴν μαρτυρίαν τοῦ Χριστοκήρυκος Παύλου κατὰ τὸν πολὺν καὶ μέγαν Βασίλειον, καὶ ἑτέραν ἀπολεξάμενος. Ἐνταῦθα φανερὸν ὅτι μερικῶς συναποδέδεικται τούτοις μηδὲ τὴν ἐκ διαφέρειν, καὶ τὴν *διὰ* τοῖς ἐπὶ τῆς θεολογίας ὀρθῶς καὶ πρὸς ἀσφάλειαν τῶν ἱερῶν δογμάτων αὐτὰς ἐκλαμβάνουσιν. Ἐπείπερ ἐν οἷς ἐκεῖνοι καλῶς παρέλαβον τὴν *διὰ*, τέθεικεν ὁ θεῖος Γρηγόριος οὗτος τὴν *ἐκ* πρόθεσιν. Καὶ ταῦτα μὲν ἐν πρώτοις καθὼς ἀρξάμενος τῆς παρούσης ἀντιθέσεως διαλαβεῖν ἔφθην, φημὶ περιτρέπων ἰσχυρῶς τοὺς ἐναντίους ἐξ ὧν εἰς οἰκείαν αὐτοὶ προύβάλοντο δῆθεν βοήθειαν.

et per ipsum progrediens, ita et Patris. Quia enim Christus dixerat, Paracletum Spiritum veritatis nuncupans, is addens, hoc est *suimetipsius*, ut ille, *proprium Filii Spiritum naturaliter in ipso existentem, et per illum progredientem* interpretatus est, divini Patris Basilii aperte scopum indicans, alio id ipsum insinuantis sacro dicto. Pari ratione et magnus Gregorius de sanctissimo Spiritu, *et ex Filio esse astruitur*, cum confidenter admodum pronuntiasset, statim subnexuit, « *Si quis enim Spiritum Christi non habet, ait, hic non est ejus,* » testimonium Christi præconis Pauli ex magno Basilio, et aliud etiam aliunde petitum usurpans. Illic jam manifestum est, ex parte demonstratum fuisse inter præpositiones *ex* et *per*, cum res theologicæ pertractantur, apud eos, qui secure recteque sacra dogmata definiunt, nullum esse discrimen : cum in quibus illi probe *per* adaptarunt, divus hic Gregorius *ex* apposuit. Et hæc quidem primum, uti in præsentis contradictionis initio dixi, adversariorum tela sunt, quibus illi auxiliaribus utebantur, in eosdem fortiter a me contorta.

ς'. Εἰ δὲ δεῖ με τῆς περικοπῆς μνησθέντα μικρὸν ἄνωθεν ἀκριβῶς ἐξετάσαι τὰ κατ' αὐτὴν, τάχ' ἂν κἀκ τῶν πρότερον φανείη τὴν *ἐκ* ὁ μέγας κἀπὶ τοῦ Υἱοῦ λέγων τε καὶ τιθέμενος. Ἐπεὶ περί τε κοινῶν καὶ ἰδίων, ὡς προλαβὼν εἰρήκειν τῶν ἐν τῇ θεαρχικῇ Τριάδι διειλῶν, οὕτω διαλέγεται κατὰ ῥῆμα θεολογῶν τούτοις, καὶ τῷ δόγματι προσηκόντως ἐμπλατυνόμενος· *Ὁ τε γὰρ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐξῆλθε, καθὼς φησιν ἡ Γραφὴ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Ἀλλ' ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι μόνου τοῦ Πατρὸς ὄν, τῷ Υἱῷ καὶ τῷ Πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται· οὕτω τὸ ἐμπαλιν τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιόν ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τῷ Πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. Κοινοῦ δὲ ὄντος τῷ Υἱῷ καὶ τῷ Πνεύματι τοῦ μὴ ἀγεννήτως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη, πάλιν ἔστιν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν, ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη, καὶ τὸ ἴδιον μὴ συγχυθείη.* Ταῦτα Γρηγόριος οὗτος ὁ πολὺς ἐν θεολογίᾳ καὶ δόγμασι διαλαμβάνων καὶ συντιθεὶς, τὸ ἀναίτιόν τε καὶ τὸ ἐξ αἰτίας ἐν τῇ θεαρχικῇ Τριάδι διαφορὰν μόνην δίδωσι, τὸ μὲν αἰτίας χωρὶς προσνέμων τῷ Πατρὶ, τῷ δ' ἐξ αἰτίας τῷ Υἱῷ καὶ τῷ Πνεύματι. Πάλιν δὲ καὶ τούτοις ὡς ἂν ἄμικτον παρέξει διαφορὰν, κἀντεῦθεν τὸ Τριαδικὸν φυλαχθεὶη τῶν ὑποστάσεων εἰς δύο διαιρῶν τὸ ἐξ αἰτίας θεοπρεπῶς, οὕτω φθέγγεται τὴν διαφορὰν ἐξηγούμενος· *Ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς ἁγίας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα. Τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται.* Τί τούτου

26. Quod si, repetita pericope, paulo altius in ea comprehensa examinanda sunt, forte ex antecedentibus præpositionem *ex* magnus hic vir de Filio dixisse apposuisseque comperietur. Quando de propriis et communibus, ut paulo ante innui, quæ in Deitatis principe Triade sunt, pertractans, verbis non aliis utitur de illis discernens, et uti par est fusiore oratione dogma explanans : *Cum Filius ex Patre exivit, ut Scriptura ait, et Spiritus ex Deo et ex Patre procedit. Sed quemadmodum absque causa esse, solius Patris cum sit Filio et Spiritui adaptari nequit, sic contra ex causa esse quod est proprium Filii et Spiritus sancti, de Patre considerari alienum est a natura. Cum vero commune sit Filio et Spiritui ingenitos non esse, ne confusio circa subjectum consideretur, rursus est facile eorum in proprietatibus discrimen adinvenire, ut et commune conservetur, et proprium non confundatur.* Hæc Gregorius hic in theologicis ac dogmate conspicuus, tractans, et componens absque causa esse, et ex causa esse in divinitatis principe Triade differentiam solam agnoscit, illud quod absque causa est Patri attribuens, quod ex causa est, Filio et Spiritui. Rursusque his postremis, ut inconfusam differentiam exhibeat, et inde Trinitas hypostaseon conservetur, illud quod ex causa est, ut tamen Deo convenit, subdividens, et differentiam exponens, ita pronuntiat : *Unigenitus enim Filius ex Patre a divina Scriptura dicitur et hanc proprietatem oratio non excedit. Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse astruitur.* Quid clarius dici potuit iis qui mente non vacillant? Quid æquos sese exhibere non renuentibus apertius? Unigenitus, ait, Filius ex solo Patre dicitur

Digitized by Google Распознавание текста АВК/FR

a Scriptura divina, hoc enim palam innuit illud : *Et hanc proprietatem oratio non excedit, Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse astruitur*, hoc discrimen inter se et Filium possidens, quod ex Filio quoque exsistit. Et hæc est sententia hujusce mente divina prædíti Patris. Et ut clarius indigentibus explicem, si uti Filius ex solo Patre ita et Spiritus sanctus esset, hic etiam esset genitus uti Filius, non Spiritus sanctus. Nunc vero non aliud inter hos ambos discrimen, sed hoc solummodo dignoscitur, quo modis omnibus hic appellatur et est Filius, ille vero proprie Spiritus sanctus vocatur et est ; quod exsistentiam Filius quidem possidet ex solo Patre, ex Patre vero simul et Filio Spiritus sanctus.

A των σαφέστερον τοῖς ὀρθὸν φέρουσι τὸν σκοπόν; Τί δὲ τοῖς ἐθέλουσιν εὐγνωμονεῖν ἐκδηλότερον; Ὁ μονογενὴς, φησὶν, Υἱὸς ἐκ μόνου τοῦ Πατρὸς ὀνομάζεται παρὰ τῆς ἁγίας Γραφῆς. Τοῦτο καὶ γὰρ σημαίνει τρανῶς τό· *Καὶ μέχρι τούτου ὁ Λόγος ἴστησιν αὐτῷ τὸ ἰδίωμα. Τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται*, ταύτην διαφορὰν ἔχον πρὸς τὸν Υἱὸν, ὅτι κἀκ τοῦ Υἱοῦ τοῦτο καθέστηκεν. Οὗτος ὁ τοῦ θεόφρονος τούτου πέφυκεν ὧδε νοῦς. Ἵνα δὲ τόνδε βέλτιον παραστήσω τοῖς χρῄζουσιν, εἴπερ κατὰ τὸν Υἱὸν ἐκ μόνου τοῦ Πατρὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἦν, ἦν ἂν καὶ τοῦτο γεννητὸς κατ' ἐκεῖνον Υἱὸς, οὐ Πνεῦμά γε μὴν ἅγιον. Νῦν δ' οὐκ ἄλλη τις ἀναμεταξὺ τούτοιν ἀμφοῖν, αὕτη δὲ διαφορὰ καὶ μόνη γινώσκεται, καθ' ἣν πάντως ὁ μὲν προσαγορεύεται καὶ ἔστιν Υἱὸς, τὸ δὲ κυρίως ἅγιον Πνεῦμα καλεῖται, καὶ πέφηνεν, οἷς τὴν ὕπαρξιν ὁ μὲν Υἱὸς ἐκ μόνου κέκτηται τοῦ Πατρὸς, ἐκ δὲ τοῦ Πατρὸς ἅμα κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

27. Sed non præfigitur, inquiunt qui oppositam partem sequuntur, in nonnullis voluminibus *ex* præpositio Filio, propterea que differentiam Filii et Spiritus sancti eam dixisse fatemur divini loquum Gregorium, quod Unigenitus ex Patre exsistens non est aut ullo modo dicitur Spiritus, ut hic ipse sapiens magister procedente oratione sonora voce instruit et enuntiat. Spiritus vero sanctus et ipse exsistens ex Patre astruitur quoque Filii esse secundum consortium et testimonium quod affert, et continenter huic dicto apponitur, sententiæ adaptamus, quando ipse hac ratione subintulit : *Si quis enim Spiritum Christi non habet, inquit, hic non est ejus.* » Pariter insistentes suis voluminibus, qui contradicendi studio gestiunt, atque continuo incitantur, ad testimonii expositionem, uti ad validam magnamque sui propositi defensionem confugiunt, et aperte magni Basilii expositioni aures sapienter minime patefaciunt quam divinus Cyrillus, ut non multo ante demonstravimus, ab ea non dissentiens secutus est, quinimo ad suam opinionem stabiliendam ex propriis discrimen excogitarunt. Ut vero nunc respondeamus ad ipsum discrimen, de testimonio siquidem abunde satis illis, qui sese attentos præbent, supra respondimus, quam ob causam si beato doctori de relativo discrimine sermo erat, nullo modo ullam exsistentiam connotante, ut adversarii interpretantur, non et a Patre Spiritum sanctum exsistere antea dixit, dum cum Patre Filium et Spiritum sanctum considerabat, sed ex Patre illum esse dixit, quod prorsus discrimen exsistentiam importat. Neque enim quispiam, licet audacia eaque projecta emineat, dixerit, cum et Pater sit dicaturque Spiritus, satis fuisse magno comprehendere ibi solum exsistentiæ discrimen, quod fortasse non probe dicerent, qui in omnibus nobis contradicere denique animos intendunt. Hic vero quod nullum haberet secundum exsistentiam discrimen, quod secundum relationem est, assumpsit. Vel hoc, veluti potius et magis honora-

B κζ'. Ἀλλ' οὐ κεῖται, φασὶν οἱ τῆς ἀντικειμένης ἡμῖν μερίδος, ἔν τισι βίβλοις ἡ *ἐκ* πρόθεσις ἐπὶ τοῦ Υἱοῦ, διὰ τοῦτο καὶ διαφορὰν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ταύτην λέγομεν εἰπεῖν τὸν θεηγόρον Γρηγόριον. Ὡς ὁ μέντοι Μονογενὴς ὑπάρχων ἐκ τοῦ Πατρὸς οὐκ ἔστιν, οὐδὲ λέγεται ποσῶς καὶ τοῦ Πνεύματος, καθὼς οὗτος ὁ σοφὸς διδάσκαλος παρακατιὼν διατράνῳ στόματι μυσταγωγεῖ καὶ διέξεισι. Τὸ δὲ ἅγιον Πνεῦμα καὶ αὐτὸ τυγχάνον ἐκ τοῦ Πατρός, προσμαρτυρεῖται γοῦν εἶναι καὶ τοῦ Υἱοῦ κατ' οἰκείωσιν· καὶ τὴν μαρτυρίαν ἣν ἐπιφέρων τίθησι συνεχῶς τούτῳ τῷ ῥητῷ κατὰ τὸν τοιοῦτον νοῦν προσαρμόζομεν. Ἐπειδήπερ αὐτὸς οὕτως ἐπήνεγκεν· *Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει*, φησὶν, *οὗτος οὐκ ἔστιν αὐτοῦ*. Πάλιν ἐπερειδόμενοι C ταῖς ἑαυτῶν βίβλοις οἱ περὶ τὴν ἀντίῤῥησιν ἐπτοημένοι διηνεκῶς ἐπὶ τὴν ἔκθεσιν τῆς μαρτυρίας· ὡς εἰς ἀντίληψιν ἰσχυρὰν καὶ μεγάλην τινὰ καταφεύγουσι, μήτε τῇ προφανεῖ ταύτης κατὰ τὸν σεπτὸν Βασίλειον ἐρμηνείᾳ σοφῶς ὑποσχόντες τὰς ἀκοάς, ᾗτινι καὶ ὁ θεῖος Κύριλλος, καθὼς ἐγγύθεν ἀπεδείξαμεν, καλῶς στοιχήσας ἐπηκολούθησε, καὶ μέντοι πρὸς σύστασιν τῆς δόξης αὐτῶν οἰκοθεν διαφορὰν ἐννοήσαντες. Ὡς ἂν δὲ τὴν ἀπάντησιν εἰς αὐτὴν ἀρτίως ποιησώμεθα τὴν διαφορὰν, περὶ γὰρ τῆς μαρτυρίας ἱκανῶς τοῖς προσέχουσι πρὶν ἀπολελογήμεθα, τίνος ἕνεκεν, εἰ καὶ περὶ σχετικῆς ὁ λόγος· ἦν τῷ μακαρίῳ διαφορὰ, οὐκοῦν οὐδοπωσοῦν δηλούσης ὕπαρξιν κατὰ τὴν τῶν ὑπεναντίων ὑφήγησιν, μὴ καὶ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ὑπάρχειν εἰ- D ῤῥηκε προλαβὼν, ὅτε μετὰ τοῦ Πατρὸς ἐσκόπει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἔφησε τοῦτο τελεῖν, ὃ πάντως καὶ διαφορὰ τυγχάνει καθ' ὕπαρξιν; Οὐ γὰρ δὴ τῶν ἄγαν τολμηρῶν καὶ θρασέων φαίη τις ἄν, ὅτι, ἐπεὶ καὶ ὁ Πατὴρ ἔστι τε καὶ καλεῖται τοῦ Πνεύματος, ἤρκει διαλαβεῖν τὸν μέγαν ἐκεῖ τὴν καθ' ὕπαρξιν μόνην διαφορὰν, ὃ μὴ πάντως εἴποιεν ἂν ἴσως οἱ τὸ πᾶν ἀντιλέγειν πρὸς ἡμᾶς καθάπαξ σπουδάζοντες καλῶς. Ἐντεῦθα δὲ διὰ τὸ μὴ καθ' ὕπαρξιν μηδαμῶς ἔχειν, παρέλαβε τὴν κατὰ σχέσιν διαφοράν. Ἢ ταύτην ὡς κρείττονα

Digitized by Google Распознавание текста ABK/FR

καὶ τελεωτέραν προτιμησάμενος, ὡς περιττὴν ἐκείνην παρέδραμε. Καὶ μὴν δῆλον τοῖς διαγινώσκουσιν ὀπωστοῦν, μή τοί γε μόνοις τοῖς ὑψηλοῖς τὴν διάνοιαν, ὡς εἰ μὴ διαφορὰ κἀν τούτοις, τῷ Υἱῷ, λέγω, καὶ τῷ Πνεύματι τῷ πεναγίῳ, καθ' ὕπαρξίν ἐστί τις, ἀλλήλων οὐ διαφέρουσιν ἀληθῶς καὶ κυρίως, καὶ σύγχυσις ἔνθεν τοῖς ὑποστατικοῖς ἰδιώμασιν· ὅπερ ἀτοπώτατον τῷ ὄντι τελεῖ, καὶ τῆς εὐσεβείας ἀλλοτριώτατον. Αὖθις δὲ τὴν καθ' ὕπαρξιν κεκτημένος ὁ σοφὸς οὗτος, διαφορὰν ἑτέραν οὐκ ἄν ποτε παρὰ ταύτην, ὡς εἰκὸς, ἐνθάδε προέκρινεν, οὐ μόνον ἀνθ' ὧν αὕτη πέφυκε μόνη διαφορὰ κυρίως καὶ ἀληθῶς, ἡ δὲ κατὰ σχέσιν ἕπεται τῇ τοιαύτῃ, δηλαδὴ τῇ καθ' ὕπαρξιν, ἀλλ' ὅτι καὶ αὐτὸς διὰ τοῦτο προθέμενος λέγειν ἐν τῇ θεαρχικῇ Τριάδι περὶ διαφορᾶς ἄνωθεν, τοῦτ- B ἔστιν ἐκ τοῦ Πατρὸς, καὶ ἔτι προϊὼν τῆς καθ' ὕπαρξιν, οὐκ ἄλλης τινὸς ἐμνημόνευσε. Καὶ γὰρ ἐν πρώτοις μὲν εἴρηκε περὶ τοῦ Πατρὸς, ὡς αἰτίας ἐκτός ἐστιν, ἤγουν οὐκ ἔκ τινος· ἑφεξῆς δὲ κοινὸν τὸ ἐξ αἰτίας τῷ Υἱῷ καὶ τῷ Πνεύματι τυγχάνειν εἰπὼν, τὸ διάφορον τῆς πρὸς τὸν Πατέρα θεϊκῆς ἐδήλωσε τούτων ὑπάρξεως. Εἶτα καὶ τὴν πρὸς ἄλληλα διαφορὰν τούτων αὐτῶν ἐξηγήσασθαι βουληθεὶς, ὅπως τὰ τῆς ῥήσεως κατὰ λέξιν γένηταί μοι διαλαβεῖν, οὕτως ἔφησεν· *Ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς ἁγίας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα. Τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται.* Πάντως περὶ ὑπάρξεως κἀνταῦθα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ὁ C λόγος ἐστίν. Ὥστε καὶ ἡ μεταξὺ τούτων διαφορὰ τοῖς κάλλιστα νοοῦσι καθ' ὕπαρξιν· ἐπεὶ τοῖς ἑτέρως, φημὶ κατὰ σχέσιν, νῦν ἐκλαμβάνουσι τὴν διαφορὰν ἀσυνάρτητον τῷ παντὶ τὸ περὶ τοῦ Πνεύματος τοῦτο καὶ ἀκατάλληλον. Ὀρᾷς, ὁ μαχόμενος, πῶς ἀναγκαίως ἡ διάνοια τοῦ λόγου τὴν ἐκ πρόθεσιν ἀπαιτεῖ περὶ τὴν καθ' ὕπαρξιν ἐν τῇ σεπτῇ Τριάδι διαφορὰν καταγινομένη τοτέλεον; Οὐκοῦν ἐντεῦθεν φανερὸν ὡς ὁ τῶν δογμάτων ἄριστος οὗτος ὑφηγητὴς μετὰ τῆς τοιαύτης προθέσεως τὴν δηλωθεῖσαν αὐτοῦ ῥῆσιν ἐξέδωκεν. Ἔνιοι δὲ τῶν παντάπασι κακοσχόλων ἀνδρῶν τὴν ἀλήθειαν ἐν βίβλοις τισὶν ἐλωβήσαντο. Τοσαῦτα δὴ καὶ οὕτως ἔχοντα παρ' ἡμῶν λέλεκται κατὰ τὸ παρὸν καὶ περὶ τῆς ῥήσεως Γρηγορίου τοῦ διαπρεποῦς ἐν τοῖς δόγμασιν, ἐξ ὧν ἀπεδείξαμεν, D ὡς ἀδελφὰ καὶ οὗτος τῷ σοφῷ Βασιλείῳ φρονῶν, τὸ ἅγιον Πνεῦμα κἀκ τοῦ Υἱοῦ κατ' ἐκεῖνον ἔφησεν ἔχειν τὴν ὕπαρξιν· οἷς ἀμφοτέροις δίκαιον κἀνταῦθα τοὺς πάντας ἀκολουθεῖν πεισθέντας καλῶς τοῖς πανσόφοις αὐτῶν καὶ θείοις διδάγμασιν. Οὗτοι γὰρ ὤφθησαν τῆς ὑγιοῦς πίστεως ἀρχηγοὶ καὶ τῆς ὀρθοδοξίας ἐκφάντορες, ἅμα καὶ κήρυκες.

κη'. Ὅμως ἐπεὶ πρὸς παράστασιν τοῦ τοιούτου δόγματος βεβαίαν καὶ ἀσφαλῆ καὶ ἄλλων πολλῶν εὐπορούμεν πατρικῶν χρήσεων, αἵπερ καὶ ἀδιάβλητοι, διὰ τὸ παρὰ πάσαις ταῖς ὁπουδήποτε βίβλοις ταῖς ἱεραῖς ὡσαύτως ἐκφέρεσθαι, καὶ κατὰ τὸ παντελὲς ἀπαράλλακτον, καὶ ταύτας, ὡς τὸ εἰκὸς, ἐνθάδε προσ-

bile præferens, tanquam supervacaneum illud præteriit. Et nihilominus vel levibus veri cognitoribus, non tantum solis cogitatione sublimibus palam est, si discrimen aliquod etiam inter hos, Filium, inquam, et Spiritum sanctissimum secundum exsistentiam non est, vere et proprie inter sese non differre, indeque in proprietatibus hypostaticis confusionem sequi, quod vere absurdissimum fuerit, et a pietate quam alienum. Rursusque sapiens hic discrimen secundum exsistentiam nactus, nullum unquam præter hoc aliud, uti par est, hic prætulisset: non solum quod ipsum solum vere proprieque discrimen est, et quod secundum relationem est hoc, quod secundum exsistentiam est consequitur, sed etiam quod ipse id propter, cum sibi in deitatis principe Triade de discrimine dicere proposuisset, ex alto, ex Patre nempe, et orationem continuans illius, quod secundum exsistentiam est, nec alterius meminit. Namque in primis de Patre dixit, eum extra causam, non ex aliquo nempe esse, subsequenter cum commune esse asseruisset Filio et Spiritui ex causa esse, eorumdem divinæ exsistentiæ respectu Patris differentiam insinuavit. Postmodum differentiam, quæ inter hos eosdem intercedit exponens, ut verba ipsa dicti comprehendam, ita enuntiavit: *Unigenitus namque Filius ex Patre a sacra Scriptura dicitur, neque ultra hoc illius proprietatem oratio extendit, Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse astruitur.* Hic omnino de exsistentia Filii et Spiritus sermo est. Quare inter eos differentia, qui optime rem intelligunt, secundum exsistentiam est, et differentiam secundum relationem intelligere de Spiritu modis omnibus ineptum atque incongruum est. Videsne qui adversaris, sententiam orationis necessario præpositionem *ex* requirere, cum ad differentiam secundum exsistentiam in Triade omnino descendat? Hinc igitur manifestum est, præstantissimum hunc dogmatum interpretem cum hac præpositione jam allatum dictum evulgasse, et quosdam prorsus suo otio homines abutentes, veritatem in nonnullis voluminibus mutilasse. Tot et ita se habentia a nobis in præsentia de dicto quoque Gregorii, in asserendis dogmatibus præstantissimi, dicta sunt, quibus ostendimus hunc quoque consentanea cum sapiente Basilio tenentem, æque atque illum Spiritum sanctum etiam ex Filio exsistentiam habere asseruisse: quos sequi par est etiam in hoc omnes, doctissimis eorumdem divinisque dogmatibus suasos. Hi etenim sanæ fidei duces reperti sunt, et orthodoxorum dogmatum interpretes simul ac præcones.

28. Nihilominus cum ad corroborandam stabiliendumque hoc dogma certum ac firmum et aliis multis Patrum auctoritatibus abundemus, quæ calumniis obnoxiæ minime sunt, quod in omnibus voluminibus ubicunque gentium illa reperiuntur, sui semper similes habeantur, illas quoque, uti

Digitized by Google Распознавание текста ABK/FR

addecet, hic recitabimus : ut copia scripto traditarum auctoritatum adversariorum ora prorsus opprimamus. Primus itaque Ecclesiæ lumen Joannes, eminus spleadens ac ignea mens, lingua simul et labiis aureus, tum oratione de Incarnatione Domini, et in illud : *In singulis regionibus angeli astabant*, sic scribit : *Accessit Christus ad nos. Dedit nobis qui ex ipso est, Spiritum, et assumpsit nostrum corpus* ; tum in alio sermone præceptorio, qui et prima prophylactica oratio inscribitur : *Et sic nos servat*, ait, *Spiritus, qui a Christo est, in die futuræ redemptionis.* Illo eodem tempore perspicacissimus Epiphanius oratione Ancyroto dicta, palam aperteque inquit : *Ait itaque beatus Petrus iis, qui circa Ananiam erant :* « *Cur tentavit vos Satanas, mentiri Spiritui sancto*[61] ? » *aitque :* « *Non es mentitus hominibus, sed Deo*[62]. » *Ergo Deus ex Patre et Filio Spiritus, cui mentiti sunt, qui seposuerant sibi de pretio.* Item, *Spiritus sanctus ex Patre et Filio tertius appellatione.* Et multis interjectis : *Uterque inhabitat in homine justo, Christus et Spiritus ipsius. Si vero Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utroque, ut Christus insinuat :* « *Qui ex Patre procedit,*[63] » *et :* « *Hic de meo accipiet*[64]. » Hoc quoque dictum in quibusdam voluminibus fraudulenter ita exaratum est : *Si vero Christus ex Spiritu creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utroque.* Et fraus manifesta est, et cuicunque deprehensu minime difficilis, non tantum quod omnino inopinabile est Christum esse ex Spiritu, cum nemo omnium vere id opinatus fuerit, sed quod alterum ab altero esse absurdissimum omnium reputatur. Quonam vero in loco quispiam posuerit quod inde oritur malum? Hac siquidem ratione et Spiritus ex semetipso esse deprehendetur. Quomodo? Cum beatus dixisset : *et Spiritus ex Christo*, postmodum ocissime subintulit : *aut ex utroque.* Si itaque sic ibi habetur, *Christus ex Spiritu*, non, *ex Patre*, quod inde sequitur colligat, quicunque nunc hæc audit. Quis propterea usus fuerit evangelicæ divinæque dictionis, quam statim in testimonium adducens applicat, dicens : *Ut ait Christus :* « *Qui a Patre procedit ?* » Supervacanea prorsus est et incongrua. Hæc absurda omnia dicto contigere, quod immutatum sit illud : *ex Patre*, in illud : *ex Spiritu.* Undenam vero, et a quibus id factum est? non est a nobis discernendum. Manifestum enim est, ab adversariis hujusce nunc demonstrati dogmatis factum fuisse, quod quidem facillimum fuit, unius solius litterulæ immutatione et variatione. Propositum vero, quod cum nobis credendum non esset, ita eos a recto dogmate excidisse, ut pie tenerent, Christum ex Spiritu esse, fortasse ob hanc eamdem rationem et quod reliquum est, nempe, *et Spiritus ex Christo*, uti non bene dictum

A θήσομεν, ὡς ἂν ἐκ περιουσίας τῶν γραφικῶν τούτων μαρτυριῶν ὁλοκλήρως τὰ στόματα τῶν ἀντικούντων ἐμφράξωμεν. Αὐτίκα γοῦν ὁ τῆς Ἐκκλησίας φωστὴρ Ἰωάννης, τὸν τηλαυγῆ λέγω καὶ πύρινον νοῦν, τὸν τὴν γλῶτταν ὁμοῦ καὶ τὰ χείλη χρυσοῦν, ἐν μὲν τῷ λόγῳ, τῷ εἰς τὴν Ἐνανθρώπησιν τοῦ Κυρίου, καὶ εἰς τὸ, *Κλίματι ἑκάστῳ ἄγγελοι ἐφειστήκεσαν*, οὕτως εἰρηκεν· Ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ Πνεῦμα, καὶ ἀνελάβετο τὸ ἡμέτερον σῶμα. Καθ' ἕτερον δέ γε τῶν αὐτοῦ λόγων τῶν διδασκαλικῶν, ὃς καὶ οὕτω πως πρῶτος προφυλακτικὸς ἐπιγέγραπται· Καὶ οὕτως ἡμᾶς φυλάξει, φησὶ, τὸ παρὰ Χριστοῦ Πνεῦμα εἰς τὴν ἡμέραν τῆς μελλούσης ἀπολυτρώσεως. Τοῦ αὐτοῦ χρόνου καὶ ὁ διορατικὸς B Ἐπιφάνιος ὢν ἐν τῷ λόγῳ τῷ Ἀγκυρωτῷ διαρρήδην καὶ τρανῶς φθέγγεται· Φησὶν οὖν ὁ μακάριος Πέτρος τοῖς περὶ τὸν Ἀνανίαν, « Τί ὅτι ἐπείρασεν ὑμᾶς ὁ Σατανᾶς ψεύσασθαι τὸ Πνεῦμα τὸ ἅγιον ; » Καὶ φησιν, « Οὐκ ἀνθρώπῳ ἐψεύσω, ἀλλὰ Θεῷ. » Ἆρα Θεὸς ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, ᾧ ἐψεύσαντο οἱ ἀπὸ τοῦ τιμήματος νοσφισάμενοι. Καὶ αὖθις· Τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τρίτον τῇ ὀνομασίᾳ. Καὶ μετὰ πολλὰ πάλιν· Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, « Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ, « Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Καὶ τὸ νῦν τοῦτο ῥητὸν ἐν C βίβλοις τισὶν εὕρηται κακούργως οὐτωσὶ κείμενον· Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πνεύματος πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ πῶρ' ἀμφοτέρων. Ἡ δὲ κακουργία σαφὴς, καὶ τοῖς πᾶσιν εὐφώρατος, οὐχ ὅτι καὶ μόνον ἄδοξον ὁλικῶς τὸ τυγχάνειν τὸν Χριστὸν ἐκ τοῦ Πνεύματος, ἐπείπερ οὐδεὶς τῶν πάντων ὡς ἀληθῶς, ὅστις τοῦτο παράπαν ἐδόξασεν, ἀλλ' ὅτι καὶ τὸ τελεῖν ἐξ ἀλλήλων αὐτὰ τῶν παραλογωτάτων πάντῃ καθέστηκε. Ποῦ δέ τις καὶ θήσει τὸ ἀναφυόμενον ἐντεῦθεν κακόν; Τὸ Πνεῦμα γὰρ οὕτω καὶ ἐξ αὐτοῦ τυγχάνον φανήσεται. Πῶς; Ὁ μακάριος οὕτως εἰπὼν, Καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, μεθύστερον ὡς τάχος, ἢ παρ' ἀμφοτέρων, ἐπήγαγεν. Εἰ γοῦν οὕτως ἐκεῖ D κεῖται Χριστὸς ἐκ τοῦ Πνεύματος, οὐκ ἐκ τοῦ Πατρὸς, συναγέτω τὸ ἑξῆς τοῦ λόγου πᾶς ὁ ταῦτα νῦν ἀκροώμενος. Ποία δὲ χρῆσις καὶ τῆς εὐαγγελικῆς καὶ θείας φωνῆς, ἥνπερ παρευθὺς εἰς μαρτυρίαν παραλαβὼν τίθησι, λέγων, Ὡς φησιν ὁ Χριστὸς, « Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ; » Περισσὴ πάντως; ἐστὶν, οὐδόλως; ἁρμόδιος. Ἀλλὰ ταῦτα τὰ ἄτοπα πάντα συμβέβηκε τῷ τοιούτῳ ῥητῷ, διὰ τὸ μεταβληθῆναι τὸ ἐκ Πατρὸς εἰς τὸ ἐκ τοῦ Πνεύματος. Πόθεν δὲ τοῦτο γέγονε καὶ παρὰ τίνων; ἥκιστα σκοπεῖν πρόσῃκον ἡμᾶς. Εὔδηλον γὰρ ὡς πρὸς τῶν πολεμίων τοῦ παρ' ἡμῶν δεικνυμένου νῦν

[61] Act. v, 3. [62] ibid. 4. [63] Joan. xv, 26. [64] Joan. xvi, 14.

Digitized by Google Распознавание текста АВК/FR

δόγματος· καὶ τὸ πρᾶγμα ῥᾴδιον καὶ τῶν εὐχερεστάτων καταπολὺ, στοιχείου παραλλαγή τις ἑνὸς μόνου καὶ μεταποίησις. Ὁ δὲ σκοπὸς, ὅτι μὴ χρεὼν πιστεύειν ἡμᾶς οὕτως ἐκπεσεῖν ἐκείνους τοῦ ὀρθοῦ δόγματος, ὡς καὶ προσβεύειν εὐσεβῶς τὸν Χριστὸν ἐκ τοῦ Πνεύματος, ἵνα τυχὸν ἐκ τούτου καὶ τὸ λοιπὸν, ὅπερ ἐστὶ, *καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ*, δόξῃ κακῶς ἔχειν· διὸ καὶ πταῖσμα τὸ πᾶν νομισθείη τοῦ μεταγράψαντος. Πλὴν ὅμως ἐσφάλησαν τοῦ τοιούτου σκοποῦ, μηδέν τι κερδάναντες ὧνπερ ὑπέλαβον, μὴ μόνον οἷς τὴν σκαιωρίαν αὐτῶν ἀρτίως ὡς ἐνὸν διηλέγξαμεν, ἀλλὰ τὸ μεῖζον, οἷς τὴν ἀξιοπιστίαν τῶν πολλῶν λογίων τῶν τοῦ Πατρὸς ἡ τῆς μιᾶς ῥήσεως νοθεία καὶ παραφθορὰ πάντως οὐκ ἀφαιρήσεται. Καὶ παρεῶ λέγειν εἰς δικαίωσιν νῦν τό γε τῶν λοιπῶν βιβλίων ἀνόθευτον. Τίνα δὲ καὶ πόσα τὰ πολλὰ λόγια περὶ ὧν ἔφημεν τοῦ Πατρός, Ἴδῃ μὲν ἐκ τούτων μικρὸν ἄνωθεν ὀλίγα τινὰ προτεθείκαμεν, τὰ δὲ πλείω πρὸς τὸ παρὸν κατὰ τάξιν προθήσομεν. Μετὰ βραχέα γὰρ τοῦ προλεχθέντος ῥητοῦ διέξεισιν αὖ οὕτω δικανικώτερον· *Ἀλλ' ἐρεῖ τις, Οὐκοῦν φαμὲν δύο εἶναι Υἱούς· καὶ πῶς μονογενής; Μερσῦγε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ; Εἰ γὰρ τὸν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων ἃ μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων φωτεινὰ, φωτόδοτα, φωτεινὴν τὴν ἐνέργειαν ἔχει.* Καὶ μετά τινα· *Πνεῦμα ἅγιον Πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ.* Καὶ μετ' ὀλίγα πάλιν· *Ὅν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὕτω τολμῶ λέγειν ὅτι οὐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει, οὐδὲ τὸν Υἱὸν καὶ τὸν Πατέρα εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ.* Τούτοις συνῳδὰ διαγορεύει καὶ σύμφωνα πολλαχοῦ καὶ ὁ τῶν τοῦ Πνεύματος μυστηρίων ἑρμηνεὺς, Κύριλλος, λέγων ἐν μὲν δὴ τῇ ἐξηγήσει τῇ εἰς τὸν προφήτην Ἰωὴλ κατὰ τὴν ῥῆσιν τὴν, « *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου,* » φάσκουσαν· *Ἡ μὲν γάρ ἐστι Θεὸς ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς, γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός·* ἐν δὲ τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον λόγῳ, *Βαπτίζοντα,* ἔφη, *τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ.* Πάλιν ἐν μὲν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν *Θησαυρῶν* δείκνυται σαφῶς *οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ.* Ἐν δὲ τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου εἰς τὸ ῥητὸν τὸ, « *Ἐκεῖνος ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ἐγὼ,* » διαπρύσιον

repudiaretur, ideoque error in exscriptorem rejiceretur. Nihilominus longe a proposito aberrarunt, cum nihil inde utilitatis prætensæ accesserit, non tantum quod eorum malitiam pro viribus deteximus, sed quod magis est, multorum eloquiorum hujusce Patris fidem certam unius dicti adulteratio et corruptio haud infringet. Et præterea ad hæc ipsa confirmanda reliquorum voluminum lectionem germanam in medium producere. Quænam vero sunt Patris multa illa eloquia jam commemorata? Ex his paulo ante nonnulla digessimus, et plura in præsentia suo ordine digeremus. Post pauca siquidem prælaudati dicti, hunc in modum, quasi apud judices causam ageret, edisserit: *Sed dixerit quispiam : Dicimus ergo duos esse Filios; et quomodo unigenitus? Atqui tu quis es, qui ex adverso ratiocinaris cum Deo? Etenim si Filium vocat qui ex ipso est, Spiritum vero sanctum qui ab utroque, quæ tantummodo mente intellecta a sanctis splendida, lumen impertientia, luminosam operationem habent.* Et post pauca : *Spiritus sanctus Spiritus veritatis est, lumen tertium a Patre et Filio.* Rursusque paucis annexis : *Quemadmodum enim nemo novit Patrem, nisi Filius, neque Filium nisi Pater; sic audeo dicere, neque Spiritum nisi Pater et Filius, a quo procedit, et a quo accipit: neque Filium et Patrem nisi Spiritus sanctus, qui vere glorificat, qui omnia instruit, qui ex Patre et Filio.* Hisce astipulatur concordatque multis in locis secretorum Spiritus interpres Cyrillus, dicens tum in expositione in Joelem prophetam in dictum : « *Effundam de Spiritu meo,* » *Ut enim est Deus et ex Deo natura Filius, genitus enim ex Deo et Patre, proprius illius, et in illo, et ex illo Spiritus est, ea ipsa ratione, qua et ab ipso intelligitur Deo et Patre.* Tum ad imperatorem Theodosium oratione : *Baptizantem,* ait, *Jesum in igne et Spiritu sancto, non alienum baptizatis immittentem Spiritum servi modo et administri, sed ut natura Deum cum suprema auctoritate, qui ex ipso est, et proprius ipsius.* Itemque in uno ex capitibus secundi *Thesaurorum* manifeste ostenditur, *non alienum esse Filii Spiritum sanctum, sed in ipso et ex ipso.* Et in expositione Evangelii secundum Joannem, in dictum : « *Et suggeret vobis omnia quæcunque dixi vobis*[65], » clara voce pronuntiavit : *Itaque uti sciens quæcunque in voluntate Unigeniti sunt, vobis annuntiabit Spiritus, non ex disciplina habens cognitionem, ne videatur administri ordinem complere, sed ut Spiritus ipsius et sciens omnia non edoctus illius, ex quo, et in quo est.* Item oratione septima ad Hermiam hæc scribit : *Igitur Dominus noster Jesus Christus, de omnibus, ut opinor, fidelibus bonisque ait :* « *Veniemus ego et Pater, et mansionem apud eum faciemus*[66]. » *Et in hoc cognoscimus in nobis esse ex Spiritu, quem tradidit nobis : incolam enim et inhabitantem possidebit cum, qui natura*

[65] Joan. xiv, 26. [66] Joan. xiv, 23.

Digitized by Google Распознавание текста АВК/FR

vereque Deus est, non alienum, et disjunctum essentialiter ab illo Spiritum accipiens, sed eum qui ex ipso et in ipso est, et proprium ipsius, et æqualem cum illo dominationem possidentem. Hac eadem oratione Hermiam alloquens, dicit : *Itaque si non est sanctus natura Spiritus, qui in nobis est, dicant illi, quam ille igitur naturam sortitus est, et si nolunt illi sanctam tribuere, annon illis sermo in blasphemiam, quæ vitari non poterit, concidet?* Et eo respondente : *Videtur. Illud nihilominus aiunt Christum de eo dixisse : « De meo accipiet, et annuntiabit vobis*[67]. » *Participat itaque, ait, Spiritus Filium?* Statim sanctus subinfert : *Nequaquam, minime gentium. Qui enim ex ipso est, et in ipso, et proprius ipsius, quomodo unquam illum participabit? et æque ac extraneus relative sanctificabitur, et alienus natura erit ab illo, cujus proprius esse dicitur?* Illis similia quam plurima decernens venerabilis Cyrillus in suis Commentariis enuntiat, quæ omnia in unum congerere difficillimum plane fuerit. Quapropter de jam appositis solis contentus in præsenti, ad sanctissimum Anastasium accedo, qui de rectorum dogmatum veritate secundum nos disputans, manifestissime et palam ipse quoque de Spiritu pronuntiat : *Nihilominus Dominus ex se ipso ostendens illum esse, insufflans discipulis dicebat : « Accipite Spiritum sanctum*[68]. » A tot tantisque a Deo edoctis Patribus, tot in locis et ita patenter Spiritum sanctum etiam ex Filio propriam exsistentiam habere traditum est.

A οὕτως εἴρηκεν· *Οὐκοῦν ὡς εἰδὸς τὰ ἐν τῇ βουλήσει τοῦ Μονογενοῦς πάντα ἡμῖν ἀναγγέλλει τὸ Πνεῦμα, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν, ἀλλ' ὡς Πνεῦμα αὐτοῦ, καὶ εἰδὸς ἀδιδάκτως πάντα τὰ ἐξ οὗ, καὶ ἐν ᾧπερ ἐστιν.* Οὕτος καὶ ἐν τῷ πρὸς Ἑρμείαν ἑβδόμῳ λόγῳ ταῦτα διαλαβών, *Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς περὶ παντὸς, οἶμαι, πιστοῦ τε καὶ ἀγαθοῦ, « Ἐλευσόμεθα, φησὶν, ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Καὶ ἔν γε τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν. Ἔνοικον γὰρ καὶ ἐνηυλισμένον καταπλουτεῖν τις ἂν τῇ φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, οὐκ ἀλλότριόν τι καὶ διεσπασμένον*
B *οὐσιωδῶς αὐτοῦ τὸ Πνεῦμα λαβὼν, ἀλλὰ τὸ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἴδιον αὐτοῦ, καὶ τὴν ἴσην ὡς πρὸς αὐτὸ κυριότητα φορυῦν.* Ἐν τούτῳ κατὰ διάλεξιν αὖ πρὸς τὸν Ἑρμείαν διέξεισιν· *Οὐκοῦν εἰ μὴ ἔστιν ἅγιον φύσει τὸ Πνεῦμα τὸ ἐν ἡμῖν, φραζόντων ἐκεῖνοι, τίνα δὴ ἄρα λοιπὸν ἀπεκληρώσατο φύσιν, καὶ εἰ μὴ βούλοιντο τὴν ἁγίαν ἀπονέμειν αὐτῷ, ἆρ' οὐχὶ πάντη τε καὶ πάντως ἀποκινδυνεύσειεν ἂν αὐτοῖς εἰς ἀδιάφυκτον δυσφημίαν ὁ λόγος;* Τοῦ δὲ ἀποκριναμένου τὸ, *Ἔοικε. Πλὴν ἐκεῖνό φησιν, ὅτι ὁ Χριστὸς ἔφη περὶ αὐτοῦ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. » Μέτοχον οὖν ἄρα φασὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ;* κατὰ τάχος ὁ ἅγιος ἐπάγων, *Ἥκιστά γε, φησὶ, πολλοῦ γε, οἶμαι, καὶ δεῖ. Τὸ γὰρ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, καὶ ἴδιον αὐτοῦ, πῶς ἂν αὐτοῦ μεταλάχοι πώποτε, καὶ ἐν ἴσῳ τοῖς θύραθεν σχετικῶς ἀγιάζοιτο, καὶ ἀλλότριον ἔσται κατὰ φύσιν, οὗ καὶ ἴδιον εἶναι λέγεται;* Πολλὰ τοιαῦτα θεολόγων Κύριλλος ὁ σεπτὸς ἐν συγγράμμασιν αὐτοῦ διαφόροις ἐκτίθησι. Τὸ ταῦτα δὲ πάντα συναγαγεῖν πρᾶγμα κομιδῇ δυσχερέστατον. Διὸ καὶ τοῖς ῥηθεῖσιν ἀρκούμενος μόνοις πρὸς τὸ παρὸν, ἐπὶ τὸν ἐν ἁγίοις μέτειμι πολὺν Ἀναστάσιον, ὅστις περὶ τῶν καθ' ἡμᾶς τῆς ἀληθείας ὀρθῶν δογμάτων θεολογῶν, οὕτω σαφέστατα καὶ διαῤῥήδην καὶ αὐτὸς εἶπε περὶ τοῦ Πνεύματος· *Καὶ μὴν ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε, « Λάβετε Πνεῦμα ἅγιον.* » Παρὰ τοσούτων ἀνδρῶν θεοσόφων ἐπὶ τοσούτοις τε λόγοις, καὶ οὕτως ἀναφανδὸν τὸ Πνεῦμα τὸ ἅγιον κἀκ τοῦ Υἱοῦ τὴν οἰκείαν ὕπαρξιν ἔχειν τεθεολόγηται.

29. Attamen cum dicta similia, uti addecet, afferantur ad simile dogma corroborandum et plane confirmandum, cum oporteret, licet non antea, saltem in præsentia morigeros habere nos, qui ad hæc usque tempora contentiose illud adversati sunt, cum nihil habeant accurata cogitatione et considerato consilio dignum, quod tantæ veritati opponant, nihilominus molestius exhibere negotium, inque nos violentius appetere videntur. Et quis, inquiunt, ex jam allegatis Patribus, quorum potissimum major ex parte dicta digesta sunt, procedere etiam ex Filio Spiritum sanctum, saltem in uno ex iisdem decrevit, quod quam propriissime exsistentiam Spiritus significat? Ad hoc respondemus primum quidem, quod in priori nostro commentario a nobis expositum est : *Esse* D verbum potius exsistentiam divini adorandique Spiritus denotare, quandoquidem illud ver-

C κθ'. Πλὴν καὶ τῶν ῥήσεων τούτων, ὡς τὸ εἰκὸς, λεγομένων ἡμῖν εἰς βεβαίωσιν τοῦ τοιούτου δόγματος καὶ λαμπρὰν πίστωσιν, δέον, εἰ καὶ μὴ πρότερον, ὅμως καταπειθεῖς εἰς δεῦρο λαβεῖν τοὺς πρὸς αὐτὸ μέχρι τοῦ παρόντος ἐριστικῶς ἀντιβαίνοντας, ἅτε μηδὲν ὅλως γενναῖον ἔχοντας πρὸς ταύτην τὴν ἀλήθειαν ἀντειπεῖν, λελογισμένης τε διανοίας καὶ φρενὸς συντετηρημένης ἐπάξιον. Οἱ δὲ καὶ μάλιστα δοκοῦσιν ἰσχυρότερον ἐνοχλεῖν, καί γε βιαιότερον πρὸς ἡμᾶς ἐντεῦθεν ἐνίστασθαι· καὶ τίς τῶν διαλῃφθέντων, φάσκοντες, Πατέρων, ὧν αἱ πλείους κατ' ἐξαίρετον χρήσεις εἰσὶν, ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐν μιᾷ τούτων γοῦν ἐδογμάτισεν, ὅπερ δὴ καὶ κυρίως σημαντικὸν τῆς ὑπάρξεώς ἐστι τοῦ Πνεύματος; Πρὸς τοῦτό φαμεν πρῶτα μὲν ἐκεῖνο τὸ λεχθὲν κἀν τῷ πρὸ τούτου συντάγματι παρ' ἡμῶν, ὅτι τὸ *ἐστὶ* ῥῆμα δηλοῖ μᾶλλον τὴν ὕπαρξιν τοῦ θείου καὶ προσκυνητοῦ Πνεύματος· ἐπεὶ

[67] Joan. xvi, 14. [68] Joan. xx, 22.

Digitized by Google Распознавание текста ABK/FR

καὶ τῶν ὅλων ὡς ἀληθῶς ἀρχοειδέστερον ῥημάτων τελοῦν, ἅπαντα τὰ λοιπὰ τούτων ἀναλυόμενα πρὸς ἑαυτὸ δέχεται· τοῦτο δὲ τὸ ἐκπορεύεσθαι καὶ αὐτὸ πρὸς τοῖς ἄλλοις ἀναλυόμενον ὅλοις, εἰς τὸ ἐστὶ παρὰ τῶν τῆς Ἐκκλησίας σοφῶν καὶ διδασκάλων εἰς τὴν πῶς ὑπαρξιν ἐξελήφθη τοῦ Πνεύματος, τὴν τούτου πρὸς τὸν Υἱὸν ἐμφαίνον διαστολήν, καὶ τὸ διάφορον πρὸς αὐτὸν τῆς ὑπάρξεως. *Ἵνα* καὶ γὰρ *τὸ ὄνομα παρέλθῃ τῆς γεννήσεως ἡ Γραφὴ, τὴν ἐκπόρευσιν*, Ἰωάννης ὁ Χρυσόστομος φησὶν, *εἴρηκεν*. Ὅταν οὖν πρόκειται τούτοις τὸ τοῦ Πνεύματος πῶς ὑπάρχειν εἰπεῖν, τηνικαῦτα δὴ τὴν ἐκπορεύεται λέξιν παραλαμβάνουσιν. Ἡνίκα δ' αὐτοῖς ὁ λόγος βούλεται περὶ τῆς ἁπλῶς καὶ μόνης ὑπάρξεως τούτου διαλαβεῖν, τότε χωρὶς τοῦ γεννᾶσθαι, τὸ δὲ πάντως ἴδιον τοῦ Υἱοῦ, χρῶνται καὶ τοῖς λοιποῖς πᾶσι ῥήμασι, καὶ μᾶλλον ἐπειδὰν τοῦτο κηρύττωσι καὶ ἐκ τοῦ Υἱοῦ, καθότι μηδενὶ τῶν ἁπάντων ὁ τρόπος ἀμφίδοξος. Τίς γάρ ποτε τὸ Πνεῦμα τὸ ἅγιον ἀκούσας ἐκ τοῦ Υἱοῦ γέννησιν τελεῖν ὑπολάβῃ τὴν ἐξ αὐτοῦ θείαν ὕπαρξιν; Διά τοι τοῦτο καὶ ὡς ἐπιτοπολὺ τοῖς ἄλλοις αὐτὴν δηλοῦσιν ὀνόμασιν, οἷς ἅπασίν ἐστιν ἑπόμενον ἐξ ἀνάγκης νοεῖν τὸν τρόπον τῆς ὑπάρξεως, ἤτοι τὸ ἐκπορεύεσθαι. Τούτου δὲ πρός τινος μηδοπωσοῦν νοηθέντος αὐτοῖς, ἔσται κατ' ἐκεῖνον τὸν ἕτερον, ἢ ὡς ἡ γέννησις. Ἐπὶ γὰρ τῶν τῆς ἁγίας καὶ θεαρχικῆς Τριάδος αἰτιατῶν τὰ δύο ταυτὶ μόνα τῆς πῶς ὑπάρξεως σημαντικὰ πέφυκεν. Ἔσται τοιγαροῦν τῷ μὴ βουλομένῳ τὴν ἐκπόρευσιν ἐπ' ἐκείνοις νοεῖν, γεννώμενον τὸ Πνεῦμα τὸ ἅγιον, οὗπερ τί γένοιτ' ἂν ἀτοπώτερον; Οὕτως ἐπὶ τοῦ Πνεύματος; πᾶσι δὴ τοῖς ῥήμασι τοῖς ὑπαρκτικοῖς ἀπαραιτήτως ἀκολουθεῖ καὶ κατ' ἀνάγκην τὸ ἐκπορεύεσθαι. Τοῦτο γινώσκοντες; καὶ τῶν Πατέρων, οἷς ἐχαρίσθη πρὸς τοῦ Πνεύματος; τὸ θεολογεῖν, ἐχρήσαντο τοῖς τοιούτοις ἐπὶ τοῖς ἁπλῶς ὑπάρξεως· τούτου, καθὼς προειρήκαμεν, καὶ μᾶλλον ἐν οἷς αὐτὸ διετράνωσαν εἶναι κἀκ τοῦ Υἱοῦ, διὰ τὸ μὴ τὸν τρόπον οὕτω τινὶ τυγχάνειν ἀμφίδοξον. Ἐπεὶ τὸ ἅγιον Πνεῦμα λέγοντες ὑπάρχειν ἐκ τοῦ Πατρὸς, τὸ ἐκπορεύεσθαι πᾶσι τοῖς λοιποῖς πολλάκις ἐγκρίνουσιν, ὡς τὴν τούτου πρὸς τὸν Υἱὸν σημαῖνον διαφοράν, ὅστις καὶ αὐτὸς ἐκεῖθεν ἐκ τοῦ Πατρὸς πέφηνεν. Ἔστι δ' οὗ τὴν τοιαύτην φωνὴν καὶ ὡς χρῆσιν τιθέασιν εὐαγγελικήν, βουλόμενοι παραστῆσαι τὴν τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς θείαν ὕπαρξιν, ὥσπερ καὶ τὴν, « *Ἐκ τοῦ ἐμοῦ λήψεται*, » ῥῆσιν ἐσχήκασιν ὡς μαρτυρίαν Κυριακὴν, ἀποδεῖξαι θέλοντες, ὅτι τὴν ὕπαρξιν ἔχει κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ τούτων εἷς ἀναντίῤῥητον πίστιν ἀρκέσουσιν ἡμῖν ὅ τε κλεινὸς Ἐπιφάνιος καὶ ὁ θαυμαστὸς Κύριλλος; ὧν ὁ μὲν Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ τάδε φθέγγεται περιφανῶς καὶ τρανότατα· *Πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει*, « *Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον*, » καὶ, « *Ἐκ τοῦ ἐμοῦ λήψεται*, » *ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς μηδὲ Υἱοῦ*. Καὶ μετὰ πλείστα τὸ ῥηθὲν ὅπερ καὶ προτεθείκαμεν· *Ἀμφότερα κατοι-*

bis omnibus antiquius cum sit, reliqua omnia quæcunque illa sint, resoluta in sese recipiat. Et hoc procedere, uti reliqua alia resolutum in illud *est*, ab Ecclesiæ doctis præceptoribus in exsistentiam suo modo Spiritus desumitur, illius erga Filium differentiam indicans, et diversum erga eum exsistentiæ modum. Namque, *ut nomen generationis præteriret Scriptura, processionis nomen*, ut Joannes Chrysostomus tradit, *usurpavit*. Cum itaque sibi proponunt, Spiritus exsistentiæ modum exprimere, tum processionis vocem assumunt; cum de simplici solaque exsistentia illius sermonem faciunt, tum una excepta generatione, quæ propria Filii est, reliquis aliis verbis utuntur, et potissimum cum illum ex Filio prædicant, quod modus exsistentiæ tunc nulli dubius remanet. Quis enim unquam audiens Spiritum sanctum ex Filio, generationem esse comprehendet, quæ ex eo divina exsistentia est? Propterea ut plurimum aliis eam dictionibus denotant, quibus omnibus consequenter modus illius exsistentiæ indicatur, processio scilicet, hoc si a quoquam ex iisdem concipiatur erit secundum alium modum generatio. Namque in causatis in sancta et divinitatis principe Triade hæc duo tantummodo sola modum exsistentiæ connotare apta nata sunt. Erit igitur illi, qui processionem in illis intelligere abnuet, Spiritus sanctus genitus, quo potestne excogitari absurdius? Sic verba, quæ per se stant, omnia pronuntiata de Spiritu, modis omnibus et necessario processio consequitur: idque scientes Patres, quibus a Spiritu sancto res theologicas pertractare datum est, de simplici exsistentia illa usurparunt; et multo promptius, ut jam diximus, cum Spiritum esse ex Filio aperte significarunt, quod illa ratione modus a nullo in dubio poneretur. Namque Spiritum sanctum asserentes ex Patre exsistere, sæpius procedere usi sunt, tanquam quod inter ipsum et Filium discrimen exprimat, qui et ipse inde ex Patre ortum agnoscit. Sæpe etiam hanc dictionem uti dictum evangelicum collocant, confirmare volentes Spiritus ex Patre divinam exsistentiam, quemadmodum et dictum alterum, *De meo accipiet*, assumunt, ut testimonium Dominicum, cum ostendere conantur, exsistentiam habere etiam ex Filio Spiritum sanctum. Hisque contradici minime posse, abunde probabunt inclytus Epiphanius, et admirabilis Cyrillus. Epiphanius enim in Ancyroto apertissime clarissimeque hæc profert: *Spiritus sanctus non frater fratris, non patris frater, sed ex eadem essentia Patris et Filii. Namque et ipse Unigenitus dicit*: « *Spiritus Patris*, et, « *Qui ex Patre procedit*, » et, « *De meo accipiet*, » *ne alienus reputaretur Patris et Filii*. Et multis additis dictum antea quoque a nobis allatum: *Uterque inhabitat in homine justo, Christus et Spiritus illius. Quodsi Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ab utroque, ut ait Christus*, « *qui a Patre procedit*, » et, « *hic de meo*

Digitized by Google Распознавание текста ABBYY FR

accipiet. » Et hæc quidem venerabilis Epiphanius. At vero vere admirabilis Cyrillus, in tractatu in Joannem evangelistam, quem ille probe elaboravit in credentium commodum, in illud : « *Ille me glorificabit, quod de meo accipiet,* » divinum dictum post nonnulla hæc de Spiritu profert : *Cum vero consubstantialis sit Filio et progrediatur, uti Deum addecet per ipsum, omnem illius rebus in omnibus perfectissimam habens operationem et virtutem, propterea ait :* « *De meo accipiet.* » *Subsistere enim ipsum secundum seipsum Spiritum credimus, esseque revera, quod est et dicitur. Inexsistens enim in essentia Dei prodit, et progreditur ex ipsa.* Cum antea dixisset de Spiritu : *Quandoquidem progreditur per Filium, propterea dicit Dominus noster,* « *De meo accipiet,* » illius progredi per Filium hanc postmodum probationem subnectit : *Uti inexistens essentiæ Dei prorsus ex illa prodit et progreditur,* illud, *per Filium,* et illud, *ex essentia Dei,* necnon et illud, « *De meo accipiet,* » in eodem significatu assumens, in fine hujusce expositionis habet : *Nihil igitur detrahitur Spiritui, neque convitio subjacet, cum accipere dicitur ab Unigenito Spiritus illius ; namque cum progrediatur naturaliter per ipsum, ut proprius ejus, cum omnibus quæ absolute habet, accipere dicitur quæ sua sunt.* Ad hæc in dictum : « *Non enim loquetur a seipso,* » hæc ad verbum magis manifeste edisserit : *Propterea id adnexuit :* « *Futura annuntiabit vobis,* « *quod omnino ex mea essentia Spiritus, et quasi mens mea est, quod eloquetur ille futura, sicuti et ego. Namque antea dixi :* « *Etsi non potestis hæc omnia addiscere.* » Sic ex voce illa Domini, *De meo accipiet,* hic quoque argumenta sumens, confirmat, etiam ex Filio Spiritum sanctum exsistentiam habere : aliam vero *ex Patre procedere,* uti evangelicum testimonium ponit, ad ostendendum ex eo adorandi Spiritus divinam exsistentiam. Et huic Dominico dicto adamussim correspondere præcedens Salvatoris dictum, *Spiritus* nempe *veritatis,* et id idem nec aliud innuere, sapientissime probat, tantummodo sententiam a Patre in personam Unigeniti transferens. Hic enim veritas est. Quare illius verba in medium adducam, in illud : « *Cum igitur venerit Paracletus.* » *Ecce enim, ecce Spiritum dicit veritatis, suimetipsius nempe, Paracletum cum dixisset, a Patre eum procedere tradit. Quemadmodum enim est Spiritus proprius Filii, naturaliter in ipso exsistens, et per ipsum progrediens, ita et Patris.* Et post pauca ejusdem pericopes, rursus superioribus similia scribit : *Itaque in eodem loco et essentiæ unitatem ostendens, suimetipsius inquam, et Dei et Spiritum veritatis Paracletum esse asserens, a Patre eum dicit procedere.* Et præcedente oratione resumit : *Cum Spiritus veritatis, meus nempe, qui a Patre procedit, ille testimonium perhibebit de me.* » *Perhibebit vero quomodo? Cum enim in vobis et per vos admirabilia operabitur, testis erit justus verusque meæ divinæ auctoritatis, et in virtute magnitudinis.*

A κεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησὶν ὁ Χριστὸς, « Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ, « Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. » Καὶ ταῦτα μὲν Ἐπιφάνιος ὁ σεπτός. Ὁ δέ γε θαυμάσιος ὄντως Κύριλλος ἐν τῇ κατὰ Ἰωάννην τὸν Εὐαγγελιστὴν πραγματείᾳ τῇ παρ' αὐτοῦ πονηθείσῃ καλῶς καὶ πρὸς ὠφέλειαν τῶν πιστῶν εἰς τὸ, « Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, » θεῖον ῥητὸν, μετά τινά φησιν οὕτω περὶ τοῦ Πνεύματος· Ἐπειδὴ δὲ ὁμοούσιόν τέ ἐστι τῷ Υἱῷ, καὶ πρόεισι θεοπρεπῶς δι' αὐτοῦ πᾶσαν ἑαυτοῦ τὴν ἐφ' ἅπασι τελεωτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν, διὰ B τοῦτό φησιν ὅτι « Ἐκ τοῦ ἐμοῦ λήψεται. » Ὑφεστάναι γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ Πνεῦμα πιστεύομεν· εἶναί τε κατ' ἀλήθειαν τοῦθ' ὅπερ ἔστι τε καὶ λέγεται. Ἐνυπάρχον τε μὴν τῇ οὐσίᾳ τοῦ Θεοῦ προκύπτει τε καὶ πρόεισιν ἐξ αὐτῆς. Πρώην εἰπὼν περὶ τοῦ Πνεύματος, ὡς Ἐπεὶ πρόεισι διὰ τοῦ Υἱοῦ, διὰ τοῦτό φησιν ὁ Κύριος ἡμῶν ὅτι « Ἐκ τοῦ ἐμοῦ λήψεται, » τοῦ προϊέναι διὰ τοῦ Υἱοῦ τοῦτο, μεθύστερον ἐπιφέρει κατασκευήν, Ὡς ὑπάρχον τῇ οὐσίᾳ τοῦ Θεοῦ πάντως ἐξ αὐτῆς προκύπτει καὶ πρόεισιν, ἴσον τὸ διὰ τοῦ Υἱοῦ κεκτημένος· καὶ τὸ, « ἐκ τῆς οὐσίας γε τοῦ Θεοῦ, » κἀντεῦθεν δεχόμενος εἰς τὴν αὐτὴν ἔννοιαν, καὶ τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται. » Λέγει δὲ πρὸς τὸ τέλος αὖ ταύτης τῆς ἐξηγήσεως· Ἀκατηγόρητον οὖν ἄρα παντελῶς, καὶ λοιδορίας ἀπάσης ἔξω κείσεται, τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ Μονογενοῦς τὸ Πνεῦμα αὐτοῦ· προϊὸν γὰρ δι' αὐτοῦ φυσικῶς, ὡς Ἴδιον αὐτοῦ C μετὰ πάντων ὧν ἔχει τελείως, λαμβάνειν λέγεται τὰ αὐτοῦ. Πρὸς τούτοις εἰς τὸ ῥητὸν τὸ, « Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, » ταῦτά γε μὴν διείξεισι πρὸς ἔπος ἀριδηλότερον· Διὰ γάρ τοι τοῦτο προστέθεικεν, ὅτι « Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν, » ὅτι δὴ πάντως ἐκ τῆς ἐμῆς οὐσίας τὸ Πνεῦμά ἐστι, καὶ οἷον ἐμός ἐστι νοῦς, τὸ ἐξεῖν αὐτὸν τὰ ἐσόμενα, καθάπερ ἐγώ. Προείρηκα γάρ, « Εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν. » Οὕτω περὶ τῆς, Ἐκ τοῦ ἐμοῦ λήψεται, τοῦ Κυρίου φωνῆς D καὶ οὗτος διαλαβὼν, ἔνθεν παρίστησιν ὅτι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχει τὴν ὕπαρξιν. Τὴν δὲ ἐκ Πατρὸς ἐκπορεύεσθαι ῥῆσιν, ὡς εὐαγγελικὴν μαρτυρίαν τιθεὶς εἰς ἀπόδειξιν τῆς ἐξ αὐτοῦ θείας ὑπάρξεως τοῦ προσκυνητοῦ Πνεύματος, τὸ αὐτὸ τῇ τοιαύτῃ Δεσποτικῇ ῥήσει, καὶ τὸ πρότερον παρὰ τοῦ Σωτῆρος λεχθὲν, τὸ Πνεῦμα δηλαδὴ τῆς ἀληθείας δύνασθαι καὶ δηλοῦν κατασκευάζει σοφώτατα, μόνην τὴν διάνοιαν μεταφέρων ἀντίκρυς ἀπὸ τοῦ Πατρὸς ἐπὶ τὸ πρόσωπον τοῦ Μονογενοῦς. Οὗτος γὰρ ἡ ἀλήθεια. Καὶ γοῦν ἵνα τῶν αὐτοῦ μνησθείην ῥητῶν, εἰς τὸ, « Ὁπόταν οὖν ἔλθῃ ὁ Παράκλητος. » Ἰδοὺ γὰρ, ἰδοὺ λέγει Πνεῦμα τῆς ἀληθείας. τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαι φησιν. Ὥσπερ γάρ

Digitized by Google Распознавание текста АВК/FR

ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊόν, οὕτω καὶ τοῦ Πατρός. Καὶ μετὰ βραχέα τινὰ τῆς τοιαύτης περικοπῆς εὑρηται πάλιν τοῖς προσέχουσιν οὕτω φθεγγόμενος· Ἐν ταυτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἐνότητα παραδεικνὺς ἑαυτοῦ τε, φησὶ, καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, Πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι φησι. Καὶ πάλιν παρακατιὼν ταῦτα κατ' ἐπανάληψιν, « Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητος, φησὶ, τὸ Πνεῦμα τῆς ἀληθείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Μαρτυρήσει δὲ πῶς; Ἐνεργῆσαν γὰρ ἐν ὑμῖν τε καὶ δι' ὑμῶν τὰ παράδοξα, μάρτυς ἔσεται δίκαιός τε καὶ ἀληθὴς τῆς ἐμῆς θεοπρεποῦς ἐξουσίας, καὶ τῆς ἐν δυνάμει μεγαλειότητος. Ἐμὸν γὰρ Πνεῦμα τὸ ἐνεργοῦν ἐν ὑμῖν. Ὅσκερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ Θεοῦ καὶ Πατρός. Ἐνταῦθα δείκνυται φανερῶς ὁ θεῖος καὶ σεπτὸς Κύριλλος εἰς μίαν καὶ τὴν αὐτὴν ὄντως ἔννοιαν συνάγων ἀμφότερα τὰ ῥητὰ, « τὸ Πνεῦμα, φημὶ, τῆς ἀληθείας, καὶ τὸ, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι· » καὶ τοῦτο παρ' ἄλλου δεδίδακται θεηγόρου Πατρός. Τίς δέ ἐστιν οὗτος; Ὁ πολὺς τὴν σοφίαν Βασίλειος, ὃς ἐν μὲν τοῖς κατ' Εὐνομίου καὶ Ἀρείου λόγοις τρανότατα ταῦτά φησι· Τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω, « Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Πρὸς δὲ τὸ τέλος τῶν κατ' Εὐνομίου λόγων οὕτω διέξεισιν· Πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον διαιρεῖν ἀπὸ τοῦ Θεοῦ τὸ Πνεῦμα, τοῦτο μὲν τοῦ Ἀποστόλου συνημμένως ἡμῖν παραδιδόντος, καὶ νῦν μὲν Χριστοῦ λέγοντος, νῦν δὲ τοῦ Θεοῦ ἐν οἷς γράφει, « Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· » καὶ πάλιν· « Ὑμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. » Τοῦτο δὲ τοῦ Κυρίου τὸ Πνεῦμα τῆς ἀληθείας λέγοντος, ἐπειδὴ αὐτὸς ἡ ἀλήθεια, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Πρόσεχε, ὁ νῦν ἀκροώμενος, πῶς ὁ μέγας Βασίλειος ταύτας τὰς ἀποστολικὰς ῥήσεις καὶ τὰς εὐαγγελικὰς συναθροίσας εἰς ἓν, τὸ Πνεῦμα τὸ ἅγιον δι' αὐτῶν οἰκεῖον καὶ ἀδιαίρετον τοῦ Πατρὸς εἶναι καὶ τοῦ Υἱοῦ σαφέστατα λίαν ἐγνωμοδότησεν. Ὢ; ἂν δὲ καὶ Κύριλλον τὸν στερρὸν ὑπέρμαχον τῆς εὐσεβείας εἰδῇς, τίνα δὴ τρόπον τὰς εὐαγγελικὰς τοιαύτας φωνὰς ἐξηγήσατο, καὶ τὴν τούτου διάνοιαν ὡσαύτως ἔχουσαν τῇ ἐκείνου καλῶς κατανοήσας, καὶ μὴ διαλλάττουσαν ὅλως καταλαβών· τὸ γὰρ τοῦ Πνεύματος πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ἀχώριστον δι' αὐτῶν καὶ οὗτος, καὶ ὡς ἴδιόν ἐστι τούτοις ἡρμήνευσε, γνώσῃ πρὸς ἀκρίβειαν ἐν ταὐτῷ τὸν τῶν ἑκατέρων σκοπὸν, εἰς ὃ τι δηλαδὴ φέρει τὰ τῶν ἱερῶν τούτοις χρήσεων. Ἐπειπερ καθ' ὃν λόγον παρειλήφασιν εἰς μαρτυρίαν τὸ ἐκπορεύεσθαι παρὰ τοῦ

Meus enim est Spiritus qui operatur in vobis. Uti vero meus est, ita et Dei et Patris. Hic perspicue divinus venerabilisque Cyrillus, in unam eamdemque sententiam utraque ex dicto, « *Spiritus*, inquam, *veritatis, et qui a Patre procedit*, » referre ostenditur, idque ab alio divinoloquo Patre edoctus. Quis vero hic est? Divinissimus Basilius, qui tum in sermone adversus Eunomium Ariumque hæc continet affirmanter : *Erga Patrem conjunctionem intelligo, quia a Patre procedit, erga Filium vero, quoniam audio :* « *Si quis Spiritum Christi non habet, hic non est ejus;* » tum in fine orationis adversus Eunomium edisserit : *Quomodo vero non est manifesti periculi plenum, a Deo Spiritum dissociare, cum illum Apostolus conjunctum nobis tradat, nunc Christi vocans, nunc Dei, cum scribit :* « *Si quis Spiritum Christi non habet, hic non est ejus.* » *Et iterum :* « *Vos vero non Spiritum mundi accepistis, sed Spiritum qui ex Deo est* [69]. » *Dominus vero veritatis Spiritum esse dicit, quoniam ipse est veritas et a Patre procedit.* Attendito qui nunc audis, qua ratione magnus Basilius hæc apostolica atque evangelica dicta in unum colligens, Spiritum sanctum per illa proprium atque indivisum a Patre esse et Filio manifestissime calculo suo manifestavit. Ut vero etiam Cyrillum validum pietatis propugnatorem perspicias, quonam modo dicta similia evangelica interpretatur, et sententiam hujusce pariter Basilianæ concordem nec minimum distantem recte deprehendas : cum Spiritum a Patre et Filio non separari per hæc eadem et ipse, uti illis proprium est, explanans, exquisite cognoscito amborum in adducta materia propositum, quid nempe sacra hæc dicta apud illos innuant, quandoquidem qua *procedere a Patre* in testimonium assumpserunt, illa eadem ratione et sequentem dictionem, *Spiritum* nempe *veritatis* intelligi tradiderunt. Si itaque a Patre exsistentiam divini adorandique Spiritus primum notat, secundum item significat, modis omnibus etiam ex Filio Spiritum sanctum exsistentiam habere, quemadmodum et illud, *De meo accipiet*, divinum dictum, ut oratio non multo antea demonstravit. Quare quantum ad Spiritus simplicem exsistentiam, quid amplius importat decantatum adeo ab adversariis nostris *procedit*, quo vel solo hi omnes significatum exsistentiæ adorandi Spiritus circumcludere conantur? Sed quod mea in ipso sui exordio assumpserat oratio, hic plane apertissimum universis remanet, venerandos Patres sæpenumero *procedendi* vocem uti vocem Dominicam usurpasse, ad comprobandam ex Patre divinam sancti et vitæ auctoris Spiritus exsistentiam, uti et vocem illam, *De meo accipiet*, veluti testimonium evangelicum accipiunt; namque quod in medio adjacet Dominicum aliud dictum, *Spiritus*, inquam, *veritatis*, nunc prætereo. Spiritum nempe sanctum etiam

[69] I Cor. II, 12.

Digitized by Google Распознавание текста ABBYY FR

ex Filio divinam suam exsistentiam vere possidere. Propterea *procedendi* dictione nonnulli ex Patribus certo tempore utuntur, cum scilicet Spiritum sanctum ex Patre decernunt.

A *Πατρὸς*, κατ' ἐκεῖνον καὶ τὴν λοιπὴν ῥῆσιν αὐτὴν, τὸ *Πνεῦμά* φημι *τῆς ἀληθείας*, παραδεδώκασιν. Εἰ τοίνυν τὴν παρὰ τοῦ Πατρὸς ὕπαρξιν τοῦ θείου καὶ προσκυνητοῦ Πνεύματος τὸ πρωτον δηλοῖ, σημαίνει καὶ τὸ δεύτερον πάντως καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν τὴν ὕπαρξιν, καθάπερ καὶ τὸ, *Ἐκ τοῦ ἐμοῦ λήψεται*, θεῖον ῥητὸν, ὡς ὁ λόγος μικρὸν ἄνωθεν προφθάσας ἀνέδειξε. Καὶ λοιπὸν, ὅσην πρὸς τὴν τοῦ Πνεύματος ἁπλῶς ὕπαρξιν, τί πλέον αὐχεῖ τὸ πολυθρύλλητον παρὰ τοῖς ὑπεναντίοις ἡμῶν, *ἐκπορεύεται*, πρὸς ὃ μονον ἅπαντες οὗτοι σπεύδουσι περικλείειν κακῶς τὴν σημασίαν τῆς ὑπάρξεως τοῦ προσκυνητοῦ Πνεύματος; Ἀλλ' ὅ μοι κατ' ἀρχὰς ὁ λόγος διέλαβεν ὁρμηθείς, ἐνταῦθα μάλιστα φανερὸν τοῖς πᾶσι καθέστηκεν, ὅτι τὸ *ἐκπορεύεσθαι* πολλάκις οἱ σεπτοὶ Πατέρες τιθέασιν ὡς χρῆσιν Κυριακὴν εἰς παράστασιν τῆς ἐκ τοῦ Πατρὸς θείας ὑπάρξεως τοῦ ἁγίου καὶ ζωαρχικοῦ Πνεύματος, ὥσπερ καὶ τὴν, *Ἐκ τοῦ ἐμοῦ λήψεται*, φωνὴν, ὡς μαρτυρίαν εὐαγγελικὴν δέχονται. Τὸ γὰρ λεχθὲν διὰ μέσου Δεσποτικὸν ἄλλο ῥητὸν, *τὸ Πνεῦμα*, φημὶ, *τῆς ἀληθείας*, ἰδοὺ παρίημι τοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ τὴν θείαν αὐτοῦ τῷ ὄντι πλουτεῖν ὕπαρξιν. Διὰ τοῦτο τῷ *ἐκπορεύεται* χρῶνταί τινες τῶν ἁγίων κατὰ καιρὸν, ἡνίκα δηλαδὴ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς δογματίζουσιν.

30. Quodsi quia apud illos, ut opinantur adversarii, vox ista procedendi nulla est, cum etiam ex Filio Spiritus exsistentiam enuntiant, ideo non opinantur quodammodo Spiritum sanctum etiam ex Filio procedere, quid inquient, si quis contra rem examinans ab ipsis petat : Vos vero, o viri optimi, creditis Spiritum sanctum a Patre accipere quamcunque illam acceptionem animo concipiatis? Non discordabunt a nobis de hac, quod non opportuna veniat, cum neque in divinis litteris inveniatur ex Patre Spiritum sanctum accipere. Plane statim respondebunt, si quid eos pietatis amor concitat : Neque a Deo accipiat salutem corporis et animæ, quisquis non tenet, Spiritum sanctum a Patre accipere. Postmodum qua ratione fatentur se tenere Spiritum sanctum a Patre accipere, et potissimum cum id a nullo sancto, ut ipsi cate sciunt, ullo modo asseratur : Spiritum vero sanctum adorandumque procedere etiam ex Filio, quod dictio hæc, ut ipsi existimant, nominatim non inveniatur, quam longissime pellunt, licet per alia verba idem pollentia eaque multa ab omnibus Patribus edoceantur? Et si apud alios, apud me certe non sunt ambarum harum vocum multum ad pietatem conferentium justi et integri cognitores. Sententiam etenim, quæ haud est integra adversariis, piam esse præsens hæc oratio æquis lectoribus jam antea demonstravit, et non multo post clarius perfectiusque demonstrabit. Nihilominus major pars divinilocuorum Patrum, quemadmodum et aliam, ita et hanc taciti prætermerunt, non eam reprobantes, nequaquam, absit hoc! sed conservantes *processionis* vocem, uti Dominicum testimonium approbandum ex Patre datoris vitæ ac principis Spiritus exsistentiam, quemadmodum rursus *acceptionis* sartam tectamque custodientes, ut dictum Dominicum, ad demonstrandum etiam ex Filio Spiritus sancti exsistentiam.

B λ'. Εἰ δ' ὅτι παρ' αὐτοῖς ἡ λέξις οὐχ εὕρηται κατὰ τοὺς ἀνθεστηκότας ῥητῶς, ἡνίκα καὶ ἐκ τοῦ Υἱοῦ τὴν τοῦ Πνεύματος θεολογοῦσι τελεῖν ὕπαρξιν, τούτου δὴ χάριν οὐ δοξάζουσιν οἱ τοιοῦτοι ποσῶς ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· τί φήσουσιν, εἴ τις ἔροιτο πρὸς αὐτοὺς κατὰ λόγον ἀντιπαρεξετάσεως· Ὑμεῖς δ' οὐ πρεσβεύετε λαμβάνειν, ὦ βέλτιστοι, τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Πατρὸς, ἥντινα νοεῖν βούλεσθε λῆψιν; Οὐ διοίσονται νῦν περὶ ταύτης διὰ τὸ ἄκαιρον· ἐπεὶ μηδ' εὑρίσκεται παρὰ τῇ θείᾳ Γραφῇ λαμβάνειν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον. Πάντως ἀποκριθήσονται παρευθὺς, εἰ κατ' εὐσέβειαν ζῆλον ἔχουσι, Μὴ δὴ λάβῃ παρὰ Θεοῦ μὴ σωτηρίαν σώματος, μὴ ψυχῆς, ὅστις μὴ φρονεῖ λαμβάνειν παρὰ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον. Εἶτα C πῶς τὸ μὲν λαμβάνειν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ὁμολογοῦσι φρονεῖν, καὶ ταῦτα παρ' οὐδενὸς τῶν ἁγίων, καθὼς ἐπίστανται καὶ αὐτοὶ, μηδόλως λεγόμενον, τὸ δέ γε τὸ ἅγιον Πνεῦμα καὶ προσκυνητὸν ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ, διὰ τὸ μὴ τὴν λέξιν κατ' αὐτοὺς ἐκείνους εὑρίσκεσθαι ῥητῶς ἀποπέμπουσι, τὸν νοῦν δι' ὀνομάτων λοιπῶν ταυτοσημάντων πολλῶν, παρὰ πάντων ἁπλῶς τῶν Πατέρων μυσταγωγούμενοι; Κἂν ἄλλοις, ἔμοιγε τέως οὐ δίκαιοι τῷ ὄντι διαιτηταὶ τῆς τοιαύτης περὶ τὰς εὐσεβεῖς ἀμφω φωνὰς διακρίσεως. Ὅτι γὰρ καὶ ἡ τοῖς ἀνθισταμένοις ἀπόστοργος εὐσεβὴς, ἔδειξε μὲν ὁ λόγος οὗτος καὶ προλαβὼν τοῖς εὐγνώμοσι· δείξει δὲ καὶ εἰσέτι μετ' οὐ πολὺ τρανότερόν τε καὶ τελεώτε- D ρον. Πλὴν οἱ πλεῖστοι θεόφθογγοι Πατέρες ἡμῶν, ὥσπερ τὴν λοιπὴν, οὐδὲ ταύτην εἰρήκασιν, οὐκ ἀθετοῦντες αὐτὴν, οὐ τοῦτο, μὴ γένοιτο, τηροῦντες δὲ τὴν *ἐκπορεύεται* λέξιν, ὡς ἂν μαρτυρίαν Κυριακὴν εἰς παράστασιν τῆς ἐκ τοῦ Πατρὸς ὑπάρξεως τοῦ ζωαρχικοῦ Πνεύματος, καθάπερ αὖθίς γε τὸ *Λαμβάνειν* παραφυλάττουσιν ὡς χρῆσιν Δεσποτικὴν εἰς ἀπόδειξιν τοῦ κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν τὴν ὕπαρξιν.

31. Et nihilominus nonnulli sancti, rursus adversarii replicant, contra nos opponentes, aliquando Spiritum sanctum ex solo Patre procedere decreverunt. Qua igitur ratione contenditis, eosque non improbare asseveratis, etiam ex Filio Spiritum sanctum procedere? Et similis additionis

λα'. Καὶ μήν ἔνιοι τῶν ἁγίων, οἱ μαχόμενοι πάλιν φασὶν, ἀντιπροτείνοντες πρὸς ἡμᾶς, ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἐν οἷς ἐδογμάτισαν. Πῶς τοίνυν διισχυρίζεσθε, μὴ τούτους λέγοντες ἀθετεῖν τὸ ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον; Καὶ ταύτης παράγουσι

Digitized by Google Распознавание текста ABK/FR

τῆς προσθήκης γεννήτορας, οἱονεὶ τόν τε σεπτὸν Γρηγόριον τὸν Νύσσης καὶ τὸν κλεινὸν Κύριλλον, τοῦτον μὲν ὅῆθεν ἔν τινι λόγῳ τρανῶς εἰπόντα καὶ καθαρῶς, ὡς *Τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται*, καὶ τὸν λόγον οὐκ ἐμφανίζουσι μὲν πολλάκις ζητούμενον παρ' ἡμῶν, ἐπιγράφεσθαι δὲ περὶ Τριάδος πανταχοῦ διακωδωνίζουσι· τὸν δὲ Νύσσης Γρηγόριον ἐν βίβλῳ τινὶ τῇ Θεογνωσίᾳ, φημὶ, γνώριμος δὲ πᾶσι καθέστηκεν ἡ βίβλος, καὶ αὐτὸν οὕτω φάμενον· *Πνεῦμα τὸ ἐκ τῆς πατρικῆς ὑποστάσεως ἐκπορευόμενον, τοῦδ' ἕνεκα γὰρ καὶ Πνεῦμα στόματος, ἀλλ' οὐχὶ Λόγον στόματος εἴρηκεν, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται.* Τούτων τὸ μὲν πλασάμενοι, τὸ δὲ παραφθείραντες τῶν ῥητῶν, ἔχειν τι δικοῦσι τῶν ἰσχυρῶν, καὶ γενναῖον πρὸς ἄμυναν. Ἀλλ' ἐκεῖνο μὲν ὅπερ πλασάμενοι προσῆψαν τῷ σοφωτάτῳ Κυρίλλῳ κακῶς, διὰ τὸ ψεῦδος τελεῖν, ὡς ἀνυπόστατον παντελῶς, αὖραι φερέτωσαν. Δέλτους καὶ γὰρ τοῦδε τοῦ Πατρὸς οὐκ ὀλίγας ἀνελίξαντες καὶ ἡμεῖς τὸν ᾀδόμενον λόγον ἐν οὐδεμιᾷ τούτων εὑρεῖν ἠξιώθημεν, εἰ μὴ τὸ ῥητὸν καὶ μόνον γυμνὸν μετὰ τῆς λεχθείσης ἐπιγραφῆς ἐν χαρτίοις τισὶ κατὰ Ῥωμαίων γραφεῖσι περιφερόμενον. Καὶ οὗτοι δὲ τὸν τοιοῦτον ἀπαιτούμενοι παρ' ἡμῶν οὐκ ἔχουσι νῦν, οὐδ' οὐ μήποτε παρασχεῖν ἔξουσιν. Πόθεν; ὃν οὐκ ἐκδοθέντα παρά τινος οἰκοθεν αὐτοὶ τυγχάνειν ἐπλάσαντο. Τὸ δὲ τοῦ θεηγόρου καὶ θεόφρονος Γρηγορίου ῥητὸν οὐ χρεία τις λόγων ἐμοὶ τούτους νῦν ἐλέγξαι νοθεύσαντας, οὓς κάλλιστα φθάσας ἤλεγξεν ἀνήρ τις πρὸ ἡμῶν τὰ θεῖα σοφὸς, καὶ τὴν τοῦ τοιούτου ῥητοῦ νοθείαν τρανῶς ὑπ' ὄψιν παρέστησεν. Ὅμως δ' οὖν ἐπείπερ εἰκὸς μὴ τοῖς ἐκείνου συγγράμμασιν ἐντυχεῖν ἅπαντας τοὺς ἐντευξομένους τῷ καθ' ἡμᾶς παρόντι συντάγματι, τῶν τοιούτων ἕνεκεν, ἵνα μὴ δόξωμεν αὐτοῖς πόρρω που τῆς ἀληθείας τελεῖν, καὶ διὰ τοῦτο τὰ τοῦ πράγματος, ὡς ἐνὸν, ἀναβάλλεσθαί τε καὶ ὑπερτίθεσθαι, περὶ μόνης τῆς παραφθορᾶς τοῦ λεχθέντος ῥητοῦ, δηλῶσαι καὶ αὐτὸς διὰ βραχέων πειράσομαι. Σκοπὸς τῷ μεγάλῳ κατὰ τὸ διαληφθὲν τοῦτο ῥητὸν τοῦ παναγίου Πνεύματος παραστῆσαι τὴν πῶς ὕπαρξιν. Λέγει γοῦν· *Πνεῦμα τὸ τῆς Πατρικῆς ὑποστάσεως ἐκπορευόμενον,* καὶ θέλων ἐπαγαγεῖν τοῦ ἐκπορεύεσθαι τούτου κατασκευὴν, τὸν προφητάνακτα Δαυὶδ διδάσκαλον ποιεῖται φθεγξάμενος· *Τοῦδ' ἕνεκα γὰρ* « *καὶ Πνεῦμα στόματος,* » *ἀλλ' οὐχὶ* « *Λόγον στόματος* » *εἴρηκε*, καὶ τὴν ἑρμηνείαν συνεχῶς ἄριστα τούτοις ἐπήνεγκεν· *Ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα δηλαδὴ τῷ Πνεύματι μόνῳ προσοῦσαν πιστώσηται.* Τοῦτο μὲν οὕτω Γρηγόριος εἶπεν, ὁ λαμπρὸς τῆς Ἐκκλησίας φωστὴρ, προσαρμόσας τὴν ἐκπορευτικὴν ἰδιότητα μόνῳ τῷ Πνεύματι, μὴ μέντοι τῷ Υἱῷ καὶ Λόγῳ κατ' αὐτὸν τὸν θεσπέσιον ἱερῳάλτην Δαυὶδ, *ὅστις γε* « *Πνεῦμα στόματος,* » *ἀλλ' οὐχὶ* « *Λόγον στόματος,* » ὁ μέγας φησὶν, *εἴρηκεν*. Ἐπείπερ

auctores proferunt, veneramdum Gregorium Nyssenum, et inclytum Cyrillum, hunc quidem in quadam oratione plane aperteque asserentem, *Spiritum sanctum ex solo Patre procedere.* Et orationem quidem non commonstrant, licet multa cupiditate expetita sit, eam vero de Triade inscribi ubique locorum perstrepunt. Nyssenum vero Gregorium de Dei cognitione nemini non noto libro ita scribentem : *Spiritus ex paterna hypostasi procedens; propterea que Spiritum oris, non autem Verbum oris David dixit, ut procedendi proprietatem Patri soli inhærentem confirmaret.* Dum ex his unum confinxerint, aliud corruperint, rentur aliquid validum robustumque ad se tutandum obtinere. Sed confictum a se sapientissimo Cyrillo appinxerunt, quod cum plane mendacium sit, nec prorsus subsistat, ventis dissolvendum committatur. Cum enim hujusce Patris volumina eaque plurima evolverimus nos ipsi, præcantatam tantumdem orationem in nullo invenimus, nisi dictum solum nudum cum dicta præscriptione in chartulis quibusdam adversus Romanos concinnatis circumvolutum. Et hanc eamdem, si nunc exigatur à nobis, neque in præsentia, neque in futurum unquam exhibere poterunt. Quam ob causam? Quod eam confictam ex propriis assumentis in publicum ediderunt. At diviniloqui, et divina mente præditi Gregorii dictum eosdem adulterasse, non est opus mihi pluribus demonstrare, cum eos quam optime vir quidam sapiens ante nos deprehendit, et hujusce dicti corruptionem palam sub oculis posuit. Nihilominus itaque cum non inverisimile sit, illius scripta ad manus eorum pervenire non posse, qui præsens hoc nostrum commentarium legunt, eorum causa, ne videamur ipsis longe a veritate aberrare, propterea que rem differre, et in aliud tempus remittere, de sola corruptione dicti similis aliquid insinuare, brevi tamen uti potero oratione conabor. Magno huic viro propositum est in hoc dicto sanctissimi Spiritus processionis modum manifestare. Quare dicit : *Spiritus ex paterna hypostasi procedens*, et hujusce processionis probationem superaddere intendens, vate item et rege Davide magistro utitur dicens : *Id enim propter* « *et Spiritum oris,* » *sed non* « *Verbum oris* [70] » *dixit;* et interpretationem continuo optime his adnexuit : *Ut procedendi proprietatem, nempe Spiritui solo adhærentem confirmaret.* Hoc quidem hac ratione protulit Gregorius, præclarum Ecclesiæ lumen, procedendi proprietatem soli Spiritui adaptans, non vero Filio et Verbo, uti divinus sacerque cantor David egerat, *qui* « *Spiritum oris,* » *non vero* « *Verbum oris,* » magnus ait, *dixit.* Quandoquidem, ut a Deo edocti Patris sententiam magis ac magis speriam, licet Verbo oris Domini Dei, pareńs David assereret firmatos fuisse cœlos, prorsus erat unde confirmaret Filio et Verbo hanc procedendi proprietatem, quo-

[70] Psal. xxxii, 6.

Digitized by Google Распознавание текста ABBYY FR

niam quæ oris sunt, dubio procul procedentia vocare suescimus : *Quæ enim procedunt ex labiis meis non irrita faciam* [71], concinens alio in loco David pronuntiat. Nunc vero hic a Spiritu motus, *Spiritu oris*, non vero *Verbo oris* enuntians, citra omnem controversiam confirmavit soli Spiritui adhærere procedendi proprietatem. Et hoc quidem hac ratione, ut supra exposui, Gregorius in dogmatibus eximius dixit. Qui vero contraria tenent, dictum simile ad sibi complacita, non absque fraude immutarunt, dictionem *Spiritui* in vocem *Patri* invertentes, contrarium intentarunt alteri dicto. Namque in uno ex supra digestis beati Epiphanii dictis *Patris* in *Spiritus* dictionem detorserunt, ut ibi ostendimus. Sed ut inter seria aliquid jocer eorum gratia, qui dicta integra continuo immutare intendunt, prorsus lusus est unius immutabilis immutatio in aliam et ipsam unam immutabilem litteram. Sic circa cultum divinum pii similes sunt, ut veneranda sacraque dogmata cubis paria faciant, eorumque voces immutare, et jacere prorsus facile et quam expeditissimum reputent, dummodo quod sibi allubescit, sibique proponunt, corroborent. Sed suis ipsi technis hic etiam decepti sunt, tum quod sententiam integri dicti non perceperunt, tum quod majus est, quin imo maximum, quasi aliud agentes, quæ subsequitur, orationem, ut videtur, percurrerunt, quandoquidem si addecenti consideratione mentem illi applicassent, hujusce dicti corruptionem non intentassent. Namque magnus hic vir procedendi proprietatem procedente oratione Spiritus esse notam propriam facit his ipsissimis verbis : *Ut per Verbum ex mente divina paternaque nulli passioni obnoxiam et ineffabilem Filii generationem excuperemus, quod vero dicit Spiritus oris, sanctificantem et essentialem virtutem, et vitæ auctricem Spiritus hypostasim intelligeremus, procedendi proprietatis nomine designatum.* Et sanctus Pater Anastasius proprietatem divini Spiritus optime callens esse *procedere*, in sexto decimo capite libri, cui nomen *Odego* est, aperte clareque pronuntiat : *Neque enim ingenita Patris persona carnem assumpsit, neque procedens sancti Spiritus hypostasis.* Et hac ratione procedendi proprietatem Spiritus esse ostendens, multis modis supra laudati dicti corruptionem manifestissime palamque refellit. Quibus admodum perspicue inclarescit, ipsum divinum Gregorium Spiritum sanctum non ex solo Patre procedere neque in dicto jam apposito decrevisse, neque in aliis suis dictis, in quibus de Spiritu pertractavit. Quare contradicentium nobis instantia prorsus eversa prostrataque est.

ὡς ἂν τοῦ θεοσόφου Πατρὸς λευκότερον ἀπαγγεί- A τὴν ἔννοιαν, εἰ καὶ τῷ Λόγῳ τοῦ στόματος Κυρίου διηγόρευεν, ὁ θεοπάτωρ Δαυὶδ στερεωθῆναι τοὺς οὐρανούς, πάντως ἂν ὑπῆρχε προσμαρτυρῶν ἐντεῦθεν καὶ τῷ Υἱῷ καὶ Λόγῳ ταύτην τὴν ἐκπορευτικὴν ἰδιότητα · διότι τὰ τοῦ στόματος ἀτεχνῶς ἐκπορευόμενα καλεῖν οἴδαμεν. « *Τὰ γὰρ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω,* » Δαυὶδ ὁ ψάλλων ἀλλαχοῦ καὶ τοῦτό φησιν. Νῦν δ' ὁ πνευματοκίνητος οὗτος τῷ « *Πνεύματι τοῦ στόματος,* » οὐ μὴν καὶ τῷ *Λόγῳ τοῦ στόματος* εἰρηκώς, ὁμολογουμένως ἐπιστώσατο, μόνῳ τῷ Πνεύματι προσεῖναι τὴν ἐκπορευτικὴν ἰδιότητα. Τοῦτο μὲν οὕτω, καθὼς ἄνωθεν ἔφθην διαλαβών, Γρηγόριος εἶπεν, ὁ διαπρεπὴς ἐν τοῖς δόγμασιν. Οἱ δ' ἐναντίως ἔχοντες τὸ τοιοῦτον B ῥητὸν πρὸς τὸ τούτοις δοκοῦν κακοσχόλως ἠλλοίωσαν, μεταβαλόντες τὴν *Πνεύματι* λέξιν εἰς τὴν *Πατρὶ* τἀνάπαλιν, οὗ κατ' ἄλλο ῥητὸν πεποιήκασιν. Ἐν γὰρ ἑνὶ τῶν ἄνωθεν προτεθέντων τοῦ μάκαρος Ἐπιφανίου ῥητῶν, μετέβαλον τὴν *Πατρὸς* εἰς τὴν *Πνεύματος*, καθὼς ἐκεῖσε παρεδηλώκαμεν · ἵνα δὲ σπουδάζων καὶ προσπαίζω τι μεταξὺ τοῖς ὅλα ῥητὰ μεταβάλλειν ἀεὶ σπεύδουσι, πάντως παίγνιον ἑνὸς ἀμεταβόλου μεταβολὴ, πρὸς ἕτερον καὶ αὐτὸ στοιχεῖον ἓν ἀμετάβολον. Οὕτω κομιδῇ περὶ τὰ θεῖα τυγχάνουσιν εὐλαβεῖς, ὡς κύβοις τὰ σεπτὰ παρεικάζειν καὶ ἱερὰ δόγματα, καὶ τὸ μεταπεττεύειν καὶ μεταῤῥιπτεῖν τὰς τούτων φωνὰς ῥᾴδιον παντελῶς καὶ τῶν εὐχερεστάτων λογίζεσθαι, μόνον ὡς ἂν τὸ κατὰ γνώμην αὐτοῖς καὶ ὅπερ ἂν αἱροῖντο συστήσωσιν. Πλὴν C ἠπάτηνται κἀνταῦθα, τὸ μὲν οἷα μηδαμῶς συνιδόντες τὴν διάνοιαν τοῦ ὅλου ῥητοῦ, τὸ δὲ μεῖζον, ἢ μᾶλλον μέγιστον, οἷα παροδικῶς διελθόντες τὸν ἑξῆς λόγον, ὡς ἔοικεν, ἐπείπερ, εἰ μετὰ διασκέψεως πρεπούσης τὸν νοῦν προσεῖχον αὐτῷ, τοῦ τοιούτου ῥητοῦ τὴν νοθείαν οὐκ ἂν οὐδ' ἐπεχείρουν ἐργάσασθαι. Καὶ γὰρ οὗτος αὐτὸς ὁ μέγας τὴν ἐκπορευτικὴν ἰδιότητα παρακατιὼν ἀριδήλως τοῦ Πνεύματος λέγει χαρακτηριστικὴν, ταῦτα ῥητῶς ἐκτιθέμενος· *Ἵνα διὰ μὲν τοῦ Λόγου εἰπεῖν τὴν ὡς ἐκ νοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἀπαθεστάτην καὶ ἄῤῥητον τοῦ Υἱοῦ παραδεξώμεθα γέννησιν, διὰ δὲ τοῦ εἰρηκέναι Πνεῦμα στόματος τὴν ἁγιαστικὴν καὶ οὐσιώδη δύναμιν καὶ ζωαρχικὴν τοῦ Πνεύματος ὑπόστασιν ὑπολάβωμεν, τῷ τῆς ἐκπορευτικῆς ἰδιότητος ὀνόματι* D *δηλονότι χαρακτηριζομένην.* Καὶ ὁ ἐν ἁγίοις δὲ Πατὴρ Ἀναστάσιος, εἰδὼς ἰδίωμα τοῦ θείου Πνεύματος εἶναι τὸ *ἐκπορευτικὸν* ἐν ἑξκαιδεκάτῳ κεφαλαίῳ τῆς αὐτοῦ βίβλου τῆς Ὁδηγοῦ κεκλημένης παρίστησι, τρανῶς ἄγαν φάμενος · *Οὐ γὰρ τὸ ἀγέννητον τοῦ Πατρὸς πρόσωπον ἐσαρκώθη, οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου Πνεύματος ὑπόστασις.* Οὕτω μὲν ὁ λόγος τὴν ἐκπορευτικὴν ἰδιότητα δείξας τελεῖν τοῦ Πνεύματος πολλαχῶς ἐντεῦθεν τὴν παραφθορὰν τοῦ διαληφθέντος ῥητοῦ σαφέστατα καὶ προδήλως διήλεγξεν. Ἐξ ὧν λίαν ἀναπέφανται καθαρῶς ὅτι μηδ' αὐτὸς ὁ θεῖος Γρηγόριος τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι κατ' αὐτὸ δεδογμάτικεν, ὥσπερ οὐδ' ἐν τοῖς λοιποῖς οἰκείοις ῥητοῖς, ὅσοις εἰπεῖν ἔφθη περὶ τοῦ Πνεύματος. Καὶ λοιπὸν τὰ τῆς ἐνστάσεως τῶν ἀντιλεγόντων ἀνετράπη ἡμῖν παντάπασιν, κἀνταῦθα καταβέβληται.

[71] Psal. LXXXVIII, 35.

Digitized by Google Распознавание текста ABK/FR

κβ'. Τέως ἡμεῖς χαριζόμεθα ταύτην φιλοτιμότατα τὴν προσθήκην αὐτοῖς. Ἔστω, φαμὲν, ὡς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται· τί καὶ οὕτω δυνήσονται τὸν λόγον λυμήνασθαι τὸν ἡμέδαπόν; Εἰς ἀναίρεσιν ἁπλῶς φθέγξονται τοῦ κἀκ τοῦ Υἱοῦ τοῦτο λέγεσθαι. Καὶ μὴν οἱ Πατέρες, ἡ Ἀλήθεια δὲ πρὸ τούτων, ἧς κήρυκες οὗτοι καὶ ὁ κατ' ὀρθὴν διάνοιαν λογισμὸς οὐ τοῦτον οἶδασι τὸν τρόπον ἐκδέχεσθαι τὴν τοιαύτην φωνὴν, ὅταν ἐπὶ τοῦ Πατρὸς κειμένην εὑρήσουσιν, ἢ κατὰ τὰς λήρους αὐτῶν ὑποθέσεις. Ἐπὶ πρὸς τὸν Πατέρα φησὶν ἐν Εὐαγγελίοις ὁ Κύριος· *Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν*. Οὗτος αὐτὸς, ἀλλὰ τὸ βλάσφημον εἰς τὰς κεφαλὰς τρέποιτο τῶν ἡμᾶς ἐξερεύγεσθαι τοιαῦτα τοῦ στόματος καταναγκαζόντων, Θεὸς ἄρα ψευδώνυμος. Καὶ πῶς τοῦτο δόξειεν ἂν ἡ κυρίως ἀλήθεια; Πάλιν δ' ἐπὰν ἀκούσωμεν Χριστοῦ λέγοντος· « *Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν εἰ μὴ μόνος ὁ Πατὴρ*, » οὐ δώσομεν καὶ αὐτῷ τῷ τοῖς ἀποστόλοις καὶ μαθηταῖς τὰ πρὸ αὐτῶν τε καὶ μετ' αὐτοὺς πάντα γνωρίσαντι ταύτην τὴν εἴδησιν; Πρὸς τούτοις εἴ καὶ τὰς ἀποστολικὰς θεοπνεύστους φωνὰς, αἵτινες διαρρήδην περὶ τοῦ Πατρὸς καταγγέλλουσι, τῇ μὲν ὅτι *μόνος σοφὸς Θεὸς*, τῇ δὲ *μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον*, καὶ ἀλλαχοῦ, *βασιλεὺς τῶν αἰώνων, ἄφθαρτος, ἀόρατος, μόνος Θεὸς σοφὸς*, εἰ καὶ ταύτας ἐκλαβώμεθα, καθὼς βούλεται τούτοις ὁ νοῦς, πάντων αὐτῶν τἀναντία τοῦ Υἱοῦ καταψηφισόμεθα, καὶ δηλώσομεν τῆς μὲν σοφίας Θεοῦ κατηγοροῦντες τὸ παντελῶς ἄσοφον, τῆς ζωῆς θάνατον, τοῦ πρώτου φωτὸς σκότος ἔσχατον, τοῦ τῶν αἰώνων δεσπόζοντος, ὡς αὐτοῦ τούτων δημιουργοῦ, βουλεῖαν ὑστερογενῆ, καὶ χρόνων τινῶν δευτερεύουσαν, τοῦ πρὸς τὸν κόλπον τὸν πατρικὸν ὄντος Μονογενοῦς ὕλην σωματικὴν καὶ πάχος αἰσθητῆς φύσεως, ἐξ ὧν ὅλως ἀθετήσομεν καὶ τὸ Θεὸν τοῦτον τελεῖν· ὅπερ ἐστὶν ὡς ἀληθῶς τῶν εἰρημένων κεφάλαιον, τῆς τούτων τῶν ὑποφυῶν αὐχημάτων ἀλλοτριότητος, καὶ θεοπρεπῶν προξενούσης, ὡς εἰκὸς, ἀλλοτρίωσιν καὶ τῆς οὐσίας καὶ τῆς θεότητος, ὡς εἶναι κενὸν τὸ κήρυγμα τὸ κατὰ Χριστὸν, ματαίαν δὲ καὶ τὴν πίστιν ἣν παρειλήφαμεν. Ἀλλ' ἐπείπερ ἄνωθεν τὴν μαρτυρίαν ἔχοντες παρὰ τοῦ Πατρὸς, *Οὗτος γάρ*, φησὶν, *ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε*, περί τε τὸ κήρυγμα καὶ τὴν πίστιν ἡμῶν πεπληροφορήμεθα, Θεὸς ὁμολογουμένως πέφυκεν ὁ Θεὸς Υἱὸς, καὶ τῆς τοῦ γεννήτορος οὐσίας καὶ φύσεως. Τούτου δὲ φανέντος καὶ τὰ λοιπὰ πάντως ἐστὶν, ἅπερ ἀπηριθμησάμεθα, νῦν καθέκαστον τοῖς πᾶσιν ἁπλῶς, ἀόρατος δηλαδὴ, τῶν αἰώνων βασιλεὺς, ἤτοι Κύριος, φῶς ἀπρόσιτον κατοικῶν, ἀθανασία, πέλαγος, προσέτι σοφὸς, καὶ τῆς σοφίας ὁτῃοῦν πάντα πλουτῶν ταῦτα τὰ τοῦ γεννήτορος, ἀπὸ τῶν τελευταίων αὐτῶν ἐπὶ τὰ πρότερα πρὸς τὸ παρὸν ὁ λόγος ἐπανιὼν οὕτως ἵσταται, καλῶς ἔχων,

32. Nos nihilominus cum ipsis humanissime agentes hanc illis additionem concedimus. Esto, dicimus Spiritum sanctum ex solo Patre procedere, in quo etiam hoc dato nostrum sermonem lædere poterunt? Dicent tum omnino everti, etiam ex Filio illum dici. Et nihilominus Patres, et ante eos Veritas, cujus ipsi præcones, et recta mentis consideratio non sinunt similem vocem hoc connotare, cum de Patre eam pronuntiari inveniunt, ni stultæ eorumdem hypotheses admittantur. Quandoquidem ad Patrem ait Dominus in Evangelio: *Ut cognoscant te solum Deum verum* [72]. Hic ipse ergo, sed blasphemia in eorum capita convertatur, qui cogunt nos similia ore profari, falso sibi Dei nomen assumit. Et quo modo id fuerit, quæ proprie veritas est? Rursus cum audimus Christum dicentem: *De die autem illo, sive hora nemo novit nisi solus Pater* [73], negabimusne ipsi, qui apostolis et discipulis omnia quæ ante illos gesta sunt et postmodum futura cognita fecit, similem cognitionem? Ad hæc si voces apostolicas a Deo dictatas, quæ perspicue de Patre enuntiant, *Solus sapiens Deus* [74]; nunc, *solus habens immortalitatem; lumen habitans inaccessibile* [75]; et alibi: *Rex sæculorum immortalis, invisibilis, solus Deus sapiens* [76]; si has, inquam, voces interpretemur, ut verba sonant, opposita illis omnia de Filio determinabimus, et palam de divina Sapientia omnimodam inscitiam, de vita mortem, de primo lumine pessimas tenebras, de sæculorum Domino eorumque opifice postmodum enatam servitutem, et temporum ipsorum pedissequam, de Unigenito in ulnis paternis exsistente materiam corpoream et naturæ sensui subjectæ crassitiem prædicabimus, quibus prorsus eum Deum esse non agnoscemus, quæ est jam dictorum summa hujus supernaturalis et Deo addecentis gloriæ alienatio, quæ ab essentia et Deitate quam longissime eum pellat, adeo ut de Christo prædicatio inanis sit, vanaque fides a nobis recepta. Sed cum desuper testimonium habeamus a Patre: *Hic enim*, ait, *Filius meus dilectus, in quo mihi bene complacui, ipsum audite* [77], de prædicatione fideque nostra certi, nihil addubitamus: Deus, nemine id improbante, Filius est et genitoris essentiæ ac naturæ. Id cum clarum appareat, et reliqua omnia quæ commemoravimus plane est apud omnes, invisibilis nempe sæculorum rex sive Dominus, lumen habitans inaccessibile, immortalitatis pelagus; præterea sapiens, et sapientiæ dator, his omnibus paternis ditatus, ex his postremis ad anteriora nunc oratio remeans sic firmatur, bene sese habens, et in tuta firmaque basi innixa. Quare solus Pater hæc esse dicitur, et revera est, non ad destructionem Filii, ut suspicantur, sed ad absolutam eversionem deorum non exstantium, et eorum qui dii esse reputantur; qui

[72] Joan. xvii, 3. [73] Matth. xxiv, 36. [74] Rom. xvi, 27. [75] I Tim. vi, 16. [76] I Tim. i, 17. [77] Matth. xvii, 5.

Digitized by Google Распознавание текста ABK/FR

cum nihil sint, a pestiferis et superstitiosis hominibus in deorum numerum relati sunt, et quæ Dei sunt propria, ab iisdem constituti sunt vocari nuncuparique, secundum hunc sensum Salvator solum verum Deum Patrem appellavit, universos alios per hanc dictionem falso deos dictos a vero Deo longe repellens. Illud porro : *De die autem illo, sive hora nemo novit nisi solus Pater*, secundum aliam mentem ad destruendam omnem creatorum cognitionem dictum est, tanquam quæ in similibus plane cæca sit, neque valeat futurorum sibi scientiam vindicare. Hæc itaque de dictione *solus* non citra veritatem examinata sunt, sed quæ probis æquisque auditoribus ad illius intelligentiam abunde sufficerint. Quod si nonnulli hæc animis alienis fastidiunt, hos persuadebit dictio *solus*, cum nude illa prolata de Filio agnoscetur. Neque enim tum quispiam poterit contradicere, cum per ea quibus decertat, Patrem destruet. Et quoniam in loco id positum sit ? inquiunt. In propheticis illis verbis : *Hic Deus, et non reputabitur alius præter ipsum* [76]. Hic illud : *Et non reputabitur alius præter ipsum*, solum indicat. De Filio vero sermonem esse, quod sequitur manifestissime ostendit. Namque subditur : *In terra apparuit hominibus, et cum hominibus conversatus est* [77]. Cum itaque satis pateat, id dictum esse de Filio, de quo nullum apud ullum vel minimum dubium est, cum hic ipse sit, qui in carne in terra apparuit et cum hominibus in corpore conversatus est, de dictione *solus* per nos explicatis quicunque suadebitur, nisi mente deperdita voluerit damno non tolerando Patrem afficere apud sanos prudentesque homines, et quibus Filio favit, illis iisdem periculum omnium, quæ unquam fuere, atrocissimum ac miserabilissimum Patri intentare. Possum etiam ex alio Scripturæ a Deo inspiratæ loco *solum* de Filio dictum demonstrare, quod dum quam proxime propositum scopum attingat, validius bellum nobis inferentes impetet, et illis fortiter resistet. Idque apud sano modo res intelligentes, Patrem neutiquam vulnerabit, et summam Christi gloriam omnibus sonore deprædicabit. Sed jam scriptura recitanda est, et dicti auctor, et effatum ipsum, ut inde quoque nobis de re proposita fidem comparemus. Prima adversus Arianos oratione, orbis terrarum lumen Athanasius scribit : *Filius vero vice versa Deus cum sit, et imperio Patris semper regnans, et Spiritus sancti solus dator.* Quo sensu *solus* illud accipietur hic, erga vos orationem meam in præsenti converto. Spoliabimusne Patrem Spiritus datione, ut soli illi processio lucrifiat? Absit ! et si multa atque ingentia quæ inde exoriuntur absurda, et magno prolixoque sermone indigent, prætereunda a nobis essent. Hæc vero omnia nemini non nota patent omnibus. Ne, quæso, erga Patrem, Spiritus, inquam, fontem, tantumdem improbi negotiatores simus, ut primum illius

καὶ πρὸς ἀσφαλῆ βάσιν καὶ βεβαίαν ἐπερειδόμενος. Ὥστε τοιγαροῦν μόνος ὁ Πατὴρ ταῦτα λέγεται καὶ ἔστιν, οὐ πρὸς ἀναίρεσιν τοῦ Υἱοῦ, καθάπερ ὑπολαμβάνουσι, πρὸς δὲ τελείαν ἀνατροπὴν τῶν οὐκ ὄντων μέν, νομιζομένων δὲ τυγχάνειν θεῶν, οἵτινες τὸ μηδὲν ὄντες ὑπὸ λοιμῶν καὶ δεισιδαιμόνων ἀνδρῶν ἀνεπλάσθησαν, καὶ τὰ τοιαῦτα θεοπρεπῆ παρὰ τούτων αὐτῶν ἐτάχθησαν κακῶς καλεῖσθαι καὶ ὀνομάζεσθαι. Κατὰ ταύτην τὴν ἔννοιαν ὁ Σωτὴρ καὶ μόνον ἀληθινὸν ἔφησε τὸν Πατέρα Θεὸν, πάντα τινὰ διὰ τῆς τοιαύτης φωνῆς ψευδώνυμον Θεὸν τοῦ ὄντος ἀποπεμπόμενος. Τὸ δὲ, « *Περὶ τῆς ἡμέρας ἐκείνης, ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, εἰ μὴ μόνος ὁ Πατὴρ,* » τοῦτο κατὰ νοῦν ἕτερον ἐπ' ἀναιρέσει λέγεται πάσης τῆς τῶν γεννητῶν γνώσεως ὡς ἐξαργούσης αὐτῆς ἐν τοῖς τοιούτοις ὀλοσχερῶς, καὶ μὴ δυναμένης αὐχεῖν ἐπιστήμην τοῦ μέλλοντος. Ταῦτα μὲν οὖν περὶ τοῦ *μόνος* ἡμῖν μετὰ τῆς ἀληθείας ἐξήτασται, πάντως δὲ τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν ἀποχρῶντα πρὸς τὴν αὐτοῦ κατανόησιν. Εἰ δέ τινες τῶν ὅλως ἐχόντων εἰσὶν ἀποδυσπετοῦντες πρὸς τὰ λεγόμενα, δυσωπήσει πρὸς πειθὼ τούτους αὐτὸ τὸ *μόνος* γυμνὸν ἡνίκα κείμενον ἐπὶ τοῦ Υἱοῦ γνωρισθήσεται. Καὶ γὰρ οὐχ ἕξει τις τηνικαῦτα τὸ σύνολον ἀντειπεῖν · ἐπείπερ ἀπολεῖ τὸν Πατέρα δι' ὧν ἀγωνίσεται. Καὶ ποῦ τοῦτο τέθειται ; ζητοῦσι μαθεῖν. Ἐν ἐκείνοις τοῖς προφητικοῖς ῥήμασιν, « *Οὗτος ὁ θεὸς, καὶ οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.* » Ἐντοῦθα τὸ, « *Οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν,* » τὸ μόνος δηλοῖ. Τὸ δ' εἶναι περὶ τοῦ Υἱοῦ τὸν λόγον τὸ ἑξῆς τρανότατα δείκνυσι. Μετὰ τοῦτο γάρ φησιν· « *Ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη.* » Φανεροῦ τοίνυν ὑπάρχοντος, ὅτι τὸ λεγόμενον περὶ τοῦ Υἱοῦ, καὶ κατὰ τοῦτο μηδενὸς τῶν ἁπάντων μηδοπωσοῦν ἀμφιβάλλοντος, ἐπείπερ αὐτὸς οὗτος ὁ σαρκικῶς κάτω φανεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφεὶς μετὰ σώματος, τοῖς περὶ τοῦ *μόνος* παρ' ἡμῶν ἐγνωσμένοις πεισθήσεται πᾶς, εἰ μὴ μέλλοι φρενοβλαβῶς τὸν Πατέρα ζημιωθήσεσθαι ζημίαν οὐ φορητὴν τοῖς τέως γε νοῦν ἔχουσι, καὶ δι' ὧν κατεσπούδασε τοῦ Υἱοῦ, κίνδυνον τοῦ Πατρὸς ὑποστήσεσθαι, κινδύνων τῶν πώποτε γενομένων τισὶν ἐλεεινότερόν τε καὶ ἀθλιώτερον. Ἔχω καὶ ἀλλαχοῦ τῆς θεοπνεύστου Γραφῆς τὸ *μόνος* ἐπὶ τοῦ Υἱοῦ δεῖξαι κείμενον, ὅπερ ὡς ἔγγιστα τοῦ προκειμένου σκοποῦ βάλλον ἰσχυρότερον δι' αὐτιστρατεύσει τοῖς ἡμᾶς πολεμοῦσι, καὶ κραταιῶς ἀντιστήσεται. Πλὴν οὔτε λυμανεῖται τὸν Πατέρα τοῖς αὐτὸ δεχομένοις ὀρθῶς, καὶ τὴν ἄκραν τοῦ Χριστοῦ δόξαν τρανῶς ἀνακηρύξει τοῖς ἅπασι. Καὶ δὴ λεκτέον τὴν γραφὴν, τὸν εἰπόντα, καὶ τὸ ῥητὸν, ὅπως ἂν καὶ περὶ τούτου τὸ πιστὸν ἔχειν δόξωμεν. Ἐν τῷ πρώτῳ κατὰ Ἀρειανῶν λόγῳ φησὶν ὁ τῆς οἰκουμένης φωστὴρ Ἀθανάσιος · « *Ὁ δὲ Υἱὸς τὸ ἐμπαλιν Θεὸς ὤν, καὶ τῇ βασιλείᾳ τοῦ Πατρὸς ἀεὶ βασιλεύων, τοῦ τε Πνεύματος τοῦ ἁγίου αὐτὸς ὢν χορηγὸς μόνος.* » Πῶς τὸ *μόνος* νοήσωμεν κἀνταῦθα, πρὸς ὑμᾶς τοῦτο

[76] Baruch III, 36. [77] Ibid. 38.

Digitized by Google Распознавание текста ABK/FR

ἀντιδιατιθεμένους, ὦ οὗτοι, φθέγγομαι τὸ παρόν. Στερήσομεν τὸν Πατέρα τῆς τοῦ Πνεύματος; ἐχορηγίας, ὡς ἂν μόνῳ κερδήσωμεν αὐτῷ τὴν ἐκπόρευσιν; Μὴ, κἂν εἰ τὰ πολλὰ καὶ μεγάλα παραδραμεῖν ἄτοπα προσῆκον ἡμᾶς, ἅπερ ἀνακύπτουσιν ἐντεῦθεν, οἷς μεγάλου καὶ πολλοῦ λόγου δέονται. Τὰ τοιαῦτα δὲ πάντα καὶ περιφανῆ καὶ γνώριμα τοῖς ὅλοις καθεστηκε. Μὴ δὴ γενοίμεθα κακοὶ τοσοῦτον ἔμποροι περὶ τὸν Πατέρα, τὴν τοῦ Πνεύματος λέγω πηγὴν, ὡς τὸ πρῶτον καὶ τελεώτατον τῶν τούτου καλῶν προδιδόναι, καὶ παραχωρεῖν εἰς ἀφαίρεσιν, ἵνα παρέξωμεν μόνῳ, τοῦ Υἱοῦ δηλονότι χωρὶς, ὅπερ μετ' αὐτοῦ κεκτημένος οὐδὲν ἧττον πεπλούτηκεν. Τὸ γὰρ μόνον, ὡς ἀποδείκνυσιν ἐν διαλέξει τῇ πρὸς τὸν Ἄρειον ὁ αὐτὸς Ἀθανάσιος, ὁ σχεδὸν τῶν δογμάτων πατὴρ, *Οὐκ ἐξ ἀνάγκης διαιρεσίν τινα ποιεῖται τῶν τῆς ἁπλῆς καὶ ἀδιαιρέτου σεπτῆς Τριάδος θεαρχικῶν ὑποστάσεων.* Οὕτως οὐδ' εἰ καί τινες ἦσαν τῶν ἐκπαλαι θεολογησάντων ἀνδρῶν, ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς φάσκοντες, οὐδὲ τότε τὸ προεστάμενον οὐδὲν, οὐδὲ τὸ κωλύον ἡμᾶς τοῦ πρεσβεύειν ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

A ac omnium bonorum absolutissimum prodamus, tradamusque aliis ad destruendum, ut concedamus soli, absque Filio scilicet, quod cum illo possidens Filius non minus abundat. Namque *solum*, ut demonstrat in colloquio cum Ario idem Athanasius, qui fere dogmatum parens est, *non necessario divisionem aliquam simplicis et indivisibilis Triadis deitatis principum hypostaseon importat.* Pari modo licet nonnulli ex illis, qui antiquitus res theologicas pertractarunt, procedere Spiritum sanctum ex solo Patre dixerint, non est quod obstet atque impediat, ne nos asseramus et teneamus Spiritum sanctum etiam ex Filio procedere.

λγ'. Νῦν δ' οὐχ ὅπως ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς οὐκ εἴρηκε τῶν ἁπάντων οὐδεὶς, ἀλλὰ καὶ μᾶλλον ἔνιοι τῶν ἁγίων ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ λέγουσι τὸ Πνεῦμα τὸ ἅγιον, ὧν πάντων εἰ καὶ νῦν ὧδε προσκομίσομεν τὰ ῥητὰ, λυθήσεται τὰ τῆς ἀπορίας τοῖς ἀντιλέγουσιν. Αὐτίκα γοῦν ὁ τὴν ἁγιωσύνην πολὺς Ἀναστάσιος τάδε φησὶν, ἔνθα περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων διέξεισι· *Καὶ Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ ἀποστελλόμενον οὐ μόνον παρὰ τοῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ Υἱοῦ.* Στίξουσιν, οἶδα, τῶν ἐριστικῶν οἱ πλείους εἰς τὸ *ἐκπορευόμενον*, καὶ οὕτως ἀναγνώσονται τὸ λοιπὸν, τὸ Πνεῦμα τὸ ἅγιον ἀποστέλλειν οἱονεὶ καὶ μόνον τῷ Υἱῷ μετά γε τοῦ Πατρὸς ἀπονέμοντες. Ἐλέγξει δὲ πάντως αὐτοὺς τὸ μετά τινα τοῦτο ῥηθὲν, ὅπερ φθάσαντες ἄνω τοῦ νῦν λόγου προδιελάβομεν, ὅτι *Καὶ μὴν ὁ Κύριος ἐξ ἑαυτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε, « Λάβετε Πνεῦμα ἅγιον. »* Τοῦτο καὶ γὰρ θεολογῆσαι κἀκεῖ συνίστησι τὸν αὐτὸν καὶ ἐκπορευόμενον κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ὁ τὰς τῶν ἁγίων δὲ πολιτείας καὶ τὰς αὐτῶν ἀθλήσεις ἀφηγησάμενος μεταφραστικῶς, εἰς τὸ τοῦ Ἀρεοπαγίτου μαρτύριον Διονυσίου, φημὶ τοῦ τῶν ἀπορρήτων ἐκφάντορος, δεῆσαν εἰπεῖν περὶ τῆς οἰκονομίας Χριστοῦ πρὸς τὸ τέλος ἐπὶ λέξεως οὕτως ἐφθέγξατο· *Καὶ εἰς οὐρανοὺς ὁ ἐμὸς Χριστὸς ἀναφέρεται, καὶ πρὸς τὸν πατρικὸν ἐπάνεισι θρόνον, καὶ τὸ ἐκπορευόμενον αὐτοῦ Πνεῦμα ἐπὶ τῇ τῶν ἀπίστων ἐθνῶν καταπέμπει τοῖς μαθηταῖς ὁδηγίᾳ.* Κἂν εἰ μὴ πρότερον, τὸ γοῦν νῦν ἔχον ἐχρῆν παντάπασι πεισθῆναι τοὺς ἀντιλέγοντας· ἐπειδήπερ τὸ διὰ παντὸς ζητούμενον τούτοις καὶ πανταχοῦ, τὸ ἐκπορεύεσθαι λέγω κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἤδη καὶ κηρυττόμενον τρανῶς ἐπ' Ἐκκλησίας εὑρήκασι κατ' ἐνιαυτὸν, οὐ μόνον ὡς τὰ πολλὰ τῶν δογμάτων γραφόμενον, πρὸς δὲ καὶ παραδιδόμενον. Οἱ δὲ τῆς μάχης

B 33. Verumtamen nunc nemo ex Patribus dixit, ex solo Patre Spiritum sanctum procedere; quin imo nonnulli etiam ex Filio procedere Spiritum sanctum asserunt. Quorum omnium si dicta huc adducamus, dubia contradicentium omnia dissolventur. Primus itaque sanctitate præcellens Anastasius hæc habet, tractatu De rectis quæ secundum nos sunt, veritatis dogmatibus : *Et Spiritus rursus qui ex ipso procedit et mittitur non solum a Patre sed etiam ex Filio.* Puncto distinguent, sat scio, potior contentiosorum pars illud, *qui ex Patre procedit;* postmodum reliquum legent, missionem scilicet Spiritus sancti solam Filio cum Patre attribuentes; sed eos redarguet, quod non post multa verba adnectitur, et quod supra in hac C eadem oratione digessimus, nempe, *Et tamen Dominus ex semetipso esse ostendens, insufflans discipulis dicebat : « Accipite Spiritum sanctum* [49]. » Namque inde decernitur et confirmatur, eumdem ipsum Spiritum sanctum ex Filio quoque procedere. Et qui vitas et res gestas sanctorum eorumque certamina mutato stylo enarravit, in Dionysio Areopagita, qui melius diceretur, secretorum revelator, cum de œconomia Christi sermo incidisset, in fine hæc ipsissima verba usurpat : *Et in cœlum ascendit meus Christus, et ad sedem paternam revertitur, et qui ex ipso procedit Spiritum demittit discipulis, ut esseni duces gentium infidelium.* Etsi non antea, certe nunc prorsus suadendi essent adversarii, quandoquidem quod D ipsi continuo et ubique investigant, procedere, inquam, etiam ex Filio Spiritum sanctum, jam tandem perspicue in Ecclesia pronuntiatum, edictumque singulis annis, non tantum ut cætera dogmata scriptum, sed etiam traditum inveniunt. Qui vero simultatibus ac turbis addicuntur, hic quoque sed improbe veritatem oppugnant, contenduntque potius etiam in hoc dicto maligne ad-

[49] Joan. xx, 22.

Digitized by Google Распознавание текста АВК/FR

modum se gerentes, et contra semetipsos, et contra nos. Contra nos, quod nullo modo eum ex Filio procedere volunt admittere, quod scripturæ et scriptoris divini scopus requirit; contra semetipsos rursus, quod non in illius intelligentia et sensu exponendo vel minimum concordant, tanquam qui a recta unaque, nostra scilicet, decesserunt. Quidam enim ex ipsis dicunt: *Qui procedit ex ipso Spiritus, throno nempe paterno;* neque horrent quod ex essentia Patris procedit, ex throno Patris procedere decernere. Alii, *Qui procedit, qui processerat nempe Spiritus Christi,* frigida admodum sententia et ante ipsam frigidissimi ipsi mente, quos pro curiosa dicti expositione, nemo sermones dignoscere edoctus, eosque probe componere scienas laudaverit: in quam omnino non aliunde, ut res dat intelligere, sed ex malitia, et contra nos improbitate stultissime deciderunt. Et illius causa est, quod cum Deus sua solummodo bonitate in nos declinarit, nos primi perscrutatis Scripturis præsentis dogmatis veritatem attigimus. Hoc adversum nos eorum improbitatis principium. Id propter nobis contradicunt, et cum omnino non possint hanc nostram veritatem convellere, quandoque ad absurdas frigidasque curiositates mente delusi abscessere, quod in hoc quoque dicto pro more suo nunc passi sunt, cum non multum longe ab eruditis viris abirent, si modo illius sententiam capere vellent. Et alia quoque ratione, licet cogitatio ipsorum circa hoc vel minimum claudicaret, poterunt in se scriptorem considerare, qui cum in ipso primo schismatis exortu viveret, et dogmatis contradictionem calleret, nunquam hoc modo concinnasset, vel dictum composuisset, si cum Latinis et ipse æque atque alii simultates exercebat, sed pure scripsisset, *Qui procedit ex Patre,* fugiens, ut quispiam diceret, contrariam suspicionem. Sed nunc ex ipsa verborum structura liquido confirmat se prorsus asserere etiam ex Filio procedere. Hæc considerare, his mentem applicare deberent, indeque nobis facti morigeri concordesque dogma suscipere, sapientem hunc ac perillustrem virum audientes, nec alterius indigentes ad assensum præbendum. At hi in omnibus contrarii illius sententiam criminantur. Nihilominus, ut ex nescio quo similis sortis homine audivi, a conscientia propria lacerantur, qui magni illius viri prorsus mentem non ignorant, sed improbitate abrepti, nobis contradicere conantur: et ne vana ex me confingere videar, quod ab uno ex iisdem audivi minime occultabo. In ipso initio examinis divini ac venerandi hujusce dogmatis versabamur, interea advenit dies, quo oratio dictum continens legi suevit. Et cum id neque omnes latere, nec effugere posset illius lectio, illis qui mentem solidius fixerant obvium veluti munus imperatori Dei gratia magno oblatum est. Illo eodem die cum monacho quodam ex eorum hæresi, factum est, ut a Deo instructus imperator

A ἀεὶ τυγχάνοντες καὶ τῆς ταραχῆς ἀντιτείνουσι κακῶς κάνταῦθα πρὸς τὴν ἀλήθειαν, ζφιλονεικοῦσί τι μᾶλλον πονηρευόμενοι κατ' αὐτῆς κἀν τῷ τοιούτῳ ῥητῷ καὶ πρὸς ἀλλήλους καὶ πρὸς ἡμᾶς, τοῦτο μὲν τὸ ἐκπορευόμενον αὐτοῦ μὴ προσιέμενοι μηδόλως ἐκ τοῦ Υἱοῦ λέγειν ἐκπορευόμενον, ὅπερ ὁ τῆς γραφῆς ἐθέλει σκοπὸς, καὶ τοῦ συγγραψαμένου θεόφρονος· πρὸς ἀλλήλους δὲ πάλιν, οἷς ὅτι μηδ' αὐτοὶ κατὰ τὴν ἔννοιαν συμφωνοῦσι ποσῶς, ὡς ἅπαξ τῆς ὀρθῆς ἐκπεσόντες καὶ τῆς μιᾶς, τουστέστι τῆς ἡμῶν ἐξοκείλαντες. Οἱ μὲν γάρ φασι τούτων· *Τὸ ἐκπορευόμενον αὐτοῦ Πνεῦμα, δηλαδὴ τοῦ θρόνου τοῦ πατρικοῦ*· καὶ οὐδ' ὅλως φρίττουσι, τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἐκ τοῦ θρόνου τοῦ Πατρὸς δογματίζοντες· ἄλλοι· *Τὸ ἐκπορευόμενον*, ἢ ὡς *ἐκπορευτὸν Πνεῦμα Χριστοῦ*, ψυχρότατοι σφόδρα τὸ νόημα, καὶ πρὸ αὐτοῦ τὴν διάνοιαν, οὓς τῆς τοιαύτης περὶ τὸ ῥητὸν περιεργίας οὐκ ἂν ἐπαινέσειέ τις, λόγους παιδευθεὶς διακρίνειν, καὶ αὐτοὺς συντιθέναι καλῶς ἐπιστάμενος· εἰς ἣν πάντως οὐκ ἄλλοθεν, καθάπερ δίδωσι τὸ πρᾶγμα νοεῖν, ἀτὸ δὲ τῆς κακίας τῆς καθ' ἡμῶν παραλόγως ἐνέπεσον. Καὶ τὸ ταύτης αἴτιον, ὅτι, Θεοῦ κατ' οἰκείαν χρηστότητα μόνην ἐπινεύσαντος πρὸς ἡμᾶς τῇ τοῦ παρόντος δόγματος ἀληθείᾳ τὰς Γραφὰς, ἐρευνήσαντες, πρώτως ἡμεῖς ἐπεβάλομεν. Τοῦτο τῆς καθ' ἡμῶν κακίας ἀρχή. Τούτου χάριν ἡμῖν ἀντιλέγουσιν, ἐξ ἧς καὶ μὴ δυνάμενοι καθόλου πρὸς τὴν παρ' ἡμῶν ταύτην ἀλήθειαν ἀντείπεῖν, ἔστιν οὗ πρὸς παραλόγους καὶ ψυχρὰς B περιεργίας τὸν νοῦν κλαπέντες ἐχώρησαν, ὡς κἂν τῷ προκειμένῳ ῥητῷ συνήθως νῦν ἐπεπόνθεισαν. Ἐπείπερ κατ' οὐδὲν λείπονται τῶν λογίων ἀνδρῶν, εἴ γε συνιδεῖν ἠβούλοντο τούτου τὴν ἔννοιαν. Καὶ ἄλλως δὲ, κἂν ὠκλαζέ τι πρὸς αὐτὸ τούτοις ὁ λογισμὸς, εἶχον σκέψασθαι πάντως καθ' ἑαυτοὺς καὶ τὸν συγγραψάμενον, ὅτι κατὰ τὸν καιρὸν τοῦ πρώτου σχίσματος ὤν, καὶ τὴν ἀντιλογίαν γινώσκων τοῦ δόγματος, οὐκ ἂν οὕτω συνετίθει καὶ συνέταττε τὸ τοιοῦτον ῥητὸν, εἰ πρὸς τοὺς Λατίνους καὶ αὐτὸς ἐπίσης τοῖς λοιποῖς διεφέρετο. Καθαρῶς δ' ἐτίθει *τὸ ἐκπορευόμενον ἐκ Πατρὸς*, φεύγων, ὡς ἂν εἴποι τις, τὴν ἐναντίαν ὑπόληψιν. Ἀλλὰ νῦν ἐκ τῆς συνθήκης αὐτοῦ ταύτης παρίστησιν ἀτεχνῶς ἕλλο μηδὲν πάντως, τὸ δ' ἐκ τοῦ Υἱοῦ λέγειν ἐκπορευ- D μενον. Ταῦτα διανοήσασθαι προσῆκεν αὐτοὺς, τούτοις ἀπαωρῆσαι τὸ λογιζόμενον, κἀντεῦθεν ἡμῖν γενέσθαι καταπειθεῖς, καὶ συμψήφους χρηματίσαι τῷ δόγματι, τοῦ σοφοῦ τούτου καὶ περιφανοῦς ἀκηκοότες ἀνδρὸς, καὶ μὴ δεηθέντες τινὸς ἑτέρου πρὸς συγκατάθεσιν. Οὗτοι δὲ τοὐναντίον μάλιστα πᾶν τὴν ἔννοιαν αὐτοῦ διαβάλλουσιν. Ὅμως ἐξ ὧν ἔγνων ἐνωτισάμενος τούτων τινὸς, οἱ πλείονες καὶ τὸ συνειδὸς πλῆττον αὐτοὺς ἔχουσιν, οἷς οὐ διέφυγε μὲν ὁ τοῦ μεγάλου τὸ σύνολον νοῦς, ὑπὸ δὲ τῆς κακίας ἡμῖν ἀντιλέγειν βιάζονται· καὶ ἵνα μὴ λογισμοῖς δόξιμι πλάττειν κατ' ἐμαυτὸν, ὅπερ αὐτῶν τινος ἐπυθόμην οὐκ ἀποκρύψομαι. Περὶ τὴν ἀρχὴν ἔτι τῆς ἐξετάσεως τοῦ θείου καὶ σεπτοῦ τούτου δόγματος ἦμεν ἡμεῖς, ἐν τοσούτῳ δ' ἔφθασεν ἡ ἡμέρα καθ' ἣν

Digitized by Google Распознавание текста ABK/FR

ὁ λόγος ὁ τὸ ῥητὸν ἔχων ἀναγινώσκεται. Κἀπειδὴ τοῦτο διαλαθεῖν τοὺς πάντας οὐκ ἦν, οὐδὲ διαδρᾶναι κατ' αὐτὴν τὴν ἀνάγνωσιν, τοῖς τῶν ἄλλων ἐπιστατικωτέροις τὴν διάνοιαν εὑρεθὲν, ὡς δῶρόν τι τῷ θεομεγαλύντῳ βασιλεῖ προσενήνεκται. Κατὰ ταύτην δὲ τὴν ἡμέραν καὶ πρός τινα μοναχὸν τῆς συμμορίας αὐτῶν ἔτυχε ποιήσασθαι λόγον τὸν θεόσοφον ἡμῶν αὐτοκράτορα σὺν ἑτέροις οὐκοῦν πλείστοις κομιδῇ, καὶ τὸ τοιοῦτον ῥητὸν εἰπόντος τοῦ θεόφρονος Αὐσονάρχου, καὶ ὁμοῦ δείξαντος, ἐκεῖνος μηδὲν μελήσας μηδοπωσοῦν ἐξεκάλυψεν αὐτοῦ τὸ ἀπόῤῥητον, καὶ δι' ὅρκου προπιστωσάμενος τὸν λόγον αὐτοῦ, *Μὰ τὴν σωτηρίαν μου*, κατ' ἔθος τῶν μοναχῶν εἴρηκεν, *ὡς τὸν βίον τοῦ μάκαρος Διονυσίου καιρῶς τὴν σήμερον ἐπ' ἐκκλησίας ἀναγινώσκομεν, τὸν νοῦν ἐπιστήσας, πῶς οὐκ οἶδα καὶ αὐτὸς τῷ δηλωθέντι ῥητῷ, τὸ βιβλίον, τοῦ θυμοῦ ζέσαντος, πυρὶ παραδοῦναι βεβούλευμαι, καὶ τάχ' ἂν ὡς ὑπηγόρευεν ὁ θυμὸς διεπραξάμην, καὶ εἰς ἔργον τέλειον ἐξέβη τὰ τῆς βουλῆς, εἰ μὴ πλήρη τῶν κατ' αὐτὸ βιβλίων τελεῖν ἠπιστάμην τὴν καθ' ἡμᾶς οἰκουμένην πρὸς γῆν καὶ πρὸς θάλατταν.* Ταῦτα τῷ φήσαντι ποίαν ἄγνοιαν ἐπιμαρτυρεῖ; Ποίας δὲ πάλιν ὑπερβολὴν κακίας ἀπέλειπεν; Εἶδον ἐγὼ καὶ βιβλίον τινὰ τῶν ἀρχαίων καὶ παλαιῶν πολλαχόθεν, ὡς τὸ εἰκὸς, πλουτοῦσαν τὸ ἀξιόπιστον, ἥτις ἐν μὲν ἅπαντι τουτῳὶ τῷ λόγῳ, καθὼς δῆτα κἀν τοῖς λοιποῖς, οὐδὲ κεραίαν σχεδὸν ἐξεσμένην, μή τοί γε στοιχεῖον ἦν ἔχουσα, κατὰ μόνον δὲ τὸ πολλάκις παρ' ἡμῶν ἐνταῦθα διαληφθὲν ἀδιάβλητον πᾶσι ῥητὸν ἐξεσμένον ἔφερέ τι χωρίον μεταξὺ τοῦ *ἐκπορευόμενον* καὶ τῆς *αὐτοῦ* λέξεως, ἐν ᾧπερ ἐγέγραπτο *δι'*· τοῦτο δὲ πάντως πρόθεσις. Καὶ γὰρ τὴν τελευταίαν τοῦ *ἐκπορευόμενον* συλλαβὴν, δηλονότι τὸ *νον*, πρότερον κειμένην αὐτοῦ ξέσας τις ὕστερον, καὶ τοῦ στίχου θεὶς ἄνωθεν, ὡς καὶ μακρόθεν ὁ χαρακτὴρ τῶν γραμμάτων ὑπέφαινεν, ἄλλος ὢν παρὰ τὸν ἀρχαῖον καὶ παλαιὸν, καί τι φανερῶς καὶ ἀπόζων νεότητος, τὸ λεχθὲν οὕτως ἔγραψε *δι'* θρασέως καὶ τολμηρῶς, εἶτα καὶ ἀπόστροφον εἰς τὸ *αὐτοῦ* διεχάραξεν, ὥστε μὴ κατὰ τὴν ἔμπροσθεν θέσιν τὸ *ἐκπορευόμενον αὐτοῦ*, τὸ δὲ *ἐκπορευόμενον δι' αὐτοῦ* τοῦτο ἀναγινώσκεσθαι. Τὴν τοιαύτην μεταφραστικὴν βίβλον σὺν ἐμοὶ καὶ τῶν ἐκκρίτων ἐθεάσαντο τῆς Ἐκκλησίας πολλοί, ποὺ πάντων δὲ καὶ μετὰ πάντων ὁ κανὼν τῶν δογμάτων, ὁ σεπτὸς οὗτος ἡμῶν πατριάρχης ἐώρακεν. Ἐξ ἧς πάντως δείκνυται καὶ τοῖς ὀπωσοῦν ἐπιβάλλουσι, καὶ μὴ συνεσχημένοις ὁμοῦ κακίᾳ τῇ καθ' ἡμῶν, ὅτι τὸ ἐκπορευόμενον ἐκ τοῦ Υἱοῦ Πνεῦμα καὶ τῶν πρὸ ἡμῶν ἔνιοι λέγειν τὸ ῥητὸν νενοήκασι. Διὰ τοῦτο γὰρ κἀκεῖνοι τῷ σχίσματος ὄντες οὐδὲν ἧττον τῶν νῦν, ὡς εἶχον, αὐτὸ μεταποιῆσαι, καὶ μεταβαλεῖν ἐπειράθησαν. Οὕτω τρανῶς παρέστησεν ὁ λόγος τοῖς ἀντιβαίνουσι τὸ παρὸν, ὡς καὶ τῇ *ἐκπορεύεται* λέξει τινὲς τῶν ἁγίων ἐχρήσαντο, τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν θεολογήσαντες.

effusa adversariorum oratio nos compellebat. Idque plane minime adorandi Spiritus imminutio est, quemadmodum rursus nulla Unigeniti extenuatio, cum Pater habet Filium et Spiritum sanctum a se ipso, Spiritum sanctum solum a se ipso Filium possidere. Quid præterea? personalia a naturalibus distinguunt, non intelligentes in Deo etiam proprietates natura inesse, cum accidens ibi locum non habeat, et ille omni compositione superior sit, et amplius magisque proprie unaquæque persona divinitatis princeps, et solummodo proprietatem propriam, quæ nullo modo unquam incepit, possideat. Propterea quæ natura Pater vere pater est, hoc enim soli proprium est et perpetuum; et Filius natura filius est, omnia Patris possidens, unam si excipias paternitatem; sicuti et Spiritus sanctus natura est quod nuncupatur, licet neque paternitatem participet, neque filiationem sortitus sit. Natura itaque sunt in minime composita et quam maxime simplici Triade ipsæ differentiæ uniuscujusque hypostasis et proprietates, etiamsi jam dicti cum reliquis aliis plane id ignoraverint.

A θεότητι κατὰ πᾶν, οὐδὲ πρόσωπον οὐσιωδῶς ἕτερον ἐξ αὐτοῦ τούτου πρόεισι, πρὸς ὅπερ ἄτοπον ὁ λόγος ὁ πολὺς τῶν ἀντικειμένων ἡμᾶς συνήλαυνε. Τοῦτο δὲ πάντως οὐχ ὕφεσις τοῦ προσκυνητοῦ Πνεύματός τις, ὥσπερ δ' αὖ οὐδεμία τοῦ Μονογενοῦς πάλιν ἐλάττωσις, ὅτι τοῦ Πατρὸς ἔχοντος τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα παρ' ἑαυτοῦ, τὸ Πνεῦμα τὸ ἅγιον παρ' ἑαυτοῦ μόνον καὶ ὁ Υἱὸς οὗτος κέκτηται. Τί πρὸς τούτοις καὶ τῶν ὑποστατικῶν ἀντιδιαιροῦσι τὰ φυσικά, μὴ νοοῦντες ὡς ἐπὶ Θεοῦ καὶ αἱ ἰδιότητες φύσει πρόσεισιν; ἐπεὶ μηδ' ἔχει τὸ συμβεβηκὸς χώραν ἐκεῖ, πάσης αὐτοῦ συνθέσεως ὄντος ἐπέκεινα, καὶ τὸ μεῖζον καὶ κυριώτερον ἑκάστου δὴ τῶν προσώπων ἔχοντος τῶν θεαρχικῶν καὶ μόνως τὴν ἰδιότητα τὴν οἰκείαν, καὶ μηδοπωσοῦν ἁρπαζομένην μηδέποτε. Διὸ B κατὰ φύσιν ὁ Πατὴρ ὄντως πατὴρ, τοῦτο καὶ γὰρ μόνῳ αὐτῷ καὶ ἀΐδιον, καὶ υἱὸς κατὰ φύσιν πέφυκεν ὁ Υἱός, πάντα τὰ τοῦ Πατρὸς ἔχων πλὴν τῆς πατρότητος, ὡς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅπερ ὀνομάζεται κατὰ φύσιν ἐστὶ, μήτε τοῦ Πατὴρ ὑπάρχειν μετεσχηκὼς, μήτε τὸ Υἱὸς κληρωσάμενον. Φύσει γοῦν ἐπὶ τῆς ἀσυνθέτου καὶ ἁπλῆς μάλιστα Τριάδος αὐτῆς αἵ τε καθ' ὑπόστασιν ἑκάστην διαφοραὶ καὶ τὰ ἰδιώματα, κἂν οἱ δηλωθέντες μετὰ τῶν λοιπῶν ἠγνόησαν καὶ τοῦτο παντάπασιν.

40. Satis abundeque de hoc disseruimus. Possum nihilominus et aliis multis scripto traditis testimoniis demonstrare, Spiritum sanctum etiam ex Filio exsistentiam habere, quæ omnia quam ocius suo ordine nunc in medium afferens, postmodum in adversariorum consultationem et adhortationem conversus, in moderatam laudem Dei, et particularem gratiarum actionem, uti potero, orationem in summam redigam, uti ab initio mihi proposueram, et in proœmii aggressione primi mei Commentarii constituveram, sicque addecentibus precibus effusis, uti par est, dignum divina annuente ope huic meo labori finem imponam. Sed jam dicta compendio apponenda sunt, et uti se habent. Ante alios magnus Basilius in rebus divinis exponendis præcellentissimus oratione de fide hæc certis verbis enuntiat: « *Vidimus enim, ait evangelista, gloriam ejus, gloriam quasi Unigeniti a Patre* [89], » *hoc est non ex munere de novo illi tributis miraculis, sed ex communione secundum naturam possidente Filio paternæ deitatis dignitatem. Accipere siquidem commune quid est etiam creaturæ, sed ex natura habere proprium est geniti. Uti itaque Filius naturaliter possidet quæcunque Patris sunt, uti vero Unigenitus omnia in semetipso congregata habet, nullo in alium diviso.* In uno secundi *Thesaurorum* capite hisce non dissona admirabilis scribit Cyrillus: *Quomodo inter res factas annumerabitur, qui divinæ paternæque essentiæ omnes in se complectitur naturaliter Patris proprietates ac excellentias?* Et rursus in alio: *Quomodo non erit Filius vivens ex vivente Patre, cum in ipsum naturaliter generantis proprietas immeet?* Hic in dictum illud:

μ'. Ἱκανῶς καὶ ἀρκούντως ἡμῖν καὶ περὶ τούτων διείλεκται. Πλὴν ἔχω καὶ διὰ πολλῶν ἑτέρων γραφικῶν δεῖξαι ῥητῶν ὡς τὸ Πνεῦμα τὸ ἅγιον κἀκ τοῦ Υἱοῦ φέρει τὴν ὕπαρξιν, ἃ πάντα τάχιον ἀπάρτι καθ' εἱρμὸν ἐν τῷ μέσῳ προθεὶς, εἶτα πρὸς συμβουλὴν C τῶν ἐναντίων τραπεὶς καὶ παραίνεσιν εἰς μετρίαν αἴνεσιν τὸν λόγον ὡς δύναμις ἀνακεφαλαιώσω, καὶ μερικὴν εὐχαριστίαν Θεοῦ, κατὰ τὸν ἀρχῆθεν σκοπὸν, καὶ τὴν ἐν τῷ προοιμίῳ μεταχείρισιν τοῦ ἡμεδαποῦ πρώτου συντάγματος, καὶ οὕτως ἐπευξάμενος; τὰ εἰκότα, καθαπερεὶ θέμις ἐστὶν, ἄξιον σὺν Θεῷ πέρας ἐπιβαλῶ τῷ παρόντι πονήματι. Καὶ δὴ προσθετέον τὰ τῶν ῥητῶν ἐν συντόμῳ καὶ καθὼς ἔχουσιν. Ἐν πρώτοις ὁ μέγας Βασίλειος ὁ καὶ τὰ θεῖα πολὺς ἐν τῷ περὶ Πίστεως λόγῳ ῥητῶς ταῦτα διέξεισιν· « *Ἐθεασάμεθα γὰρ, φησὶν ὁ Εὐαγγελιστὴς, τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς,* » *τουτέστιν οὐκ ἐκ δωρεᾶς καὶ χάριτος δοθέντων αὐτῷ τῶν θαυμάτων, ἀλλ' ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ Υἱοῦ τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα. Τὸ μὲν γὰρ λαβεῖν κοινὸν καὶ πρὸς τὴν κτίσιν, τὸ δὲ ἔχειν ἐκ φύσεως ἴδιον τοῦ γεννηθέντος. Ὡς μὲν οὖν Υἱὸς φυσικῶς κέκτηται τὰ τοῦ Πατρὸς, ὡς δὲ Μονογενὴς ὅλα ἔχει ἐν ἑαυτῷ συλλαβὼν, οὐδενὸς καταμεριζομένου πρὸς ἕτερον.* Ἔν τινι τῶν κεφαλαίων τοῦ δευτέρου τῶν Θησαυρῶν τούτου συνῳδὰ καὶ ὁ θαυμάσιος λέγει Κύριλλος· *Πῶς ἂν εἴη τῶν γεννητῶν ὁ τῆς θείας τε καὶ Πατρῴας οὐσίας ἔχων ἐν ἑαυτῷ φυσικῶς τὰ τοῦ Πατρὸς ἴδια καὶ ἐξαίρετα;* Καὶ πάλιν ἐν ἄλλῳ· *Πῶς οὐκ ἔσται Υἱὸς ζῶν ἐκ ζῶντος Πατρὸς, διαβαινούσης εἰς αὐτὸν φυσικῶς τῆς τοῦ γεννήσαντος ἰδιότητος;* Οὗτος εἰς τὸ ῥητὸν τὸ, *Οὐ*

[89] Joan. I, 14.

Digitized by Google Распознавание текста ABKJER

δύναται ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν· » ἔχει γὰρ ὁ Υἱός, φησίν, ὥσπερ τὴν οὐσίαν, οὕτω καὶ τὰ τῆς οὐσίας ἀγαθά. Κατὰ δὲ τὸ ῥητὸν τὸ, « Ὅσοι δὲ ἔλαβον αὐτόν, » Ἐξ αὐτῆς, λέγει, τῆς οὐσίας ἀναλάμψας τοῦ Πατρὸς ὁ Υἱός, τὸ ἴδιον αὐτῆς ἀγαθὸν κατὰ φύσιν ἐπάγεται. Τούτων δὲ πάντων ἐξηγητὴς οὗτος αὐτὸς ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν καθίσταται, τοιαῦτα διεξιὼν καὶ οὕτω φθεγγόμενος· Τὸ Πνεῦμά ἐστιν οὐκ ἀλλότριον τοῦ Υἱοῦ. Γεγέννηται γὰρ τὴν τοῦ Πατρὸς ἰδιότητα πᾶσιν ἔχων ἐν ἑαυτῷ. Καὶ ἐπείπερ ἐστὶ τῆς ἀνωτάτω Θεότητος ὁ καρπός, πῶς ἂν νοοῖτο γυμνὸς τῶν τῆς Θεότητος ἀγαθῶν; Ἴδιον δὲ Θεότητος ὁ ἁγιασμός, οὗ τὸ Πνεῦμα δεκτικόν. Ἅγιον γὰρ κατὰ φύσιν, καὶ τῆς ὅλης φύσεως ἁγιαστικόν. Ἐνταῦθα σαφῶς ἐδίδαξε τήν τε τοῦ σοφοῦ Βασιλείου σεπτὴν ῥῆσιν ὁ Κύριλλος, ὡς τῶν θείων μυσταγωγὸς, καὶ τὰς ἄλλας ἀτεχνῶς πάσας, αἳ τούτου τυγχάνουσαι μετὰ ταύτην καλῶς καὶ προσηκόντως ἡμῖν κατεστρώθησαν, ὅτι περὶ τοῦ προσκυνητοῦ Πνεύματος ἦν ὁ λόγος αὐταῖς. Τοῦτο γὰρ τὸ ἀξίωμα τῆς πατρικῆς ἐστι θεότητος, τό τε τῆς τοῦ Πατρὸς οὐσίας μέγιστον ἀγαθὸν καὶ ἴδιωμα τούτου φυσικὸν καὶ ἐξαίρετον, ἵνα συνελὼν εἴπω καθολικῶς τὴν τῶν ῥήσεων ἁπασῶν ἔννοιαν· ὅπερ καὶ τὸν Υἱὸν ἐπάγεσθαι καὶ ἔχειν φυσικῶς αἱ τοιαῦται ῥήσεις, ὡς ἐκ τῆς νῦν δῆλον, ὑπέγραψαν. Εἰ δὲ δεῖ καὶ τελεώτερον ἡμᾶς τὸν περὶ τούτου λόγον ποιήσασθαι, παραληπτέον καὶ τὰς λοιπὰς ῥήσεις τοῦ αὐτοῦ τούτου Πατρὸς, δυναμένας λευκότερον παρίστῆσαι τὰ τῆς προθέσεως. Οὗτος ἐν μὲν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν Θησαυρῶν, ὁ μέγιστος τῷ ὄντι καὶ θειότατος δηλαδὴ Κύριλλος, Ὥσπερ, φησὶ, δίδωσι τὸ φυτὸν τῷ ἐξ αὐτοῦ προελθόντι καρπῷ τὴν αὐτῷ κατὰ φύσιν προσοῦσαν ποιότητα φορεῖν, οὕτως ὁ Υἱὸς εἰληφέναι παρὰ τοῦ Πατρὸς τὰ αὐτῷ προσόντα νοεῖται, πάντα ὧν ὅσα καὶ ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ· ἐν δὲ τῷ Περὶ Τριάδος, Ἓν Υἱῷ, λέγει, μονογενεῖ κατὰ πάντα ὁμοίῳ καὶ ἴσῳ τῷ Πατρὶ χωρὶς τῆς πατρότητος. Καὶ αὖθις· Πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνὸς ὁ Υἱός ἐστιν ἅπερ τοῦ Πατὴρ εἶναι. Τί δ' ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ῥητὸν τὸ, « Ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν; » Ἀλλ' ἐκεῖσε πλατυκώτερον διαλαμβάνων, ὡς ἂν ἐξηγούμενος ταῦτα διέξεισιν· Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ πεφηνότα δεικνύων ἑαυτὸν ὁ Μονογενὴς, « Πάντα, φησὶν, ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν. » Εἰ δὲ πάντα τῶν ἐνόντων τῷ Πατρὶ φυσικῶς ἰδιωμάτων κληρονόμος ὁ Υἱὸς ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων, ἀλλά γε τὸ εἶναι Πατὴρ οὐχ ἕξει ποτέ. Καὶ τοῦτο γὰρ ἓν τῶν προσόντων τῷ γεννήτορι. Μενεῖ δὲ ὁ Υἱὸς οὐδενὸς ἀποστερούμενος τῶν ἐνόντων τῷ Πατρὶ, κἂν μὴ νοῆται Πατὴρ, πάντα δὲ ἔχων ἐν ἑαυτῷ τελείως τὰ τῆς τοῦ Πατρὸς οὐσίας ἴδια καὶ ἐξαίρετα. Πάλιν ὁ αὐτὸς ὡσαύτως χρώμενος τοῖς αὐτοῖς

A « *Non potest Filius ex seipso aliquid facere* [90]; » *habet enim*, ait, *Filius, uti essentiam ita, essentiæ bona.* Et in aliud dictum : « *Quicunque autem acceperunt eum* [91], » ait : *Ex ipsa essentia cum irradiat Patris Filius, proprium illius bonum naturaliter secum trahit.* Horum omnium hic ipse interpres est sexto ad Hermiam libro, hæc edisserens et enuntians : *Spiritus sanctus non alienus est a Filio : generatus enim est, universam Patris proprietatem in se continens. Et cum sit altissimæ Deitatis fructus, quomodo intelligetur Deitatis bonis spoliatus? Proprium vero Deitatis est sanctificatio, quam accipit Spiritus : natura siquidem sanctus est, et naturam universam sanctificat.* Hinc aperte Cyrillus uti divinorum mystagogus sapientis Basilii dictum venerandum edocuit, omniaque alia plane, quæ cum hunc auctorem agnoscant, recte et uti addecet hoc in loco a nobis digesta sunt, quod de adorando Spiritu pertractabant. Hæc enim dignitas paternæ Deitatis est, paternæque essentiæ maximum bonum, et illius proprietas naturalis atque eximia, ut compendio in universum dictorum omnium sententiam comprehendam, quam et Filium in se trahere et naturaliter habere apposita dicta, ut ex jam adducto manifestum est, declararunt. Quod si nobis de hac eadem re absolutior sermo instituendus est, assumenda sunt reliqua hujusce Patris dicta, quæ magis perspicue nostrum propositum confirmabunt. Is maximus vere et divinissimus Cyrillus in uno primi *Thesaurorum* capite : *Quemadmodum*, ait, *planta, qui ex ipsa productus est, fructui sibi naturæ innatam qualitatem communicat, ita et Filius sibi innata accepisse a Patre intelligitur, cum sit omnia quæ et Pater est, unam solam si excipias paternitatem.* Et *De Trinitate* libro : *In Filio*, ait, *unigenito per omnia simili et Patri æquali absque paternitate.* Et rursus : *Universa naturalia paterna bona participat Filius, si solam illi demas paternitatem.* Quid porro in interpretatione Evangelii Joannis in dictum illud : « *Erat in principio apud Deum* [92]? » in quo fusius rem tractat, tanquam interpres, hæc digerit : *Deum verum ex Deo Patre vero apparere ostendens semetipsum Filius : « Quæcunque*, ait, *habet Pater mea sunt* [93]. » *Quodsi omnium, quæ insunt Patri, naturalium proprietatum hæres est Filius, tanquam qui ex illo exsistit, sed Patrem esse nunquam obtinebit. Namque hoc unum est ex iis quæ Genitori insunt. Manebit autem Filius, nullo ex iis quæ insunt Patri privatus, licet non intelligatur Pater, cum omnia in semetipso habeat perfecte paternæ essentiæ propria et eximia.* Idem rursus similiter eadem usurpans libro tertio ad Hermiam clara voce intonuit : *Compellit vero sæpius ad confitendum sermo, intelligere oportere ex Dei Patrisque essentia per veram generationem ortum Filium Deum verum ex Deo vero, non in spuriam quamdam, et alienam naturam traductum, sed es-*

[90] Joan. v, 19. [91] Joan. i, 12. [92] ibid. 2. [93] Joan. xvi, 15.

Digitized by Google Распознавание текста ABK/FR

sentialiter illud ipsum exsistentem, quod intelligitur esse Pater, absque eo solo quod Pater sit. Postremum omnium hic apponatur dictum ipsius ex secundo ejusdem ad Hermiam libro. Namque in eo divus hic Cyrillus id apertissime dicit : *Coæternum credimus Filium Patri, et omnia æquali mensura possidentem, excepta una sola generatione : id siquidem soli Deo et Patri proprium est.* Hæc omnia sigillatim a Deo edocto, et divina mente prædito Patre asserente, et palam affirmateque in tot suis commentariis comprobante, nunc quidem tradente, *omnia esse Filium quæcunque Pater est, absque eo solo quod Pater est ;* nunc edicente, *absque una paternitate hunc ipsum agnosci æqualem paremque per omnia Patri ;* et nunc iterum, *omnium naturalium paternorum bonorum participem esse Filium, excepto eo solo quod Pater non est,* ipsissimis verbis pronuntiante ; nunc etiam, *omnium quæ insunt Patri naturaliter hæredem hunc esse, tanquam qui naturaliter ex ipso est, nihilominus Pater esse nunquam obtinebit,* latente : *id enim ex iis est quæ Genitori insunt. Manebit vero Filius nullo ex iis quæ Patri insunt, spoliatus, licet non intelligatur Pater, omnia vero perfecte possidens in ipso propria paternæ essentiæ atque eximia ;* itemque alio loco : *Filium exsistentem et agnitum esse essentialiter, quod intelligitur Pater, absque eo solo, quod Pater sit,* affirmante ; et in alio, *hunc ipsum Patri coæternum, et habentem quidquid est in Patre æquali mensura, si generare tantum excipias : hoc enim soli Patri et Deo proprium est,* plane pronuntiante : ex his omnibus manifestum est Spiritum sanctum etiam ex Filio exsistentiam habere. Quæcunque enim Pater est, eadem et Filius est, et omnia Patris in se possidet, solummodo Pater non est, nec genitor, quo ipsum distinctio privavit. Quare Filius nunquam omnino dicetur generare Filium : quoniam neque Pater est, sed tantummodo solus Filius est. Spiritus vero sanctus quare non affirmabitur et ipse emittere, omnia Patris propria naturaliter sibi vindicans, illud si excipias neque Patrem esse neque generare omnino, si Spiritus sanctus suam divinam exsistentiam non haberet etiam ex Filio, hoc item divinissimus Cyrillus secundum distinctionem accepisset et potissimum in illis, in quibus perspicue expressit : *absque eo solo, quod non generat,* addidisset : *et effundit* quasi in exsistentiam Spiritum sanctum ; at nunc eo solo privans Filium, neque hoc addens, plane illi concessit, non minus quam in aliis suis dictis, supra per nos allatis, quæ palam prædicant exsistere etiam ex Filio Spiritum sanctum. Talem præsens dogma ex dictis hujuscemodi in præsenti demonstrationem simul firmitudinemque consequitur, quod et ante illa quam verissimum esse, uti rectum, inoffensum et tutum, plurimis aliis Patrum testimoniis, quæ plane nulla expositione indigent, neque ad sui intelligentiam interpretatione, satis abundeque probavimus, non iis, in-

A ἐν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν λαμπρῶς εἴρηκε· *Συνωθεῖ δὲ μᾶλλον εἰς ὁμολογίαν ὁ λόγος τοῦ χρῆναι νοεῖν ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας διὰ τῆς ἀληθοῦς γεννήσεως ἀναφυῆναι τὸν Υἱὸν Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, οὐκ εἰς ὄθνειαν τινὰ καὶ ἐκφυλον ἐκπεφυκότα φύσιν, ἀλλ' ὅντα τοῦτο οὐσιωδῶς, ὅπερ ἂν νοοῖτο καὶ ὁ Πατήρ, δίχα μόνου τοῦ εἶναι Πατήρ.* Πάντων ἔσχατον προσκείσθω καὶ τὸ κατὰ τὸν δεύτερον τῶν πρὸς Ἑρμείαν αὐτοῦ λόγων ῥητόν. Ἐκεῖσε καὶ γὰρ ὁ θεσπέσιος οὗτος Κύριλλος τοῦτο τρανόστατα λέγων εὑρίσκεται· *Συναΐδιον πιστεύομεν τὸν Υἱὸν τῷ Πατρὶ, καὶ πᾶν ὁτιοῦν ἰσόμετρον ἔχοντα δίχα μόνου τοῦ τεκεῖν. Προσήκοι γὰρ ἂν τοῦτο μόνῳ τῷ Θεῷ καὶ Πατρί.* Ταῦτα δὴ πάντα καθ' ἕκαστον B τοῦ θεοσόφου καὶ θεόφρονος τούτου Πατρὸς φάσκοντος ὁμολογουμένως καὶ φανερῶς ἐν τοσούτοις αὐτοῦ συγγράμμασι, καὶ ποτὲ μὲν *πάντα τελεῖν ὁπόσα καὶ ὁ Πατὴρ, δίχα τοῦ Πατὴρ εἶναι μόνου τὸν Υἱὸν,* λέγοντος· ποτὲ δὲ φθεγγομένου, *πλὴν τῆς πατρότητος τοῦτον αὐτὸν ἴσον γινώσκεσθαι τῷ Πατρὶ κατὰ πάντα καὶ ὅμοιον·* καὶ νῦν μὲν, ὅτι *Τῶν τοῦ Πατρὸς κατὰ φύσιν ἀγαθῶν κοινωνός ἐστιν ὁ Υἱὸς, ἄνευ μέντοι γε τοῦ τυγχάνειν Πατὴρ,* ἐπὶ λέξεως οὕτω διαλαμβάνοντος· νῦν δ' ὅτι *Τῶν φυσικῶς ἐνόντων τῷ Πατρὶ κληρονόμος ὁ τοιοῦτος ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων ἐστὶν, ὅμως δ' οὖν τὸ καθεστάναι Πατὴρ οὐχ ἕξει ποτὲ,* διεξιόντος· *καὶ τοῦτο γὰρ τῶν προσόντων ἐν τῷ γεννήτορι. Μενεῖ δ' ὁ Υἱὸς ἀποστερούμενος οὐδενὸς* C *τῶν ἐνόντων τῷ Πατρὶ, κἂν μὴ νοῆται Πατὴρ, πάντα δὲ ἔχων τελείως ἐν ἑαυτῷ τὰ ἴδια τῆς οὐσίας τοῦ Πατρὸς καὶ ἐξαίρετα·* πάλιν ἄλλοτε τοῦτο, *τὸν Υἱὸν ὄντα καὶ γνωριζόμενον ὑπάρχειν οὐσιωδῶς, ὥσπερ ἂν νοοῖτο καὶ ὁ Πατὴρ, δίχα μόνου τοῦ Πατὴρ εἶναι,* διαγορεύοντος· ἐν ἑτέρῳ δὲ, *τοῦτον αὐτὸν συναΐδιον τῷ Πατρὶ, καὶ ἔχοντα πᾶν ἰσόμετρον ὁτιοῦν, δίχα μόνου τοῦ τεκεῖν·* *προσήκοι γὰρ ἂν τοῦτο τῷ Θεῷ καὶ Πατρὶ μόνῳ,* σαφῶς ἀπαγγέλλοντος· ἐξ ἁπάντων πρόδηλον τούτων ὡς καὶ τὸ ἅγιον Πνεῦμα τὴν ὕπαρξιν ἔχει κἀκ τοῦ Υἱοῦ. Πάντα γάρ ἐστιν ὁ Υἱὸς ὅσα καὶ ὁ Πατήρ. Καὶ πάντα τὰ τοῦ Πατρὸς ἔχων καθέστηκε, χωρὶς μόνου τοῦ Πατὴρ τυγχάνειν, καὶ τοῦ τεκεῖν, ὅπερ ὁ D προσδιορισμὸς τοῦτον ἀφεῖλετο. Τοίνυν ὁ Υἱὸς οὐκ ἂν ποτε ῥηθείη γεννᾶν οὐδόλως Υἱόν· ὅτι μηδὲ Πατὴρ ἐστι, μόνον δὲ καὶ μόνος Υἱὸς πέφυκε. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον τίνος ἕνεκεν οὐδαμῶς ὁμολογηθήσεται προπέμπειν καθ' ὕπαρξιν καὶ αὐτὸς, πάντα τὰ τοῦ Πατρὸς ἔχειν ἴδια φυσικῶς ἄνευθε μόνου τοῦ Πατὴρ εἶναι καὶ τοῦ τεκεῖν μαρτυρούμενος, πάντως εἰ μὴ τὸ ἅγιον Πνεῦμα τὴν ἑαυτοῦ θείαν εἶχε κἀκ τοῦ Υἱοῦ, Κύριλλος ἂν ὁ θειότατος καὶ τοῦτο κατὰ τὸν προσδιορισμὸν παρελάμβανε, καὶ μᾶλλον ἐν οἷς ἀριδήλως εἴρηκε τὸ, *δίχα μόνου τοῦ τεκεῖν,* προσετίθει *καὶ τοῦ προχεῖν,* ὡς πρὸς ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον. Νῦν δ' ἐκεῖνο μόνον ἀφελόμενος τοῦ Υἱοῦ, τοῦτο δι' ὧν οὐ προσέθηκεν, αὐτῷ δέδωκεν, οὐχ ἧττον ἢ ταῖ, πολλαῖς ἄλλαις ῥήσεσιν ἑαυτοῦ, ταῖς ἄνω-

Digitized by Google Распознавание текста ABK/FR

θεν προτεθείσαις ἡμῖν, αἵτινες ἀναφανδὸν κυρύττουσιν ὑπάρχειν κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Τοιαύτην τὸ παρὸν δόγμα κἀκ τῶν ῥητῶν τούτων νῦν ἔσχε τὴν ἀπόδειξιν ἅμα καὶ τὴν συγκρότησιν, ὅπερ καὶ πρὸ αὐτῶν πᾶσαν τὴν ἀλήθειαν ἔχειν ὡς ὀρθὸν ἀπταιστόν τε καὶ ἀσφαλὲς διὰ πλείστων χρήσεων ἑτέρων πατρικῶν ἀποχρώντως καὶ ἱκανῶς παρεστήσαμεν, μηδαμῶς ἐξηγήσεως δεομένων τινός, μηδ' ἑρμηνείας μηδεμιᾶς εἰς κατάληψιν, οὐ λέγω τοῖς τῶν πολλῶν ὑπερκειμένοις τὸν νοῦν, καὶ πλέον ἐν ταῖς Γραφαῖς τῶν ἄλλων γινώσκουσιν, ἀλλὰ καὶ τοῖς ἀμελετήτως ἔχουσι τῶν λόγων αὐτοῖς· καὶ τοῖς τοιούτοις γὰρ αἱ πλείους σαφηνείας οὐ χρῄζουσι. Ταῦτας δὲ συλλεξάμενοι παρ' ὅλων ἁπαξαπλῶς τῶν τῆς εὐσεβείας μυσταγωγῶν προτεθείκαμεν. Οὕτως ἅπαντες οἱ θεηγόροι καὶ θεόφθογγοι Πατέρες ἡμῶν, ὅσοις ἡ τῶν ἱερῶν ἐμέλησε καὶ σεπτῶν δογμάτων ἐξέτασις, οἱ τῆς Ἐκκλησίας στερρὸὶ στῦλοι καὶ κραταιοὶ, τὰ ἀκράδαντα τῆς ἀληθείας προπύργια, πολλάκις ἐν τοῖς αὐτῶν λόγοις ἐδογμάτισαν, καὶ περιφανῶς, ὅτι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχει τὴν ὕπαρξιν, οἷς δῆτα, καθὼς ἐν πάσαις ταῖς λοιπαῖς θεολογίαις αὐτῶν, τοὺς πάντας πείθεσθαι κἀνταῦθα καὶ κατακολουθεῖν δίκαιον· ἐπειδὴ τὸ τούτοις αὐτοῖς ἀντιλέγειν ἐν ἑνὶ, τουτέστι τῷ νῦν, ἐν ἅπασιν ἀντιλέγειν ἐστὶ τοῖς ῥηθεῖσιν ὑπ' αὐτῶν δόγμασιν. Ὁ δὲ τοῦτο ποιῶν ἀντιπίπτει σαφῶς τῷ ἁγίῳ καὶ προσκυνητῷ Πνεύματι, παρ' οὗ τὸ πλέον ἐνεργούμενοι, κυρίως δ' εἰπεῖν, ἐμπνεόμενοι καὶ μᾶλλον τὸ πᾶν τὰ θεῖα καὶ ἱερὰ τῆς ὀρθῆς ἐκείνοι πίστεως ἐξετίθουν ἡμῖν δόγματα· τὸ δὲ παραφροσύνης γνώρισμα τοῖς πολλοῖς, μανίας δέ τισιν ἀφάτου τεκμήριον, ὃ καὶ μὴ πάθοιμεν, ἀδελφοὶ, διὰ τέλους, παρακαλῶ, μηδὲ τὸν ἐντεῦθεν ὑποσταίημεν τῆς ψυχῆς κίνδυνον.

μα'. Τρέπω γὰρ ἀπάρτι καλῶς τὸ τοῦ λόγου πρόσωπον πρὸς ὑμᾶς, τοὺς μέχρι τοῦ νῦν πρὸς τὴν ἀλήθειαν κακῶς ἀντιβαίνοντας, οὕσπερ οὐδ' ἀδελφοὺς αἰσχύνομαι καὶ πάλιν καλεῖν, κἂν ἐπὶ τοσοῦτον ἡμῶν καὶ ταύτης διέστητε. Προσοικειοῦμαι δὲ μάλιστα καὶ τὸ πάθος ὑμῶν, οὐχ ἧττον δὲ καὶ τὸν ἐκ τούτου ψυχικὸν ὄλεθρον, νόμῳ τῆς ἧς πρὸς ἀλλήλους ὀφείλομεν ἀγάπης οἱ προσαγορεύεσθαι λαχόντες ἀπὸ Χριστοῦ, καὶ τῆς προτέρας κατ' ἐξαίρετόν ἐστιν ἐν οἷς ἀπὸ πάντων ὑμῶν φιλίας καὶ διαθέσεως· καὶ καταλείπω τὴν κοινὴν φύσιν ἡμῶν, ἥτις πρὸ τούτων αὐτὸ παραδίδωσιν· ἔτι τὸ πρὸς τῆς ἱερᾶς κολυμβήθρας γνήσιον περιέπω καὶ συγγενές· ἔτι τὴν ὁμιλίαν ὧν ἔφην αἰδοῦμαι κατὰ τὸ εἰκὸς καὶ συνήθειαν, μέλη τὸ πρὶν ἡμέτερα, καὶ εἰ διετμήθητε πρὸ πολλοῦ, μέλη ποτὲ τίμια, καὶ εἰ ἀπὸ μακροῦ διεφθάρητε. Τίς δαίμων τελχὶν, ποῖος τοῦ καλοῦ καὶ τῆς εἰρήνης δεινῶς βασκήνας ἡμᾶς τοῦ σώματος τῆς τοῦ Χριστοῦ θείας καθολικῆς Ἐκκλησίας διέσπασεν, ὥστε κατὰ τὸν ἀπόστολον Παῦλον λοιπὸν *τὸ σύνολον τῇ ἀληθείᾳ μὴ πείθεσθαι;* Πότε συγκολληθήσεσθε πάλιν αὐτῷ; πότε τούτῳ συναρμολογηθήσεσθε, δόντες ἑαυτοὺς ὁμονοίᾳ τῇ πρὸς ἡμᾶς, καὶ τέλεον τῆς ἀληθείας γενόμενοι; Τούτοις δὴ πείθεσθε, καὶ κατακολουθεῖτε τοῖς πρὸ ἡμῶν, οἵτινες, ὡς εἶχον δυνάμεως, ἀντεῖπον τῷ δόγματι, καλῶς, εἴπερ αὐτοὶ πάλιν ἐπείθοντο, καὶ κατηκολούθουν τοῖς πρὸ αὐτῶν,

A quam, qui alios sapientia superant, et in Scripturis dignoscendis plus aliis valent, sed iis etiam, qui circa sermones segnes atque hebetes sunt: horum siquidem potiori parti expositio opus non fuerit. Et hæc collecta ex omnibus fere pietatis mystagogis proposuimus. Hæc omnes divinitoqui et Numine afflati Patres nostri, quibus sacrorum venerandorumque dogmatum examen curæ fuit, stabiles solidæque Ecclesiæ columnæ, et inconcussa ac firmissima veritatis propugnacula, sæpius in suis commentariis decreverunt, et patenter admodum, etiam ex Filio exsistentiam habere Spiritum sanctum, quibus plane, ut in aliis theologicis eorum dictis, omnes fidem etiam in hoc adhibere, et sententiam sequi addecet, cum ipsis in uno, B de quo nunc agimus, contradicere, in omnibus ab eisdem Deitatis dogmatibus contradicere sit. Qui autem hoc peragit, plane sancto adorandoque Spiritui, a quo ut plurimum, quinimo indesinenter agitati, et ut aptius dicam, afflati, divina sacraque rectæ fidei dogmata nobis exponebant, obsistit, id multis amentiæ signum, insaniæ aliis indicium est, quod ne patiamur in finem supplex exoro, neque quod inde imminet animæ periculum subeamus.

C 41. Converto siquidem nunc ad vos orationis faciem, ad hoc usque tempus improbe veritatem oppugnantes, quos fratres compellare rursus, licet tantumdem a nobis et ab ipsa dissociatos, non pudet. Vestros vero mihi affectus, nec minus, quæ ex hoc oritur animæ perniciem opere maximo vindico lege charitatis quæ inter nos a Christo nomen sortitos intercedere debet, et præcipue omnium amicitiæ et benevolentiæ, et præterea communem naturam, quæ ante alia id nobis insinuat, tum ante propter sacrum lavacrum germanum atque affine, tum consortium et consuetudinem, eorum quos ut dixi revereor, membra nostra, licet multum ante tempus abscisa, membra aliquando honoranda, etsi longe ante deperdita. Quis male- D ficus dæmon, quis bonum pacemque vobis maxime invidens a corpore sanctæ catholicæque Christi Ecclesiæ distraxit, ita ut, cum apostolo Paulo loquor, *prorsus veritati non obtemperetis* [a]? Quando iterum ipsi conglutinabimini, quando ipsi conjungemini, vosmetipsos concordiæ nostræ tradentes et perfecte veritatem amplexi? Eos vos auditis et sequimini, qui ante vos, uti ipsis facultas fuit, dogma oppugnarunt; recteque id ageretis, si ipsi rursus audirent et sequerentur antiquiores, qui ampliori mensura et rebus aliis omnibus apertissime loco exsuperant, quorum

[a] Galat. v, 7.

vertimus? Hæ machinæ sunt et fraudes mali dæmonis, qui nos ab inde exorientibus commodis abducit. Si promptis attentisque auribus illa percipiamus, fructus inde uberiores decerpemus, intelligentes eorum ope dogmatis certitudinem, et ad pacem contente pergentes, ne pertimescamus dictionis insuetum, et peregrinum, quin imo magis majorem in nos concipiamus metum illius improbatione, ne rationem extremam illius causa reddamus, in die scilicet retributionis. Optimum est nos rectæ fidei, non consuetudini addici. Tum robur obtinere debet consuetudo, cum canonicas observationes non vulnerat, uti fit in civilibus negotiis, cum eversionem legum non respicit; cum porro pietatis cultui noxam infert, et periculum nobis creat, tum modis omnibus illud ut insidiosum et inimicum animo fugiendum est. Quodsi in vobis metum concipitis, et ægre mente consistitis, quod præsens hoc dogma in sacro fidei Symbolo non deprehendatur, par est, vos agnoscere, multa alia necessaria venerandum hoc Symbolum nullo modo continere, cum nequeant omnia et singula minutatim una tantummodo expositione, et tantundem contracta atque compendiosa concludi; neque propterea nos illa vel improbamus, vel longe a nobis pellimus, quin imo ea tuto tenemus, et sonora voce prædicamus. Et ut multa silentio præteream, unius vel alterius mentionem solummodo faciam, quorum speculatio non longe ab hoc nostro dogmate aberit. Spiritum sanctum Deum esse in hoc Symbolo fidei nusquam apparet, neque Patri et Filio verbis expressis consubstantialem esse, licet editionis illius tempore ejus divinitas in controversiam versa esset. Nihilominus et Deum illum esse nos palam aperteque confitemur, et Patri Filioque consubstantialem esse recipimus, neque apud prudentiæ laude commendatos novum quippiam in fidei dogmatibus tentasse existimamur. Spiritus sanctus rursus, ut proximius scopum, qui nobis est propositus, attingam, neque in hoc eodem fidei Symbolo Spiritus veritatis dicitur, et tamen nemo usquam adeo temerarius, tantaque affectus confidentia fuerit, ut evangelicam Salvatoris vocem non amplectatur. Silentio quoque involvo, quæ de incarnatione Unigeniti nos pietatis cultores divina et venerauda dogmata profitemur, et præ aliis ipsam Deiparæ vocem, Dei Matris appellationi non absimilem, cujus gratia et qui postmodum præluxerunt sancti Patres nostri definitionem particularem edere coacti sunt, et eam in Ecclesia cani constituerunt. Uti igitur hæc omnia amplectimur et confitemur, licet nusquam in venerando fidei Symbolo habeantur, pari modo et Spiritum sanctum exsistentiam habere etiam ex Filio prorsus ab omnibus sentiendum est, etsi nullo modo in eo comprehendatur, quod perspicue ab omnibus Spiritu afflatis Patribus uno ore decretum est: illudque locis in omnibus prædicandum est, tum

πρὸς τὴν ἀκρόασιν αὐτήν ἀποδυσπετοῦντες φαινόμεθα; Τούτου μηχανὴ καὶ μεθοδεία τις τοῦ πονηροῦ, τῆς ἐντεῦθεν ἡμᾶς ὠφελείας ἀπάγοντος. Ἂν ἐστῶσιν ὑποδεξώμεθα ταύτας ὠσί, τὸ κέρδος πολλαπλάσιον οὕτω δρεψόμεθα, συνιέντες ἐξ αὐτῶν τὸ τοῦ δόγματος ἀσφαλές, καὶ πρὸς τὴν εἰρήνην συντόνως μεταχωρήσαντες, μὴ φοβηθῶμεν τὸ τῆς φωνῆς ἄτοπον καὶ ξένον ἡμῖν, μᾶλλον ὑποπτήξωμεν τὴν μέχρι νῦν ταύτης ἀθέτησιν, μὴ καὶ λόγον ἔσχατον ὑπόσχωμεν χάριν αὐτῆς, ἐν τῇ ἡμέρᾳ δηλαδὴ τῆς ἀνταποδόσεως. Καλὸν ὀρθοδοξίας ἡμᾶς, μὴ συνηθείας, ἐξέχεσθαι. Τότε χρὴ κρατεῖν τὸ ἔθος ἐν τοῖς ἐκκλησιαστικοῖς, ὅτε μὴ κανονικὰς παρατηρήσεις λυμαίνεται, καθώσπερ ἐν τοῖς πολιτικοῖς πράγμασιν αὖ, ὅταν οὐκ ἀφορᾷ πρὸς νόμων ἀναίρεσιν. Ἡνίκα δὲ πλείστην εἰς τὸν κατ' εὐσέβειαν λόγον ἀπεργάζεται τὴν βλάβην ἡμῖν, τηνικαῦτα δεῖ μάλιστα φεύγειν ὡς ἐπίβουλον τοῦτο τῆς ψυχῆς καὶ πολέμιον. Εἰ δὲ κατὰ νοῦν δεδοίκατε, καὶ πτοία τις ὑποτρέχει τὸν ἡμέτερον λογισμόν, ὅτι τὸ παρὸν οὐκ ἐμπεριείληπται δόγμα τῷ ἱερῷ Συμβόλῳ τῆς πίστεως, εἰκὸς γινώσκειν ἡμᾶς, ὡς καὶ ἕτερα τῶν ἀναγκαίων πολλὰ τὸ τοιοῦτον οὔμενουν οὐδαμῶς περιέχει σεπτὸν Σύμβολον, ἐπεὶ μηδὲ οἷόν τε τὰ πάντα κατὰ λεπτὸν τῆς εὐσεβείας περιλαβεῖν εἰς ἔκθεσιν μίαν τινά, καὶ μᾶλλον οὑτωσὶ συνεπτυγμένην καὶ σύντομον· οὐ διὰ τοῦτο δ' ἡμεῖς ἀθετοῦμεν καὶ ἀποβάλλομεν ταῦτα μακράν, ἀλλά γε καὶ πρεσβεύομεν ἀσφαλῶς, καὶ διαπρυσίως κηρύττομεν. Καὶ ἵνα τὰ πολλὰ παριάσας ἑνός τινος ἢ δύο μνησθῶ, καὶ τούτων αὐτῶν θεωρουμένων τοῦ παρόντος ἐγγὺς δόγματος, τὸ Πνεῦμα τὸ ἅγιον οὐ κεῖται Θεὸς κατὰ τὸ Σύμβολον τοῦτο τῆς πίστεως, οὐδὲ τῷ Πατρὶ καὶ τῷ Υἱῷ πρὸς ἔπος καὶ ῥητῶς ὁμοούσιον, καὶ ταῦτα κατ' αὐτὸν τὸν τῆς ἐκθέσεως τοῦ τοιούτου καιρὸν, τῆς οὐσίας αὐτοῦ λογομαχηθείσης καὶ τῆς θεότητος. Ὅμως καὶ Θεὸν ὑπάρχειν ὁμολογοῦμεν ἡμεῖς τοῦτο τρανῶς, καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ καταγγέλλομεν, καὶ οὐ δήπου καινοτομεῖν παρὰ τοῖς φρονοῦσιν ὀρθῶς τὴν κατ' εὐσέβειαν πίστιν οὐδαμῶς νομιζόμεθα. Τὸ Πνεῦμα τὸ ἅγιον αὖθις, ὡς ἂν φαίην πλησιαίτερον τοῦ κατὰ σκοπὸν, οὐδὲ Πνεῦμα λέγεται τῆς ἀληθείας ἐν τῷ αὐτῷ Συμβόλῳ τῆς πίστεως· πλὴν τῶν ἁπάντων οὐδεὶς οὕτω καθέστηκεν αὐθάδης καὶ τολμηρὸς, ὡς τὴν ἐν Εὐαγγελίοις φωνὴν τοῦ Σωτῆρος μὴ παραδέχεσθαι. Καὶ παραλείπω δὴ τὰ κατὰ τὴν ἀνανθρώπησιν τοῦ Μονογενοῦς πρεσβευόμενα τοῖς εὐσεβέσιν ἡμῖν θεῖα καὶ σεπτὰ δόγματα, καὶ πρὸς τούτοις αὐτὴν τὴν Θεοτόκος φωνὴν, τὴν κατάλληλον κλῆσιν τῆς Θεομήτορος, ἧς χάριν ἐδέησε καὶ τοῖς μεταγενέστερον ἐκλάμψασιν ἱεροῖς Πατράσιν ἡμῶν ὅρον ἴδιον ἐκθεῖναι, τὸν δὲ ψάλλεσθαι καὶ αὐτὸν ἐπ' ἐκκλησίας παραδεδώκασιν. Ὧ; ταῦτα γοῦν πάντα στέργομεν καὶ ὁμολογοῦμεν ἡμεῖς μιᾷ δόλῳ ἐγκείμενα τῷ σεπτῷ Συμβόλῳ τῆς πίστεως, οὕτω καὶ τὸ τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν κάκ τοῦ Υἱοῦ δίκαιον φρονεῖν πάντας, εἰ καὶ μηδαμῶς ἐν τούτῳ παραλαμβάνεται, καθότι δεδογμάτισται καθαρῶς παρὰ πάντων ὁμοῦ τῶν τοῦ Πνεύματος· ἔτι καὶ πανταχοῦ κηρύττειν

Digitized by Google Распознавание текста ABBYY FR

αὐτὸ προσῆκόν ἐστι, κἂν τοῖς πρὸς ἀλλήλους, φημὶ, λόγοις, κἂν τοῖς συγγράμμασιν, οὐ μὴν προστεθῆναι κατὰ τὴν ὑπόνοιαν τήν τινων ἐν τῷ πολλάκις ῥηθέντι μοι Συμβόλῳ τῆς πίστεως, ἐπεὶ καὶ τῶν ἁγίων οἱ πλείονες τῶν θεολογησάντων τὸ σεπτὸν δόγμα τοῦτο, τὸ Σύμβολον, οὕτως ὡς κατ' ἀρχὰς συνετέθη, καὶ νῦν αὖθίς ἐστιν, ἀνεγίνωσκον, μήτε τι προσθέντες ἐπέκεινα μηδαμῶς, μηδὲ τὸ παράπαν μηδὲν ὑφελόμενοι. Τοῦτο καὶ ἡμεῖς ἀπαραποίητον τηροῦμεν, καὶ τηρήσομεν κατ' ἐκείνους διὰ παντός. Ὁ θεόφρων οὑτοσὶ καὶ θεόσοφος ἡμῶν αὐτοκράτωρ ἐγγυητὴς ἀξιόχρεως. Ὥστε, καὶ εἴ τινες τῶν πάντων ἐστὲ τοιοῦτόν τι κακῶς ὑποπτεύοντες, τούτων ἀκροασάμενοι τὸ παρὸν μεταμάθετε καλῶς τὴν ἀλήθειαν. Ἐντεῦθεν καὶ τὴν διάστασιν ἀποβαλόντες, καὶ ἀποθέμενοι τὸ διχονοεῖν, ἀσπάσασθε τελείως τὴν μεθ' ἡμῶν εἰρήνην καὶ τὴν καταλλαγὴν ἐνστερνίσασθε. Ἥκετε ἁπλῶς οἱ τελοῦντες τοῦ σχίσματος καὶ τῆς ταραχῆς μέχρι τοῦ νῦν γαλήνης τὰς ψυχὰς πληρωθέντες ἡμῖν τὸ ἀπὸ τοῦδε συνάφθητε. Μὴ τὴν εἰς κρεῖττον ποσῶς αἰσχυνθῆτε μεταβολὴν, μηδὲ τὴν εἰς τὸ βέλτιον ἐντραπῆτε μετάθεσιν. Τὸ ἓν γενήθητε καὶ πρὸς ἀλλήλους καὶ πρὸς ἡμᾶς, ἐπεὶ διαφοράν τινα καὶ παρ' ὑμῖν ἔγνωμεν. Τοῦτο νῦν, τὴν εἰρήνην φημὶ, καρποφορήσατε τῷ εἰρηνάρχῃ Χριστῷ, τῷ δι' ἀγαθότητα πάλαι συνάψαντι τὰ διεστῶτα πρὸς ἕνωσιν. Οὐχ οὕτως αὐτὸν θεραπεῦόν ἐστι τῶν πάντων οὐδὲν, ὡς τὸ μετ' ἀλλήλων ἡμᾶς εἰρηνεύειν ἑκάστοτε. Ταύτην καὶ σωματικῶς συνδιάγων ἐπὶ γῆς ὡς δῶρόν τι παρεῖχεν ἀεὶ τοῖς ἀποστόλοις καὶ μαθηταῖς· καὶ τῶν κάτω διατριβῶν ἀφιπτάμενος, πάλιν ὡς ἂν τινα κλῆρον αὐτοῖς ἐδίδου καὶ κατελίμπανεν. Ὅπερ ἡμεῖς διὰ τέλους, ἀδελφοὶ, καθικετεύω, μὴ ἀποσταίητε· μᾶλλον προσδράμετε κατὰ τάχος αὐτῇ, καὶ τῶν ἐκ ταύτης καλῶν ἀπολαύσετε. Πόσον οἴεσθε πλῆθος ἀνδρῶν ἅμα καὶ γυναικῶν τῷ σχίσματι τούτῳ τὴν ψυχὴν ἀπολέσαι, δι' ἣν σπεύδετε δῆθεν καὶ ὑπὲρ ἧς, κἂν μὴ δεόντως, μηδ' ἐν οἷς ἄξιον; πόσον μοναχῶν, πόσον μοναζουσῶν ὁ δολιάφριων ἐχθρὸς ἐσύλησεν, οὓς πάντας τῆς τοῦ Χριστοῦ κοινωνίας ἀποτεμὼν, οἰκεῖον κατάβρωμα παντελῶς ἀπετέλεσεν; ἔστι δ' οὓς ἀποχωρίσας καὶ τῆς κοινῆς ἀγέλης ἡμῶν εἰς πάθη κακῶς ὕβρεως καὶ ἀτιμίας ἐνέβαλε; Ταύτην στήσετε καλῶς τὴν λύμην ὑμεῖς, ἐὰν μόνον πρὸς ἡμᾶς ἐπανέλθητε, καὶ τῶν πεπτωκότων ἐπανακαλέσησθε πάλιν τινὰς, ὁπόσους μὴ τὸ κοινὸν χρέος δηλαδὴ προαφήρπασε. Μὴ τοίνυν παρίδητε μήτε τοὺς οὕτωσὶ κειμένους τῶν ἀδελφῶν, μήτε, τὸ μέγιστον, ἑαυτοὺς ἀπολλυμένους καὶ κινδυνεύοντας. Γνῶτέ ποτε καὶ μόλις τὸ τοῦ δόγματος ἀσφαλές. Ἄφετε τὴν ματαίαν ἔριν καὶ τὸ φιλόνεικον, μεταμεληθέντες ἐφ' οἷς ἀκαίρως ἐνέστητε καὶ λίαν ἐπισφαλῶς. Προσέλθετε τῇ ἀληθείᾳ, καὶ ἡμῖν κατὰ ταύτην ὁμονοήσατε. Τούτοις εἰ μὲν πείθομεν τοῖς λόγοις, ἀγαπητοὶ, δεῦτε καὶ τὰς δεξιὰς ἀλλήλοις ἐμβάλωμεν. Ἰδοὺ πρῶτος ἐγὼ δίδωμι ταύτην ὑμῖν εἰς ἀδιάῤῥηκτον πνευματικὸν σύνδεσμον· καὶ ὑμεῖς ὡσαύτως ἡμῖν τὰς σφετέρας χαρίσασε, καὶ στῆτε μεθ' ἡμῶν οἱ πάντες κατὰ ταυτόν. Μεγαλύνωμεν

in mutuis colloquiis, tum in commentariis, non tamen in sæpius a me commemorato filei Symbolo apponendum, cum pars sanctorum potior, qui venerandum hoc dogma pronuntiarunt, Symbolum ut ab initio concinnatum est, et nunc rursus est, recitarunt; nihil illi ultra addentes, neque vice versa quidquam demente. Hoc etiam nos nulla vocula immutatum conservamus, et, ut illi ediderunt, perpetuo conservabimus. Divina mente præditus et a Deo edoctus hic noster imperator sponsor locuples fuerit. Quare etsi nonnulli ex vobis aliquid tale non ingenue suspicamini, his auditis recte nunc veritatem addiscite. Hinc etiam dissidio ac dissensione exstinctis et contentionibus sepositis perfectam nobiscum pacem componite, et concordiam amico pectore suscipite. Omnes generaliter schismati turbisque ad hoc tempus addicti animum tranquillitate oppleti in futurum unimini. Ne in melius immutatio vos pudeat, neque in magis integra transitus perterreat; inter vos et inter nos unum fieri non dedignemini, cum et inter vos dissidia nos non fugiant. Hunc in præsenti fructum, pacem scilicet, pacis principi Christo date, qui sua bonitate jam olim disjuncta in unum conjunxit perfecte. Nihil magis inter omnia illi complacitum est, quam mutuo nos concordiæ vinculo perpetuo colligari; illam, dum corpore in terris vitam ageret, veluti munus aliquod apostolis et discipulis semper exhibebat, et ex terrenis rursus avolans, iisdem uti hæreditatem quamdam clargiebatur et relinquebat: a qua vos, fratres, exoro, in finem usque ne disjungamini, imo ocius ad ipsam accurrite, et promanantia ex ipsa bona participabitis. Quantam hominum ac mulierum multitudinem, opinamini ob hoc dissidium animarum jacturam fecisse, pro quorum salute, etsi non uti par est, neque justum, tantum insudatis et affligimini? quantam monachorum, quantam monialium dolosus hostis rapuit et furatus est, quos omnes a communione Christi abscindens, uti propriam escam exsorbuit, et alios etiam a communi nostro grege separatos in injurias et dedecora conjecit? Hanc noxam irritam probe continebitis, si tantummodo ad nos reversionem feceritis, et ex lapsis nonnullos rursus revocaveritis, quos commune fatum non sustulit. Ne fratres sic jacentes, et quod potissimum est, ne vosmetipsos in perditionem ruentes periclitantesque negligatis. Cognoscite tandem aliquando dogmatis securitatem, inanes dissensiones contentionesque missas facite, et de illis quæ inopportune et non absque errore oppugnastis, pœnitentiam agite. Remigrate ad veritatem, et una nobiscum ad eam retinendam conspirate. Ilis sermonibus si persuademus, o amici, eia agite jam dexteras alterutris porrigamus. En ego ipse primus omnium vobis in indissolubilis spiritalis vinculi signum eam exhibeo: et vos similiter vestras concedite, et a nobis omnes state, et unanimes Dominum magnificemus.

Digitized by Google Распознавание текста ABK/FR

Quodsi id abnuitis, nunc omnes Dei angelos vestri curam gerentes in testimonium advoco, et ante eos ipsum Dominum nostrum, qui in Triade r ligiose colitur, nos quantum in nobis est, innocentes esse, quod debitum exsolvimus. Hæc post Deum illis edicimus, quibus adhuc vitæ aliquid superest : vobis, inquam, qui affectibus haud obnoxii in similium conquirendorum sententia firmiores estis, quandoquidem quibus charitatis bonum omnino refriguit, et qui ob erga nos improbitatem mortui sunt, ad hos quænam verba usurpanda venerint, quæ consilia, quæ monita, quorum resurrectio et correctio plane solius Dei fuerit? et nostrarum ad Deum precum perfectiorum et absolutiorum opus.

42. Sed cum jam animus sit, in fine de rebus nostris laudem et gratiarum actionem bonorum datori largitorique referre, gestit subsilitque effunditurque latius oratio, et in iis, quæ in nos admiranda operatus est, immorari exoptat; sed vice versa cum tractationis propositique res intentæ finem habuerint, id in præsenti non permittunt, quod Dei in nos admiranda præsenti hoc tantoque argumento revera diffusiora sunt. Hinc erga ipsum, ut vel solum animi nostri desiderium explicemus, id confitentes aientesque, orationem in supplicationem addecentem ad satietatem vitandam finiemus, ut paulo ante promisimus. Ut vero, uti par est, et nos debemus, laudationem exordiar, sacri cantoris Davidis quam opportunissime voces mutuatus non absimili ab eo stupore ad Altissimum contenta voce clamo : *Quam magnificata sunt opera tua, Domine! omnia in sapientia fecisti* [98]; non solummodo quæ in principio ex eo quod non erat, ad id quod erat, produxisti, sed quæ etiam certis diversisque temporibus in humana commoda absolvisti, uti se habet et præsens erga nos opus, quod et maximum et in sapientia perfecisti. Cum enim non esset neque miserentis neque in humanum genus propensissimi Dei, qui sola sua bonitate genus nostrum ab initio condidit, tuam in finem Ecclesiam discissam et miserrime laborantem prætermittere ac negligere, quam unigenitus et coæternus Filius et Verbum tuum Patris potentissimi propter viscera infinitæ erga nos misericordiæ tuæ, carnem assumens humanam, immaculatissimarum et sanctissimarum suarum manuum extensione e terræ finibus in crucem collegerat, sibique ex vivifico et pretioso latere sanguine profuso asciverat, hanc eamdem rursus in unum convenire ætate hac nostra, et vulnus pessime se habens, quod malorum origo et fraudum architectus ægre ferens illam adprosperari, impegit, conglutinare tibi complacuisti. Igitur ante omnia in sola pacis atque amicitiæ fœdera, quæ tua est rerum humanarum dispositio, nos

[98] Psal. CIII, 24.

A ὁμοφρόνως τὸν Κύριον. Εἰ δὲ μή, μαρτυρόμεθα νῦν πάντας τοὺς προστατεύοντας ἡμῶν ἀγγέλους Θεοῦ, καὶ πρὸ τούτων αὐτὸν τὸν Δεσπότην αὐτῶν τὸν ἐν Τριάδι σεπτῶς προσκυνούμενον, ὡς ἀθῶοι τὸ εἰς ὑμᾶς μέρος ἡμεῖς, ἀνθ' ὧνπερ τὴν ὀφειλὴν πεπληρώκαμεν. Ταῦτα μετὰ Θεὸν πρὸς ἐκείνους φαμὲν, παρ' οἷς τι καὶ ζωτικὸν ὑποφαίνεται, τὸ πρὸς ἡμᾶς; λέγω τοὺς ὑγιαίνοντας οὕτως ἀπροσπαθεῖς, καὶ τὴν ἐντεῦθεν ἐρευνητικὴν τῶν τοιούτων διάνοιαν. Ἐπεὶπερ οἷς τὸ τῆς ἀγάπης ὁλοσχερῶς ἐψύγη καλὸν, καὶ οἵτε παντάπασι τῇ καθ' ἡμῶν κακίᾳ νενέκρωται, πρὸς τούτους αὐτοὺς τίνων δεῖ ῥημάτων ἁπλῶς; ποίας δὲ συμβουλῆς τε καὶ παραινέσεως, οὓς μόνους σαφῶς πέφυκε τοῦ Θεοῦ διανιστῆσαι καὶ διορθώσασθαι; τὸ δὲ πάντως εὐχῆς ἔργον ἡμῖν τῆς τελειοτέρας καὶ μείζονος.

B μβ'. Ἀλλ' ἤδη βουλομένῳ μοι καὶ τῷ τέλει τὴν ὑπὲρ ἡμῶν αἴνεσιν καὶ εὐχαριστίαν ἀφοσιώσασθαι τῷ χορηγῷ καὶ δοτῆρι τῶν ἀγαθῶν, ἵεται καὶ πηδᾷ κἀνταῦθα πρὸς πλατυσμὸν ὁ λόγος, καὶ τοῖς εἰς ἡμᾶς νῦν γεγενημένοις ὑπ' αὐτοῦ θαυμασίοις ἐμφιλοχωρεῖν προτεθύμηται. Πάλιν δὲ τὰ τῆς πραγματείας καὶ τοῦ σκοποῦ πέρας ἔχοντα τὸ παρὸν οὐκ ἀνίησιν, ὅτι καὶ μακρότερα τὰ τῶν τοιούτων ἡμῖν τεραστίων Θεοῦ τῆς παρούσης καθέστηκε τοσαύτης ὡς ἀληθῶς ὑποθέσεως. Ἔνθεν τοι πρὸς αὐτὸν ἴσον ἐνδείξασθαι καὶ μόνον τὴν πρόθεσιν τῆς ἡμετέρας ψυχῆς ἀνθομολογησάμενος καὶ εἰπὼν, τὸν λόγον εἰς εὐχὴν τῶν ἀνηκόντων διὰ τὸ προσκορὲς καταπαύσω, καθὼς τὰ τῆς ὑποσχέσεως ἔχει μικρὸν ἄνωθεν. Ἵνα C δὲ πρεπόντως καὶ ὡς χρεὼν τῆς δοξολογίας ἀπάρξωμαι, τοῦ Ἱεροψάλτου δανεισάμενος Δαυὶδ ἁρμοδιώτατα τὴν φωνὴν μετὰ τῆς ἐκείνου πρὸς τὸν Ὕψιστον βοῶ διαπρυσίως· ἐκπλήξεως· « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε. Πάντα ἐν σοφίᾳ ἐποίησας, » οὐχ ὅσα δηλαδὴ μόνον καταρχὰς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγες δημιουργικῶς, ἀλλὰ καὶ ὅσα κατὰ καιροὺς διαφόρους τοῦ τῶν ἀνθρώπων ἕνεκεν διεπράξω συμφέροντος, ὡς καὶ τοῦτο τὸ νῦν ἔργον ἔχει τὸ εἰς ἡμᾶς, ὅπερ μέγιστον καὶ ἐν σοφίᾳ τετέλεκας. Καὶ γὰρ ἐπειδήπερ οὐκ ἦν τοῦ φιλοκτίρμονός σου καὶ φιλανθρώπου Θεοῦ τοῦ δι' ἀγαθότητα μόνην ἀπαρχῆς τὸ γένος ἡμῶν πλαστουργήσαντος τὸ τὴν Ἐκκλησίαν περιιδεῖν εἰς τέλος τὴν σὴν διερρηγμένην, καὶ D τὰ ἔσχατα δεινῶς κάμνουσαν, ἣν ὁ μονογενὴς τε καὶ συναΐδιος Υἱὸς καὶ Λόγος σου τοῦ πανάρχου Πατρὸς διὰ σπλάγχνα τοῦ ὑπεραπείρου περὶ ἡμᾶς ἐλέους σου μορφωθεὶς τὸ ἀνθρώπινον, τῇ τῶν πανάγνων ἑαυτοῦ καὶ παναχράντων χειρῶν ἐκτάσει συνήγαγεν ἐκ περάτων ἐπὶ σταυροῦ, καὶ περιεποιήσατο τῷ τῆς οἰκείας ἐκρεύσαντι ζωοποιοῦ καὶ τιμίας πλευρᾶς αἵματι, τὴν τοιαύτην συνελθεῖν καὶ πάλιν εἰς ἓν ἠδόκησας ἐφ' ἡμῶν, καὶ συνουλωθῆναι τὸ πάνυ γε χαλεπῶς ἔχον τοῦ πνεύματος, ὅπερ ὁ ἀρχέκακος καὶ ὁλιόφρων ἐχθρὸς μὴ φέρων ὁρᾷν εὐδοκιμοῦσαν προὐξένησεν. Οὐκοῦν ἐν πρώτοις εἰς σπονδὰς μόνας εἰρηνικὰς καὶ φιλίας οἰκονομικῶς συνελάσας ἡμᾶς, « Ὃ

Digitized by Google Распознавание текста ABK/FR

βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως σῆς, » Δέσποτα τοῦ παντὸς, οὕτως ἐκθαμβος μετὰ Παύλου κἀγὼ κραυγάσω τοῦ χριστοκήρυκος, ἐκεῖθεν ἐξῆς ἐπραγματεύσω τὴν κατ' εὐσέβειαν ὁμογνωμοσύνην ἡμῖν καὶ πεπλήρωκας διὰ τῆς τῶν σεπτῶν ἀναπτύξεως καὶ θείων Γραφῶν, καὶ τῆς ἐντεῦθεν φανερώσεως τοῦ ὀρθοῦ δόγματος. Τοῦτο τῆς ὑπὲρ ἡμῶν σοφίας σῆς τὸ κατόρθωμα νῦν. Τοῦτό σου τῆς περὶ ἡμᾶς εὐεργεσίας τὸ μέγεθος. Ὁμολογοῦμεν τὸν ἔλεον, ὡς εἰκός. Τὴν χάριν ἀεὶ τοῖς πᾶσι κηρύττομεν, ὑπὲρ ὧν καὶ θυσίαν αἰνέσεως καὶ εὐχαριστίας τῇ σῇ χρηστότητι προσφέρειν βουλόμεθα μὲν, οὐ δυνάμεθα δὲ διὰ τὸ ἀνυπέρβλητον αὐτῆς τὸ παράπαν, μή τοί γε καθόσον ἐστὶν ἄξιον. Ὅθεν κἀγὼ λήξας τοῦ τὴν σὴν ὅλως νῦν μεγαλοπρέπειαν ἀνυμνεῖν, τὸ ἀπὸ τοῦδε τῆς πρὸς σὲ τὸν Ὕψιστον εὐχῆς δεόντως ἀπάρχομαι· καὶ πρῶτα μὲν τοῖς ὀρθοδοξοτάτοις, δέομαι, καὶ παγεψσεβέσιν αὐτοκράτορσι καὶ βασιλεῦσιν ἡμῶν, δι' ὧνπερ ὡς δι' ὑπουργῶν θερμοτάτων τε καὶ πιστοτάτων τὸ σὸν τοῦτο παμμέγιστον ἔργον ἐτέλεσας, νίκας δωρούμενος κατ' ἐχθρῶν πάντων λαμπρὰς, τῶν ἀθέων Ἀγαρηνῶν κατ' ἐξαίρετον, χορηγοίης αὐτοῖς, καὶ διὰ τούτων παντὶ τῷ ὑπηκόῳ λαῷ βαθεῖαν διηνεκῶς ἐν ἅπασιν εἰρήνην καὶ ἀστασίαστον· μετὰ δὲ ταῦτα τῷ καλῷ ποιμενάρχῃ τῷ τῆς σῆς ποίμνης πνευματικῶς προϊσταμένῳ τὰ νῦν, ὅστις πολλοῖς φῶσι καὶ αὐτὸς τὰ μεγάλα συνήρατο πρὸς τὸ ἔργον καὶ συνεβάλετο, παράσχοις τὴν σὴν χάριν δαψιλῆ καὶ πλουσίαν, ὁ πρύτανις πάντων τῶν ἀγαθῶν, ὡς πάντας ἐπαναγαγεῖν δυνηθῆναι τοὺς ἡμῶν ἐσάπαξ ἀποπηδήσαντας· ἡμᾶς δὲ ἑκάστοτε τῷ ἀγαθῷ Πνεύματί σου καθοδηγῶν, ὅπερ φυσικῶς καὶ Πνεῦμα τοῦ μονογενοῦς Υἱοῦ σου τελοῦν, τὴν οἰκείαν θεοπρεπῶς ὕπαρξιν καὶ ἐξ αὐτοῦ κέκτηται, πρὸς παντελῆ διεθύνοις τῶν σῶν θελημάτων ἐκπλήρωσιν.

A redigens, *O altitudo divitiarum sapientiæ et scientiæ tuæ*[96] ! omnium Domine, ut cum Paulo Christi præcone admiratione quadam commotus, ipse quoque vehementius exclamem ; inde postmodum nos in pietatis concordiam reductos, venerandarum sacrarumque Scripturarum expositione, qua rectum dogma innotuit, eadem confirmasti. Hoc tuæ, quæ supra nos est, sapientiæ hac ætate recte factum. Hæc tui in nos collati beneficii amplitudo. Confitemur, uti addecet, misericordiam ; gratiam coram omnibus sempiterne prædicabimus, pro quibus et sacrificium laudis, et gratiarum actiones tuæ bonitati referre cupimus nos equidem, sed propter rei nimiam exsuperantiam prorsus effetarum virium infirmitas impedit, tantum B abest ut id condigne concedat peragere. Hinc ipse tuam magnificentiam laudibus prosequi mittens, posthac ad te Excelsissimum supplicationem uti par est exordiar, et primum quidem in fidei dogmatibus integerrimis et piissimis nostris regibus et imperatoribus, quorum studio opeque uti fervidissimorum et fidissimorum administrorum quam maximum hoc opus tuum absolvisti, adversus omnes hostes, et potissimum impios Agarenos, victorias luculentas, et per eos universo ipsis subjecto populo perpetuo in omnibus amplam paratamque pacem concede ac defer : tum posthac probissimo tuæ gregis spiritali præsenti pastori, qui multis certaminibus ac sedulo multiplicique C studio in auxilium operis venit, tuam gratiam uberem affluentemque elargire, qui bona omnia dispensas, ut possit universos qui ex nobis desilierunt, ab errore revocare ; et nos quotidie doceps ac per omnia dyceus bono tuo Spiritu, qui naturaliter Spiritus unigeniti Filii tui exsistens, propriam, ut Deo convenit, exsistentiam etiam a ipso possidet, in absolutam tuarum volun atum explctionem dirige.

[96] Rom. xi, 33.

Digitized by Google Распознавание текста ABBYY FR

ANNO DOMINI MCCLXXV

GEORGIUS METOCHITA

NOTITIA

(Cave De script. eccles p. 615).

Georgius Metochita, Magnæ ecclesiæ CP. diaconus, Vecci symmysta, et omnium fere quæ sub Andronico imp. perpessus est, malorum socius, claruit anno 1276. Unionem cum Latinis ineundam summopere promoveba ; et cum a sententia neutiquam dimoveri posset, sæpius in carcerem conjectus est. Obiit exsul, quo tamen anno, nondum comperi, certe Vecco superstes. *Dictio ei*, judice Allatio (*De consens.* l. II, c.15, § 9), *in omnibus dura, compositio aspera, nullo fuco, nullo lenocinio mollita, sententiæ graves, argumenta ad probandum id quod voluit firma, sed elocutione et impositione nominum horrida et confragosa.* Hæc Allatius, qui eadem fere repetit *Diatriba de Georgiis eorumque scriptis*, pag. 345, utrobique autem Opusculo Metochitæ, *viz. de Processione Spiritus S.* Opus in v partes, seu orationes distributum; *De unione Ecclesiarum; Adversus Maximum Planudem, Manuelem Nepotem, et Gregorium Cyprium enumerat.* Ex his exstant *refutatio trium capitum Maximi Planudis*, ab eodem Allatio Gr. Lat. edita *Græc. Orthodox.* tom. II, pag. 922. *Refutatio Manuelis Cretensis Nepotis*, ibid. pag. 959; Fragmentum satis amplum ex libro V *de Processione Sp. S.* Gr. Lat. exhibet idem Allatius lib. *de Purgatorio* pag. 668, Fragmentum ex oratione historica *de Unione Ecclesiarum*, lib. *adversus Hottinger.* pag. 429. Fragmenta bina ex oratione historica *de Dissidio Ecclesiarum*, ibidem, pag. 458, 462 ; aliud ex libro V, *de Processione Sp. S.* fragmentum ibidem pag. 511. Fragmentum libri IV *de Processione Sp. S. de Epistola S. Maximi* agens, Gr. Lat. edidit Fr. Combefis. *Auctar. Nov.* tom. II, pag. 1017.

ΓΕΩΡΓΙΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΔΙΑΚΟΝΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΑΝΤΙΡΡΗΣΙΣ ΤΩΝ ΤΡΙΩΝ ΚΕΦΑΛΑΙΩΝ, ΩΝ ΕΞΕΘΕΤΟ ΜΑΞΙΜΟΣ ΜΟΝΑΧΟΣ Ο ΠΛΑΝΟΥΔΗΣ.

GEORGII METOCHITÆ

DIACONI MAGNÆ ECCLESIÆ

REFUTATIO TRIUM CAPITUM, A MAXIMO PLANUDE MONACHO EDITORUM.

Leone Allatio interprete.

Ad improvisam nec opinatam interrogationem nobis delatam respondendum est; licet enim nobis proposita non sit, attamen cum illa nullam certam personam respiciat, sed concordiam Ecclesiarum, cui nos ipsi animum addiximus, non leviter oppugnet, quomodo nos effugere poterit? Quare cum tribus illa capitibus disponatur, morem nostrum

A Πρὸς ἐρώτησιν ἀπροόπτως ἡμῖν φανεῖσαν χρεὼν ἀποκρίνασθαι· εἰ γὰρ καὶ μὴ πρὸς ἡμᾶς, κατ' Ἐκλητιῶν δὲ συμβάσεως ἀπροσώπως, ᾗ προσχόντες αὐτοὶ προσηκάμεθα, ἡ ταύτης ἐπιφορὰ, πῶς ἐξέσται παραδραμεῖν; Οὐκοῦν τῇδε τρισὶν ἐν κεφαλαίοις ὑπογραφομένης τοῖς ἐξ ἔθους στοιχοῦντες πᾶν προκείμενον εἰς ἐξέτασιν ἐγκαταστρωννύντες τὸν ἀπόλογον

ἐφεξῆς ἐπάγειν, τὸ πρῶτον ἐπὶ λέξεως οὕτως ἐκτεθειμένον διασκεψώμεθα. « Ἐρωτητέον, πότερον ἡ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις ἄλλη καὶ ἄλλη, ἢ μία καὶ ἡ αὐτή. Εἰ μὲν οὖν ἄλλη καὶ ἄλλη ἐστί, διπλῆ ἄρα ἡ ἐκπόρευσις ἔσται, καὶ τὸ Πνεῦμα διπλοῦν, ὅπερ ἄτοπον· εἰ δὲ μία καὶ ἡ αὐτή, πῶς ἐκ τῆς ἁπλοῦ δυάδος δύναται τὸ ἓν εἶναι; Μονὰς μὲν γὰρ ἀρχὴ καὶ αἰτία οὐ μόνον δυάδος, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἀριθμῶν· δυὰς δὲ ἀρχὴ καὶ αἰτία μονάδος, εἴτ' οὖν ἑνός, οὐκ ἂν γένοιτο. Οὐ γὰρ καθ' ὑποστροφὴν αἱ γενέσεις τῶν ἀριθμῶν, ἀλλὰ κατὰ πρόοδον. Μονὰς γὰρ εἰς δυάδα κινεῖται, κἀκεῖθεν εἰς τριάδα καὶ ἐφεξῆς. Τὸ γὰρ λέγειν ἐκ τῆς τριάδος ἀφαιρεθείσης μονάδος δυάδα γίνεσθαι, κἀκ τῆς δυάδος ὁμοίως μονάδα. Ἀλλ' αἰτία κἀνταῦθα τούτων ἡ ἀφαιρουμένη μονάς, ἀλλ' οὐκ ἄλλος τις ἀριθμός. Λείπεται ἄρα μὴ τὰ δύο αἴτια εἶναι τοῦ ἑνός, ἀλλὰ τὸ ἓν τῶν δύο. Καὶ οὕτω μὲν ἐν τοῖς ἀΰλοις, ὃ κἀν τῇ θεότητι τῇ πάσης ὕλης ὑπερκειμένῃ ἁρμόζειν εἰκός. Ἐν δὲ τοῖς ἐνύλοις γίνεται μὲν ἐκ δύο ἕν, ἢ κατὰ σύνοδον, ὡς ἐξ ἀνδρὸς καὶ γυναικὸς τέκνον, καὶ ἐκ σιδήρου καὶ λίθου πῦρ, ἢ κατὰ σύνθεσιν, ὡς ἐκ γῆς καὶ ὕδατος πηλός. Ἀλλ' ἔστιν εἰπεῖν κἀνταῦθα πρῶτα μὲν ὡς ἐν ταῖς θείαις ὑποστάσεσιν οὔτε σύνοδος τοιαύτη τις ἐπινοεῖται, οὔτε μὴν σύνθεσις· δεύτερον δὲ, ὅτι ἐνταῦθα μὲν προηγεῖται τῷ χρόνῳ τὰ δύο τοῦ ἑνός, συναΐδια δὲ τὰ τῆς Τριάδος πρόσωπα, τρόπον ὅτι ἐν μὲν τοῖς πλείοσι τούτων ἕτερον τῷ εἶδει παρὰ τὰ δύο τὸ ἕν, ἀλλὰ κἀκεῖνα πρὸς ἄλληλα ἕτερα τῷ εἴδει· αἱ δὲ τῆς Τριάδος ὑποστάσεις τῆς αὐτῆς φύσεώς εἰσιν· ὥστε οὐ κατὰ ἕνυλα καὶ τὰ ἄΰλα. Οὐκ ἄρα ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα. » Οὕτω μὲν τὸ κεφάλαιον. Προδιαληπτέον δέ γε περὶ τοῦ *ἐκπορεύεται*, ἵν' ἐντεῦθεν σαφὴς γένηται ἡ ἐξέτασις, οἷς ὁ τῶν ἐξεταθησομένων μάλιστα γεννήτωρ περὶ τὸ τέλος τοῦ τρίτου τῶν κεφαλαίων φάσκει μὴ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα εὑρίσκεσθαι τῇ γραφῇ. Ταράσιος μὲν οὖν ὁ ἔξαρχος τῆς παγκοσμίου συνελεύσεως τῆς τὸν ἑβδοματικὸν ἀριθμὸν περαιωσαμένης, διὰ τόμου, ἐν ᾧ καὶ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον ἅγιον Πνεῦμα μετὰ τῶν ἄλλων διατρανοῦται, βεβαιωθέντος ὑπογραφαῖς οἰκειοχείροις τῶν αὐτῇ συνεδραμηκότων θείων ὅλων Πατέρων, καὶ τοῦτο συνεπεκύρωσε, καὶ λοιποὶ πρὸ αὐτοῦ θεηγόροι θεῖοι διδάσκαλοι κατὰ ῥῆμα παραδεδώκασι, πρὸς ὃ θεολογικῶν ἐκ διασαφήσεων πατρικῶν ματαιάζειν δεικνύον τοὺς διαπληκτιζομένους πρὸς τοὺς ἐκ Πατρὸς καὶ Υἱοῦ λέγοντας ἐκπορεύεσθαι, μαχεσάμενοι τοῖς προβᾶσι καθ' ἡμῶν πανδήμοις δικαστηρίοις, ἐκεῖνοι μεγάλοι προήγοροι τῶν ἡμῖν ἀντικαθιστάντων εἰς ἐννοιῶν συνθολώσεις τοῦ *ἐκπορεύεσθαι* καὶ ὁμωνυμιῶν ἑτερότητας ἀπηνέχθησαν, μὴ τὸ μετὰ σκοπὸν ἀποφῆναι ἰσχύσαντες. Καὶ ὅπως, ἐφεξῆς. Μετὰ τὰς ἐπενηνεγμένας ἡμῖν πολυειδεῖς καταδίκας οἱ μέλανι συνθέμενοι καὶ χειρὶ ταῖς τῶν ἑτεροτήτων καινοφωνίαις τὴν εἰς δυσφημίαν ἀνωμολόγησαν ἔκπτωσιν. Γνοίη δ' ἂν ὁ ἐρευνῆσαι προθυμηθείς, εἰ καὶ αὖθις ἡ δυναστεία, καὶ τῇ τοῦ πλήθους νενευρωμένῃ ῥοπῇ, τὰ αὐτὰ θρασύνεται καθ' ἡμῶν καὶ διορθώσεις προβάλλεται τῷ συγ-

sequentes, et quidquid examini subjiciendum et apponentes, ante omnia, ut ille exposuit, verba illius numerata, non absque discussione postmodum dijudicemus. « Interrogandum est, an ex Patre et Filio Spiritus sancti processio est alia, an vero una et eadem. Nam si alia et alia est, ergo duplex erit processio, et Spiritus duplex, quod plane absurdum est; si vero una et eadem, qua ratione ex duplari numero immateriato unum fuerit? Unitas enim non duplaris numeri tantummodo, sed et reliquorum omnium numerorum principium et causa est; at duplaris numerus unitatis, sive etiam unius, nunquam principium et causa fuerit; neque enim retrogradientes numeri, sed ante procedentes generantur. Unus siquidem in duplarem, indeque triplarem, et sic deinceps in reliquos decedit. Namque si dicas ex triplari, dempta unitate duplarem fieri, et ex duplari similiter unitatem: at hic quoque causa dempta unitas, nec ullus alius numerus est. Reliquum ergo est duo non esse causam unius, sed duorum unum. Et sic in immateriatis philosophandum est, quod etiam Deitati, quæ supra omnem materiam est, convenire par est. In materietatis vero fit ex duobus unum sive conjunctione, ut ex muliere et homine fœtus, et ex ferro et lapide ignis; sive compositione, ut ex aqua et terra lutum. Verumtamen hic quoque primum dicendum est, in divinis hypostasibus, neque conjunctionem similem, neque compositionem intelligi. Secundum. in his etiam tempore unum duobus præcedere cum personæ in Trinitate coæternæ sint. Tertium in potiore similium parte unum differre specie a duobus, quæ etiamsi inter se conferantur diversa specie sunt, ubi Triadis hypostases ejusdem naturæ sunt, ideoque materiata ab immateriatis differunt. Non est ergo ex Patre et Filio Spiritus. » Et sic se habet caput. Ante vero alia de dictione *procedere* edisserendum est, ut inde quoque examen dilucidius procedat, cum examinandorum dijudicandorumque parens in fine tertii capitis asserat, Spiritum sanctum ex Filio procedere, nusquam esse scripto traditum. Tarasius itaque universalis synodi, quæ septima numero est, præses, ex Patre per Filium Spiritum sanctum procedere cum aliis in tomo a se confecto, et subscriptionibus eorum qui convenerant sanctorum omnium Patrum propriis manibus signatis confirmato, aperte declarat, et alii ante ipsum divinoloqui sancti doctores iisdem ipsissimis verbis tradiderunt. Quod licet tum theologicis enuntiatis, tum Patrum explicationibus ostendat eos qui ex Patre et Filio Spiritum procedere asserentibus repugnant, stulte nimis agere, publicis adversus nos præteritis annis judiciis constitutis, refellere conati magni illi viri, nostrorum adversariorum defensores, ad confusas pravasque sententias, et verbi *procedere* alios atque alios significatus, et varias homonymias confugerunt, cum non potuerint, quod illis propositum fuerat demonstrare, et quomodo id peractum sit, in sequentibus

Digitized by Google Распознавание текста ABK/FR

dicetur. Post diversas ac multiplices in nos condemnationes, qui atramento manuque variis hisce vocum novitatibus assensum dedere, ad ignominiosum lapsum cecidisse se fassi sunt; idque plane agnoverit cui id in animo est efflagitare, licet rursus iterumque dominatus, impetu populari, eoque admodum valido ascito, eadem adversus nos audacter jactet, et correctiones proponat, dum ea celare conatur, et eorum inficiatione in Apologiis suis contra nos editis, ad proprium vomitum non minus reverti deprehendatur. Nihilominus ad præsentem interrogationem responsione in præsenti dilata, eum variis multisque modis hoc argumentum Patrum enuntiatis corroboretur, ex aliis quæ ipsos illuminant, verum lumen conspiciamus: « Ex Patre et Filio » Romani dicunt « Spiritum sanctum procedere, » et divinus universus sanctorum nostrorum Patrum ac ducum chorus ex Patre et Filio et *progredi*, et *effundi*, et *apparere*, et *exsilire*, et aliis non absimilibus dictionibus in omnibus suis divinitoquis, et a Deo inspiratis dictis palam aperteque deprædicant, nec aliud præter hoc ipsum *procedere* has inferre, iidem ipsi per quam perspicue intonant. Et ante alios cui ab immortalitate nomen est, in colloquio, quod ipse instituit, Orthodoxi et Macedoniani hæc habet: « Absit ut hoc dicam ascititium esse in Spiritu. Etenim neque sanctum, neque incorruptibile, neque immortale, neque bonum, neque aliquid aliud, quod de Deo consideratur, dico ascititium esse Spiritui sancto, sed natura sanctus, natura bonus, natura incorruptibilis est, tanquam qui Spiritus Dei est, et ex ipso exsilit, id est procedit, » ut ex primo, qui in universalibus sessionibus illustris habitus est, principium sumam. Sed ne oratio longius protrahatur, omissis aliis attentos figamus oculos ad ea quæ divino afflatus spiritu Cyrillus dicit in Evangelicum sacrum dictum, « Spiritum veritatis, qui ex Patre procedit[1], » clamans, cujus apud omnes publica continuaque contra nos repetitio et conculcatio est. Hic etenim de eodem in sexto ad Hermiam suis sublimibus verbis, et uti magistrum addecet, decernit: « Num tibi allatum eloquium innotescit, videsque Spiritum veritatis Paracletum nuncupasse? Dicit enim progredi ex Patre, omnia sibi propria quæ Patris sunt ostendens. » Idem ibidem ad eumdem: « Intelligis itaque qua ratione uti proprium promittit nobis mittere qui ex Patre est, et Spiritum quidem veritatis appellat, effundi vero ex ipso Patre definivit. Quin etiam testimonium de se laturum pronuntiavit. » Si itaque Cyrillus divina mente præditus testimonio suo confirmat, ipsum Salvatorem dixisse, *cum progredi et profundi*, quod ille dixerat, *procedit*, quomodo quispiam affirmaverit, aliud et aliud, cum sciat secundum veram intelligentiam, sacrorumque mystam *profundi*, et *progredi*, et *procedere*, ita pronuntiasse? aut potius

A κρύπτειν, καὶ ταῖς εἰς τοῦτο ἀπαρνήσεσιν ἐν ταις πρὸς ἡμᾶς ἀπολογίαις ἐπὶ τὸν ἴδιον ἔμετον οὐχ ἧττον ἐπιστρέφειν ἐλέγχεται. Ὅμως πρὸς τὴν παροῦσαν ἐρώτησιν ἀφέμενοι τοῦ ἐντεῦθεν ἐπὶ τῇ ἐκπορεύσει ἀποκρίσεως θέσθαι, πολυμερῶς ἐπεὶ καὶ πολυτρόπως τὰ τῆς ὑποθέσεως δόγμασι κρατύνεται πατρικοῖς ἐξ ἄλλων αὐτοῖς ἀπαστραπτομένων, φῶς ἀληθινὸν κατοπτεύσομεν. « Ἐκ Πατρὸς καὶ Υἱοῦ » Ῥωμαῖοι « Πνεῦμα φάσκουσι τὸ ἅγιον ἐκπορεύεσθαι, » καὶ χορὸς ὁ θεῖος τῶν ἡμετέρων θεσπεσίων μυσταγωγῶν ἐκ Πατρὸς καὶ Υἱοῦ *πρόεισι*, καὶ *προχεῖται*, καὶ *πέφηνε*, καὶ *πηγάζει*, καὶ λοιπαῖς παραπλησίοις ῥηματικαῖς φωναῖς ἐν πάσαις ἀτεχνῶς ταῖς σφῶν θεοπνεύστοις θεηγορίαις διαπρυσίως κηρύττουσι. Καὶ μηδὲν ἄλλο παρὰ τὸ *ἐκπορεύεται* ταῖσδε B λέγειν αὐτοὶ διασαφοῦσι τρανότατα. Αὐτίκα τοίνυν ὁ μὲν τῆς ἀθανασίας ἐπώνυμος, ἐν ᾗ ποιεῖται διαλέξει Ὀρθοδόξου καὶ Μακεδονιανοῦ τάδε φησί· « Μὴ γένοιτό μοι εἰπεῖν ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀθάνατον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ τὸν Θεὸν θεωρουμένων λέγω εἶναι ἐπίκτητον τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ φύσει ἅγιον, φύσει ἀγαθὸν, φύσει ἄφθαρτον ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον, ἵν' ἐκ τοῦ πρώτου τῶν ἐν τοῖς οἰκουμενικοῖς διαλαμψάντων συνεδρίοις ποιήσωμαι τὴν ἀρχήν. Ἀλλ' ὡς μὴ ἐπεκτείνοιτο τὰ τοῦ λόγου, τῶν ἄλλων ἐκστάντες ἐπιστατικοῖς ἐνατενίσωμεν ὀφθαλμοῖς εἰς ἃ φησι Κύριλλος C ὁ θεόπνους εἰς ῥῆσιν ἱερὰν εὐαγγελικὴν τὴν, « Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » φωνοῦσαν, ἧς τὸ περιλέλυτον καὶ ἀεικίνητον καθ' ἡμῶν. Οὗτος καὶ γὰρ περὶ αὐτῆς ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν ὑψηγορίαις οὕτω διδασκαλικαῖς ἀποφαίνεται· « Ἆρά σοι σαφὲς τὸ παροισθέν ἐστι λόγιον, καὶ προσδέδορκας ὅτι Πνεῦμα μὲν ἀληθείας ὠνόμασε τὸν Παράκλητον, ἴφη γε μὴν ὡς πρόεισιν ἐκ Πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ Πατρός. » Ὁ αὐτὸς ἐν τῷ αὐτῷ πρὸς τὸν αὐτόν· « Συνίης οὖν ὅπως ὡς ἴδιον ἐπαγγέλλεται κατασκέμψειν ἡμῖν τὸ ἐκ τοῦ Πατρός; καὶ Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, προχεῖσθαί γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρός. Καὶ μὴν ὅτι καὶ μαρτυρήσει περὶ αὐτοῦ προμεμήνυκεν. » Εἰ γοῦν Κύριλλος ὁ θεόφρων D αὐτὸν τὸν Σωτῆρα μαρτύρεται φάναι ὡς *πρόεισι καὶ προχεῖται*, οἷς εἰρηκεν *ἐκπορεύεται*, πῶς ποτέ τις ἐρεῖ ὡς ἄλλο καὶ ἄλλο εἰδὼς κατὰ τὴν ἀλήθειαν τοῦ νοὸς ὁ ἱερομύστης ὅδε τὸ *πρόεισι*, καὶ *προχεῖται*, καὶ *ἐκπορεύεται* οὕτως ἔφησεν; ἢ μᾶλλον ὁ ταῦτα φθεγγόμενος πῶς οὐκ ἀντικείμενος ἐμφανῶς ἐσεῖται τῷ τε θεοσόφῳ μυσταγωγῷ, καὶ τολμηροτέρως ἐπὶ τῇ κατ' αὐτὸν κυριακῇ θεοστόμῳ φωνῇ; μέντοι γε καὶ μὴ οὕτως ἔχειν οἱ ἀπεναντίας, ἐπεὶ μηχανήσασθαι πόρον εὑρεῖν οὐκ ἔσχον, εἰς τὸν ἀπὸ κοιλίας κάνταῦθα συνήθη σφίσι τῆς ὁμωνυμίας κανόνα χωροῦσιν, ἐπὶ μὲν τοῦ Πατρὸς ἐν οἷς ἐξ *αὐτοῦ* τὸ ταυτὸν καὶ σύνδρομον τῆς διανοίας ταῖς διαληφθείσαις καὶ λοιπαῖς

[1] Joan. xv, 26.

Digitized by Google Распознавание текста АВК/FR

οἰκείαις φωναῖς ὁμολογοῦντες τῷ *ἐκπορεύεται* ἐν οἷς δὲ ἐξ *Υἱοῦ* τὸ μὴ σύνδρομον. Κἀντεῦθεν ἐν οἷς ἐκ Πατρὸς καὶ Υἱοῦ ἅμα μερίζειν ἄλλως τε καὶ ἄλλως ἁρμόζειν τὸ κατὰ νοῦν ἐπιτάττοντες. Οὗτός γε μὴν ὁ οὐρανοβάμων, ὁ τὸν θεάνθρωπον Δεσπότην, τὸ ταυτοδύναμον δεικνύων τῶν τοιῶνδε λέξεων ἐκφωνοῦντα, ὡς ἐκ τῶν τοῦ Πνεύματος τοῦτο χαρισμάτων θεορρήμων ὑπάρχων, ἔτι τε κἀκ τῶν αὐτοῦ δωρημάτων θεορρήμων ἕτερος καὶ πρόοπτης τὰς ἐπισφαλεῖς ταύτας ἐπινοίας τῶν ἑτεροτήτων φθάσας ἀπορραπίζει, ἐν οἷς οἱ τὸ ἄλλως ἐν τῷ *προχεῖται*, καὶ τοῖς λοιποῖς τὸ, καθὼς οὗτος διαῤῥήδην ἀναβοᾷ. Ἐν γὰρ τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχή, « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος, » οὕτω θεολογεῖ· « Εἰ δὲ ἔστιν ἐν ὑποστάσει τὸ Πνεῦμα ἰδικῇ, καθὸ Πνεῦμά ἐστι καὶ οὐχ Υἱός· ἀλλ' οὖν ἔστιν οὐκ ἀλλότριον αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται. Καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. » Καὶ εἰς τὸ, « Ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, » οὕτω φησί· « Τῶν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς ἀγαθῶν ὑπάρχων κοινωνὸς ὁ Υἱὸς ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὅνπερ νοεῖται ἔχειν καὶ ὁ Πατήρ. » Ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ τῇ, « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, » οὕτω διέξεισιν· « Ἦ μὲν γάρ ἐστι Θεὸς καὶ Θεοῦ κατὰ φύσιν ὁ Υἱός· γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. » Ἵν' οὖν πρὸς ταῖς ἐκ ῥήματος ταῖσδε φωναῖς ἑνίας καὶ τῶν ἐξ ὀνόματος παραθείημεν, Γρηγόριος ὁ κατ' ἐξοχὴν τῆς θεολογίας ἐπώνυμος ἐν μὲν τῷ πρὸς Ἥρωνα τὸν φιλόσοφον λόγῳ φησίν· « Ἴδιον Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἔκπεμψις. » Ἐν δὲ τῷ δευτέρῳ τῶν Εἰρηνικῶν· « Οὕτω φρονοῦμεν, καὶ οὕτως ἔχομεν, ὥστε ὅπως μὲν ἔχει ταῦτα πρὸς ἄλληλα σχέσεώς τε καὶ τάξεως αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι μόνον, καὶ οἷς ἂν ἡ Τριὰς ἀποκαλύψῃ κεκαθαρμένοις ἢ νῦν ἢ ὕστερον· αὐτοὶ δὲ μίαν καὶ τὴν αὐτὴν εἰδέναι φύσιν θεότητος, ἀνάρχῳ καὶ γεννήσει καὶ προόδῳ γνωριζομένην. » Ὃ οὖν ἐκεῖ τὴν ἀγεννησίαν, τοῦτο διαφανῶς ἐνταῦθα *τὸ ἄναρχον* εἴρηκεν. Ἐπεὶ καὶ τοῦτο τοῦ Πατρὸς ἴδιον, ὡς ἐξ οὐδενὸς καὶ ὡς ἀναιτίου, τῶν δύο τόδε μὴ κεκτημένων, ὡς ἐξ ἀρχῆς αὐτοῦ κατὰ διάφορον ὕπαρξιν, καὶ κατὰ χρόνον συνάναρχον τούτῳ, καὶ χρονικῆς ἁπάσης ἐμφάσεως ὑπερκείμενα. Τὴν γέννησιν δὲ κἀνταῦθα κἀκεῖ διὰ τῆς αὐτῆς ἐκφωνήσεως, καὶ ὅπερ ἐκεῖσε *τὴν ἔκπεμψιν*, ἐνταῦθα *τὴν πρόοδον* ἄμφω λέγων, ὡσεὶ τὴν ἐκπόρευσιν ἔφησεν. Ἐν δὲ τῷ περὶ τοῦ Πνεύματος ἀντιῤῥητικῷ, *τὴν ἔκπεμψιν*, καὶ *τὴν πρόοδον*, *ἔκφανσιν* προσηγόρευσε. Τίθησι γὰρ οὕτως ἐκ τοῦ ἐναντίου· « Τί οὖν ὁ λείπει τῷ Πνεύματι εἰς τὸ εἶναι Υἱόν; Εἰ γὰρ μὴ λεῖπόν τι, οὐν Υἱὸς ἂν ἦν· » ἐπιφέρει δέ· « Οὐ λείπειν φαμέν· οὐ γὰρ ἐλλιπὴς Θεός. Τὸ δὲ τῆς ἐκ-

qui similia ascrit, quomodo palam divino mystagogo et Dominicæ et a Deo prolatæ, id ipso asserente, voci, non audacius adversabitur? Nihilominus cum hæc non ita se habere, non possent inficias ire adversarii, ad consuetam sibi regulam homonymiæ e ventre erutam confugiunt, cum de Patre affirmatur *ex ipso*, idem et concordans sententiæ cum voce *procedit*, in jam allatis et in aliis similibus vocibus approbantes, cum vero *ex Filio*, minime concordans: indeque in quibus est, *ex Patre et Filio*, simul dividunt, et alio atque alio modo sententiam intelligi præcipiunt. Attamen hic qui in cœlum ascendit, et Deum et hominem Dominum harum vocum æquales vires edicentem ostendit, tanquam hujusce Spiritus muneribus diviniloquus exsistens, necnon etiam ex ejusdem donis divina locutione ditatus, et futura prospiciens alius, erroneas hasce cogitationes diversarum significationum multo ante retellit provide, dum in *profundi* et similibus alium atque alium significatum palam sonoregue reprobat. Namque oratione ad Nestorium, cujus illud principium est: « Qui amat patrem aut matrem super me, non est me dignus [1], » ita decernit: « Licet sit in hypostasi propria Spiritus, qua Spiritus et non Filius est, verumtamen non est alienus ab ipso. Vocatus siquidem est Spiritus veritatis, et est Christus veritas, et profunditur ab ipso, uti scilicet ex Deo et Patre. » Et in illud: « Rogabo Patrem, et alium Paracletum dabit vobis [2], » sic ait: « Namque Dei et Patris bonorum cum sit particeps Filius, habet Spiritum eo ipso modo, quo intelligitur etiam Pater habere. » In interpretatione Joëlis prophetæ in illud: « Effundam ex Spiritu meo [3], » sic loquitur: « Qua enim Deus est, et ex Deo secundum naturam Filius, generatur siquidem ex Deo et Patre, proprius illius, et in ipso et ex ipso est Spiritus, quemadmodum et ex ipso intelligitur Deo et Patre. » Ut igitur præ his dictis nonnulla etiam alia nominatim apponamus, Gregorius qui ob excellentiam Theologi nomen consecutus est, oratione in Heronem philosophum ait: « Proprium quidem Patris est non generari, Filii generari, Spiritus emitti. » Et in secunda de pace: « Ita sentimus, ita tenemus, adeo ut quomodo ipsa se habeant inter se, et referantur, et ordinentur, ipsi soli Triadi scire tantummodo concedamus, et quibus expurgatis, vel nunc vel in posterum Trias revelaverit. Nos vero unam eamdemque naturam divinitatis cognoscimus, quæ citra principium generatione et progressu deprehenditur. » Quod itaque ibi *non generari*, palam hic *citra principium* enuntiavit. Quandoquidem hoc Patris proprium est, tanquam qui ex nullo est et absque causa cum duo illud non possideant, tanquam quæ ex ipso sunt uti ex principio secundum diversam exsistentiam, et si tempus respicias cum illo principii quoque expertia, et temporali omni expressione supe-

[1] Matth. x, 37. [2] Joan. xiv, 16. [3] Joel II, 28.

Digitized by Google Распознавание текста АВК/FR

riora. Generationem vero hic et ibi per eamdem verbi prolationem, et quod ibi dixit, *emissionem* hic *progressum*, hisce duobus, unam processionem significavit. In Antirrhetico vero de Spiritu, *emissionem*, et *progressum*, et *apparitionem* nuncupavit. Sic enim orationem disponit, quasi adversarius loqueretur : « Quid itaque est quod deest Spiritui, ne Filius sit ? Etenim si nihil deficeret, Filius utique esset ; » tum subdit : « Non deesse fatemur : neque enim Deus imperfectus est. Verumtamen apparitionis, ut ita dicam, vel relationis mutuæ diversitas, diversam quoque appellationem effecit. » Manifesto enim ex diverso modo exsistentiæ, processione scilicet, quam *apparitionem* hic nuncupat, Spiritus Filius non esse agnoscitur, et hinc appellationum diversitas indicatur, et æque atque fratres conjungi, uti hæretici somniant, rejicit. Unde et Ecclesia omnia jam dicta sequens, concinens in Canticis clamat : « Absque principio, et generatione, et progressu, Patrem adoro generantem, Filium glorifico generatum, hymnis concelebro Spiritum sanctum, qui una cum Patre et Filio gluxit. » Hæc ita cum se habeant, et in rebus theologicis viro non contemnendo de verbis et nominibus, quæ in divinis dogmatibus exponendis ac proferendis usurpantur, decernente : « Neque enim de nominibus contendemus, dummodo eamdem sententiam eorum syllabæ exprimant, » interrogatio, de qua nunc agitur, quomodo subsistet, si quæ illa *processionis* nomine colligere contendit, illa eadem, et *effusion s*, et *progressus*, et *emissionis*, et *apparitionis* nominibus colliguntur ? Sed cum in genere quidem refellimus, per partes etiam rem examinemus. *Processio*, quæ in interrogatione est, sive *progressus*, ut nos dicimus, neque enim de sententia contenditur, ex Patre et Filio Spiritus sancti, simplex est unaque, et non duplex, licet interrogans eam simplicem esse non posse ex duplari numero redarguere conetur, exemplo numeri ad dictum suum confirmandum assumpto. Verumtamen in theologicis mens vigil, cum exemplo supra omne principium Triadem in se ipsa uti habet, exprimere cupit, clamat : « Licet similitudo quædam reperiatur, quod plus est fugit, relinquens me infra cum exemplo, » tum deinceps solem, radium et lumen, oculum, fontem et fluvium, aliaque tenuis similitudinis exempla proponit. Et qui aurea lingua præditus est, in Expositione Psalmorum, « Radix, ait, fidei Pater, ramus immarcescibilis Filius, fructus immortalis Spiritus sanctus. » Et ex divinis Patribus alii hæc eadem, vel alia hisce non dissimilia, ne singula recenseam, quibus divina mente præditi Patres, uti ex sole per radium lumen, ex Patre per Filium Spiritus apparitionem exprimunt, uti ex oculo fluvium per fontem, uti ex radice per ramum fructum: sic etiam ex radio possumus dicere, nec non ex ramo, et ex fonte, de eo quod exprimitur per Filium et ex Filio, cum ambæ hæ præpositiones in naturali progressus mediatione, uti diviniloqui

A φάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον καὶ τὴν κλῆσιν αὐτῶν πεποίηκεν. » Ἀριδήλως γὰρ ἐκ τοῦ διαφόρου τρόπου τοῦ τῆς ὑπάρξεως, ὃς ἡ ἐκπόρευσις, ἣν ἔφασκεν ἐνθάδε καλεῖ, μὴ τὸ Πνεῦμα Υἱὸν εἶναι γνωρίζεται, καὶ τὸ τῶν κλήσεων ἐντεῦθεν τρανοῦται διάφορον, καὶ τὸ ἀδελφικῶς ἅμφω ἡνῶσθαι κατὰ τοὺς αἱρετίζοντας ἀποπέμπεται. Ὅθεν καὶ ἡ Ἐκκλησία τοῖς ῥηθεῖσιν ἅπασιν ἑπομένη ψάλλουσα μελῳδικῶς ἀνακράζει, « Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ Πατέρα προσκυνῶ τὸν γεννήσαντα. Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμψαν Πατρὶ καὶ Υἱῷ Πνεῦμα ἅγιον. » Καὶ τούτων οὕτως ἐχόντων, τοῦ τ' ἀκρέμονος ἐν θεολογίαις ἐπί τε ῥημάτων, καὶ ὀνομάτων ἐν τοῖς εἰς τὸ Θεῖον δόγμασιν ἁπλῶς καὶ φωνήμασιν

B ἀποφαινομένου, « Οὐδὲ γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν εἰς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν, » ἡ περὶ ἧς ὁ λόγος ἐρώτησις ποίαν ἕξει τὴν σύστασιν, εἴπερ ἃ συνάγειν ἐπείγεται *τὴν ἐκπόρευσιν*, ταῦτα καὶ *πρόχυσις* συναγάγῃ καὶ *πρόοδος*, *ἔκπεμψις*, *πηγασμός* τε καὶ *ἔκφανσις*. Ἀλλὰ καθόλου τὸν ἔλεγχον στήσαντες καὶ κατὰ μέρος διέλθωμεν. *Ἐκπόρευσις* ἡ κατ' ἐρώτησιν, ἢ *πρόοδος* ἡ καθ' ἡμᾶς, ζυγομαχία γὰρ οὐδεμία κατὰ διάνοιαν, ἡ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦ ἁγίου Πνεύματος, ἁπλῆ ἐστι καὶ ἑνιαία, καὶ οὐ διπλῆ. Ὅμως ὁ ἐρωτῶν τὸ μὴ εἶναι δύνασθαι ἁπλοῦν ἐκ δυάδος, εἰς ἀνατροπὴν λαμβάνει, παραδείγματι τῷ τοῦ ἀριθμοῦ εἰς πίστεσιν χρώμενος. Ὁ γοῦν ἐν θεολογίᾳ γρήγορος νοῦς τὴν

C ὑπεράρχιον Τριάδα θέλων εἰκονίσαι πρὸς ἑαυτὴν ὡς ἔχει, προαναφωνῶν φθάνει · « Κἂν ὁμοίωσίς τις εὑρεθῇ, φεύγει τὸ πλέον ἀφέν με κάτω μετὰ τοῦ ὑποδείγματος, » καὶ καθεξῆς ἥλιον, ἀκτῖνα καὶ φῶς, ὀφθαλμὸν, πηγήν τε καὶ ποταμὸν, καὶ λοιπὰ παραπλήσια τῆς ἀμυδρᾶς ὁμοιώσεως τίθησι παραδείγματα. Ὅ τε χρυσοῦς τὴν γλῶσσαν ἐν ἑρμηνείαις ταῖς τῶν Ψαλμῶν, « Ῥίζα, φησὶ, πίστεως ὁ Πατὴρ, κλάδος ἀμάραντος ὁ Υἱὸς, καρπὸς ἀθάνατος τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ τῶν θεοφορήτων ἄλλοι τὰ αὐτὰ, ἕτερά τε τούτοις παρεμφερῆ, ἵνα μὴ ἀπαριθμοίην καθέκαστα, ἐξ ὧν οἱ θεόφρονες, ὡς ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς, τὴν ἐκ Πατρὸς δι' Υἱοῦ τοῦ Πνεύματος εἰκονίζουσιν ἔκφανσιν, ὡς ἐκ τοῦ ὀφθαλμοῦ τὸν ποταμὸν διὰ τῆς πηγῆς, ὡς ἐκ τῆς ῥίζης διὰ τοῦ

D κλάδου τὸν καρπόν· ἀλλὰ καὶ ἐκ τῆς ἀκτῖνος ἔστι λέγειν, ἐκ τοῦ κλάδου τε καὶ ἐκ τῆς πηγῆς, ἐπί τε τοῦ εἰκονιζομένου δι' Υἱοῦ τε καὶ ἐξ Υἱοῦ ἑκατέρων κατὰ τοὺς θεηγόρους προθέσεων ἐπὶ τῇ φυσικῇ μεσιτείᾳ τῆς προόδου τὸ ταυτοδύναμον ἐχουσῶν. Τοῦ μέντοι γε ἐρωτῶντος μήτ' ἐν ἄλλοις, μήτ' ἐν παραδείγμασι τοῖς ἐκ τῶν θεόθεν προηγόρων τῆς εὐσεβείας ἐνασμενίζειν βεβουλημένου. τοῖς δ' οἰκοθεν καὶ τὸ σφέτερον δὴ τοῦτο δειχθείη μὴ πρὸς αὐτοῦ, πρὸς δὲ τῆς ἀληθείας ὑπάρχον, ὡς οὗτοι φωτοβολοῦσι φανότατα. Ἀριθμὸς μὲν γὰρ τοῦ διωρισμένου παρ' οὗ πέφυκεν, οὐ τοῦ συνεχοῦς, καὶ κατὰ διορισμὸν μοναδικῶς πρόεισιν, οὐχὶ κατὰ σύνθεσιν, ἐκ μονάδος δυάς, καὶ ἐκ δυάδος τριὰς οὐ συντεθειμένης, ἀλλ' ἐκ δυάδος ὡς πρὸς μονάδα τὴν πρὸ αὐτῆς, ἢ ἐκ μονά-

Digitized by Google Распознавание текста ABK/FR

δος διὰ δυάδος; ἁπλῆς. Ἐπεὶ οὖν τὸ Θεῖον ἓν καὶ τριάς A
ἐστι, καὶ ὡς μὲν ἓν ἀπαράδεκτόν ἐστι καὶ ἀριθμοῦ,
καὶ μεσότητος, καὶ τάξεως, καὶ τῶν τοιούτων· ποῦ
γὰρ τῷ ἑνὶ τῷ ὑπὲρ πᾶν ἓν ὄντι ποσὸν καὶ μέσον καὶ
τάξις ἐν πλείοσιν ἢ τρισὶ τοὐλάχιστον ταυτὶ θεωρού-
μενα; ὡς δὲ τρία τούτων ἐστὶ δεκτικὸν, πλὴν καὶ οὕτω
θεοπρεπῶς, καὶ ταῖς περὶ Θεοῦ καταλλήλως ἐννοίαις,
καὶ τὸ τοῦ ἀριθμοῦ παράδειγμα τοῦ διωρισμένου
ποσοῦ τυγχάνον εἰς εἰκασίαν παραληφθήσεται, καθὸ
καὶ ἡ Τριὰς διορίζεται, ταῖς κατὰ τὴν πρόοδον ὑπο-
στατικαῖς ἰδιότησι. Διαιρεῖται γὰρ ἀδιαιρέτως, καὶ
συνάπτεται διῃρημένως τῷ παραδόξῳ τῆς θείας με-
γαλειότητος. Τοῦ λοιποῦ πρόσχες πρὸς Θεοῦ ὁ
ἀκροατής. Προθέμενος ὁ ἐρωτῶν, ὡς διαπορούμενος,
πῶς ἐκ τῆς ἀΰλου δυάδος τὸ ἓν εἶναι δύναται, καὶ παρ-
ευθὺς τὴν αἰτίαν ἐπαγαγὼν τοῦ μὴ δυνατὸν, τῷ τὴν B
μονάδα αἰτίαν εἶναι καὶ οὐ δυάδα, ὡς ἐθέλων διὰ μέσης
προτάσεως τῆς, ὅτι ἓν τὸ αἴτιον καὶ οὐ δύο, συμπερά-
ναι τὸ μὴ ἐκ τῶν δύο τὸ ἓν εἶναι· τοῦτο γὰρ ἀπῄτει
τὸ προταθὲν ἐξ ἀνάγκης· ὁ δὲ διὰ τῶν μεταξὺ λόγων
αὐτὸ μᾶλλον κατασκευάσας, ἐν οἷς φησι· μονὰς γὰρ
εἰς δυάδα κινεῖτσι, κἀκεῖθεν εἰς Τριάδα, τοῦτο δὲ τί
ἄλλο, ἢ ὅτι ἐκ μονάδος δυὰς, καὶ ἐκ δυάδος τριὰς,
ὅπερ τὸ ἓν κατὰ τὸ διωριαμένον τοῦ ἀριθμοῦ, ὡς
ἐλέγομεν; ὃ καὶ ὁ περίπυστος ἐν θεολογίᾳ συντίθησι
φάσκων· « Μονὰς γὰρ εἰς δυάδα κινηθεῖσα μέχρι
Τριάδος ἔστη· » συνεπέρανε τὸ μὴ τὰ δύο αἴτια εἶναι
τοῦ ἑνὸς, ἀλλὰ τὸ ἓν τῶν δύο. Ἔστι δὲ αἴτιον τοῦ
ἀνακολούθως οὕτω, καὶ μὴ κατὰ τὸ προβλῆματισθὲν
τὸ συμπέρασμα θέσθαι, τὸ οἴεσθαι δύο αἴτια εἰσ-
άγειν, εἰ λέγει τις ἐκ τῶν δύο τὸ ἕν. Τοῦτο δὲ οὐδα- C
μῶς. Ἔστι μὲν γὰρ ἐκ δυάδος τὸ ἓν, ἐκ δύο δηλαδὴ
μονάδων τρίτη μονάς. Εἰ μὲν οὖν ἐκ δύο ἀντιδιῃρη-
μένων ἦν, ἢ διῃρημένων οὕτως, ὡς τὸ ἕτερον μὴ
πρὸς τὸ ἕτερον ἀναφέρεσθαι, μήτ' ἐξ ἐκείνου τὸ εἶναι
ἔχειν, μήτε μεσότητα τὴν κατὰ τὴν πρόοδον· ἦ γὰρ
ἂν ἦν οὕτω, καὶ τὸ τρίτον οὐ τρίτον, ἀλλὰ δεύτερον
ἑκατέρων ἔνθεν καὶ ἔνθεν θεωρουμένων, καὶ οὐ κατὰ
τὴν ἑξῆς τοπαράπαν προέλευσιν· εἰκότως ἂν ὁ τῆς
δυαρχίας, καὶ τῆς διπλῆς αἰτίας λόγος εἰσήγετο·
ἐπεὶ δὲ ταῦτα κατὰ τὸ ἔμπαλιν, καὶ ἡ τρίτη μονὰς
διὰ τῆς μέσης μονάδος ἐκ τῆς πρώτης καὶ ἀρχικῆς
τὸ εἶναι πλουτεῖ, ὅθεν καὶ ἡ μέση μονάς· ἐκεῖθεν
ἄρα καὶ τὴν αἰτίαν ἕλκει, κἀκείνην ἀρχὴν οἶδε καὶ
ῥίζαν, ὡς μίαν εἶναι διαφανῶς. Ἴδωμεν οὐκοῦν οἵά- D
περ οἱ τῶν θείων ἐκφάντορες τὸ πρῶτον, τὸ μέσον,
τὸ τρίτον, τὸ ἐξ ἀμφοῖν ἐπὶ τῶν θεαρχικῶν λαμβά-
νοντες ὑποστάσεων θεολογικῶς ἐκδιδάσκουσι. Καὶ
πρῶτος αὐτὸς ὁ τὴν μονάδα κινηθεῖσαν εἰς δυάδα
μέχρι Τριάδος στῆναι φθεγξάμενος, ὃ καὶ ὁ τὴν
ἐρώτησιν προφέρων φαίνεται διαγγέλλων, ἐν οἷς
ἡρωΐζει τὰς πρὸς παρθένους ὑποθήκας, οὕτω φησίν·
« Εἷς Θεὸς ἐκ γενέτου δι' Υἱός ἔστη· » μετά τινα,
« Ἱσταμένης θεότητος ἐνὶ τελέοισι τελείης. » Ὁ
σύμφρων τούτου καὶ ὁμώνυμος Νυσσαέων λαμπτὴρ
ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος κατὰ Μακεδονια-
νῶν λόγῳ φησίν· « Ἐφ' ὧν γὰρ ἡ κατὰ τὸ ἀγαθὸν
ἐνέργεια οὐδεμίαν ἐλάττωσιν, ἢ παραλλαγὴν ἔχει,
πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλάτ-

Patres asseverant, eadem vi polleant. Etenim cum interrogans, neque aliis neque exemplis, qui eum præcesserunt, divinorum pietatis principum, sed propriis insistat, eorum quoque dicta non ab ipso, sed a veritate emanantia, uti illi lucidissime irradiare, demonstrabitur. Numerus enim divisi est, ex quo enascitur, non continui, et secundum divisionem singulariter provenit, non secundum compositionem, ex unitate dualitas, et ex dualitate trias, non quæ componatur, sed ex dualitate veluti ad unitatem, quæ ante ipsam est, aut ex unitate per dualitatem simplicem. Quando igitur Deus unum et trinitas est, et ut unum, neque numerum, neque medium, neque ordinem, neque similia suscipit. Undenam enim in uno, quod supra omne unum est, et quantitas et medium et ordo in pluribus, aut tribus minimum consideraveris? Uti vero tria hæc, sed divino quodam modo, et cogitationibus Deo ipso adlecentibus admittit, et exemplum numeri, qui determinatæ quantitatis est in similitudinem assumetur, cum et Trinitas proprietatibus secundum progressum determinetur; namque indivise dividitur, et divise admirabili divinæ magnificentiæ modo conjungitur. Interim attento animo sis per Deum, o auditor. Cum interrogans sibi proposuisset, quasi addubitans, qua ratione ex immateriato duplari numero unum esse possit, et per quam subito causam adnectens fieri non posse, ut unitas causa sit, et non dualis numerus, quasi vellet per mediam propositionem, unum nempe esse causam et non duo, concludere unum ex duobus non esse: hoc siquidem quod proposuit necessario requirebat, ipse nihilominus per interpositas rationes id ipsum magis confirmat, cum ait: Unitas enim in dualitatem movetur, indeque in trinitatem, id vero quid est aliud quam ex unitate dualitas, et ex dualitate trinitas, quod est unum secundum determinatum numerum, ut dicebamus? et in theologia præcelebris concordat, cum inquit, « Unitas enim in dualitatem mota, in Trinitate subsistit, » concluсit, duo unius causam non esse, sed unum duorum. Causa vero est, adeo inconsequenter, et non secundum propositum problema conclusionem colligere, quod opinetur, duas causas introducere, si quis dixerit, ex duobus unum esse. Sed id nullo modo est, namque est ex dualitate unum, ex duabus scilicet unitatibus tertia unitas. Igitur si ex duobus a se disjunctis esset aut ita divisis, ut unum ad alterum non referretur, neque ab illo exsisteret, neque medium esset in progressu, si, inquam, hoc modo se haberet, et tertium non tertium, sed secundum hinc et hinc inter ambo consideraretur, et non secundum seriei asservientem egressionem, non incongrue duorum principiorum, et duplicis causæ ratio introduceretur. Verumtamen cum hæc ex adverso se habeant, et tertia unitas per mediam unitatem ex prima et principali monade, quod sit possideat, inde ergo et media unitas causam trahit, illamque principium atque originem sui agnoscit, ut

Digitized by Google Распознавание текста ABK/FR

perspicue una sit. Consideremus igitur quænam rerum divinarum interpretes, primum et medium, et tertium, et illud ex duobus de divinitatis principibus hypostasibus assumentes, theologorum more decernunt. Et primus, qui monadem in dualitatem motam in Triade substitisse asserunt, quod interrogans digito monstrasse videtur, in monitis ad virgines heroico carmine conscriptis, sic inquit : « Unus Deus ex genitore per Filium stetit, » postmodum, « Permanente divinitate in perfectis perfecta. » Hujus concors et cognominis Nyssenorum lumen, oratione de sancto Spiritu contra Macedonianos scribit : « In quibus enim quæ secundum bonum operatio est, nullam imminutionem, aut immutationem habet, quomodo rationi consentaneum fuerit, ordinem qui ex numero oritur, imminutionis alicujus, aut secundum naturam immutationis signum esse existimare? Quemadmodum si quis in tribus lampadibus subdivisam flammam conspiciens, causam vero tertii luminis supponamus esse primam flammam, ex communicatione cum medio extremum inflammantem, postmodum astrueret, in prima flamma abundare calorem, eam vero quæ subsequitur immutari, et paulatim imminui; tertiam neque ignem amplius censendam esse, licet æqua ratione adurat et splendeat, omniaque ignis operetur. » Et a Deo nobis ostensus Epiphanius in libro *Ancyroto* dicto, ait : « Spiritus sanctus, Spiritus veritatis est, lumen tertium a Patre et Filio. » Idem in eodem libro : « Ambo inhabitant in homine justo, Christus et Spiritus illius. Quod si Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex ambobus, ut dicit Christus : *Qui a Patre procedit, et hic de meo accipiet.* » Divinus porro Cyrillus hæc explanans, atque declarans, et præpositionum *ex* et *per* æquales vires de mediatione Filii cum aliis plerisque Patribus designans libro primo ad Palladium hunc in modum decernit : « Mutabilis autem nullo modo est Spiritus sanctus, aut si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, necnon et Filii essentialiter ex ambobus, ex Patre nempe per Filium profusus Spiritus. » Et cum hæc ita edicantur, ex dualitate non posse unum esse et alio quoque modo ex ipsa numerorum positione reprobatum, ubi sistetur? Et cujus erit prudentiæ illis, contra quos sese opponit, dum vice versa, ex dualitate unum asseverare, uti absurdum, demonstrat, sua probans appingere? Fieri nequit ex propositis nostris dictis, nec simpliciter ab aliquo affirmabitur de numeris, ex tertio et secundo primum, et de figuratis per numeros deitatis hypostasibus, ex Spiritu et ex Filio Patrem esse. Hoc enim infert quod vice versa deducitur, si ad definitiones et propositiones necessario reducenda sunt, quæ simili modo effutiuntur. Sic ex rebus non subsistentibus sunt, quæ ab interrogante comprobantur. Et propositio illa ex uno duo communiter ab utraque parte asserta, illis quidem qui ex ambobus unum dicunt,

A τώσεώς τινος τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον εἶναι; ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα, αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν, ἔπειτα κατασκευάζει πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἐφεξῆς ὑποδεδηκέναι, καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν, τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λέγεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ, καὶ πάντα τὰ τοῦ πυρὸς ἐργάζηται. » Ὁ Θεοφανέρωτος Ἐπιφάνιος ἐν βίβλῳ τῇ καλουμένῃ Ἀγκυρωτῷ φησι · « Πνεῦμα ἅγιον, Πνεῦμα ἀληθείας ἐστί, φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ. » Ὁ αὐτὸς ἐν τῇ αὐτῇ βίβλῳ · « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ B δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστός, *Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται.* » Κύριλλός γε μὴν ὁ θεσπέσιος διατρανῶν τάδε καὶ σαφηνίζων, καὶ τὸ τῆς ἐκ καὶ *διὰ* ἰσοδύναμον ἐπὶ τῆς μεσότητος τοῦ Υἱοῦ σὺν ἄλλοις παριστάνων πλείοσι τῶν Πατέρων ἐν τῷ πρώτῳ τῶν πρὸς Παλλάδιον οὕτω θεολογεῖ · « Τρεπτὸν δὲ οὔ τοί που τὸ Πνεῦμά ἐστιν · ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα. » Καὶ τούτων οὕτω κηρυττομένων, τὸ ἐκ τῆς C δυάδος μὴ δυνατὸν τὲ ἓν εἶναι, καὶ ἄλλως ἐληλεγμένον ἐξ αὐτῆς τῆς τῶν ἀριθμῶν παραθέσεως, ποῦ στήσεται; Ποῖον δὲ καὶ τὸ λελογισμένον ἕξει, προσάπτειν τοῖς πρὸς οὓς τὸ ἐναντιοῦσθαι, τὸ καθ' ὑποστροφὴν ἐκ τῆς δυάδος τὸ ἓν λέγειν, ὡς ἀτόπου τούτου δεικνυμένου, κατασκευάζον τὸ σφέτερον; ἔστιν οὐχ ὅπως ἐξ ὧν παρεθήκαμεν, ὅλως δὲ οἱουδήτινος ἀγορεύειν ἐπὶ τῶν ἀριθμῶν ἐκ τοῦ τρίτου καὶ δευτέρου τὸ πρῶτον, ἐπί τε τῶν εἰκονιζομένων τῆς θεότητος ὑποστάσεων, ἐκ τοῦ Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ τὸν Πατέρα. Τοῦτο γὰρ τὸ καθ' ὑποστροφήν, εἴπερ εἰς ὅρους ἀνάγκη πᾶσα καὶ προτάσεις λαμβάνειν τὰ τοιῶνδε λεγόμενα. Οὕτως ἐξ ἀνυποστάτων τὰ τῷ ἐρωτήσαντι κατασκευαζόμενα. Καὶ πρότασις δὲ ἡ ἐξ ἑνὸς τὰ δύο κοινῶς ἑκατέροις μέρεσιν ὡμολογημένη, τοῖς μὲν ἐξ ἀμφοῖν φωνοῦσι τὸ ἓν, καὶ ἦδε τὸ D στερρὸν καὶ πάγιον ἔσχηκεν · ἄμφω γὰρ οἱ θεηγόροι παραδιδόασιν, ὡς ἐξ ἀμφοῖν τὸ ἓν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα, οὕτως ἐξ ἑνὸς τὰ δύο καὶ τούτων δι' ἑτέρου τὸ ἕτερον, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα, κατὰ διορισμὸν προσώπων τῶν θείων δογματίζοντες · καὶ τὸ εἰς εἰκασίαν τοῦ ἀριθμοῦ διωρισμένον οὐ διαπέπτωκεν. Οἱ δ' αὐτὸ τὸ *ἐξ ἑνὸς τὰ δύο* τὸ τῆς κοινῆς ὁμολογίας κρατύνοντες ἕτεροι, πῶς ἂν τὸ κατὰ διάκρισιν ἐπί τε τῆς σφῶν εἰκόνος καὶ τῶν εἰκονιζομένων ὑπερουσίων τριαδικῶν προσώπων συνιστάμενον σχῶσι, καὶ οὐ μᾶλλον τὸ κατὰ σύνθεσιν, μήτε τὸ ἐξ Υἱοῦ, μήτε τὸ δι' Υἱοῦ προσιέμενοι; ἀλλ' ἵνα καὶ τὸ ἐξ ἑνὸς ἄμφω ἐκ θείας τῶν Πατέρων γραφῆς, οὕτως ἔχον, ὡς ἔφημεν, πιστω-

Digitized by Google Распознавание текста ABK/FR

θείη, πανταχοῦ τῶν θεοπνεύστων αὐτῶν ῥημάτων κατεσπαρμένον, ὁ θεοειδὴς τῶν Νυσσαέων ποιμὴν ἐνταῦθα πιστώσαιτο, πρὸς Ἀβλάβιον οὕτω θεολογῶν· « Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν· τῷ τὸ μὲν αἴτιον εἶναι πιστεύειν, » τὸν Πατέρα λέγων, « τὸ δὲ ἐκ τοῦ αἰτίου, » τὴν δυάδα τῶν προσώπων Υἱοῦ καὶ Πνεύματος, ἐξ ἑνὸς τοῦ Πατρός· εἶτα δι' ἑτέρου τὸ ἕτερον, ἐπάγων, « καὶ τοῦ ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν· » κατ' ἐπανάληψιν αὖθις φάσκων, *ἐκ τοῦ ἑνός*· εἶτα τὴν διαφοράν. « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, » τὸ Πνεῦμα δηλαδὴ διὰ τοῦ Υἱοῦ ἐκ τοῦ πρώτου. Καὶ καθεξῆς, « Ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. » Εἰ γοῦν ταῦτα δῆλα, καὶ λίαν ἐμφανῶς οἱ θεηγόροι « τὸ ἓν ἐξ ἀμφοῖν, » καὶ « ἐξ ἑνὸς ἄμφω » σαφῶς διδάσκουσι, καὶ πεπλατυσμένως ταῖς σφῶν θεηγορίαις κηρύττουσι, καὶ τῆς αὐτῆς σημασίας καὶ διανοίας διασαφοῦντες θεσπίζουσι, τί τὸ κέρδος, καὶ τίς ἡ ὠφέλεια παραλογισμοῖς τοῖς ἀπὸ κοιλίας πρὸς ἄλληλα τάδε δεικνύναι θέλειν μαχόμενα καὶ δι' ἑτέρου τὸ ἕτερον ἀναιρεῖν, καὶ ταῖς κειμέναις πατρικαῖς ἐννοίαις, καὶ τοῖς κειμένοις πατρικοῖς θεσπίσμασιν ἀντιφέρεσθαι, τοῦ τε μεγαλωνύμου Βασιλείου τοῖς πρὸς Ἀμφιλόχιον μυσταγωγοῦντος, « Ἡ γὰρ δι' Υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, » καὶ τοῦ ὁμοψύχου τούτου, καὶ πρὸς ἅπαν ὁμόφρονος θεολόγου βοῶντος, « Εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν τὰ τοῦ Μονογενοῦς, ὡς καὶ τὰ τοῦ Πνεύματος ἀναφέρεται, » ἵν' ἀκροθιγῶς ἅψωμαι τῶν εἰς ἔλεγχον, διαρχίας ἀτοπίαν εἰσάγει ἐξ ὧν οἱ πρόβολοι τῆς εὐσεβείας παραδιδόασιν; Ἀλλ' ἐρωτήσεως τῆς κατὰ τὸ διλήμμα τὸν ἐκ τοῦ ἑνὸς μέρους τοιαύτης ἀναφανείσης, καὶ τῶν πρὸς κατασκευὴν τῆς ἁπλῆς, καὶ τῶν πρὸς ἀποσόβησιν ἐπιφερομένων αὐτῇ κακοσχόλως ἀποφανθέντων, πάντως ἐκ τῶνδε μέρους ἐκ θατέρου τὰ τῆς διπλῆς ἀνατέτραπται· τοιαῦτα γὰρ τῶν ἀντιθέτων αἱ συζυγίαι. Τὸ φῶς ὁ εἰσοικισάμενος, τὸ σκότος ἀπετινάξατο· καὶ ὁ τὸ ἁπλοῦν κατασκευάσας, τὸ διπλοῦν ἀπεπέμψατο. Πλὴν καὶ ἄλλων πολλῶν ἐνόντων ἡμῖν καὶ λόγων καὶ νοημάτων, ταῖς τῶν ἱεροκηρύκων ἐκφαντορίαις ἐνηδρασμένοις εἰς ἀπορράπισιν τῆς διπλόης ἐνὶ τῶν ἐκ τούτων παραδειγμάτων ὁρκεσθησόμεθα τῷ τοῦ ἡλίου, τῆς ἀκτῖνος, καὶ τοῦ φωτός. Οὗτοι γὰρ εἰς ἐμφέρειαν ἀμυδρὰν τῶν θεαρχικῶν ὑποστάσεων ταῦτα λαμβάνοντες, ὡς ἐκ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος, ἥγουν ἐκ τοῦ πεφωτισμένου δίσκου διὰ τῆς ἀκτῖνος τὸ φῶς ἤτοι τὴν ἔκλαμψιν ἁπλῆν ἀναφαίνουσι· τίς γὰρ ἡ διπλόη τῆσδε; οὕτως ἐξ ἀμφοῖν, ἥγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα θεολογοῦντες πάσης διπλόης ὑπερκείμενον παριστάνουσι. Καί τοι ἡ τῆς ὑπερουσίου Τριάδος ἁπλότης ὑπὲρ πᾶσαν ἁπλότητα, ὡς καὶ ἡ ὁμέρεια ὑπὲρ πᾶ-

firma atque stabilis est : utraque enim diviniloqui tradiderunt, uti ex ambobus unum, ex Patre nempe per Filium Spiritum, sic ex uno duo, et horum unum per aliud, ex Patre nempe per Filium Spiritus, secundum divisionem personarum divinarum decernentes, sic etiam quod in similitudine numeri præscribitur, non admittitur. Qui vero illud, *ex uno duo*, quod apud omnes in confesso est, astruunt, quomodo illud secundum distinctionem de sua propria imagine, et iis quarum imago est, supersubstantialibus tribus personis confirmare poterunt, et non potius secundum compositionem, neque illud ex Filio, neque illud per Filium acceptantes? Sed ut illud *ex uno duo*, divinis Patrum scriptis, ita se habere, ut diximus, firmitatem acquirat, cum ubique in divinis eorumdem scriptis disseminatum sit, divinus Nyssenorum pastor ad Ablabium ita decernens corroboravit : « Immutabilem et per omnia similem naturam confitentes, discrimen causæ et effectus non inficiamur, in quo solum disjungi alterum ab altero deprehendimus : cum credamus hoc quidem causam esse, » Patrem innuens, *illud ex causa*, duas nempe personas Filii et Spiritus ex uno Patre : tum alterum ab altero, subducens, « et illius quod ex causa est, aliud rursus discrimen comprehendimus; » secundum resumptionem rursus inquiens, *ex uno*, postmodum differentiam. « Namque hoc quidem est immediate a primo, hoc vero ex contiguo a primo, » Spiritus nempe per Filium ex primo. Et sequitur : « Adeo ut unigenitum indubitatum maneat in Filio, et ex Patre esse Spiritum, Filii mediatione, sibi ipsi unigenitum conservante, et Spiritum a naturali ad Patrem habitudine non arcente. » Si itaque hæc palam et perquam perspicue diviniloqui, « unum » scilicet « ex ambobus, » et « ex uno ambo » enuntiant, et prolixis suis divinis sermonibus prædicant, et eamdem esse eorumdem sententiam et significatum divinitus definiunt, quis usus, aut quæ utilitas fuerit, perversis ratiocinationibus ex ventre natis hæc sibi mutuo repugnare demonstrare contendere, et per unum aliud destruere, et jam positis Patrum sententiis decretisque adversari, cum magni nominis Basilius ad Amphilochium doceat : « Per Filium enim vox originariæ causæ confessionem continet, » et qui unis animis cum eo vixit, et in omnibus eadem tenuit Theologus, clamat : « Licet ad primam causam quæ Unigeniti, et ea quæ Spiritus sunt, referantur; » ut leviter refutationem attingam eorum qui duorum principiorum absurditatem inferre conantur, ex iis quæ pietatis propugnatores tradiderunt? Sed cum interrogat one per dilemma facta ex una parte in hunc modum redarguatur ad simplicis probationem, et refutationem eorum quæ ipsi objici poterant, temere adducta dignoscantur. Et prorsus hujus utraque ex parte duplicis interrogationis dicta subvertentur : tales siquidem sunt oppositorum conjugationes. Qui solem introduxit, tenebras dissipavit, et qui simplex probavit, duplex

Digitized by Google Распознавание текста АВК/FR

removit. Nihilominus cum et aliæ multæ nobis suppetant et rationes, et notiones sacrorum præconum rerum reconditarum enarrationibus subnixæ ad duplicitatem hanc refellendam, uno tantum ex iisdem exemplo petito contenti erimus, solis nempe radii et luminis. Hi siquidem in exilem Deitatis principum hypostaseon similitudinem ista desumentes, uti ex sole et radio, ex illuminato nempe orbe per radium, lumen sive effulsionem simplicem commonstrant; quæ enim hujus duplicitas? sic ex ambobus, ex Patre duntaxat per Filium Spiritum decernentes, omni duplicitate superiorem constituunt. Licet supersubstantialis Triadis simplicitas super omnem simplicitatem est, quemadmodum et individuitas super omnem individuitatem. Sicut enim Pater neque dividuus est, neque compositus, quod generet Filium, et Spiritum producat, licet aliud generare et producere consideratur, ex ambobus item egressus idem est et unus quod istæ partes non sunt, sed proprietates, neque secundum aliquam recisionem, utriusque progressus cognoscitur: pari ratione neque Spiritus dividuus est, neque compositus, quod ex Patre et Filio, ex simplicibus est, nempe ex simplice per simplicem simplex, et ex individuis individuus, et ejusdem naturæ cum iis qui ejusdem naturæ cum ipso sunt. Qui itaque ex uno ambo, et ex ambobus unum asserunt, quemadmodum ita tenere dictis Patrum confirmamur, sic eorum quoque exemplis corroboramur, non tantum proxime apposito, uno siquidem, sed cum id sermonis series cogat alia quoque addam, quod erit radicis, rami, et fructus; ex radice enim fructus per ramum; verum ex ramo eum etiam dicere nihil vetat. Hinc ex ambobus, ex radice scilicet per ramum. Similiter et illud oculi, fontis, et fluvii. Qui porro illud ex ambobus oppugnant, uti verbis ac notionibus e ventre enatis ad sibi complacita deferuntur, non testimoniis scripto traditis, sic ad ea quæ ad imaginem divinitatis principis Triadis Patrum dictis apponuntur, non advertentes animum, viri atque mulieris prolem ex congressu motibus animi obnoxio, et generationem ignis ex violenta ac vehementi fricatione, ex rebus alterius naturæ atque essentiæ inter sese mutuo conjunctis, et luti compositionem ex rebus natura diversis simili modo ex propriis producunt, quasi demonstrarent adversarios in similitudinem ex ambobus Spiritus progressus similia assumere, quæ quidem cum admittenda minime sunt, illis tamen scopum suum comprobantes, quod intendunt, sibi videntur absolvere, quæ non tantum voce proferre, sive scripto tradere, sed vel solummodo mente agitare dæmones ipsi horruerunt. Mens quidem evigilans, theologiæ apex, quibusdam similitudinibus supra omnem infinitatem constitutam Triadem ostendens, « Similitudinum tenuitatem indicari, et quod plus est fugere, » ingenti voce testatur, « et infra nos una cum exemplo manere » decernit, licet res ejusdem inter se naturæ atque essentiæ ad

A σαν ἀμέρειαν. Ὥσπερ δὲ οὐ μεριστὸς ὁ Πατὴρ οὐδὲ σύνθετος, ὅτι τὸν Υἱὸν γεννᾷ, καὶ τὸ Πνεῦμα προβάλλεται, καίπερ ἄλλου καὶ ἄλλου θεωρουμένων τοῦ γεννᾷν καὶ προβάλλεσθαι, ἡ δὲ ἐξ ἀμφοῖν πρόοδος ἡ αὐτὴ καὶ μία, ὅτι μὴ ταῦτα μέρη ἀλλ' ἰδιότητες, οὐδὲ κατά τινα τομὴν ἡ ἑκατέρου γνωρίζεται πρόοδος· οὕτως οὔτε τὸ Πνεῦμα μεριστὸν, οὔτε σύνθετον, ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ, οὐδὲ τὸ μὲν ἐκ τοῦ Πατρὸς ἔχει, τὸ δὲ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ τὸ ἁπλοῦν, ὅπερ ἐστὶν ἐκ τοῦ Πατρός ἐστι καὶ τοῦ Υἱοῦ, ἐξ ἁπλῶν, ἤγουν ἐξ ἁπλοῦ δι' ἁπλοῦ, καὶ ἐξ ἀμερῶν ἀμερὲς, καὶ ὁμοφυὲς ἐξ ὁμοφυῶν. Οἱ μὲν οὖν ἐξ ἑνὸς ἄμφω, καὶ τὸ ἓν ἐξ ἀμφοῖν φάσκοντες, ὡς τὸ οὕτω φωνεῖν φθέγμασι πατρικοῖς ἔχομεν στηριζόμενον, οὕτω καὶ παραδείγμασι τοῖς αὐτῶν ἐδραιούμενοι, οὐ μόνον τῷ προσεχῶς τεθειμένῳ, ὡς πρὸς τῷ ἐνὶ πλέον ἐρῶ, οἷον ἐλκόμενος, ἀλλὰ καὶ τῷ τῆς ῥίζης, καὶ τοῦ κλάδου, καὶ τοῦ καρποῦ. Ἐκ τῆς ῥίζης γὰρ ὁ καρπὸς διὰ τοῦ κλάδου, ἀλλὰ καὶ ἐκ τοῦ κλάδου λέγειν τοῦτον ἀκώλυτον. Ὅθεν καὶ ἐξ ἀμφοῖν, ἐκ τῆς ῥίζης δηλονότι διὰ τοῦ κλάδου. Ὡσαύτως καὶ τὸ τοῦ ὀφθαλμοῦ, τῆς πηγῆς καὶ τοῦ ποταμοῦ. Οἱ δὲ πρὸς τὸ ἐξ ἀμφοῖν ἀντικαθιστάμενοι, ὡς ῥήμασι καὶ νοήμασι τοῖς ἀπὸ κοιλίας πρὸς τὸ κατὰ βούλησιν φέρονται, οὐ ταῖς ἐκ Γραφῶν μαρτυρίαις οὐδοπωσοῦν, οὕτω τῶν εἰς εἰκόνα τῆς ἀρχικῆς Τριάδος παραθέσεων κατρικῶν μὴ ἐπιστρεφόμενοι, ἀποτέλεσμα γυναικὸς καὶ ἀνδρὸς ἐξ ἐμπαθοῦς συνελεύσεως, καὶ πυρὸς γένεσιν ἐκ βιαίας προστρίψεως ἑτεροφυῶν πρὸς ἄλληλα καὶ ἑτεροουσίων, καὶ πηλοῦ σύνθεσιν ἐξ ἑτεροειδῶν ὡσαύτως οἰκοθεν παρεισάγουσιν, ὡς ἐμφήναντες ταῦτα τοὺς ἀπεναντίας λαμβάνειν εἰς ἐμφέρειαν τῆς ἐξ ἀμφοῖν προόδου τοῦ Πνεύματος τῷ ἀπαραδέκτῳ τούτων τὸ κατὰ σκοπὸν κατασκευάσαντες ἀπαρτίσωσιν, ἅτινα μή τοί γε ὅλως ἐρεῖν, ἢ γραφῇ δοῦναι, ἀλλὰ καὶ μόνως ἐννοῆσαι ψιλαῖς ἐπινοίαις κἂν δαίμονες ἔφριξαν. Ὁ γρήγορος μέντοι γε νοῦς, ἡ τῆς θεολογίας ἀκρότης, ἐξ ὁμοιώσεών τινων τὴν ὑπεράπειρον Τριάδα δεικνὺς, « ἀνυδρὸν τὸ τῆς εἰκασίας δηλοῦσθαι, » καὶ τὸ, « τὸ πλέον φεύγειν » μεγαληγόρως μαρτύρεται, « καὶ κάτω μένειν ἡμᾶς ἐᾷν μετὰ τοῦ ὑποδείγματος » ἀποφαίνεται, καὶ ταῦτα ὁμοουσίων καὶ ὁμοφυῶν τὰς παραθέσεις πρὸς ἀλλήλας τιθέμενος. Ἔχει καὶ γὰρ οὕτως ἐκ τοῦ ἡλίου· τῆς ἀκτῖνος, καὶ τοῦ φωτὸς τὸ ἀχώριστον ἀλλήλων ἀεὶ σημαίνεται τῶν θεαρχικῶν προσώπων, καὶ τὸ ἀπαθὲς τῆς προόδου, καὶ τῆς ἐκφάνσεως, εἰ καὶ μὴ τὸ τῶν τριῶν ἰδιοϋπόστατον, Ἐν γὰρ τῇ τοῦ πεφωτισμένου δίσκου ὑποστάσει ἡ ἀκτὶς καὶ τὸ φῶς πέφυκεν ὑφιστάμενα, καὶ μὴ καθ' αὐτὰ ἰδιοϋπόστατα· ἐκ τοῦ ὀφθαλμοῦ, τῆς πηγῆς, καὶ τοῦ ποταμοῦ τὸ συνημμένον ἐμφαίνεται καὶ ἀχώριστον, εἰ καὶ τούτων ἕκαστον τῷ τόπῳ διακέκριται καὶ τῇ θέσει, τόπον ἴδιον ἔχον καὶ ἰδίαν περιγραφὴν, κἂν οὕτω τὸ συνεχὲς ἀδιάπτωτον Ἐκ τῆς ῥίζης, τοῦ κλάδου καὶ τοῦ καρποῦ τὸ διακεκριμένον τῶν ὑποστάσεων, εἰ καὶ χρόνος ἐν τούτοις μεσολαβεῖται, καὶ πλείων ἡ ἐν τῇ ῥίζῃ δύναμις καὶ ἐνέργεια ἢπερ ἐν τῷ κλάδῳ καὶ τῷ καρπῷ. Ἐν δέ γε τῇ σεπτῇ Τριάδι

Digitized by Google Распознавание текста АВК/FR

μία καὶ ἡ αὐτὴ δύναμις καὶ ἐνέργεια, ἐκ τῆς μονάδος, τῆς δυάδος καὶ τῆς τριάδος τὸ τῶν προσώπων διωρισμένον, κἂν μὴ καθ' αὐτὰ ταῦτα μηδὲ ἰδιοϋπόστατα, ἀλλ' ἐννοηματικὰ, καὶ ἐν ἄλλοις θεωρητά· ὃ τοῦ ἠρωτηκότος παράδειγμα δεκτὸν, εἰ καὶ μὴ κατὰ τὸ αὐτῷ δοκοῦν, εἰ καὶ δι' ἄλλου καὶ ἄλλου τῶν εἰκονισμάτων, ἄλλο καὶ ἄλλο τῶν ἐν τῇ ὁμοουσίῳ Τριάδι θεωρουμένων δηλοῦται, ἢ καὶ τὸ αὐτὸ διὰ πλειόνων. Οὐδὲ γὰρ οἷόν τε τοῦ εἰκαζομένου τὸ εἰκάζειν ἐξικνεῖσθαι δι' ὅλου, ὡς αὐτὸς ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ αὐτῷ λόγῳ διαγορεύει. Ὅμως διὰ πάντων τῶν προτεθέντων καὶ λοιπῶν ἐμφερῶν ἡ τάξις τρανοῦται, καὶ σχέσις, καὶ τὸ πρῶτον, καὶ μέσον, καὶ τρίτον καὶ τὸ μὴ δύο αἴτια εἶναι, ἐπεὶ καθαρῶς ἐστιν ἀνηγορευμένον ὁρᾶν· ἐξ ἡλίου τὴν ἀκτῖνα καὶ φῶς, ἐξ ἑνὸς ἄμφω, καὶ πάλιν ἐξ ἀμφοῖν ἡλίου τε καὶ ἀκτῖνος τὸ φῶς, ἑκατέρων ῥητῶν τὸ αὐτὸ διαγγελλόντων, ἐκ τοῦ πρώτου διὰ μέσου τὸ τρίτον· κἀντεῦθεν τὸ ἓν καὶ ἀρχικὸν αἴτιον τὸ πρῶτον ἔχειν διασαφούντων, ὡς καὶ ἐπὶ τῆς ῥίζης τὸ ἓν τῆς αἰτίας αὐτῆς ἐχούσης, καὶ τῶν ἐκ τῆσδε δύο, τοῦ μέσου, καὶ δι' αὐτοῦ τοῦ τρίτου εἰς αὐτὴν, ὡς εἰς αὐτῶν ῥίζαν ἀναγομένων, καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἐκ μονάδος τὰ δύο, καὶ ἐκ δυοῖν τὸ τρίτον κατὰ διορισμὸν, οὕμενουν κατὰ σύνθεσιν, ἤγουν τῆς πρώτης μονάδος τὴν δευτέραν, καὶ δι' αὐτῆς τὴν τρίτην, ἀμφοτέρων τῆς μέσης, καὶ δι' αὐτῆς τῆς τρίτης εἰς μονάδα τὴν πρώτην, ὡς εἰς ἀρχικὴν ἀναφερομένων αἰτιαν καὶ ῥίζαν. Ὅθεν ὁ θεολογικώτατος Νύσσης ἐπὶ τῆς ἀκτίστου Τριάδος ταῦτα διευκρινῶν, εἰρηκώς τε, ὡς ἀνωτέρω προὐθέμεθα, καὶ τοῦ ἐξ αἰτίας, καὶ ἀμφότερα σημάνας αἰτιατὰ, δι' ἑτέρου τὸ ἕτερον διεσάφησε, φήσας· « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, » τὸν Υἱὸν δηλαδὴ, τουτέστιν ἀμέσως· ἄμφω γὰρ ἐπ' αὐτοῦ ταῦτα πεπλατυσμένως ταῖς ἱεραῖς συγγραφαῖς τῶν Πατέρων ἐμπεριείληπται· τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου Πνεῦμα τὸ θεῖον, κἀντεῦθεν ἀμφοῖν, τοῦ μὲν ἀμέσως, τοῦ δὲ διὰ τοῦ μέσου, θεολογήσας μίαν αἰτίαν τὴν ἀρχικὴν, ἣν οἱ λοιποὶ θεηγόροι μὲν ἡνωμένως, οὗτος δὲ διαλελυμένως πρώτην αἰτίαν ὠνόμασαν. Ὅς δῆτα καὶ τῆς *διὰ* καὶ τῆς *ἐκ* τὸ σύνδρομον ἐχουσῶν, ἐπὶ τοῦ μέσου καὶ ταυτοδύναμον, καθὼς εἰς πλάτος αἱ ἱερογραφικαὶ τῶν θεοφορήτων μαρτυρίαι παραδιδόασιν, εἰ καὶ ἀμυδρῶς ὧδε διηγγελται τὴν *διὰ* δογματίσας ἐνταῦθα, τὴν *ἐκ* ἐν ἄλλοις, ἐν οἷς φησιν, « Ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς θείας Γραφῆς ὀνομάζεται· τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, » τεθεολόγηκε. Καὶ τὸ μὲν πρῶτον κεφάλαιον οὕτως ἔχον τεθέαται· τοῦ λοιποῦ δὲ τὸ δεύτερον θεατέον, οὕτω κατὰ ῥῆμα διαλαμβάνον· « Ἔτι ἡ μὲν μονὰς ταυτότητός ἐστιν αἰτία, ἡ δὲ δυὰς ἑτερότητος. Ὅθεν καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς μὲν ἐξ ἑνὸς τοῦ Πατρὸς ὄντα, τὸ ταὐτὸν τῆς φύσεως ἀλλήλοις καὶ τῷ Πατρὶ ἔχουσιν, ὡς δὲ δύο πάλιν ὄντα, ἕτερά ἐστιν ἀλλήλοις καὶ τῷ Πατρὶ κατὰ τὰς ὑποστάσεις, ἀλλ' οὐ τὴν φύσιν. Οὐ γὰρ ἐνῆν ταυτὰ τὴν φύσιν ὄντα καὶ ἕτερα πάλιν κατὰ φύσιν εἶναι. Εἰ μὲν οὖν

8. Cum ergo ad hæc adducti sumus, quorum causa de missione, et unctione et similibus Dei et hominis Verbi a Spiritu attulimus magnos pietatis vindices Athanasium multis certaminibus clarum, et rerum cœlestium visione præcellentem Dionysium, sed potissimum hunc proxime relatum, necessarium est, alterius quoque cui est ex immortalitate nomen, dicta discutere. Quare considerandum est, quanam ratione hic postquam ostendisset, Dominum inungi a Spiritu secundum humanitatem, et postmodum dixisset, « in spiritu Dei ipsum ejicere dæmonia, » et hæc dum alloqueretur Judæos, sonore admodum infit : « Discipulis vero divinitatem et magnitudinem suam ostendens, non ultra minorem semetipsum Spiritu, sed majorem et æqualem esse significans dabat Spiritum dicebatque : *Ego mittam*, et, *Ille me clarificabit, et quæcunque audiet loquetur.* » Missio ergo atque datio Filii secundum carnem a Spiritu est, Spiritus vero a Filio secundum D divinæ gloriæ magnitudinem. Et licet contritis corde medicinam afferre, hoc est, animorum morbos sanare, divinitatis sit, non est quod impediat missionem. Duplex enim erat, qui similia operabatur, cum et in ipsa cruce duplicis actionis opera fecisse, terræ motum, obscurationem solis, et veli scissionem, et rursus quæ sitis erant, et reliqua humanitatis planum apertumque sit. Hic porro quænam ratio est, ob quam major est Spiritu Filius? dicant qui mutuo sese et alternatim utrasque hypostases mittere nova scribendi dicacitate secundum divinitatem definiunt, indeque ex Filio et per Filium prorsus amandant. Etenim si hoc amandare non rejiciant, quo igitur significatu dictionem

ηʹ. Ἐπεὶ τοίνυν εἰς ταῦτα προήχθημεν ἐξ ὧν περὶ ἀποστολῆς καὶ χρίσεως καὶ τῶν τοιούτων τοῦ θεανθρώπου Λόγου παρὰ τοῦ Πνεύματος παρεθήκαμεν, εἰς μέσον παραγαγόντες τοὺς μεγάλους προηγόρους τῆς εὐC σεβείας Ἀθανάσιον τὸν πολύαθλον, καὶ τὸν τῶν οὐρανίων ἐπόπτην Διονύσιον, τὸν πολὺν, ἐκ τῶν τοῦδε καὶ μᾶλλον τοῦ σύνεγγυς. Ἀναγκαῖον δὲ καὶ τὰ τοῦ ἑτέρου τοῦ τῆς ἀθανασίας ἐπωνύμου κατεξετάσαι. Σκεπτέον ἄρα πῶς ὅδε μετὰ τὸ δεῖξαι τὸν Κύριον χρίεσθαι παρὰ τοῦ Πνεύματος κατὰ τὸ ἀνθρώπινον, καὶ μετὰ τὸ οὕτω λέγειν, « ἐν Πνεύματι Θεοῦ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια, » καὶ μετὰ τὸ διαλέγεσθαι τοιουτοτρόπως τοῖς Ἰουδαίοις, φάσκει διαπρυσίως· « Τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ τὴν μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν· *Ἐγὼ ἀποστελῶ, κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει.* » Ὅτι μὲν οὖν ἀποστολὴ καὶ δόD σις Υἱοῦ μὲν κατὰ τὴν σάρκα παρὰ τοῦ Πνεύματος, ταῦτα δὲ τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ κατὰ τὴν τῆς θείκης δόξης μεγαλειότητα, καὶ ὅτι τὸ ἰᾶσθαι τοὺς συντετριμμένους τὴν καρδίαν, τουτέστι τὰ τῶν ψυχῶν πάθη θεραπεύειν τῆς θεότητος ὂν, οὐδὲν ἔχει τὸ κωλύον πρὸς τὰ τῆς ἀποστολῆς. Διπλοῦς γὰρ ἦν ὁ ταῦτα δρῶν. Ἐπεὶ καὶ ἐν αὐτῷ τῷ σταυρῷ τὰ τῆς διπλῆς ἐνεργείας ἐνήργει, τὸν τῆς γῆς κλόνον, τὸν σκοτασμὸν τοῦ ἡλίου, τὴν τοῦ καταπετάσματος ῥῆξιν, καὶ αὖ τὰ τῆς δίψης, καὶ λοιπὰ τὰ τῆς ἀνθρωπότητος καὶ θεότητος, πρόδηλον καὶ καταφανές. Τί; δὲ λόγος ἐνταῦθα, καθ' ὃν καὶ πῶς μείζων τοῦ Πνεύματος; ὁ Υἱός; εἰπάτωσαν οἱ τῆς μοίρας τοῦ ἀποστέλλειν ἑκατέρας ὑποστάσεις ἀλλήλας ἀμοιβαδὸν καινογραφικῶς κατὰ τὴν θεότητα δογματίσαντες,

Digitized by Google Распознавание текста ABK/FR

κάντεῦθεν τὸ ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ εἶναι τὸ Πνεῦμα A
τέλεον ἀπωθούμενοι. Εἰ μὴ γὰρ τὸ ἀπωθεῖσθαι ἀπώσονται, καθ' ὁποῖον ἄρα τῶν σημαινομένων *τοῦ μείζονος* αὐτὸ λήψονται, κρημνὸν οὐχ ἕξουσιν ἐξαλύξαι τὸν τῆς ἀκροτάτης δυσφημίας οὐδοπωσοῦν. Καίτοι καθαρῶς ὁ ἱερομύστης « μείζονα τοῦ Πνεύματος τὸν Υἱὸν » φήσας, καὶ ἴσον εἰρηκε παρευθύς. Καὶ ἐφεξῆς ἐπήγαγεν, « Ἐδίδου τὸ Πνεῦμα, καὶ ἔλεγεν, « Ἐγὼ *ἀποστελῶ*, » διαφανέστατα παριστάνων, ὅτι ὥσπερ ἡ αὐτοσοφία τὸν Πατέρα μείζονα καὶ ἴσον ἑαυτοῦ σαφῶς ἐμυσταγώγησεν ἐν Εὐαγγελίοις εἰποῦν, « Ὁ Πατήρ μου μείζων μού ἐστι, » καὶ πάλιν, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » οὕτως ἐνθάδε διδοὺς τὸ Πνεῦμα κατὰ τὴν θεότητα καὶ ἀποστέλλων, μείζονα τούτου καὶ ἴσον ἑαυτὸν ἀριδήλως ἐσήμανε· καὶ ὡς B
ἐκεῖ τὸ ἴσον, οὕτω κάνταῦθα κατὰ τὸ τῆς φύσεως ἀπαράλλακτον, τὸ δὲ μεῖζον κατ' ἰδιότητα τὴν, ὅτι περ ἐκ τοῦ Πατρὸς ὁ Υἱός, ἀλλ' οὐκ ἐκ τούτου Πατὴρ, τοῦτο γὰρ ἰδιότης, καὶ τὴν ὅτι περ ἐκ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ οὐχὶ τὸ ἀνάπαλιν. Ὅθεν ὡς ἀποστολὴ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς οὐ καθ' αὑτὴν ἔχουσα τὸ δηλοῦν τὴν ἐκ τοῦ Πατρὸς ὑπέρχρονον ὕπαρξιν τοῦ Υἱοῦ τῶν ἐγχρόνων ὡς οὖσα καὶ πρὸς τὴν κτίσιν. Ὡς δ' ἑπομένη τῇδε τῇ ὑπὲρ χρόνον, καὶ παρὰ τοῦτο τεκμήριον αὐτῆς πεφυκυῖα, ἔχει μὲν τὸ εἶναι καὶ λέγεσθαι τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς, ἥκιστα δὲ καὶ τοῦ Πατρὸς παρὰ τοῦ Υἱοῦ· οὕτως ἀποστολὴ τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ κατὰ τὸν αὐτὸν λόγον θεωρουμένη ἔστι τε καὶ λέγεται παρὰ τοῦ Υἱοῦ, ἀλλ' οὐ δήπου τοῦ Υἱοῦ τοπαράπαν C
παρὰ τοῦ Πνεύματος κατὰ τὴν θεότητα. Ὅ γε μὴν αὐτὸς ὁ τῆς ὁμολογίας ἀκρέμων Ἀθανάσιος, ὅτι ταῦθ' οὕτως ἔχει, καὶ τὸ *μεῖζον* ὡς ἐπὶ Πατρὸς καὶ Υἱοῦ, οὕτως ἐπὶ Υἱοῦ καὶ Πνεύματος κατ' ἰδιότητα τὴν διειλημμένην ἐθεολόγησεν, ἔκ τε ῥήσεως ταύτης, καὶ ἀφ' ὧν ἐν πλείσταις αὐτοῦ θεηγορίαις διασαφεῖ, δείκνυσι καθαρῶς, νῦν δὲ μόνως ἐξ ὧν φησιν ἐν ἐπιστολαῖς ταῖς πρὸς Σεραπίωνα βεβαιώσειε. Ταύταις γὰρ εἰρηκὼς, « Τοιαύτην τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, ὁποίαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, » ἐν αὐταῖς αὖθις διαγορεύει· « Οἶαν γὰρ ἐγνωμεν ἰδιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ταύτην ἕξειν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν εὑρήσομεν. » Καὶ πάλιν· « Ὥσπερ γὰρ ἐν *ἰδίᾳ* εἰκόνι ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πνεύματι, οὕτω καὶ ὁ Πατὴρ ἐν D
τῷ Υἱῷ. » Καὶ μετά τινα· « Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα. Οὓς γὰρ ἔγνω προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. » Καὶ ὁ φερωνυμῶν ἐκ τῶν ἔργων Γρηγόριος ὁ Θαυματουργὸς ἐν τῇ τῆς αὐτοῦ δογματικῆς Ἀποκαλύψεως μυήσει, « Τοῦ Πατρὸς εἰκὼν, » φησὶν, « ὁ Υἱὸς, » καὶ μετὰ βραχὺ, « Εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα, τελείου τελεία· » καὶ πολλαχοῦ τοῦτο τῆς θείας Γραφῆς, « τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, » καὶ οὐ δήπου τοῦ Υἱοῦ εἰκὼν ὁ Πατὴρ, οὐδέ γε τοῦ Πνεύματος ὁ Υἱὸς, καὶ ταῦτα τῶν τριῶν οὐσίας οὔσης μιᾶς· καίτοι εἰ διὰ ταύτην ἐλέγετο τάδε, καὶ οὐ διὰ τὴν λελεγμένην ἰδιότητα προόδου τῆς φυσικῆς, ἀδιαφόρως ἂν θατέρου θάτερον ἐκαλεῖτο εἰκὼν, ἀλλ'

majorem accipient? Certe extremæ blasphemiæ præcipitium effugere nullo modo poterunt. Et tamen perspicue hieromysta « majorem Spiritu Filium » dicens, *æqualem* perquam subito nuncupavit, et postmodum subjunxit, « Tradebat Spiritum et dicebat : *Ego mittam*, » manifestissime comprobans, uti ipsa Sapientia Patrem majorem et æqualem sui palam edocuit in Evangeliis dicens: « Pater meus major me est ; » rursusque : « Ego et Pater unum sumus, » ita et hic Spiritum porrigens secundum divinitatem, et mittens majorem illo et æqualem semetipsum plane enuntiavit : et uti ibi æquale, ita et hic secundum naturæ per omnia simile, majus vero secundum proprietatem, quod Filius ex Patre est, non autem ex Filio Pater. Hæc enim proprietas est, qua ex Filio et per Filium Spiritus est, et non vice versa. Unde missio Filii a Patre non ex seipsa habet, neque ostendit sempiternam ex Patre exsistentiam Filii, cum in tempore sit et ad creaturas. Uti vero consequitur eam quæ supra omne tempus est, et secundum illud eam esse indicium est, habetque quod sit et dicatur Filii a Patre, sed non item Patris a Filio, pari modo missio Spiritus a Filio secundum eamdem considerationem agnita, est diciturque a Filio, at non item prorsus Filii a Spiritu secundum divinitatem. Et eumdem confessionis apicem Athanasium, hæc ita se habere, et *majus* uti de Patre et Filio, ita et de Filio et Spiritu secundum jam expositam proprietatem decrevisse, et ex hoc dicto et ex aliis plurimis in suis divinis commentariis inspersis perspicue apparet, nunc vero solum ex iis quæ in epistolis ad Serapionem decernit ; namque cum illis dicat : « Eumdem ordinem et naturam cum habeat Spiritus erga Filium, quam habet Filius erga Patrem, » in iisdem iterum repetat : « Quam enim agnoscimus proprietatem Filii erga Patrem, eamdem habere Spiritum erga Filium reperiemus. » Rursusque : « Veluti in propria imagine est Filius in Spiritu, non alio modo est Pater in Filio. » Nec post multa: « Imago Filii dicitur et est Spiritus; quos enim cognovit et prædeterminavit conformes imaginis Filii sui. » Et qui operibus nomine non inferior est Gregorius Thaumaturgus, in suæ dogmaticæ revelationis initiatione, « Patris imago, ait, Filius, » nec multo post : « Imago Filii Spiritus, perfecti perfecta. » Et passim in divinis Litteris legitur, « Patris Filius, et Filii Spiritus, » nec ullo in loco, Filii imago Pater est, neque Spiritus Filii, licet horum trium una essentia sit, quamvis si ob hanc ista affirmarentur et non ob jam dictam proprietatem naturalis progressus, indifferenter alterum alterius imago nuncuparetur. Verumtamen hæc non sunt, neque dicuntur. Imago enim Filius est illius, ex quo est, Patris sententia Gregorii in rebus theologicis magni. Cum enim supra eam consubstantiale posuisset, statim subintulit : « Et quod hoc inde est, non item ex hoc Pater, » ipsam inter se congruentiam adaptans, cum et consubstantiale

Digitized by Google Распознавание текста ABK/FR

me misit, et qui misit me Pater ipse testimonium perhibuit de me [11]. » Rursusque idem quasi ex ipso de Paracleto, « Quem mittet Pater in nomine meo [12]; » iterumque uti ex Salvatore; « Si ego non abiero, Paracletus non veniet ad vos, si vero abiero, mittam illum ad vos [13]. » Et divinus Lucas : « Sexto mense, » ait, « missus est Gabriel de cœlo a Deo [14]. » Et vertex apostolorum clamat ad Hebræos : « Non omnes sunt administratorii spiritus in ministerium missi [15]? » Sunt hæ apud sacram Scripturam missiones, partim Deo convenientes et intellectæ, et de divinis hypostasibus congruenter pronuntiatæ, partim ex Deo quidem, sed creaturis servisque adaptatæ. Hinc Filii a Patre missio signum est clarissimum ejusdem sempiternæ irradiationis, ex quo est, tanquam quæ perquam conspicue lucescens eam consequitur, eadem ipsa ratione qua consubstantiale splendorem, qui ex essentia est consequitur; nec quimus dicere ex essentia ob hanc eamdem causam respectu Filii. Namque Pater propter hoc idem esset ex essentia Filii. Sed potius quod ex essentia Patris Filius est, propterea Pater Filio et Patri Filius consubstantialis est : cum enim illud palam præcedat, necessario hoc sequi debet. Pari modo et missio sempiternam exsistentiam subsequens quæ in tempore est, ex ea quæ absque tempore est a Patre Filii manifestatur, tanquam qui ex essentia illius progreditur, indeque amborum connaturale intelligitur : neque conversionis locus est, cum nullo modo Pater ex essentia Filii sit. Non aliud est etiam missio Spiritus a Patre, licet modus illius ad exsistentiam progressus, ex quo est, diversus sit, cum a Filio quoque mitti Paracletum clarum sit. Qua ergo ratione consideratur missio ex Patre, eadem ipsa missio ex Filio intelligitur, si communis utriusque Spiritus Paracletus, et si uti Patris ita et Filii, et si uti proprius Patris ita et Filii proprius est, et si istæ Patrum sunt voces, et si ab illis tradita quæ supra posita est *proprii* significatus explicatio, ideoque cum mittitur Paracletus uti ex Patre, locum prorsus non habent ea quæ sunt conversionis, ob eam quam habet sequelam erga sempiternam exsistentiam, sic ex Filio eam intelligere ob eamdem seriem secundum divinitatis gloriam fieri nequit. Et tantum abest ut Christi missio ex Spiritu sit, neque enim fieri potest, ut ex Spiritu Christus sit, ut nec prorsus Christus Spiritus sit. Hinc in rebus theologicis eximius Nyssenus, homilia in orationem Dominicam cum statuisset, « unigenitum Filium ex Patre a divina Scriptura dici, nec ultra illius proprietatem extendi : Spiritum vero sanctum et ex Patre dici, et ex Filio esse astrui, » ex apostolico dicto illo, « Spiritus Christi, » illum ex Filio comprobat, dum dicit : « Si quis Spiritum Christi non habet, hic non est ejus [17.18], » statimque subdit : « Itaque Spiritus cum ex Deo sit, et Christi Spiritus est, » ma-

πέμψας με Πατὴρ αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ. » Καὶ πάλιν ὁ αὐτὸς ὡς ἐξ αὐτοῦ περὶ τοῦ Παρακλήτου, « Ὃν πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου · » καὶ αὖθις ὡς ἐκ τοῦ Σωτῆρος, « Ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς. » Ὁ δέ γε Λουκᾶς ὁ θεηγόρος, « Τῷ ἕκτῳ μηνί, » φησὶν, « ἀπεστάλη Γαβριὴλ οὐρανόθεν ἐκ Θεοῦ. » Καὶ τῶν ἀποστόλων ὁ κορυφαῖος βοᾷ πρὸς Ἑβραίους · « Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα ; » Πέμψεις αὗται παρὰ τῇ θείᾳ Γραφῇ, αἱ μὲν θεοπρεπεῖς καὶ ταῖς θείαις ὑποστάσεσι καταλλήλως καὶ φωνούμεναι καὶ νοούμεναι, αἱ δὲ θεόθεν μὲν, κτίσμασι δὲ καὶ δούλοις προσφυῶς ἁρμοζόμεναι. Ὅθεν ἡ παρὰ Πατρὸς τοῦ Υἱοῦ πέμψις τεκμήριον ἀπαστράπτει τῆς ἐξ οὗ ἐστιν οὕτως ἀΐδίου τούτου ἐκλάμψεως, ὡς ἑπομένη ταύτῃ φωτοφανῶς, καὶ καθ' ὃν λόγον τὸ ὁμοούσιον τῇ ἐκ τῆς οὐσίας ἑπόμενον πέφυκε φρυκτωρίᾳ · καὶ οὐκ ἔστιν εἰπεῖν ἐκ τῆς οὐσίας δι' αὐτὸ τοῦτο πρὸς τὸν Υἱόν. Εἰ γὰρ ἂν ἦν οὕτω, καὶ ὁ Πατὴρ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ διὰ τοῦτο. Ἀλλ' ὅτι μᾶλλον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ὁ Υἱὸς, διὰ τοῦτο ὁ Πατὴρ τῷ Υἱῷ, καὶ τῷ Πατρὶ ὁ Υἱὸς ὁμοούσιος · ὡς ἐκείνου καθαρῶς ἡγουμένου ἐξ ἀνάγκης ἕπεσθαι τοῦτο, οὕτω καὶ πέμψις ἑπομένη τῇ προαιωνίῳ ὑπάρξει ἡ ἐγχρονος τῇ ἀχρόνῳ παρὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ τρανοῦται, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ προϊόντος · κἀντεῦθεν τὸ ὁμοφυὲς ἀμφοῖν θεωρεῖται, καὶ τὸ ἀντιστρέφον οὐκ ἔχει χώραν · ἐπεὶ μὴ ὁ Πατὴρ ὅλως ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὁπουδήποτε. Τὸ αὐτὸ καὶ πέμψις ἡ τοῦ Πνεύματος παρὰ τοῦ Πατρὸς, εἰ καὶ ὁ τρόπος τῆς εἰς τὸ εἶναι τούτου προόδου, ἐξ οὗπερ ἐστὶ διάφορος · ἐπεὶ δὲ καὶ παρὰ τοῦ Υἱοῦ πέμπεσθαι τὸν Παράκλητον ἐμφανές. Καθ' ὃν ἄρα λόγον ἡ ἐκ τοῦ Πατρὸς πέμψις, οὕτω καὶ ἡ ἐκ τοῦ Υἱοῦ, εἴπερ Πνεῦμα κοινὸν ἀμφοῖν ὁ Παράκλητος, καὶ εἴπερ ὡς τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ, καὶ εἴπερ ὡς ἴδιον τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ ἴδιον, καὶ εἴγε ταῦτα Πατέρων φωναὶ καὶ παραδεδομένη σφίσι, καὶ μικρὸν ἀνωτέρω κειμένη τῆς *τοῦ ἰδίου* σημασίας, ἀνάπτυξις · ἐφ' ᾧ καὶ τὸ πέμπεσθαι τὸν Παράκλητον ὡς ἐκ τοῦ Πατρὸς, δέξασθαι χώραν οὐκ ἔχει τὰ τῆς ἀντιστροφῆς ἐκ τῆς ἧς ἔσχεν ἀκολουθίας πρὸς τὴν ἀΐδιον ὕπαρξιν, οὕτως ἐκ τοῦ Υἱοῦ προσήκασθαι ταύτην ἐκ τῆς αὐτῆς ἀκολουθίας κατὰ τὴν τῆς θεότητος δόξαν ἀδύνατον. Καὶ οὐ μόνον Χριστοῦ πέμψις οὐκ ἔστιν ἐκ Πνεύματος, οὐ γὰρ ἐξὸν ἐκ Πνεύματος εἶναι Χριστὸν, ἀλλ' οὐδὲ μὴν ὅλως Χριστὸς Πνεύματος. Ὅθεν ὁ θεολογικώτατος Νύσσης ἐν τῇ ὁμιλίᾳ τῇ εἰς τὴν προσευχὴν δεσποτικῆς παραδόσεως θεολογήσας ὡς, « Ὁ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς θείας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα · τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, » ἐξ αὐτῆς ῥήσεως ἀποστολικῆς τῆς *Πνεῦμα Χριστοῦ*,

[11] Joan. v, 36, 37. [12] Joan. xv, 26. [13] Joan. xvi, 7. [14] Luc. i, 26. [15] Hebr. i, 14. [17.18] Rom. viii, 9.

Digitized by Google Распознавание текста ABK/FR

παρὰ τοῦ Υἱοῦ τοῦτο κατασκευάζει, φάμενος, « Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, » καὶ συνημμένως ἐπάγει· « Οὐκοῦν τὸ μὲν Πνεῦμα ἐκ τοῦ Θεοῦ ὄν, καὶ Χριστοῦ Πνεῦμά ἐστιν, » ἀριδήλως σαφηνίζων, ὡς εἰ καὶ ἐκ τοῦ Πατρὸς ἑκάτερα ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, καὶ κοινὸν ἀμφοῖν τὸ ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐ κοινὸν καὶ τὸ ἐκ θατέρου θάτερον εἶναι κατὰ λόγον ἀντιστροφῆς. ἀλλὰ τὸ μὲν Πνεῦμα ἐκ τοῦ Θεοῦ ὄν, τουτέστιν ἐκ τοῦ Πατρὸς, καὶ Χριστοῦ Πνεῦμά ἐστι, διὸ καὶ ἐκ τοῦ Χριστοῦ κατὰ τὴν αὐτοῦ τοῦ μεγάλου ἐγγυτάτω κατασκευὴν, ἐκ τοῦ Πνεῦμα Χριστοῦ θεολογεῖσθαι, τὸ καὶ ἐκ τοῦ Χριστοῦ εἶναι τρανώσαντος, « Ὁ δὲ Υἱὸς, » φησὶν, « ἐκ τοῦ Θεοῦ ὤν, οὐκέτι καὶ τοῦ Πνεύματος οὔτε ἔστιν, οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη. » Εἰ τοίνυν ὡς Πνεῦμα Χριστοῦ Πνεύματος λεχθῆναι Χριστὸς ἀντιστρόφως· ἐκ τῆς τοιᾶσδε φύσει σχετικῆς ἀκολουθίας οὐ δύναται, πῶς ἐξ αὐτῆς· ὡς ἀποστολὴ παρὰ Χριστοῦ Πνεύματος, ἀποστολὴ παρὰ Πνεύματος ῥηθῆναι Χριστοῦ κατὰ τὸν τῆς Θεότητος λόγον ἀντιστρόφως δυνήσεται; Οὐκ ἔστιν οὐδαμῶς τοῦτο τῇ Θεοπνεύστου Γραφῇ ὁπουδήποτε. Καί γε τὸ τινὸς λεγόμενον ἀντιστροφὴν ἐκ τῆς φυσικῆς σχέσεως μὴ δεχόμενον, ἐξ αὐτοῦ ἐστιν ἀναντιῤῥήτως, οὗ λέγεται· οἷον τὸ τοῦ φυτοῦ ἄνθος τούτου ἄνθος λεγόμενον, καὶ μὴ πρὸς αὐτὸ ἀντεστραμμένως ἔχειν νοούμενον, ὡς τούτου τὸ φυτὸν λελέχθαι, ἐξ αὐτοῦ ἐστιν ὁμολογουμένως, οὗ ἄνθος λέγεται. Καὶ ἡ τοῦ πυρὸς ζέσις μὴ τὸ τῆς ἀντιστροφῆς δεχομένη, ὡς τὸ πῦρ καλεῖσθαι τῆς ζέσεως, ἐξ αὐτοῦ ἐστιν ἄρα, οὗ ζέσις κατονομάζεται. Ὡσαύτως ἔχει καὶ τὸ τῆς πηγῆς ὕδωρ, καὶ τὸ τοῦ ἡλίου φῶς· ἀντιστροφὴν μὴ εἰδότα, ἐξ αὐτῶν εἰσιν ὧν ἄρα λέγονται. Καὶ λοιπὰ παραπλήσια, ὡς ἂν ἐκ τῶν ὄντων τὰ ὑπὲρ τὰ ὄντα κατ' ἀμυδρὰν εἰκασίας ἐμφέρειαν ἀνεικονίσωμεν· καθά που τῆς γρηγόρσεως ὁ ἐπώνυμος, καὶ θεολόγων ἀκρέμων διδασκαλικῶς ἀποφαίνεται. Τῶν οὖν ἐν ταῖς θεαρχικαῖς ὑποστάσεσι πέμψεων ἐκ τῶν ἱερῶν τοῦ Εὐαγγελίου λογίων ἐν τούτοις θεωρουμένων, καὶ διευλυτουμένων, ἐξ ὧν οἱ θεοφορούμενοι φθέγγονται, καὶ τῶν ἐν τοῖς λειτουργικοῖς πνεύμασιν ἑτέρως ὡς καθυπηρετουμένοις ἀνήκει κτιστοῖς καὶ περιγραπτοῖς, ὁ διαιρέσεις ἀποστολῶν οἰκοθεν ἐπὶ τοῦ μέσου παράγων, καὶ φάσκων· « Ἀποστέλλει τις υἱὸν, ἢ δοῦλον ἢ τι ἕτερον παρ' ἄλλου τοῦτο λαβών, ἢ καὶ αὐτὸς ἔχων, » ἐπειδὴ πρὸς τὰς διειλημμένας τῶν θεϊκῶν προσώπων πέμψεις ἀφορῶν ταῦτα συνείρει, πρὸς ποῖον τούτων ἀποτεινόμενος ἐπιπλέκει, συνοράν οὐκ ἔχω. Πρὸς ἕνα γὰρ καὶ τὸν αὐτὸν ἀποβλέπων, οὕτω φαίνεται συντιθείς. Εἰ μὲν οὖν πρὸς τὸν Πατέρα τῶν αὐτοῦ λόγων, ὁ μὲν πρῶτος καὶ διπλοῦς μερισμὸς, εἰ καὶ τὸ ἁρμόττον τηρεῖ, ἀλλ' οὐχ ὁ δεύτερος. Τί γὰρ ὁ πέμπει Πατὴρ παρ' ἄλλου τοῦτο λαβών; Οὐκ ἔστιν ὁπώσποτε. Εἰ δὲ πρὸς τὸν Υἱὸν τἀνάπαλιν ἀναδείκνυται, καὶ τῶν μερισμῶν ὁ μὲν δεύτερος τὸ κατάλληλον φέρει κατὰ τὴν τοῦ συντεθειμένου δόξαν, ὁ δὲ πρῶτος ἐνὶ τῷ μέρει διπλοῦς ὢν ἠλλοτρίωται. Οὐ γὰρ δήπου πέμψις Υἱοῦ παρὰ τοῦ Μονογενοῦς οὐδαμῶς. Εἰ δέ τις ἐρεῖ πρὸς τὸν Πατέρα μὲν ἀφορᾶν τὸν πρῶτον, πρὸς τὸν Υἱὸν δὲ τὸν δεύτερον, τὸ ἀσύμφατον ἐπικυρώσει τῇ τοῦ λόγου θέσει καὶ ἀσυναότητον.

A nifesto declarans quod, licet ex Patre ambo sint et Filius et Spiritus, et utrique commune est ex Patre esse, attamen commune non est ex alio aliud esse secundum conversionis naturam, sed Spiritus ex Deo cum sit, ex Patre nempe, et Christi Spiritus est, ideoque ex Christo secundum magni hujusce Patris probationem, qui ex eo quod Spiritus Christi decernatur, ex Christo etiam esse declaravit : « Filius vero, » ait, « ex Deo cum sit, non est neque Spiritus, neque dicitur, et correlativa hæc series non convertitur. » Si itaque uti Spiritus Christi, vicissim Spiritus Christus, ex simili correlativa serie dici non potest, quo modo ex eadem uti missio Spiritus a Christo missio, missio Christi a Spiritu secundum rationem divinitatis vice versa dici poterit? Nullo id in loco divinitus inspiratarum Scripturarum inveneris. Licet quod alicujus dicitur, quod tamen conversionem ex naturali habitudine non admittat, sine ulla dubitatione ex eo est, cujus dicitur : qualis est plantæ flos, qui illius flos dicitur, nec tamen erga illam convertitur, ita ut illius planta dicatur, ex ea est omnium calculo cujus flos dicitur. Et ignis calor, qui conversionem non recipit, adeo ut ignis dicatur caloris, ex eo est, cujus calor nuncupatur. Sic se habet et fontis aqua, et solis lumen, quæ conversionem nesciunt, ex iis sunt, quorum esse dicuntur, et alia similia ; ut ex iis quæ sunt, illa quæ supra ea sunt, tenui similitudinis imagine repræsentemus ; ut quodam in loco vigilantiæ cognominis, et theologorum apex doctoris in morem decernit. Missionibus itaque quæ in divinitatis principibus hypostasibus considerantur, ex evangelicis elogiis ita expositis, et ex dictis divinorum Patrum examinatis, et quæ in administratoriis spiritibus, uti administris congruit creatis et circumscriptis alio atque alio modo se habere dijudicatis, qui missionum differentias ex propriis in medium affert, dicitque : « Mittit quispiam filium aut servum, vel aliquid aliud, ab alio illud accipiens, sive ex seipso habens, » cum ad jam dictas divinarum personarum missiones respiciens, hæc aggregat, ad quodnam ex his mentem intendens, similia complicat, discernere non valeo. Ad unum enim idemque respiciendo, ista videtur congerere. Si itaque ad Patrem, suorum dictorum primum, duplexque divisio, licet conveniens servat, ab eo tamen secundum longe est. Quid enim est, quod mittat Pater ab alio id accipiens? Hoc nullum usquam est : si ad Filium, contrarium deprehenditur, et divisionum secunda non incongrue se habet, si mentem auctoris respicias, prima una sui parte, cum duplex sit, longe a proposito disjungitur. Neque enim uspiam est missio Filii ab Unigenito. Quodsi quis dixerit ad Patrem quidem referre primam, ad Filium vero secundam, sermonis positione ea neque cohærere neque congruere constabiliet.

Digitized by Google Распознавание текста ABBYY FR

10. Nihilominus hisce neglectis, ad quod qui similia effatur contendens decertat, illud probare volens, neque ex Filio, neque per Filium esse Spiritum, animum intendentes, hic quoque adversus ipsum argumenta more nostro conquisita apponemus. Cum enim dixisset, « ab alio accipiens, vel a seipso habens, » hisce contra subinfert : « Et mittunt solares radii ad nos lumen, a sole nempe illud habentes. » Hæc porro ad Filium respicientem dicere, hac inductione quam in exemplum affert, palam est. Etenim si accipere Filium ab alio, hoc est Patre, Spiritum sanctum asserens, secundum divinarum Scripturarum interpretationes assereret, quæ quidquid ex Filio et per Filium dicitur, tum de increata et supernaturali Spiritus hypostasi, tum de rerum factura et creatione ad Patrem primam causam, et radicem, et principalem et primariam referunt, cum et inde Filium ipsum subsistere uti Deum par sit, et ante sæcula intonant, secundum vero ordinem sempiterni hypostaseon progressus, et inde ex utroque connaturale, essentialiter exsistere, ex Patre nempe per Filium tradunt ; si ita pronuntiaret, næ ille præceptæ nobis Scripturarum perquisitioni inhæreret. Verumtamen cum conatus suos alio convertat, et hisce oppositum insinuet : « Et mittit, ait, Paracletum Unigenitus acceptum ab alio, neque ex ipso, neque per ipsum exsistentem, » a quo vero accipit Patre, solo nempe, Spiritum communem esse et proprium uti Patris ita et Filii, quorum acceptionem et explicationem supra allata Patrum dicta manifestant, modis omnibus relegat, ut servile ministerium complere Filium necesse sit, et alienum ab ipso Spiritum esse, quorum ineptum atque absurdum dictum dicta doctorum aperte redarguunt, palam comprobat, et vix Spiritum esse Filio concedit, dum ait, « aut ipse habens, » non æqua tamen ratione, sed diverso modo a Patre, illud « ex Filio » et « per Filium » omnino amandans, ut ineptiebat Nestorius Deum et hominem natura Verbum, deiferum hominem appellans, cujus quoque fidei Symbolum propriæ sectæ reperitur ab eodem traditum. ut edicatur ab iis qui ad sacrum lavacrum accedunt, « neque ex Filio, neque per Filium, » sonore clamans, adversus quem contendens a Deo glorificatus Cyrillus, dum ex Filio Spiritum profundi, et esse, et exsistere disputat, palam aperteque subinfert, « eadem ipsa ratione, qua a Deo et Patre. » Sed neglectis hisce quæ fusiores sermones exposcunt, ad concedentem nunc, « Spiritum etiam a Filio haberi, sed diversa ratione a Patre, » ex proxime, ut diximus, supraque appositis dictis theologicis pauca quædam, in memoriam redigantur, quæ plane clamant : « Dei et Patris naturalium bonorum essentialiter exsistens Filius particeps, habet Spiritum eo ipso modo, quo intelligitur Pater habere. « Præterea mystagogi qui hæc explanat ex iis quæ supra attulimus, unum tunc præteritum silentio, nunc

ε'. Ὅμως αὐτὰ παριδόντες, καὶ πρὸς ὃ κατεπειγόμενος ὁ ταῦτα φωνῶν ἀμιλλᾶται, συστῆσαι θέλων μήτ' ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ τὸ Πνεῦμα σκοποῦντες, παραθήσομεν κἀνταῦθα τοὺς ἐλέγχους ὅθεν εἰώθεμεν. Εἰπὼν γὰρ, « παρ' ἄλλου λαβὼν, ἢ καὶ αὐτὸς ἔχων, » σύντροχα τούτοις ἐπάγει· « Καὶ ἀποστέλλουσιν αἱ ἀκτῖνες τοῦ ἡλίου μέχρις ἡμῶν τὸ φῶς, παρὰ τοῦ ἡλίου δηλονότι αὐτὸ ἔχουσαι. » Ὅτι δὲ πρὸς τὸν Υἱὸν ἀναφέρων ταῦτά φησιν, ἐκ τῆς ἐπαγωγῆς τῆσδε δῆλόν ἐστι μᾶλλον τῆς παραδειγματικῆς. Εἰ μέντοι τὸ λαβεῖν τὸν Υἱὸν παρ' ἄλλου, τουτέστι τοῦ Πατρὸς, Πνεῦμα τὸ θεῖον λέγων, κατὰ τὰς ἐκφαντορίας Γραφῶν τῶν θείων ἐωρᾶτο φάσκων, αἳ πᾶν ὅ τι περ ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ λεγόμενον ἐπί τε τῆς ἀκτίστου καὶ ὑπερφυοῦς τοῦ Πνεύματος ὑποστάσεως, ἐπί τε τῆς τῶν ὄντων δημιουργίας καὶ κτίσεως εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα καὶ τὴν ῥίζαν, καὶ τὸ ἀρχικὸν αἴτιον, καὶ τὸ προκαταρκτικὸν αἴτιον ἀναφέρουσιν, ἐπεὶ καὶ αὐτὸ τὸ τὸν Υἱὸν ὑφεστάναι θεοπρεπῶς ἐκεῖθεν καὶ προαιωνίως ἀνακηρύττουσιν, κατὰ δὲ τὴν τάξιν τῆς ἀϊδίου προόδου τῶν ὑποστάσεων, καὶ τὴν ἐντεῦθεν αὐτῶν συμφυΐαν ἐξ ἀμφοῖν οὐσιωδῶς ὑπάρχειν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα παραδιδόασιν· εἰ οὕτω διαγγέλλων ἐτύγχανε, τῆς ἐντεταλμένης γραφικῆς ἐρεύνης ὅλος ἦν ἐξεχόμενος. Ἐπεὶ δὲ τὸ σπουδαζόμενον κατά γε τὸ ἐναντίον, « Καὶ πέμπει, » φησὶ, « τὸν Παράκλητον ὁ Μονογενὴς παρ' ἄλλου λαβὼν, μήτ' ἐξ αὐτοῦ, μήτε δι' αὐτοῦ ὄντα, » παρ' οὗ δὲ λαμβάνει τοῦ Πατρὸς μόνου, τὸ μὲν κοινὸν εἶναι καὶ ἴδιον ὡς τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὧν τὴν λῆψιν καὶ διευκρίνησιν αἱ ἀνωτέρω τεθειμέναι πατρικαὶ ῥήσεις διατρανοῦσι, παντάπασιν ἀπελαύνει, τὸ δὲ διακονικὴν ἀποπληροῦν τὸν Υἱὸν χρείαν, καὶ τὸ ἀλλότριον αὐτοῦ τὸ Πνεῦμα καθεστάναι, ὧν τὴν ἀτοπίαν εἰς ἔλεγχον αἱ αὐταὶ διδασκαλικαὶ φανεροῦσι θεηγορίαι, συνίστησιν ἐναργῶς, μόλις δ' ἔχειν τὸ Πνεῦμα καὶ τὸν Υἱὸν συγχωρεῖ λέγων, « ἢ καὶ αὐτὸς ἔχων· » πλὴν οὐχ ὁμοίως, ἀλλὰ καὶ οὕτω τῷ Πατρὶ ἀνομοίως τὸ ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ πάμπαν ἀπορραπίζων, καθάπερ ἐληρώδει Νεστόριος, τὸν φύσει θεάνθρωπον Λόγον θεοφόρον ἄνθρωπον ὀνομάζων, οὗ καὶ Σύμβολον εὕρηται πίστεως τοῖς τῆς οἰκείας συμμορίας πρὸς τούτου παραδεδομένον κηρύττειν ἐν τῷ τῶν προσερχομένων βαπτίσματι, « μήτε ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ· διατόρως ἀναφωνοῦν· πρὸς ὃν καὶ ὁ θεοδόξαστος ἀποτεινόμενος Κύριλλος, ἐν οἷς ἐξ Υἱοῦ τὸ Πνεῦμα προχεῖται, καὶ ἔστι, καὶ ὑπάρχει θεολογεῖ, διαῤῥήδην συχνῶς ἐπιφέρει, « καθάπερ ἀμέλει παρὰ τοῦ Θεοῦ καὶ Πατρός. » Ἀλλὰ τούτων ἀφέμενοι πλάτους ὁποιουδήτινος δεομένων, πρὸς τὸν διδόντα νῦν, « τὸ Πνεῦμα καὶ τὸν Υἱὸν ἔχειν, ἥκιστα δέ γε ὡς ὁ Πατὴρ, » ἐκ τῶν ὧν ἐγγὺς ἔφημεν, ἀνωτέρω τεθῆναι χρήσεων θεολογικῶν βραχέα τινὰ παρατιθέαμεν εἰς ἀνάμνησιν, ἅττα βοῶσιν αὐτόχρημα, « Τῶν τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν νοοῖτο καὶ ὁ Πατήρ. » Ἔτι δὲ τοῦ ταῦτα διασαφοῦντος μυσταγωγοῦ ἐκ τῶν ὧν παρελί-

Digitized by Google Распознавание текста АВК/FR

πομεν ἐν χρήσεσι ταῖς δηλωθείσαις, μίαν καὶ τήνδε παρενείρομεν χρῆσιν, οὕτω φθεγγομένην αὐτολεξεί· « Ἀπολύων ἁμαρτίας τὸν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. » Τὴν οὕτω δὲ κηρυσσομένην θεολογίαν τὸν ἀπαρνούμενον οὐ μόνον εἰς τὸν Μονογενῆ δυσφημοῦντα δείκνυσιν ὁ αὐτὸς θεηγόρος, ἀλλὰ τὰς αὐτὰς καὶ τῷ Πνεύματι δυσφημίας προσάπτοντα. Εἰς γὰρ τὸ, « Ἐκεῖνος ὑπομνήσει ὑμᾶς ἃ εἶπον ἐγὼ, » οὕτω φησίν· « Οὐκοῦν ὡς εἰδὸς τὰ ἐν τῇ βουλῇ τοῦ Μονογενοῦς πάντα ὑμῖν ἀναγγελεῖ τὸ Πνεῦμα, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν, ἀλλ' ὡς Πνεῦμα αὐτοῦ, καὶ εἰδὸς ἀδιαστάτως πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπέρ ἐστιν. » Εἰ γοῦν καὶ ῥημάτων ἐκ τῶνδε τῆς εὐσεβείας οἱ πρόβολοι τῶν, « Ἐκεῖνος ὑμᾶς ὑπομνήσει, ἐκεῖνος ἐμὲ δοξάσει, » ὁ Παράκλητος δηλονότι, καὶ « ὅσα ἀκούσει λαλήσει, » ἐκ τοῦ Υἱοῦ τοῦτον καθαρωτάτως ἀναγορεύουσι, καὶ εἰ μὴ τόδε, τὰ τῆς ἀτοπίας ἀκολουθεῖν ἀποφαίνονται, ὥσπερ ἐπὶ τῆς πέμψεως ἐλέγομεν καὶ τῆς χορηγίας καὶ δόσεως, καθάπερ ἐκ τούτων καὶ τῶν τοιούτων τὴν ἴσην ἀναλογίαν ἐπί τε Πατρὸς καὶ Υἱοῦ, ἐπί τε Πατρὸς καὶ Πνεύματος ἔγνωμεν, ὡς προείρηται, ὁ παράδειγμα παραθεὶς ἥλιον, ἀκτῖνα καὶ φῶς, ὡς ἂν καὶ τοῦτο θεωρηθείη, καὶ φάσκων τὴν ἀκτῖνα παρ' ἄλλου λαμβάνουσαν, ἥγουν τοῦ ἡλίου τὸ φῶς πέμπειν, μὴ ἐξ αὐτῆς ἢ δι' αὐτῆς ὄν, κἀντεῦθεν εἰκονίζων πέμπεσθαι παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, μὴ ἐξ αὐτοῦ, ἢ δι' αὐτοῦ ὑπάρχον, πῶς κἀκ τῇδε τῆς παραθέσεως συσκευάσεως ὅλως ἕξει παρεισδυσιν, πρὸς ἅπερ οἱ θεοφόρητοι δογματίζουσιν, ἢ μᾶλλον ἃς ἐξ ὧν ἀπᾶρνεῖται, συνάγουσιν οὗτοι δυσφημίας, πῶς διαδρᾶναι δυνήσεται; Εἰ δέ γε τῶν πατρικῶν θεολογικῶν ἐπῶν ἀφροντίστως ἔχων, ὡς ἐκφαίνει ἑαυτὸν μὴ θέμενον τῶνδε σκέψιν, μὴ βάσανον, οὐδαμῶς ἐπιστρέφεται, ἄλλως μέντοι λογικαῖς μαθημάτων παιδείαις ἐνδιαπρέψας, πόθεν ἔσχε τὴν ἡλιακὴν ἀκτῖνα λειτουργικῶς ἢ ὀργανικῶς εἰς τὴν τοῦ φωτὸς λαμβάνειν ἀποστολήν, ὡς μὴ δι' αὐτῆς τοῦτο εἶναι, εἴ γε τὰ τρία ὁ δίσκος, ἡ ἀκτῖς, καὶ τὸ φῶς, τρισσὸν ὑπάρχει φῶς καὶ ἀμέριστον, καὶ μία συνύπαρξις τῶν τριῶν, καὶ μίαν πληροῦσι φύσιν, ἢ συμπληροῦσι, καὶ διηνεκῶς τὸ ἡνωμένον ἔχουσι καὶ ἀχώριστον, ἕως ἂν ἡ τοῦδε τοῦ παντὸς μένῃ σύστασις; Εἰ γὰρ τὸ διά τινος λεγόμενον ἐκ τινος ἢ φυσικῶς λέγεται καὶ οὐσιωδῶς, καὶ τὴν ἐντεῦθεν εἰς τὸ εἶναι δι' οὗ λέγεται πλουτεῖ πρόοδον, ἢ ὀργανικῶς καὶ ὑπουργικῶς, καὶ ἥκιστα δι' αὐτοῦ τὸν τῆς ὑπάρξεως λόγον αὐχεῖ, καθάπερ ἐκ τῆς πηγῆς διὰ τοῦ σωλῆνος τὸ ὕδωρ. Οὐδαμῶς γὰρ οὗτος εἰς τὴν τοῦ ὕδατος φυσικὴν λαμβανόμενός ἐστιν ὀντότητα, εἴπερ ἑτεροφυὴς αὐτοῦ καὶ ἑτεροούσιος, ὅτι μὴ μόνον εἰς ὀργανικὴν τούτου διάβασιν. Εἰ δέ τις φαίη διὰ τοῦ ποταμοῦ τὸ ὕδωρ ἐκεῖθεν, ἢ διὰ τῆς πηγῆς ἐκ τοῦ ὀφθαλμοῦ, ἀμφότερα γὰρ διαγγέλλεται, τὴν εἰς τὸ εἶναι διὰ τῆς πηγῆς ἢ ἐξ αὐτῆς διὰ τοῦ ποταμοῦ, παρευθὺς ἐδήλωσε τοῦ ὕδατος ἐκβλυσιν, ὡς ὁμοφυῶν τῶν τριῶν ὄντων, καὶ οὕτω λαχόντων φύσεως, ἐκ

A inseramus, verbis hisce dictatum : « Liberans a peccato sibi adhærescentem, proprio postmodum inungit Spiritu, quem emittit ipse quidem, uti ex Deo Patre Verbum, et ex propria nobis natura more fontis effundit. » Hanc inculcatam theologiam abnegantem non tantum in Unigenitum blasphemum, sed easdem quoque blasphemias ipsi Spiritui appingere, divinus iste Pater ostendit. Namque in illud : « Ipse suggeret vobis quæ ego dixi, » ita pronuntiat : « Itaque tanquam bene sciens, quæ in consilio Unigeniti sunt, omnia vobis annuntiabit Spiritus, non disciplinæ habens cognitionem, ne videatur administri locum explere, sed ut Spiritus ipsius, et sciens inseparabiliter omnia illius ex quo et in quo est. » Si itaque pietatis

B propugnatores ex verbis hisce : « Ipse vobis suggeret, ille me glorificabit, » Paracletus scilicet, et « quæcunque audiet loquetur, » ex Filio hunc esse perspicue prædicant, et si id non fuerit absurda consequi decernunt, uti de missione, et suppeditatione, et datione dicebamus, et ex his et similibus eamdem proportionem in Patre et Filio, et in Patre et Spiritu cognoscimus, ut antea dictum est, qui in exemplum adducit solem, radium, et lumen, ut id quoque in examen proferamus, dicitque radium ab alio accipientem, sole nempe, lumen mittere, quod neque ex ipso, neque per ipsum est, indeque sibi figurat mitti a Filio Spiritum, neque ex ipso, neque per ipsum exsistentem, quomodo ex hac

C comparatione ad ea quæ divini Patres definiunt penetrare, sive potius ex iis quæ ipse pernegat, blasphemias exortas effugere poterit ? Quodsi in dicta Patrum theologica mentem prorsus non applicans, namque ea neque considerasse, neque examinasse plane ostenditur, nullo modo admittit, licet in logicis disciplinis præcellat, undenam habuit solarem radium administri instar, aut instrumenti in missionem luminis inservire, adeo ut per radium illud non sit, si tria hæc, orbis, radius, et lumen trinum lumen exsistit et indivisum, et una est eorum coexsistentia, et unam simul complent naturam, perpetuoque conjunguntur, et inseparata permanent, donec universi hujus constructio perdurabit? Namque si quod per aliud dicitur ex alio, aut na-

D turaliter et essentialiter dicitur, et inde ad esse per quod dicitur progressum possidet, aut instrumenti modo, vel servi more, et nullo modo per ipsum exsistentiam habere gloriatur, uti ex fonte per tubum aqua ; nullo siquidem modo in naturalem aquæ essentiam accipitur, si alterius ille naturæ atque essentiæ est, nisi tantum ad instrumentalem aquæ transitum. Quod si quis dixerit per fluvium inde aquam esse, aut per fontem ex oculo, ambo siquidem pronuntiantur, ad esse per fontem, sive ex ipsa per fluvium, illico aquæ scaturiginem indicavit, cum hæc tria ejusdem naturæ sint, eamque sortita sint naturam, ut ex primo per secundum tertium sit ; hæc, inquam, si ita se habent, quam ex naturali serie sermo pru-

Digitized by Google Распознавание текста ABK/FR

Itaque duos dicimus esse Filios; » tum subinfert : « Et quomodo unigenitus? » et quæ sequuntur. « Attamen tu quis es, qui ex adverso ratiocinaris Deo? Namque si Filium vocat, qui ex ipso est, et Spiritum sanctum qui ab utroque. » Hic uterque esse quidem *per* ponit de Filio, per Filium dicens, hic *ab* usurpans, *ab utroque*. Et unum idemque connotare præpositiones *ab* et *ex* nemo ullus est qui dubitet. Alio etiam loco *ex* et *per*, tanquam indifferenter æque polleant, uterque de Filio assumit. Et sapientissimus Cyrillus pari modo easdem componens in suis de Deo sermonibus ad Palladium ita explicat decernens : « Mutabilis nullo modo est Spiritus sanctus; vel si mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, necnon et Filii essentialiter ex ambobus, ex Patre nempe per Filium profusus Spiritus sanctus. » Hæc plane divini veritatis propugnatores, de naturali et sempiterno utriusque personæ progressu, eorumque consubstantialitate et connaturalitate longe missis erroneis vocum novitatibus edocent.

7. Et prorsus si dicant, qui contra sese etiam clarissimis opponunt, dictionem *procedit* alium exsistentiæ modum denotantem ab eo, quem indicat *generatio*, similes vocum novitates repellere, certitudinem enim dicta magis acquirent, non destruent. Cum divinoloquorum traditio sit, tum expositio illius, Filium immediate ex Patre esse, per Filium vero Spiritum sanctum, et ab utroque esse, Patre nempe et Filio Paracletum, tum vocis *procedit* enuntiatio. Et hac ratione expositus divinarum hypostaseon progressus, sempiternum in se continet, et super omne tempus, quæ vero sempiternam hanc rem dictio notat, tempus importat, tanquam quæ positionis vocalis enuntiatio sit, propterea qui eam posuerunt deiferi in divina gratiæ Scriptura, in theologicis, ut jam dictum est, confirmari studentes, sæpenumero quidem procedere de Patre, ut traditum est, in divino Evangelio, ponunt, licet etiam de Filio quandoque hoc idem, in quibus reperitur per Filium, crebrius vero in dictionibus, « ex Filio, » et, « per Filium, » ex eadem sacra Scriptura, unum idemque significatum cum illo procedere palam edocent, tum ex iis, « Spiritus veritatis, Spiritus Filii, Spiritus Christi, » tum ex alio : « Ex meo accipiet, » et reliquis, cum sint ipsi Evangelii mystæ, et mystagogi, atque hieromystæ. Itaque sacrorum interpres Nyssenus, in orationem Dominicam homilia, ait : « Unigenitus enim Filius ex Patre a divina Scriptura nuncupatur, nec ultra oratio proprietatem illius extendit : Spiritus vero sanctus et ex Patre dicitur, et ex Filio esse astruitur, » statimque id comprobans, subdit : *Si quis Spiritum Christi non habet, ait, hic non est ejus*[a]. Igitur Spiritus, qui ex Deo est, et Christi Spiritus est. Filius vero ex Deo exsistens, non dicitur neque est

[a] Rom. VIII, 9.

ρωτῷ περὶ τῶν αὐτῶν οὕτω φησίν· « Ἀλλ' ἐρεῖ τις, Οὐκοῦν δύο φαμὲν εἶναι Υἱούς· » εἶτα ἐπιφέρει· « Καὶ πῶς μονογενής; » καὶ ἐφεξῆς· « Μενοῦν γε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ; Εἰ γὰρ τὸν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων. » Ἐνταῦθα μὲν ἑκατέρων ὁ μὲν τὴν *διὰ* τίθησιν ἐπὶ τοῦ Υἱοῦ, διὰ τοῦ Υἱοῦ λέγων, ὁ δὲ τὴν *παρὰ* φάσκων, « παρ' ἀμφοτέρων. » Καὶ ὡς ἓν καὶ τὸ αὐτὸ ἡ *παρὰ* καὶ ἡ *ἐκ*, ὁ ἀμφιβάλλων οὐδείς. Ἀλλαχόσε δὲ τὴν *ἐκ* καὶ *διὰ* ἐπὶ τοῦ Υἱοῦ λαμβάνουσι καὶ ἅμφω, ὡς ἰσοδυναμούσας ἀδιαφόρως. Καὶ Κύριλλος ὁ σοφώτατος, οὕτως αὐτὰς συντιθεὶς ἐν τοῖς σφετέροις περὶ Θεοῦ λόγοις, ἐν τοῖς πρὸς Παλλάδιον οὕτω διασαφεῖ δογματίζων· « Τρεπτὸν οὐ τοῦτο τὸ Πνεῦμά ἐστιν· ἢ εἴπερ τὸ τρέπεσθαι νοεῖ ἐπ' αὐτὴν, ὁ μῶμος ἀναδραμεῖται τὴν θείαν φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ μὴν καὶ τοῦ Υἱοῦ τὸ ἐξ ἀμφοῖν οὐσιωδῶς, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον ἅγιον Πνεῦμα. » Τοιαῦτα μὲν οἱ τῆς ἀληθείας προήγοροι θεῖοι Πατέρες περὶ τῆς φυσικῆς ἀμφοτέρων προσώπων ἀϊδίου προόδου, καὶ τῆς σφῶν ὁμοουσιότητος καὶ συμφυΐας μυσταγωγοῦσι, τὰς ἐπισφαλεῖς καινοφωνίας ἀποτρεπόμενοι.

ζ'. Καὶ εἰ πάντως ἐροῦσιν οἱ καὶ τοῖς ἄκρως καταφανέσιν ἀντίρροποι, ὡς ἡ *ἐκπορεύεται* λέξις ἄλλον τρόπον ὑπάρξεως δηλοῦσα παρὰ τὴν γέννησιν τὰ τοιάδε τῶν καινοφωνημάτων ἀποσκευάζεται, πιστώσονται γὰρ ἔτι τὰ λελεγμένα μᾶλλον, οὐκ ἀναιρήσουσιν. Ἐπεὶ παραδόσεις τῶν θεηγόρων ἥ τε διασάφησις τοῦ τὸν Υἱὸν ἀμέσως ἐκ Πατρὸς εἶναι, δι' Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τοῦ παρ' ἀμφοτέρων εἶναι Πατρός τε καὶ Υἱοῦ τὸν Παράκλητον, καὶ τῆς *ἐκπορεύεται* λέξεως ἡ ἐκφώνησις. Καὶ ἡ μὲν οὕτω διευκρινουμένη πρόοδος τῶν θείκῶν ὑποστάσεων τὸ προαιώνιον ἔχει καὶ τὸ ὑπέρχρονον· ἡ δὲ τῆς ἀϊδιουμένης τῇσδε σημαντικὴ λέξις τὸ ἔγχρονον ἐπιφέρεται, θέσεως ὡς οὖσα φωνητικῆς προφορὰ, ἐφ' ᾧ καὶ ταύτην οἱ θέμενοι θεοφόροι τῇ τῆς χάριτος θείᾳ Γραφῇ ἐπὶ τῇ, ὡς ἐρρέθη, θεολογίᾳ θέλοντες ἑδραιοῦσθαι, συχνῶς μὲν τὸ ἐκπορεύεσθαι τυθέασιν ἐπὶ τοῦ Πατρὸς ὡς τῷ θείῳ εἰηγορευμένον οὕτως Εὐαγγελίῳ, εἰ καὶ ἐπὶ τοῦ Υἱοῦ ἐνίοτε τὸ αὐτὸ, ἐν οἷς ἄρα τὸ δι' Υἱοῦ, πλεοναζόντως δὲ τοῖς « ἐξ Υἱοῦ » τε καὶ « δι' Υἱοῦ » ῥήσεων ἐκ τῶν τῆς αὐτῆς ἱερᾶς Γραφῆς τὴν αὐτὴν καὶ μίαν σημασίαν τῷ ἐκπορεύεται διδάσκουσιν ἐμφανῶς, ἔκ τε τῆς, « Πνεῦμα ἀληθείας, Πνεῦμα Υἱοῦ, Πνεῦμα Χριστοῦ, » ἔκ τε τῆς, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » καὶ λοιπῶν, αὐτοὶ τοῦ Εὐαγγελίου μύσται, καὶ μυσταγωγοὶ, καὶ ἱερομύσται τυγχάνοντες. Τοιγαροῦν ὁ ἱεροφάντωρ Νύσσης ἐν τῇ εἰς τὸ, Πάτερ ἡμῶν, ὁμιλίᾳ φησίν· « Ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς θείας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα· τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται· » καὶ παρευθὺς ἐπάγει κατασκευάζων, *Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει*, φησὶν, *οὗτος οὐκ ἔστιν αὐτοῦ*. Οὐκοῦν τὸ μὲν Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ καὶ Χριστοῦ Πνεῦμά ἐστιν·

Digitized by Google Распознавание текста АВК/FR

ὁ δὲ Υἱὸς, ἐκ τοῦ Θεοῦ ὤν, οὐκέτι καὶ τοῦ Πνεύματος οὔτε ἐστὶν, οὔτε λέγεται· οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη. » Ἐφεξῆς δὲ χρήσεων οὐκ ὀλίγων οὐσῶν ἑτέρων, αἳ τὴν αὐτὴν διάνοιαν ἐκ τῶν προεκτεθειμένων φωνῶν παριστάνουσιν, ἐνίας σκέψεσι ταῖς ἔμπροσθεν ἴσως παραληψόμεθα, ἐῶντες ἀρτίως, ἵνα μὴ ἐπὶ τοῖς αὐτοῖς τὸν λόγον μηκύνωμεν, πλὴν ἐκ τῶν ἀμυδρῶς διειλημμένων τὸ ταυτοδύναμον τῶν λέξεων διαδείκνυται. Ὅθεν ὁ χαριτώνυμος Χρυσορρήμων ἐν τῷ εἰς τὴν Πεντηκοστὴν αὐτοῦ λόγῳ διέξεισιν οὑτωσί· « Τίς δὲ ἡ δύναμις τοῦ *ἐκπορεύεται*; Ἵνα τὸ τῆς γεννήσεως ὄνομα παρέλθῃ ἡ Γραφὴ, ἵνα μὴ Υἱὸν αὐτὸ καλέσῃ, λέγει *Πνεῦμα ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*· εἰσάγει αὐτὸ ἐκπορευόμενον, ὡς ὕδωρ ἀπὸ πηγῆς ῥέον, κατὰ τὸ εἰρημένον περὶ τοῦ παραδείσου. « Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδέμ. » Ἐκπορεύεται καὶ πηγάζει εἰρηκὼς ὁ θεῖος μυστολέκτης τὴν τοῦ *ἐκπορεύεται* δύναμιν, ὡς ἵνα δι' αὐτοῦ τὸ τῆς γεννήσεως ὄνομα ἡ Γραφὴ παρέλθῃ, καὶ μὴ γέννημα παραστήσῃ τὸ Πνεῦμα, ἅπερ οἱ καθεξῆς πρόβολοι τῆς εὐσεβείας εἰς ὅρον τῆς λέξεως ἀφιέρωσαν, ἄλλον τρόπον ὑπάρξεως παρὰ τὸν τῆς γεννήσεως, καὶ διάφορον τρόπον καλέσαντες, τέλος εἰς ταυτὸν αὐτὸ τὸ *ἐκπορεύεται* καὶ *πηγάζει* συντάττει, ὡς καὶ ἄμφω τὸ τοῦ τρόπου ἕτερον τῆς ὑπάρξεως παριστάνοντα. Ὅτι δὲ τὸ *πηγάζει* καὶ ἐπὶ τοῦ Υἱοῦ ἐν πολλοῖς καὶ πολλάκις ἡ Γραφὴ διατρανοῦσα γνωρίζεται, δῆλον καὶ ὁ πρὸ τοῦ Χρυσολόγου τῷ χρόνῳ, τοῖς δὲ κατὰ Θεὸν ἔργοις καὶ λόγοις ὁμότροπος, ὁ τῶν Ἀλεξανδρέων μέγας ποιμὴν Ἀθανάσιος ἐν ᾗ ποιεῖται διαλέξει Ὀρθοδόξου καὶ Μακεδονιανοῦ, περὶ τοῦ *πηγάζει* τάδε συντίθησι· « Μή μοι γένοιτο εἰπεῖν ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀθάνατον, οὔτε ἄλλο τι τῶν περὶ Θεὸν θεωρουμένων λέγω εἶναι ἐπίκτητον τῷ ἁγίῳ Πνεύματι· ἀλλὰ φύσει ἅγιον, φύσει ἀγαθὸν, φύσει ἄφθαρτον ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον. » Τῶν οὖν Πνευματομάχων, ὡς τὰ τοῦ λόγου διὰ βραχέων ἀνακεφαλαιώσωμεν, ἐκ τοῦ τὴν δυάδα τῶν ὑποστάσεων ἐκ τῆς πατρικῆς οὐσίας θεολογεῖσθαι ἀδελφικὴν ὁμοουσιότητα συναγόντων, καὶ, Ποῦ τὸ μονογενές; ἀντιπαρατιθεμένων, κἀντεῦθεν ὡς τοῦτο τηροῖτο, μὴ ἐκ τῆς οὐσίας εἶναι τῆς πατρικῆς, ἀλλ' εἰς τὴν κτίσιν καταγόντων Πνεῦμα τὸ ἅγιον, καὶ τῶν θεοπροβλήτων διδασκάλων τὴν ἀποσόβησιν τῇδε τῆς βλασφημίας παραδιδόντων, ἐκ τοῦ τὸν μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς δογματίζεσθαι, τὸ δὲ Πνεῦμα ἐκ τῆς αὐτῆς ἀμφοτέρων οὐσίας, καὶ οὖν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, ἐντεῦθέν τε τὸ μονογενὲς ἀναμφιβόλως τηρεῖσθαι, καὶ τὸ τῆς ἀδελφικῆς ὁμοφυΐας ἀποβραπίζεσθαι, ἔτι τε τὴν *ἐκπορεύεται* λέξιν βλασφημιζόντων, ὡς τοῦτ' αὐτὸ παριστῶσαν, οὕτω μὲν ἐκ τοῦ Πατρὸς τὸν Υἱὸν, οὕτω δὲ ἐξ ἀμφοῖν τὸ Πνεῦμα προέρχεσθαι, τοῦτο γὰρ ὁ ἄλλος τρόπος τῆς ὑπάρξεως, καὶ διάφορος, καὶ τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » καὶ λοιπὰς ἑτέρας φωνὰς τῆς αὐτῆς διανοίας, διευκρινούν-

Spiritus : neque enim contra vertitur habitualis ista sequela. » Cum vero subsequantur quam plurima alia testimonia, quæ similem sententiam verbis supra jam digestis expositam comprobent, nonnulla ab iisdem non dissimilia afferemus, reliqua prætereuntes, ne eadem repetendo sermonem in longum protrahamus, licet ex supra tenuiter adductis dictionum pares vires demonstrentur. Hinc ex gratia sibi nomen vindicans Chrysostomus oratione in Pentecosten hæc habet : « Quæ autem vis est verbi *procedit*? Ut generationis nomen præteriret Scriptura, ne Filium illum vocaret, dicit : *Spiritum sanctum, qui ex Patre procedit*. Introducit ipsum procedentem, ut aquam e fonte exsilientem, sicuti dictum est de paradiso : *Fluvius procedit ex Eden* [a]. Procedit, et exsilit dicens divinus hic mysteriorum collector, verbi *procedit* vim esse dictitat, ut per illud *generationis* nomen præteriret Scriptura, et non Filium Spiritum demonstraret, quæ postmodum subsecuti pietatis propugnatores dictionis finitionem statuerunt, alium hunc modum exsistentiæ ab eo qui generationis est, ac diversum nuncupantes, tandem in eodem loco ponit *procedit* et *exsilit*, tanquam quæ ambo modum diversum exsistentiæ inferunt. *Exsilire* porro et de Filio in multis ac sæpissime Scripturam usurpare agnosci, palam facit, qui Chrysostomo grandior ætate, erga Deum vero rebus gestis et sermonibus concors magnus Alexandrinorum pastor Athanasius, in colloquio, quod ille concinnavit, Orthodoxi et Macedoniani, de verbo *exsilire* hæc scribit : « Absit ut ipse dicam adventitium quid esse in Spiritu sancto. Neque enim sanctum, neque incorruptibile, neque immortale, neque aliud quidpiam quod de Deo consideretur, dico esse adventitium Spiritui sancto; sed natura sanctum, natura bonum, natura incorruptibilem, uti Spiritum Dei, et ex ipso exsilientem, sive procedentem. » Cum itaque Pneumatomachi, ut orationem brevioribus terminis præcludamus, quod duplex hypostasis ex essentia paterna exsilire diceretur, fraternam consubstantialitatem colligerent, contraque opponerent quærentes, Ubinam unigenitum fuerit? indeque ut id conservaretur, non ex essentia paterna, sed in creaturam Spiritum sanctum deferrent, et cum a Deo instituti magistri blasphemiam similem repellerent, quod Filius ex Patris essentia decerneretur, Spiritus ex eadem utriusque essentia, rursusque ex Patre per Filium, indeque unigenitum absque ulla hæsitatione conservaretur, et fraterna connaturalitas relegaretur; prætereaque dictionem *procedit* interpretarentur, hoc idem notare, sic quidem ex Patre Filium, sic item ex ambobus Spiritum egredi; id enim alius modus exsistentiæ est, et diversus, necnon et illud: « De meo accipiet, » et reliquas alias ejusdem significatus voces, exponerent, et Filium nullo modo servile ministerium exolere,

[a] Gen. II, 10

Digitized by Google Распознавание текста АВК/FR

in ea quæ per ipsum est, missione, suppeditatione, et datione Spiritus, et non extraneum esse illi, discursu hoc theologico declararent, qui neque ex Filio, neque per Filium Spiritum sanctum secundum hunc deprædicatum ad esse ejusdem progressum sempiternum prorsus vel auribus percipere non sustinebant, quin blasphemiæ notam id asserentibus inurebant, quonam deferantur et ex quibus decidant, qui Dei timorem in præcordiis fovent, minime addubitant. Nihilominus uno ex Epiphani in rebus divinis præclarissimi dicto, quod brevibus fusius sparsimque exposita comprehendit, apposito, in alia divertemur. Hic enim ubi Spiritum ab utrisque decerpit, etiam hæc implicat : « Spiritus sanctus non frater fratris, non patris frater, sed ex eadem essentia Patris et Filii. Ipse enim Unigenitus dicit : *Spiritus Patris, et qui ex Patre procedit* et, *De meo accipiet.* » Illud « qui ex Patre procedit, » necnon illud, « De meo accipiet, » unum idemque significare probans palam ostendit, et illud ex utroque confirmat, et adversariorum inde fraternas conclusiones refellit, et Spiritum extraneum non intelligi, uti in Patre, ita inde et in Filio manifestissime docet.

A των, καὶ τὸ μὴ ὑπουργικὴν τὸν Υἱὸν διακονίαν ἀποπληροῦν ἐν τῇ δι' αὐτοῦ ἀποστολῇ καὶ χορηγίᾳ καὶ δόσει τοῦ Πνεύματος, καὶ τὸ μὴ ἀλλότριον αὐτοῦ τοῦτο ὑπάρχειν ἐκ τῆς οὕτω διατρανουμένης θεολογίας διασαφούντων, οἱ μήτε ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ Πνεῦμα τὸ θεῖον κατὰ τὴν οὕτω κηρυττομένην εἰς τὸ εἶναι πρόοδον αὐτοῦ τὴν ἀΐδιον ἀνεχόμενοι τὸ παράπαν ἀκοῦσαι, ἀλλὰ καὶ βλασφημίαν τοῖς φωνοῦσι προσεπιτρίβοντες, ὅπηπερ ἀπάγονται, καὶ πῇ καὶ τίνων καταφέρονται, Θεοῦ δέος οἷς ἐστι τοῖς ἐγκάτοις κυοφορούμενον, οὐκ ἀμφίβολον. Πλὴν μίαν τινὰ τῶν ῥήσεων ἔτι τοῦ τὰ θεῖα περιφανοῦς Ἐπιφανίου θέμενοι τῆς ἀνακεφαλαιώσεως ταύτης δι' ὀλίγων συλληπτικὴν, εἰς ἕτερα προχωρήσομεν. Ἔνθα καὶ γὰρ οὗτος τὸ Πνεῦμα παρ' ἀμφοτέρων θεολογεῖ, καὶ ταῦτά φησι· « Πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Καὶ αὐτὸς γὰρ ὁ Μονογενὴς λέγει, *Τὸ Πνεῦμα τοῦ Πατρὸς*, καὶ, *Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον*, καὶ, *Ἐκ τοῦ ἐμοῦ λήψεται.* » Τὸ, « ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, » καὶ τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » τῆς αὐτῆς καὶ μιᾶς ἐννοίας κατασκευάζων δεῖκνυσιν ἐμφανῶς, καὶ τὸ « ἐξ ἀμφοῖν » καὶ αὐθις διαγγέλλει, καὶ τὰς ἀδελφικὰς ἐντεῦθεν ἀπωθεῖται συμπερατώσεις τῶν ἀντιδίξων, καὶ τὸ μὴ ἀλλότριον νομισθῆναι τὸ Πνεῦμα ὡς ἐπὶ τοῦ Πατρὸς, οὕτως ἐντεῦθεν ἐπὶ τοῦ Υἱοῦ διδάσκει σαφέστατα.

8. Cum ergo ad hæc adducti sumus, quorum causa de missione, et unctione et similibus Dei et hominis Verbi a Spiritu attulimus magnos pietatis vindices Athanasium multis certaminibus clarum, et rerum cœlestium visione præcellentem Dionysium, sed potissimum hunc proxime relatum, necessarium est, alterius quoque cui est ex immortalitate nomen, dicta discutere. Quare considerandum est, quanam ratione hic postquam ostendisset, Dominum inungi a Spiritu secundum humanitatem, et postmodum dixisset, « in spiritu Dei ipsum ejicere dæmonia, » et hæc dum alloqueretur Judæos, sonore admodum infit : « Discipulis vero divinitatem et magnitudinem suam ostendens, non ultra minorem semetipsum Spiritu, sed majorem et æqualem esse significans dabat Spiritum dicebatque : *Ego mittam*, et, *Ille me clarificabit, et quæcunque audiet loquetur.* » Missio ergo atque datio Filii secundum carnem a Spiritu est, Spiritus vero a Filio secundum divinæ gloriæ magnitudinem. Et licet contritis corde medicinam afferre, hoc est, animorum morbos sanare, divinitatis sit, non est quod impediat missionem. Duplex enim erat, qui similia operabatur, cum et in ipsa cruce duplicis actionis opera fecisse, terræ motum, obscurationem solis, et veli scissionem, et rursus quæ sitis erant, et reliqua humanitatis planum apertumque sit. Hic porro quænam ratio est, ob quam major est Spiritu Filius? dicant qui mutuo sese et alternatim utrasque hypostases mittere nova scribendi dicacitate secundum divinitatem definiunt, indeque ex Filio et per Filium prorsus amandant. Etenim si hoc amandare non rejiciant, quo igitur significatu dictionem

η'. Ἐπεὶ τοίνυν εἰς ταῦτα προήχθημεν ἐξ ὧν περὶ ἀποστολῆς καὶ χρίσεως καὶ τῶν τοιούτων τοῦ θεανθρώπου Λόγου παρὰ τοῦ Πνεύματος παρεθήκαμεν, εἰς μέσον παραγαγόντες τοὺς μεγάλους προηγόρους τῆς εὐσεβείας Ἀθανάσιον τὸν πολύαθλον, καὶ τὸν τῶν οὐρανίων ἐπόπτην Διονύσιον, τὸν πολὺν, ἐκ τῶν τοῦδε καὶ μᾶλλον τοῦ σύνεγγυς. Ἀναγκαῖον δὲ καὶ τὰ τοῦ ἑτέρου τοῦ τῆς ἀθανασίας ἐπωνύμου κατεξετάσαι. Σκεπτέον ἄρα πῶς ὅδε μετὰ τὸ δεῖξαι τὸν Κύριον χρίεσθαι πνρὰ τοῦ Πνεύματος κατὰ τὸ ἀνθρώπινον, καὶ μετὰ τὸ οὕτω λέγειν, « ἐν Πνεύματι Θεοῦ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια, » καὶ μετὰ τὸ διαλέγεσθαι τοιουτοτρόπως τοῖς Ἰουδαίοις, φάσκει διαπρυσίως· « Τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ τὴν μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγεν· *Ἐγὼ ἀποστελῶ, κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει.* » Ὅτι μὲν οὖν ἀποστολὴ καὶ δόσις Υἱοῦ μὲν κατὰ τὴν σάρκα παρὰ τοῦ Πνεύματος, ταῦτα δὲ τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ κατὰ τὴν τῆς θείας δόξης μεγαλειότητα, καὶ ὅτι τὸ ἰᾶσθαι τοὺς συντετριμμένους τὴν καρδίαν, τουτέστι τὰ τῶν ψυχῶν πάθη θεραπεύειν τῆς θεότητος ὂν, οὐδὲν ἔχει τὸ κωλύον πρὸς τὰ τῆς ἀποστολῆς. Διπλοῦς γὰρ ἦν ὁ ταῦτα δρῶν. Ἐπεὶ καὶ ἐν αὐτῷ τῷ σταυρῷ τὰ τῆς διπλῆς ἐνεργείας ἐνήργει, τὸν τῆς γῆς κλόνον, τὸν σκοτασμὸν τοῦ ἡλίου, τὴν τοῦ καταπετάσματος ῥῆξιν, καὶ αὖ τὰ τῆς δίψης, καὶ λοιπὰ τὰ τῆς ἀνθρωπότητος καὶ θεότητος, πρόδηλον καὶ καταφανές. Τί; δὲ λόγος ἐνταῦθα, καθ' ὃν καὶ πῶς μείζων τοῦ Πνεύματος; ὁ Υἱός; εἰπάτωσαν οἱ τῆς μοίρας τοῦ ἀποστέλλειν ἑκατέρας ὑποστάσεις ἀλλήλας ἀμοιβαδὸν καινογραφικῶς κατὰ τὴν θεότητα δογματίσαντες,

Digitized by Google Распознавание текста АВК/FR

κάντεῦθεν τὸ ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ εἶναι τὸ Πνεῦμα τέλεον ἀπωθούμενοι. Εἰ μὴ γὰρ τὸ ἀπωθεῖσθαι ἀπώσονται, καθ' ὁποῖον ἄρα τῶν σημαινομένων *τοῦ μείζονος* αὐτὸ λήψονται, χρημνὸν οὐχ ἕξουσιν ἐξαλύξαι τὸν τῆς ἀκροτάτης δυσφημίας οὐδοπωσοῦν. Καίτοι καθαρῶς ὁ ἱερομύστης « μείζονα τοῦ Πνεύματος τὸν Υἱὸν » φήσας, καὶ ἴσον εἴρηκε παρευθύς. Καὶ ἐφεξῆς ἐπήγαγεν, « Ἐδίδου τὸ Πνεῦμα, καὶ ἔλεγεν, « *Ἐγὼ ἀποστελῶ*, » διαφανέστατα παριστάνων, ὅτι ὥσπερ ἡ αὐτοσοφία τὸν Πατέρα μείζονα καὶ ἴσον ἑαυτοῦ σαφῶς ἐμυσταγώγησεν ἐν Εὐαγγελίοις εἰποῦν, « Ὁ Πατήρ μου μείζων μού ἐστι, » καὶ πάλιν, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » οὕτως ἐνθάδε διδοὺς τὸ Πνεῦμα κατὰ τὴν θεότητα καὶ ἀποστέλλων, μείζονα τούτου καὶ ἴσον ἑαυτὸν ἀριδήλως ἐσήμανε· καὶ ὡς ἐκεῖ τὸ ἴσον, οὕτω κάνταῦθα κατὰ τὸ τῆς φύσεως ἀπαράλλακτον, τὸ δὲ μεῖζον κατ' ἰδιότητα τὴν, ὅτι περ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, ἀλλ' οὐκ ἐκ τούτου Πατὴρ, τοῦτο γὰρ ἰδιότης, καὶ τὴν ὅτι περ ἐκ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ οὐχὶ τὸ ἀνάπαλιν. Ὅθεν ὡς ἀποστολὴ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς οὐ καθ' αὑτὴν ἔχουσα τὸ δηλοῦν τὴν ἐκ τοῦ Πατρὸς ὑπέρχρονον ὕπαρξιν τοῦ Υἱοῦ τῶν ἐγχρόνων ὡς οὖσα καὶ πρὸς τὴν κτίσιν. Ὡς δ' ἑπομένη τῇδε τῇ ὑπὲρ *χρόνον*, καὶ *παρὰ* τοῦτο τεκμήριον αὐτῆς πεφυκυῖα, ἔχει μὲν τὸ εἶναι καὶ λέγεσθαι τοῦ Υἱοῦ *παρὰ* τοῦ Πατρὸς, ἥκιστα δὲ καὶ τοῦ Πατρὸς *παρὰ* τοῦ Υἱοῦ· οὕτως ἀποστολὴ τοῦ Πνεύματος *παρὰ* τοῦ Υἱοῦ κατὰ τὸν αὐτὸν λόγον θεωρουμένη ἔστι τε καὶ λέγεται *παρὰ* τοῦ Υἱοῦ, ἀλλ' οὐ δήπου τοῦ Υἱοῦ τοπαράπαν *παρὰ* τοῦ Πνεύματος κατὰ τὴν θεότητα. Ὅ γε μὴν αὐτὸς ὁ τῆς ὁμολογίας ἀκρέμων Ἀθανάσιος, ὅτι ταῦθ' οὕτως ἔχει, καὶ τὸ *μεῖζον* ὡς ἐπὶ Πατρὸς καὶ Υἱοῦ, οὕτως ἐπὶ Υἱοῦ καὶ Πνεύματος κατ' ἰδιότητα τὴν διειλημμένην ἐθεολόγησεν, ἔκ τε ῥήσεως ταύτης, καὶ ἐφ' ὧν ἐν πλείσταις αὐτοῦ θεηγορίαις διασαφεῖ, δείκνυσι καθαρῶς, νῦν δὲ μόνως ἐξ ὧν φησιν ἐν ἐπιστολαῖς ταῖς πρὸς Σεραπίωνα βεβαιώσειε. Ταύταις γὰρ εἰρηκὼς, « Τοιαύτην τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, ὁποίαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, » ἐν αὐταῖς αὖθις διαγορεύει· « Οἶαν γὰρ ἐγνωμεν ἰδιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ταύτην ἔχειν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν εὑρήσομεν. » Καὶ πάλιν· « Ὥσπερ γὰρ ἐν ἰδίᾳ εἰκόνι ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πνεύματι, οὕτω καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. » Καὶ μετά τινα· « Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα. Οὗς γὰρ ἔγνω προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. » Καὶ ὁ φερωνυμῶν ἐκ τῶν ἔργων Γρηγόριος ὁ Θαυματουργὸς ἐν τῇ τῆς αὐτοῦ δογματικῆς Ἀποκαλύψεως μυήσει, « Τοῦ Πατρὸς εἰκων, » φησὶν, « ὁ Υἱὸς, » καὶ μετὰ βραχὺ, « Εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα, τελείου τελεία· » καὶ πολλαχοῦ τοῦτο τῆς θείας Γραφῆς, « τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, » καὶ οὐ δήπου τοῦ Υἱοῦ εἰκὼν ὁ Πατὴρ, οὐδέ γε τοῦ Πνεύματος ὁ Υἱὸς, καὶ ταῦτα τῶν τριῶν οὐσίας οὔσης μιᾶς· καίτοι εἰ διὰ ταύτην ἐλέγετο τάδε, καὶ οὐ διὰ τὴν λελεγμένην ἰδιότητα προόδου τῆς φυσικῆς, ἀδιαφόρως ἂν θατέρου θάτερον ἐκαλεῖτο εἰκὼν, ἀλλ'

majorem accipient? Certe extremæ blasphemiæ præcipitium effugere nullo modo poterunt. Et tamen perspicue hieromysta « majorem Spiritu Filium » dicens, *æqualem* perquam subito nuncupavit, et postmodum subjunxit, « Tradebat Spiritum et dicebat: *Ego mittam*, » manifestissime comprobans, uti ipsa Sapientia Patrem majorem et æqualem sui palam edocuit in Evangeliis dicens: « Pater meus major me est; » rursusque: « Ego et Pater unum sumus, » ita et hic Spiritum porrigens secundum divinitatem, et mittens majorem illo et æqualem semetipsum plane enuntiavit: et uti ibi æquale, ita et hic secundum naturæ per omnia simile, majus vero secundum proprietatem, quod Filius ex Patre est, non autem ex Filio Pater. Hæc enim proprietas est, qua ex Filio et per Filium Spiritus est, et non vice versa. Unde missio Filii a Patre non ex seipsa habet, neque ostendit sempiternam ex Patre exsistentiam Filii, cum in tempore sit et ad creaturas. Uti vero consequitur eam quæ supra omne tempus est, et secundum illud eam esse indicium est, habetque quod sit et dicatur Filii a Patre, sed non item Patris a Filio, pari modo missio Spiritus a Filio secundum eamdem considerationem agnita, est diciturque a Filio, at non item prorsus Filii a Spiritu secundum divinitatem. Et eumdem confessionis apicem Athanasium, hæc ita se habere, et *majus* uti de Patre et Filio, ita et de Filio et Spiritu secundum jam expositam proprietatem decrevisse, et ex hoc dicto et ex aliis plurimis in suis divinis commentariis inspersis perspicue apparet, nunc vero solum ex iis quæ in epistolis ad Serapionem decernit; namque cum illis dicat: « Eumdem ordinem et naturam cum habeat Spiritus erga Filium, quam habet Filius erga Patrem, » in iisdem iterum repetat: « Quam enim agnoscimus proprietatem Filii erga Patrem, eamdem habere Spiritum erga Filium reperiemus. » Rursusque: « Veluti in propria imagine est Filius in Spiritu, non alio modo est Pater in Filio. » Nec post multa: « Imago Filii dicitur et est Spiritus; quos enim cognovit et prædeterminavit conformes imaginis Filii sui. » Et qui operibus nomine non inferior est Gregorius Thaumaturgus, in suæ dogmaticæ revelationis initiatione, « Patris imago, ait, Filius, » nec multo post: « Imago Filii Spiritus, perfecti perfecta. » Et passim in divinis Litteris legitur, « Patris Filius, et Filii Spiritus, » nec ullo in loco, Filii imago Pater est, neque Spiritus Filii, licet horum trium una essentia sit, quamvis si ob hanc ista affirmarentur et non ob jam dictam proprietatem naturalis progressus, indifferenter alterum alterius imago nuncuparetur. Verumtamen hæc non sunt, neque dicuntur. Imago enim Filius est illius, ex quo est, Patris sententia Gregorii in rebus theologicis magni. Cum enim supra eam consubstantiale posuisset, statim subintulit: « Et quod hoc inde est, non item ex hoc Pater, » ipsam inter se congruentiam adaptans, cum et consubstantiale

Digitized by Google Распознавание текста ABBYY FR

inde sit, quod ex essentia Patris Filius sit, non item ex essentia ob consubstantiale, de quo supra tenuiter pertractavimus, quod fusius aliis nostris sermonibus peregimus, quanta sit eorum absurditas ostendentes, qui secundum affirmant. Imago similiter Filii Spiritus est tanquam qui ex ipso, et per ipsum secundum imaginis traditionem est. Si vero illius ex quo, quod ex eo est, secundum nostros divinos interpretes et duces imago est, quod ex hoc quodam non fuerit, neque imago illius fuerit ex quo non est. Proptereaque neque Pater imago Filii est, quod ex ipso non est, sed quod hoc inde est, ut theologorum apices decernunt, secundum hanc eamdem rationem Spiritus imago Filius neque est, neque dicitur. Sed Filii quidem archetypum est Pater, Spiritus vero prototypus est Filius. Unde qui a miris edendis cognomen sibi vindicavit Neocæsariensis antistes, oratione cujus principium : « Inimicissimi et alieni ab apostolica confessione sunt, qui Filium ex iis quæ non sunt asserunt, » — « Filii Pater principium est, ait, ab æterno eum generans, et Dominus est prototypus Spiritus. » Hæc divinorum mysteriorum collectores secundum ordinem sempiternarum exsistentiarum divinitatis principum hypostaseon tradentes, et : « Uti Filius erga Patrem se habet, ita erga Filium Spiritus, » aperte enuntiantes, rursusque, « Uti Patris, ita et Filii Spiritum secundum eorumdem ad esse progressum » decernentes, « communem Patris et Filii, proprium Patris et Filii » admodum perspicue enuntiantes, determinant illum ex ambobus, aut ex Patre per Filium. Hinc et Maximus confessione sua vere celeberrimus, dum exponit quid sibi velit apud prophetam Zachariam aureum candelabrum, et super illud parva lampas et lucernæ, palam aperteque pronuntiat : « Spiritus sanctus quemadmodum natura secundum essentiam est Dei et Patris, ita et Filii secundum essentiam est, » nec aliud interponens prosequitur, « Tanquam qui ex Patre essentialiter per Filium genitum modo, qui verbis exprimi non potest, procedit. » Et divinus Cyrillus in dictum : « Vidi Spiritum descendentem quasi columbam de cœlo [10], » inter alia dicit, « Uti est Patris, ita quoque est Filii Spiritus sanctus. » Et in illud : « Et ego rogabo Patrem, et alium Paracletum dabit vobis [11], » scribit, « Dei et Patris naturalium bonorum essentialiter cum Filius particeps sit, habet Spiritum eo ipso modo, quo eum habere Pater intelligitur. » Et in iis quæ ad Palladium dedit, affirmans : « Mutabilis vero nullo modo Spiritus est ; quodsi mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret, si est Dei et Patris, præterea et Filii, » illico subjungit, « Essentialiter ex ambobus, ex Patre scilicet per Filium effusus Spiritus sanctus. » Idem diviniloquus cum aliis divinis Patribus, « Proprium Patris Spiritum esse astruit, proprium Filii, proprium amborum. »

οὐκ ἔστιν, οὔτε λέγεται. Εἰκὼν γὰρ ὁ Υἱὸς ἐκείνου ἐξ οὗπέρ ἐστι τοῦ Πατρός, κατὰ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον. Θεὶς γὰρ τὸ ὁμοούσιον ἐπ' αὐτῆς, εὐθὺς ἐπήγαγε, « Καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ » τὸ καταλλήλως ἔχον ἁρμόσας. Ἐπεὶ καὶ τὸ ὁμοούσιον ἐντεῦθεν ἀπὸ τοῦ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι, καὶ ἥκιστα τὸ ἐκ τῆς οὐσίας διὰ τὸ ὁμοούσιον, περὶ οὗ ἀνωτέρω διειλήφαμεν ἀμυδρῶς, ἀλλαχοῦ δὲ τῶν ἡμετέρων λόγων πλατύτερον τὴν ἀτοπίαν ὅση τις δεδειχότες τῶν συνιστώντων τὸ δεύτερον. Εἰκὼν ὡσαύτως τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς ἐξ αὐτοῦ τε καὶ δι' αὐτοῦ κατὰ τὴν τῆς εἰκόνος παράδοσιν. Εἰ δὲ τοῦ ἐξ οὗ τὸ ἐξ αὐτοῦ εἰκὼν κατὰ τοὺς τῶν θείων ὑφηγητάς, τὸ μὴ ἐκ τοῦδέ τινος ὄν, οὐδ' εἰκὼν ἂν εἴη τοῦ μὴ ἐξ οὗ ἐστι. Διὰ τοῦτο οὔθ' ὁ Πατὴρ εἰκὼν τοῦ Υἱοῦ, ἐπεὶ μὴ ἐξ αὐτοῦ, ἀλλ' ὅτι τοῦτο ἐκεῖθεν, ὡς ἡ τῶν θεολόγων ἀκρότης, οὔτε κατὰ τὸν αὐτὸν λόγον τοῦ Πνεύματος εἰκὼν ὁ Υἱός, οὔτ' εἰσὶν, οὔτε λέγονται. Ἀλλὰ τοῦ μὲν Υἱοῦ ἀρχέτυπον ὁ Πατὴρ, τοῦ δὲ Πνεύματος πρωτότυπος ὁ Υἱός. Ὅθεν ὁ τοῖς θαύμασι φερώνυμος Νεοκαισαρείας ποιμὴν ἐν λόγῳ οὗ ἡ ἀρχὴ, « Ἐχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, » — « Ἀρχὴ, » φησὶ, « τοῦ Υἱοῦ ὁ Πατὴρ, ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος. » Ταῦτά γε μὴν οἱ θεόληπτοι μυστολέκται κατὰ τὴν τάξιν τῶν ἀϊδίων ὑπάρξεων τῶν θεαρχικῶν ὑποστάσεων παραδιδόντες, καὶ, « Ὡς ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, οὕτω πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα, » τρανοῦντες, καὶ αὖθις, « ὡς τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα κατὰ τὴν αὐτῶν εἰς τὸ εἶναι πρόοδον » δογματίζουσι, κοινὸν Πατρὸς καὶ Υἱοῦ, ἴδιον Πατρὸς καὶ Υἱοῦ θεολογοῦντες φανότατα κἀκ τῶνδε διευκρινοῦντες τὸ ἐξ ἀμφοῖν, ἢ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ. Ὅθεν Μάξιμος μὲν ὁ τὴν ὁμολογίαν ἀγακλὴς, ἐν οἷς ἑρμηνεύει, τί βούλεται δῆτα τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία καὶ τὸ ἐπ' αὐτῇ λαμπάδιον, καὶ οἱ λύχνοι, διαῤῥήδην ἀνακηρύττει, « Τὸ Πνεῦμα τὸ ἅγιον ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ κατ' οὐσίαν ἐστὶ, » συνημμένως ἐπάγων, « Ὡς ἐκ τοῦ Πατρὸς οὐσιωδῶς δι' Υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. » Κύριλλος δ' ὁ θεσπέσιος εἰς τὸ ῥητὸν τὸ, ὅτι « Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, » εἰρηκὼς πρὸς τοῖς ἄλλοις, « Ὥσπερ γὰρ τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, » εἶς τε τὸ, « Κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, » φάμενος, « Τῶν τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν νοοῖτο καὶ ὁ Πατὴρ, » κἀν τοῖς πρὸς Παλλάδιον οὕτω θεολογήσας, « Τρεπτὸν δὲ οὔ τοί που τὸ Πνεῦμά ἐστιν· ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, » παρευθὺς ἐπισυνάπτει τὸ, « οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ

[10] Matth. III, 16. [11] Joan. XIV, 16.

Digitized by Google Распознавание текста АВК/FR

Πατρὸς δι' Υἱοῦ προχεόμενον ἅγιον Πνεῦμα. » Ὁ A αὐτὸς θεορρήμων σὺν λοιποῖς τῶν θεοφορήτων, « ἴδιον Πατρὸς τὸ Πνεῦμα » διδάσκει, « ἴδιον Υἱοῦ, ἴδιον ἀμφοῖν. » Ἐν γοῦν ἕκτῳ τῶν πρὸς Ἑρμείαν ὡς ἐν ἐρωτήσει πρὸς αὐτὸν τὸν λόγον ποιούμενος διέξεισιν οὑτωσί· « Τίνος ἴδιον φῶμεν τὸ Πνεῦμα τὸ ἅγιον εἶναι; πότερα δὴ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ γοῦν καὶ τοῦ Υἱοῦ, ἢ καὶ ἀνὰ μέρος ἑκατέρου καὶ ἀμφοῖν, ὡς ἐν ἐκ Πατρὸς δι' Υἱοῦ διὰ τὴν ταυτότητα τῆς οὐσίας; » Ἐν ἑρμηνείαις τοῦ κατὰ Ἰωάννην εἰς τὸ « Πνεῦμα τῆς ἀληθείας, » οὕτω διασαφεῖ· « Ἰδοὺ γὰρ, ἰδοὺ Πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύεσθαί φησιν. Ὥσπερ γάρ ἐστι Πνεῦμα ἴδιον τοῦ Υἱοῦ, φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός· οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. » Καὶ ἀλλαχοῦ πλειστάκις ἴδιον ἀμφοῖν ἡνωμένως καὶ ἀνὰ μέρος διαγορεύει. Πνεύματος δ' ὁ Πατὴρ ἴδιος, ἢ ὁ Υἱὸς ὁπουδηποτοῦν οὐκ ἔστι. Καθ' ὃν ἄρα λόγον, ὃν ἡ εἰκὼν, καθ' ὃν ἡ ἀποστολὴ, ὅτι μὴ κατὰ τὴν δι' ἡμᾶς οἰκονομίαν, καθ' ἣν ἡ χορηγία καὶ δόσις καὶ τὰ τοῖσδε σύστοιχα, καὶ ὡς ἐπ' ἐκείνοις φωτοβολεῖται, καὶ τὸ τῆς ἀντιστροφῆς ἔχειν παρείσδυσιν ἐκ τῶν θεοσόφων μυσταγωγῶν, τοῖς αὐτοῖς οὕτως ἐνταῦθα μυσταγωγεῖται μὴ τοῦτ' αὐτὸ πεφυκέναι παῤῥησιάζεσθαι. Ὁ σύνεγγυς τοίνυν ἔνθεος μυστηπόλος τὸ ἴδιον ὅπως ἐπὶ τῆς θεότητος διευλυτούμενόν ἐστι φράζων ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ, « Καταφλυαροῦσί τινες, ὡς μανθάνω, τῆς ἐμῆς ὑπολήψεως, » φησίν· « Ὥσπερ γὰρ ἴδιον ἀνθρώπου καὶ μὴν ἑκάστου τῶν ἑτέρων ζώων τὸ ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον, οὕτως ἴδιον Θεοῦ τὸ ἐκ τῆς οὐσίας νοοῖτ' ἂν εἶναι καὶ λέγοιτο. » Πρόδηλον οὐκοῦν ὅτι καθὼς τοῦ Πατρὸς ἰδιόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὄν, οὕτω καὶ τοῦ Υἱοῦ ἴδιον, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὑπάρχον. Καὶ τοῦτο φανεροῦσιν ἥ τε καθαρότης τῆς διευλυτώσεως *τοῦ ἰδίου* παρὰ τοῦ αὐτοῦ θεηγόρου καὶ παραδόσεις αἱ διδασκαλικαὶ τοῦ αὐτοῦ, « Ὥσπερ τοῦ Πατρὸς ἴδιον, οὕτω καὶ τοῦ Υἱοῦ, » διαγγέλλουσαι· ἀλλὰ καὶ λοιπαὶ τούτου ῥήσεις αἱ ἄνω τεθειμέναι τὸ μὴ ἀλλότριον Υἱοῦ Πνεῦμα, ἀλλὰ τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ ἐκ τῆς δόσεώς τε καὶ πέμψεως διατόρως ἀνακηρύττουσαι. Καὶ νῦν τῆς ἐγγύς που διαληφθείσης ῥήσεως βραχείας εἰς τὸ, ὅτι « Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον, » τὴν ἀγχοῦ διηγορευμένην τε καὶ τεθεῖσαν ἐνταῦθα θέντες τὸ ἱκανὸν ἔξομεν, ἢ καὶ κατ' ἔπος οὕτω διέξεισιν, « Ἀπαράλλακτος ἡ τοῦ Χριτοῦ ὁμοιότης πρὸς τὸ ἴδιον αὐτοῦ καὶ παρ' αὐτοῦ προχεόμενον Πνεῦμα, » παραδραμόντες ἑτέρας οὐκ ὀλίγας, ἀλλὰ συχνάς.

θ'. Οὐ μὴν ἀλλὰ κἀκεῖνο θεωρητέον, πρό γε τῶν πεφθακότων ἐξετασθῆναι, περὶ ἀποστολῆς ἃ φησιν ὁ ἄκρος ταύτης ἐξεταστὴς, οὕτω δὴ διεξιών· « Ἀποστέλλει τις δοῦλον ἢ υἱὸν παρ' ἄλλου τοῦτο λαβὼν, ἢ καὶ αὐτὸς ἔχων. Σκοπήσωμεν τοίνυν τίνα θεσπίζει τὸ σεπτὸν Εὐαγγέλιον περὶ πέμψεως. Ἰωάννης μὲν ἡ τῆς θεολογίας ἀκρώρεια ὡς ἐκ προσώπου τοῦ Χριστοῦ φάσκει· « Τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ Πατήρ με ἀπέστειλε, καὶ ὁ

In sexto itaque ad Hermiam, quasi ipsum interrogaret, ita sermonem concinnat : « Cujus proprium dicemus Spiritum sanctum esse, soliusne Dei et Patris, anne etiam et Filii, vel separatim utriusque, et amborum, tanquam unum ex Patre per Filium propter unum essentiæ? » In expositionibus in Evangelium Joannis in illud : « Spiritus veritatis, » ita explicat : « Ecce enim, ecce Spiritus veritatis, hoc est sui ipsius, cum Paracletum dixisset, a Patre eum procedere ait. Quemadmodum enim est Spiritus proprius Filii, naturaliter in ipso exsistens, et per ipsum progrediens, ita et Patris; quibus enim Spiritus communis est, iis plane prorsus, neque quæ essentiæ sunt, fuerint separata. » Et alibi sæpius proprium amborum conjunctim, et separatim fatetur. Spiritus vero Pater proprius aut Filius nullo in loco est. Illa igitur ratione, qua imago, qua missio, cum de œconomia propter nos sermo est, secundum quam suppeditatio, et datio et his affinia, et uti in illis quam perspicuum clarescit, conversionis locum esse, divinorum mystagogorum sententia, eorumdem hic quoque edocemur, hoc ipsum esse confidenter nimis non asserere. Proxime itaque laudatus divinus mysta *proprium* quo significatu in deitate accipiendum sit, explicans, oratione ad Nestorium, cujus principium : « Male quidem loquuntur de mea existimatione, » scribit, « Quemadmodum enim proprius hominis, necnon et aliorum singulorum animantium fetus, qui ex eo est secundum naturam, sic proprium Dei intelligetur esse, diceturque, quod ex essentia illius erit. » Manifestum itaque est, uti Patris proprius est Spiritus sanctus, quod ex essentia illius est, ita esse quoque Filii proprium, uti ex essentia illius exsistentem. Hocque plane declarant, tum puritas significatus *proprii* ab ipso divinitoquo tradita, tum doctorum enuntiata de eodem « uti Patris proprium, ita et Filii esse » essentia. Quin imo et reliqua alia ejusdem dicta supra digesta, quæ non esse alienum Spiritum a Filio, sed ex ipso, et proprium ipsius ex datione et missione aperta voce edicunt, et nunc ex proxime allato brevi testimonio in illud : « Vidi Spiritum descendentem, » quod paulo ante digessimus, nunc quoque hic apponentes, satis rei faciemus, quod verbis hisce exprimitur : « Similis in omnibus est Christi similitudo ad proprium ipsius et ab ipso profusum Spiritum, » omissis aliis non paucis, quæ frequenter occurrunt.

9. Sed illud quoque considerandum est, quod ante jam dicta examinari debuerat, quod nempe de missione tradit summus illius dijudicator, hunc in modum edisserens : « Mittit quispiam servum aut filium, ab alio id accipiens, aut a seipso habens. » Consideremus itaque quæ de missione venrandum Evangelium decernit. Joannes theologiæ summus apex ex persona Christi dicit : « Opera quæ ego facio, testimonium perhibent de me, quod Pater

Digitized by Google Распознавание текста ABK/FR

me misit, et qui misit me Pater ipse testimonium perhibuit de me [14]. » Rursusque idem quasi ex seipso de Paracleto, « Quem mittet Pater in nomine meo [15]; » iterumque uti ex Salvatore; « Si ego non abiero, Paracletus non veniet ad vos, si vero abiero, mittam illum ad vos [16]. » Et divinus Lucas : « Sexto mense, » ait, « missus est Gabriel de cœlo a Deo [17]. » Et vertex apostolorum clamat ad Hebræos : « Non omnes sunt administratorii spiritus in ministerium missi [18] ? » Sunt hæ apud sacram Scripturam missiones, partim Deo convenientes et intellectæ, et de divinis hypostasibus congruenter pronuntiatæ, partim ex Deo quidem, sed creaturis servisque adaptatæ. Hinc Filii a Patre missio signum est clarissimum ejusdem sempiternæ irradiationis, ex quo est, tanquam quæ perquam conspicue lucescens eam consequitur, eadem ipsa ratione qua consubstantiale splendorem, qui ex essentia est consequitur; nec quimus dicere ex essentia ob hanc eamdem causam respectu Filii. Namque Pater propter hoc idem esset ex essentia Filii. Sed potius quod ex essentia Patris Filius est, propterea Pater Filio et Patri Filius consubstantialis est : cum enim illud palam præcedat, necessario hoc sequi debet. Pari modo et missio sempiternam exsistentiam subsequens quæ in tempore est, ex ea quæ absque tempore est a Patre Filii manifestatur, tanquam qui ex essentia illius progreditur, indeque amborum connaturale intelligitur : neque conversionis locus est, cum nullo modo Pater ex essentia Filii sit. Non aliud est etiam missio Spiritus a Patre, licet modus illius ad exsistentiam progressus, ex quo est, diversus sit, cum a Filio quoque mitti Paracletum clarum sit. Qua ergo ratione consideratur missio ex Patre, eadem ipsa missio ex Filio intelligitur, si communis utriusque Spiritus Paracletus, et si uti Patris ita et Filii, et si uti proprius Patris ita et Filii proprius est, et si istæ Patrum sunt voces, et si ab illis tradita quæ supra posita est *proprii* significatus explicatio, ideoque cum mittitur Paracletus uti ex Patre, locum prorsus non habent ea quæ sunt conversionis, ob eam quam habet sequelam erga sempiternam exsistentiam, sic ex Filio eam intelligere ob eamdem seriem secundum divinitatis gloriam fieri nequit. Et tantum abest ut Christi missio ex Spiritu sit, neque enim fieri potest, ut ex Spiritu Christus sit, ut nec prorsus Christus Spiritus sit. Hinc in rebus theologicis eximius Nyssenus, homilia in orationem Dominicam cum statuisset, « unigenitum Filium ex Patre a divina Scriptura dici, nec ultra illius proprietatem extendi : Spiritum vero sanctum et ex Patre dici, et ex Filio esse astrui, » ex apostolico dicto illo, « Spiritus Christi, » illum ex Filio comprobat, dum dicit : « Si quis Spiritum Christi non habet, hic non est ejus [17-18], » statimque subdit : « Itaque Spiritus cum ex Deo sit, et Christi Spiritus est, » ma-

πέμψας με Πατὴρ αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ. » Καὶ πάλιν ὁ αὐτὸς ὡς ἐξ αὐτοῦ περὶ τοῦ Παρακλήτου, « Ὃν πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου · » καὶ αὖθις ὡς ἐκ τοῦ Σωτῆρος, « Ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς. » Ὁ δέ γε Λουκᾶς ὁ θεηγόρος, « Τῷ ἕκτῳ μηνί, » φησίν, « ἀπεστάλη Γαβριὴλ οὐρανόθεν ἐκ Θεοῦ. » Καὶ τῶν ἀποστόλων ὁ κορυφαῖος βοᾷ πρὸς Ἑβραίους · « Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα ; » Πέμψεις αὗται παρὰ τῇ θείᾳ Γραφῇ, αἱ μὲν θεοπρεπεῖς καὶ ταῖς θείαις ὑποστάσεσι καταλλήλως καὶ φωνούμεναι καὶ νοούμεναι, αἱ δὲ θεόθεν μὲν, κτίσμασι δὲ καὶ δούλοις προσφυῶς ἁρμοζόμεναι. Ὅθεν ἡ παρὰ Πατρὸς τοῦ Υἱοῦ πέμψις τεκμήριον ἀπαστράπτει τῆς ἐξ οὗ ἐστιν οὗτος ἀΐδιου τούτου ἐκλάμψεως, ὡς ἐπομένη ταύτῃ φωτοφανῶς, καὶ καθ' ὃν λόγον τὸ ὁμοούσιον τῇ ἐκ τῆς οὐσίας ἐπόμενον πέφυκε φρυκτωρίᾳ · καὶ οὐκ ἔστιν εἰπεῖν ἐκ τῆς οὐσίας δι' αὐτὸ τοῦτο πρὸς τὸν Υἱόν. Εἰ γὰρ ἂν ἦν οὕτω, καὶ ὁ Πατὴρ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ διὰ τοῦτο. Ἀλλ' ὅτι μᾶλλον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ὁ Υἱὸς, διὰ τοῦτο ὁ Πατὴρ τῷ Υἱῷ, καὶ τῷ Πατρὶ ὁ Υἱὸς ὁμοούσιος · ὡς ἐκείνου καθαρῶς ἡγουμένου ἐξ ἀνάγκης ἕπεσθαι τοῦτο, οὕτω καὶ πέμψις ἑπομένη τῇ προαιωνίῳ ὑπάρξει ἡ ἔγχρονος τῇ ἀχρόνῳ παρὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ τρανοῦται, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ προϊόντος · κἀντεῦθεν τὸ ὁμοφυὲς ἀμφοῖν θεωρεῖται, καὶ τὸ ἀντιστρέφον οὐκ ἔχει χώραν · ἐπεὶ μὴ ὁ Πατὴρ ὅλως ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὁπουδήποτε. Τὸ αὐτὸ καὶ πέμψις ἡ τοῦ Πνεύματος παρὰ τοῦ Πατρὸς, εἰ καὶ ὁ τρόπος τῆς εἰς τὸ εἶναι τούτου προόδου, ἐξ οὗπερ ἐστὶ διάφορος · ἐπεὶ δὲ καὶ παρὰ τοῦ Υἱοῦ πέμπεσθαι τὸν Παράκλητον ἐμφανές. Καθ' ὃν ἄρα λόγον ἡ ἐκ τοῦ Πατρὸς πέμψις, οὕτω καὶ ἡ ἐκ τοῦ Υἱοῦ, εἴπερ Πνεῦμα κοινὸν ἀμφοῖν ὁ Παράκλητος, καὶ εἴπερ ὡς τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ, καὶ εἴπερ ὡς ἴδιον τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ ἴδιον, καὶ εἴγε ταῦτα Πατέρων φωναὶ καὶ παραδεδομένη σφίσι, καὶ μικρὸν ἀνωτέρω κειμένη τῆς *τοῦ ἰδίου* σημασίας, ἀνάπτυξις · ἐφ' ᾧ καὶ τὸ πέμπεσθαι τὸν Παράκλητον ὡς ἐκ τοῦ Πατρὸς, δέξασθαι χώραν οὐκ ἔχει τὰ τῆς ἀντιστροφῆς ἐκ τῆς ἧς ἔσχεν ἀκολουθίας πρὸς τὴν ἀΐδιον ὕπαρξιν, οὕτως ἐκ τοῦ Υἱοῦ προσήκασθαι ταύτην ἐκ τῆς αὐτῆς ἀκολουθίας κατὰ τὴν τῆς θεότητος δόξαν ἀδύνατον. Καὶ οὐ μόνον Χριστοῦ πέμψις οὐκ ἔστιν ἐκ Πνεύματος, οὐ γὰρ ἐξὸν ἐκ Πνεύματος εἶναι Χριστὸν, ἀλλ' οὐδὲ μὴν ὅλως Χριστὸς Πνεύματος. Ὅθεν ὁ θεολογικώτατος Νύσσης ἐν τῇ ὁμιλίᾳ τῇ εἰς τὴν προσευχὴν Δεσποτικῆς παραδόσεως θεολογήσας ὡς, « Ὁ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς θείας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα · τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, » ἐξ αὐτῆς ῥήσεως ἀποστολικῆς τῆς *Πνεῦμα Χριστοῦ*,

[14] Joan. v, 36, 37. [15] Joan. xv, 26. [16] Joan. xvi, 7. [17] Luc. i, 26. [18] Hebr. i, 14. [17-18] Rom. viii, 9.

Digitized by Google Распознавание текста ABK/FR

παρὰ τοῦ Υἱοῦ τοῦτο κατασκευάζει, φάμενος, « Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, » καὶ συνημμένως ἐπάγει· « Οὐκοῦν τὸ μὲν Πνεῦμα ἐκ τοῦ Θεοῦ ὄν, καὶ Χριστοῦ Πνεῦμά ἐστιν, » ἀριδήλως σαφηνίζων, ὡς εἰ καὶ ἐκ τοῦ Πατρὸς ἑκάτερα ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, καὶ κοινὸν ἀμφοῖν τὸ ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐ κοινὸν καὶ τὸ ἐκ θατέρου θάτερον εἶναι κατὰ λόγον ἀντιστροφῆς. ἀλλὰ τὸ μὲν Πνεῦμα ἐκ τοῦ Θεοῦ ὄν, τουτέστιν ἐκ τοῦ Πατρὸς, καὶ Χριστοῦ Πνεῦμά ἐστι, διὸ καὶ ἐκ τοῦ Χριστοῦ κατὰ τὴν αὐτοῦ τοῦ μεγάλου ἐγγυτάτω κατασκευήν, ἐκ τοῦ Πνεῦμα Χριστοῦ θεολογεῖσθαι, τὸ καὶ ἐκ τοῦ Χριστοῦ εἶναι τρανώσαντος. « Ὁ δὲ Υἱὸς, » φησὶν, « ἐκ τοῦ Θεοῦ ὤν, οὐκέτι καὶ τοῦ Πνεύματος οὔτε ἔστιν, οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη. » Εἰ τοίνυν ὡς Πνεῦμα Χριστοῦ Πνεύματος λεχθῆναι Χριστὸς ἀντιστρόφως· ἐκ τῆς τοιᾶσδε φύσει σχετικῆς ἀκολουθίας οὐ δύναται, πῶς ἐξ αὐτῆς ὡς ἀποστολὴ παρὰ Χριστοῦ Πνεύματος, ἀποστολὴ παρὰ Πνεύματος ῥηθῆναι Χριστοῦ κατὰ τὸν τῆς θεότητος λόγον ἀντιστρόφως δυνήσεται; Οὐκ ἔστιν οὐδαμῶς τοῦτο τῆς θεοπνεύστου Γραφῆς ὁπουδήποτε. Καί γε τὸ τινὸς λεγόμενον ἀντιστροφὴν ἐκ τῆς φυσικῆς σχέσεως μὴ δεχόμενον, ἐξ αὐτοῦ ἐστιν ἀναντιῤῥήτως, οὗ λέγεται· οἷον τὸ τοῦ φυτοῦ ἄνθος τούτου ἄνθος λεγόμενον, καὶ μὴ πρὸς αὐτὸ ἀντεστραμμένως ἔχειν νοούμενον, ὡς τούτου τὸ φυτὸν λελέχθαι, ἐξ αὐτοῦ ἐστιν ὁμολογουμένως, οὗ ἄνθος λέγεται. Καὶ ἡ τοῦ πυρὸς ζέσις μὴ τὸ τῆς ἀντιστροφῆς δεχομένη, ὡς τὸ πῦρ καλεῖσθαι τῆς ζέσεως, ἐξ αὐτοῦ ἐστιν ἄρα, οὗ ζέσις κατονομάζεται. Ὡσαύτως ἔχει καὶ τὸ τῆς πηγῆς ὕδωρ, καὶ τὸ τοῦ ἡλίου φῶς· ἀντιστροφὴν μὴ εἰδότα, ἐξ αὐτῶν εἰσιν ὧν ἄρα λέγονται. Καὶ λοιπὰ παραπλήσια, ὡς ἂν ἐκ τῶν ὄντων τὰ ὑπὲρ τὰ ὄντα κατ' ἀμυδρὰν εἰκασίας ἐμφέρειαν ἀνεικονίσωμεν· καθά που τῆς γρηγόρσεως ὁ ἐπώνυμος, καὶ θεολόγων ἀκρέμων διδασκαλικῶς ἀποφαίνεται. Τῶν οὖν ἐν ταῖς θεαρχικαῖς ὑποστάσεσι πέμψεων ἐκ τῶν ἱερῶν τοῦ Εὐαγγελίου λογίων ἐν τούτοις θεωρουμένων, καὶ διευλυτουμένων, ἐξ ὧν οἱ θεοφορούμενοι φθέγγονται, καὶ τῶν ἐν τοῖς λειτουργικοῖς πνεύμασιν ἑτέρως ὡς καθυπηρετουμένοις ἀνήκει κτιστοῖς καὶ περιγραπτοῖς, ὁ διαιρέσεις ἀποστολῶν οἴκοθεν ἐπὶ τοῦ μέσου παράγων, καὶ φάσκων· « Ἀποστέλλει τις υἱὸν, ἢ δοῦλον ἢ τι ἕτερον παρ' ἄλλου τοῦτο λαβών, ἢ καὶ αὐτὸς ἔχων, » ἐπειδὴ πρὸς τὰς διειλημμένας τῶν θείκων προσώπων πέμψεις ἀφορῶν ταῦτα συνείρει, πρὸς ποῖον τούτων ἀποτεινόμενος ἐπιπλέκει, συνοραν οὐκ ἔχω. Πρὸς ἕνα γὰρ καὶ τὸν αὐτὸν ἀποβλέπων, οὕτω φαίνεται συντιθείς. Εἰ μὲν οὖν πρὸς τὸν Πατέρα τῶν αὐτοῦ λόγων, ὁ μὲν πρῶτος καὶ διπλοῦς μερισμὸς, εἰ καὶ τὸ ἁρμόττον τηρεῖ, ἀλλ' οὐχ ὁ δεύτερος. Τί γὰρ δ πέμπει Πατὴρ παρ' ἄλλου τοῦτο λαβών; Οὐκ ἔστιν ὁπώσποτε. Εἰ δὲ πρὸς τὸν Υἱὸν τἀνάπαλιν ἀναδείκνυται, καὶ τῶν μερισμῶν ὁ μὲν δεύτερος τὸ κατάλληλον φέρει κατὰ τὴν τοῦ συντεθειμένου δόξαν, ὁ δὲ πρῶτος ἐνὶ τῷ μέρει διπλοῦς ὢν ἠλλοτρίωται. Οὐ γὰρ δήπου πέμψις Υἱοῦ παρὰ τοῦ Μονογενοῦς οὐδαμῶς. Εἰ δέ τις ἐρεῖ πρὸς τὸν Πατέρα μὲν ἀφορᾶν τὸν πρῶτον, πρὸς τὸν Υἱὸν δὲ τὸν δεύτερον, τὸ ἀσύμβατον ἐπικυρώσει τῇ τοῦ λόγου θέσει καὶ ἀσυναότητον.

A nifesto declarans quod, licet ex Patre ambo sint et Filius et Spiritus, et utrique commune est ex Patre esse, attamen commune non est ex alio aliud esse secundum conversionis naturam, sed Spiritus ex Deo cum sit, ex Patre nempe, et Christi Spiritus est, ideoque ex Christo secundum magni hujusce Patris probationem, qui ex eo quod Spiritus Christi decernatur, ex Christo etiam esse declaravit : « Filius vero, » ait, « ex Deo cum sit, non est neque Spiritus, neque dicitur, et correlativa hæc series non convertitur. » Si itaque uti Spiritus Christi, vicissim Spiritus Christus, ex simili correlativa serie dici non potest, quo modo ex eadem uti missio Spiritus a Christo missio, missio Christi a Spiritu secundum rationem divinitatis vice versa dici B poterit? Nullo id in loco divinitus inspiratarum Scripturarum inveneris. Licet quod alicujus dicitur, quod tamen conversionem ex naturali habitudine non admittat, sine ulla dubitatione ex eo est, cujus dicitur : qualis est plantæ flos, qui illius flos dicitur, nec tamen erga illam convertitur, ita ut illius planta dicatur, ex ea est omnium calculo cujus flos dicitur. Et ignis calor, qui conversionem non recipit, adeo ut ignis dicatur caloris, ex eo est, cujus calor nuncupatur. Sic se habet et fontis aqua, et solis lumen, quæ conversionem nesciunt, ex iis sunt, quorum esse dicuntur, et alia similia ; ut ex iis quæ sunt, illa quæ supra ea sunt, tenui similitudinis imagine repræsentemus ; ut quodam in loco vigilantiæ cognominis, et theologorum apex doctoris C in morem decernit. Missionibus itaque quæ in divinitatis principibus hypostasibus considerantur, ex evangelicis elogiis ita expositis, et ex dictis divinorum Patrum examinatis, et quæ in administratoriis spiritibus, uti administris congruit creatis et circumscriptis alio atque alio modo se habere dijudicatis, qui missionum differentias ex propriis in medium affert, dicitque : « Mittit quispiam filium aut servum, vel aliquid aliud, ab alio illud accipiens, sive ex seipso habens, » cum ad jam dictas divinarum personarum missiones respiciens, hæc aggregat, ad quodnam ex his mentem intendens, similia complicat, discernere non valeo. Ad unum enim idemque respiciendo, ista videtur congerere. D Si itaque ad Patrem, suorum dictorum primum, duplexque divisio, licet conveniens servat, ab eo tamen secundum longe est. Quid enim est, quod mittat Pater ab alio id accipiens? Hoc nullum usquam est : si ad Filium, contrarium deprehenditur, et divisionum secunda non incongrue se habet, si mentem auctoris respicias, prima una sui parte, cum duplex sit, longe a proposito disjungitur. Neque enim uspiam est missio Filii ab Unigenito. Quodsi quis dixerit ad Patrem quidem referre primam, ad Filium vero secundam, sermonis positione ea neque cohærere neque congruere constabiliet.

Digitized by Google Распознавание текста ABBYY FR

10. Nihilominus hisce neglectis, ad quod qui similia effatur contendens decertat, illud probare volens, neque ex Filio, neque per Filium esse Spiritum, animum intendentes, hic quoque adversus ipsum argumenta more nostro conquisita apponemus. Cum enim dixisset, « ab alio accipiens, vel a seipso habens, » hisce contra subinfert : « Et mittunt solares radii ad nos lumen, a sole nempe illud habentes. » Hæc porro ad Filium respicientem dicere, hac inductione quam in exemplum affert, palam est. Etenim si accipere Filium ab alio, hoc est Patre, Spiritum sanctum asserens, secundum divinarum Scripturarum interpretationes assereret, quæ quidquid ex Filio et per Filium dicitur, tum de increata et supernaturali Spiritus hypostasi, tum de rerum factura et creatione ad Patrem primam causam, et radicem, et principalem et primariam referunt, cum et inde Filium ipsum subsistere uti Deum par sit, et ante sæcula intonant, secundum vero ordinem sempiterni hypostaseon progressus, et inde ex utroque connaturale, essentialiter exsistere, ex Patre nempe per Filium tradunt ; si ita pronuntiaret, næ ille præceptæ nobis Scripturarum perquisitioni inhæreret. Verumtamen cum conatus suos alio convertat, et hisce oppositum insinuet : « Et mittit, ait, Paracletum Unigenitus acceptum ab alio, neque ex ipso, neque per ipsum exsistentem, » a quo vero accipit Patre, solo nempe, Spiritum communem esse et proprium uti Patris ita et Filii, quorum acceptionem et explicationem supra allata Patrum dicta manifestant, modis omnibus relegat, ut servile ministerium complere Filium necesse sit, et alienum ab ipso Spiritum esse, quorum ineptum atque absurdum dictum dicta doctorum aperte redarguunt, palam comprobat, et vix Spiritum esse Filio concedit, dum ait, « aut ipse habens, » non æqua tamen ratione, sed diverso modo a Patre, illud « ex Filio » et « per Filium » omnino amandans, ut ineptiebat Nestorius Deum et hominem natura Verbum, deiferum hominem appellans, cujus quoque fidei Symbolum propriæ sectæ reperitur ab eodem traditum, ut edicatur ab iis qui ad sacrum lavacrum accedunt, « neque ex Filio, neque per Filium, » sonore clamans, adversus quem contendens a Deo glorificatus Cyrillus, dum ex Filio Spiritum profundi, et esse, et exsistere disputat, palam aperteque subinfert, « eadem ipsa ratione, qua a Deo et Patre. » Sed neglectis hisce quæ fusiores sermones exposcunt, ad concedentem nunc, « Spiritum etiam a Filio haberi, sed diversa ratione a Patre, » ex proxime, ut diximus, supraque appositis dictis theologicis pauca quædam, in memoriam redigantur, quæ plane clamant : « Dei et Patris naturalium bonorum essentialiter exsistens Filius particeps, habet Spiritum eo ipso modo, quo intelligitur Pater habere. « Præterea mystagogi qui hæc explanat ex iis quæ supra attulimus, unum tunc præteritum silentio, nunc

ι'. Ὅμως αὐτὰ παριδόντες, καὶ πρὸς ὃ κατεπειγόμενος ὁ ταῦτα φωνῶν ἀμιλλᾶται, συστῆσαι θέλων μήτ' ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ τὸ Πνεῦμα σκοποῦντες, παραθήσομεν κἀνταῦθα τοὺς ἐλέγχους ὅθεν εἰώθειμεν. Εἰπὼν γὰρ, « παρ' ἄλλου λαβὼν, ἢ καὶ αὐτὸς ἔχων, » σύντροχα τούτοις ἐπάγει· « Καὶ ἀποστέλλουσιν αἱ ἀκτῖνες τοῦ ἡλίου μέχρις ἡμῶν τὸ φῶς, παρὰ τοῦ ἡλίου δηλονότι αὐτὸ ἔχουσαι. » Ὅτι δὲ πρὸς τὸν Υἱὸν ἀναφέρων ταῦτά φησιν, ἐκ τῆς ἐπαγωγῆς τῆσδε δῆλόν ἐστι μᾶλλον τῆς παραδειγματικῆς. Εἰ μέντοι τὸ λαβεῖν τὸν Υἱὸν παρ' ἄλλου, τουτέστι τοῦ Πατρὸς, Πνεῦμα τὸ θεῖον λέγων, κατὰ τὰς ἐκφαντορίας Γραφῶν τῶν θείων ἐωρᾶτο φάσκων, αἳ πᾶν δ τι περ ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ λεγόμενον ἐπί τε τῆς ἀκτίστου καὶ ὑπερφυοῦς τοῦ Πνεύματος ὑποστάσεως, ἐπί τε τῆς τῶν ὄντων δημιουργίας καὶ κτίσεως εἰς τὴν πρώτην αἰτίαν τὸν Πατέρα καὶ τὴν ῥίζαν, καὶ τὸ ἀρχικὸν αἴτιον, καὶ τὸ προκαταρκτικὸν αἴτιον ἀναφέρουσιν, ἐπεὶ καὶ αὐτὸ τὸ τὸν Υἱὸν ὑφεστάναι θεοπρεπῶς ἐκεῖθεν καὶ προαιωνίως ἀνακηρύττουσιν, κατὰ δὲ τὴν τάξιν τῆς ἀϊδίου προόδου τῶν ὑποστάσεων, καὶ τὴν ἐντεῦθεν αὐτῶν συμφυΐαν ἐξ ἀμφοῖν οὐσιωδῶς ὑπάρχειν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα παραδιδόασιν· εἰ οὕτω διαγγέλλων ἐτύγχανε, τῆς ἐντεταλμένης γραφικῆς ἐρεύνης ὅλος ἦν ἐξεχόμενος. Ἐπεὶ δὲ τὸ σπουδαζόμενον κατά γε τὸ ἐναντίον, « Καὶ πέμπει, » φησὶ, « τὸν Παράκλητον ὁ Μονογενὴς παρ' ἄλλου λαβὼν, μήτ' ἐξ αὐτοῦ, μήτε δι' αὐτοῦ ὄντα, » παρ' οὗ δὲ λαμβάνει τοῦ Πατρὸς μόνου, τὸ μὲν κοινὸν εἶναι καὶ ἴδιον ὡς τοῦ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὧν τὴν λῆψιν καὶ διευκρίνησιν αἱ ἀνωτέρω τεθειμέναι πατρικαὶ ῥήσεις διατρανοῦσι, παντάπασιν ἀπελαύνει, τὸ δὲ διακονικὴν ἀποπληροῦν τὸν Υἱὸν χρείαν, καὶ τὸ ἀλλότριον αὐτοῦ τὸ Πνεῦμα καθεστάναι, ὧν τὴν ἀτοπίαν εἰς ἔλεγχον αἱ αὐταὶ διδασκαλικαὶ φανεροῦσι θεηγορίαι, συνίστησιν ἐναργῶς, μόλις δ' ἔχειν τὸ Πνεῦμα καὶ τὸν Υἱὸν συγχωρεῖ λέγων, « ἢ καὶ αὐτὸς ἔχων· » πλὴν οὐχ ὁμοίως, ἀλλὰ καὶ οὕτω τῷ Πατρὶ ἀνομοίως τὸ ἐξ Υἱοῦ καὶ δι' Υἱοῦ πάμπαν ἀπορραπίζων, καθάπερ ἐληρώδει Νεστόριος, τὸν φύσει θεάνθρωπον Λόγον θεοφόρον ἄνθρωπον ὀνομάζων, οὗ καὶ Σύμβολον εὕρηται πίστεως τοῖς τῆς οἰκείας συμμορίας πρὸς τούτου παραδεδομένον κηρύττειν ἐν τῷ τῶν προσερχομένων βαπτίσματι, « μήτε ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ· διατόρως ἀναφωνοῦν· πρὸς ὃν καὶ ὁ θεοδόξαστος ἀποτεινόμενος Κύριλλος, ἐν οἷς ἐξ Υἱοῦ τὸ Πνεῦμα προχεῖται, καὶ ἔστι, καὶ ὑπάρχει θεολογεῖ, διαῤῥήδην συχνῶς ἐπιφέρει, « καθάπερ ἀμέλει παρὰ τοῦ Θεοῦ καὶ Πατρός. » Ἀλλὰ τούτων ἀφέμενοι πλάτους ὁποιουδήτινος δεομένων, πρὸς τὸν διδόντα νῦν, « τὸ Πνεῦμα καὶ τὸν Υἱὸν ἔχειν, ἡκιστά γε ὡς ὁ Πατὴρ, » ἐκ τῶν ὧν ἐγγὺς ἔφημεν, ἀνωτέρω τεθῆναι χρήσεων θεολογικῶν βραχέα τινὰ παρατιθέαμεν εἰς ἀνάμνησιν, ἅττα βοῶσιν αὐτόχρημα, « Τῶν τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν νοοῖτο καὶ ὁ Πατήρ. » Ἔτι δὲ τοῦ ταῦτα διασαφοῦντος μυσταγωγοῦ ἐκ τῶν ὧν παρελί-

Digitized by Google Распознавание текста АВК/FR

πομεν ἐν χρήσεσι ταῖς δηλωθείσαις, μίαν καὶ τήνδε παρευρίσκομεν χρῆσιν, οὕτω φθεγγομένην αὐτολεξεί· « Ἀπολύων ἁμαρτίας τὸν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. » Τὴν οὖτω δὲ κηρυσσομένην θεολογίαν τὸν ἀπαρνούμενον οὐ μόνον εἰς τὸν Μονογενῆ δυσφημοῦντα δείκνυσιν ὁ αὐτὸς θεηγόρος, ἀλλὰ τὰς αὐτὰς καὶ τῷ Πνεύματι δυσφημίας προσάπτοντα. Εἰς γὰρ τὸ, « Ἐκεῖνος ὑπομνήσει ὑμᾶς ἃ εἶπον ἐγὼ, » οὕτω φησίν· « Οὐκοῦν ὡς εἰδὸς τὰ ἐν τῇ βουλῇ τοῦ Μονογενοῦς πάντα ὑμῖν ἀναγγελεῖ τὸ Πνεῦμα, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν, ἀλλ' ὡς Πνεῦμα αὐτοῦ, καὶ εἰδὸς ἀδιαστάτως πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπέρ ἐστιν. » Εἰ γοῦν καὶ ῥημάτων ἐκ τῶνδε τῆς εὐσεβείας οἱ πρόβολοι τῶν, « Ἐκεῖνος ὑμᾶς ὑπομνήσει, ἐκεῖνος ἐμὲ δοξάσει, » ὁ Παράκλητος δηλονότι, καὶ « ὅσα ἀκούσει λαλήσει, » ἐκ τοῦ Υἱοῦ τοῦτον καθαρωτάτως ἀναγορεύουσι, καὶ εἰ μὴ τόδε, τὰ τῆς ἀτοπίας ἀκολουθεῖν ἀποφαίνονται, ὥσπερ ἐπὶ τῆς πέμψεως ἐλέγομεν καὶ τῆς χορηγίας καὶ δόσεως, καθάπερ ἐκ τούτων καὶ τῶν τοιούτων τὴν ἴσην ἀναλογίαν ἐπί τε Πατρὸς καὶ Υἱοῦ, ἐπί τε Πατρὸς καὶ Πνεύματος ἐγνωμεν, ὡς προείρηται, ὁ παράδειγμα παραθεὶς ἥλιον, ἀκτῖνα καὶ φῶς, ὡς ἂν καὶ τοῦτο θεωρηθείη, καὶ φάσκων τὴν ἀκτῖνα παρ' ἄλλου λαμβάνουσαν, ἤγουν τοῦ ἡλίου τὸ φῶς πέμπειν, μὴ ἐξ αὐτῆς ἢ δι' αὐτῆς ὄν, κἀντεῦθεν εἰκονίζων πέμπεσθαι παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, μὴ ἐξ αὐτοῦ, ἢ δι' αὐτοῦ ὑπάρχον, πῶς κἀκ τῇδε τῆς παραθέσεως συσκευάσεως ὅλως ἕξει παρεισδυσιν, πρὸς ἅπερ οἱ θεοφόρητοι δογματίζουσιν, ἢ μᾶλλον ἃς ἐξ ὧν ἀπᾴρνεῖται, συνάγουσιν οὗτοι δυσφημίας, πῶς διαδρᾶναι δυνήσεται; Εἰ δέ γε τῶν πατρικῶν θεολογικῶν ἐπῶν ἀφροντίστως ἔχων, ὡς ἐκφαίνει ἑαυτὸν μὴ θέμενον τῶνδε σκέψιν, μὴ βάσανον, οὐδαμῶς ἐπιστρέφεται, ἄλλως μέντοι λογικαῖς μαθημάτων παιδείαις ἐνδιαπρέψας, πόθεν ἔσχε τὴν ἡλιακὴν ἀκτῖνα λειτουργικῶς ἢ ὀργανικῶς εἰς τὴν τοῦ φωτὸς λαμβάνειν ἀποστολήν, ὡς μὴ δι' αὐτῆς τοῦτο εἶναι, εἴ γε τὰ τρία ὁ δίσκος, ἡ ἀκτὶς, καὶ τὸ φῶς, τρισσὸν ὑπάρχει φῶς καὶ ἀμέριστον, καὶ μία συνύπαρξις τῶν τριῶν, καὶ μίαν πληροῦσι φύσιν, ἢ συμπληροῦσι, καὶ διηνεκῶς τὸ ἡνωμένον ἔχουσι καὶ ἀχώριστον, ἕως ἂν ἡ τοῦδε τοῦ παντὸς μένῃ σύστασις; Εἰ γὰρ τὸ διά τινος λεγόμενον ἐκ τινος ἢ φυσικῶς λέγεται καὶ οὐσιωδῶς, καὶ τὴν ἐντεῦθεν εἰς τὸ εἶναι δι' οὗ λέγεται πλουτεῖ πρόοδον, ἢ ὀργανικῶς καὶ ὑπουργικῶς, καὶ ἥκιστα δι' αὐτοῦ τὸν τῆς ὑπάρξεως λόγον αὐχεῖ, καθάπερ ἐκ τῆς πηγῆς διὰ τοῦ σωλῆνος τὸ ὕδωρ. Οὐδαμῶς γὰρ οὗτος εἰς τὴν τοῦ ὕδατος φυσικὴν λαμβανόμενός ἐστιν ὀντότητα, εἴπερ ἑτεροφυὴς αὐτοῦ καὶ ἑτεροούσιος, ὅτι μὴ μόνον εἰς ὀργανικὴν τούτου διάβασιν. Εἰ δέ τις φαίη διὰ τοῦ ποταμοῦ τὸ ὕδωρ ἐκεῖθεν, ἢ διὰ τῆς πηγῆς ἐκ τοῦ ὀφθαλμοῦ, ἀμφότερα γὰρ διαγγέλλεται, τὴν εἰς τὸ εἶναι διὰ τῆς πηγῆς ἢ ἐξ αὐτῆς διὰ τοῦ ποταμοῦ, παρευθὺς ἐδήλωσε τοῦ ὕδατος ἔκβλυσιν, ὡς ὁμοφυῶν τῶν τριῶν ὄντων, καὶ οὕτω λαχόντων φύσεως; ἐκ

A inseramus, verbis hisce dictatum: « Liberans a peccato sibi adhærescentem, proprio postmodum inungit Spiritu, quem emittit ipse quidem, uti ex Deo Patre Verbum, et ex propria nobis natura more fontis effundit. » Hanc inculcatam theologiam abnegantem non tantum in Unigenitum blasphemum, sed easdem quoque blasphemias ipsi Spiritui appingere, divinus iste Pater ostendit. Namque in illud: « Ipse suggeret vobis quæ ego dixi, » ita pronuntiat: « Itaque tanquam benescius, quæ in consilio Unigeniti sunt, omnia vobis annuntiabit Spiritus, non disciplinæ habens cognitionem, ne videatur administri locum explere, sed ut Spiritus ipsius, et sciens inseparabiliter omnia illius ex quo et in quo est. » Si itaque pietatis B propugnatores ex verbis hisce: « Ipse vobis suggeret, ille me glorificabit, » Paracletus scilicet, et « quæcunque audiet loquetur, » ex Filio hunc esse perspicue prædicant, et si id non fuerit, absurda consequi decernunt, uti de missione, et suppeditatione, et datione dicebamus, et ex his et similibus eamdem proportionem in Patre et Filio, et in Patre et Spiritu cognoscimus, ut antea dictum est, qui in exemplum adducit solem, radium, et lumen, ut id quoque in examen proferamus, dicitque radium ab alio accipientem, sole nempe, lumen mittere, quod neque ex ipso, neque per ipsum est, indeque sibi figurat mitti a Filio Spiritum, neque ex ipso, neque per ipsum exsistentem, quomodo ex hac comparatione ad ea quæ divini Patres definiunt C penetrare, sive potius ex iis quæ ipse pernegat, blasphemias exortas effugere poterit? Quodsi in dicta Patrum theologica mentem prorsus non applicans, namque ea neque considerasse, neque examinasse plane ostenditur, nullo modo admittit, licet in logicis disciplinis præcellat, undenam habuit solarem radium administri instar, aut instrumenti in missionem luminis inservire, adeo ut per radium illud non sit, si tria hæc, orbis, radius, et lumen trinum lumen exsistit et indivisum, et una est eorum coexsistentia, et unam simul complent naturam, perpetuoque conjunguntur, et inseparata permanent, donec universi hujus constructio perdurabit? Namque si quod per aliud dicitur ex alio, aut naD turaliter et essentialiter dicitur, et inde ad esse per quod dicitur progressum possidet, aut instrumenti modo, vel servi more, et nullo modo per ipsum exsistentiam habere gloriatur, uti ex fonte per tubum aqua; nullo siquidem modo in naturalem aquæ essentiam accipitur, si alterius ille naturæ atque essentiæ est, nisi tantum ad instrumentalem aquæ transitum. Quod si quis dixerit per fluvium inde aquam esse, aut per fontem ex oculo, ambo siquidem pronuntiantur, ad esse per fontem, sive ex ipsa per fluvium, illico aquæ scaturiginem indicavit, cum hæc tria ejusdem naturæ sint, eamque sortita sint naturam, ut ex primo per secundum tertium sit; hæc, inquam, si ita se habent, quam ex naturali serie sermo pru-

Digitized by Google Распознавание текста ABK/FR

bationem habebit, radium dicens ex sole lumen, eo scopo quod per ipsum non sit, sed acciplens mittat? alterius siquidem naturæ indicium in his non ejusdem, instrumenti, et administri absque ulla hæsitatione radii usum explentes? quæ a Deo illustrata Ecclesiæ lumina, cum aliis pluribus imaginibus, uti res creatæ concedunt, in similitudinem quoquomodo increatæ Triadi respondentem tradiderunt, ostendentes ex Patre ambarum personarum naturalem et sempiternam exsistentiam Filii et Spiritus, et per Filium Spiritus, uti ex sole radius est et lumen, et per radium lumen, sed ex Filio quoque Spiritus est uti ex radio lumen, cum ambæ præpositiones iisdem viribus præpolleant. Licet magnum inter eas alio modo consideratas discrimen sit, dum primam ac præcipuam causam Patri *ex* manifestet, illudque quod absque causa est, de quibus sanctorum Patrum decreta in aliis nostris commentariis, cui id animus est, reperiet. Nunc vero cum unius naturæ figuratæ divinæ hypostases, et ejusdem honoris considerentur, et eorum quæ repræsentant idem inter se et mutuus honor proportione quadam sit, et eamdem naturam possideant, ex quibus divini Patres dicunt, manifestatur ejusdem Deitatis Spiritum divinum mitti ex ambobus, et uti ex ambobus essentialiter effusum, ex Patre nempe per Filium, ad sanctificandam rationis compotem et intellectualem creatam essentiam, indivise, et ab æterno, quemadmodum ex ambobus lumen mittitur, hoc est illuminatio per aerem, ex sole nempe per radium indivise profusa ad sensibilia creataque illuminanda, etsi non ab æterno, ipsis tamen coæva, unaque cum illis exsistens. Hinc in rebus divinis præcellentissimus Epiphanius, in *Ancyroto*, inter reliqua alia quæ decernit, pari modo definit: « Spiritus sanctus Spiritus veritatis est, lumen tertium a Patre et Filio. » Et divinus Cyrillus frequentia variaque Patrum dicta, ex Patre et Filio et per Filium plane asseverantia Spiritum sanctum in unum aggerans et exponens primo ad Palladium libro, « ex ambobus, ait, essentialiter effusum, » ex Patre nempe per Filium, ut antea diximus.

11. Qui vero e ventre clamat, et iis quæ ex ventre sunt, adhæret, et quæ ex ipsa emanant, sententiis ac verbis immanet, etiam hæc confarcinans subdit: « Si Spiritus progrediebatur antea, Filius vero promittebat Spiritum mittere a Patre, hoc est assensum præbere, et cooperari ut ille accederet. Nunc vero Filius cum antea advenisset, ipse rursus promisit se missurum Spiritum. » Et undenam hæc sunt? Ex quibus Patrum traditionibus aut testimoniis scripto mandatis, aut his ipsis verbis expositis, aut ita pronuntiatis ut ex iis colligi aliquo modo possint, habuit? Plane dictis suis confirmat nullo modo Spiritum adventasse

A τοῦ πρώτου διὰ τοῦ δευτέρου τὸ τρίτον εἶναι. Εἰ γὰρ οὕτω ταῦτα, ποίαν τὴν ἐκ τῆς φυσικῆς ἀκολουθίας ὁ λόγος σύστασιν ἕξει, τὴν ἀκτῖνα φάσκων ἐκ τοῦ ἡλίου τὸ φῶς ἐπὶ διανοίᾳ τοῦ μὴ δι' αὐτῆς μὲν εἶναι, λαμβάνουσαν δ' ἀποστέλλειν; ἑτεροφυΐας γὰρ ἐντεῦθεν ἐμπεσεῖται τράνωσις τούτοις, οὐχὶ συμφυΐας ὀργανικὴν, ἢ λειτουργικὴν ἀναμφιλέκτως τῆς ἀκτῖνος χρείαν ἀποπληρούσης· ἅπερ οἱ θεοφεγγεῖς λαμπτῆρες τῆς Ἐκκλησίας σὺν πλείοσιν ἄλλαις εἰκόσι, καθόσον ἐκ τῶν κτιστῶν ἐστιν ἐφικτὸν εἰς ἐμφέρειαν ἀναλογοῦσαν τῆς ἀκτίστου Τριάδος παραδεδώκασι, παραδεικνύντες τὴν ἐκ τοῦ Πατρὸς ἀμφοτέρων προσώπων φυσικὴν καὶ ἀΐδιον ὕπαρξιν Υἱοῦ καὶ Πνεύματος, καὶ διὰ τοῦ Υἱοῦ τὴν τοῦ Πνεύματος, ὡς ἐκ τοῦ ἡλίου ἡ ἀκτὶς ἐστι καὶ τὸ φῶς, καὶ διὰ τῆς ἀκτῖνος τὸ φῶς. Ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς καὶ ἐκ τῆς ἀκτῖνος τὸ φῶς, ἑκατέρων προθέσεων ἐνταῦθα κεκτημένον τὸ ἰσοδύναμον, εἰ καὶ μεγάλη τις ἑτέρως ταῖσδε διαφορὰ, ἡνίκα τὸ πρῶτον καὶ ἀρχικὸν αἴτιον τοῦ Πατρὸς ἡ ἐκ ἐκφαίνει καὶ τὸ ἀναίτιον, περὶ ὧν ἄττα τοῖς θείοις μυστηπόλοις μυσταγωγεῖται, τῶν ἡμετέρων ἐν ἄλλοις λόγων εὕρῃ ἂν ὁ βουλόμενος. Νῦν δ' ὁμοφυῶν τῶν εἰκονιζομένων θεϊκῶν ὑποστάσεων θεωρουμένων, καὶ ὁμοτίμων, καὶ τῶν εἰκονιζόντων τὸ ὁμότιμον πρὸς ἄλληλα κατὰ τὸ ἀναλογοῦν, καὶ τὸ ὁμοφυὲς ἐχόντων, ἐξ ὧν φασιν οἱ θεηγόροι τρανοῦται, ὡς ὁμόθεον ἐξ ἀμφοῖν πέμπεται Πνεῦμα τὸ θεῖον, καὶ ὡς ἐξ ἀμφοῖν οὐσιωδῶς προχεόμενον, ἥγουν ἐκ Πατρὸς δι' Υἱοῦ εἰς
C ἁγιασμὸν τῆς λογικῆς καὶ νοερᾶς κτιστῆς οὐσίας ἀμερίστως καὶ ἀΐδίως, καθάπερ ἐξ ἀμφοῖν τὸ φῶς πέμπεται, τουτέστιν ἔλλαμψις ἡ εἰς τὸν ἀέρα, ἥγουν ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος ἀμερίστως ἐκεῖθεν πηγαζομένη τῶν αἰσθητῶν εἰς φαῦσιν καὶ τῶν κτιστῶν, εἰ καὶ μὴ ἀΐδίως, ἀλλ' οὖν ὡς σύγχρονος αὐτοῖς καὶ συνύπαρκτος. Ὅθεν ὁ τὰ θεῖα πολὺς Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ μετὰ τῶν ἄλλων ὧν θεολογεῖ παραπλησίως διέξεισιν οὑτωσί· « Πνεῦμα ἅγιον Πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ. » Καὶ Κύριλλος ὁ θεσπέσιος τὰς συχνὰς καὶ διαφόρους τῶν πατρικῶν ῥήσεων, τῶν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ διὰ τοῦ Υἱοῦ σαφῶς θεολογουσῶν Πνεῦμα τὸ ἅγιον, εἰς ταυτὸ συνάγων καὶ σαφηνίζων ἐν τῷ πρώτῳ τῶν πρὸς Παλλάδιον, « Ἐξ ἀμφοῖν οὐσιω-
D δῶς, » φησὶ, « προχεόμενον, » ἥγουν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα, ὡς προεκτέθειται.

ια'. Ὁ δ' ἀπὸ κοιλίας φωνῶν, καὶ τοῖς ἀπὸ κοιλίας στοιχῶν, καὶ τοῖς ἀπ' αὐτῆς ἐμμένων ῥήμασι καὶ νοήμασι, καὶ τάδε συνείρων ἐπάγει· « Εἰ τὸ Πνεῦμα ἐπεδήμει πρότερον, ἔμελλε δὲ ὁ Υἱὸς, καὶ ἐπηγγέλλετο ἂν πέμψειν αὐτὸν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα, ἤτουν εὐδοκήσειν καὶ συνεργήσειν ἀφικέσθαι αὐτόν. Νῦν δὲ ὁ Υἱὸς ἐπεὶ πρότερον ἐπεδήμησεν, αὐτὸς αὖ θις ἐπηγγείλατο πέμψειν τὸ Πνεῦμα. » Καὶ πόθεν ταῦτα; ἐκ ποίων παραδόσεων καὶ μαρτυριῶν γραφικῶν, ἢ τὸ συνάγεσθαι δεικνυμένων, ἢ τιθεμένων ῥητῶς ὁπουδήποτε; Ἐμφανῶς ἐξ ὧν φησι διαβεβαιοῦται μηδαμῶς ἐπιδημίαν γενέσθαι τοῦ Πνεύματος πρὸ τῆς ἐν ὑπερῴῳ ἐπηγγελμένης τούτου καταφο-

Digitized by Google Распознавание текста ABK/FR

τήσεως; ἦν ὁ Θεὸς Λόγος καιρῷ τοῦ σωτηρίου πά- A
θους ἐξ ἰδίας πέμψεως ἐπηγγείλατο. Πῶς οὖν ἃ
Γραφαὶ βοῶσι ληφθήσονται; Πῶς ἄρα δὲ καὶ διαγνω-
σθήσονται, εἰ μὴ κατ' αὐτὸν τὸ ὀνειροπολούμενον
ἔξουσιν; Ἐν μὲν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ τῆς
θεολογίας ὁ γρήγορος νοῦς περὶ τοῦ πανσθενοῦς
Πνεύματος κράζει μεγαλοφώνως· « Τοῦτο ἐνήργει
πρῶτον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίαις δυνά-
μεσι. » Καὶ μετ' ὀλίγα· « Ἔπειτα ἐν τοῖς Πατράσι
καὶ ἐν τοῖς προφήταις. » Καὶ μετά τινα· « Ἔπειτα
ἐν τοῖς Χριστοῦ μαθηταῖς. » Ἐν δὲ τῷ περὶ τοῦ
Πνεύματος Ἀντιῤῥητικῷ διατόρως ἀνακηρύττει,
« παντοδύναμον αὐτὸ φάσκων, παντεπίσκοπον, διὰ
πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λε-
πτοτάτων, ἀγγελικῶν, οἶμαι, δυνάμεων, ὥσπερ καὶ
προφητικῶν καὶ ἀποστολικῶν κατὰ ταυτὸ καὶ οὐκ B
ἐν τοῖς αὐτοῖς τόποις, ἄλλων δὲ ἀλλαχοῦ νενεμημέ-
νων, ᾧ δηλοῦτσι τὸ ἀπερίγραπτον. » Καὶ αὖθις ἐν τῷ
εἰς τὴν Πεντηκοστήν· « Καὶ κατέβη Πνεῦμα Κυ-
ρίου, καὶ ὡδήγησεν αὐτούς. » Καὶ πάλιν· « Τοῦτο
τὸ Πνεῦμα, σοφώτατον γὰρ καὶ φιλανθρωπότατον, ἂν
ποιμένα λάβῃ, ψάλτην ποιεῖ, πνευμάτων πονηρῶν
κατεπάδοντα, καὶ βασιλέα τοῦ Ἰσραὴλ ἀναδείκνυσιν.
Ἐὰν αἰπόλον συκάμινα κνίζοντα, προφήτην ἐργά-
ζεται· τὸν Δαυὶδ καὶ τὸν Ἀμὼς ἐνθυμήθητι. Ἐὰν
μειράκιον εὐφυὲς λάβῃ, πρεσβυτέρων ποιεῖ καὶ παρ'
ἡλικίαν κριτήν· καὶ μαρτυρεῖ Δανιὴλ ὁ νικήσας ἐν
λάκκῳ λέοντας. » Ἐξ ὧν ἡ Ἐκκλησία μέλπει δια-
πρυσίως ἔν τισι τῶν καθημέραν μελῳδικῶν ὕμνων
αὐτῆς, γεραίρουσα τὸ διὰ τῶν προφητῶν, ὡς δι' ὀρ- C
γάνων, κατὰ καιροὺς ἰδίους καὶ τόπους ᾠθεγγόμενον
Πνεῦμα τὸ ἅγιον. Καὶ τοῦ λοιποῦ ποῖον ἔχει πρὸς
ταῦτα τὸ ἐμφανίζον, τὸ μὴ ἐπιδημῆσαι λέγειν αὐτὸ
πρότερον; Μᾶλλον δὲ ποίας ἀντικαταστάσεως οὐκ
ἐξέχεται; Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ φρικώδει ἐπιφανείᾳ
τῆς τοῦ Κυρίου σαρκώσεως ἡ τῆς θεολογίας ἀκρότης,
ἐν ἑνὶ λόγῳ ἀμφοτέρων, τῷ Ἀντιῤῥητικῷ, περὶ τοῦ
Πνεύματος λέγων τάδε διατρανοῖ· « Γεννᾶται Χρι-
στὸς, προτρέχει. Βαπτίζεται, μαρτυρεῖ. Πειράζεται,
ἀνάγει. Δυνάμεις ἐπιτελεῖ, συμπαρομαρτεῖ. Ἀνάγε-
ται, διαδέχεται. Πρὸ δὲ τούτων φάσκει, καὶ τοῖς μα-
θηταῖς κατὰ μέρος ἐπιδημεῖ, τῇ τῶν δεχομένων δυ-
νάμει παραμετρούμενον, ἐν ἀρχῇ τῇ τοῦ Εὐαγγε-
λίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον τὰς δυνάμεις
ἐπιτελοῦν, καὶ ἐμφυσώμενον, γλώσσαις πυρίναις D
φαινόμενον. » Ποῦ εἰσιν οἱ τὸ ἐμφυσηθὲν παρὰ τοῦ
Δεσπότου τοῖς ἀποστόλοις μετὰ τὴν ἀνάστασιν Πνεῦ-
μα ἅγιον χάρισμα νομοθετοῦντες πνευματικόν; τότε
δὲ τὴν ἐπιδημίαν τούτου γενέσθαι, ἡνίκα πυρίναις
γλώσσαις ὑπῆρξε φαινόμενον; Ἀκουσάτωσαν τοῦ
μεγαλοκήρυκος, μὴ ἄλλο μυσταγωγοῦντος, ἀλλ'
αὐτὸ τοῦτο εἶναι τὸ ἐμφυσώμενον. Εἰ δέ γε πρὸς τὰς
ἐπιδημίας τοῦ Πνεύματος ἐν ταῖς ἐπὶ γῆς ἀναστρο-
φαῖς τοῦ θεανθρώπου Λόγου, πῶς αὗται διάφοροι,
ἀπορήσουσι, πρὸς τούσδε καὶ τὸν μηδεμίαν εἰδότα
δίχα τῆς ἐν ὑπερῴῳ τοῦ Παρακλήτου καθολικῶς
ἐπιφοίτησιν, ὁ μεγαλόφωνος οὗτος θεορῥήμων φθά-
νει προδιαλύων, καὶ καταστρέφων σφίσι τὰ τῆς ἀπο-
ρίας, καὶ τὰ τῆς ἀντιπαρατάξεως οὕτω διασαφῶν·

ante promissionem in cœnaculo factam illius de- A
scensus, quam Deus Verbum tempore salutaris
passionis ex sua ipsius missione promisit. Qua
ergo ratione quæ Scripturæ clamant, accipientur,
quomodo et dignoscentur, nisi secundum somnian-
tem istum prolata sunt? Oratione in Pen-
tecostem mens theologiæ evigilis de omnipo-
tente Spiritu clamat ingenti voce : « Hic vim
suam exercebat primum in angelicis et cœlestibus
potestatibus. » Nec multo post : « Deinde in Pa-
tribus et prophetis. » Et post pauca : « Postmodum
in Christi discipulis. » Et Antirrhetico de Spiritu
sancto palam aperteque deprædicat, « illum omni-
potentem » nuncupans, « omnia lustrantem, per
omnes Spiritus penetrantem intelligentes, puros,
tenuissimos, hoc est, angelicas, ut opinor, virtu- B
tes, quemadmodum per apostolicos et prophetices
similiter, et eodem ipso temporis momento non in
iisdem, sed aliis atque aliis locis degentes. progre-
dientem. Quod quidem perspicue ostendit, eum
nullius loci circumscriptione coerceri. » Rursus-
que oratione in Pentecostem : « Et descendit
Spiritus Domini, et deduxit eos. » Item : « Hic
Spiritus, utpote sapientissimus atque hominum
amantissimus, si pastorem nactus fuerit, cantorem
efficit, pravos spiritus incantantem, atque Israelis
regem designat, si moros carpentem caprarium,
prophetam reddit. In mentem revoca Davidem et
Amos. Si adolescentem industrium acceperit, se-
niorum judicem constituit, idque supra quam C
ætatis ratio ferre videtur : testis est Daniel, qui
leones in lacu superavit. » Ex quibus Ecclesia
sonora voce in quibusdam suis quotidianis cantici
concinit, honorans, qui per prophetas, uti per
instrumenta certis statisque temporibus locisque
loquitur, Spiritum sanctum. Quare quid in his in-
culcatur ipseque demonstrat, ante ipsum non ad-
venisse? quin imo qui hic fuerit quod contrarium
non astruet? Sed et de ipsa Domini incarnati ter-
ribili appparitione in una ex duabus orationibus,
Antirrhetica nempe de Spiritu sancto, hæc asse-
rens theologiæ apex manifestat : « Christus nasci
tur, præcurrit Spiritus. Baptizatur ille, hic testi-
monium perhibet. Tentatur ille, hic deducit, Mira
efficit ille, hic comitatur. Ascendit ille, hic deduc- D
cit. » Et ante hæc ait : « Et ad discipulos sigillatim se conferi, accipientium facultati communsu-
ratus, nimirum in Evangelii principio, post passio-
nem, post ascensum mira patrans, et insufflatus,
et linguis igneis apparens. » Ubinam sunt, qui in-
flatum a Domino apostolis post resurrectionem
Spiritum sanctum, donum spiritale fuisse decer-
nunt, tum illius adventum fuisse, cum linguis igneis
apparuit? Discant a magno hoc præcone non aliud
astruente, sed hunc ipsum fuisse, qui insufflatur.
Quodsi nonnulli de Spiritus adventibus, cum Ver-
bum Deus et homo in terra versabatur, quomodo
illi odeovarii fuerunt, adlubitabunt. horum, necnon
illius qui nullum alium quam Paracleti in cœnaculo

Digitized by Google Распознавание текста ABK/FR

ad universos adventum recognoscit divinus hic magnaque voce præditus sermonem præripiens dissolvit, refellitque dubia, et oppositionis momenta manifestat : « Supererant quædam Salvatori quæ a discipulis, licet alioqui multiplici doctrina implerentur, tunc tamen portari posse negabat, ob eas quas insinuavi causas, atque id certe ea ipsis occultabat, rursusque dicebat fore, ut ab adveniente Spiritu omnia edocerentur, » Sed et Salvator in fine sæculorum carne advenisse dicitur, et ut homo in terra consuevisse : uti vero Deus perpetuo adveniebat, non tantum quod omnibus locis adesset, sed quod etiam locis ac personis certis, uti ista capere poterant, appareret; cum et Trinitatem in tabernaculo Abrahamus verus illius servus hospitio excipiat, et incircumscriptum Dei Verbum una simul cum pueris astat, fornacem rore aspergens, quem tyrannus intuitus obstupebat et Dei Filium esse fatebatur, et Ecclesia frequenter hunc in modum concinit. Et de his, cum multa supersint dicenda, hæc satis dicta sint, et potissimum de missione Spiritus, quam male et quam perniciose ea ab adversario accipiatur, et quot et qualia de ea a Deo promoti Patres theologorum more tradentes instruunt, abunde dictum ac dijudicatum est.

A « Ἦν τινα τῷ Σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλαντο μαθημάτων, ἃ μὴ δύνασθαι βασταχθῆναι τότε τοῖς μαθηταῖς, δι' ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο, καὶ πάλιν πάντα διδαχθήσεσθαι ὑφ' ὑπὸ τοῦ Πνεύματος ἐνδημήσαντος. » Ἀλλὰ καὶ ὁ Σωτὴρ εἰς τὰ τέλη τῶν αἰώνων ἐνδημῆσαι σαρκὶ λέγεται, καὶ ὡς ἄνθρωπος ἀναστραφῆναι τῇ γῇ. Καθὸ δὲ Θεὸς ἐνδημῶν ἦν ἀεί, οὐ κατὰ τὸ πανταχοῦ παρεῖναι μόνον, ἀλλ' ὅτι καὶ τόποις καὶ προσώποις ὡρισμένοις ἦν καθόσον χωρητὸν ὀπτανόμενος. Ἐπεὶ καὶ ἡ Τριὰς ἐν σκηνῇ ξενίζεται τῇ τοῦ Ἀβραὰμ, παρ' αὐτοῦ τοῦ γνησίου ταύτης θεράποντος, καὶ ὁ ἀπερίγραπτος Λόγος τοῦ Θεοῦ κατιὼν τοῖς παισὶ συμπαρίσταται, δροσίζων αὐτοῖς τὴν κάμινον. Ὃν καὶ ὁ τύραννος θεωρῶν ἐξεπλήττετο, καὶ Θεοῦ Υἱὸν εἶναι ἀνωμολόγει, B καὶ ἡ Ἐκκλησία συχνῶς οὕτω ψάλλουσα μελῳδεῖ. Καὶ περὶ μὲν τούτων πλείστων εἰς τὸ λέγειν ἐξῆς ὄντων ἄλις ἐνθάδε · ἢ μᾶλλον περὶ ἀποστολῆς τῆς τοῦ Πνεύματος, ὅπως αὐτὴ τῷ ἀντιδιατιθεμένῳ λίαν ἐπισφαλῶς εἴληπται, καὶ ὅσα καὶ οἷα περὶ αὐτῆς Πατέρες οἱ θεοπρόβλητοι θεολογικῶς παραδιδόντες διδάσκουσι, καὶ ἱκανῶς εἴρηταί τε καὶ διηκρίνηται.

12. Nunc vero eos qui a Christo vocati sunt, quod fœderi aures dederunt, et pacem exosculati sunt, adversarius criminans infra scribit : « Manifestare, inquiunt, effundere, et procedere facere, idem est. Cum itaque Dominus Jesus dicit se manifestaturum discipulis, et illi addubitant, quare se illis manifestaturus esset, et non mundo? Si manifestare idem fuerit, et procedere facere necessario ipsis asserentibus, semetipsum procedere facere in illos promittit, quod vel mente agitare absurdum est atque impium. Et cum Deus manifestare semetipsum Moysi secundum eosdem, seipsum procedere facere Deus dicit : si necessario effundere et procedere facere idem sunt, si igitur Spiritus diceret effundere, haberet hoc causam verisimilem, licet non veram, nunc vero « ex Spiritu meo » dicit. Quod si idem est mittere et procedere facere, Spiritus sanctus apud Isaiam Filium mittens, procedere facit ipsum. » *Manifestare* nullus ex divinis Patribus, dum ex Patre et Filio, sive per D Filium Spiritum tradunt, usurpasse invenitur, neque ex nobis non paucis numero, sed nec illi ad quos ipse colloquium dirigit, sed interpretis, ut puto, errore factum est, ut φανεροῦν, quod *manifestare* est, sed raro usurpatur, cum non esset qui recte interpretaretur, intruderetur. Et verbi *mitti* significatum satis supra sententiam adversarii redarguentes examinavimus. Nihilominus ex iis absurdis, quæ a verbo *manifestare* ipse videtur colligere, ostendit semetipsum universas dictiones a Patribus in dictis ex Patre et Filio, sive per Filium enuntiatas, non alio significatu in Deo, et alio rursus aliis in locis, sed eodem et uno in omnibus accipere, quod magis ipsum in alia atque alia

ιβ'. Νῦν δὲ τοὺς ἀπὸ Χριστοῦ κεκλημένους τὸ πρὸς εἰρηναίας καταλλαγὰς ἀπιδεῖν αἰτιώμενος καθεξῆς ὁ ἀντίθετος φάσκει · « Τὸ ἐμφανίζειν, φασὶ, τὸ ἐκχεῖν, καὶ τὸ ἐκπορεύειν ταυτόν. Ὅταν οὖν ὁ Δεσπότης Ἰησοῦς ἐμφανίζειν ἑαυτὸν τοῖς ἀποστόλοις, οἱ δὲ ἀποροῦσι, διατί αὐτοῖς μέλλει ἑαυτὸν ἐμφανίζειν, καὶ οὐχὶ τῷ κόσμῳ ; εἰ τὸ ἐμφανίζειν ταυτόν τῷ ἐκπορεύειν, ἐξ ἀνάγκης κατ' αὐτοὺς ἑαυτὸν ἐκπορεύειν αὐτοῖς ἐπαγγέλλεται, ὃ δὴ ἐννοῆσαι ἄτοπόν ἐστι καὶ ἀσεβές. Καὶ ὅτε ὁ Θεὸς ἐμφανίζειν ἑαυτὸν φησι τῷ Μωϋσεῖ κατ' αὐτοὺς, ἑαυτὸν ἐκπορεύειν ὁ Θεὸς λέγει. « Καὶ ὅτε ἐκχεῶ, » φησὶν, « ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » ταυτὸν τῷ ἐκπορεύσω πάντως λέγει, εἰ ἐξ ἀνάγκης τὸ ἐκχεῖν καὶ τὸ ἐκπορεύειν ταυτόν. Εἰ μὲν οὖν τὸ Πνεῦμα ἔλεγεν ἐκχεῖν, εἶχεν ἂν τινα εὐπρόσωπον λόγον τοῦτο, εἰ καὶ μὴ ἀληθῆ · νῦν δὲ « ἀπὸ τοῦ Πνεύματός μου, » φησίν. Εἰ δὲ καὶ τὸ ἀποστέλλειν ταυτὸν τῷ ἐκπορεύειν τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τῷ Ἡσαΐᾳ τὸν Υἱὸν ἀποστέλλων, ἐκπορεύει δηλονότι αὐτόν. » Τὸ *ἐμφανίζειν* οὔτε τις τῶν θεηγόρων, ἐν οἷς ἐκ Πατρὸς καὶ Υἱοῦ, ἢ δι' Υἱοῦ τὸ Πνεῦμα θεολογοῦσι, λαμβάνων ὁρᾶται, οὔτε τις τῶν τοῦ πολλοστοῦ μέρους ἡμῶν, ἀλλὰ κἀκείνων πρὸς οὓς οὗτος ἔθετο τὰ τῆς διαλέξεως ἐκ τοῦ διερμηνέως οἶμαι τοῦτο δόξαι, φανερὸν ἴσως φαμένων, σπανίως εὑρισκομένου ταῦτα διερμηνεύειν εἰδότος εἰλικρινῶς. Καὶ περὶ τοῦ *ἀποστέλλειν* ἀρκούντως τὰ πρὸς ἔλεγχον διηνυκρίνηται. Ὅμως ἐξ ὧν ἀτοπημάτων ἐκ τοῦ ἐμφανίζειν φαίνεται συνάγων, παρίστησιν ἑαυτὸν ῥηματικὰς ἁπάσας φωνὰς, ὅσαι τοῖς Πατράσιν ἐν ταῖς ἐκ Πατρὸς καὶ Υἱοῦ, ἢ δι' Υἱοῦ θεολογίσις τρανοῦντας, μὴ καθ' ἑτέραν σημασίαν ἐπὶ Θεοῦ, καθ' ἑτέραν δ' αὖθις λαμβάνειν ἑτέρωσε, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτήν · καὶ τοῦτο

Digitized by Google Распознавание текста ABBYY FR

μᾶλλον αὐτὸν εἰς ἀτοπίας ἐκφέρει, καὶ πλανᾶσθαι ποιεῖ, οὐχὶ τὸ *ἐμφανίζειν*, ἤτοι τὸ *φανεροῦν*, ἄλλως καὶ ἄλλως νοούμενον. Εἰ γὰρ ὡς αὐτὸς ἡγεῖται καὶ δείκνυσιν ἐπὶ τοῦ Πνεύματος αἱ ῥηθεῖσαι φωναὶ ληφθήσονται, αὐτὸ τὸ *ἐκπορεύεται* σχεδὸν ἐν ἁπάσῃ Γραφῇ μυρίων δεκτικὸν ὑπάρχον διανοιῶν, εἰς ποῖον εἶδος τοῦτον οὐ συνελάσει βλασφημιῶν; εἰς οἷον τό· « Ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, » τὸ ἐν Ἰὼβ εἰρημένον; εἰ τὸ ἐπὶ τοῦ Πνεύματος ἐκπορεύεται, ὡς τοῦτο λήψεται, καθά φησιν ἐπὶ τῇ τοῦ ἐμφανίζειν. Καὶ αὖθις τὸ περὶ τοῦ ἀντικειμένου· « Ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι, ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένου πυρὶ ἀνθράκων. Φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται. » Καὶ τὸ ἐν Εὐαγγελίοις· « Ἔσωθεν ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται. » Καὶ πάλιν· « Οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον, ὃ δύναται κοινῶσαι αὐτὸν, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά εἰσι τὰ κοινοῦντα τὸν ἄνθρωπον. » Καὶ εἰς ἄπειρον ἀτεχνῶς ἡ τοῦ *ἐκπορεύεται* λῆψις παρὰ τῇ θείᾳ Γραφῇ κατὰ διάφορα σημαινόμενα, καὶ τούτων οὐδέν ἐστιν ὅλως, τῇ τοῦ Πνεύματος ἔχον ἐκπορεύσει τὸ ταυτοδύναμον, μὴ καὶ μόνῃ ψιλῇ ἐπινοίᾳ οἱῳδήτινι τοῦ τῶν Χριστωνύμων τοῦτο ληφθείη συστήματος· κἂν ἐπὶ Χριστοῦ τὸ ἐμφανίζειν ἑαυτὸν φαίη λελέχθαι. Ἀλλ' ἔξω τοῦτο τῆς θείας ἐκπορεύσεως τῆς τοῦ Πνεύματος· ἐπεὶ καὶ τὸ, « Ἐκπορευομένου ἀπὸ Ἰεριχὼ » περὶ τοῦ Σωτῆρός ἐστι λεγόμενον ἐν Εὐαγγελίοις. Καὶ πάλιν, « Ἐκπορευομένῳ αὐτῷ ἀπὸ Ἰεριχὼ ἠκολούθησεν ὄχλος πολύς. » Ἀλλὰ πόῤῥω ταῦτα τῆς δηλούσης τὴν ἀΐδιον καὶ διάφορον ὕπαρξιν τῆς τοῦ Πνεύματος ἐκπορεύσεως. Ὅθεν ὁ τὰς νοουμένας φωνὰς ἄλλῳ ἐπὶ τῆς θείας προόδου θεοπρεπῶς τε καὶ καταλλήλως, καὶ ἄλλως ἐπὶ τῶν ἐκτὸς μὴ οὕτω λαμβάνων, ἀλλὰ συνδρόμως, αὐτὸς καὶ τοῦ κακῶς λαμβάνειν καὶ τοῦ κακῶς συμπεραίνειν αἴτιος ἑαυτῷ. Ἡ μέντοι φανέρωσις ἐπὶ Θεοῦ λαμβανομένη εἰς ἀριθμὸν θεωρεῖται κατειλεγμένη τῶν μὴ καθ' αὑτὰς κεκτημένων τῇ ἐκπορεύσει τὸ ταυτοσήμαντον, ἀλλά γε δὴ τὸ ἑπόμενον, δόσεως, φημὶ, χορηγίας, καὶ πέμψεως, περὶ ὧν ὄνω που σαφῶς διηγόρευται. Οὐκοῦν εἰς τὸ ταυτὸν ἐναπολέλειπται τὸ *ἐκρεῖν*.

ιγ'. Ἡμεῖς δὲ πλείστας παραθήσομεν λέξεις ἐπὶ Θεοῦ διαφανῶς εἰς αὐτὸ τοῦτο συνερχομένας, ὡς ἂν ἔτι μᾶλλον γνωσθείη, ὡς καὶ τὸ *ἐμφανίζειν*, εἰ οὕτως εἶχεν ἐκφωνήσεως ὡς ἐτέθη, καὶ μὴ οὕτω πως, ὡς δεδήλωται, καὶ τοῦτο παραθεῖναι οὐκ ἂν παρελίπομεν. Ἔστι μὲν οὖν τῶν τὸ ταυτοδύναμον τρανουμένων τῷ *ἐκπορεύεται* τὸ *πηγάζειν*, τὸ *προχεῖσθαι*, τὸ *πρόεισι*, τὸ *πεφηνέναι*, τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » καὶ λοιπά. Καὶ ταῦτα τῆς ἐπὶ Θεοῦ μὲν λήψεως ἔξωθεν τῶν ὁμωνύμους δεχομένων διανοίας ὑπάρχουσι, μιᾶς δὲ καὶ ἁπλῆς τῆς ἐπὶ Θεοῦ σημασίας ἐμφαντικὰ, καθάπερ ἄρα τὸ *ἐκπορεύεται*. Καὶ τὸ μὲν *πηγάζειν*, ὅτι ταυτὸν φωνῇ τῇ τῆς ἐκπορεύ-

A absurda deducit, et longe lateque aberrare facit, non *manifestare*, aut *patefacere* alio atque alio significatu intellectum. Nam si, ut ipse existimat, ostenditque, de Spiritu sancto voces allatæ sumantur, ipsum *procedit* fere in universa Scriptura innumeras prope sententias atque intellectus admittens, in quasnam blasphemias non compellet? Et primum illud quod apud Jobum legitur: « uti abortus e vulva matris procedens [19], » si procedit de Spiritu prolatum in similem sensum assumitur, uti de voce apparere asseverat. Et rursus quod de pessimo dæmone dicitur: « Ex ore illius procedunt lampades accensæ, ex naribus ejus procedit fumus fornacis, igne carbonum succensæ. Flamma vero ex ore illius procedit [20]. » Et illud in Evangeliis: B « Intus ex corde hominum cogitationes pravæ procedunt [21]; » itemque: « Nihil deforis intus in hominem procedit, quod potest ipsum polluere, sed quæ procedunt ex ipso, ipsa sunt quæ polluunt hominem [22]. » Et innumera plane sunt, ad quæ denotanda diverso significatu apud divinam Scripturam verbi hujusce *procedit* usus assumitur: ex quibus nullum prorsus fuerit, quod cum processione Spiritus pares vires possideat, nec sola nuda cogitatione quispiam ex Christianorum cœtu unquam accipiet, etsi manifestare seipsum de Christo dictum esse asserat. Sed longe extraque hoc est a divina processione Spiritus, cum et illud de Salvatore in Evangeliis dicatur, « procedente ab C Jericho [23]. » Rursusque, « Procedentem ipsum ex Jericho secuta est multitudo magna [24]. » Sed quam longissime distant similia a processione notante sempiternam ac diversam Spiritus exsistentiam. Hinc qui dictas voces aliter de divino progressu, ut Deum addecet et congruenter, et aliter de externis pronuntiatas, non sic accipit, sed quasi unum significent, ipse sibi causa est, quod et male accipiat, et male concludat. Manifestatio siquidem de Deo accepta in eorum numero ponitur, quæ ex seipsis non possident eumdem cum processione significatum, sed illius quod inde sequitur, dationis, inquam, suppeditationis, et missionis, de quibus supra plene sermonem habuimus. Nec alio modo de verbo *effluere* edisserendum est. D

13. Nos porro quamplurimas dictiones apponemus de Deo clarissime in id idem concurrentes, ut magis ac magis innotescat, ideo nos hoc *manifestare*, quod non ita se haberet prolatio, uti posita est, et tali modo, ut expositum est, cum aliis non apposuisse. Dictiones itaque quæ eumdem cum processione significatum important, sunt, *emanare*, *effundi*, *progredi*, et *apparere*, necnon, « De meo accipiet, » et alia. Et hæc quidem cum de iis quæ extra Deum sunt, usurpantur, ad ea quæ homonymos significatus accipiunt, efferuntur, cum de Deo unum ac simplicem exprimunt, sicuti etiam illud *procedere*, et *emanare* quidem non diversum quid a processione

[19] Job xxxviii, 8. [20] Job xli, 10, 11. [21] Marc. vii, 21. [22] Ibid. [23] Marc. x, 46. [24] Matth. xx, 29

Digitized by Google Распознавание текста АВК/FR

ipsa notare ambo ingentia lumina, immortalitatis cognominem, necnon et ex gratia nomen sibi vindicantem Chrysologum ingenti voce edicentes supra adduximus. De *effundi* et *progredi*, sexto ad Hermiam libro a Deo edoctus Cyrillus definit in hunc modum : « Num tibi apertum est allatum eloquium, et vidisti, Spiritum quidem veritatis nuncupasse Paracletum? dixit enim eum progredi ex Patre, propria sibi omnia quæ Patris sunt, ostendens. » Idem in eodem ad eumdem : « Intelligis itaque quomodo uti proprium nobis mittere Spiritum promittit qui ex Patre est. Et Spiritum quidem veritatis vocat. Effundi vero ex ipso Patre decrevit. Necnon eum de ipso testimonium perhibiturum prænuntiavit. » Qua ratione qui *manifestare* arripuit, hæc præteriit? Vel quomodo præcepto Dominico de perscrutatione Scripturarum neglecto, quæ casu e lingua excidunt de propriis eloquitur? Qua ratione horum et similium in universali congressu duces in homonymas sententias adacti sunt, ubi Patrum vertex testatur Salvatorem in Evangeliis palam enuntiasse *profunditur*, et *egreditur*, ubi ille *procedit* fassus est? Sed hoc cogitationis facinus, aptius stultitiæ dixero, ipse divino nutu quasi prævi tens amolitur, et admodum perspicue, dum Cyprii et Muzalonis de Patre procedere et effundi idem indicare clamantium, de Filio vero aliter, os obturans, illud « eadem qua et a Patre ratione » contra opponit. Oratione siquidem ad Nestorium cujus principium : « Salvatore nostro palam dicente : *Qui diligit patrem et matrem super me, non est me dignus* [28], » non alia verba usurpat : « Licet sit Spiritus in propria hypostasi et secundum seipsum intelligatur, qua Spiritus est, et non Filius, nihilominus non est alienus ab eo; Spiritus enim veritatis dictus est, et est Christus veritas, et effunditur ab ipso eadem qua et a Patre ratione. » Sed et alibi locis in omnibus similes voces usurpans, « Quemadmodum, » ait, « de ipso Deo et Patre intelligitur. » Hinc disjiciuntur adversus veritatem novorum commentorum machinæ, et divina voce confirmatur, effusionem, et progressum, et processionem unum idemque esse. Sic plane confidenter mens theologiæ evigilis, et ex ea sibi nomen assumens clamat : « Neque enim nos de nominibus contendemus, donec eamdem sententiam syllabæ repræsentant. » Rursusque rerum invisibilium spectator magnus Dionysius : « A ratione alienum, maximeque absurdum, » asserens, « non vim ipsam instituti attendere, sed verba; neque hoc proprium est eorum qui res divinas intelligere cupiunt, sed sonos exiles auspicantur, eosdemque extrinsecus aure tenus admittunt, » tum demum subdit : « Quasi non liceat quatuor per bis duo significare, aut simplices lineas per lineas rectas, aut maternum solum per patriam, aut quodlibet, per id quod in pluribus

σεως, ἄμφω πεφθακότες φωστῆρας παρεγάγομεν τοὺς μεγάλους, τὸν φερώνυμον τῆς ἀθανασίας, καὶ τὸν χαριτώνυμον Χρυσολόγον μεγαληγόρως ἀναρρύττοντας· περὶ δὲ τοῦ *προχεῖσθαι*, καὶ *πρόεισι* τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν θεόσοφος Κύριλλος οὕτω θεολογεῖ· « Ἆρά σοι σαφὲς τὸ παροισθὲν ἐστι λόγιον, καὶ προσδέδορκας ὅτι Πνεῦμα μὲν ἀληθείας ὠνόμασε τὸν Παράκλητον; Ἔφη γε μήν, ὡς πρόεισιν ἐκ Πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ Πατρός. » Ὁ αὐτὸς ἐν τῷ αὐτῷ πρὸς τὸν αὐτόν· « Συνίης οὖν ὅπως ὡς ἴδιον καταπέμψειν ἡμῖν ἐπαγγέλλεται τὸ ἐκ τοῦ Πατρός. Καὶ Πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ· προχεῖσθαί γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ Πατρός. Καὶ μὴν ὅτι μαρτυρήσει περὶ αὐτοῦ προεμήνυσε. » Πῶς ὁ τὸ ἐμφανίζειν ἑλόμενος ταῦτα παρέδραμεν; Ἢ πῶς ὀλιγώρως ἔχων ἐρεύνης τῆς τῶν Γραφῶν, καὶ μᾶλλον ἐντεῦθεν τῆς Δεσποτικῆς ἐντολῆς, τὰ τυχαίως οἰκοθεν τῇ γλώττῃ προφερόμενα φθέγγεται; Ὡς δὲ τούτου καὶ τῶν ὁμοίων οἱ προαγοὶ εἰς ὁμωνυμιῶν ἀπηνέχθησαν ἐπινοίας παγκοσμίου συνελεύσεως, ἔνθα Πατέρων ὁ κορυφαῖος ἐν Εὐαγγελίοις τὸν Σωτῆρα μαρτύρεται, *προχεῖται* φάναι διαρρήδην καὶ *πρόεισιν*, οἷς εἴρηκεν *ἐκπορεύεται*; Ἀλλὰ τόδε τόλμημα τὸ τῆς ἐπινοίας, οἰκειοτέρως δ' εἰπεῖν τὸ τῆς ἀπονοίας, ὁ αὐτὸς θεοφόρος ὡσεί τις πρωρατικὸς καταστρέφει, καὶ οὕτω περιφανῶς, οἷς Κυπρίῳ καὶ τῷ Μουζάλωνι, ἐπὶ μὲν τοῦ Πατρὸς τὸ *ἐκπορεύεται*, καὶ *προχεῖται* τὸ αὐτὸ εἶναι φωνοῦσιν, ἐπὶ δὲ τοῦ Υἱοῦ τὸ ἄλλως κατὰ στόμα προσυπαντῶν, τὸ *καθὼς* ἀντιτίθησιν. Ἐν γὰρ τῷ πρὸς Νεστόριον λόγῳ οὗ ἡ ἀρχή· « Τοῦ Σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, *Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος*, » κατ' ἔπος ταῦτά φησιν· « Εἰ καὶ ἔστι τὸ Πνεῦμα ἐν ὑποστάσει ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ Πνεῦμά ἐστι καὶ οὐχ Υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός. » Ἀλλὰ καὶ ἀλλαχοῦ πανταχόσε φωναῖς ἐν παραπλησίοις, « Καθάπερ ἀμέλει, » φάσκει, « καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. » Ὅθεν ἀπελαύνεται μὲν τῆς ἀληθείας τὸ τῶν ἐπινενοημένων ἐφευρεμάτων μηχάνημα, βεβαιοῦται δὲ θεοστόμου φωνῆς ἡ ταυτότης εἶναι τῆς προχύσεως, καὶ προόδου, καὶ ἐκπορεύσεως, παῤῥησιάζεται δὲ καὶ τῆς θεολογίας ὁ γρήγορος νοῦς καὶ φερώνυμος κεχραγώς· « Οὐδὲ γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν εἰς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν. » Αὖθίς τε τῶν ἀθεάτων ὁ θεατὴς ὁ πολὺς Διονύσιος· « Ἄλογον καὶ σκαιὸν πάνυ ἀποκαλῶν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσιν· καὶ τοῦτο μὴ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον εἶναι, ἀλλὰ τῶν ἤχους ψιλοὺς ταῖς ἀκοαῖς εἰσδεχομένων, » ἐπάγει λέγων· « Ὅπερ οὐκ ἐξὸν τὸν τέσσαρα ἀριθμὸν διὰ τοῦ δὶς δύο σημαίνειν, ἢ τὰ εὐθύγραμμα διὰ τῶν ὀρθογράμμων, ἢ τὴν μητρίδα διὰ τῆς πατρίδος, ἢ ἕτερον τῶν πολλοῖς μέρεσι τοῦ λόγου ταυτὸ σημαι-

[28] Matth. x, 37.

Digitized by Google Распознавание текста ABBYY FR

νόντων. » Ἅπερ ὁ σύνεγγυς τούτου προτεθειμένος, καὶ πρὸς ἅπαν ὁμόφρων, ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ πρὸς τὸν ἐναντίον μεθοδεύων οὕτω φησίν· « Εἰ δέ σου τὰ δὶς πέντε λέγοντος, ἢ τὸ δὶς ἑπτὰ τὰ δέκα συνῆγον, ἢ τὰ τεσσαρεσκαίδεκα ἐκ τῶν λεγομένων, ἄρα ἂν σοι λῆρεῖν ἐνομίσθην; καὶ πῶς, τὰ σὰ λέγων; » Ἔτι τε Μάξιμος ὁ τὸν ζῆλον καὶ τὴν ὁμολογίαν ἀξιοθρύλλητος βοᾷ διατόρως· « Φωνὰς μὲν πολλάκις τοὺς Πατέρας παραχωρεῖν, ἐννοίας δὲ οὐδαμοῦ, ὅτι μὴ ἐν ῥήμασιν, ἀλλ' ἐν ἐννοίαις τῆς εὐσεβείας τὸ μέγα μυστήριον. » Οἱ γοῦν τὰ τῆς διαμάχης τῶν Ἐκκλησιῶν ἐν προσχήματι ζήλου μᾶλλον κρατύνοντες ὁσημέραι, ποῦ τὴν ἕδραν ἔχουσιν ἡδρασμένην, ὅτι μὴ καθαρῶς εἰς λαμπρὰν τῶν διειλημμένων ῥημάτων τε καὶ προσώπων ἀντιπαράταξιν; Πλὴν θεωρητέον καὶ λοιπὰς τῶν λέξεων, αἳ τὸ ταυτὸν παριστῶσι τῷ ἐκπορεύεται. Οὐδὲ γὰρ δέον ἃς ἀπηριθμήσαμεν ἐνθάδε παραδραμεῖν, εἰ καὶ ἐκ πολλῶν ὀλίγας ἡμῖν ἐστι τὸ παράγειν μαρτυριῶν καὶ λοιπῶν θέσεων. Οὐκοῦν περὶ τοῦ *πεφηνέναι* τῶν κεφαλαίων ἐν ἑνὶ τῷ, ὅτι θεία φύσις τὸ Πνεῦμα τὸ ἅγιον ὁ μεγαλόνους τάδε διαγορεύει Βασίλειος· « Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις καὶ θεία φύσις ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος πεφηνυῖα. » Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τοῦ λβ' ψαλμοῦ· « Ὡς οὖν ὁ δημιουργὸς Λόγος ἐστερέωσε τὸν οὐρανὸν, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ. » Ὅ γοῦν ἐκεῖσε « θεία φύσις ἐξ ἀῤῥήτου στόματος πεφηνυῖα, » ἐνταῦθα τοῦτο τρανῶς « ἐκ τοῦ στόματος ἐκπορεύεται. » Καὶ πῶς ὁ ὑψίνους ταῦτα, εἰ μὴ ἓν καὶ τὸ αὐτὸ κατὰ νοῦν οἶδεν ἄμφω τὸ *πεφηνέναι* καὶ *ἐκπορεύεσθαι*; Ὅτι δὲ πλεῖστοι τῶν θεοφορουμένων στόμα τοῦ Πατρὸς τὸν Υἱὸν δογματίζουσιν, ὁ ἐν ἁγίοις Ἀντιοχέων φωστὴρ Ἀναστάσιος μόνος παραληφθεὶς διευκρινήσειε καθαρῶς. Περὶ γὰρ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων, βίβλων δέ τινων ἡ ἐπιγραφὴ τὸν πολὺν ἐν τοῖς θείοις δόγμασι Θεόδωρον τὸν τῆς Ῥαΐθου πρεσβύτερον ἔχει, θεολογῶν οὕτω φησί· « Τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες, ὡς παράδειγμα τὴν ἀλληλουχίαν τῶν θείων ὑποστάσεων παρεστήσαμεν, διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ Πνεῦμα στόματος αὐτοῦ, δηλονότι τοῦ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ Μονογενοῦς. Καὶ Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ ἀποστελλόμενον οὐ μόνον παρὰ τοῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ Υἱοῦ. » Ὁ αὐτὸς ἐν τῷ περὶ ἀπεριγράπτου δευτέρῳ λόγῳ αὐτοῦ· « Νοῦν δέ φαμεν τὸν Πατέρα τοῦ Λόγου, νοῦν ἐν ᾧ Λόγος, μεθ' οὗ τὸ Πνεῦμα, τὸ ἅγιον Πνεῦμα στόματος τοῦ Θεοῦ χρηματίζον· στόμα γὰρ Πατρὸς ὁ Υἱός. » Τό γε μὴν « Ἐκ τοῦ ἐμοῦ λήψεται, » καὶ τὸ « Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, » ἃ φησιν ἐφ' ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς περὶ τοῦ Πνεύματος ὁ Σωτὴρ ἀποδεικτικαῖς πιστώσεσι καὶ κατασκευαῖς τῆς αὐτῆς παρίστησι διανοίας ὁ τὰ θεῖα πολὺς Ἐπιφάνιος, καθὼς ἄνω προδιειλήφαμεν.

A orationis partibus æquivalet. » Hæc qui ante eum proxime appositus est, et in omnibus cum ipso concordans oratione de Spiritu, in adversarium dirigens hunc in modum disponit : « Quod si, ubi tu dixeris bis quinque aut bis septem, ego decem, aut decem et quatuor colligerem ex pronuntiatis, reputarerne tibi insulse inepteque loqui? Et quomodo id fuerit, cum tua ipse recitem? Sic et Maximus zelo et confessione laudatissimus sonore clamat : « Voces sæpenumero deiloquos Patres concedere, sententias nullo modo, quod non in verbis, sed sententiis pietatis magnum mysterium exsistit. » Qui itaque Ecclesiarum dissidium simulato zelo magis ac magis singulis diebus constabiliunt, ubinam pedem firmum sistunt, seseque B securos reddunt, nisi perspicue in aperta verborum supra positorum ac personarum oppugnatione? Nihilominus aliæ quoque voces considerandæ sunt, quæ non aliud quam ipsam processionem significant. Neque enim operæ pretium est alias enumeratas hic præterire, licet ex multis paucas huc afferre ad comprobanda statuendaque quæ dicimus animus sit. De *apparere* in uno ex capitibus, in quo agitur, divinæ naturæ esse Spiritum sanctum, magna mente præditus Basilius hæc scribit : « Spiritus enim una cum vivente Verbo collocatus, ad creandum vivens facultas et divina, natura ineffabilis ex ineffabili ore apparens. » Idem in expositione Psalmi trigesimi secundi : « Uti itaque creator Verbum cœlum firmavit, sic et Spiritus Dei, qui C a Patre procedit, ex ore nempe illius. » Quod igitur ibi est « divina natura ex ineffabili ore apparens, » hic illud perspicue « ex ore procedit. » Et quo ratione similia excelsa mente præditus insinuaret, nisi eamdem unamque sententiam illius *apparere* et illius *procedere* dignosceret? Plerosque autem ex divinis Patribus *os Patris* Filium esse definisse, sanctus Antiochenorum lumen Anastasius solus adductus dijudicabit. Palam enim de rectis secundum nos veritatis dogmatibus, licet nonnulla volumina in dogmatibus decernendis præclarissimum Theodorum Raythenum presbyterum titulo præscribant, theologorum more rem pertrac- D tans hæc scribit : « Corporis vero proprietatem in exemplum accipientes, mutuam divinarum hypostaseon cohærentiam, per membrorum proportionem et assimilationem repræsentavimus. Hinc et Spiritus oris illius, nempe Dei Spiritus sanctus dicitur, cui Unigenitus os est, et Spiritus rursus ex ipso procedens, et missus non solum a Patre, sed etiam a Filio. » Idem oratione secunda de incircumscripto : « Mentem dicimus Patrem Verbi, mentem in qua Verbum, cum quo Spiritus sanctus, Spiritus oris Dei exsistens; os enim Patris Filius. » Illud porro, « De meo accipiet, » necnon et illud, « Ex Patre procedit, » quæ de seipso et Spiritu profert Salvator, rem probantibus demonstrationibus et argumentis eamdem sententiam inferre in rebus divinis maximus Epiphanius confirmat, ut antea ostendimus.

Digitized by Google Распознавание текста АВК/FR

14. Nunc itaque videamus, quæ ipse proponit ad redarguendum illud *effundere*, qui in vocibus frequenti usu tritis paritatem sententiæ temerarie redarguit, nesciens de quibus decernat, ut Scripturæ verbis utar, sicque ex proxime appositis seipsum magis ac magis publice redarguendum dedat. Videamus ergo ut ille *effundere* redarguat : « *Cum effundam*, ait, *a Spiritu meo in omnem carnem* [26], idem illi *procedere faciam*, prorsus dicit, si necessario effundere, et procedere facere idem est. » Si igitur Spiritum effundere assereret, non extra rationem quoquo modo loqui licet falsa videretur, nunc vero « a Spiritu meo » dicit. Quid quispiam diceret de tanta confidentia et libertate dicendi, cum scripta divinorum Patrum aperte destruantur, et eorum auctores ac divini magistri, quasi veritati non adhæreant, sed ab ea longe lateque aberrent, convitiis afficiantur? Quis enim non novit commune omnium placitum in Ecclesia esse, dictum propheticum : « Effundam de Spiritu meo, » significare a Domino effusum fuisse Spiritum sanctum, cum aliquando sonore clamat, « demisit illum, » aliquando, « effudit in sanctos discipulos et apostolos? » Et quomodo adversarius blaterat : « Si itaque dixisset, Spiritum effundere » quasi non admittat ipsum Paracletum effundi? Quid ille sibi ipsi animo proposuerit, ego equidem non capio. Ubinam ponet magnos præcones, ambos primarios, quorum alter Vas electionis, qui ad Titum scribens : « Salvavit nos Deus et Pater, » edicit, « per lavacrum regenerationis, et renovationis Spiritus sancti, ex quo effudit in nos affluenter per Jesum Christum Salvatorem nostrum [27], » alter est regni cœlestis sacer claviger, qui postquam exposuisset laudati prophetæ verba, ut divinus Lucas in Actis narrat, apud præsentes tum conciocinans docet : « Dextera igitur Dei exaltatus, » Deus et homo Christus, « et promissione Spiritus sancti » ab Joele vidente prædicta, « accepta a Patre effudit hoc quod vos videtis et auditis [28] » cum abundantia, hoc est suorum donorum et gratiarum effudit, quod vos Judæi sub specie igneorum linguarum videtis, et per violentum flatum auditis. Hinc divinissimus Cyrillus oratione Prosphonetica ad piissimas imperatrices de recta fide, hunc in modum definit : « Egit itaque quæ erant Dei et Patris Filius, Spiritum dedens ipse. Humana igitur assumptio est, sed Deo conveniens, et super hominem, ex proprio complemento etiam in alios effundere dationem. Quod si non extra tempus est illum accipi per Dominum ab apostolis, et aliis signiferis hominibus, supra tamen tempus est illum ex essentia effundere sua, et perpetuo ipsum existere. Quapropter in ipsa interpretatione Joelis prophetæ in illud : « Effundam ex Spiritu meo, » idem sacrorum sermonum concinnator ita edisserit : « Etenim qua Deus est, et ex Deo secundum na-

ιδ'. Τοῦ λοιποῦ τοίνυν ὀψόμεθα, καὶ ὅπερ αὐτὸς τίθησιν εἰς ἔλεγχον τὸ *ἐκχεῖν* ὁ ἐπὶ φωνῶν καθόλου θεολογίαις ἐμπεριεχομένων τὸ ταυτὸν θρασυνόμενος διελέγχειν, μὴ εἰδὼς περὶ ὧν διαβεβαιοῦται, τὸ τῆς Γραφῆς, ὅπως ἐκ τῶν ἀγχοῦ παρατεθειμένων θριαμβεύει μᾶλλον ἑαυτὸν διελέγχεσθαι. Ἴδωμεν τοίνυν καὶ τὸν εἰς τὸ *ἐκχεῖν* ἔλεγχον· « Ὅτε *ἐκχεῶ*, φησὶν, *ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*, ταυτὸν τῷ *ἐκπορεύσω πάντως*, λέγει εἰ ἐξ ἀνάγκης τὸ ἐκχεῖν καὶ τὸ ἐκπορεύειν ταυτόν. » Εἰ μὲν οὖν τὸ Πνεῦμα ἔλεγεν ἐκχεῖν, εἶχεν ἄν τινα εὐπρόσωπο λόγον τοῦτο, εἰ καὶ μὴ ἀληθῆ. Νῦν δὲ, « ἀπὸ τοῦ Πνεύματός μου, » φησί. Τί τις ἂν φαίη τῇ τοῦ καθ' ὧν λέγειν ἀδείᾳ γραφῆς τῶν θεοπνεύστων προδήλως ἀναιρουμένης, καὶ τῶν τῇδε θεοβραβεύτων διδασκάλων λοιδορουμένων, ὡς ἀληθείας μὴ ἐχομένων, ἀλλ' ἀποδιισταμένων αὐτῆς; Τί γὰρ οὐκ οἶδε κοινῆς θέσεως εἶναι τῇ Ἐκκλησίᾳ τὴν, « Ἐπχεῶ ἀπὸ τοῦ Πνεύματός μου, ῥῆσιν προφητικὴν δηλοῦσαν αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐκχέαι τὸν Κύριον, ποτὲ μὲν βοώσῃ διαπρυσίως, « κατέπεμψεν αὐτὸ, » ἐνίοτε δὲ « ἐξέχεεν ἐπὶ τοὺς ἁγίους μαθητὰς καὶ ἀποστόλους; » Καὶ πῶς φησιν ὁ ἀντίθετος, « Εἰ μὲν οὖν τὸ Πνεῦμα ἔλεγεν ἐκχεῖν, » ὡς μὴ αὐτὸν δεχόμενος ἐκχεῖν τὸν Παράκλητον; οὐκ οἶδα δ' ὅ τι νοῶν. Ποῦ δὲ θήσει τοὺς μεγαλοκήρυκας ἄμφω κορυφαίους, ὧν ὁ μὲν τὸ σκεῦος τῆς ἐκλογῆς πρὸς Τίτον ἐπιστέλλων, « Ἔσωσεν ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ, » ἀνακηρύττει, « διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν· » ὁ δὲ τῆς οὐρανῶν βασιλείας ὁ ἱερὸς κλειδοῦχος μετὰ τὸ διερμηνεῦσαι τὰ τοῦ δηλωθέντος προφήτου ῥήματα, καθὼς ὁ θεηγόρος ἱστορεῖ Λουκᾶς ἐν ταῖς Πράξεσι, πρὸς τοὺς τότε παρεστῶτας διδάσκει δημηγορῶν· « Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, » ὁ θεάνθρωπος Χριστὸς δηλονότι, « τὴν ἐπαγγελίαν περὶ τοῦ ἁγίου Πνεύματος, » τὴν παρὰ τοῦ ὁρῶντος Ἰωὴλ προαγγελθεῖσαν, « λαβὼν παρὰ τοῦ Πατρὸς ἐξέχεε τοῦτο, ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε, » μετὰ δαψιλείας, τουτέστι τῶν αὐτοῦ δωρημάτων καὶ χαρισμάτων ἐξέχεεν, ὅπερ ὑμεῖς οἱ Ἰουδαῖοι διὰ μὲν τοῦ εἴδους τῶν πυρίνων γλωσσῶν βλέπετε, διὰ δὲ τῆς βιαίας πνοῆς ἀκούετε. Ὅθεν ὁ θειότατος Κύριλλος ἐν τῷ Προσφωνητικῷ λόγῳ ταῖς εὐσεβεστάταις βασιλίσι περὶ τῆς ὀρθῆς πίστεως οὕτω θεολογεῖ· « Ἐνήργησεν οὖν τὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, τὸ Πνεῦμα διδοὺς αὐτός. Ἀνθρωπίνη τοίνυν ἡ λῆψις, θεοπρεπὲς δὲ καὶ ὑπὲρ ἄνθρωπον τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἑτέρους ἐκχεῖν τὴν δόσιν. » Εἰ δὲ καὶ ἐν χρόνῳ τὸ λαμβάνειν αὐτὸ παρὰ Κυρίου τοὺς ἀποστόλους, καὶ λοιποὺς σημειοφόρους ἄνδρας· ἀλλ' ὑπὲρ χρόνον τὸ ἐκ τῆς οὐσίας αὐτοῦ ἐκχεῖν, καὶ ἀϊδίως αὐτὸ ὑπάρχειν. Διὸ καὶ ἐν αὐτῇ τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ τῇ, « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, » ὁ αὐτὸς ἱερολόγος διέξεισιν οὑτωσί· « Ἦ μὲν γάρ ἐστι Θεὸς, καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς, γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πα-

[26] Joel II, 28; Act. II, 17. [27] Tit. III, 5, 6. [28] Act. II, 33.

Digitized by Google Распознавание текста ABBYY FR

τρὸς, ἴδιον αὐτοῦ καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. » Οὐ μόνον ἐνταῦθα μαρτύρεται προφανῶς ὁ μέγας, τὸν Υἱὸν ὡς τὸν Πατέρα τὸ θεῖον ἔχειν Πνεῦμα, ἐκ τοῦ φάσκειν « ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμα, εἴπερ ἴδιον τοῦτο καὶ τοῦ Πατρὸς, » καὶ εἴπερ, ὡς ἐρρέθη, τοῦ *ἰδίου* καθόλου σαφὴς ἀνάπτυξις ἐπὶ τοῦ Θεοῦ, τὸ ἐκ τῆς οὐσίας δηλοῦν, ἔτι τε ἐκ τοῦ λέγειν, « ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, » ἀλλὰ καὶ τελευταῖον ἐκ τοῦ ἐπάγειν πλεονασμῷ διευκρινήσεως, « οἷον καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. » Καίτοι τούτων ἕκαστον οὐχ ὅπως ὁμοῦ, ἀλλὰ καὶ τῇ ἀνὰ μέρος θεωρίᾳ τράνωσιν ἔχει τῆς σημασίας τοῦ ἐκπορεύεται. Καὶ τοῦ λοιποῦ σκεψάτωσαν οἱ τῆς μοίρας τοῦ οὕτως ἐξηγουμένου, ὡς προεκτέθειται, τὸ, « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, » πῇ φέρεται, καὶ κατὰ τίνων φρυάττεται. Οὐκ ἄρα δὲ τὸ *ἐκχεῖν*, καὶ *προχεῖσθαι*, καὶ *ἔκχυσις*, καὶ *πρόχυσις*, καὶ τὸ *προχεόμενον*, ἀλλά γε δὴ καὶ *χύσις*, καὶ τὸ *χεόμενον*, καὶ τὸ *χέεσθαι* τὴν οὐσιώδη δηλοῦσι καὶ ἄϊδιον ὕπαρξιν ἐπὶ τῶν θεαρχικῶν ὑποστάσεων λαμβανόμενα, καὶ τοῦτο μυσταγωγῶν ὁ τῆς θεολογίας γρήγορος μυστολέκτης ἐν τῷ εἰς τὰ Γενέθλια λόγῳ βοᾷ· « Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος καταχριθῶμεν. » Τὸ γὰρ « μὴ ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, » τὸ μὴ εἰς πλείονα τῶν ἀριθμηθέντων τριῶν προσώπων τὴν ὕπαρξιν ἐχούσης παρίστησιν. Οὐ γὰρ « ῥύσιν θεότητο; » ἐννοῆσαι τὴν ταύτης χύσιν τολμήσει τις, ἀλλὰ τὸν μόνιμον ἐντεῦθεν γνώσεται πηγασμὸν, καὶ τὴν ἄϊδιον ὕπαρξιν τὴν ἐν τρισὶ προσώποις ὁριζομένην, τῷ γεννῶντι Πατρὶ, τῷ γεννωμένῳ Υἱῷ, καὶ τῷ ἐκπορευομένῳ Πνεύματι.

ιε'. Ὡς δὲ καὶ τοῦτο θεωρηθείη, συμβάλλον οὐχὶ μικρῶς καὶ πρὸς τὴν τῆς ταυτότητος τῶν φωνῶν, περὶ ἧς ὁ λόγος, φωταύγειαν, ὁ τὸ ἐκπορεύειν ἐνταῦθα συχνῶς προφέρων, εἰ περὶ πλείστου τοῖς ῥήτορσιν ἔσχεν εἰδέναι, ποῖαι τῶν λέξεων ταῖσδε τῶν ἐννοιῶν φέρουσι τὸ κατάλληλον, ποῖαι δὲ τὸ ἀπᾷδον, ὡς ἔχειν ταῖς μὲν ὅπου δεῖ χρῆσθαι, τῶν δὲ ἀφίστασθαι, πῶς οὐχὶ περὶ πλείονος ἔδει θέσθαι μᾶλλον, ὅπως ἐν ταῖς θεολογίαις καθορᾶται τοῦτο τοῖς θεορρήμοσιν; Ἰδοὺ γὰρ τὸ ἐκπορεύει, καὶ τὸ ἐκπορεῦον τὰ κατ' ἐκφώνησιν ἐνεργητικὰ ἥκιστα παρά τινι τῶν ἐν δόγμασι διαλαμψάντων εὕρηται ὁπουδήποτε, οὔτε μὴν τὸ ἐκπορευτής. Ὅθεν ὁ τὸν ζῆλον καὶ τὴν σοφίαν φερώνυμος Μάξιμος, Ἀνομοίου, ἤγουν Ἀρειανιστοῦ μετὰ ὀρθοδόξου διάλεξιν συγγραφόμενος, ὡς ἀπὸ τοῦ Ἀνομοίου φησὶ κατ' ἐρώτησιν· « Οὐκ ἔστιν οὖν διαφορὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος; » Ὡς ἀπὸ τοῦ Ὀρθοδόξου· « Ἐν τῇ φύσει οὔ, ἐν τῷ θελήματι οὔ, ἐν τῷ γεννᾶν καὶ γεννᾶσθαι, καὶ ἐκπέμπειν, καὶ ἐκπορεύεσθαι. » Καὶ ἀπὸ τοῦ Ἀνομοίου· « Τί ἐστι γεννᾶν ἢ γεννᾶσθαι, καὶ ἐκπέμπειν, καὶ ἐκπορεύεσθαι; » Ἀπὸ τοῦ Ὀρθοδόξου, « Ὅτι μὲν Πατὴρ γεννᾷ, τουτέστιν ἐγέννησεν, ὁ δὲ

turam Filius; generatus enim est ex Deo et Patre, proprius ipsius et in ipso et ex ipso Spiritus est, non alia ratione, sed qua intelligitur ille esse et Dei et Patris. » Non tantum hic astruit palam magnus hic vir, Filium æque ac Patrem divinum habere Spiritum, dum dicit: « Proprium Filii Spiritum, si proprius ille est Patris, » etsi, ut dictum est, *proprii* in universum plane interpretatio in Deo, illud ex essentia indicat; tum quoque cum dicit: « Ex Filio Spiritus est, » sed et tandem cum inducat dijudicationem addens, « non alia ratione, sed qua intelligitur ille esse Dei et Patris. » Et nihilominus unumquodque ex his, non tantum simul conjuncta, singulari uniuscujusque consideratione processionem manifestant. Interim examinent, qui partes sequuntur similis expositionis, ut antea appositum est, in illud: « Effundam ex Spiritu meo, » quonam is agatur, et adversus quos fremat. Non igitur *effundere*, et *profundi*, et *effusio*, et *profusio*, et *profusum*, et *fusio*, et *fusum*, et *fundi*, cum de divinitatis principibus hypostasibus prædicantur, essentialem et sempiternam exsistentiam indicant. Et hoc instruens theologicorum mysteriorum vigil collector, oratione in Natalem Domini clamat: « Dei vero cum dixero, dico Patris et Filii et Spiritus sancti, cum ultra hæc Deitas non effundatur, ne multitudinem deorum introducamus, neque inter hæc circumscribatur, ne Deitatis paupertatem astruere condemnemur. » Namque illud, « cum ultra hæc Deitas non effundatur, » non in alias ab enumeratis tribus personis exsistentiam extendi demonstrat. Neque enim « fluxum Deitatis » illius fluxum quispiam audebit concipere, sed firmum inde ac stabilem effluxum, et sempiternam exsistentiam cognoscet in tribus personis definitam, Patre generante, genito Filio, et procedente Spiritu.

15. Ut vero illud quoque speculemur, maximopere conducens ad vocum, de quibus nunc verba facimus, elucidationem, qui ἐκπορεύειν hic frequenter circumfert, si attentius animum advertisset, ut addisceret quænam dictiones his sententiis assimilantur apud rhetores, et quæ diversum tinniunt, ut posset his quidem, ubi opus est, uti, ab aliis abstinere, quomodo non majori attentione incumbendum illi erat, ut in rebus theologicis illæ apud diviniloquos Patres assumuntur? Namque illud ἐκπορεύει, et ἐκπορεῦον, quæ secundum prolationem activa sunt, nusquam apud aliquem ullo in loco, dummodo ille in decernendis dogmatibus insignis habitus est, invenitur, et multo minus ἐκπορευτής. Unde qui ex zelo ac sapientia nomen sibi comparavit, Maximus, Anomœi, Arianistæ nempe cum orthodoxo colloquium componens, ex persona Anomœi, quasi ille interrogaret: « Non est igitur differentia Patris et Filii, et Spiritus sancti? Orthodoxus: « In natura non, in voluntate non, sed in generare, et generari, et emittere, et procedere. Tum Anomœus: « Quid est generare, sive generari, et emittere, et procedere? » Respondet Orthodoxus: « Quod Pater quidem

Digitized by Google Распознавание текста ABK/FR

generat, hoc est generavit. Filius vero generatur, hoc est genitus est. Et quod ipse Pater emittit Spiritum, et Spiritus procedit, hoc est processit. » Utrumque magnus hic homologeta ostendit, nullo modo esse in usu ἐκπορεύειν, et nullo modo, si sententiam spectas, hoc ipso minus significare *emittere*. Cum enim non semel, sed bis et sæpius opus esset in brevi isto colloquio τὸ ἐκπορεύειν dicere, non ipsum, sed simile et quod non aliam sententiam inferret, pronuntiavit. Qui item a miris edendis nomen consecutus est Neocæsariensium præsul, Gregorius, hæc ipsa verba eumdem significatum exprimere confirmat. Oratione siquidem cujus illud principium est : « Inimicissimi, et ab apostolica confessione alieni sunt, qui Filium ex iis quæ non sunt, » sic inquit : « Ingenitus cum sit Pater, genitus vero Filius ex Patre, Spiritus vero ex essentia Patris per Filium ab æterno emissus. » Quasi vero hoc in nulla re differret a *processit*, ut mentem suam exprimeret, pronuntiavit. Ejusdem nominis alter, Theologiæ vertex non tantum nominibus, sed verbis etiam id idem illustrabit. Is ad Heronem Philosophum oratione scribit : « Patris proprium est ingenitura, Filii generatio, Spiritus emissio. » Et in secundo de pace : « Ita sentimus, ait, et ita tenemus, ut quomodo illa se habeant inter se relatione et ordine, soli ipsi Triadi concedamus cognitionem, et quibus ipsa Trias revelaverit expurgatis sive nunc sive postmodum. Ipsi vero unam et eamdem Deitatis naturam, quæ absque principio, et generatione, et progressu cognoscimus. » Quod ibi est *ingenitura*, id hoc in loco est *absque principio*, quod personarum dualitas ex Patre est, dum secundum illud absque tempore tres simul absque principio sunt. Ibi vero et hic *generatio* eodem vocabulo expressa est. Et quod ibi *emissio*, hic est *progressus*. In aliis quoque hic ipse et alii Patres theologi aliis vocibus non aliud ab hisce significantibus plane rem eamdem exprimunt, quas brevitatis causa præterimus, cum alii nostri sermones de his iisdem agant.

16. Delineeps post verba illius, cum quo colloquium concinnat, hæc apponit : « Quemadmodum si quis dicat, dextro pedi basim fieri, non addens et sinistro, imperfecte loquitur, et secundum sententiam solœcismum facit, non structura : pari ratione, » inquit, « et qui Spiritum sanctum dicit ex Patre procedere, non addens, etiam ex Filio, imperfecte pronuntiat et, secundum sententiam errat. Si itaque hoc est, ipse Dei Filius in Evangeliis dicens : *Cum venerit Paracletus, quem ego mittam vobis a Patre, Spiritum veritatis, qui a Patre procedit*, non addens, *et ex me*, imperfecte secundum ipsos loquitur, et vitiose secundum sententiam labitur. Sed longe sit a nobis similis blasphemia. Aut ostendite, inquiunt, in divinis Scripturis affirmari, Spiritum etiam ex Filio non procedere, vel admittite etiam coacti affirmationem, ex ipso nempe procedere. Sed hoc sophisma est. Neque enim quia non potest quis ex sacra Scriptura demonstrare Filium

A Υἱὸς γεννᾶται, τουτέστι γεγέννηται. Καὶ ὅτι αὐτὸ, ὁ Πατὴρ ἐκπέμπει τὸ Πνεῦμα, καὶ τὸ Πνεῦμα ἐκπορεύεται, τουτέστιν ἐκπεπόρευται. » Ἑκάτερον ὁ μέγας δείκνυσιν ὁμολογητὴς, τὸ μήτε τοπαράπαν ἐν χρήσει τὸ ἐκπορεύειν εἶναι, καὶ τὸ μηδαμῶς αὐτοῦ τούτου κατὰ νοῦν τὸ *ἐκπέμπειν* ἀπολιμπάνεσθαι. Δεῖσαν καὶ γὰρ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐν συντόμῳ διαλόγῳ τὸ ἐκπορεύειν ἐρεῖν, οὐ τοῦτο, ἀλλὰ τὸ ταυτὸν, καὶ οὐκ ἄλλο κατὰ διάνοιαν ἐξεφώνησε. Καὶ τοῖς θαύμασιν ὁ φερώνυμος ποιμὴν τῶν Νεοκαισαρέων Γρηγόριος τὸ ταυτίζεσθαι ταῦτα ῥήματα βεβαιοῖ. Ἐν γὰρ τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, « Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, » οὕτω φησίν· « Ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννηθέντος δὲ τοῦ Υἱοῦ ἐκ B Πατρὸς, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς· δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος. » Ὡς γοῦν μηδὲν τόδε διαφέρον τοῦ *ἐκπορευθέντος* εἰς ἔννοίας δήλωσιν εἴρηκε. Τούτου δὲ ὁ ὁμώνυμος, ἡ τῆς θεολογίας ἀκρότης, ὡς καὶ ἐν ὀνόμασιν, οὐχ ὅπως ἐν ῥήμασι τὸ ταυτὸν διαυγάσοι, ἐν μὲν τῷ πρὸς Ἥρωνα τὸν φιλόσοφον λόγῳ, « Πατρὸς μὲν, » φησὶν, « ἴδιον ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπεμψις, » ἐν δὲ τῷ δευτέρῳ τῶν Εἰρηνικῶν, « Οὕτω φρονοῦμεν, » φάσκει, « καὶ οὕτως ἔχομεν, ὥστε ὅπως μὲν ἔχει ταῦτα πρὸς ἄλληλα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι, καὶ οἷς ἂν ἡ Τριὰς ἀνακαλύψῃ κεκαθαρμένοις ἢ νῦν, ἢ ὕστερον. Αὐτοὶ δὲ μίαν καὶ τὴν αὐτὴν εἰδέναι φύσιν θεότητος, ἀνάρχῳ, καὶ γεννήσει, καὶ *προόδῳ* C γνωριζομένην. » Ὃ οὖν ἐκεῖ ἡ *ἀγεννησία*, τοῦτο ἐνταῦθα τὸ *ἄναρχον*, κατὰ τὸ ἐκ Πατρὸς εἶναι τὴν τῶν προσώπων δυάδα· ἐπεί γε κατὰ τὸ ἄχρονον τὰ τρία συνάναρχα. Κἀκεῖσε δὲ καὶ ἐνθάδε ἡ γέννησις δι' αὐτῆς δεδήλωται λέξεως. Καὶ ὅπερ ἡ *ἐκπεμψις* ἐκεῖ, ἐνταῦθα ἡ *πρόοδος*. Ἐν ἄλλοις δὲ ὁ αὐτὸς, καὶ λοιποὶ τῶν θεολόγων Πατέρων, διὰ φωνῶν ἑτέρων τὸ ταυτὸν ταῖσδε σαφῶς ἐκτίθενται, ἃς διὰ τὸ μῆκος ἐῶμεν. Ἄλλοι δὲ τῶν ἡμετέρων λόγων περὶ τῶνδε διαλαμβάνουσιν.

ις'. Ἑξῆς τοῦ μεθ' οὗ πεποίηται τὴν διάλεξιν τίθησι ταῦτα· « Ὥσπερ εἴ τις λέγει τὴν βάσιν τῷ δεξιῷ ποδὶ γίνεσθαι, μὴ προστιθεὶς καὶ τῷ εὐωνύμῳ, ἀτελῶς λέγει, καὶ σολοικίζει κατὰ τὸν νοῦν, οὐ κατὰ τὴν συνθήκην· οὕτω, » φασὶ, « καὶ ὁ, Τὸ Πνεῦμα τὸ D ἅγιον, λέγων, ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, μὴ προστιθεὶς καὶ ἐκ τοῦ Υἱοῦ, ἀτελῶς λέγει καὶ πταίει κατὰ τὸν νοῦν. Εἰ οὖν τοῦτο, αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς ἐν τοῖς Εὐαγγελίοις λέγων, *Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*, μὴ προστιθεὶς καὶ τὸ, *παρ' ἐμοῦ*, ἀτελῶς κατ' αὐτοὺς λέγει, καὶ κατὰ νοῦν πταίει. Ἀλλ' ἀπείη ἡμῶν αὕτη ἡ βλασφημία. Ἢ δείξατε, φασὶν, ἐν τῇ θείᾳ Γραφῇ λεγόμενον, ὅτι οὐκ ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἢ καταδέξασθε καὶ ἄκοντες τὴν κατάφασιν, ὅτι καὶ ἐξ αὐτοῦ ἐκπορεύεται. Τοῦτο δὲ ἔστι σόφισμα. Οὐδὲ γὰρ ἐπεὶ μὴ ἔχει τις ἐν τῇ θείᾳ Γραφῇ καὶ τὸν Υἱὸν δεῖξαι, ὅτι οὐ γεννᾷ-

Digitized by Google Распознавание текста АВК/FR

ται ὑπὸ τοῦ Πνεύματος, ἤδη τὴν κατάφασιν ὁμολογήσει, ὅτι γεννᾶται. Τὸ δ' αἴτιον ὅτι ἄλλο τὸ μὴ εἶναι, καὶ ἄλλο τὸ μὴ εἰρῆσθαι. Οὐ γὰρ ἐπεὶ μὴ εἴρηκέ τις σήμερον τῶν παρ' ἡμῖν, ὅτι οὐκ ἀστράπτει, ἀναγκασθήσεταί τις δοῦναι τὴν κατάφασιν, ὅτι ἀστράπτει. Ἡμεῖς οὖν οἱ ὑπὲρ τῆς εἰρήνης τῆς τοῦ Θεοῦ Ἐκκλησίας φθεγγόμενοι, ὡς οἶδεν ὁ ταῖς τῶν ἀνθρώπων καρδίαις ἐμβατεύων Θεὸς, πρὸς τοὺς τούτου λόγους, οὐχὶ πρὸς ἐκδίκησιν τοῦ πρὸς ὃν αὐτῷ ἡ ἀντιδικία, φαμὲν, ὡς ἐξ ὧν ἀγχοῦ λέγων, δικαιοῦν ἑαυτὸν οἴεται, τῇδε τῇς οἰήσεως ταῖς ἐγκατεστρωμέναις ἄνω ῥήσεσι θεολογικαῖς ἀπελαύνεται, καὶ μάταιον τὸ τῆς ἐπιφορᾶς τῆς βλασφημίας ἐλέγχεται καὶ τὸ τῆς ὀγκώσεως τῆς ἐκ τοῦ ἀπεύχεσθαι. Κύριλλος γὰρ ὁ θεῖος ἐν ταύταις διαπρυσίως μαρτύρεται, « Προχεῖται καὶ πρόεισιν ἐρεῖν τὸν θεάνθρωπον εἰρηκότα, Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » ταυτίζεσθαι πάντως εἰδὼς τῶνδε τῶν φωνῶν τὸ τριττὸν, καὶ ἥκιστα διαλλάττον κατὰ διάνοιαν. Ὁ αὐτὸς δὲ κράζει μεγαλοφώνως· « Καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός. » Ἔτι τε ἡ ἄγκυρα τῶν δογμάτων ἐν αὐταῖς Ἐπιφάνιος ὁ μέγας τὸ αὐτὸ δηλοῦν παρίστησι φανοτάτως ἐξ ἀναγκαίων κατασκευῶν, ὡς ἐπὶ τοῦ Πατρὸς, « Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » οὕτως ἐπὶ τοῦ Υἱοῦ τὸ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » καθὰ προδιήγγελται, ἅπερ ἐν τῷ αὐτῷ θείῳ Εὐαγγελίῳ ἐν τῇ αὐτῇ καὶ μιᾷ περικοπῇ, καὶ λίαν ἐγγύτατα. Καὶ ποῦ τὸ τοῦ ἀντιδίκου περὶ τοῦ Κυρίου, τὸ, « Μὴ προστιθεὶς καὶ τὸ, παρ' ἐμοῦ; » Καὶ οὗτος ταῦτα, ἢ τὰ τῶν θεολήπτων ἐπελθεῖν ὅλως μὴ ἀξιώσας, ὡς ἑαυτὸν ἀναφαίνει, ἢ τῶνδε μᾶλλον τὰ τῆς κακίας προκρίνας τῆς ἐκ προλήψεως. Αὐτοὶ δὲ τοῖς Θεοσόφοις Ἐπιφανίῳ τε καὶ Κυρίλλῳ, οἷς περὶ τοῦ, « Ἐκ Πατρὸς ἐκπορεύεται, » καὶ « Ἐκ τοῦ ἐμοῦ λήψεται, » παραδιδόντες θεσπίζουσιν, ἀκολουθεῖν ἐξ ἀνάγκης εἱλόμεθα, ἥπερ οἷς οἰκοθεν ἐφάλλονται περὶ αὐτῶν διερμηνεύειν καὶ ἀποφαίνεσθαι, ὃ δὴ καὶ οἱ τῶν ὁμοφρόνων αὐτοῦ, ἢ μᾶλλον ἑπόμενοι συνυβρίζεσθαι τοῖς ῥηθεῖσιν αἱρούμεθα, οἳ καὶ ἵλεῳ εἶεν, ὡς εἰδότες, οἷα Θεῷ ζῶντες, ὁθεν τὰ τῶν λοιδοριῶν. Καὶ προσέτι τῷ τῆς θεολογίας ἀκρέμονι τρανῶς ἀποφαινομένῳ, « μὴ περὶ τῶν ὀνομάτων ζυγομαχεῖν, ἕως ἂν εἰς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν. »

ιζ'. Ἔπειτα τοῦ διαλεχθέντος ἀνατρέπων τὸ, « Ἐπεὶ οὐκ ἐκπορεύεται τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, εὕρηται οὐδαμῶς, » ἡ κατάφασις ἄρα ἔσται, ἀντεπάγει, σόφισμα τοῦτο καλῶν. Οὐδὲ γὰρ ἐπεὶ μὴ ἔχει τις ἐν τῇ θείᾳ Γραφῇ δεῖξαι καὶ τὸν Υἱὸν ὅτι οὐ γεννᾶται ὑπὸ τοῦ Πνεύματος, ἤδη τὴν κατάφασιν ὁμολογήσει, ὅτι γεννᾶται. Ἡ ἐκ τῶν ὁμοίων αὕτη κατασκευὴ πρὸς ἀναίρεσιν τοῦ ψεύδους οὖσα τὸν ἐκθέμενον τήνδε σόφισμα λέγοντα μᾶλλον, ἢ ἀναιροῦντα σόφισμα δείκνυσι. Βούλεται γὰρ ἐξ αὐτῆς οὗτος συστῆσαι, ὅτι ὥσπερ οὐ γεννᾶται ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος ὁμολογούμενον ὄν, δείξεως οὐ δεῖται, καὶ διὰ τοῦτο ἡ κατάφασις ὅτι ἐξ αὐτοῦ γεννᾶται ψευδής· οὕτω καὶ ὅτι οὐκ ἐκπορεύεται τὸ Πνεῦμα ἐκ τοῦ

non generari a Spiritu, jam affirmationem fatebitur, eum generari. Causa est. Nam aliud est non esse et aliud non dici. Neque enim quia nemo ullus ex nostris dixit : Hodie non fulgurat, cogetur quispiam affirmationem concedere, fulgurare. » Nos itaque, qui pro Ecclesiæ Dei pace verba interponimus, ut bene novit in corda hominum penetrans Deus, ad hujus sermones non ad vindicandum eum, cui ipse litem movit, dicimus, ex proxime dictis, quibus suam causam se tutari existimat, ab hac sua opinione testimoniis theologicis supra digestis repelli, frustraque blasphemiam objicere, et tumorem ex deprecatione enascentem deprehendi. Divinus enim Cyrillus in illis palam suo testimonio confirmat, « Deum et hominem asseruisse, effundi et progredi Spiritum veritatis, qui a Patre procedit, » eumdem prorsus significatum habere sciens has tres voces, et nullo modo secundum sententiam diversum. Idem vero clamat alta voce : « Et est Christus veritas, et ab ipso illa ipsa ratione qua a Patre profunditur. » Tum præterea dogmatum fulcrum magnus Epiphanius, in iisdem eamdem sententiam clarissimis necessariisque concludentibus argumentis confirmat, uti de Patre illud : « Qui a Patre procedit, » ita de Filio alterum, « Et de meo accipiet, » sicuti declaratum est, quæ in eodem sancto Evangelio, et in eadem et una pericope, et quam proxime apponuntur. Et ubinam est adversarii illud de Domino : « Non addens item illud ex me? » Et hæc quidem ipse divinorum Patrum commentari prorsus percurrere dedignatus, uti se percurrisse commonstrat, vel illis potius improbitatem animo antea conceptam præponens. Nos porro a Deo edoctos Epiphanium ac Cyrillum in traditis ab ipsis decretisque de illis : « Ex Patre procedit, et de meo accipiet, » sequi potius constituimus, quam quæ ipsi desilientes interpretantur atque definiunt, quod et ejusdem cum eodem sententiæ viri vel potius asseclæ facti, una simul cum dictis injuriam pati eligimus, qui propitii sint tanquam qui sciant, cum ipsi Deo vivant, unde convitia exoriantur. Et præterea theologiæ verticem decernentem, « de nominibus non esse contendendum, dummodo in eamdem sententiam syllabæ referantur. »

17. Postmodum secum colloquentis illa redarguens : « Quandoquidem, non procedit Spiritus ex Filio, nusquam invenitur. » Affirmatio igitur fuerit, contra opponit, sophisma illud appellans : « Neque enim quod non habeat quispiam in divina Scriptura ostendere etiam Filium non generari a Spiritu, jam et affirmationem fatebitur generari. » Ista probatio ad destruendum mendacium ex similibus assumpta, illam exponentem sophisma potius dicere, non destruere sophisma, ostendit. Intendit siquidem ex ipsa probare, quemadmodum non generatur Filius a Spiritu, quod cum in confessis sit, demonstratione non eget, propterea affirmatio ex ipso generari mendax est, parique modo Spiritum non

Digitized by Google Распознавание текста АВК/FR

procedere ex Filio, cum indubitatum sit, demonstratione non indiget, propterea que affirmatio una secum trahit quod verum non est. Videamus igitur posthac similitudinem. Illud, ex Patre Filium generari duas personas inducens, duas etiam necessario inculcat proprietates, alteram generare, et generandi facultatem solam unamque Patris generantis, alteram genetari, et generatum qui generatur Filii. Inde ex Spiritu Filium non generari submota omni dubitatione veritas tenet. Et hujusce demonstrandi nullam necessitatem esse, paterna proprietas, generare scilicet, confirmat. Si enim ipsi soli uti proprium reservatur, quomodo alteri adaptari ita poterit, ut Filium generet? Nequaquam. At ex Filio Spiritus non procedit, comparatio adhæc quænam fuerit? si ἐκπορεύειν, sive ut frequenter hic dogmatibus examinandis sedulus inquit, sive quod a Deo illuminati Patres proferunt, *emittere*, ut proxime expositum est, sive *productivum*, aut *producere* Patris proprium esse ipsi traderent, ut *generativum* ibi et *generare*, bene utique se haberet utriusque affirmationis similitudo. Cum vero nullus ex his ullo in loco *productivum* in proprietatem paternam assignare repertus sit, et *emittere* nonnulli ex ipsis uti de Deo Patre ita et de Filio palam usurpant, quid dissidentia nec prorsus inter se cohærentia coalescere conatur ostendere, et simul non concurrentia concurrere? Deinceps per Filium ex Patre Spiritum sanctum procedere, decreto universalis synodi, quæ septima numero est, definitum, quomodo locum habere illud ἐκπορεύειν, *producere facere*, concedet? Concedamus siquidem, ut adversario placet, uti proprium Patri. Si quid enim Pater proprium habet, non habet id per Filium, non generandi facultatem, non ingenitum, non aliud ullum. Propterea magnæ audaciæ fuerit, sive non ordinariæ ignorantiæ, ne quid his pejus dicam, negationem, « non procedit ex Filio Spiritus, » ex illa quasi similis sit, ostendere, « non generatur Filius ex Spiritu; » et uti hanc ita et illam veritatem in se continere, ex affirmatione illa, generari Filium ex Spiritu, et uti hanc ita et illam, Ex Filio procedit Spiritus affirmationem falsam esse, cum ex Deo illuminati mysteriorum interpretes de illis, «Ex Patre procedit, » et « De meo accipiet, » et de eodem et indifferente aliarum vocum decernant, quæ a nobis dicta sunt. Quemadmodum itaque quam optime ostendit ex impropriis similitudinibus, et in manifesta præcipitia ducentibus, « esse dicere, » et « non esse, » etiam ex Filio Spiritum non procedere, sic sui præclari facinoris et rationes assignat, suos quippe sermones continuans infert: «Et causa est: aliud enim non esse, » nempe negatio non procedit, « et aliud non esse dictum, » affirmatio, nempe procedere. Tum deinceps probatio: «Neque enim quoniam ex astantibus nemo dixit non fulgurasse, cogetur quispiam concedere affirmationem, nempe fulgurat. » Sophisma proxime rationem demonstratam nuncupans, et sophistice multo magis

A Υἱοῦ τὸ ἀναμφίλεκτον ἔχον, οὐ τοῦ δειχθῆναι χρῄζει, καὶ διὰ τοῦτο ἡ κατάφασις ἐπιφέρεται τὸ μὴ ἀληθές. Ἴδωμεν οὖν τοῦ λοιποῦ τὴν ὁμοίωσιν· τὸ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς γεννᾶσθαι δυάδα προσώπων εἰσάγον διττὰ κατὰ πᾶσαν ἀνάγκην φωτοβολεῖ καὶ τὰ ἴδια, τὸ μὲν γεννᾷν καὶ τὸ γεννητικὸν ἓν ὂν τοῦ γεννῶντος Πατρὸς, τὸ δὲ γεννᾶσθαι καὶ τὸ γεννητὸν ἕτερον τοῦ γεννωμένου Υἱοῦ. Ὅθεν τὸ μὴ ἐκ τοῦ Πνεύματος τὸν Υἱὸν γεννᾶσθαι τῆς ἀληθείας τὸ ἀπαραίτητον, καὶ τὸ μηδεμίαν ἀνάγκην τῆς τούτου δείξεως εἶναι ἡ τοῦ Πατρὸς ἰδιότης βεβαιοῖ, τὸ γεννᾷν. Εἰ γὰρ αὐτῷ μόνῳ καθὰ ἴδιον ἀφιέρωται, πῶς ἑτέρῳ τοπαράπαν ἐφαρμοσθῆναι δυνήσεται, ὥστε γεννᾷν τὸν Υἱόν; Ἥκιστα. Ἡ δὲ τοῦ, Ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἐκπορεύεται, ὁμοίωσις πρὸς ταῦτα ποία, εἰ τὸ B ἐκπορεύειν ἢ συχνῶς οὕτως ὁ λίαν ἐξεταστικὸς τοῖς δόγμασι φάσκει, ἢ ὅπερ οἱ θεαυγεῖς Πατέρες προφέρουσι τὸ *ἐκπέμπειν*, ὡς ἐγγὺς προεκτέθειται, ἢ τὸ *προβλητικόν* τε καὶ *τὸ προβάλλεσθαι* τοῦ Πατρὸς ἴδιον αὐτοὶ παρεδίδουν, ὡς τὸ *γεννητικὸν* ἐκεῖσε καὶ τὸ *γεννᾶν*, καλῶς ἂν εἶχεν ἀποφάσεων ἑκατέρων τὸ ἀμφερές. Ἐπεὶ δὲ τούτων οὐδεὶς ὁπουδήποτε τὸ *προβλητικὸν* εἰς ἰδίωμα πατρικὸν ἀποτάττων ὤφται, καὶ τὸ *ἐκπέμπειν* σφῶν ἔνιοι ὡς ἐπὶ τοῦ Πατρὸς οὕτως ἐπὶ τοῦ Υἱοῦ διαῤῥήδην διαγορεύουσιν, ἵνα τί τὰ ἀσύμβατα συμβαίνειν πειρᾶται φαίνειν, καὶ συντρέχειν τὰ μὴ συντρέχοντα; Εἶτα τὸ δι' Υἱοῦ ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ψηφίσματι παγκοσμίου συνόδου κεκυρωμένον, ἢ τὸν ἕβδομον ἔλαχεν ἀριθμὸν, πῶς ἀπυκληρωθῆναι τὸ *ἐκπορεύειν* ἐάσει; Δοτέον καὶ γὰρ, ὡς τῷ φωνοῦντι C δοκοῦν, εἰς ἰδίωμα τῷ Πατρί. Εἴ τι γὰρ ὡς ἴδιον ἑ Πατὴρ ἔχει, οὐκ ἔχει τοῦτο δι' Υἱοῦ, οὐ τὸ γεννητικὸν, οὐ τὸ ἀγέννητον, οὐκ ἄλλο οὐδέν. Διὰ τοῦτ τόλμης μεγάλης ἢ ἀγνοίας οὐ τῆς τυχούσης, ἵνα μὴ λέγω τὸ μεῖζον, § τὸ τὴν, « οὐκ ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, » ἀπόφασιν ὡς ἐκ τῶν ὁμοίων δεικνύναι, ἐκ τοῦ « μὴ γεννᾶσθαι τὸν Υἱὸν ἐκ τοῦ Πνεύματος· » καὶ ὡς ταύτην κἀκείνην ἀληθεύειν ἐκ τῆς γεννᾶσθαι τὸν Υἱὸν ἐκ τοῦ Πνεύματος καταφάσεως· καὶ ὡς ταύτην κἀκείνην τὴν, ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα, κατάφασιν ψεύδεσθαι, τῶν θεολαμπῶν μυστηπόλων περὶ τοῦ «ἐκ Πατρὸς ἐκπορεύεται,» καὶ « Ἐκ τοῦ ἐμοῦ λήψεται,» καὶ περὶ τοῦ ταυτοῦ D καὶ ἀδιαφόρου τῶν ἑτέρων φωνῶν θεσπιζόντων ὅσαπερ εἴρηται. Ὡς γοῦν ἄριστα δεδειχὼς τὸ ἐξ ὁμοιώσεων ἀνοικείων, καὶ προδήλους εἰς κρημνοὺς ἀπαγόντων τὸ, « εἶναι φάναι, » ἀλλὰ « μὴ εἶναι, » καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἐκπορεύεται, τῆς ἀριστείας καὶ λόγους δίδωσι. Συνημμένως γὰρ τοῖς εἰρημένοις λόγους αὐτοῦ ἐπιφέρει. « Τὸ δ' αἴτιον· ὅτι ἄλλο τὸ μὴ εἶναι,» ἤγουν ἀπόφασις τὸ οὐκ ἐκπορεύεται, « καὶ ἄλλο τὸ μὴ εἰρῆσθαι, » ἡ κατάφασις ἤτοι τὸ ἐκπορεύεσθαι. Εἶτα ἡ κατασκευή. «Οὐ γὰρ ἐπεὶ μὴ εἴρηκέ τις σήμερον τῶν παρ' ἡμῖν, ὅτι οὐκ ἀστράπτει, ἀναγκασθήσεταί τις δοῦναι τὴν κατάφασιν, ὅτι ἀστράπτει. » Σόφισμα σύνεγγυς λόγον ἀποδεδειγμένον καλέσας, καὶ σοφιστικῶς τούτῳ μᾶλλον αὐτὸς συμπλακεὶς, ὡς διήλεγκται, σοφιζόμενος ἐνταῦθα

Digitized by Google Распознавание текста ABK/FR

κατασκευάζει πάλιν, ἣν εἰρηκε μὴ εἰρῆσθαι κατάφασιν, εἰ καὶ ἀπόφασις αὐτῆς οὐκ ἔστι, τουτέστιν οὐ συνίσταται, « ἐκ τοῦ μὴ ἀνάγκην εἶναι σήμερον, ὅτι τις οὐκ ἔφησεν, οὐκ ἀστράπτει, τὴν κατάφασιν ὁμολογῆσαί τινα, ὅτι ἀστράπτει. » Τοῦτο δὲ ἀπεναντίας τῷ παραδεδομένῳ κανόνι τῆς ἀντιφάσεως, ὃς τήνδε πρὸς τὸ αὐτὸ, καὶ κατὰ τὸ αὐτὸ, καὶ τοῦ αὐτοῦ λέγεσθαι διατάττεται. Ὁ δὲ πολὺς οὗτος τὴν ἐπιστήμην ἐπὶ ἀορίστων τήν τε ἀπόφασιν, τήν τε κατάφασιν ἐποιήσατο. Ὅπερ ἀξίωμα τὸ τῆς ἀντιφάσεως τὸ τὴν ἀλήθειαν διαιρεῖν καὶ τὸ ψεῦδος οὐδαμῶς οἶδε τηρεῖν. Ἐπεί τις νοσεῖ, τις οὐ νοσεῖ, τις ὑγιαίνει, τις οὐχ ὑγιαίνει, καὶ ἅμφω συναληθεύειν, καὶ ἅμφω συμψεύδεσθαι. Λαμβανομένων δὲ τῶνδε τοῦ κανόνος κατὰ τὴν διασάφησιν τὸ ἓν εἰς τὸ ὂν ἥξει, τὸ δὲ ἕτερον εἰς τὸ μὴ ὂν ἀπορραπισθήσεται. Ὅθεν εἰ οὐκ ἔστιν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, οὐκ ἐκπορεύεται ὡς αὐτὸς ὁμολογῶν ὁρᾶται, ληφθείσης τῆς ἀποφάσεως ταύτης ὡς ἡ παράδοσις ὡρισμένως, οἷον, Οὐδεὶς τῶν ἁγίων τήνδε φησὶν, ἡ αὐτῆς ἕξει κατ' αὐτὸν ἐξ ἀνάγκης τὸ εἶναι κατάφασις, μὴ σοφιστικῶς, ἀλλ' ὡς παρεδόθη τὴν δεῖξιν λαμβάνοντα. Εἰ δὲ τοῦ μὴ τὴν λέξιν λέγεσθαι δράξεται, τὴν ἀλογίαν ἑαυτῷ συνάξει καὶ τὴν σκαιότητα τῶν θεηγόρων ταῦτα προσαπτόντων διαπρυσίως τοῖς μὴ τῇ δυνάμει προσέχειν ᾠρημένοις, μηδὲ τῇ διανοίᾳ τῶν λεγομένων, ἀλλὰ ταῖς λέξεσιν.

A ipse implicitus, ut demonstratum est, cavillans hic rursus confirmat, quam asseruit non fuisse dictam affirmationem, licet ipsius negatio non adsit, hoc est non subsistat, « quod nullo modo necessarium sit hodie esse, quod quispiam non dixerit, non fulgurat, affirmationem aliquem fateri, nempe fulgurat. » Hoc porro prorsus est contrarium regulæ contradictionis, quæ eam ad idem, et secundum idem et de eodem dici præcipit. At hic, qui in scientiis multus est, de indefinitis atque indeterminatis tum affirmationem, tum negationem absolvit. Quod effatum contradictionis neque veritatem distinguere, et mendacium nullo modo servare novit, quandoquidem aliquis ægrotat, aliquis non ægrotat, aliquis bene valet, et aliquis non bene valet, nul-
B lum fuerit impedimentum quin ambo simul vera sint, et ambo falsa. Hæc si secundum regulæ explicationem desumantur, unum comprobabit effectus, aliud vero nullo modo eventu comprobabitur. Hinc si non est ex Filio Spiritus, non procedit, ut ipse non abnuit, si accipiatur negatio ista, ut traditio est, determinate, quasi diceres, Nullus ex sanctis hanc dicit, illius secundum adversarium necessario affirmatio erit, non sophistarum captiunculis, sed, ut traditum est, comprobata. Quodsi illud, dictionem hanc scilicet non dici, arripiet, stultitiam sibi colliget ac imperitiam divinorum Patrum, qui ista perspicue attribuunt detrectantibus mentem applicare vi et sententiæ dictorum, sed tantum dictionibus.

ιη'. Ὅμως ἐχόμενα τῶν ἐληλεγμένων φησίν· « Εἰ δέ τις λέγει, μὴ εἶναι τὸ οὐκ ἀστράπτειν, ἐξ ἀνάγκης δίδωσι τὴν κατάφασιν. » Δόκησιν δοὺς ἐρεῖν τι περὶ τῆς καταφάσεως, ἐκ συναισθήσεως οἷον, ἢ ἄλλως πως, φαίνεται τὴν *ἐκπορεύεται* μᾶλλον ἀπόφασιν ἔτι συστῆσαι βουλόμενος. Ἐπάγει γάρ· « Εἰ δὲ καὶ τοῦτο ζητοῦσι δειχθείη παρὰ τῇ θείᾳ Γραφῇ, τί ἕτερον αὐτοῖς ὑπολείπεται; » καὶ παρευθὺς, « σκεπτέον δὲ οὕτω. » Καὶ καθεξῆς τὰ πρὸς σύστασιν τοῦ σπουδάσματος οὕτω συντίθησι· « Πατὴρ ὁ Πατὴρ μόνος, καὶ οὔτε Υἱὸς οὔτε Πνεῦμα. Υἱὸς ὁ Υἱὸς ὁμοίως, καὶ οὔτε Πατὴρ ὁ αὐτὸς, οὔτε Πνεῦμα. Πνεῦμα ἅγιον τὸ Πνεῦμα, καὶ οὔτε Πατὴρ τὸ αὐτὸ, οὔτε Υἱός. Ὁ μὲν οὖν Πατὴρ καθὸ γεννᾷ Υἱὸν, ὀνομάζεται Πατὴρ, καθὸ δὲ ἐκπορεύει Πνεῦμα, οὐκέτι Πατὴρ, ἀλλὰ προβολεὺς ὀνομάζεται. Ἔστιν οὖν ὁ Πατὴρ καὶ Πατὴρ καὶ προβολεύς. Ἑνὶ δὲ ὀνόματι συναπτικῷ τούτων ὀνομάζεται πηγὴ, εἴ γε πιστὸς ὁ μέγας Διονύσιος οὕτω λέγων· Ὅτι μέν ἐστι πηγὴ θεότητος ὁ Πατὴρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν. Καὶ ἐν ἄλλοις. Μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος Πατὴρ, οὐκ ὄντος Υἱοῦ τοῦ Πατρὸς, οὐδὲ τοῦ Υἱοῦ Πατρός. Εἰ οὖν πηγὴ τῆς θεότητος ὁ Πατὴρ, ἡ θεότης δὲ τὰς ὑποστάσεις ἑνοῖ ἀσυγχύτως, ταυτόν ἐστι πηγὴ θεότητος, ὥσπερ εἰ ἐλέγετο, πηγὴ Υἱοῦ καὶ Πνεύματος, καὶ ταυτὸν πάλιν τὸ, πηγὴ Υἱοῦ καὶ Πνεύματος, ὥσπερ εἴ τις λέγει, Πατὴρ Υἱοῦ καὶ προβολεὺς Πνεύματος. Ἐρεῖ δέ τις, Εἰ ἡ θεότης

C 18. Nihilominus subsequenter refutatis a nobis adnectit : « Quodsi quis dicit, non esse illud non fulgurare, necessario concedit affirmationem. » Cum videretur aliquid afferre de affirmatione, tanquam sibi conscius factus, vel alia ratione videtur potius illius *procedit* negationem adhuc constabilire, subnectit siquidem : « Quodsi quod quærunt, ostendetur in divina Scriptura, quid ipsis reliquum fuerit? » Statimque, « hoc modo vero consideretur. » Et postmodum conatus suos ad propositum stabiliendum ita proponit : « Pater Pater solus, et non Filius neque Spiritus sanctus. Filius Filius similiter, et non Pater, neque Spiritus. Spiritus sanctus Spiritus, et non est Pater ipse, neque Filius. Pater igitur qua generat Filium Pater, qua vero Spiritum
D proc dere facit, non amplius Pater, sed productor appellatur. Est igitur Pater et Pater et productor, uno vero nomine, quod hæc duo colligat, fons, si fide dignus est magnus Dionysius ita pronuntians : Est quidem fons Divinitatis Pater, Filius vero et Spiritus deigenæ Deitatis, si ita eloquendum est, surculi a Deo plantati, et veluti flores, et superessentialia lumina a sacris eloquiis accepimus. Et alio quoque loco : Solus fons superessentialis Deitatis Pater, cum non sit Filius Pater, neque Pater Filius. Si ergo fons Deitatis Pater, Deitas vero hypostases unit inconfuse, erit fons divinitatis, æque ac si dixeris, Fons Filii et Spiritus ; et rursus, Fons Filii et Spiritus, æque ac si dixeris, Pater Filii et productor Spiritus. Diceret quispiam Deitatem hy-

Digitized by Google Распознавание текста ABK/FR

postases colligare, in hoc sermone Pater dicitur et suimetipsius fons, sed non est hoc. Sicuti enim dicimus ex Deo Spiritum sanctum, et non intelligimus eum ex seipso esse, quod Deus est et ipse, pari modo etiam hic non intelligimus Patrem suimetipsius fontem esse. Indeque manifestior sermo fuerit : fons enim ideo fons dicitur, quia effundit, et fons prorsus effusi dicitur fons. Hoc si ita se habet, Pater dicitur fons Deitatis ex ipso effusæ, Filii nempe et Spiritus, et non sui ipsius. Ergo si fons Deitatis Pater, et solus fons, idque idem est ac si dixeris fons Deitatis, et Pater et productor Filii et Spiritus. Solus igitur Pater et productor Filii et Spiritus. Quodsi solus, non utique et Filius, neutrum ex his scilicet. Et en jam demonstratum est ex divina Scriptura, Spiritum sanctum non procedere etiam ex Filio. » Sapienter admodum quod sibi proposuerat conclusit, et nihil reliquum est, ut dixerat, ad quæstionis explicationem, si initio posita veritati inniterentur, ubi Pater qua generat Filium Pater appellatur, qua producit Spiritum non amplius Pater, sed productor, uni vero conjunctivo horum nomine nuncupatur fons, Pater nempe Filii, productor vero Spiritus, si fidem meretur magnus Dionysius, scribens: « Fontalis Deitas Pater est, Filius vero et Spiritus deigenæ Deitatis surculi a Deo plantati. » Sed quæ ipse reticuit, sive sponte, sive frequenter a nobis memoratæ, et præcepto divino demandatæ perscrutationis Scripturarum neglectu, addentur, quæ magnorum etiam pietatis defensorum calculo confirmationem consequentur, quorum unus fuerit theologiæ vertex, magnus Athanasius, oratione de incarnati Dei Verbi apparitione, cujus illud principium : « Qui malitiose divinas Scripturas volunt intelligere, » rem theologice tractans, hæc habet : « Scit enim apud Deum Patrem exsistentem Filium, Spiritus sancti fontem. » Ecclesiæ vero aurea voce prædita luscinia oratione de mysterio baptismatis, cujus principium : « Iterum nobis spiritalis cithara beati Davidis, » sic eloquitur : « Propterea Salvator ostendit semetipsum fontem vitæ, et aquam viventem Spiritum sanctum. » Si ex his manifesto Spiritus sancti fons est Filius; admirabilis plane conclusio negatio, non procedit etiam ex Filio Spiritus sanctus, rejicitur. affirmatio vero a nobis per ejusdem significatus et sententiæ voces ostensa dissidium relegat, uti non hic solum sed in multis etiam aliis, divinis dogmatibus, verbis et operibus confirmant divina mente fulti; et ab hoc eodem qui ita conclusit, verbis ipsis assertum est, cum palam edixerit: « Fons Pater, nomen conjunctivum, genitorem indicans et productorem in Filio et Spiritu. »

19. Si itaque sic fateri coacti etiam inviti, qui hujus partes sequuntur, ad illud *solus* confugientes nova commentorum strue stipati id dictum asserant

A τὰς ὑποστάσεις ἑνοί, ἐν τῷ λόγῳ τούτῳ ὁ Πατὴρ λέγεται καὶ ἑαυτοῦ πηγή. Ἀλλ' οὐκ ἔστι τοῦτο. Ὡς γὰρ λέγομεν ἐκ τοῦ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ νοοῦμεν, ὅτι καὶ ἐξ ἑαυτοῦ ἐστιν, ὅτι Θεὸς καὶ αὐτό, οὕτω κἀνταῦθα οὐ νοοῦμεν τὸν Πατέρα, ὅτι καὶ ἑαυτοῦ ἐστι πηγή. Καὶ ἐνταῦθα πρόδηλος μᾶλλον ὁ λόγος· ἡ γὰρ πηγή, ὅτι πηγάζει τι, λέγεται πηγή, καὶ ἡ πηγὴ πάντως ἐκείνου λέγεται πηγὴ τοῦ πηγαζομένου. Εἰ δὲ τοῦτο πηγὴ λέγεται ὁ Πατὴρ τῆς θεότητος τῆς πηγαζομένης ἐξ αὐτοῦ, δηλονότι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, οὐχὶ καὶ ἑαυτοῦ. Εἰ γοῦν πηγὴ θεότητος ὁ Πατὴρ καὶ μόνη πηγή, ταυτὸν δέ ἐστιν, εἴ τις ἂν εἴπῃ πηγὴ θεότητος, καὶ Πατὴρ καὶ προβολεὺς Υἱοῦ καὶ Πνεύματος, μόνος ἄρα ὁ Πατὴρ καὶ Πατὴρ καὶ προβολεὺς Υἱοῦ καὶ Πνεύματος.
B Εἰ δὲ μόνος, οὐχὶ καὶ ὁ Υἱός, δηλονότι οὐδέτερον τούτων. Καὶ ἰδοὺ δέδεικται παρὰ τῇ θείᾳ Γραφῇ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ.» Ὡς θαυμαστῶς συνεπέρανεν ὃ προέθετο. Καὶ οὐδὲν, ὡς εἰρήκει, πρὸς τὴν τοῦ ζητουμένου φανέρωσιν ὑπολέλειπται, πλὴν τῶν ἀπ' ἀρχῆς ὧδε τεθειμένων τῆς ἀληθείας ὄντων, ἔνθα ὁ Πατὴρ καθὸ γεννᾷ Υἱὸν ὀνομάζεται Πατὴρ, καθὸ δὲ προβάλλεται Πνεῦμα οὐκέτι Πατὴρ, ἀλλὰ προβολεὺς, ἑνὶ δὲ συναπτικῷ τούτων ὀνόματι καλεῖται πηγὴ, Πατὴρ μὲν Υἱοῦ δηλονότι, προβολεὺς δὲ Πνεύματος, εἴ γε πιστὸς ὁ μέγας Διονύσιος λέγων· « Ὅτι μὲν πηγαία θεότης ὁ Πατὴρ, ὁ Υἱὸς δὲ καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότητος βλαστοὶ θεόφυτοι. » Εἰ τούτοις τὰ λειπόμενα εἴθ' ἑκουσίως, εἴτε κατὰ παρόρασιν τῆς πολλάκις
C μνημονευθείσης κατ' ἐντολὴν Δεσποτικὴν ἐξετάσεως γραφικῆς προστεθήσεται, ἃ καὶ αὐτὰ τὴν ἐκ μεγάλων προηγόρων τῆς εὐσεβείας πίστωσιν ἀπαστράπτουσιν, ὧν ἡ μὲν τῆς ὁμολογίας ἀκρότης, ὁ πολὺς Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου τοῦ Θεοῦ Λόγου ἐπιφανείας λόγῳ, οὗ ἡ ἀρχὴ, « Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, » θεολογῶν οὕτω φησίν· « Οἶδε γὰρ παρὰ Θεῷ Πατρὶ ὄντα τὸν Υἱὸν, τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος. » Ἡ δὲ τῆς Ἐκκλησίας χρυσόφωνος ἀηδὼν ἐν τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος λόγῳ, οὗ ἡ ἀρχὴ, « Πάλιν ἡμῖν ἡ πνευματικὴ κιθάρα τοῦ μακαρίου Δαυὶδ, » οὕτω διαγορεύει· « Διὰ τοῦτο ὁ Σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς καὶ ὕδωρ ζῶν τὸ Πνεῦμα τὸ ἅγιον. » Εἰ
D ἐκ τῶνδε πηγὴ καὶ ὁ Υἱὸς ἀριδήλως τοῦ Πνεύματος, συμπέρασμα μὲν τὸ θαυμαστὸν ἡ ἀπόφασις, οὐκ ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀπελήλαται, κατάφασις δὲ ταύτης ἡ παρ' ἡμῶν δι' ὁμοσθενῶν, καὶ ταυτοδυνάμων φωνῶν δεικνυμένη τὰ τῆς διαμάχης ἐκκρούεσθαι, καθὼς οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ πολλοῖς ἐν ἄλλοις δόγμασι θείοις ῥήμασί τε καὶ πράγμασι παριστάνουσιν οἱ θεόφρονες, παρ' αὐτοῦ τούτου τοῦ οὕτω συμπεράναντος αὐτολεξεὶ ὁμολογῆται, σαφῶς ἀνηγορευκότος, « Πηγὴ Πατὴρ, ὄνομα συναπτικὸν, τὸ γεννήτωρ δηλοῦν καὶ τὸ προβολεὺς ἐπὶ Υἱοῦ τε καὶ Πνεύματος. »

ιθ'. Εἰ οὖν οὕτω συνελαυνόμενοι συνομολογῆσαι καὶ ἄκοντες οἱ τοῦδε τῆς μερίδος ἐχόμενοι εἰς τὸ *μόνη* καταφυγόντες, εὑρεσιλογῆσαι βουλήσονται, καὶ τοῦτο

Digitized by Google Распознавание текста ABK/FR

διαναστήσονται φάναι λελέχθαι τοῦ Υἱοῦ πρὸς ἀφαί- A
ρεσιν, ὡς ἡ ἐλεγχθεῖσα πολυτρόπως τομογραφία
φάσκει, ἡ καὶ δυναστείᾳ τῇ πρὸς τὴν ἀλήθειαν πε-
ριεπομένη, τίνα ἑαυτῆς ὄλισθον οὐκ ἐπάξουσιν; Ὁ
τῶν ἀῤῥήτων ὑφηγητὴς καὶ τῶν ἀθεάτων ἐπόπτης
μόνην πηγὴν εἴρηκε τὸν Πατέρα· καὶ εἰ πρὸς τοιαύ-
την, ἣν οὗτοι διισχυρίζονται, διάνοιαν ἔφησε, πῶς
οἱ ῥηθέντες τηλικοῦτοι φωστῆρες τῆς Ἐκκλησίας
πηγὴν καὶ τὸν Υἱὸν τοῦ Πνεύματος ἐδογμάτισαν, τῷ
τοσούτῳ διαῤῥήδην ἀπεναντίας, οὗ τοὺς ἱεροὺς λό-
γους καὶ τὰ συγγράμματα τούτων ἐκ παραδόσεως,
καὶ τῶν ὁμοίων Πατέρων ἡ τοῦ Θεοῦ Ἐκκλησία μετὰ
τὰ ἀποστολικὰ θεῖα κηρύγματα καὶ διδάγματα κατέ-
χει καὶ ἐνσεβίζεται· καὶ οὐ μόνον τοὺς τοιούτους
πρὸς τὸν τοσοῦτον πολεμίους ἐμφαίνουσιν, ἀλλὰ καὶ
πρὸς ἑαυτοὺς ἐμφανῶς. Ἐν γὰρ δευτέρῳ τμήματι B
βίβλου τῆς ἐκκλησιαστικῆς Ἱστορίας ὁ Θεοδώρητος
τὴν πρὸς τοὺς Ἄφρους τοῦ τῆς ἀθανασίας ἐπωνύμου
περὶ τῆς ἐν Ἀριμήνῳ συνόδου καταστρωννύει ἐπι-
στολὴν, ἐν ᾗ ταῦτα διαλαμβάνεται· « Τίς δὲ τούτοις
συνελθεῖν ἐθελήσει ἀνθρώποις μηδὲ τὰ ἑαυτῶν ἀπο-
δεχομένοις; Οἱ γὰρ ἐν ταῖς ἑαυτῶν δέκα που καὶ
πλέον, καθὰ προείπομεν, συνόδοις ἄλλοτε ἄλλα γρά-
φοντες, δῆλοί εἰσιν ἑκάστης αὐτοὶ κατήγοροι γενό-
μενοι. Πάσχουσι δὲ τοῦτο ὅπερ καὶ οἱ τότε τῶν Ἰου-
δαίων πεπόνθασιν. Ὡς γὰρ ἐκεῖνοι καταλείψαντες
τὴν μόνην πηγὴν τοῦ ζῶντος ὕδατος, *Ὤρυξαν ἑαυ-
τοῖς λάκκους, οἳ οὐ δυνήσονται ὕδωρ συσχεῖν*·
γέγραπται δὲ παρὰ τῷ προφήτῃ Ἱερεμίᾳ· οὕτως
οὗτοι μαχόμενοι πρὸς τὴν οἰκουμενικὴν σύνοδον, C
ὤρυξαν ἑαυτοῖς συνόδους πολλάς. » Ἰδοὺ καὶ πρὸς
ἑαυτὸν ὁ μέγας μαχητὴς ἀκατάλλακτος, εἴ γε μόνην
πηγὴν τοῦ ζῶντος ὕδατος τὸν Πατέρα καλέσας, καὶ
οὐδεὶς ὁ ἀμφιβάλλων, μὴ τὸ ζῶν ὕδωρ εἶναι τὸ Πνεῦμα
τὸ ἅγιον ἐν οἷς προεθέμεθα, πηγὴν αὐτοῦ τὸν Υἱὸν
προεσάφησεν. Ἀλλὰ τούτοις οἱ ταῦτα παρεισάγου-
σιν, οἷς φθέγγονται, ζῆλον ἀληθινὸν ὁ ζηλῶν, εἴσεται
πολεμίους ἑαυτῶν καὶ τῶν θείων μυσταγωγῶν, οὐκ
αὐτοὺς ἥκιστα τοὺς θεοφωτίστους καὶ ζηλωτὰς ὁμο-
πνόους τῆς πίστεως, οἱ τοῦ Εὐαγγελίου κήρυκες
ὄντες καὶ μαθηταὶ καὶ διδάσκαλοι, καθ' ὃν λόγον
ἴσασι βοῶντες αὐτοῦ ἐκ προσώπου τοῦ Κυρίου πρὸς
τὸν ἴδιον Πατέρα· « Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα
γινώσκωσί σε τὸν, μόνον ἀληθινὸν Θεὸν, » τὸ *μόνον*
οὐδαμῶς ἀφαιρεῖσθαι τὴν ἀληθινὴν θεότητα τὸν Υἱὸν, D
ἀλλὰ τὴν ἀρχικὴν καὶ πρώτην αἰτίαν, ἣν ὁ Πατὴρ
ἰδίως ἐκληρώσατο παριστάνειν, κατὰ τὸν αὐτὸν οἴδα-
σιν ἄρα λόγον, καὶ τὸ μόνην πηγὴν τοῦ Πνεύματος
τὸν Πατέρα θεολογεῖσθαι, οὐχὶ καὶ τὸν Υἱὸν τὸ πη-
γὴν εἶναι τοῦ Ηνεύματος ἀφαιρεῖσθαι. Ὅτι μηδὲ τὸ,
« Περὶ τῆς ἡμέρας ἐκείνης, ἢ τῆς ὥρας οὐδεὶς οἶδεν,
οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατὴρ μόνος, »
ἄλλως ἢ οὕτως νοεῖσθαι μεμυσταγώγηνται. Ἢ οὐ μὴ
τοῦτο, τίς εἰς τοσοῦτον ἐληλακέναι τόλμης φανήσε-
ται, ἄγνοιαν διαγνῶναι τοῦ πρὸ τοῦ γενέσθαι τὰ
πάντ' εἰδότος; Ἔτι γε μὴν τῆς αὐτοσοφίας, Λόγου
τε τοῦ ἐνυποστάτου στέρησιν λόγου, Θεοῦ τῆς ὀυ-

ad excludendum Filium; uti qui sæpius multisque A
modis refutatus est tomus, dominatu ac tyrannide
suffultus insinuat, quem sibi lapsum non inferunt?
Interpres rerum ineffabilium, et immortalium in-
spector solum fontem Patrem nuncupavit, et si in
quam ipsi contendunt sententiam dixit, quomodo
jam allegata tantæ auctoritatis Ecclesiæ lumina
fontem etiam Spiritus Filium decreverunt, a tanto
viro palam discordes, cujus sacros sermones et
Commentarios, ex eorumdem traditione, et Patrum
similium Dei Ecclesia, post apostolica divinaque
effata, et prædicationem tenet, et colit, neque so-
lum huic tam magno sese adversari demonstrant,
sed et sibimetipsis perspicue? Namque in secundo
tomo *Ecclesiasticæ Historiæ*, Theodoretus immor- B
talitatis cognominis ad Afros datam epistolam de
Ariminensi synodo refert, in qua similia continentur: « Quis porro eorum sententiæ velit accedere, qui ne sua quidem instituta ipsi approbant? Nam qui, uti supra diximus, amplius decem fidei formulas, alio namque tempore aliam ac novam semper componebant, in suis conciliis conscripserunt, aperte demonstrant seipsos singula sua reprehendere concilia: idemque istis quod olim Judæis proditoribus accidit. Ut enim illi solo fonte aquæ viventis relicto, uti scribit Jeremias propheta, *Lacus sibi foderunt, qui non possunt aquam continere* [29]: ita isti pugna contra generale concilium suscepta sibi multa constituerunt concilia. » C En et adversus seipsum magnus hic pugnator irreconciliabilis, si solum fontem aquæ vivæ Patrem nuncupans, et nemo plane hæsitat, aquam vivam esse Spiritum sanctum, in jam a nobis appositis, fontem illius Filium manifestavit. Sed hos qui similia verbis effusis insinuant, qui zelo vero concitatur, sibimetipsis, et divinis mystagogis adversari, non vero a Deo illuminatos, et zelatores qui eadem in fide conspirant, cognoscet, si cum Evangelii præcones sint, et discipuli, et magistri, modo quo sciunt pronuntiantes ex persona Domini ad proprium Patrem: « Hæc est vita æterna ut cognoscant te verum solum Deum [30], illud *solum* nullo modo vera deitate Filium spoliare, sed primariam et primam causam, quam Pater proprie sortitus est, D demonstrare, secundum eamdem rationem norunt, et cum solus fons Spiritus Pater enuntiatur, non tolli quin et Filius fons Spiritus sit, quod neque illud: « De die illa et hora nemo novit, neque angeli, qui in cœlo sunt, nisi Pater solus [31], » alio modo quam isto intelligendum esse edocti sunt. Quod si id non fuerit, quis in tantum audaciæ processerit, ut notam ignorantiæ illi qui ante quam fierent, omnia novit, et præterea ipsi sapientiæ, Verboque per se subsistenti rationis privationem, facultati omnipotentis Dei imbecillitatem, et ipsi Vitæ vitæ indigentiam, quod similia de seipso Dominus asserat motus, appingat, cum ille ita definiat:

[29] Jerem. II, 13. [30] Joan. XVII, 3. [31] Matth. XXVI, 36.

Digitized by Google Распознавание текста ABBYY FR

« Sermonem quem auditis non est meus, sed qui misit me Patris [32]; » et : « Non possum facere ex me quidquam [33]; » et : « Vivo propter Patrem [34]; » non tamen hisce semetipsum privans, hæc effatur, si voces illius de seipso propius appositæ : « Quæcunque operabitur Pater, hæc et Filius similiter operatur [35]; et, « Quemadmodum Pater exsuscitat mortuos et vivificat, ita et Filius quos vult vivificat [36]; » et, « Qui verba mea audit, et credit illi qui misit me, habebit vitam æternam [37], » et alio loco : « Cœlum et terra transibunt, verba autem mea non præteribunt [38], » sed propter Patris gloriam qua eum glorificavit, et glorificat, et ad illum uti ad primam causam relationem. Ex illo enim quæcunque possidet naturaliter et essentialiter, uti fetus naturalis ex Patre naturali et ipsum esse, et ipsam, quæ cum eo est, cœternam et sempiternam coexsistentiam. Quemadmodum enim hic *solus* et quæ sequuntur, non tollunt ullo modo, ut demonstratum est, Unigeniti hypostasim, sed uti in Patre, ut dictum est, ita et in Filio esse confirmant clarissime, similiter divinissimus Athanasius apertissimis verbis insinuat, uti Patrem ita fontem Filium Spiritus esse, cum dictio illa *solus* de divinis hypostasibus et apte et congruenter accipiatur, nullo vero modo auferat. Idem præterea incomparabilis homologeta adversus Arianos oratione prima veluti dogma tradit, « Salvatorem esse solum datorem Spiritus. » Et quisnam in tantum audaciæ ac temeritatis processerit, ut inde asserat Patrem excipi, contendatque ab eo Spiritum non dari? Imo, quis ex iis qui recte sentiunt, non inde certo cog..oscet, hæc divinarum hypostaseon discretionem minime inducere? Hinc et sapiens hic sacrorum mysta in colloquiis cum Ario ostendit, dictionem *solum* divinarum personarum divisionem insinuare.

νάμεως τῆς παντοδυνάμου, ἀδυναμίαν, τῆς αὐτοζωῆς τε ζωῆς ἀπορίαν, ἐκ τοῦ λέγειν περὶ ἑαυτοῦ ταῦτα τὸν Δεσπότην, κινούμενος οὕτω τρανοῦντα· « Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρὸς, » καὶ, « Οὐ δύναμαι ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, » καὶ, « Ζῶ διὰ τὸν Πατέρα· » ἀλλ' οὐκ ἀφαιρούμενος ἑαυτὸν ταῦτα, φάσκει, εἴγε τούτου φωναὶ περὶ ἑαυτοῦ σύνεγγυς τῶν τοιούτων, Ἃ γὰρ ἂν ὁ Πατὴρ ποιήσῃ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ, » καὶ, « Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ, » καὶ, « Ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον· » καὶ ἀλλαχόσε, « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι, » διὰ δέ γε τὴν τοῦ Πατρὸς δόξαν ἣν αὐτὸν ἐδόξασε καὶ δοξάζει, καὶ τὴν εἰς αὐτὸν ὡς εἰς πρώτην αἰτίαν ἀναφοράν. Ἐξ αὐτοῦ γὰρ πάνθ' ὅσαπερ ἔχει φυσικῶς καὶ οὐσιωδῶς, ὡς γέννημα φυσικὸν ἐκ φύσει γεννήτορος καὶ αὐτὸ τὸ εἶναι, καὶ αὐτὴ ἡ μετ' αὐτοῦ συναΐδιος καὶ αἰωνία συνύπαρξις. Ὡς οὖν ἐνταῦθα τὸ *μόνος*, καὶ τὰ ἑξῆς, οὐ δήπου καθὰ δέδεικται τῆς τοῦ Μονογενοῦς ὑποστάσεως κατ ἀφαίρεσιν, ἀλλ' ὡς ἐπὶ τοῦ Πατρὸς ἄπερ εἴρηται, οὕτω φωτοφανῶς ἐπὶ τοῦ Υἱοῦ· ὡσαύτως κατὰ τὸν θειότατον Ἀθανάσιον, ὡς ὁ Πατὴρ, οὕτω διαπρυσίοις φωναῖς πηγὴ τοῦ Πνεύματος ὁ Υἱὸς, τοῦ *μόνη* ταῖς θείαις ὑποστάσεσι καταλλήλως λαμβανομένου καὶ ἥκιστα κατ' ἀφαίρεσιν. Ὁ αὐτὸς ἔτι γε μὴν ἀκραμίλλος ὁμολογητὴς ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ, « τὸν Σωτῆρα μόνον εἶναι χορηγὸν τοῦ Πνεύματος, » δογματίζει. Καὶ τίς ἐς τόσον αὐθαδείας καὶ θράσους ἀφίκοιτο, λέγειν ἐντεῦθεν διαστέλλεσθαι τὸν Πατέρα, καὶ μὴ παρ' αὐτοῦ χορηγεῖσθαι τὸν Παράκλητον διατείνεσθαι; Μᾶλλον δὲ τίς τῶν ὀρθῶς πρεσβευόντων οὐχὶ πάντεῦθεν γνοίη τῶν θείων ὑποστάσεων μὴ εἰσάγειν ταῦτα διαστολήν; Ἔνθεν τοι καὶ ὁ σοφὸς δείκνυσιν οὗτος ἱερομύστης ἐν ταῖς πρὸς Ἄρειον διαλέξεσι, καὶ τὸ *μόνος* διαίρεσιν ποιεῖσθαι προσώπων τῶν τῆς θεότητος.

A

B

C

20. Quodsi quis addubitaverit, quomodo solus dator Filius, cum ipse prima causa non sit? hoc enim soli Patri proprium est, supersubstantialium personarum discretionem prorsus non inferre, licet hic secundum primariam causam non asseratur, ex supra appositis certum est. Nihilominus secundum alias atque alias rationes dici poterit. Sicuti enim cum asseveratur, solum Patrem scire, rerum creatarum quæcunque illa sit cognitio, labefactatur et ad nihilum redigitur; ita cum asseritur solus dator Filius, omnis alia rerum factarum datio cessat. Cum sanctissimi Spiritus datores essent, et qui conspexerant Dominum discipuli, uti eorumdem Actorum historia tradit, verum uti illius administri et servi, puraque conceptacula et habitacula. Ibi vero datio utriusque tum dantis, tum dati in eadem natura et essentia subsistentium est. Hinc intelligi potest, vocem *solus* etiam in rebus divinis

κ'. Εἰ δέ τις ἐπαπορῆσαι βουλήσεται, πῶς μόνος χορηγὸς ὁ Υἱὸς, ἐπεὶ μὴ πρῶτον αὐτός ἐστιν αἴτιον; τοῦτο γὰρ ἰδίως ἀφιέρωται τῷ Πατρί; τὸ μὲν μὴ διαιρετικὴν ἔννοιαν τῶν ὑπερουσίων προσώπων ὅλως ἐμφαίνειν, εἰ καὶ μὴ κατὰ τὴν ἀρχικὴν αἰτίαν ἐνταῦθα, βέβαιον ἐξ ὧν παρεθήκαμεν, πλὴν καθ' ἑτέρους λόγους ἔξει τὸ λέγεσθαι. Ὡς γὰρ ὁπηνίκα τὸ μόνον εἰδέναι τὸν Πατέρα τρανοῖτο, τῶν κτιστῶν πᾶσά τις ἀμαυροῦται γνῶσις καὶ ἀπράκτεῖ· οὕτως ὅταν ὁ Υἱὸς μόνος καταγγέλλοιτο χορηγὸς, πᾶσά τις ἀργεῖ χορηγία τῶν γενητῶν. Δοτῆρες ἐπεὶ τοῦ παναγίου Πνεύματος ὑπῆρχον καὶ οἱ αὐτόπται τοῦ Κυρίου καὶ μαθηταὶ, καθὼς ἡ βίβλος τῶνδε τῶν Πράξεων ἱστορεῖ, ὡς ὑπηρέται μέντοι γε τούτου, καὶ ὡς θεράποντες, καὶ καθαρὰ δοχεῖα καὶ οἰκητήρια. Ἔχει δὲ δόσις ἑκατέρων τοῦ διδόντος τε καὶ τοῦ διδομένου συνουσιωμένων καὶ συμφυῶν. Ἔστι μὲν οὖν συνιδεῖν ἐντεῦθεν, ὡς καὶ πρὸς διαστολὴν ἐπὶ θεολογίας

D

[32] Joan. XIV, 24. [33] Joan. V, 30. [34] Joan. VI, 58. [35] Joan. V, 19. [36] ibid. 21. [37] ibid. 24. [38] Matth. XXIV, 35.

Digitized by Google Распознавание текста ABK/FR

ἡ *μόνος* θεωρεῖται φωνὴ, δηλονότι τῶν τῆς κτιστῆς οὐσίας τῶν προσεχῶς ἤτοι διειλημμένων, καὶ τῶν ἐγγυτάτω τῶνδε σημειοφόρων ἑτέρων. Ἔτι τε πρὸς ἀφαίρεσιν καὶ ἀναίρεσιν τῶν τῆς ὑπερουσίου θεότητος ἀπωσμένων καὶ ἀπεσχοινισμένων παντάπασιν, καθὰ πάριστησιν ὁ ἐπιστήθιος Εὐαγγελιστής. Εἰπὼν γὰρ ἐκ προσώπου τοῦ θεανθρώπου Λόγου πρὸς τὸν ἴδιον γεννήτορα ἐν οἰκείᾳ συγγραφῇ τῇ τοῦ Εὐαγγελίου· « Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, » ἐν τῷ τέλει τῆς καθολικῆς αὐτοῦ πρώτης Ἐπιστολῆς οὕτω διέξεισιν· « Οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν Θεὸν τὸν ἀληθινὸν, καὶ ἐσμεν ἐν τῷ ἀληθινῷ ἐν τῷ Υἱῷ αὐτοῦ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ ἡ αἰώνιος. » Ὡς οὖν ἐκεῖ συνάρθρως ἀληθινὸς Θεὸς ὁ Πατὴρ μετὰ τοῦ *μόνος*, οὕτως ἐνταῦθα συνάρθρως ἀληθινὸς Θεὸς ὁ Υἱὸς μετὰ τοῦ *οὗτος* κατ' ἐξοχήν· ὡς ἐκεῖ δ' αὖθις ἡ αἰώνιος ζωὴ συνάρθρως, οὕτως ἐνταῦθα συνάρθρως αὕτη αὐτολεξεί. Ἔπειτα συνημμένως ἐπάγει· « Τεκνία, φυλάττετε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων, » μονονουχὶ φάσκων καὶ διαμαρτυρόμενος. Φυλάττετε ἑαυτοὺς τοῦ λογίσασθαί τι περὶ τούτων, ὧν οἱ τῆς πλάνης ψευδόμενοι φθέγγονται. Ὁ τοῦ ἀληθινοῦ Θεοῦ Υἱὸς, ὁ ἀληθινὸς Θεὸς ὁ Χριστός ἐστιν. Οὗτοι ψεύδη εἰσὶ, καὶ ψευδωνύμως θεοὶ ὀνομάζονται. Ἐκ τοίνυν τῶν ἐν Εὐαγγελίοις καὶ Ἐπιστολαῖς ἀποστολικῶν θεοπαραδότων λογίων, καὶ τῶν ἐξ αὐτῶν ὑφηγητῶν, καὶ διδασκάλων τῆς εὐσεβείας δείκνυται καθαρῶς, ὅπως ἡ *μόνος* φωνὴ λαμβανομένη καθέστηκεν ἐπὶ τῶν μοναρχικῶν ὑποστάσεων, καί τινων κατὰ διαστολὴν καὶ διαίρεσιν, καὶ ὅτι πηγὴ τοῦ Πνεύματος ὁ Πατὴρ, καὶ πηγὴ ταῖς αὐταῖς διαῤῥήδην φωναῖς τοῦ Πνεύματος ὁ Υἱός. Καὶ τὰ μὲν ἐκ τούτων τοιάδε.

κα'. Τοῦ δὲ δι' ὃν οἱ λόγοι σαφεῖς ἀναγορεύσεις· « Ὁ Πατὴρ καθὼς γεννᾷ Υἱὸν, ὀνομάζεται Πατὴρ, καθ' ὃ δὲ ἐκπορεύει Πνεῦμα, οὐκέτι Πατὴρ, ἀλλὰ προβολεὺς ὀνομάζεται. Ἔστιν οὖν ὁ Πατὴρ καὶ Πατὴρ καὶ προβολεύς. Ἑνὶ δὲ ὀνόματι συναπτικῷ τούτων ὀνομάζεται πηγή. » Καὶ μετά τινα συστατικὰ τῶνδε· « Ταυτόν ἐστι πηγὴ θεότητος, ὥσπερ εἰ ἐλέγετο πηγὴ Υἱοῦ καὶ Πνεύματος. Καὶ ταυτὸ πάλιν τὸ, πηγὴ Υἱοῦ καὶ Πνεύματος, ὥσπερ εἴ τις λέγει, Πατὴρ Υἱοῦ καὶ προβολεὺς Πνεύματος. » Ταῦτα καὶ λοιπὰ τοῖσδε παραπλήσια τρανῶς ἀνωμολόγησε, καὶ τοῦ πηγὴν εἶναι καὶ τὸν Υἱὸν μηδένα μηδαμῶς θέμενος λόγον, ἐκ τῆς τοιᾶσδε κατὰ διάνοιαν βεβαιώσεως τῆς πηγῆς, καὶ τοῦ μόνως αὐτὴν τῷ Πατρὶ θεωρεῖσθαι, συμπεραίνει τὸ, Μόνος προβολεὺς ὁ Πατὴρ, καὶ τὸ, Ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται. Τίς οὖν ἀλήθειαν εἰδὼς σέβειν, ἐξ ὧν οὗτος ἀνομολογεῖ περὶ τῆς λήψεως τῆς πηγῆς ἀποδεδειγμένως, ἐξ ὧν τε ἡ θεία Γραφὴ ταύτην ὡς τῷ Πατρὶ καὶ τῷ Υἱῷ προσεῖναι μεγαλοφώνως μαρτύρεται, οὐχὶ μέγα βοήσει κατὰ τὸ πάντη πρόδηλον, ἃ συνάγων φησὶ καταφατικῶς τοῦ Πατρὸς εἶναι, ταῦτα καὶ τοῦ Υἱοῦ κατ' αὐτὸν ἐπὶ τοῦ Πνεύματος κατ' ἀνάγκην ὑπάρχειν, τὸ βέβαιον ἔχειν καὶ

A ad discernendum assumi, ea nempe quæ creata essentia constant, sunt nihilominus contigua, sive comprehensa, et alia signiferis hisce quam proxima, nec non ad prorsus tollendum submovendumque ea omnia quæ a superessentiali deitate quam disjunctissima sunt, et plane dissita, ut qui in pectus Domini recubuit evangelista commonstrat. Namque cum recitasset ex persona Dei et hominis Verbi ad proprium genitorem, in sui Evangelii commentario : « Hæc est vita æterna, ut cognoscant te solum Deum verum, » in fine suæ primæ catholicæ Epistolæ sic scribit : « Scimus quod Filius Dei venit, et dedit nobis sensum, ut cognoscamus Deum verum, et simus in vero Filio ejus. Hic est verus B Deus et vita æterna [39].» Uti igitur ibi cum articulo Deus verus, addito *solus*, Pater est, sic quoque hoc in loco cum articulo Deus verus Filius, cum additione *hic* propter excellentiam ; rursusque uti ibi cum articulo vita æterna, ita hic quoque cum articulo hæc eadem iisdem ipsissimis verbis ; tum conjunctim infert : « Filioli, custodite vos a simulacris [40], » tantum non dicens obtestansque, Custodite vos, et cavete, ne quid de illis concipiatis, de quibus errori addicti, et mendacio fallentes loquuntur. Veri Dei Filius, verus Deus Christus est ; hi falsi sunt, falsoque sibi deorum nomen vindicant. Ex Evangeliis igitur et Epistolis apostolicis comprehensis a Deo traditis eloquiis, et eorum expositoribus et pietatis magistris plane ostenditur, C dictio *solus* uti debeat assumi de monarchicis hypostasibus, et ex iis quas discernat, ac separet ; et fontem Spiritus Patrem esse, et fontem iisdem ipsis dictionibus aperte Filium Spiritus insinuari. Et hæc quidem hisce colliguntur.

21. At hujus de quo nobis sermo est, pronuntiata indubitata : « Pater qua generat Filium, Pater nuncupatur, qua vero Spiritum procedere facit, non amplius Pater, sed productor appellatur. Est igitur Pater et Pater et productor, uno vero nomine quod hæc duo colligat, appellatur fons. » Et post nonnullas horum probationes additas : « Erit fons divinitatis, æque ac si dixeris fons Filii et Spiritus, et rursus fons Filii et Spiritus, æque ac si dixeris Pater Filii et productor Spiritus. » Hæc D aliaque his non absimilia clarissime fassus est, ille vero, Filium quoque fontem esse, cum prorsus non attendisset, ex hac fontis secundum sententiam confirmatione, et ex eo quod ille solummodo de Patre intelligatur, concludit solum productorem esse Patrem, et ex solo Patre procedere. Quis igitur, dummodo pietatem colat, ex quibus ipse fatetur de significatu fontis jam demonstratis, et ex quibus divina Scriptura, quæ hunc uti Patri ita et Filio inesse ingenti voce testatur, non magnum clamabit clarissime quæ ipse colligit affirmatque Patris propria esse, eadem et Filio secundum eumdem respectu Spiritus necessario inesse, adeo ut

[39] I Joan. v, 20 [40] ibid. 21.

Digitized by Google Распознавание текста ABBYY FR

hoc certum sit, ut nulli contradictioni subjaceat, et negationem repellat? et præ his ex dictis Numine afflati Cyrilli de fonte pauca recitanda sunt. Hic sexto ad Hermiam libro : « Effundi quidem veluti a fonte Patre Spiritum, » cum pertractasset, septimo de Filio decernit : « Proprio Spiritu sibi adhærentem inungit, quem immittit ipse uti ex Deo Patre Verbum, et ex propria nobis natura uti ex fonte effundit. » Auctor conclusionum et confector, partim ut illi arrisit, partim ut illum dictorum necessitas compulit, dictionem *fontis* in suis scriptis multifariam traducens, ad probandum ex Patre esse Spiritum et non ex Filio, hæc quoque adnectit : « Si enim fons, quod aliquod fundit, fons dicitur, et fons prorsus illius est, qui funditur. » Attendendum est ergo, an non et exacta ista tractatione illud *ex Filio*, perspicue constabiliat, si secundum a Deo edoctum Cyrillum « Ex propria natura uti ex fonte Filius fundit Spiritum ; » et hic edicit, « fontem ita dici quod fundit, fusique fons est. » Et ab immortalitate magnum sibi nomen vindicans in similibus, asseverat de Spiritu dicens activa prolatione « effluens uti e fonte, sive procedens, » ut supra adnotatum est. Ex proxima igitur argumentatione hac varie nomen fontis involventis, indeque quod ipsi in animo non est, necessario affluenterque corroborantis, temereque, ut videtur, incumbentis solum Patrem productorem colligere, ex hac ipsius argumentorum methodo potius illius futilitas comparet propositionis : « Erit fons Filii et Spiritus Pater æque ac si dixeris Pater Filii et productor Spiritus, » et hoc sæpius, tanquam quod everti nullo modo possit, ostentantis, eumdem ipsum ex iisdem concludere productorem etiam Filium, uti fontem Spiritus apertissime. Et illius quoque calculo res ita se habet. Sed enim cum jam vox *solus* de fonte examinatum, sicubi occurrerit, et, quomodo illa de divinitatis hypostasibus consideratur, ex divinitus inspiratæ Scripturæ eloquiis, declaratum sit, nihilominus nusquam est reperire : « Solus productor Spiritus Pater, » quod producere, aut producendi facultas, proprietas Patris non est, cum Damascenus divinitoquus ex gratia nomen habens, tertio decimo theologico capite, de Patre ita aperte edisserat : « Ipse quidem est mens, Verbi abyssus, Verbi genitor, et per Verbum productor revelantis Spiritus. » Hinc plane nullo modo solus Pater productor Spiritus, cum hic per Filium sit. Quidquid enim proprie Patri vindicatur, ut antea diximus, consequenter, et per Filium, et quidquid per Filium, illud non proprie. Quare cum ambæ personæ, quæ ex Patre sunt, secundum diversum progressum, hæc quidem habeat proprio nomine generari, illa procedere, et ex qua sunt generare et producere secundum utramque proprietatis rationem, erga illas quæ ex eo sunt, alterum alteri congruenter, generandi facultatem, ut omnes divini loquorum Patrum voces insinuant, quispiam inveniet uti proprium Patri solique decretum, quæ

A ἀναντίρρητον, καὶ οὐδαμῶς τὴν ἀπόφασιν ; πρὸς οἷς καὶ ἐξ ὧν φησιν ὁ θεόληπτος Κύριλλος περὶ τῆς πηγῆς ἀμυδρὰ λεκτέον. Οὗτος ἐν ἕκτῳ τῶν πρὸς Ἑρμείαν, « Προχεῖται μὲν οἷά περ ἀπὸ πηγῆς τοῦ Πατρὸς τὸ Πνεῦμα, » θεολογήσας, ἐν ἑβδόμῳ περὶ τοῦ Υἱοῦ δογματίζει, « Τῷ ἰδίῳ Πνεύματι τὸν αὐτῷ προσκείμενον καταχρίει, ὅπερ ἐνίησιν μὲν αὐτὸς ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. » Ὁ συντελεστὴς τῶν συμπερασμάτων, τοῦ μὲν ὡς ἠβούλετο, τοῦ δὲ ὡς ἡ ἐκ τῶν λεγομένων ἀνάγκη παρίστησι, τὸ πηγὴ τοῖς αὐτοῦ καταστρωθεῖσι πολυειδῶς μετερχόμενος εἰς κατασκευὴν τοῦ ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα καὶ μὴ ἐκ τοῦ Υἱοῦ, καὶ τάδε προσεπιπλέκει λέγων · « Εἰ γὰρ πηγὴ ὅτι πηγάζει τι λέγεται πηγή, καὶ ἡ πηγὴ πάν-
B τως ἐκείνου λέγεται πηγὴ τοῦ πηγαζομένου. » Προσεκτέον οὐκοῦν, εἰ μὴ κἀκ τῆσδε τῆς ἐπεξεργασίας τὸ *ἐκ τοῦ Υἱοῦ* περιφανῶς ἑδραιοῖ, εἴ γε κατὰ τὸν θεόσοφον Κύριλλον « Ἐξ ἰδίας ὁ Υἱὸς φύσεως ἀναπηγάζει τὸ Πνεῦμα. » Καὶ οὗτος ἀνακηρύττει « τὴν πηγήν, ὅτι πηγάζει, καλεῖσθαι πηγήν, καὶ τοῦ πηγαζομένου πηγὴν λέγεσθαι. » Καὶ τῆς ἀθανασίας ὁ μεγαλώνυμος καὶ ἐπώνυμος κἀν τοῖσδε πάλιν ἀναγορεύει περὶ τοῦ Πνεύματος φάσκων, πηγάζειν ἐνεργητικῶς, εἴτουν ἐκπορευόμενον, ὡς ἄνω που παρατίθεται. Ἐκ μέντοι τῆς προσεχοῦς ἐπιχειρήσεως ταύτης τοῦ πολυελίκτως τὸ τῆς πηγῆς στρέφοντος, κἀντεῦθεν αὐτῷ τὸ ἀκούσιον ἀναγκαῖον πλεοναζόντως κρατύνοντος, μάτην κατεπείγεσθαι φαινομένου τὸ μόνον τὸν Πατέρα προβολέα συνάγειν, ἐξ ἐκείνης
C ἐπιχειρηματικῆς αὐτοῦ μᾶλλον μεθόδου, ἀναφαίνεται τὸ εἰκαῖον τῆς ὅτι « Ταυτόν ἐστι πηγὴ Υἱοῦ καὶ Πνεύματος ὁ Πατήρ, ὥσπερ εἰ ἐλέγετο Πατὴρ Υἱοῦ, καὶ προβολεὺς Πνεύματος, » καὶ τοῦτο πολλάκις ὡς ἀπαραίτητον δεικνυμένου τοῦ συμπεραίνειν αὐτὸν ἐντεῦθεν προβολέα καὶ τὸν Υἱόν, οἷα πηγὴν τοῦ Πνεύματος ἐμφανέστατα. Καὶ κατ' αὐτὸν μὲν οὕτω. Τοῦ δὲ *μόνος* ἐπὶ τῆς πηγῆς τὴν ἐξέτασιν εἰληφότος, ἔνθα περ εὕρηται, καλῶπως ἐνθεωρεῖται ταῖς τῆς θεότητος ὑποστάσεσιν, ἐκ τῶν τῆς θεοπνεύστου Γραφῆς ῥημάτων ἀποφανθέντος, οὐκ ἔστιν ὅπου λελεγμένον, « Μόνος προβολεὺς τοῦ Πνεύματος ὁ Πατήρ, » ὅτι μὴ ἰδιότητος τοῦ Πατρὸς τὸ προβλητικὸν, ἐπείπερ ὁ Δαμασκόθεν χαριτώνυμος θεηγόρος ἐν τῷ τρισκαιδεκάτῳ τῶν
D θεολογικῶν αὐτοῦ κεφαλαίων περὶ τοῦ Πατρὸς οὕτω διαῤῥήδην θεολογεῖ · « Αὐτὸς μέν ἐστι νοῦς, Λόγου ἄβυσσος, Λόγου γεννήτωρ, καὶ διὰ Λόγου προβολεὺς τοῦ ἐκφαντορικοῦ Πνεύματος. » Ὅθεν ἥκιστα μόνος προβολεὺς τοῦ Πνεύματος ὁ Πατήρ, ἐπεὶ διὰ τοῦ Υἱοῦ. Εἴ τι γὰρ ἰδίως ἐπικεκλήρωται τῷ Πατρὶ, πεφθακότως ὡς προειρήκαμεν, τοῦτο καὶ διὰ τοῦ Υἱοῦ · καὶ εἴ τι διὰ τοῦ Υἱοῦ, τοῦτο οὐκ ἰδίως. Ἀμφοτέρων οὖν προσώπων τῶν ἐκ Πατρὸς κατὰ τὴν διάφορον αὐτῶν πρόοδον, τοῦ μὲν ἔχοντος ἰδίᾳ τὸ γεννητὸν, τοῦ δὲ τὸ ἐκπορευτὸν, καὶ τοῦ ἐξ οὗ τὸ γεννητικὸν καὶ προβλητικὸν κατ' ἰδιότητος λόγον ἑκάτερον πρὸς τὰ ἐξ αὐτοῦ θατέρῳ θάτερον καταλλήλως τὸ μὲν γεννητικὸν κατὰ πάσας τὰς διατρανούσας τοῦτο φωνὰς τοῖς θεορρύτοις εὑρήσει τις ἰδιον τῷ Πατρὶ καὶ μόνῳ

Digitized by Google Распознавание текста ABK/FR

θεολογούμενον, κατὰ τὰς εἰς αὐτὸ τοῦτο λαμβανομένας σαφῶς· τὸ δέ γε *προβλητικόν*, ἢ τὸ *προβολεύς*, ἢ τὸ *προβάλλεσθαι*, ἢ τι τῶν ἑτέρᾳ μετακλίσει τοῦτο δηλούντων οὐδαμῶς ὁπουδήποτε. Αὐτίκα τοίνυν ἡ τῶν θεολόγων ἀκρότης Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὸν κατάπλουν τῶν Αἰγυπτίων φησίν· « Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι πλὴν τῆς ἀγεννησίας. Πάντα δὲ ὅσα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος πλὴν τῆς υἱότητος, καὶ τῶν ὅσα περὶ αὐτοῦ σωματικῶς λέγεται διὰ τὸν ἐμὸν ἄνθρωπον καὶ τὴν ἐμὴν σωτηρίαν. » Ὁ αὐτὸς ἐν τῷ εἰς Ἥρωνα τὸν φιλόσοφον· « Ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἔκπεμψις. » Ὁ αὐτὸς ἐν τῷ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας· « Πνεῦμα ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, παραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱῷ δὲ γεννήσεως· τὰ δ' ἄλλα καὶ συμφυὲς καὶ σύνθρονον, καὶ ὁμόδοξον. » Ὁ αὐτὸς ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ· « Τί γὰρ οὐ δύναται τῶν μεγάλων; Τί δὲ οὐ προσαγορεύεται ὧν Θεός, πλὴν ἀγεννησίας καὶ γεννήσεως; Ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι Πατρὶ καὶ Υἱῷ, ἵνα μὴ ᾖ σύγχυσις παρὰ θεότητι. Ὁ χαριτώνυμος καὶ πλήρης χαρίτων ὁ Δαμασκηνὸς ἐν τῷ ὀγδόῳ τῶν θεολογικῶν κεφαλαίων περὶ τῆς ἁγίας Τριάδος φησίν· « Υἱὸς δὲ καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως διὰ τὸ τέλειον, καὶ ἐνυπόστατον, καὶ κατὰ πάντα ὅμοιον τῷ Πατρὶ εἶναι πλὴν τῆς ἀγεννησίας. » Καὶ πάλιν ἐν τῷ αὐτῷ κεφαλαίῳ· « Διὰ τὸν Πατέρα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα πάντα ἃ ἔχει, τουτέστι διὰ τὸ τὸν Πατέρα ἔχειν αὐτά, πλὴν τῆς ἀγεννησίας, τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως. Ἐν ταύταις γὰρ μόναις ταῖς ὑποστατικαῖς ἰδιότησι διαφέρουσιν ἀλλήλων αἱ ἅγιαι τρεῖς ὑποστάσεις, οὐκ οὐσίᾳ, τῷ δὲ χαρακτηριστικῷ τῆς ἰδίας ὑποστάσεως ἀδιαιρέτως διαιρούμεναι. » Ὁ θεσπέσιος Κύριλλος ἔν τινι τῶν κεφαλαίων τῶν Θησαυρῶν· « Ὥσπερ δίδωσι τὸ φυτὸν τῷ ἐξ αὐτοῦ προελθόντι καρπῷ τὴν αὐτῷ κατὰ φύσιν προσοῦσαν ποιότητα φορεῖν, οὕτως ὁ Υἱὸς εἰληφέναι παρὰ Πατρὸς τὰ αὐτῷ προσόντα νοεῖται, πάντα ὢν ὅσα καὶ ὁ Πατήρ, δίχα μόνου τοῦ εἶναι Πατήρ. » Ὁ αὐτὸς ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν· « Συναΐδιον πιστεύομεν τὸν Υἱὸν τῷ Πατρὶ καὶ πᾶν ὁτιοῦν ἰσόμετρον ἔχοντα, δίχα μόνου τοῦ τεκεῖν. Προστήκει γὰρ ἂν τοῦτο μόνῳ τῷ Θεῷ καὶ Πατρί. » Καὶ πάλιν ἐν τῷ περὶ Τριάδος λόγῳ· « Ἐν Υἱῷ μονογενεῖ κατὰ πάντα ἴσῳ τῷ Πατρὶ καὶ ὁμοίῳ χωρὶς τῆς πατρότητος. » Καὶ αὖ ἐν ἄλλοις· « Μενεῖ δὲ ὁ Υἱὸς μηδενὸς ἀποστερούμενος τῶν ἐνόντων τῷ Πατρὶ, κἂν μὴ νοεῖται Πατήρ. » Καὶ πάλιν ἐν ἑτέροις· « Πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ Πατρὸς κοινωνός ἐστιν ὁ Υἱὸς ἄνευ τοῦτ Πατὴρ εἶναι. » Καὶ ἀλλαχοῦ πάλιν· « Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, οὐκ εἰς ὀθνείαν τινὰ καὶ ἔκφυλον ἐκπεφυκότα φύσιν, ἀλλ' ὄντα τοῦτο οὐσιωδῶς, ὅπερ ἂν εἶναι νοοῖτο καὶ ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ. » Χρήσεων μὲν οὖν τῶν θεολογικῶν διασαφουμένων οὕτω τὰς ἰδιότητας τῶν τριῶν ὑποστάσεων τῆς θεότητος, καὶ ἅπερ ἔνεστιν ἰδίᾳ τῷ Πατρὶ διαφορῶν τῶν *μόνῳ*, καὶ *δίχα*, καὶ *πλήν*, καὶ λοιπῶν διακρινουμένων εἰλικρι-

ad hoc ipsum assumuntur perspicue. Verumtamen *producendi facultatem*, sive *productor*, sive *producere*, sive quidquid aliud sit, quod alia flexione indicatur, nullo prorsus modo. Ante alios ergo theologorum vertex Gregorius, oratione in adventum Ægyptiorum, ait : « Quæcunque Pater habet, Filii sunt, unam si excipias ingenituram. Quæcunque Filii sunt, illa eadem et Spiritus, unam si excipias filiationem, et quæcunque alia de eo propter meum hominem, et meam salutem asseruntur. » Idem, oratione in Heronem Philosophum : « Proprium porro Patris est ingenitum, Filii vero generatio, Spiritus emissio. » Idem, oratione de moderatione in disputationibus servanda : « Spiritus ex Deo exsistentiam habens, concedens Patri ingenituram, Filio generationem, rebus vero in aliis et ejusdem naturæ et ejusdem sessionis, et ejusdem honoris. » Hic ipse, oratione de Spiritu : « Quid enim ex rebus ingentibus non potest? Quodnam vero nomen Dei sibi non vindicat, unam si excipias ingenituram et generationem? Relinquendæ siquidem erant Patri et Filio proprietates, ne confusio nasceretur in Deitate. » Gratiosus nomine gratiarumque refertus Damascenus, octavo theologico capite, de sancta Triade inquit : « Filius vero et character paternæ hypostasis propter perfectum subsistensque in se, et quod in omnibus similis Patri est una excepta ingenitura. » Rursusque eodem capite : « Per Patrem habet Filius et Spiritus quæcunque habet, hoc est, quod Pater illa habet, præter ingenituram, et generationem, et processionem; in his enim solis hypostaticis proprietatibus inter se sanctæ tres hypostases differunt, non essentia, sed propriæ hypostasis nota indivise divisæ. » Sanctus Cyrillus, in uno Thesaurorum capite : « Quemadmodum planta fructui ex se provenienti sibi innatam natura qualitatem deferendam exhibet, ita Filius intelligitur, quæ sibi inhærent, accepisse, cum omnia sit, quæcunque Pater, absque eo solo quod Pater non est. » Idem, secundo ad Hermiam : « Coæternum credimus Filium Patri, omniaque æquali mensura possidere, absque eo solo quod non generat. Id siquidem soli Deo et Patri proprium est. » Rursusque, oratione de Triade : « In Filio unigenito in omnibus æquali et simili una excepta paternitate. » Et in aliis : « Manebit vero Filius ex illis quæ Patri insunt, nullo spoliatus, etsi non intelligatur Pater. » Et rursus in aliis : « Omnium naturalium bonorum Patris particeps est Filius. Illud solum si demas, Patrem esse. » Et alibi item : « Deum verum de Deo vero, non in spuriam aliquam et externam naturam productum, sed exsistentem id idem essentialiter, quod intelligitur esse et Pater, absque eo solo quod Pater non est. » Cum itaque hæc theologica testimonia hac ratione trium Deitatis hypostaseon proprietates declarent, et quæ peculiariter Patri insunt, differentias, illis *soli*, *præter*, *excepto*, et aliis apertissime definiant, minime fieri poterat, non indicari in aliquibus saltem a divinis hisce

Digitized by Google Распознавание текста ABK/FR

mystagogis, si proprietas Patris, etiam illud *producere* uti et *generare* agnoscebatur.

22. Quare cum undique quæ ipse divinitoquis Patribus adversantia loquitur, refutata sint, ab eodem subsequenter digesta, uti declarari debeant, et ex tradita a Deo Scriptura manifestantur pro more nostro volentes perfecte, præter eorumdem examen illa eadem quasi jam apposita sint, cum prioribus committere, nec quidpiam ultra addere quam quæ in frequentibus colloquiis dicta disputataque sunt, præterire statuimus, eo plane minime neglecto quod ille in exemplum assumit, *solus* in Patre productore comprobans, et hæc manifesto, quibus colligit, productorem esse Patrem, concludens, etsi inconsiderate, necessario prorsus, id ipsum quoque Filium esse. Nihilominus demonstrans redarguensque non assentientem, similem illis comminiscitur exsistere : « Quemadmodum si quis affirmans, Deum esse naturæ humanæ conditorem, postmodum cum Deo angelos etiam hominis esse creatores astruens, existimaret sibimetipsi non contradicere. » Et plane exempla ubicunque usurpantur, et præcipue in divinitatis negotio, non in omnibus ad quod conferuntur, sed ad aliquid, et secundum partem assimilari, verum est et omnibus notum, nihilominus rei quam ipsa effigiant aptissime congruunt, et nullo modo improprie. Hic porro quænam convenientia est similitudinis cum iis qui productorem esse Patrem asseverant, et *solum* non accipiunt, quod nemo ex Patribus pronuntiavit? Qua enim ratione, si productor est per Filium, contendit similia enuntiare, si quis fateretur Deum conditorem esse naturæ humanæ, postmodum cum Deo etiam angelos creatores hominum affirmaret? Quænam est inter hæc congruens similitudo? sive, ut verius dixero, quis ex sanctis a Deo gloriam consecutis pro nihilo non haberetur? quis non convicils lacesseretur? Et ante alios qui magna voce edicit : « Productor Pater per Verbum revelantis Spiritus? » Postmodum in dogmatibus asserendis conspicuus Epiphanius, « ex eadem essentia Patris et Filii Spiritum » docens, et in hujusce probationem voces utrasque evangelicas asserens : « Qui a Patre procedit? » et : « Ex meo accipiet, » in eamdem nec differentem sententiam, et reliquus divinitoquorum cœtus, qui una cum eo divinarum Scripturarum auctoritate, « ex essentia illum Patris et Filii, » effusis sermonibus deprædicant, et quotquot « effunditur, » et « progreditur ex Patre et Filio » enuntiant, si modo cum divinissimo Cyrillo conveniunt, nec illi adversantur, clamanti, in evangeliis Servatorem de Spiritu dixisse, « effunditur, » et « progreditur, » eo in loco ubi « procedit, » pronuntiavit, cum harum trium vocum unum eumdemque significatum, et nullo modo diversum, optime calleret. Et præterea qui clarissime statuit, « Neque enim alicui de nominibus litem movebimus donec syllabæ eamdem sententiam exprimant; »

A νῶς, οὐκ ἦν ὁπωσδήποτε, μὴ ἐνσημανθῆναί που τάσδε τοῖς θείοις μυσταγωγοῖς, εἴ τί περ ἰδιότης Πατρὶ, καὶ τὸ *προβλητικὸν* ὡς τὸ *γεννητικὸν* ἐγινώσκετο.

κβ'. Οὐκοῦν τῶν τοῦ ἀπεναντίας τοῖς θεόφροσι φθεγγομένου πανταχόθεν ἐληλεγμένων, τὰ ἑξῆς τούτου τῶν καταστρωθέντων, καὶ φανέρωσιν ὅπως ἔχοντα καθορᾶται πρὸς τὰ τῆς θεοδότου Γραφῆς εἰληφότων, κατὰ τὸ εἰωθὸς θέλοντες ἀνελλιπῶς πρὸς το ἐξετάσαι τοῖς προτέροις ἐπισυνάψαι τὰ αὐτὰ ὡς ὄντα, καὶ μηδὲν πλέον ἢ ἃ πολλαχῆ συχναῖς διαλαλιαῖς ἐρρέθη, καὶ διηλέχθη, διέγνωμεν παρελθεῖν, τοῦτο μὴ παριδόντες ὅ φησι, Παραδειγματικῶς, τὸ *μόνος* κατασκευάζων ἐπὶ τοῦ προβολεὺς ὁ Πατὴρ, καὶ ταῦτα προδήλως, ἀφ' ὧν συνῆξεν ὅτι B προβολεὺς ὁ Πατὴρ συμπεράνας, εἰ καὶ μὴ ἐν συναισθήσει κατὰ πᾶσαν ἀνάγκην εἶναι τοῦτο καὶ τὸν Υἱόν. Ὅμως κατασκευάζων καὶ διελέγχων τοὺς μὴ δεχομένους, ὅμοιον αὐτοῖς συντίθησιν ὑπάρχειν· « Ὥσπερ ἂν εἴ τις ὁμολογῶν μὲν τὸν Θεὸν εἶναι κτίστην τῆς φύσεως τῶν ἀνθρώπων, εἶτα μετὰ τοῦ Θεοῦ καὶ τοὺς ἀγγέλους ἀποφαινόμενος τοῦδε ποιητὰς τοῦ ἀνθρώπου, οἰοιτο μηδὲν ἐναντίον ἑαυτῷ λέγειν. » Ὅτι μὲν λόγοι παραδειγμάτων ἁπανταχοῦ καὶ μᾶλλον ἐπὶ τῆς θεότητος οὐκ εἰσάπαν πρὸς ὃ παρατίθενται, πρός τι δὲ καὶ κατά τι δεικνύναι φαίνονται τὸ συμφέρεσθαι, ἀληθές ἐστι καὶ γνωστὸν πλὴν καταλλήλως τῷ παραδειγματιζομένῳ καὶ προσφυῶς, καὶ ἀνοικείως οὐδ' ὁπωσοῦν. Ἐνταῦθα δὲ ποῖον τὸ προσφυὲς C τῆς ἐξομοιώσεως τοὺς προβολεὺς ἀναγορεύοντας ὁ Πατὴρ, καὶ μὴ προσιεμένους τὸ *μόνος*, ὅτερ οὐδεὶς τῶν ἁγίων εἰρήκει; Πῶς γὰρ εἴ γε δι' Υἱοῦ προβολεὺς διισχυρίζεσθαι παρόμοια φάσκειν, εἴ τις ὁμολόγει κτίστην τὸν Θεὸν εἶναι τῆς φύσεως τῶν ἀνθρώπων, εἶτα μετὰ τοῦ Θεοῦ καὶ τοὺς ἀγγέλους ποιητὰς αὐτῶν ἀποφαίνεται, ποία τις ἡ πρὸς ταῦτα κατάλληλος εἰκασία; ἢ τἀληθὲς μᾶλλον εἰπεῖν, ποῖος ἐντεῦθεν τῶν θεοδοξάστων οὐκ ἐξουθενοῦται Πατέρων; ποῖος οὐ λοιδορεῖται; Πρῶτον μὲν καὶ αὐτὸς ὁ μεγαλοφώνως θεολογῶν· « Προβολεὺς ὁ Πατὴρ διὰ Λόγου τοῦ ἐκφαντορικοῦ Πνεύματος. » Εἶτα τοῖς δόγμασιν ὁ πολὺς Ἐπιφάνιος, ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα διδάσκων, καὶ κατασκευὴν τούτου φωνὰς εὐαγγελικὰς ἑκατέρας τιθείς· » Ὃ παρὰ D τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ, « Ἐκ τοῦ ἐμοῦ λήψεται, » εἰς ἀδιάφορον διανοίας ταυτότητα, καὶ λοιπὸς ὁμιλος θεηγόρων, ὅσοι μετ' αὐτοῦ Γραφῆς ἐνθέοις « ἐκ τῆς οὐσίας αὐτὸ Πατρὸς καὶ Υἱοῦ « πεπλουτισμένως ἀνακηρύττουσι, καὶ ὅσοι « προχεῖται, » καὶ « πρόεισιν ἐκ Πατρὸς καὶ Υἱοῦ » δογματίζουσιν, εἴγε σύμφωνοι τῷ θειοτάτῳ Κυρίλλῳ καὶ μὴ ἀντίδοξοι, ἐν Εὐαγγελίοις ἐρεῖν περὶ τοῦ Πνεύματος τὸν Πατέρα βοῶντι, « προχεῖται » καὶ « πρόεισιν, » ὅπουπερ ἔφησεν « ἐκπορεύεται, » τῶν τριῶν ὅσα τῶνδε φωνῶν τὸ ταυτὸν εἰδότι καὶ μὴ διάφορον. Σὺν τούτοις καὶ τρανῶς ὁ ἀποφαινόμενος, « Οὐδὲ γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν εἰς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν. » Ὡσαύτως ὁ φάσκων διαπρυσίως· « Τὸ Πνεῦμα τὸ ἅγιον ὥσπερ φύσει

Digitized by Google Распознавание текста ABK/FR

καὶ κατ' οὐσίαν ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ κατ' οὐσίαν ἐστὶν, ὡς ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. » Καὶ σὺν αὐτῷ πάλιν τὸ λοιπὸν σύστημα τῶν θεοφορήτων, ὅσοι μηδὲν διαφέρειν τὸ « ἐξ Υἱοῦ » τῷ « δι' Υἱοῦ » ὃ διαῤῥήδην θεολογοῦσι, καὶ τὸ ταυτοδύναμον τῆς *ἐκ* καὶ *διὰ* διηυκρινημένως παραδιδάσι. Καὶ Κύριλλος αὖθις ὁ θεῖος οὕτω διασαφῶν ἐν τοῖς πρὸς Παλλάδιον· « Τρεπτὸν οὔ τοί που τὸ Πνεῦμά ἐστιν, ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν. Εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιῶδες ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα. » Ὁ γοῦν ταῦτα στέργων, κἀντεῦθεν τοῖς λέγουσι μετὰ Θεοῦ ποιητὰς τῶν ἀνθρώπων εἶναι τοὺς ἀγγέλους ἐξομοιούμενος, πῶς οὐχ αἱρήσεται συνυβρίζεσθαι τοῖς καθαρὰ δοχεῖα τοῦ Πνεύματος εἶναι θεόθεν ἀποφανθεῖσι, καὶ τοῦτα σύνοικον, καὶ δι' αὐτῶν φθεγγόμενον ἔχουσιν; Ἀλλ' εὐμενεῖς εἶεν οἱ θεομίμητοι· οὐ γὰρ ἀφ' ἡμῶν.

perpeti? Sed propitii nobis sint Dei imitatores;

κγ'. Πλὴν ὁ τὰς ὁμοιώσεις οὕτω καλλιγραφήσας, καὶ τὰ τῆς κτίσεως οὕτω παραθεὶς μετ' αὐτῆς « εἴπερ ἄγγελοί τε καὶ ἄνθρωποι, » καὶ *μόνῳ* τῷ Πατρὶ προβλητικὸν ἀφορίσας οἰκοθεν εἰς ἰδίωμα, τί περὶ τῆς κτίσεως ἐρεῖ πρὸς ἃ φησιν ὁ μεγαλόνους Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον οὕτω διεξιών· « Καὶ μηδεὶς οἰέσθω με τρεῖς εἶναι λέγειν ἀρχικὰς ὑποστάσεις, ἢ ἀτελῆ φάσκειν τοῦ Υἱοῦ τὴν ἐνέργειαν. Ἀρχὴ γὰρ τῶν ὄντων μία, διὰ Υἱοῦ ἐνεργοῦσα, καὶ τελειοῦσα ἐν Πνεύματι· » καὶ πάλιν ἐν τῷ ὑπαγορευθέντι ὑπ' αὐτοῦ ἀντιγράφῳ τῆς πίστεως· « Ἕνα γὰρ οἴδαμεν ἀγέννητον καὶ μίαν τῶν ὄντων ἀρχὴν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, » ἀθετήσει δι' Υἱοῦ δημιουργεῖν τὸν Πατέρα, καὶ ἐξ αὐτοῦ « δι' Υἱοῦ τὰ πάντα γενέσθαι » κατὰ τὴν εὐαγγελικὴν βροντόφωνον ἀνακήρυξιν; ἐπειδὴ μὴ τρεῖς ἀρχικὰς ὑποστάσεις εἶναι διδάσκει, ἀλλὰ τὸν Πατέρα μίαν τῶν ὄντων ἀρχήν· ἢ τοῖς ἑκάτερα φρονοῦσιν, ὡς εἴρηται τῷ μεγάλῳ, ποιητικὰς προσάψει παρομοιώσεις λέγειν ἀγγελικάς; Ἀλλ' οὗτος, ἡ φερώνυμος ὄντως τῶν δογμάτων τῆς ἀληθείας, βάσις τὴν κακόνοιαν τῶν τοιαῦτα προσεπιτρίβειν ἐντεῦθεν προαιρουμένων ἀπορραπίζων, καὶ τὸν καθ' ὃν ἑκάτερα λόγον παραδιδοὺς, περὶ τὰ τέλη τοῦ δευτέρου τῶν κατ' Εὐνομίου λόγων αὐτοῦ διέξεισιν οὕτωσι, « Τὸ παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι λεγόμενον πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει, ὥστε κἂν πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ τοῦ Θεοῦ Λόγου πιστεύομεν, ἀλλὰ τῶν πάντων τὸν Θεὸν αἴτιον εἶναι τῶν ὅλων οὐκ ἀφαιρούμεθα. » Καίτοι καὶ τὸ *μόνος* εἰ λελεγμένον ἐπὶ τοῦ προβολεὺς ὑπῆρχεν, ἔδει τὰ τῶν Πατέρων ἐξετάσαι, καὶ ἀνιχνεῦσαι, καὶ ὡς ἐῤῥέθη σκοπῆσαι καὶ συνιδεῖν ἐξ αὐτῶν, καὶ μὴ παρατιθέμενον τὸν διειλημμένον λόγον τοῦ οὐρανόφρονος, πολεμίους πρὸς ἀλλήλους καὶ πρὸς ἑαυτοὺς δεικνύναι τοὺς θεηγόρους· ὡς τὰ σφῶν θεολογικὰ γνήσια ἔπη διὰ τῶν σφετέρων ἐκ τοῦ μὴ συνορᾶν ἀνατρέπειν, καὶ περὶ τῆς ἐκπορεύσεως τοῦ Πνεύματος τὴν μὲν ἀπόφασιν αὐτῆς ἐπὶ

A nec alio modo, qui palam aperteque tradit, « Spiritus sanctus uti natura secundum essentiam est Dei et Patris, ita et Filii secundum essentiam est, tanquam qui ex Patre per Filium genitum ineffabiliter procedit. » Rursusque cum hoc eodem reliquus divinorum Patrum cœtus, quotquot nihil inter se differre illa « ex Filio, » et « per Filium » docent, et præpositionum *ex* et *per* æquales vires satis distincte tradunt. Necnon divinus rursus Cyrillus qui in scriptis ad Palladium rem ita explanat: « Mutabilis nullo modo Spiritus est; quodsi mutationi obnoxius est, ad ipsam divinam naturam vituperatio recurret. Si est Dei et Patris et præterea Filii, essentialis ex utroque ex Patre nempe per Filium effusus Spiritus. » Qui itaque hæc amplecti-
B tur indeque asserentibus cum Deo creatores hominum angelos esse comparat, qua ratione non eliget simul una cum iis qui pura Spiritus receptacula a Deo declarati sunt, et illum sibi cohabitantem, et per seipsos illum denuntiantem possident, injuriam neque enim a nobis similia proferuntur.

23 Nihilominus qui similitudines concinne scripto tradit, et res creationis ita exponit, « Si angeli quoque et homines, » et *soli* Patri facultatem productivam in proprietatem ex propriis astruit, quid de creatione dicet, ad ea quæ recte magnus magnaque mente præditus Basilius ad Amphilochium ita enarrans scribit? « Et nemo opinetur me tres asserere principales hypostases, vel imperfectam
C affirmare Filii operationem: principium enim rerum unum est, per Filium operans, et perficiens in Spiritu. » Rursusque in Antigrapho fidei ab se dictato, « Unum enim novimus ingenitum, et unum rerum principium Patrem Domini nostri Jesu Christi, » reprobabit per Filium Patrem condere, et ex ipso « per Filium universa facta fuisse, » secundum evangelicam instar tonitrui prædicationem? quod tres principales hypostases non esse doceat, sed Patrem unum rerum omnium principium, illisne qui utrisque assensum præbent, ut a magno enuntiantur, similitudines creatrices angelicas appinget effari? Verumtamen hic nomine suo vere dogmatum veritatis basim exprimens, improbitatem eorum qui similia inde in alios conjiciunt, refutans,
D et rationem, qua utraque intelligenda sunt, tradens in fine secundi adversus Eunomium libri hunc in modum edisserit: « Quod a Filio factum esse asseritur, ad primam causam habet relationem, adeo ut licet universa producta esse per Deum Verbum credamus, sed omnium Deum universorum causam esse non inficiamur. » Et licet de productore illud *solus* affirmaretur, erant Patrum dicta examinanda atque investiganda, et, ut dictum est, considerandum et ex illis percipiendum, et non pro nihilohabito adducto cœlesti mente præditi viri sermone mutuo inter sese sibi adversari diviniloquos ostendendos, et eorum theologica ac genuina dicta, aliis suis dictis, quod rem non perciperet, refellenda: sic item de processione Spiritus non æquum facit, cum il-

Digitized by Google Распознавание текста ABK/FR

lius negationem de Filio, quam nullus ex ipsis prorsus reperitur affirmasse, confirmare conatur, affirmationem, quam ipsi verbis æquipollentibus, idemque significantibus palam confirmant, criminatur, et adversus eos qui eam asseverant, incomptas similitudines confingit, et infausta obloquitur, quæ aperte, ut ostensum est, ad diviniloquos diriguntur.

24. Attendendum ab illis porro est, qui post Deum Servatorum dicta non admodum æstimant, proxime appositum dictum magni nominis Patris, quomodo præter id quod decreverat, « a Filio factum ad primam causam Patrem relationem habere. » in quo ubicunque *solus* de ipso, et *unum*, uti hic et reliquis aliis suis dictis confirmat, ambarum præpositionum indifferentes vires significasse. Cum enim dixisset de Filio, « per Deum Verbum, » orationem resumens subjunxit, locis in omnibus præpositionum *ex* et *per* easdem vires de Filio commonstrans, tum in creaturis condendis, tum in sempiterno Spiritus progressu. De quarum præpositionum simili significatu, nec disparibus viribus in scriptis ad Amphilochium tradit, rem exemplis variis confirmans, et in aliis suis commentariis duas hasce præpositiones sic usurpans, in rebus theologicis, ut ibi loquitur, nunc ex Filio, nunc per Filium Spiritum declarat. Hinc tertio adversus Eunomium Antirrhetico scribit : « Quæ enim necessitas est, si dignitate et ordine tertius est Spiritus, tertium illum esse et natura? Namque dignitate secundum esse a Filio, tanquam qui ab eo, quod sit habet, et ab eo accipit, et nobis annuntiat, et prorsus illi causæ adhæret, pietatis sermo tradit: natura vero tertia uti, neque a divinis Scripturis edoceti sumus, neque ex jam dictis consequenter colligi potest. Quemadmodum enim Filius ordine quidem secundus a Patre est, quoniam ab illo est, et dignitate, quoniam origo atque causa, quod ille sit, Pater est, et quod per ipsum accessus et adductio ad Deum Patrem : natura vero nullo modo secundus, quod in utroque una deitas est : ita videlicet et Spiritus sanctus, et si dignitate et ordine secundus a Filio est, non tamen verisimiliter alienæ esse naturæ inde consequi dixerimus. » Necnon in illis : « Quare non et Spiritus Filius Filii, » tradit : « Non quod non sit ex Deo per Filium; sed ne Trinitas reputaretur multitudo innumera, uti in hominibus fit. » Et paucis annexis : « Propterea ex Deo esse Spiritum palam enuntiavit Apostolus dicens : *Spiritum, qui ex Deo est, accepimus* [41], per Filium apparere manifestavit, cum illum Filii Spiritum, ut et Dei appellavit, et mentem Christi, sicuti et Dei Spiritum uti hominis. » Dicta hæc ab dissidii multiplici malitia multum divexata sunt, tertio tamen duo priora, et secundo immanius primum, membrorum integrorum ademptione imminutum, necnon additionibus, et adjectionibus

[41] I Cor. II, 12.

A τοῦ Υἱοῦ, ἣν οὐδεὶς αὐτῶν εὕρηται φάναι που τοπαράπαν ἀσυστάτως συνιστᾷν κατεπείγεσθαι, τὴν δὲ κατάφασιν, ἣν αὐτοὶ δι' ὁμοσθενῶν καὶ ταυτοσημάντων ῥημάτων ἐμφανῶς συνιστῶσι, διαβάλλειν, καὶ κατὰ τῶν λεγόντων ἀνοικείους παρομοιώσεις πλάττειν, καὶ ἀπόφημα φάσκειν, ἃ προδήλως, ὡς δέδεικται, πρὸς τοὺς θεορρήμονας ἀποτείνεται.

κδ'. Προσεσχηκέναι δὲ χρὴ τοὺς παρὰ φαῦλον οὕτω ποιουμένους τὰ τῶν μετὰ Θεὸν σωτήρων τῇ προσεχῶς τεθείσῃ ῥήσει τοῦ μεγαλωνύμου Πατρὸς, ὅπως ἄρα πρὸς τὸ θεολογῆσαι τὸ « παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι τὴν ἀναφορὰν ἔχειν πρὸς τὴν πρώτην αἰτίαν τὸν Πατέρα, » καθ' ἣν ὁπουδήποτε τὸ *μόνος* ἐπ' αὐτοῦ, καὶ τὸ *μία*, καθὼς ἐνταῦθα καὶ λοιπαῖς ἐν ἑτέραις B αὐτοῦ παρίστησι ῥήσεσι, καὶ τὸ τῶν ἑκατέρων προθέσεων ἐδήλωσεν ἀδιάφορον. Εἰπὼν γὰρ περὶ τοῦ Υἱοῦ, « διὰ τοῦ Θεοῦ Λόγου, » ἐπαναλαμβάνων ἐπήγαγεν, ἀπανταχοῦ τὸ τῆς ἐκ καὶ *διὰ* ἰσοδύναμον ἐπὶ τοῦ Υἱοῦ ἀναφαίνων, ἐπί τε τῇ εἰς τὸ εἶναι παραγωγῇ τῶν κτισμάτων, ἐπί τε τῇ ἀϊδίῳ προόδῳ τοῦ Πνεύματος. Καὶ ποιεῖται μὲν τῆσδε τῆς ἰσοδυναμίας παράδοσιν ἐν τοῖς πρὸς Ἀμφιλόχιον παραδείγμασι διαφόροις πιστούμενος· ἐν δὲ τοῖς ἄλλοις τῶν συγγραμμάτων αὐτοῦ τὸ διττὸν τῶνδε τῶν προθέσεων οὕτω λαμβάνων, ὅτὲ μὲν ἐπὶ τῆς θεολογίας, ὡς ἐκεῖ φησιν, ἐξ Υἱοῦ τὸ Πνεῦμα διαγορεύει, ὁτὲ δὲ δι' Υἱοῦ. Ὅθεν ἐν τῷ τρίτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν φάσκει· « Τίς γὰρ ἀνάγκη τῷ ἀξιώματι καὶ τῇ C τάξει τρίτον ὑπάρχον τὸ Πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; Ἀξιώματι μὲν γὰρ δευτερεύει τοῦ Υἱοῦ παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως ἐκείνης τῆς αἰτίας ἐξημμένον, παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος· φύσει δὲ τρίτῃ χρῆσθαι οὔτε παρὰ τῶν ἁγίων Γραφῶν δεδιδάγμεθα, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὸ ἀκόλουθον δυνατὸν συλλογίσασθαι. Ὡς γὰρ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τοῦ εἶναι Πατέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν Θεὸν καὶ Πατέρα· φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποδέδηκε τὸν Υἱὸν τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοD τρίας ὑπάρχον φύσεως. » Καὶ πάλιν ἐν οἷς, « Διατί μὴ καὶ τὸ Πνεῦμα Υἱὸς τοῦ Υἱοῦ; » φησίν· « Ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον, ὡς καὶ ἐν ἀνθρώποις ὑποπτευθεῖσα. » Καὶ μετ' ὀλίγα· « Διὰ τοῦτο τὸ μὲν ἐκ Θεοῦ εἶναι τὸ Πνεῦμα τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων, *Τὸ Πνεῦμα τὸ ἐκ Θεοῦ ἐλάβομεν*, καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου. » Τῶν πειραθεισῶν τῆς ἀπὸ τῆς διαστάσεως πολυσχιδοῦς κακίας ῥήσεις αὗται, πλὴν τῆς τριττῆς αἱ δίτται, καὶ τῆς ἑτέρας μᾶλλον ἡ

Digitized by Google Распознавание текста ABK/FR

πρώτη, κώλων ὅλων ἀφαιρέσεις ὑποστᾶσα, προσθήκας τε καὶ ἐπεμβολάς. Ἀλλ' ὅτι καὶ ἔτι βίβλοι περυλαγμέναι καὶ θεαθεῖσαι ἡμῖν, ἅπερ ἀντικρυς τέρας ἄμφω, τὸ τηρηθῆναί τε καὶ ἡμῖν ὀφθῆναι, τῇ τῆς ὅλης αὐτῶν κατασκευῆς παλαιώσει, καὶ τῇ τῶν ἀρχαϊκῶν στοιχείων γραφῇ, τὴν τῶν ἀλλοιωθεισῶν ἐκ μανίας ἄκρας ἀλλοίωσιν στηλιτεύουσι· τὰς ῥήσεις ὡς ἔσχον ἐξ ὧν προῆχθησαν προτεθείκαμεν. Εἰ δὲ καὶ ταῖσδε βίβλοις, ταῖς οὕτως αὐτὰς δεικνύσαις ἐπιτεθῆναι τὸ πολυσπερχὲς τοῦ κρατύνεσθαι τὸ σχίσμα δυνήσεται, καὶ ἀφανισμὸν οἷον δή τινα θεῖναι, ὡς ἐν ὁλότητι τῇ τῆς ὑποθέσεως, κἂν τῷ μέρει τούτῳ τὸ ἐκ τῆς συνειδήσεως ἡμῖν ἀψευδὲς ἐξ ὧν ἐωράκαμεν οὐ περιτρέψαι δυνήσεται. Περὶ μέντοι τῶνδε παραφθορῶν, καὶ τῶν ἐν ἑτέροις θεοφθόγγων ῥήμασι πατρικοῖς οὐκ ὀλίγοις, καὶ τῶν ἄλλως πεπλασμένων ἐπιτεχνήσεων ὁ αἱρούμενος τῶν ἡμετέρων ἐν ἄλλοις λόγων ἀγγελλόντων πλατύτερον γνώσεται. Νῦν δὲ τῶν καινῶν συμπερασμάτων ὁ εὑρετὴς, καὶ πρὸς τὰ τοῦ μεγαλοκήρυκος οὕτως ἔχοντα Βασιλείου, ὁποῖος ὀπτάνεται; Εἰ τρόπος ὑπάρξεως τῆς ἐκπορεύσεως, ἡ ἀνάπτυξις, καὶ ταύτην ὁ μέγας τὴν αὐτῆς φημι διασάφησιν ἐπὶ τοῦ Υἱοῦ καθαρωτάτως ἀνακηρύττει, καὶ καταφάσκει, « τὸ Πνεῦμα, λέγων, παρὰ τοῦ Υἱοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν. » Οὗτος δὲ ταύτην εἰς ἀναπλάσματα καὶ διανοίας ἀτόπους ἀπάγει, καὶ τὴν ἀπόφασιν αὐτῆς θέσεων ἐξ ἀνυποστάτων τῶν ἐκ φωνῆς τῆς *μόνος* κατασκευάζει. Ποῦ τῶν τοῦδε συμφωνία πρὸς τὰ τοῦ μάκαρος; ὅτι μὴ ἀσύμβατος μᾶλλον ἀντιπαράταξις, καὶ πόλεμος ἀκατάλλακτος. Ἔτι γε μὴν ὁ θεῖος τῶν Νυσσαέων ποιμὴν, τὰ αὐτὰ τῷ αὐθομαίμῳ φθεγγόμενος, « ἐκ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Υἱοῦ, » τὸ Πνεῦμα κατὰ τὴν εἰς τὸ εἶναι πρόοδον δογματίζει, καὶ ματαιολόγον ἀπελέγχει τὸν ἐκ τῆς τοιᾶσδε θεολογίας δημιουργήσεων κτιστῶν ἐν κτιστοῖς ἀπεικονίσεις εἰσφέροντα. Κἀντεῦθεν ἐκ τῶν καθ' ὧν ἡ ὁρμὴ πρὸς τοὺς εἰς ἄκρον οὐρανίους ἀντιφερόμενον. Ὅθεν ὁ αὐτὸς οὗτος ἱερομύστης ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον Ἀντιῤῥητικῶν τάδε φησί· « Τὸ Πνεῦμα τῷ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον πάλιν ἀπ' αὐτοῦ τῷ μὴ Πατὴρ εἶναι ὡς ἐκεῖνος διαχωρίζεται. Τῆς δὲ πρὸς τὸν Υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι ἐν τῷ μὴ εἶναι μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ πεφηνέναι· πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Υἱοῦ ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ Πνεῦμα ἐκ τοῦ διὰ τοῦ Υἱοῦ πεφηνέναι ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως. » Ὡς ὁ σύναιμος παρὰ Υἱοῦ καὶ δι' Υἱοῦ ἰδίᾳ, οὕτως ἀλλαχοῦ μὲν καὶ οὕτως ἰδίᾳ· ἐνταῦθα δὲ χρήσεως ἐν μιᾷ συνθέσει τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ καὶ τὴν κτίσιν διδάσκει· ἐν ὑστέροις δὲ καὶ τὴν διαφορὰν δεικνύει. Πλὴν οἱ διὰ κενῆς εὑρεσιλογοῦντες, φανερώσεως τὸ *πεφηνέναι* δηλωτικὸν φάσκοντες, οὐχ ὑπάρξεως, ἀποπέμποντα: προφανῶς ἀφ' ὧν ἄνω παρεθέμεθα

vitiatum. Sed ad hæc usque tempora volumina conservantur, conspectaque sunt a nobis, quæ ambo monstrum fuerit, et quod conservata sint, et a nobis conspecta, quæ et ipsius structuræ integræ vetustate, et antiquarum litterarum scriptione depravatarum ex ingenti vesania adulterationem palam edicunt. Dicta, uti se habent, ex iisdem produximus. Quod si voluminibus similibus hoc modo dicta referentibus ad stabiliendum dissidium aliquid apponere voluerint, sive ea de medio tollere accuraverint, quod multis in locis dispersa sint, quantum ad integritatem argumenti, attamen hac in parte sincerum purumque nostræ conscientiæ, cum illa viderimus, evertere nullo modo poterunt. De his corruptelis, aliis quoque diviniloquorum Patrum dictis non paucis, aliisque fraudibus, et alio atque alio modo commentitiis artibus, qui volet, ex aliis nostris commentariis, quæ similia fusius pertractant, addiscet. Nunc vero novarum conclusionum auctor, et erga magni præconis Basilii verba ita se habentia qualis esse conspicitur? Si modus exsistentiæ processionis exponi potest, illam magnus hic, illius, inquam, declarationem, de Filio manifestissime edicit, affirmatque, « Spiritus, inquiens, a Filio quod sit habet, et annuntiat nobis. » Hic vero illam ad commenta et absurdas sententias deducit, et negationem propositionibus non subsistentibus ex voce *solus* positis comprobat. Quænam est hic cum beati dictis concordia? quin imo potius est ex adverso hostilis instructio, et bellum irreconciliabile. Præterea divinus Nyssenorum pastor, non diversa a germano fratre eloquens, « ex Filio, et per Filium, » secundum ad esse progressum decernit, et stulte obloqui, qui ex simili theologia rerum conditarum, et rebus creatis similitudines introducit, commonstrat, indeque ex iis adversus quos sua studia confert, illos qui plane cœlestes sunt, oppugnare. Hinc hic idem mysta primo adversus Eunomium Antirrhetico scribit: « Spiritus Patri, qua increatus est conjungitur, rursus ab eodem, qua Pater non est uti illo disjungitur. A conjunctione vero cum Filio, qua increatus est, et causam exsistentiæ ex Deo omnium possidet, rursus sejungitur proprietate, quod non tanquam unigenitus ex Patre substitit, et quod per ipsum Filium apparuit: rursusque a creatura, quæ per Filium substitit, ne communionem aliquam cum ea habere Spiritus reputaretur, quod per Filium apparuit, immutabilitate et firmitate secernitur Spiritus a creatura. » Ubi frater germanus separatim ex Filio et per Filium, pari modo hic quoque separatim, hic vero in unius dicti constructione Spiritum ex Patre per Filium, necnon etiam creaturam docet, et in postremis quoque discrimen assignat. Nihilominus qui temere alia atque alia de novo comminiscuntur, illud *apparere* manifestationem indicare asserentes, non exsistentiam, manifeste redarguuntur supra a Patribus petitis digestisque de vocibus quæ inter eas

Digitized by Google Распознавание текста ABBYY

et processionem nullum esse discrimen confirmant, inter quas hoc etiam *apparere* connumeratur : necnon et aliis inter theologica dogmata inspersis, hoc *apparere* exsistentiam, non manifestationem denotantibus, quin imo ex ipsa paterni dicti structura, de quo nobis sermo est. Quam enim verisimilem relationem inferret illud, « rursus vero a creatura, quæ per Unigenitum substitit, » si id prorsus de exsistentia non dicitur ? et quomodo reputaretur Spiritus sanctus communionem quamdam habere cum creatura, si illa per Filium non subsisteret ? et quomodo ea per Filium manifestata est, si non ad Triadem, sed ad creaturam manifestatio fuerit ? Quomodo item in quibus differentia, et inde secerni factum est, et magis expedite ex eo quod per Filium habet exsistentiam, hic vero nullo modo ? Deinde etiam unde traditum est, et absque ulla hæsitatione, quando non esset, ut Spiritus per Filium haberet esse, et indicatum discrimen nullum adesset et tacitum præteritum est ? Namque si illud plane esset, necessario ista consequerentur, pronuntiataque fuissent. A Patre vero per Filium naturaliter simul ac sempiterne Spiritum habere quod sit, creaturam vero creationis modo, et in tempore congruenter, et quod discernit appositum est. Hæc enim mutationi obnoxia est, tanquam quæ ex eo quod non erat ad id quod erat immutata est, et aliquando exsistat, et deinceps asserviens tempori non exsistat, et mutationem, et alterationem in meliores pejoresque trasmutationes admittat. At Spiritus sanctus immutabilis est ; immutabiliter enim et continua firmitate erat, et est, eritque, tanquam qui essentialiter et absque tempore ex Patre per Filium emittitur, semper bonus, quia ipsa bonitas est, et bonitatis fons, naturaque Deus, æque atque ille est, ex quo et per quem. Immutabilitate itaque et firmitate discernitur a creatura, et non quod illa per Filium substitit communionem aliquam cum illa habere existimatur. Quare a Deo manifestatus Epiphanius in Ancyroto hæc habet : « Igitur Pater erat semper, et Spiritus erat semper a Patre et Filio. Quæ vero subsequuntur Patrem et Filium et Spiritum sanctum omnia condita sunt et creata, et cum non essent aliquando, facta sunt a Patre et Filio, et Spiritu sancto. » Quis non affirmaverit, hic quoque in universum sermonem esse de exsistentia, et Spiritum sanctum decerni ex Patre et Filio secundum suum naturalem ad esse progressum : et creaturam factam fuisse asseverari a tribus divinitatis hypostasibus, et quæ discernuntur similiter ut ibi apponi ; hinc accurata veraque traditione secundum exsistentiæ rationem a Patre per Filium omnipotentem Spiritum creaturamque decerni, et hanc rursus a Patre in Spiritu per Filium : rursusque a Patre et Filio et Spiritu sancto ? Quin imo et genitor Filii Pater, et creaturæ conditor ita ut ambo a Patre astruantur, et quod discernitur nequaquam ab hisce, nisi tantum, quod ita secundum exsistentiam non sint ?

μεν ῥήσεων πατρικῶν, περὶ φωνῶν αἳ τὸ σφῶν ἀδιάφορον καὶ τοῦ ἐκπορεύεται παριστάνουσιν, αἷς καὶ τὸ *πέφηνε* συνηρίθμηται. Ἔτι δὲ καὶ ἐξ ἄλλων ταῖς θεολογικαῖς διδασκαλίαις ἐνεσπαρμένων, ὑπαρξιν τὸ *πεφηνέναι* τρανουσῶν ἔχειν, οὐχὶ φανέρωσιν, ἀλλὰ καὶ ἐξ αὐτῆς συμφράσεως τῆς περὶ ἧς ὁ λόγος χρήσεως πατρικῆς. Ποῖον γὰρ φέρει τὸ εὐλογοφανὲς τὸ ἀναφορικὸν τοῦτο, « πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Μονογενοῦς ὑποστάσης, » μὴ τὸ παράπαν ἐνταῦθα περὶ ὑπάρξεως λέγεσθαι ; πῶς δ' ἂν ἐνομίσθη κοινότητά τινα πρὸς τὴν κτίσιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, εἴπερ αὐτὴ διὰ τοῦ Υἱοῦ μὲν ἔσχε τὸ ὑφεστάναι, τοῦτο δὲ ταύτῃ διὰ τοῦ Υἱοῦ πεφανέρωται, εἴγε μὴ πρὸς τὴν Τριάδα, πρὸς τὴν κτίσιν δὲ ἡ φανέρωσις ; Πῶς δὲ καὶ ἐν οἷς ἡ διαφορὰ καὶ τὸ διακρίνεσθαι οὐκ ἐντεῦθεν ἐγεγόνει, μᾶλλον ἐκ τοῦ προχείρου, ἀπὸ τοῦ τὴν μὲν διὰ τοῦ Μονογενοῦς ἔχειν τὴν ὕπαρξιν, τοῦτο δὲ οὔ ; Εἶτα κἀκεῖθεν ὅθεν ἄρα καὶ παραδέδοται, ἀλλ' ἀναμφίλεκτον, ὡς, ἐπεὶ μὴ ἦν, μὴ τὸ εἶναι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἔχειν, ἀπῆν ἄρα καὶ τὰ τῆς δηλωθείσης διαφορᾶς, καὶ οὐ λέλεκται. Ἦ γὰρ ἂν, εἰ ἦν ἐκεῖνο, εἶχεν ἂν ἀνάγκην ἀκολουθῆσαι καὶ ταῦτα λεχθῆναί τε. Ὅτι δὲ παρὰ Πατρὸς δι' Υἱοῦ τὸ εἶναι τῷ Πνεύματι φυσικῶς ἅμα καὶ ἀϊδίως, τῇ δὲ κτίσει δημιουργικῶς καὶ ἐγχρόνως καταλλήλως ἐῤῥέθη καὶ τὸ διακρινόμενον. Ἡ μὲν γὰρ τρεπτή, ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τραπεῖσα καὶ ποτὲ μὲν οὖσα, εἶτα χρονικῶς οὖσα, καὶ τὸ τρεπτὸν ἔχουσα καὶ ἀλλοιωτὸν ἐν ταῖς εἰς τὸ κρεῖττον καὶ χεῖρον μεταβολαῖς. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον μὴ τραπέν, ἀτρέπτως γὰρ καὶ ἀναλοιώτως ἦν καὶ ἔστι καὶ ἔσται, οὐσιωδῶς καὶ ἀχρόνως ἐκ Πατρὸς δι' Υἱοῦ ἐστιν ἐκπεμπόμενον, ἀεὶ ἀγαθὸν ὡς αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος, φύσει Θεὸς ὡς ἐξ οὗ καὶ δι' οὗ. Ἐν γοῦν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διαιρεῖται ἀπὸ τῆς κτίσεως, καὶ οὐ δήπου ἐν τῷ δι' Υἱοῦ ταύτην ὑποστῆναι, κοινωνίαν τινὰ πρὸς αὐτὴν ἔχειν νομίζεται. Καί γε ὁ θεοφανέρωτος Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ οὕτω φησί· « Τοίνυν Πατὴρ ἦν ἀεί, καὶ τὸ Πνεῦμα ἦν ἀεὶ παρὰ Πατρὸς καὶ Υἱοῦ. Τὰ δὲ μετὰ Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα πάντα ποιητά, καὶ κτιστά, καὶ μὴ ὄντα ποτὲ γέγονε παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. » Τίς οὐκ ἐρεῖ κἀνταῦθα καθολικῶς τὸν λόγον εἶναι περὶ ὑπάρξεως, καὶ τὸ μὲν θεῖον Πνεῦμα θεολογεῖσθαι τοῦ Πατρὸς καὶ Υἱοῦ κατὰ τὴν αὐτοῦ φυσικὴν εἰς τὸ εἶναι πρόοδον, τὴν δὲ κτίσιν λέγεσθαι γεγονέναι παρὰ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, καὶ τὰ διαστελλόμενα ὁμοίως, ὡς ἐκεῖ παρατίθεσθαι. ὅθεν εἰλικρινοῦς παραδόσεως κατὰ τὸν τῆς ὑπάρξεως λόγον παρὰ Πατρὸς δι' Υἱοῦ τὸ παναλκὲς Πνεῦμα δογματίζεσθαι καὶ τὴν κτίσιν, καὶ ταύτην πάλιν παρὰ Πατρὸς ἐν Πνεύματι δι' Υἱοῦ· καὶ αὖθις παρὰ Πατρὸς καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ; Οὐ μὴν ἀλλὰ καὶ γεννήτωρ ὁ Πατὴρ τοῦ Υἱοῦ καὶ τῆς κτίσεως ποιητής, ὡς ἐκ Πατρὸς ἄμφω τρανοῦσθαι, καὶ τὸ διακρινόμενον πάντως οὐκ ἀπὸ τούτων, ἢ ὅτι ταδὶ, μὴ καθ' ὑπαρξιν. Καὶ τῆς ὁμολογίας ἡ κορωνὶς Ἀθανάσιος ἐν ᾗ ἐκτίθεται διαλέξει Ὀρθο-

Digitized by Google Распознавание текста ABBYY FR

δόξου καὶ Ἀνομοίου, « Αἰτία, » φησὶν, « ἐστὶν ἡ τοῦ Θεοῦ φύσις καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ τῆς κτίσεως ἁπάσης. » Ἀλλὰ τὸν τὰ θεῖα σοφὸν Νύσσης ἐπὶ τοῦ μέσου παραγαγόντες δι' Υἱοῦ τὸ Πνεῦμα θεολογοῦντα κατὰ τὴν εἰς τὸ εἶναι δι' αὐτοῦ πρόοδον, ὡς ὁ αὐθόμαιμος τούτου δέδεικται, κατὰ τὸν αὐτὸν νοῦν ἑκάτερα δογματίζων « ἐξ Υἱοῦ τε καὶ δι' Υἱοῦ, » καὶ τὴν *μόνος* φωνὴν παριστάνων ἐπὶ τοῦ Πατρὸς λαμβανομένην, μηδὲν ἐμποδὼν οὖσαν πρὸς τὸ καὶ ἄμφω κηρύττεσθαι καταλλήλοις ἐννοίαις ἐπί τε τῆς θεολογίας, ἐπί τε τῆς κτίσεως, τὸν αὐτὸν Νύσσης χρεὼν κατὰ τὸ ἀκόλουθον νῦν προθεῖναι, « καὶ ἐκ τοῦ Υἱοῦ » μεγαληγόρως φθεγγόμενον. Ἐπὶ μέντοι τῆς δημιουργίας ἐκ τῶν προσεχῶς ὡμολόγηται, ἐπὶ δὲ τοῦ θείου καὶ ὑπεραγάθου Πνεύματος ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ὁμιλίᾳ διαρρήδην οὕτω θεολογεῖ· « Ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς *παρὰ* τῆς θείας Γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα, τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. *Εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει*, φησὶν, *οὗτος οὐκ ἔστιν αὐτοῦ*. »

A Et confessionis hujusce coronis Athanasius in colloquio, quod ipse inter Anomœum et Orthodoxum concinnavit, « Causa, inquit, est Dei natura et Filii et Spiritus sancti, et universæ creaturæ. » Sed in rebus divinis egregium Nyssenum cum in medium adduxerimus, per Filium Spiritum decernentem in progressu per ipsum ad exsistentiam, uti jam decrevisse fratrem illius germanum demonstravimus, utraque secundum eamdem sententiam definientem, « ex Filio et per Filium » et *solus* vocem commonstrantem, cum de Patre accipitur, nullo esse impedimento, quin convenientibus sententiis, dum res theologicæ pertractantur, et de creatura sermo est, utraque prædicentur, rei ordine servato, idem nunc referendus ingenti voce pronuntians, « etiam B ex Filio. » Et de rerum creatione ex proxime jam adductis indubitatum est, de divino vero et supra bonitatem omnem Spiritu in oratione Dominica manifesto hunc in modum edisserit : « Unigenitus enim Filius ex Patre a divina Scriptura nuncupatur, nec ultra hoc proprietatem illius extendit, Spiritus autem sanctus et ex Patre dicitur, et ex Filio esse astruitur. *Si quis enim Spiritum Christi non habet*, inquit, *hic non est ejus* [22]. »

κε'. Ἄνω τὰ τῆσδε ῥήσεως ἐξεταστικῶς τεθεωρηκότες, νῦν ἑτέρως αὐτὰ κατοπτεύομεν, ἐπεὶ διαφόροις ἐν ζητήμασι τὰ θεῖα τῶν θεηγόρων ἔπη διαφόρως τὰ τῆς ἀληθείας αὐγάζουσιν. Ὅτι μὲν οὖν κἀνταῦθα καθαρῶς ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα μυσταγωγεῖται, καὶ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ διατόρως τρανοῦται, ὅπερ ὁ ἀντίθετος τὸ καὶ ἐκ τοῦ Υἱοῦ φάσκει, «Τίς ἡ ἀνάγκη λέγεσθαι;» καὶ οὐκ ἐπιστρέφεσθαι τῶν ἐν θεολογίᾳ πατρικῶν διδασκαλιῶν, φανεροῦται. Καὶ ὅτι τοῦ *εἶναι* εἰς τὸ παραστῆσαι τόδε ἐκ τοῦδε εἰς ὑπάρξεως λόγον οὐδὲν ἀρχοειδέστερον ἢ ἐμφανέστερον δῆλον. Τοῦτο δὲ σκεπτέον, τί τὸ, « Μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα, » μετὰ τὸ ῥηθῆναι « τὸν Υἱὸν » ἐκ τοῦ Πατρὸς ὀνομάζεσθαι. Πάντως τὸ μέχρι τοῦ ἐκ Πατρὸς εἶναι καὶ μὴ ἐξ ἑτέρου ὅλως. Καὶ οὐχὶ τοῦ Μονογενοῦς τὸ ἐκ τοῦ Πατρὸς εἶναι, ἑτέρου δὲ προσώπου μὴ εἶναι. Τοῦτο γὰρ ἀπό τε τῆς θέσεως ἀποπεμπτέον, καὶ τοῦ θεμελίου τῆς πίστεως ἄρνησις. Ἀλλὰ τόδε ἐστὶ τὸ ἰδίωμα τὸ τὸν Υἱὸν μόνον ἐκ μόνου τοῦ Πατρὸς εἶναι, καὶ οὐ δήπου καὶ ἐξ ἑτέρου, ἢ δι' ἑτέρου· καὶ φανερὸν ἐκ τῆς λεγούσης ἐπαγωγῆς· « Τὸ δὲ Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. » Ὅσην δὲ καὶ οἵαν τὴν αἰσχύνην ἐκφαίνει τοῖς λέγουσιν, ὁποῖοι ἄρα εἰσὶν, ὡς καθ' ὕπαρξιν μὲν ἡ « ἐκ τοῦ Πατρὸς » ἐνθάδε « τὸν Υἱὸν ὀνομάζεσθαι » φωνοῦσα θεολογία, ἥ τε καὶ ἐκ τοῦ Πατρὸς λέγεται τὸ Πνεῦμα, οὐ μὴν δὲ ἡ καὶ « ἐκ τοῦ Υἱοῦ εἶναι » τοῦτο « προσμαρτυρεῖται, » ἀλλὰ κατὰ λόγον δόσεως ἢ φανερώσεως τό τε παραδοθὲν ἰδίωμα προσώπου τοῦ « ἐξ ἑνὸς » πρὸς τὸ « ἐξ ἀμφοῖν, » καὶ τούτου πρὸς ἐκεῖνο, ἐκ τοῦ ἀνομοίου διισχυριζομένοις οὐκ ἐκ τοῦ ὁμοίου ὑπάρχειν, ἐκ τοῦ καθ' ὕπαρξιν καὶ τοῦ

25. Licet supra dictum simile meditate examinavimus, nunc denuo illud alio quoque modo discutiamus, cum in diversis quæstionibus divina diviniloquorum eloquia diverso quoque modo veritatem illustrent. Hic itaque aperte ex Filio Spiritum astrui, et ex Patre et Filio sonora voce declarari, C quod adversarius, « Quæ est necessitas dici ? » reboans, nec theologicas Patrum instructiones revereri, manifesto deprehenditur. Et verbo *esse* ad commonstrandum hoc ex hoc, et exsistentiam connotandam nullum aliud esse antiquius aut perspicacius nulli dubium est. Hoc vero considerandum est, quidnam illud sonet, « Nec ultra hoc oratio proprietatem illius extendit, » postquam dictum fuit « Filium » ex Patre nuncupari. Omnino « nec ultra illud, » ex Patre nempe esse, et non ex alio, sive prorsus per aliud. Et non est Unigeniti ita ex Patre esse, ut altera persona ex eo non sit. Hoc siquidem a positione rejiciendum est, cum fundamenti fidei abnegatio sit. Verumtamen hæc D est proprietas, Filium solum ex solo Patre esse, et non ex alio prorsus, neque per aliud, et ex iis quæ subsequuntur clarum remanet, « Spiritus vero et ex Patre esse dicitur, et ex Filio astruitur. » Quam porro infamiam conciliat dicentibus, quicunque illi sint, secundum exsistentiam hic « ex Patre Filium dici, » clamare theologiam, sive etiam eam quæ ex Patre Spiritum asserit, non autem illam quæ tradit, « et ex Filio esse astruitur, » sed ratione dationis, sive manifestationis traditam personæ proprietatem illius « ex uno » respectu illius qui « ex utroque est, » et hujus respectu illius, ex dissimili contendentibus, non ex simili exsistere, ex illo qui secun-

[22] Rom. VIII, 9.

Digitized by Google Распознавание текста ABK/FR

dum exsistentiam est, et altero qui secundum exsistentiam non est, licet hujusce modus ambarum hypostaseon dissimilis sit. Solum vero Filium ex solo Patre non tantum ex dicto proxime digesto, sed et alio quoque, numine afflatus Nyssenus commonstrat, seu potius ambo cognominee, tum hic, tum qui ex miris edendis cognomen sibi vindicat, Neocæsariensis divinus hierarcha, perspicue declarant. Hic enim cum divinum visum præcessisset insinuante Joanne Theologo, qui in pectus Domini recubuit, veram fidem, Dei Matre interveniente, edocetur : ille propria oratione vitam hujus et res gestas laudibus prosequens, inter alia revelationis modum enarrat, et in ea fidem dictatam exponit, quæ in uno ex nostris tractatibus integra digesta est. In ea postquam de Patre dictum esset, « Unus Deus, Pater Verbi viventis, sapientiæ per se subsistentis et potestatis, » quæ sequuntur, de Filio tradit : « Unus Dominus, solus ex solo, Deus ex Deo, character et imago divinitatis, Verbum absque principio, » et reliqua. Cum vero qui omnibus contradicunt, verba funditare, novaque comminisci nullum finem faciunt, licet quæ afferuntur indubitata et omni contradictione majora sint, tantum ut videantur aliquid dicere, et aliud præterea nihil; nam in præsentia silentio prætereo, majorem eorum commentorum partem in præcipitia asserentes compellere, fortasse ex iis quispiam dixerit : « Filius solus ex solo Patre ; » Spiritus enim Filius non est. Quod si de Filio sermonem habens, ita locutus fuisset, « Unus Filius, » postmodum subjunxisset « solus ex solo, » ne hac quidem ratione dictum simile certitudinem habuisset; nihilominus videretur aliquid dicere. Verumtamen dum dicit, « unus Dominus » et quam illico « solus ex solo » addidit, « Deus ex Deo, » et multis interjectis, « Filius verus veri Patris, » ubinam commentitia ista locum habebunt? Postmodum animo attendendum est, eumdem esse diviniloquum qui visionem et colloquium, in quo a Deo exceptæ preces sunt, tradit enarratque, et quomodo sibimetipsi contraria scribere, et non sibi potius concordia referre veritatis tantus ac vehemens præco proposuisset? Quare quod ibi, « nec ultra proprietas illius extenditur, » ultra nempe ex Patre esse, neque ex alio, neque per aliud. Et hoc et illud magis ac magis manifestat inductio : « Spiritus vero et ex Patre dicitur, et ex Filio esse astruitur, » utriusque concordiam invariabilem ostendens et suimetipsius. « At asserere, solus Filius ex solo Patre : Spiritus enim Filius non est, » ad destruendam differentiam traditam a divino præcone, hoc quidem non ex utroque esse Spiritum, illud vero ex uno solum ex solo Patre Filium, quæ est proprietas illius ex utroque, præterquam quod divino præconi contradictionem appingit, rationis penuriam indicat, si hæc theologia proprietatem, et ex utroque tradens aperte, Spiritum non esse Filium edocet, et per Filium enuntians, cum ambæ præpo-

μὴ καθ' ὕπαρξιν, εἰ καὶ ταύτης ὁ τρόπος ἑκατέρων ὑποστάσεων κέκτηται τὸ ἀνόμοιον. Ὅτι δὲ μόνος ἐκ μόνου τοῦ Πατρὸς ὁ Υἱὸς, οὐχ ὅπως ἐκ ῥήσεως προσεχῶς τῆς παραληφθείσης, ἀλλὰ καὶ ἐξ ἑτέρας, ὁ θεόληπτος Νύσσης ἐκφαίνει, ἢ μᾶλλον ἡ ἀμφοτέρων ὁμώνυμος δυάς· οὗτός τε καὶ τοῖς θαύμασιν ὁ φερωνυμῶν Νεοκαισαρείας ἔνθεος ἱεράρχης δεικνύουσιν ἐναργῶς. Ὁ μὲν γὰρ θείας ὀπτασίας ἠγησαμένης παρὰ Ἰωάννου τοῦ ἐπιστηθίου καὶ Θεολόγου τὴν ἀληθινὴν πίστιν μυεῖται μεσιτευούσης τῆς Θεομήτορος· ὁ δὲ οἰκείῳ λόγῳ τὸν τούτου βίον ἐγκωμιάζων τά τε ἄλλα καὶ τὰ τῆς Ἀποκαλύψεως διηγεῖται, καὶ τὴν ἐξ αὐτῆς θεολογηθεῖσαν πίστιν ἐκτίθεται, ἢ καί τινι τῶν ἡμετέρων λόγων ἐντελῶς ἐγκατέστρωται. Ἐν ᾗ περὶ τοῦ Πατρὸς μετὰ τὸ λεχθῆναι, « Εἷς Θεὸς, Πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως, » καὶ τὰ ἑξῆς, περὶ τοῦ Υἱοῦ τάδε διαλαμβάνεται, « Εἷς Κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ, χαρακτὴρ καὶ εἰκὼν τῆς θεότητος, Λόγος ἄναρχος, » καὶ τὰ λοιπά. Πλὴν ἐπεὶ τοῖς ἀντιδιατιθεμένοις πρὸς πάντα τὸ ἐφεσιλογεῖν, καὶ εἰ τῶν ἀναντιῤῥήτων, καὶ εἰ τῶν ἀναμφιλέκτων, καὶ τὸ δοκεῖν τι λέγειν καὶ πλέον οὐδέν· ἐῶ γὰρ ἀρτίως εἰπεῖν, ὡς καὶ τὰ πλείω τῶν σφίσι λεγομένων εἰς χρημνοὺς συνωθοῦσι τοὺς λέγοντας· ἐρεῖ τις ἴσως, « Υἱὸς μόνος ἐκ μόνου Πατρός· » τὸ γὰρ Πνεῦμα οὐχ Υἱός. Εἰ μέντοι περὶ τοῦ Υἱοῦ τὸν λόγον ποιούμενος οὕτως εἴρηκεν, « εἷς Υἱὸς, » εἶτα ἐπήγαγε, « μόνος ἐκ μόνου, » οὐδ' οὕτως εἶχεν ἂν ὁ λόγος ὅδε τὸ εἰς βεβαίωσιν· ὅμως τινὰ ὁκνησιν εἶχε τοῦ λέγειν τι. Ἐπεὶ δὲ « εἷς Κύριος » ἔφησε, καὶ παρευθὺς « μόνος ἐκ μόνου » ἐπήγαγε, « Θεὸς ἐκ Θεοῦ, » καὶ μετά τινα οὐκ ὀλίγα, « Υἱὸς ἀληθινὸς ἀληθινοῦ Πατρὸς, » ποῦ χώραν τὰ τῆς εὑρεσιλογίας ἐν τούτοις ἕξουσιν; ἔπειτα προσεσχηκέναι χρεὼν, ὡς ὁ αὐτός ἐστι θεηγόρος ὁ τὰ τῆς ὀπτασίας καὶ τὰ τῆς ὁμιλίας τῆς εἰς τὴν θεοπαράδοτον εὐχὴν παραδιδοὺς καὶ φθεγγόμενος. Καὶ πῶς ἂν ἐναντιοφωνεῖν εἵλετό ποτε ἑαυτῷ, ὅτι μὴ συμφωνεῖν μᾶλλον τῆς ἀληθείας ὁ τοσοῦτος κήρυξ ὁ διαπρύσιος; Ὅθεν ὅπερ ἐκεῖσε, « Μέχρι τούτου ἵσταται τὸ ἰδίωμα τῷ Υἱῷ, » μέχρι τοῦ ἐκ Πατρὸς εἶναι, καὶ μὴ περαιτέρω ἐξ ἄλλου ἢ δι' ἄλλου, τοῦτο ἐνταῦθα μόνος ἐκ μόνου, τουτέστιν ἐκ τοῦ Πατρὸς, καὶ οὐκ ἐξ ἑτέρου, ἢ δι' ἑτέρου καὶ τῆς ἐπὶ πλέον σαφηνείας τούτου τε κἀκείνου παράστασις ἡ ἐπαγωγὴ, « Τὸ δὲ Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, » τὸ τῆς συμφωνίας ἀμετάθετον ἑκατέρων δεικνῦσα καὶ ἑαυτῆς. « Τὸ δὲ φάναι μόνος Υἱὸς ἐκ μόνου Πατρός· τὸ Πνεῦμα γὰρ οὐχ Υἱὸς, » εἰς ἀναίρεσιν τῆς παραδοθείσης διαφορᾶς τῷ ἱεροφάντορι· τοῦτο μὲν ἐξ ἀμφοῖν ὑπάρχειν τὸ Πνεῦμα, τὸ δὲ ἐξ ἑνὸς μόνον ἐκ μόνου τοῦ Πατρὸς τὸν Υἱὸν, ὅπερ ἰδίωμα πρὸς τὸ ἐξ ἀμφοῖν, πρὸς τῷ ἐναντιοφωνίαν προσεπιτρίβειν τῷ θεοκήρυκι, καὶ τὸ ἀλόγιστον ἐπιφέρεται, εἴπερ αὕτη σαφῶς ἡ θεολογία τὸ ἰδίωμα, καὶ τὸ ἐκ δυοῖν ἡ παραδιδοῦσα, τὸ μὴ Υἱὸν εἶναι τὸ Πνεῦμα διδάσκει, ἥ τε τὸ δι' Υἱοῦ καταγγέλλουσα, ὡς τὸ ἰσοδύναμον ἀμφοτέρων προθέσεων κεκτημένων

Digitized by Google Распознавание текста ABK/FR

κατα τὰς πατρικὰς προδεδειγμένας μυσταγωγίας. Αὐτὸς μὲν γὰρ ὁ θεόσοφος ἐνθάδε Νύσσης μόνον ἐκ μόνου τὸν Υἱὸν δογματίσας, τὸ μονογενὲς αὐτοῦ διετράνωσε, καὶ πρῶ τὸ λοιπὸν υἱότης τῷ Πνεύματι, ἐν δὲ τοῖς πρὸς Ἀβλάβιον, ἐν οἷς φησί· « Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, » τὸν Υἱὸν λέγων ἐκ τοῦ Πατρὸς, τουτέστιν ἀμέσως, ὡς εἰ ἔλεγε. « μόνος ἐκ μόνου· » εἶτα, « Τὸ διὰ τοῦ προσεχοῦς ἐκ τοῦ πρώτου, » τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ καθαρῶς αὐτὸ τὸ μονογενὲς διηυκρίνησεν· ἔτι τε κατ' ἔπος διηρθρωκὼς, ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. » Ὁ δέ γε διορατικώτατος Ἐπιφάνιος συνῳδὰ τούτοις θεολογῶν, καὶ τὸ ἐξ ἀμφοῖν εἶναι τὸ Πνεῦμα διατόρως ἀνακηρύττων, ἐντεῦθεν ἀπορραπίζει τὸν τὸ Πνεῦμα Υἱὸν καὶ λοιπὴν ἀτοπίαν συνάγοντα. Φάσκει γὰρ ἐν τῷ Ἀγκυρωτῷ, « Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, *Ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*, καὶ, *Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται*. Εἶτα, ἀλλ' ἐρεῖ τις ἴσως, Οὐκοῦν φαμεν δύο εἶναι Υἱοὺς, καὶ πῶς μονογενής; Μενοῦν γε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ; Εἰ γὰρ τὸν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων, ἃ μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων, φωτεινὰ, φωτοδότα, φωτεινὴν τὴν ἐνέργειαν ἔχει. » Τῶν οὖν μετὰ Θεὸν σωτήρων οὕτω θεολογούντων, οὕτω διατρανούντων, εἰ μόνος κατ' αὐτοὺς ὁ Υἱὸς ἐκ μόνου Πατρὸς, εἰ σφίσιν αὐτῷ τοῦτο ἰδίωμα, εἰ πρὸς αὐτὸ τὸ ἐξ ἀμφοῖν τὸ Πνεῦμα θεολογεῖται, πῶς ἐκ μόνου Πατρός; ὡς παραδράμω τὰς εἰς σύστασιν τοῦδε πλαστογραφίας, καὶ τὸν ἐξ ὁμολογίας τῶν πλαστογράφων τοσοῦτον θρίαμβον.

κς'. Αὖθις δὲ πρὸς ὃν οἱ λόγοι. Εἰ πηγὴ τοῦ Πνεύματος ὁ Πατὴρ, εἰ πηγὴ τοῦ Πνεύματος ὁ Υἱὸς, εἰ πάνθ' ὅσα τῶν αὐτῆς διευλυτώσεων ἀνομολογῶν εἰς παράστασιν οὗτος προφέρει σαφῆ τε καὶ μὴ ἀμφίβολα, ὅσα τε παρ' ἡμῶν μέχρι τοῦ *μόνη* διείληπται· πῶς μόνος προβολεὺς τοῦ Πνεύματος ὁ Πατὴρ κατ' αὐτόν; πῶς ἴδιον αὐτῷ τὸ προβλητικόν; πῶς τῆς ἐκπορεύσεως ἡ κατάφασις ἐπὶ τοῦ Υἱοῦ τὸ ἀσύστατον ἐξ ὧν φησιν ἔχει, τὸ συνίσταται δ' ἡ ἀπόφασις; εἰ συνέρχεται πρὸς τοὺς θεοφορήτους ταῦτα, εἰ πρὸς ἑαυτὸν τὸ παράδοξον, σκεψάσθω τοῖς ἐγκάτοις, ᾧ Θεοῦ δέος ἐστὶν ἐναποκείμενον. Μετὰ τοίνυν τὰ ἐπισκεφθέντα, καὶ οὕτως ἔχοντα, ὡς διήλεκται, καί τινα παροραθέντα βραχέα τῆς αὐτῆς εἰς κατὰ πάντα διανοίας καὶ οὐχ ἑτέρας ἐχόμενα, τάδε τελευταῖα κατὰ ῥῆμα συντίθησιν· « Ἐπεὶ καὶ τοῦτο λέγουσιν, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ἐπὶ τὸν Πατέρα πάντα ἀναφέρων, διὰ τοῦτο καὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος ἐπ' αὐτὸν ἀναφέρει, καὶ ἀποσιωπᾷ ἑαυτὸν, διατί καὶ οἱ τὸ τῆς πίστεως Σύμβολον ἐκθέμενοι ἅγιοι Πατέρες τῆς ἐκπορεύσεως μνησθέντες, αὐτὴν ἀπεσιώπησαν,

sitiones, ut jam demonstratis antea Patrum doctrinis instruimur, æquales vires possideant; ipse namque a Deo edoctus Nyssenus, solum ex solo Filium decernens, unigenitum illius declaravit: et undenam filiatio Spiritui accedet? in iis vero quæ ad Ablabium scripsit, dum ait: « Hoc enim continue est ex primo, » Filium asserens ex Patre, id est, immediate, quasi diceret, « solus ex solo. » Deinde, « Hoc vero per illud quod continue est ex primo, » Spiritum per Filium aperte ipsum unigenitum manifestavit; tum præterea verbis non aliis exprimens: « Ita ut et unigenitum indubitatum in Filio maneat, et ex Patre Spiritum esse in dubio non sit, mediatione Filii et sibi ipsi unigenitum conservante, et Spiritum a naturali erga Patrem habitudine non arcente. » Et perspicacissimus Epiphanius non dissimiliia decernens, et ex utroque Spiritum esse clare admodum deprædicans, refellit eum, qui Spiritum Filium esse reliquasque absurditates colligit; namque inquit in Ancyroto: « Utraque inhabitant in homine justo, Christus et Spiritus illius. Quod si Christus ex Patre creditur Deus ex Deo, et Spiritus ex Christo, aut ex utroque, ut inquit Christus: *Qui a Patre procedit*, et, *Hic de meo accipiet*. Sed quispiam dixerit fortasse: Itaque dicimus duos esse filios, et quomodo unigenitus? Tu quis es, qui contra ratiocinaris cum Deo? Si enim Filium vocat, qui ex ipso est, Spiritum vero sanctum qui ex utroque, quæ solum fide comprehensa a sanctis luminosa, lumen exhibentia, luminatam actionem habent. » Qui itaque post Deum servatores sunt, hunc in modum definientibus ac declarantibus, si solus secundum ipsos Filius ex solo Patre, si illi hæc proprietas est, si ex utroque Spiritus asseritur, quomodo ex solo Patre? ut præteream quæ ad hoc confirmandum commentitia scripta afferuntur, tantumque ex confessione falsariorum triumphum.

26. Rursusque cum quo mihi sermo est, orationem converto. Si Spiritus Pater fons est, si quæcunque solutionibus conferunt concedens, uti clara atque indubitata adducit, et quæcunque a nobis præter unum *solum* comprehensa sunt, quomodo solus secundum ipsum productor Spiritus Pater fuerit? quomodo propria illi erit producendi facultas? quomodo processionis affirmatio de Filio, ex his quæ ipse dicit minime subsistit, negatio vero subsistit? si hæc divinis Patribus conveniunt, si illi ipsi, quod mirum est, consideret attente cui timor Dei in præcordiis est. His igitur jam discussis, et ita se habentibus, ut disseruimus, nonnullis sed paucis ejusdem per omnia, nec alterius sententiæ neglectis, hunc in modum orationem componit: « Cum vero hoc quoque dicant, Filium Dei ad Patrem omnia referentem, ideo et Spiritus processionem ad eumdem referre, et sic semetipsum silentio præterire, quam ob causam, qui Symbolum fidei ediderunt sancti Patres processionis mentione inducta, illam silentio involverunt, et dogma

Digitized by Google Распознавание текста ABBYY FR

declaratum non tradiderunt, si necessario, ita asserentibus Italis, etiam ex ipso Filio Spiritus procedit? Id ita se habere plane illi non existimabant, nec tantum ut isti audebant. Namque si de hoc Patres rationem habuissent, vel si non essent Spiritus sancti participes, et scientiæ, vel si non uti canones statuunt congregati fuissent, aut si sigillatim hi nunc Verbi et Spiritus sermonem moverent, et uti canones præcipiunt et non privatim congregarentur, haberet equidem dictum eorumdem robur. At nunc apud illos quidem in confesso sunt Spiritus communicatio et alia, et primi perscrutavere, et cum omni securitate adinventa ordinarunt. Illi vero homines cum sint post eos inquirunt, quos abjicere modis omnibus necesse est, illis vero eorumque eloquiis adhærere, nec ultra curiose perquirere, donec remissioris Spiritus ac sapientiæ participes sumus. » His dictis admodum clare qui similia effutit, videtur decernere, divinos interpretes Evangelio non uti suorum dictorum fundamento usos, neque in illo firmiter fundatos, quam plurima dogmata, vocibus ipsis in eo non comprehensa, explicationis gratia et fusioris declarationis, quod et in reliqua quoque sacra Scriptura consideratur tradidisse ; quin omnem in eo contineri explicationem, et dubiorum solutionem, et quæ conticentur sacro hoc fidei Symbolo declaranda enuntiandaque, et quæ non ita se habent rejicienda. Et similia uti legem ferens, non tantum illis qui proxime et contigue rejiciunt hæc, adhærescere adhortatur, et rationes suas, et pleraque ex theologica doctrina irrita facit, nec ea recipienda esse judicat, verum et dictionum de Deo ab Ecclesia usurpatarum potiorem partem non subsistere decernit, « si processionis, » ut ipse inquit, « in sacro Symbolo mentione facta, Filii nomen taciti præteriere. » At in rebus divinis maximus Tarasius perspicue illius meminit, cum de processione sermonem habet, et tomum a se scriptum in medium profert, dicens, « Et in Spiritum sanctum, qui ex Patre per Filium procedit, et Deus esse agnoscitur, » et universali consessu, qui numero septimus est, divinorum Patrum confirmat. Et si nullo modo in sancto Symbolo hæ voces *effunditur*, et *progreditur*, et *emittitur*, et *elucet*, et *effluit*, et *apparet*, et alia non dissimilia permulta reperiuntur, sed illas a Deo promoti mystagogi, cum ex Patre et Filio, et per Filium Spiritum sanctum decernunt, sonore intonant, et horum significatum non alium esse quam illius *procedit*, aperte perdocent, necnon Cyrillus numine afflatus, in evangelico ac reverendo dicto, « Spiritus veritatis, qui a Patre procedit, » clamat, ac si diceret, *progreditur*. Sic *characteres*, et *hypostases*, et *personas*, neque in salutaribus Evangeliis, neque in sacro Symbolo comprehensa, sed ab Ecclesiæ universali consensu recepta indeque firmitatem habentia, et Trinitatem in una divinitatis essentia demonstrantia ubique in divinis canticis, et suis sermonibus concinuntur et prædi-

καὶ οὐκ ἐξέδωκαν διατετρανωμένον τὸ δόγμα, εἴ γε ἀνάγκην ἔχει κατὰ τοὺς Ἰταλοὺς καὶ ἐξ αὐτοῦ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι ; Πάντως οὐκ ἐνόμιζον τοῦτο οὕτως ἔχειν, οὐδ' ἦσαν τολμηταὶ ὡς οὗτοι. Εἰ μὲν γὰρ μὴ ἐποιοῦντο περὶ τούτου λόγον οἱ Πατέρες, ἢ εἰ μὴ ἦσαν Πνεύματος ἁγίου μέτοχοι καὶ σοφίας, ἢ εἰ μὴ κανονικῶς ἠθροίζοντο, ἢ εἰ μερικῶς οὗτοι δὴ νῦν ἐκείνουν τὸν λόγον δυνάμει Λόγου καὶ Πνεύματος, καὶ κανονικῶς ἠθροισμένοι καὶ οὐ μερικῶς, εἶχεν ἂν κράτος ὁ λόγος αὐτῶν· νῦν δὲ ἐκείνοις μὲν ὡμολόγηται καὶ ἡ τοῦ Πνεύματος μετουσία καὶ τἄλλα, καὶ ἐζήτησαν πρότεροι, καὶ ἔταξαν τὰ εὑρεθέντα μετὰ πάσης ἀσφαλείας. Οὗτοι δὲ ἄλλως ἄνθρωποι ὄντες, καὶ μετ' ἐκείνου ζητοῦσιν, οὓς δεῖ ἀποπέμπειν πάντως, ἐκείνων δὲ ἐξέχεσθαι, καὶ τῶν αὐτῶν λόγων, καὶ μὴ περαιτέρω περιεργάζεσθαι, ἕως ἂν ἦμεν ἥττονος Πνεύματος καὶ σοφίας μετεσχηκότες. » Ἐκ τῶνδε τῶν εἰρημένων λίαν ἐκφαντορικῶς ὁ φήσας ὁρᾶται λέγειν, μὴ θεμελίου τοῖς τῶν θείων ἐκφάντορσιν ὄντος τοῦ Εὐαγγελίου καὶ τούτων ἐρριζωμένους, πλεῖστα τῶν δογμάτων παραδεδόσθαι μὴ κατὰ λέξιν ἐν αὐτῷ περιειλημμένων, διατρανώσεως λόγους, καὶ πεπλατυσμένης διαφήσεως, ὃ καὶ ἐπὶ τῆς λοιπῆς θεωρεῖται θείας Γραφῆς, ἀλλὰ πᾶσαν ἀνάπτυξιν ἐν αὐτῷ εἶναι καὶ διευλύτωσιν, καὶ ἃ σιωπᾶται τούτῳ τῷ ἱερῷ Συμβόλῳ τῆς πίστεως διατρανοῦσθαι καὶ διαγγέλλεσθαι, ἐφ' ᾧ καὶ τὰ μὴ οὕτως ἔχοντα ἀποπέμπεσθαι. Καὶ ταῦτα θεσμοθετῶν, οὐ μόνον ἐκείνων, ὧν ἀγχοῦ τε καὶ συνημμένως τῶνδε τῶν ἀποπεμπόντων ἔχεσθαι προτρέπει, καὶ τῶν αὐτοῦ λόγων, καὶ τὰ πλείω τῶν θεολογικῶν ἀκυροῖ διδαγμάτων, καὶ μὴ δοχῆς ἄξια κρίνει, ἀλλὰ καὶ φωνῶν ἐπὶ Θεοῦ τῶν κειμένων τῇ Ἐκκλησίᾳ, τὸ πλεῖστον μέρος τὸ ἀσύστατον ἔχειν νομοθετεῖ, « Εἴ γε τῆς ἐκπορεύσεως, » ὡς αὐτός φησιν, « οἱ Πατέρες ἐν τῷ θείῳ Συμβόλῳ μνησθέντες, τὸ τοῦ Υἱοῦ παρεσιώπησαν ὄνομα. » Ὁ δὲ πολὺς τὰ θεῖα Ταράσιος μέμνηται τούτου διαῤῥήδην ἐπὶ τῆς ἐκπορεύσεως, καὶ προτίθησιν ἐπὶ τοῦ μέσου τομογραφίαν, φάσκων· « Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον, » καὶ διὰ παγκοσμίου συνεδρίου, τοῦ τὸν ἕβδομον ἀριθμὸν πληροῦντος θεσπεσίων Πατέρων, ἐπικυροῖ. Καὶ εἴ γε μηδαμῶς ἐν τῷ ἁγίῳ Συμβόλῳ αὖται φωναί, *προχεῖται*, καὶ *πρόεισι*, καὶ *ἐκπέμπεται*, καὶ *ἐκλάμπει*, καὶ *πηγάζει*, καὶ *πέφηνε*, καὶ λοιπὰ παρόμοια οὐκ ὀλίγα, μυσταγωγοὶ δὲ ταύτας οἱ θεοπρόβλητοι, ἐν οἷς ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ, καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα θεολογεῖν αὐτοῖς πρόκειται, φωνοῦσι διαπρυσίως, καὶ τῆς διανοίας τούτων τε καὶ τοῦ *ἐκπορεύεται* τὸ ταυτὸν σαφῶς ἐκδιδάσκουσι, καὶ Κύριλλος ὁ θεόληπτος ἐν τῇ Εὐαγγελικῇ σεπτῇ ῥήσει, « Τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς πρόεισι, » κράζει, ὡς εἰ ἔλεγεν, *ἐκπορεύεται*. Καὶ *χαρακτῆρες*, καὶ *ὑποστάσεις*, καὶ *πρόσωπα* ἥκιστα τοῖς σωτηριώδεσιν Εὐαγγελίοις, ἢ τῷ ἱερῷ Συμβόλῳ ἐγκείμενα, τῇ Ἐκκλησίᾳ δὲ τῆς κοινῆς ἐννοίας ὡς ὄντα, κἀκεῖσε τὴν ἕδραν ἔχοντα, καὶ τῇ θεότητος ἐν οὐσίᾳ μιᾷ δεικνύντα τριαδικὸν ἀνο-

Digitized by Google Распознавание текста ABK/FR

μολογοῦνται τῶν θείων ὑμνων καὶ λόγων ἀπανταχοῦ καὶ κηρύττονται. Καὶ τίς ἂν ἀπαριθμοίη τὰ τοιουτοτρόπως τοῖς περὶ Θεοῦ λόγοις ἐνοπτριζόμενα; ὡς οὖν μυρίοις τῶν οὕτως ἐχόντων ἐν θεολογίᾳ πατρικῶν ἀποστὰς ῥημάτων περὶ τῶν ἅπασι δήλων, ἀμυδρῶς φαίην· διατί τὴν *Θεοτόκος* φωνὴν οἱ πρώτως ἐκθέμενοι τὸ τῆς πίστεως Σύμβολον θειότατοι Πατέρες ἀπεσιώπησαν, εἴ γε τοῦτο πᾶσα ἀνάγκη καταγγέλλεσθαι καὶ ἀναγορεύεσθαι; Οὐ γὰρ ἦσαν μὴ μνησθέντες τῆς Θεομήτορος. Διατί οἱ κατ' αὐτοὺς αὐτὸ δεύτεροι μετὰ προσθέσεως ἀπαρτίσαντες ὁμοίως ἀπεσιώπησαν; Εἶτα δύο φύσεις ἐπὶ τοῦ θεανθρώπου Λόγου οὐ δήπου τῷ ἁγίῳ Συμβόλῳ ἐμπεριέχονται, οὐ δύο ἐνέργειαι, ἃ συνέλευσις οἰκουμενικὴ θεηγόρων διδασκάλων ἐκράτυνεν· οὐ δύο πάλιν ἐπ' αὐτοῦ θελήματα ἐν αὐτῷ, ἃ συνάθροισις ἑτέρα παγκόσμιος θεοσόφων μυστηπόλων ἐθέσπισεν. Καὶ πόθεν ἔσχε τὸ προβληματίζεσθαι σύστασιν, « Διατί μὴ εἰρήκεισαν οἱ Πατέρες ἐν τῷ Συμβόλῳ, ἀλλὰ παρεσιώπησαν, κἀντεῦθεν ἀθετεῖν ἅπερ αὐτοὶ διαῤῥήδην ἐθεολόγησαν; » Εἰ δέ τις ἐρεῖ τοῦτ' αὐτὸ τὸ συνοδικῶς δόγματα τὰ διειλημμένα κρατωθῆναι, βεβαιοῖ σφίσι τὸ ἀναντίῤῥητον, τὸ ἐξ Υἱοῦ δὲ, ἢ ὅτ' Υἱοῦ συνοδικῶς οὐδαμῶς, πρῶτον μὲν ὁ τοιοῦτος μεγαλήγορος ἔσται κήρυξ τῆς ματαιολογίας τοῦ διὰ τοῦ Συμβόλου κατασκευασθέντος ἀκαταγωνίστου προβλήματος· ἔπειτα καὶ τούτου τὸ μάταιον ἡ *Θεοτόκος* ἐλέγχει φωνὴ, ἡ πρὸς ἀναγόρευσιν ἀναμφίλεκτος· ἐπεὶ μὴ συνοδικῶς παρὰ τῶν πρώτως μνησθέντων τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεογεννητρίας ἁγίων ὡς ἐκ τοῦ Συμβόλου παρίσταται.

κζ'. Ἵν' οὖν κεφαλαιωδῶς ὡς ἀληθείας ἔχουσι ταῦτα φαίημεν· ἑκάστη σύνοδος σπουδὴν ποιουμένη τὴν παρὰ τῶν ἁγίων ἀποστόλων παραδεδομένην πίστιν τηρεῖν, καὶ κρατύνειν περὶ τῶν προκειμένων εἰς ἐξέτασιν μόνων εἶχε τὴν ζήτησιν, καὶ ἀπετρέπετο μὲν ἐκεῖνα, ὧν ἦν ἡ ἀποτροπὴ, ἔστεργε δὲ ταῦτα καὶ ᾠκειοῦτο, ὧν ἡ στοργὴ γνησία καὶ ἡ οἰκείωσις, ἑκατέρων κατὰ τὰς ἀποστολικὰς παραδόσεις ἐπικυροῦσα καὶ ἐξασφαλιζομένη τῶν μὲν τὴν ἀποτροπὴν, τῶν δὲ τὴν συντήρησιν, καὶ τὸ σεπτὸν καὶ ἅγιον Σύμβολον τῆς πρώτης καὶ δευτέρας ἔκθεσις ὂν συνόδου, τῶν ἐν αὐταῖς ἀνακυψάντων ζητημάτων ἔχει τὴν ἀληθῆ καὶ βεβαίαν διευλύτωσιν, καὶ φανέρωσιν, καὶ ἔστι τῆς ἀποστολικῆς ὁμολογίας σαφὴς καὶ σύντομος ἀνακήρυξις. Ἕκαστος δὲ καὶ τῶν θεοῤῥαβεύτων διδασκάλων τῆς εὐσεβείας ταῖς κοιναῖς σφῶν ἀκολούθως διδασκαλίαις ἰδίας συγγραφὰς συγγραψάμενοι, καὶ τὰ κοινῶς ἰδίᾳ καὶ πεπλατυσμένως περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου θεολογίας διασαφήσαντες, εἰς κοινὴν ὠφέλειαν τοῖς ἀπὸ Χριστοῦ κεκλημένοις ἐξέθεντο. Στέργουσα τοίνυν ἡ Ἐκκλησία καὶ ἃ συνοδικῶς οἱ θεῖοι Πατέρες παρέδοσαν, ἐνστερνίζεται καὶ ἃ καθ' ἑαυτὸν θεολογῶν ἕκαστος διηκρίνησε. Καὶ οὐ τὰ μὲν οἰκειοῦται, τὰ δὲ ἀποπέμπεται, ἀλλ' ὡς ἐξ ἐπιπνοίας τοῦ θείου Πνεύματος προηγμένα, καὶ ταῦτα κἀκεῖνα γεραίρει καὶ κατασπάζεται καὶ ὅσα ἐν συγ-

A cantur. Et quisnam unquam simili ratione in tractatibus de Deo conspecta enumeraverit? Cum vero plane innumera sint, quæ in rebus theologicis non alio modo se habent, a Patrum dictis discedens, de iis qui nemini nota non sunt, tenuiter dicam. Quam ob causam *Deiparæ* vocem, qui prius sanctissimi Patres fidei Symbolum ediderunt, tacuerunt, si prorsus illa necessario publice enuntianda edicendaque est? neque enim Matris Dei oblivio illos ceperat. Quam ob causam post eosdem alii, qui id idem cum additione in meliorem prospectum dederunt, æqua ratione silentio præterierunt? Præterea duæ naturæ in Deo et homine Verbo in sancto Symbolo nusquam leguntur, non duæ operationes, quæ universalis diviniloquorum Patrum B congressus constabilivit : non duæ rursus de ipso voluntates, quas alia universalis divinorum mystarum congregatio definivit. Et undenam problema tuum illud subsistit : « Quia non dixerunt Patres in Symbolo, sed reticuerunt, propterea improbanda sunt, quæ illi palam edocuerunt? » Quod si quis dixerit, hoc ipsum quod supra jam apposita dogmata synodali decreto corroborata sunt, conciliat his iisdem firmitatem, cui nullus contradixerit, ex Filio vero sive per Filium nullo modo a synodo definitum : primum quidem hic ingenti voce problematis expugnatu difficilis, cujus probatio e Symbolo petita est, stultiloquentiam deprædicabit, tum illius quoque vanitatem *Deipara* vox redarguet, C quæ citra ullam hæsitationem edicenda est : cum non synodali decreto a primum jam commemoratis gloriosissimæ Dominæ nostræ Dei Genitricis sanctis uti ex Symbolo repræsentatur.

27. Sed compendio, uti ista vere se habeant explicemus. Quælibet synodus, cum sedulo incumberet traditam nobis a sanctis apostolis fidem conservare, atque firmare, de illis tantummodo, quæ in examen vocabantur, quæstionem exercebat, respuens quidem respuenda, excipienda vero amplectendaque excipiens, et utraque, horum nempe reprobationem, illorum conservationem, traditionum apostolicarum vestigiis insistens, definiens et stabiliens admittebat, et venerandum sanctumque primæ et secundæ synodi Symbolum cum sit expo- D sitio quæstionum quæ in illis exortæ sunt, veram certamque solutionem et declarationem continet, estque doctrinæ apostolicæ et confessionis plena et compendiosa denuntiatio. Singuli quoque a Deo constituti pietatis magistri, non extra communes earum consequenter doctrinas propria commentaria conscribentes, et communia privatim et fusiori sermone veræ atque inculpatæ theologiæ mysteria declarantes, publicæ eorum commoditati, qui a Christo nomen habent, ediderunt. Ecclesia itaque exosculans a divinis Patribus synodali consulto tradita, non minus apertis ulnis amplectitur et quæ singuli privatis pertractationibus explicarunt, et sic ea sibi benevole accommodat, illa ab se relegat longeque amandat, et æque ac si afflatu Spiritus

Digitized by Google Распознавание текста ABK/FR

sancti annuntiata essent, tum ista, tum illa venera-
ratur et excipit, et quæ in synodis, et quæ in Sym-
bolo, et quæ etiam in illis nullo modo pronuntiata
aut descripta sunt. Attentis ergo mentis oculis con-
sideret, qui veritatem investigat, neutram in par-
tem declinante conscientia rerum æstimatrice ac
arbitra, hoc enim nos omnibus votis concupiscimus,
hunc, ob quem nos verba fundimus, nihil ab
ipso primo principio ad finem usque orationis ex
sacris Scripturis delectum in medium attulisse,
quod non hisce divina mente præditis, et verbis et
sententiis non adversetur. Et hæc quo scopo, aut
cujus gratia? Ut schisma in Ecclesia Dei ex gen-
tibus collecta corroboretur, pro qua Christus pro-
prium effudit sanguinem, ut nusquam fiat deditio,
sed continuetur dissidium, cujus disjunctio atque
elongatio innumera bona Christianis conciliabat,
et præcipue nostri generis dominio in amplitudi-
nem, in augmentum, in omnium bonorum accre-
tionem, et cujus accessio infinitorum prope exci-
diorum, nostræ potissimum nationi causa fuit, et
in contrariam vicissitudinem anteactam felicitatem
tantum immutavit, ut iis qui sensibus integris non
destituuntur, lacrymis potius quam narratione
digna reputetur. Quemadmodum ergo nostra volu-
mina quæ de Deo tractant, ac nostrorum theologo-
rum, et post Deum servatorum et magistrorum
elenchus præsentem hunc et reliquos omnes im-
probitatem et dissidium promoventes aperte re-
darguunt, et concordiam secundum Deum et unio-
nem commonstrant, et ad eam manifestissime con-
ducunt, ita nostra volumina, et in illis contentos
ex nostris certis temporibus annisque in nostro
orbe gesta enarrantes invenerit, ex quibus colliget,
si considerate animum adverterit, non uti nos paulo
ante adumbravimus, tum quæ tempus nobis unio-
nis subministravit, tum quæ divisionis tempus vi-
cissim nobis induxit. Ex his jam, sive potius ante
hæc omnia, et in omnibus, exceptis iis quæ de
dogmatibus considerantur, de quibus jam dictum
est abunde satis pro viribus, sermonem de Ecclesia
repetentes dicimus, hanc, inquam, quæ ex gen-
tibus est, et quam Dei Verbum proprio sanguine re-
demit, et illius salutaris sanguinis effusio unam
constituit, nec non quam Verbi oculati spectatores,
et administri, et præcones, et apostoli, venerandis
prædicationibus, necnon proprii sanguinis evacua-
tione, uti Dominus, late diffusam, unam reliquerunt, et cujus multiplices martyrum conatus atque certamina unitatem quam maxime adauctam confirmarunt, et septem sanctarum universalium synodorum unus consensus atque concordia firmitatem communivit, et cujus unitatis vinculum certis temporibus hæreseon zizania de novo exorta recidit, et penitus abolevit, et ad nunc divisam confugio horum universalium consessionum summates, pastores, ducesque, indeque auxiliis oblatis zizaniis prorsus excisis, fidei normam stabiliverunt et hanc eamdem colligari, unamque esse confirma-

A ὁδοις, καὶ τῷ ἁγίῳ Συμβόλῳ, καὶ ὅσα μὴ ἐν αὐτοῖς
τούτων ἐξεφωνήθησαν καὶ ἐγράφησαν. Σκεψάσθω
γοῦν προσεκτικοῖς νοὸς ὀφθαλμοῖς ὁ τὴν ἀλήθειαν
ἀνιχνεύων συνειδότος ἀῤῥεπεῖ κριτηρίῳ. Τοῦτο γὰρ
ἡμῖν τὸ εὐκταῖον, ὅπως οὗτος δι' ὃν οἱ λόγοι, οὐδέν
ἐστιν ὧν εἴρηκεν ἐκ τῶν θείων Γραφῶν ἀπ' ἄκρας
ἀρχῆς ἄχρι τέλους, ὃ μὴ ἀριδήλως ἐναντίον τοῖς οὐ-
ρανόφροσι, κατ' ἔπος ὁμοῦ καὶ διάνοιαν. Καὶ ταῦτα
τίνος ἕνεκα καὶ ὅτου χάριν; Ἵνα κρατα.ωθῇ τὸ σχίσμα
τῆς ἐξ ἐθνῶν τοῦ Θεοῦ Ἐκκλησίας, ὑπὲρ ἧς ὁ Χριστὸς
τὸ οἰκεῖον αἷμα ἐξέχεεν, ἵνα ἀσύμβατον μείνῃ, οὗ ἡ
ἀποχὴ καὶ ὁ μακρυσμὸς μυρίων ἀγαθῶν πᾶσι τοῖς
Χριστωνύμοις καθίστατο πρόξενος, καὶ μάλιστα τῇ
ἡμετέρᾳ φυλῇ ἐπικρατείας εἰς πλατυσμὸν, εἰς αὔ-
ξην, εἰς καλῶν ἁπάντων ἐπίδοσιν, καὶ οὗ ἡ ἐπέλευ-
B σις ἀναριθμήτων σχεδὸν ὁλέθρων ἐγεγόνει παραίτιος,
τῷ ἡμετέρῳ κατ' ἐξαίρετον ἔθνει, καὶ εἰς τὴν ἐναν-
τίαν περιτροπὴν τὴν πρώην εὐκληρίαν ἁπαξαπλῶς
περιέστησεν εἰς τοσοῦτον, ὡς τοῖς εὐαισθήτοις θρήνων
μᾶλλον ἀξίαν, ἢ διηγήσεως κρίνεσθαι. Ὡς οὖν ἐν
τοῖς περὶ Θεοῦ λόγοις ἡμέτεραι βίβλοι, καὶ τῶν ἡμε-
τέρων κατάλογος θεολόγων, καὶ μετὰ Θεὸν σωτήρων
καὶ διδασκάλων τὸν ἐνταῦθα καὶ λοιποὺς ὅσοι τῶν
κατ' αὐτὸν τὰ τῆς κακίας καὶ τῆς διαστάσεως συνι-
στῶντας ἀπελέγχουσιν ἐμφανῶς, καὶ τὰ τῆς κατὰ
Θεὸν ὁμονοίας καὶ συναφείας ἐκφαίνουσι καὶ μυστα-
γωγοῦσι τρανότατα, οὕτως ἡμετέρας βίβλους, καὶ
τοὺς ἐν αὐταῖς ἡμετέρους ὁ εἰρημένος εὑρήσει τὰ
κατὰ καιροὺς καὶ χρόνους τῇ καθ' ἡμᾶς οἰκουμένῃ
γεγονότα διηγουμένους. Ἐξ ὧν ἀναλέξεται τελεώτε-
C ρον, εἰ προσεσχηκέναι θελήσει, οὐχ ὡς ἡμεῖς προσε-
χῶς ἐσκιαγραφήσαμεν, ἃ καιρὸς ἡμῖν ὁ τῆς ἑνώσεως
ἐπρυτάνευε, καὶ ἃ καιρὸς ὁ τῆς διαιρέσεως ἀντεπή-
γαγεν. Ἐκ δὴ τούτων, ἢ μᾶλλον πρὸ τούτων ἁπάν-
των καὶ ἐπὶ πᾶσιν ἐκτὸς τῶν ἐν δόγμασι θεωρου-
μένων, περὶ τούτων γὰρ εἴρηται, ἱκανῶς ὅσον τὸ ἐφ'
ἡμῖν τὸν περὶ τῆς Ἐκκλησίας λόγον ἀναλαβόντες λέ-
γομεν, ὡς τὴν ἐξ ἐθνῶν δή φημι ταύτην, ἣν ὁ τοῦ
Θεοῦ Λόγος τῷ ἰδίῳ ἐξηγοράσατο αἵματι, καὶ ἡ ὑπὲρ
αὐτῆς τούτου σωτήριος χύσις μίαν εἰργάσατο, καὶ ἣν
οἱ τοῦ Λόγου αὐτόπται καὶ ὑπηρέται καὶ κήρυκες
καὶ ἀπόστολοι διὰ τῶν σεπτῶν κηρυγμάτων, καὶ τῆς
κενώσεως τῶν ἰδίων αἱμάτων ὡς ὁ Δεσπότης εὐρύ-
ναντες, μίαν καταλελοίπασι, καὶ τὰ πολυειδῆ τῶν
D μαρτύρων ἄθλα καὶ τὰ παλαίσματα τὸ ἐνιαῖον αὐτῆς
εἰς ἐπίδοσιν ἐστερέωσε, καὶ τῶν ἁγίων οἰκουμενικῶν
συνόδων ὁ ἑπταδικὸς ἀριθμὸς τὸ εἰς ἓν τῆς συμπνοίας
τῆσδε στερέμνιον ὠχυρώσατο, καὶ ἧς ὁ σύνδεσμος
τῆς ὁμονοίας τὰ κατὰ καιροὺς ἀναφύεντα ζιζάνια
τῶν αἱρέσεων ἐξέκοψε καὶ ἠφάνισε, καὶ τῇ πρὸς
τὴν νῦν διαιρουμένην καταφυγῇ τῶν τοιούτων παγκο-
σμίων συνεδρίων οἱ ἔξοχοι θεῖοι ποιμένες, καὶ προα-
γοὶ, καὶ τῇ ἐκεῖθεν συνάρσει τὰ τῶν ζιζανίων τέλεον
ἀπωσάμενοι τὸν τῆς πίστεως λόγον ἐκράτυναν, καὶ
τὸ συνδεῖσθαι τήνδε καὶ μίαν εἶναι κατησφαλίσαντο.
Ταύτην Φώτιος ἴσχυσε μερίσασθαι καὶ κατατεμεῖν·
καὶ ὅτι οὐ κατὰ ζῆλον θεῖον, ἀλλὰ διὰ τὸ ἀποπέμπε-
σθαι παρὰ τῆς Ῥωμαϊκῆς καθέδρας τὸ πρωτεῖον
ἐχούσης, καὶ τὸν ὃν ἀφείλετο τὸν πατριαρχικὸν θρόνον,

Digitized by Google Распознавание текста АВК/FR

δικαιοῦσθαι θεῖον Ἰγνάτιον, ὃν ἐν ἁγίοις ἡ ἡμετέρα Ἐκκλησία καὶ τιμᾷν καὶ δοξάζειν καὶ ἀριθμεῖσθαι παρέλαβεν, αὐτὰ βοᾷ τὰ πράγματα, καὶ τῶν ἡμετέρων μαρτυρίαι καὶ συγγραφαί. Ὅτι δὲ καὶ προφάσεις ἃς ἐσχεδίασεν οἰκοθεν τὰς ἐν δόγμασι τῆς ἧς ἐάλω φιλαρχίας ἀποτυγχάνων, καθὼς οἱ τούτου πρὸς τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἐπιστολιμαῖοι παριστῶσι λόγοι, ἀπειλητικῶς ὑπεμφαίνοντες, ἢ μὴν δεχθῆναι, ἢ πρὸς σχίσμα χωρῆσαι, φθάσας ὁ τὴν ὁμολογίαν φερώνυμος Μάξιμος ἀπελέγχει, δῆλον ἐκ τῆς αὐτοῦ πρὸς πρεσβύτερον Κύπρου Μαρῖνον ἐπιστολῆς γράφοντος ἐν αὐτῇ κατὰ ῥῆμα πρὸς τοὺς ἐνταῦθα· « Ἐν τοῖς αὐτοῦ τὸν πάππαν φάσκειν συνοδικοῖς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δεχομένου καὶ τὸν ὑπὲρ τούτου ποιουμένου ἀπόλογον. » Καὶ ὅτι πρὸς τοῖς ἐλέγχοις τῶν δογματικῶν Φωτίου προφάσεων συνελέγχονται πρὸς τοῦ μεγάλου τοῦδε τὸν θεῖον ζῆλον καὶ οἱ μεγαλορρήμονοῦντες τὰ οἰκεῖα τὸν Ῥώμης ἐν ἁπάσαις ταῖς οἰκουμενικαῖς συνόδοις ἔχειν προνόμια, διὰ τὸ μὴ τηνικαῦτα, μετὰ δὲ τὴν αὐτῶν παραδρομὴν τὸ τοιοῦτον δόγμα κηρύττειν, οὐκ ἄδηλον οὐδ' ἀπόκρυφον, εἴγε Μάξιμος ὁ θεσπέσιος ἀκμάζων ἦν πρὸ τῆς ἕκτης συνόδου, καὶ μετὰ τὴν πρὸς Κύριον ἐκείνου μετάστασιν αὕτη συνεκροτήθη, ὑπὲρ οὗ δόγματος ἐκεῖνος γενναίως ἠνδρίσατο, καὶ μετ' αὐτὴν τὸ τελευταῖον ἕβδομον οἰκουμενικὸν γέγονεν ἄθρισμα. Καὶ τοῦ λοιποῦ, ὡς ἔοικεν, αἱρετώτερα τὰ Φωτίου, καὶ δίχα τοῦ προβῆναι ὡς προβεβήκασι τῶν μεγάλων ἀμφοτέρων τοῦτο συνόδων στερκτὰ τὰ τοῦ πάππα λογιζομένων, καὶ μὴ ζῆλον ἐνδεικνυμένων ἐπὶ τοῖς τούτου καταπεμπομένοις; οὕτω συνοδικοῖς ἐν αὐταῖς κροτουμέναις καὶ πρὸ αὐτῶν, καὶ διατρανοῦσιν, ὡς εἴρηται, κατὰ τὸ κρατῆσαν ἀρχῆθεν ἔθος πέμπειν ἁπανταχοῦ, ἐν οἷς αὐτῶν ἡ κατὰ διαδοχὰς ἀναγόρευσις, καὶ μέχρι τοῦ νῦν εἰς τοὺς οἰκείους καὶ ὑπ' αὐτόν. Ἀλλ' ἡ τῆς ἀληθείας μᾶλλον ἐκ τούτων ἀναφαινομένη διάγνωσις παρίστησιν ἐναργῶς, ὡς μετὰ τὴν κοσμοσωτήριον φρικτὴν οἰκονομίαν, καὶ τὰ ἀποστολικὰ κηρύγματα καὶ σπουδάσματα ἐξ ὧν ἡ Ἐκκλησία μία συνέστη, καὶ οὕτω τεθεμελίωτο, ταύτην διαδεξάμενοι οἱ τῶν μαθητῶν τοῦ Κυρίου διάδοχοι ποιμένες καὶ μυσταγωγοὶ θεοπρόβλητοι, οἱ διὰ τῶν καθολικῶν ἁδομένων ἑπταδικῶν συνελεύσεων αὐτὴν οὕτω κρατύναντες, καὶ πᾶσαν αἵρεσιν ἀπωσάμενοι, καὶ τὸν τῆς εὐσεβείας ἐν αὐτῇ λόγον ἑδράσαντες, ἕως οὗτοι παρῆσαν, οἱ τήνδε θεαρέστοις ἔργοις καὶ λόγοις ἰθύνοντες, οὐδαμῶς ἴσχυσεν ὁ τῆς κακίας ἐφευρετὴς τὸ συνημμένον παρασαλεῦσαι, καὶ τὸ ἐν αὐτῇ ὅλως λυμήνασθαι, καὶ ταῦτα διά τινων πειραθείς, οὐ λέγω περὶ ὧν ἡ ῥηθεῖσα ἐπιστολὴ τοῦ μεγαλοκήρυκος ὁμολογητοῦ διαλαμβάνει, ἑτέρων δὲ πρὸς τοῖσδε, ἀλλ' ἐκκρουσθεὶς ταχέως, καθὼς ἂν ἔχῃ γνῶναι ὁ ἐξεταστικός· ἐπειδήπερ ἦσαν οἱ τῆς κακίας ριζοτόμοι, καὶ τῆς τατὰ Θεὸν εἰρήνης φύλακες καὶ θεμέλιοι. Ἀφ' οὗ δ' οἱ τοιοῦτοι μετέστησαν εἰς ἀγαθὰ τὰ αἰώνια, τότε καὶ Φώτιος καὶ λοιποὶ καθεξῆς τὸν σύνδεσμον διαῤῥῆξαι κατίσχυσαν, καὶ διελέσθαι καὶ κατατεμεῖν ὑπερίσχυσαν. Ἐπὶ ποίᾳ ὠφελείᾳ, ἢ ποίᾳ λύμῃ; ἴσασιν οἱ εἰδότες, εἰ καὶ τῶν

runt. Hanc Photium dividere potuisse, et in partes incidere, at non zelo divino, sed quod a Romana cathedra, quæ primas partes obtinet, amandaretur, et occupatus ab illo thronus patriarchicus æquo jure divino restitueretur Ignatio, quem inter sanctos nostra Ecclesia collocare et venerari et glorificare a majoribus suis accepit, res ipsæ clamant, et nostrorum commentaria et scripta : prætextus etiam inconsiderate effutiisse ex propriis circa dogmata dominatus libidine ductum, cujus compos fieri non poterat, uti ejusdem ad Romanam Ecclesiam epistolæ astruunt, non absque minis demonstrantes, si non exciperetur, ad schisma processurum, ante ipsum confessione sua cognominis Maximus redarguit, et manifestum est ex ejusdem ad Marinum Cypri presbyterum epistola, hæc ipsissima verba continente : « At in suis papam synodicis asserere, etiam ex Filio Spiritum sanctum procedere, et recipere, et de hoc etiam responsionem addere. » Et præterquam quod dogmatica Photii asserta refelluntur, una simul refelluntur ab hoc eodem zelo pietatis quam maximo, qui ingenti voce clamitat, propria Romanum in omnibus universalibus synodis privilegia habere, quod non tum, sed post eorum transcursum simile dogma prædicat, non incertum, neque occultum ; si divinus Maximus ante sextam synodum florebat, et post illius ad Dominum transitum illa celebrata est, pro quo dogmate ille generose decertavit, et post illam postrema universalis congregatio coacta est, ideoque, ut videtur, magis amplectenda sunt Photii, et absque eo quod successerint modo quo successerint res magnarum harum synodorum exosculanda ab iis qui res papæ examinant, nec zelum ostendunt, pro illius sic missis synodicis, cum illæ cogerentur, et ante earum celebrationem, et plane indicant, ut dictum est, uti ab initio mos obtinuerat, quaquaversum illum mittere, dum nova continuaret eorumdem secundum successionem creatio, et ad hæc usque tempora ad sibi subjectos, sed veritatis magis ex his irradians dignotio plane comprobat, post salutarem orbi universo horrendamque œconomiam, et prædicationes apostolicas, et conatus, quibus una Ecclesia substitit, et ita fundata fuit, discipulorum Domini successores, qui subsecuti sunt pastores, et a Deo promoti mystagogi, qui per universales septem sic dictos congressus eam hunc in modum constabiliverunt, et omnem hæresim relegarunt, et pietatis in eadem causam firmarunt, donec hi præsentes erant, qui eam Deo complacitis operibus et sermonibus dirigebant, nullo modo potuit improbitatis auctor conjunctionem dimovere, et unitatem illius prorsus lædere, licet nonnullis id pertentasset, non dico illis, quæ dicta maximi præconis homologetæ epistola comprehendit, sed præ his aliis etiam, verumtamen expulsus quam subito, uti rerum examinator cognoscit; cum essent qui improbitatis radices exciderent, et pacis secundum Deum cu-

Digitized by Google Распознавание текста ABK/FR

stodes et fundamenta : cum vero hi ad sempiterna bona transmigrarunt, tum Photius, et alii qui eum subsecuti sunt, vinculum dissolvere potuerunt, et discindere, et in partes comminuere, qua utilitate aut noxa? bene callent qui noverunt, licet pauci isti, non multi sunt. Nos porro ea quoque quæ in judicio fassi sunt nostrorum adversariorum duces circa defensionem, cujus mentionem fecimus, indicati divini Patris more proprio suo res novas comminiscentes, quid enim manifestius apparuerit, dum sanctus hoc, quod illi criminabantur, appositum ipsis verbis palam defendit? in nonnullis nostris sermonibus, et in ea responsiones ex ipsis defensionis verbis, et aliis Patrum dictis contra posuimus. De ea vero epistola, et necessaria rerum serie, quam innuimus, cum fuse alio in loco tractaverimus, adhuc latius perfectiusque ea, cui id collibitum fuerit, et in libris nostris, et eorum qui cum nobis una sentiunt, reperiet. Verumtamen cum in colloquium venire nobis non concedatur, aut libere et publice, et in imperatorum audientia, aut cum aliquibus privatim, et in secessu, sed sors nobis illa contigit, ut perpetuis carceribus mancipemur, et ab omnibus injuriis afficiamur illisque qui nos supereminent, satisfactum esse reputetur, propter eam quæ in omnibus inspersa est, et potissimum in populari turba præoccupationem, aliquando nobis inopinato, si aliquos alloqui contigerit, ut in magna curia semel forte fortuna accidit, aut scripta in manibus ab aliquibus contra hoc argumentum dictata in occulto accipere, dictiones ex Deo ductis Patribus proponentes, ostendentesque eos illis contraria reboare, et alloqui, et in quod sese præcipitium agant, de his considerata examinataque rerum serie, veritatem irradiantem sive fuse sive breviter, et in compendio edicimus. Attamen hi maximo dominatu constipati, sive qui vitam cum morte commutarunt, qui maximopere in nos commoti fuere, sive qui inter vivos adhuc degunt tanquam qui deprehendantur, voces novas blasphemiis refertas introducere, in tomo contra nos nostrosque asseclas scripto publicatoque, tandemque et calamo et atramento composita cum semel recognoverint, quibus intelligunt colloquiis illis apud judices in audientiam universi populi habitis, et præterea per nos scripto traditis responsionibus refutatos esse, renuntiantes apologiis, sive quæ in dialogis præsentibus colloquentibus disputantur, sive in scriptis eorum qui gloria et magnificentia non admodum illustres neque conspicui, sed sermonibus scribendis laudem consecuti sunt, continentur, hujusce de quo nunc loquimur, et alterius et omnibus disciplinis logicis et instructionibus magis illustris, quorum commentaria inopinato ad manus nostras pervenere, ex ventre erutis dictionibus corroborantia Ecclesiæ dissidium : quin et dissertationes a nobis in magna curia habitas scripto pro viribus tradidimus zelo veritatis acti, quo et ad reliqua similia, si quæ appa-

A ὀλίγων οὗτοι καὶ οὐ πολλῶν. Ἡμεῖς δὲ καὶ ἅπερ ἐν τοῖς δικαστηρίοις ἔφθασαν ἐξειπεῖν οἱ τῶν ἀντικειμένων ἡμῖν προαγοί, ἐφ' ᾗπερ ἐμνήσθημεν ὑπερηγορίᾳ τοῦ δηλωθέντος θείου Πατρὸς εὑρεσιλογοῦντες κατὰ τὸν συνήθη τρόπον αὐτοῖς· τί γὰρ ἂν φανείη που προδηλότερον τοῦ τὸν ἅγιον αὐτὸ τὸ αἰτιώμενον θέμενον κατὰ ῥῆμα τούτου φανερῶς ὑπερηγορῆσαι; ὅμως ἔν τισι παραθέντες τῶν ἡμετέρων λόγων καὶ τοὺς σφῶν ἐλέγχους ἐξ αὐτῶν τῶν τῆς ὑπερηγορίας ῥημάτων καὶ λοιπῶν πατρικῶν ἀντιπαρεθήκαμεν. Περὶ δὲ τῆς ἐπιστολῆς καὶ τῆς ἧς ἔφημεν ἐκ τῶν πραγμάτων ἀναγκαίας ἀκολουθίας, ὀλλαχοῦ πλατύτερον διαλαβόντων ἡμῶν, ἔτι διεξοδικώτερον εὑρήσει ταῦτα καὶ τελεώτερον ὁ βουλόμενος ἐν βίβλοις αἵπερ ἡμέτεραι καὶ τῶν ἡμετέρων εἰσί. Πλὴν ἐπεὶ τοπαράπαν εἰς λόγους ἐλθεῖν οὐ παραχωρούμεθα, ἡ παῤῥησία, καὶ τῶν αὐτοκρατόρων ἐνώπιον, ἢ μετ' ἐνίων ἰδιαζόντως, καὶ ἀνὰ μέρος, ἀλλὰ κλῆρος ἡμῖν τὸ διόλου ἐγκεκλεισμένους εἶναι καὶ παρὰ πάντων ὕβρεσι πλύνεσθαι, καὶ τούτοις τοὺς καθ' ἡμῶν ὑπερέχοντας ἱκανοῦσθαι, καὶ τῇ ἀφ' ἧς ταῦτα πᾶσιν ἀτεχνῶς ἐνσκεδασθείσῃ προλήψει, καὶ μάλιστα τοῖς τοῦ λαώδους συστήματος, ἡνίκα ποθὲν ἡμῖν ἀπροσδοκήτως, ἢ μετά τινων διαλεχθῆναι συμβαίη, ὡς ἐν τοῖς μεγάλοις ἀρχείοις ἅπαξ γέγονε κατὰ συγκυρίαν, ἢ γραφὰς εἰς χεῖρας λαβεῖν παρ' ἐνίων κατὰ τῆς ὑποθέσεως γραφείσας ἐν παραβύστῳ, τὰς δ' ἀντιῤῥήσεις ἐκ τῶν θεοφορήτων προφέροντας, καὶ δεικνύντες ὅπως οὗτοι σφίσιν ἀπεναντίας καὶ φωνοῦσι καὶ φθέγγονται, καὶ εἰς οἷον ἐντεῦθεν ὀλισθον ὀλισθαίνουσι, καὶ περὶ τῶνδε τῶν ἐκ τῆς ἀκολουθίας τῶν πραγμάτων θεωρουμένων, καὶ τὴν ἐξ αὐτῶν ἀπαστραπτομένην ἀλήθειαν, κατά τι ἐκτάδην, καὶ κατὰ βραχὺ καὶ ἐστενωμένως ἀνακηρύττομεν. Ἀλλ' οἱ μὲν μεγάλην περιζωσάμενοι δυναστείαν, οἵ τε τὸν βίον μετηλαχότες τῶν καθ' ἡμῶν ὑπερβαλλόντως κεκινημένων, οἵ τε τοῖς ζῶσι συνεξεταζόμενοι, ὡς ἐαλωκότες καινοφωνίας καὶ βλασφημίας ἐφ' ᾗ τομογραφίᾳ ἐχρήσαντο καθ' ἡμῶν, καὶ πρὸς τῶν οἰκείων, καὶ τῆς σφετέρας μοίρας, καὶ τῶν συνθεμένων καλάμῳ καὶ μέλανι εἰς συναίσθησιν μόλις ἐλθόντων, ἐξ ὧν φθάνουσιν ἀκηκοέναι ταῖς πανδήμοις ἐκείναις δικαστικαῖς διαλέξεσιν, ἔτι τε παρ' ἡμῶν καὶ ἐγγράφοις ἀπαντήσεσιν ἐλεγχθέντες, ἀπείπαντες πρὸς ἀπολογίας χωρῆσαι, ἢ τὰς ἐν διαλόγοις αὐτοπροσώποις, ἢ τὰς διὰ γραφῶν τῶν ἄλλως μὲν μὴ περιόπτων τῇ φαινομένῃ δόξῃ τε καὶ μεγαλειότητι, λόγῳ δέ γε περικλεῶν, τοῦ τε περὶ οὗ νῦν οἱ λόγοι, καὶ ἑτέρου περιφανεστέρου παντοίοις λογικοῖς μαθήμασι καὶ παιδεύμασιν, ἄτινα συγγράμματα παρ' ἐλπίδας ἀνὰ χεῖρας λαβεῖν ἡδυνήθημεν, ῥήμασι τοῖς ἀπὸ κοιλίας τὴν τῆς Ἐκκλησίας κρατοῦντα διάστασιν]· ἀλλὰ καὶ ἃς διαλέξεις ἐν τοῖς καλουμένοις μεγάλοις βασιλείοις μετὰ τοιούτων ἑτέρων ἐποιησάμεθα, γραφαῖς παρεδώκαμεν ὡς ἐξῆν, ζήλῳ τῷ ὑπὲρ ἀληθείας φερόμενοι, ὑφ' οὗ καὶ πρὸς λοιπὰ παραπλήσια εἴ που φανείη παρεσκευάσμεθα, δυνάμει τεθαῤῥηκότες τοῦ τὰ παρειμένα καὶ ἀσθενῆ ἐνισχύοντος. Τῶν παρειμένων γὰρ ἡμεῖς ἀληθῶς ἤδη τηλίκῃ συνεχόμενοι τῇ ἀμβλυωπίᾳ, ὡς ἐν οἷς

Digitized by Google Распознавание текста АВК/FR

ἡμῖν τὸ γράφειν, κακουμένων σφόδρα τῶν ὀμμάτων ἀφίστασθαι τοῦ ἔργου καὶ μύειν αὐτὰ, καὶ οὕτω τὸ πλεῖον τῆς ἡμέρας ἀνύειν, μὴ σφῶν τοπαράπαν ἀνεφγμένων, ἔπειτα κεκύφαμεν πάντη μὴ τῇ ἐπιτάσει τοῦ τῶν νεφρῶν ἄλγους ἀνακύψαι δυνάμενοι, καὶ ὀπραξίᾳ τῇ τῶν ποδῶν συνεσχέθημεν. Καὶ οὗ φημι τὴν κατὰ τὰ ἐκτὸς ἀκινησίαν τὴν ἐκ τοῦ ἐγκλεισμοῦ, ἀλλὰ τὴν κατὰ τὰ ἐντὸς, καὶ τὴν ἐκ τῆς φύσεως. Καὶ ταῦτα ἡμῖν ἔκ τε τοῦ γήρως, καὶ τῶν ἐπὶ τοσούτοις ἔτεσιν ἀλληλοδιαδόχων καθειρξίων, καὶ ταλαιπωριῶν, καὶ στερήσεων, οἷς ἐν νεότητι χρῆσθαι εἰώθειμεν τῶν ἐξ ἰατρείας θεραπευμάτων, καὶ λοιπῶν τῶν πρὸς ἐπιμέλειαν, ὧν τὸ δύστηνον δεῖται σῶμα, καὶ μάλιστα τὸ ἐπιῤῥεπὲς εἰς νοσήματα. Οἴδαμεν δὲ καὶ ὡς ζῆλον ἀκηκοότες οἱ ἐπὶ ζήλῳ μεγαλορρήμονοῦντες, μᾶλλον ἡμῖν ταῖς λοιδορίαις ἐπιτεθήσονται, ἃς εἰθισμένοι στέργειν, στέρξομεν οὐχ ἧττον, καὶ αὖθις τὰ ἡμῶν συνορῶντες ὑπὲρ τῶν ὁμοφύλων ἔν τε πρεσβείαις ταῖς ἐν νεότητι, καὶ τῇ νῦν ἐν τοῖς τοιούτοις ὄντων διαθέσει τε καὶ προθέσει.

ruerint, parati sumus, virtute delassata atque infirma corroborantis confisi. Sumus enim gravi atque infirma valetudine vere confecti, et oculorum acies adeo retusa est, ut dum scribimus, oculos imbecillitate admodum perturbatos nos ab opere cessantes claudamus, sicque continuo illis obseratis maximam diei partem agamus, postmodum resupini inclinati ex renum gravitate doloreque corpus erigere non valemus, pedum quoque imbecillitate tenemur, cum sint illi ad sese dimovendos ineptissimi, nec sermo est de membrorum externorum motu difficili, quem ex carceribus contraximus, sed de internorum, et quam natura ipsa parit ægritudinem. Et hæc nobis obvenere ex senio ipso, et nunquam cessantibus vinculis et ærumnis, nec non medicamentorum et remediorum, et reliquorum quæ ad curam conferebant, erantque in usu cum juventam integram ageremus, privatione, quibus miserum corpus, et præcipue si in morbos declive sit, indiget. Nec nos fugit, qui zelum audiunt, de zelo sese gloriosius jactantes nos fœdioribus convitiis proscissuros, quibus cum jam assuevimus acquiescere, non minus acquiescemus: sic etiam nostra quæ pro nostra natione pertulimus considerantes, et in legationibus obeundis, cum ætate floreremus, et nostra hæc, in quibus nunc versamur, dispositionis et propositi studia.

ΓΕΩΡΓΙΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΕΚ ΤΟΥ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΛΟΓΟΥ Δ'.

—

GEORGII METOCHITÆ [1]

EX LIBRO IV DE PROCESSIONE SPIRITUS SANCTI.

(Combefis. Auctar. nov. tom. II, p. 1017.)

—

Καὶ παραφθορᾷ μὲν ῥηθείσῃ τεθαῤῥηκότες, καὶ τῷ ἐντεῦθεν δελεάσματι τῶν ἀκροωμένων, καὶ ταύτῃ τὸ γράφειν, κακουμένων σφόδρα τῶν ὀμμάτων

Præfata vero depravatione freti, ac quibus inde auditores capiunt illecebris, hanc quoque reliquis

(1) Fuit hic Metochita unus ex illis, per quos facta est unio Græcorum cum Latinis, sub Gregorio X serieque consensit in Latinorum dogma de processione Spiritus sancti ex Filio, quod perinde sit atque per Filium, ut inde sibi conflata gentilium suorum invidia, carceres ab illis perpessus sit ac pœnas alias: in quibus scripsit libros quinque qui exstant eo argumento, plane eruditos, ut nihil hactenus existimem prodiisse in eo genere illis æquale. Urget præcipue traditionem, et ut olim Romana Ecclesia eam profitens fidem, nullam a Græcis ejus gnaris sit passa calumniam ante Photium, subindeque Michaelem Cerularium: quietis utriusque Ecclesiæ rebus, quod ad eum articulum spectat. Gravissime item Græcorum schismaticorum solutionem confutat, qua se Patrum loca eludere existimant, ut dicatur Spiritus sanctus esse a Filio vel per Filium, ratione tantum effectus temporalis, sive donationis et manifestationis; non item ratione substantiæ ac existentiæ: τῆς ὑπάρξεως λόγῳ· quibus confectis, res plane confecta sit. Locus quem depravatum indicat, ac multis vexat in iis quæ præcedunt istud excerptum nostrum, Gregorii Theologi est orat. 24, ubi habetur, Omnia, quæ sunt Patris, etiam esse Filii, πλὴν τῆς αἰτίας, *excepta ratione causæ*: quomodo etiamnum edita habent. Contendit ille probatos codices habere, πλὴν τῆς ἀγεννησίας· quam lectionem ex aliis confirmat, quibus ille ubique τὴν ἀγεννησίαν excipit; nunquam τὴν αἰτίαν. Sed ex editis habetur, Anglicanum unum codicem ac quosdam Vaticanos habere ἀγεννησίαν. Valde placet quam solutionem ex propriis adhibet, cum silentii plurium Patrum, tum diversi modi loquendi in Patre et Filio, in subjecta materia processionis Spiritus sancti: ut nimirum peculiare aliquid Patri voluerint indicare, ac quale ab ipso Domino intel-

Digitized by Google Распознавание текста ABK/FR

adlegerunt, eam tantum partem ex toto illius, vere pro nominis ratione Maximi gloria confessionis, testimonio arripientes qua is, epistola ad Marinum Cypri presbyterum de Romanis ait : *Ex quibus haud se Filium Spiritus causam facere ostenderunt. Unam quippe Filii ac Spiritus, Patrem causam noverunt.* Cæterum intelligentes, in quibus se his particularibus jactant, quantum opis ex integro hoc loco accessurum esset ad Ecclesiarum Dei depellendum dissidium, haud quidem tomo ac libello inserere voluerunt, temere vero proferentes, in iis gloriantur. Sane, tametsi aliis nostris libris integrum hoc testimonium insertum edidimus, haud abs re tamen videatur hic quoque exarare, ita habens ad verbum.

A τὴν δὴ ταῖς λοιπαῖς συγκατέλεξαν· ἐκείνου δὲ δραττόμενοι μέρους ῥήσεως ὅλης, τοῦ τὴν ὁμολογίαν φερωνύμως μεγίστου Μαξίμου, φάσκοντος ἐν ἐπιστολῇ τῇ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου περὶ τῶν Ῥωμαίων· *Ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τοῦ Πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν. Μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος, τὸν Πατέρα, αἰτίαν.* Καὶ συνορῶντες ἐν οἷς τοῖσδε μερικοῖς μεγαλορρημονοῦσιν, ὅσοι ἐξ ἁπάσης ταύτης περικοπῆς ὁ συνασπισμὸς, πρὸς ἀπορράπισιν τῆς τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ διαστάσεως· ἐνθεῖναι μέντοι τῷ τόμῳ τοῦτον οὐκ ἠβουλήθησαν. Ἄλλως δὲ προβαλλόμενοι κομπάζουσιν ἐπ' αὐτοῖς. Ἑτέροις μὲν οὖν τῶν ἡμετέρων λόγων τὴν ῥῆσιν τήνδε πᾶσαν ἐγκαταστρώσαντας, οὐκ ἀπεικὸς ἐγχαράξαι κἀνταῦθα, οὕτως

B ἔχουσαν κατὰ λέξεως.

Sanctissimi papæ, qui nunc est, synodalium, non tot capita, quot vos scripsistis, regiæ urbis incolæ notarunt; sed duo tantum : quorum alterum ad divina spectat; quod, inquiunt, dixerit, Spiritum sanctum etiam ex Filio procedere : alterum vero ad Incarnationem; quod scripserit, Dominum ut hominem esse absque peccato originali. Ac in primo quidem consonas Patrum Latinorum protulerunt sententias : nec non Cyrilli Alexandrini ex sacris ejus Commentariis in sanctum evangelistam Joannem : per quas, haud se ii, Filium causam Spiritus asserere monstrarunt. Unum enim Filii ac Spiritus, Patrem causam noverunt; illius quidem, secundum generationem; hujus autem, secundum processionem : sed significare, quod per illum prodeat : eaque ratione ostendere ejusdem essentiæ nulla cum varietate communionem. Quod autem spectat ad secundum, nullam prorsus necessariam habent defensionem. Quæ enim hac parte dubitatio, tametsi arbitrentur pro sua morositate qui occasiones quærunt, nihilominus tamen sinistram omnem amoliti sunt suspicionem, dicentes, nec in animo habere peccatum, quo primum Adam videtur laborasse, nec quæ ex illo per corpus procedit, vitiosam actionem ac operationem. Hæc quidem ipsi, pro quibus nihil e ratione fuerant in crimen vocati. Illi autem, pro quibus jure admodum, nullam hactenus defensionem protulerunt : uti neque ab ipsis perperam inducta, eliminarunt. Obsecravi autem Romanos juxta vestram admonitionem, ut ad adversariorum cavendas surreptiones, sua ipsi inter-

Τῶν τοῦ νῦν ἁγιωτάτου πάππα συνοδικῶν οὐκ ἐν τοσούτοις ὅσοις ὑμεῖς γεγράφατε κεφαλαίοις, οἱ τῆς βασιλίδος τῶν πόλεων ἐπελάβοντο· δυσὶ δὲ μόνοις, ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας· ὅτι τε, φασὶν, εἶπεν ἐκπορεύεσθαι καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· τὸ δὲ ἄλλο περὶ τῆς θείας σαρκώσεως· ὅτι περ γέγραφε, δίχα τὸν Κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον. Καὶ τῷ μὲν πρώτῳ συμφώνους παρήγαγον χρήσεις τῶν Ῥωμαίων Πατέρων· εἴ γε μὴν καὶ Κύριλλον Ἀλεξανδρείας, ἐκ τῆς ποιηθείσης αὐτῷ εἰς τὸν εὐαγγελιστὴν τὸν ἅγιον Ἰωάννην ἱερᾶς πραγματείας· ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν

C *ποιοῦντας τοῦ Πνεύματος σφᾶς ἑαυτοὺς ἀπέδειξαν. Μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος, τὸν Πατέρα, αἰτίαν· τοῦ μὲν, κατὰ τὴν γέννησιν, τοῦ δὲ, κατὰ τὴν ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προτέροι δηλώσωσι· καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι. Τῷ δὲ δευτέρῳ μηδεμιᾶς χρῄζουσι τὸ παράπαν ἀπολογίας. Πολὰ γὰρ ἐν τούτῳ διαμφισβήτησις, εἰ καὶ τοῖς προφασιζομένοις νομίζεται διὰ τὸ δύστροπον, Ὅμως δ' οὖν ἐξεδυσώπησαν εἰπόντες, μήτε τὴν κατὰ νοῦν ἔχειν ἁμαρτίαν, καθ' ἣν πρωτοπαθήσας φαίνεταί πως ὁ Ἀδὰμ, μήτε τὴν ἐκ ταύτης προϊοῦσαν διὰ σώματος πρᾶξιν τοῦ*

D *κακοῦ καὶ ἐνέργειαν. Οὗτοι μὲν οὖν ταῦτα περὶ ὧν οὐκ εὐλόγως ἀνεκλήθησαν· ἐκεῖνοι δὲ, περὶ ὧν καὶ μάλα δικαίως, οὐδεμίαν μέχρι καὶ νῦν πεποίηνται τὴν ἀπολογίαν· ὅτι μηδὲ τῶν παρεισ-*

lexissent indicatum, cum et ipse se ipsum silens, unum Patrem nominat, a quo Spiritus procedat, παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον : nempe fontalem ipsam rationem ac primam, atque ut ipse auctor diceretur ac causa absolute; sive ut Latinæ lubentius aures audiunt, principium, a quo Filius, id ipsum accepisset, ac cum quo illud haberet commune, ob summam naturæ conjunctionem in utroque. Ut eo genio eaque theologia, quos modernos symmistas theologastros Maximi scholiorum in Dionysium interpretes, opusculo anno superiori edito, perstrinxi, Maximi phrasim ac modum loquendi attendissent, haud sibi ac catholicæ Ecclesiæ, a silentio illo ita sanctis consueto, strenuum adeo pugilem a Iversarium ac hostem objecissent, nec adversa iorum ac schismaticorum castra tanto duce auxissent, cum quo, ac occasione eadem omni se fere sanctorum præsidio nudandos scirent, qui et ipsi eodem modo loquantur. Sane Romana ipsa Ecclesia, sanctum illibatumque per multa sæcula voluit, ea simplicitate acceptum ab apostolis, ac postmodum Nicæna synodo, Symbolum, donec tandem probabili ratione mota, et ut præcipue morem gereret Gallis nostris ac Occiduis, qui ita olim explicatam fidei confessionem ab ea accepissent, in illud velut additamentum consensit, Christophoro papa, ac Carolo Gallorum rege, ut Græci produnt, quorum verba refert Baronius, exstantque Græca in regis Christianissimi bibliotheca.

Digitized by Google Распознавание текста ABK/FR

ἀχθέντων ὑπ' αὐτῶν ἐκβολήν. Μεθερμηνεύειν δὲ τὰ οἰκεῖα, τοῦ τὰς ὑποκλοπὰς χάριν διαφυγεῖν τῶν ὑποπιπτόντων, κατὰ τὴν ὑμετέραν κέλευσιν παρεκάλεσα τοὺς Ῥωμαίους· πλὴν ἔθους κεκρατηκότος οὕτω ποιεῖν καὶ στέλλειν, οὐκ οἶδα τυχὸν εἰ πεισθεῖεν. Ἄλλως τε καὶ τοῦ μὴ οὕτως δύνασθαι διακριβοῦν ἐν ἄλλῃ λέξει τε καὶ φωνῇ τὸν ἑαυτῶν νοῦν, ὥσπερ ἐν τῇ ἰδίᾳ καὶ θρεψαμένῃ· καθάπερ οὖν καὶ ἡμᾶς ἐν τῇ καθ' ἡμᾶς τὸν ἡμέτερον. Γενήσεται δὲ πάντως αὐτοῖς, πεῖραν τὴν ἐπήρειαν μαθοῦσι, καὶ ἡ περὶ τούτων φροντίς.

A pretarentur. Verum cum ea scribendi consuetudo apud eos obtineat, haud scio forte gesturos morem. Accedit et illud, quod non ita promptum sit alienis vocibus ac lingua suam mentem exprimere, uti propria ac nativa; quemadmodum etiam ipsi nostram facilius exprimimus in nostra. Plane vero erunt illis hæc curæ, cum improbitatem experti didicerint.

